- ΤΟΜΟΣ ΠΡΩΤΟΣ
- Λόγος Α΄. Περί ἀγάπης. Καί ποῖαί εἰσι τῶν πνευματικῶν ἀνδρῶν αἱ ὁδοί καί αἱ πράξεις. Καί μακαρισμός πρός τούς ἔχοντας τήν ἀγάπην ἐγκάρδιον.
- Λόγος΄.Β΄. Περί τοῦ φεύγειν τούς λοιμούς καί φθοροποιούς τῶν ἀνθρώπων καί τούς λόγους αὐτῶν ἀποπέμπεσθαι καί πρός τήν ἐργασίαν τῆς ἀρετῆς ἀναστῆναι. Ἔτι δέ καί περί τοῦ δεῖν σκοπεῖν εἰ τά τῶν μακαρισμῶν τοῦ Χριστοῦ ἐν ἑαυτοῖς ἔχομεν. Καί περί δακρύων καί κατανύξεως.
- Λόγος Γ΄. Περί τοῦ ὅτι χρή καλῶς ὑποτάσσεσθαι καί μή ἐπιλανθάνεσθαι τῶν συνθηκῶν, ὧν πρός Θεόν συνεθέμεθα. Καί ὅτι οὐ δεῖ γογγίζειν ἐπί ταῖς παννύχοις ἀγρυπνίαις τῶν ὄρθρων.
- Λόγος Δ΄. Περί μετανοίας καί κατανύξεως. Καί ἐκ ποίων ταύτην ἔργων κτήσασθαι δυνατόν. Καί ὅτι ἄνευ δακρύων ἀδύνατον εἰς καθαρότητα καί ἀπάθειαν ἐλάσαι τινά.
- Λόγος Ε΄. Περί μετανοίας. Καί ὅτι οὐκ ἀρκεῖ ἡμῖν ἡ τῶν ἐνόντων μόνον διάδοσις καί ἡ ἀπογύμνωσις αὐτή τῶν πραγμάτων εἰς κάθαρσιν ψυχῆς, ἐάν μή καί τό πένθος κτησώμεθα. Καί περί τῆς τοῦ Ἀδάμ ἐξορίας. Καί ὅτι εἰ μετενόησε παραβάς, οὐκ ἄν τοῦ παραδείσου ἐξέπεσε. Καί οἷον ἀγαθόν εἰργάσατο αὐτοῦ ἡ μετά τήν ἔκπτωσιν μετάνοια. Καί περί τῆς δευτέρας τοῦ Κυρίου παρουσίας καί τῆς τῶν ἁμαρτωλῶν κατακρίσεως. Καί πρός τό τέλος, ἔλεγχος τῶν ἐν κακίᾳ καί ὑποκρίσει ζώντων.
- Λόγος στ΄. Περί ἐργασίας πνευματικῆς. Καί τίς ἦν ἡ ἐργασία τῶν παλαιῶν ἁγίων. Καί πῶς ταύτην κατορθῶσαι δυνάμεθα, ἵνα καί μέτοχοι, ὥσπερ ἐκεῖνοι, τοῦ Παναγίου γενώμεθα Πνεύματος.
- Λόγος Ζ΄. Περί προσπαθείας τῆς εἰς τούς συγγενεῖς. Καί τίς ἡ ἀπάτη αὐτῆς καί εἰς οἷον βόθρον καί δεσμόν κατάγει τούς κρατουμένους ὑπ᾽ αὐτῆς. Καί περί ἀπογνώσεως καί τῆς ἐν ταύτῃ διαφορᾶς. Καί τί ἐστι τό «*Ὁ πιστεύσας καί βαπτισθείς σωθήσεται, ὁ δέ ἀπιστήσας κατακριθήσεται*».
- Λόγος Η΄. Περί τελείας ἀγάπης καί τίς ἡ ταύτης ἐνέργεια. Καί ὅτι ἐὰν μή διά σπουδῆς ἐντεῦθεν ἤδη τῆς τοῦ Πνεύματος μεθέξεως γενώμεθα μέτοχοι, οὐδέ πιστοί καί χριστιανοί δυνάμεθα εἶναι, ἀλλ᾽ οὐδέ υἱοί καί τέκνα Θεοῦ χρηματίσωμεν.
- Λόγος Θ΄. Περί ἐλεημοσύνης. Καί τίς ἐστιν ὁ πεινῶντα τόν Θεόν τρέφων καί διψῶντα ποτίζων καί καθεξῆς. Καί πῶς τοῦτό τινι κατορθωθήσεται. Καί ὅτι εἰ μή τις καί ἐν ἑαυτῷ ταῦτα πάντα ποιήσει καί θρέψει καί ποτίσει Χριστόν, οὐδέν ὠφεληθήσεται ἐκ τοῦ ταῦτα μόνον ποιεῖν εἰς τούς πένητας, ἑαυτόν δέ ἄτροφον παρορᾶν καί γυμνόν τῆς δικαιοσύνης τοῦ Θεοῦ.
- Λόγος Ι΄. Περί μετοχῆς Πνεύματος Ἁγίου καί ἁγιωσύνης καί τελείας ἀπαθείας. Καί ὅτι ὁ ἀγαπῶν τήν ἐξ ἀνθρώπων δόξαν οὐδέν ἐκ τῶν λοιπῶν ἀρετῶν ὠφελεῖται, κἄν πάσας κατώρθωσε.
- Λόγος ΙΑ΄. Περί νηστείας. Καί ὅτι οὐ χρή τό τῆς νηστείας ὠφέλιμον ἐν τῇ πρώτῃ καί μόνῃ τῶν νηστειῶν ἑβδομάδι σπουδαίως τηρεῖν καί ἀσπάζεσθαι, ἀλλά τήν ἴσην καί τήν αὐτήν σπουδήν ἐν πάσαις ταῖς ἑβδομάσι τῶν νηστειῶν ἀναγκαῖον τοῖς

σπουδαίοις διατηρεῖν.
- Λόγος ΙΒ΄. Περί ἐγκρατείας καί ὑπομονῆς εἰς τήν ἐργασίαν τῶν ἀρετῶν ἐν τῷ καιρῷ τῆς νηστείας. Καί περί σιωπῆς. Καί ὅπως δεῖ ἐν πάσῃ τῇ νηστείᾳ διάγειν τούς ἀγωνιζομένους ἐν ἀληθείᾳ.
- Λόγος ΙΓ ΄. Περί τῆς τοῦ Χριστοῦ ἀναστάσεως. Καί ὁποία τίς ἐστιν ἤ πῶς ἐν ἡμῖν γίνεται ἡ ἀνάστασις τοῦ Χριστοῦ καί ἐν αὐτῇ ἡ ἀνάστασις τῆς ψυχῆς. Καί τί τό μυστήριον ταύτης τῆς ἀναστάσεως. Ἐλέχθη μετά τό Πάσχα τῇ δευτέρᾳ τῆς δευτέρας ἑβδομάδος τοῦ Πάσχα.
- Λόγος ΙΔ΄. Περί μετανοίας καί ἀρχῆς βίου μοναδικοῦ. Καί πῶς τις ὁδῷ καί τάξει προβαίνων εἰς ἀρετήν ἐν τῇ τῶν ἐντολῶν ἐργασίᾳ εἰς τελειότητα ἔρχεται.
- Λόγος ΙΕ΄. Περί ἐμπαθοῦς καί ἀπίστου καί πονηρᾶς διαθέσεως. Καί τίς ἡ ἕνωσις τοῦ Θεοῦ πρός τούς υἱούς τοῦ φωτός καί τίνα τρόπον ἐν αὐτοῖς αὕτη γίνεται. Καί πρός τό τέλος, καταδρομή τῶν ἀναξίως κατατολμώντων τῆς ἀρχιερωσύνης.
- Λόγος Ιστ΄. Περί τῶν ἐνεργειῶν τοῦ Πνεύματος τοῦ Ἁγίου. Καί τίς ἡ θεωρία τῶν μυστηρίων αὐτοῦ. Καί ὅπως τοῖς καθαροῖς τήν καρδίαν ἀποκαλύπτονται. Καί διήγησις ἐκ προοιμίων ἐπωφελής περί τινος ὑποτακτικοῦ, λαβόντος Πνεῦμα Ἅγιον ταῖς εὐχαῖς τοῦ πνευματικοῦ αὐτοῦ πατρός.
- Λόγος ΙΖ΄. Περί θεωρίας καί ἀποκαλύψεως καὶ πεφωτισμένης εὐχῆς. Καί ὅπως ὁ ὑπό τῆς ἀγάπης κατασχεθείς τοῦ Θεοῦ καί εἰς βάθος ταπεινοφροσύνης ἐλάσας, ἐνεργεῖται ὑπό τοῦ Πνεύματος τοῦ Ἁγίου.
- Λόγος ΙΗ΄. Περί μεθόδων τοῦ πονηροῦ, ὧν ὑποβάλλει τοῖς κουφοτέροις καί φιλοπρωτεύουσιν, ὁπόταν ὁ ποιμήν ἐξ ἀνθρώπων γένηται. Καί ὅτι χρή τούς μέν ἀναξίως ἐπιπηδῶντας τῇ ἀρχῇ πάσῃ κωλύειν συνωθεῖν ἐπί τοῦτο καί συνεργεῖν. Καί πρός τῷ τέλει, πρός τόν ποιμένα.
- Λόγος ΙΘ΄. Ὅτι οὐ χρή ἐπί μόνοις τοῖς λόγοις καί ταῖς ὑποσχέσεσι θαρρεῖν τῶν ἀνθρώπων, ἀλλ᾽ ἐκ τῶν ἔργων τό πιστόν βεβαιοῦσθαι τῶν λόγων αὐτῶν. Καί οἷα τίς ἐστιν ἡ τῶν ἀληθινῶν διδασκάλων διάθεσις καί ἀγάπη πρός τούς μαθητευομένους αὐτοῖς. Καί ὁποῖα τά σπλάγχνα καί ἡ φροντίς αὐτῶν. Καί ὅπως ὑπέρ αὐτῶν ἐντυγχάνουσι τῷ Θεῷ.
- Λόγος Κ΄. Περί ἀποταγῆς καί ἐκκοπῆς θελήματος, πρός τούς αἰτήσαντας γράψαι αὐτοῖς πῶς ὀφείλει τις τόν ἀσκητικόν διανύσαι βίον. Καί ὅτι καλόν ἐπί τούτῳ καί ἐπωφελές ἐμπείρῳ χρήσασθαι ὁδηγῷ ἤγουν πνευματικῷ πατρί εἰς τό αμαθεῖν τά τῆς ἀρετῆς καί τῆς ἀσκητικῆς τέχνης τήν δυσκατόρθωτον ἐργασίαν. Καί περί πίστεως τῆς εἰς τούς πνευματικούς πατέρας καί θεωρίας φωτός, ὑφ᾽ οὗ πᾶσα φωτιζομένη ψυχή προκόπτει εἰς ἀγάπην Θεοῦ.
- Λόγος ΚΑ΄. Περί μνήμης θανάτου. Καί οἷον ἀγαθόν τέλος δέδωκεν ὁ τρισόλβιος αὐτοῦ ἀδελφός Ἀντώνιος. Καί πρός τῷ τέλει, ἐπιτάφιος πρός αὐτόν.
- Λόγος ΚΒ΄. Περί πίστεως. Καί διδασκαλία περί τῶν λεγόντων μή εἶναι δυνατόν ἐν μέσῳ τῶν βιωτικῶν τό τέλειον φθάσαι τῶν ἀρετῶν. Καί διήγησις ἐκ προοιμίων ἐπωφελής.
- Λόγος ΚΓ΄. Περί μετανοίας καί φόβου Θεοῦ. Καί ὁποῖον ἀγῶνα ἔχει ψυχῆς καί

πόνον καρδίας ὁ μετά συντετριμμένου τοῦ πνεύματος μετανοῶν. Καί τίνα εἰσίν ἅ λέγει καί πρός τόν φιλάνθρωπον Κύριον εὔχεται.
- Λόγος ΚΔ΄. Περί γνώσεως πνευματικῆς. Καί ὅτι ὁ ἐγκεκρυμμένος τοῦ Πνεύματος θησαυρός ἐν τῷ γράμματι τῆς θείας Γραφῆς οὐ πᾶσιν εὔδηλός ἐστι καί τοῖς βουλομένοις, ἀλλά μόνοις τοῖς τόν διανοίγοντα τόν νοῦν κτησαμένοις εἰς τό συνιέναι τάς Γραφάς.
- Λόγος ΚΕ΄. Περί ἀλλοιώσεως ψυχῆς τε καί σώματος, τῶν ἐξ ἀέρος, τῶν ἐκ στοιχείων, τῶν ἐκ βρωμάτων καί τῶν δαιμόνων ἐπιγινομένων ἡμῖν.
- Λόγος Κστ΄. Περί ἀρχῆς βίου λίαν ἐπωφελοῦς καί σωτηρίου, ἁρμοζούσης τοῖς ἄρτι τῷ κόσμῳ καί τοῖς ἐν κόσμῳ ἀποτασσομένοις καί πρός τόν μοναδικόν ἀποτρέχουσι βίον. Καί διδασκαλίας εἰς ἀρχαρίους λυσιτελεστάτη.
- Λόγος ΚΖ΄. Περί τοῦ μή ἀμελῶς ἔχειν περί τήν ἐργασίαν τῶν τοῦ Θεοῦ ἐντολῶν, μηδέ καταφρονεῖν μιᾶς καί μόνης αὐτῶν, ἀλλ᾽ ἀγωνίζεσθαι τηρεῖν ὁμοῦ πάσας, ἵνα μή ὡς καταφρονηταί ἔξω τοῦ νυμφῶνος ἀποκλεισθῶμεν. Καί περί τοῦ ὑπομένειν γενναίως τούς πειρασμούς.
- Λόγος ΚΗ΄. Περί τῆς ἐκ τοῦ Πνεύματος ἐγγινομένης τοῖς ἀγωνιζομένοις καί πρό τοῦ θανάτου ζωοποιοῦ νεκρώσεως. Καί ὅτι οἱ ἐν τῇ χάριτι ὑπέρ τόν νόμον γενόμενοι τήν τοῦ θείου φωτός χάριν γνωστῶς ἐν ἑαυτοῖς λαμβάνουσιν· οἱ γάρ μή λαβόντες ἤδη τοῦτο τό φῶς κατά τήν παροῦσαν ζωήν, μηδέ καθορῶντες αὐτό, ἔτι ὑπό τήν σκιάν τοῦ νόμου εἰσί καί κριθήσονται ὑπ᾽ αὐτοῦ. Καί ὁποῖον δεῖ εἶναι τόν τε προηγούμενον καί τόν ἱερέα, τόν δεσμεῖν καί λύειν ἄνωθεν λαβόντα τήν ἐξουσίαν. Καί ὅτι τῷ ἀληθῶς ἱερουργοῦντι καί ὑπό τοῦ θείου καταλαμπομένῳ φωτός πάντες κατάδηλοι, αὐτοί τε οἱ Πνεύματι περιπατοῦντες Θεοῦ καί οἱ μήπω τόν χοϊκόν ἐκδυσάμενοι ἄνθρωπον.
- Λόγος ΚΘ΄. Περί τοῦ μή δεῖν λέγειν, ὅτι ἀδύνατον νῦν εἰς ἄκρον ἐλθεῖν ἀρετῆς τόν βουλόμενον καί τοῖς πάλαι ἁμιλληθῆναι ἁγίοις. Καί ὅτι πᾶς ὁ τά ἐναντία διδάσκων τῶν θείων Γραφῶν νέαν αἵρεσιν τοῖς πειθομένοις αὐτῷ δογματίζει. Καί περί δακρύων, ὅτι ἐκ φύσεως ἡμῖν τά δάκρυα πρόσεστι.
- Λόγος Λ΄. Περί μετανοίας καί ἀρχῆς ἐπαινετοῦ βίου, ὅπως δεῖ τόν μετανοῦντα καθ᾽ ἑκάστην ποιεῖν. Ἐν ᾧ καί περί δακρύων ἅμα καί κατανύξεως.
- Λόγος ΛΑ΄. Περί τοῦ πῶς δεῖ ἕκαστον ἐπισκέπτεσθαι καί τά καθ᾽ ἑαυτόν ἐπιμελῶς ἐρευνᾶν. Καί πῶς τά ἑαυτοῦ ἀντιπαρατιθέναι χρή ταῖς ἐντολαῖς τοῦ Χριστοῦ.
- Λόγος ΛΒ΄. Περί βλασφημίας. Καί ὅτι ὁ λέγων μή δύνασθαί τινα τήν παροῦσαν γενεάν ἐν μετοχῇ τοῦ Ἁγίου γενέσθαι Πνεύματος, ἀλλά καί ὁ διαβάλλων τάς ἐνεργείας τοῦ Πνεύματος καί τῷ ἐναντίῳ ταύτας ἐπιφημίζων, αἵρεσιν νέαν εἰς τήν τοῦ Θεοῦ ἐκκλησίαν ἀνακαινίζει.
- Λόγος ΛΓ΄. Περί μετοχῆς Πνεύματος Ἁγίου. Καί ὅτι ἀδύνατον ἄλλως βεβαιωθῆναι τά ἔργα τῆς ἀρετῆς, εἰ μή δι᾽ ἐπιδημίας τοῦ Πνεύματος, οὗ χωρίς οὐδείς πρός ἀρετήν κατευθύνεται, οὐδέ ἄλλους ὠφελεῖν δύναται ἤ ἀλλοτρίους δέχεσθαι λογισμούς. Καί περί τό ἴσον κατά πάντα καί ὡσαύτως ὄν τῆς Τρισυποστάτου Θεότητος.

- Λόγος ΛΔ΄. Ὅτι οὐκ ἀκίνδυνον τό διδόμενον ἡμῖν παρά Θεοῦ τάλαντον κατορύττειν· χρή γάρ δημοσιεύειν αὐτό καί τοῖς πᾶσιν ὑποδεικνύειν καί τάς εὐεργεσίας Θεοῦ εὐγνωμόνως ἀνακηρύττειν εἰς τήν τῶν ἀκουόντων ὠφέλειαν, κἄν τινες ἀπαρέσκωνται.
- Λόγος ΛΕ΄. Τοῦ αὐτοῦ. Εὐχαριστία πρός Θεόν ὑπέρ ὧν ἠξίωται δωρεῶν. Καί εἰσήγησις ὅπως τοῖς κεκαθαρμένοις τῇ καρδίᾳ Θεός ἀεί ἐπιφαίνεται, καί ἐν ποίοις τοῖς πράγμασι καί γνωρίσμασι.
- Λόγος Λστ΄. Τοῦ ἁγίου καί μεγάλου πατρός ἡμῶν Συμεών τοῦ Νέου. Εὐχαριστία πρός Θεόν περί τῶν γεγονότων εὐεργεσιῶν εἰς αὐτόν παρ᾽ αὐτοῦ. Ἐν ᾗ καί περί εὐχῆς πνευματικῆς καί τῆς ἐν ταύτῃ προκοπῆς. Καί περί ἐλλάμψεως θείας θεωρίας τε ἀπλανοῦς καί ἀγάπης τῆς πρός Θεόν.
- ΤΟΜΟΣ ΔΕΥΤΕΡΟΣ ΒΙΒΛΟΣ ΤΩΝ ΘΕΟΛΟΓΙΚΩΝ
- ΘΕΟΛΟΓΙΚΟΣ ΠΡΩΤΟΣ. Καί κατά τῶν τιθεμένων τό πρῶτον ἐπί τοῦ Πατρός.
- ΘΕΟΛΟΓΙΚΟΣ ΔΕΥΤΕΡΟΣ. Καί κατά τῶν ἐπιχειρούντων θεολογεῖν ἄνευ Πνεύματος.
- ΘΕΟΛΟΓΙΚΟΣ ΤΡΙΤΟΣ. Καί ὅτι, εἴ τι ὁ Πατήρ, τοῦτο καί ὁ Υἱός, καί εἴ τι ὁ Υἱός, τοῦτο καί τό Πνεῦμα τό Ἅγιον, καί ὅτι ἕν ταῦτα πνεῦμα ὁμότιμον, ὁμοούσιον καί ὁμόθρονον.
- ΒΙΒΛΟΣ ΤΩΝ ΗΘΙΚΩΝ
- ΛΟΓΟΣ Α΄.
  - α΄. Μερική τις φυσιολογία περί τῆς τοῦ κόσμου κτίσεως καί τῆς πλάσεως τοῦ Ἀδάμ.
  - β΄. Περί τῆς παραβάσεως καί τῆς ἐξορίας τοῦ Ἀδάμ.
  - γ΄. Περί τῆς τοῦ Λόγου σαρκώσεως καί κατά τίνα τρόπον δι᾽ ἡμᾶς ἐσαρκώθη.
  - δ΄. Πῶς αὖθις ἡ κτίσις μέλλει πᾶσα ἀνακαινισθῆναι καί γενέσθαι καινούς οὐρανούς καί καινήν γῆν κατά τόν θεῖον Ἀπόστολον.
  - ε΄. Ὁποία ἔσται καί ἡ ἐσχάτη λαμπρότης τῆς κτίσεως.
  - στ΄. Πῶς ἑνοῦνται τῷ Χριστῷ καί Θεῷ καί ἕν γίνονται μετ᾽ αὐτοῦ πάντες οἱ ἅγιοι.
  - ζ΄. Πῶς δεῖ πληρωθῆναι τόν ἄνω κόσμον καί ὁποῖός τίς ἐστι καί τίνα πληρωθήσεται τρόπον.
  - η΄. Ὅτι εἰ μή πάντες οἱ προωρισμένοι κατά γενεάς καί γενεάς τεχθήσονται ἕως ἐσχάτης ἡμέρας καί πληρωθήσονται, ὁ ἄνω κόσμος οὐ πληρωθήσεται.
  - θ΄. Εἰς τό ῥητόν τοῦ Εὐαγγελίου· «*Ὡμοιώθη ἡ βασιλεία τῶν οὐρανῶν βασιλεῖ*». Καί τίς ἐστιν ὁ γάμος ὁ μυστικός τοῦ Θεοῦ.
  - ι΄. Ὅτι καί πάντες οἱ ἅγιοι τόν Λόγον τοῦ Θεοῦ ἐν ἑαυτοῖς συλλαμβάνουσι τῇ Θεοτόκῳ παραπλησίως καί γεννῶσιν αὐτόν καί γεννᾶται ἐν αὐτοῖς καί γεννῶνται ὑπ᾽ αὐτοῦ, καί πῶς υἱοί καί ἀδελφοί καί μητέρες αὐτοῦ χρηματίζουσιν.
  - ια΄. Εἰς τό ῥητόν τοῦ Εὐαγγελίου· «*Καί ἀπέστειλε τούς δούλους αὐτοῦ καλέσαι τούς κεκλημένους εἰς τούς γάμους καί οὐκ ἤθελον ἐλθεῖν*».

    - ιβ΄. Ὅτι οὐ χρή πρό τῆς ἐργασίας τῶν ἐντολῶν καί τῆς εἰς ἀρετήν προκοπῆς τε καί τελειώσεως τά κεκρυμμένα μυστήρια τῆς βασιλείας τῶν οὐρανῶν ἐρευνᾶν τῶν ἀμυήτων τινά· καί ὅτι ἐν τῇ δευτέρᾳ τοῦ Κυρίου ἐλεύσει πάντες ἀλλήλους γνωρίζουσιν οἱ ἅγιοι.
- ΛΟΓΟΣ Β΄. Τά κεφάλαια τῆς θεωρίας τοῦ λόγου.
    - α΄. Προτρεπτικός ἐκ προοιμίων εἰς μετάνοιαν· καί εἰς τό ῥητόν τοῦ Ἀποστόλου· «*Οὕς προέγνω, τούτους καί προώρισε*» καί εἰς τά ἑξῆς· καί κατά τῶν στρεβλούντων αὐτό τε καί πᾶσαν τήν θείαν Γραφήν.
    - β΄. Ὅτι πάντες οἱ εἰς Χριστόν πιστεύσαντες προεγνωσμένοι καί προωρισμένοι εἰσίν εἰς τό συμμόρφους γενέσθαι αὐτούς τοῦ Υἱοῦ τοῦ Θεοῦ· καί εἰς τό ῥητόν τοῦ Μωσέως· «*Ὅτε διεμέριζε ἔθνη ὁ Ὕψιστος*» καί τά ἑξῆς.
    - γ΄. Ἀνακεφαλαίωσις τῶν ἐν τῷ πρώτῳ λόγῳ ῥηθέντων περί ταῆς τοῦ Ἀδάμ καί τῆς Εὔας καί τῶν ἑπτά ἡμερῶν καί αἰώνων καί τῆς τοῦ παραδείσου φυσικῆς θεωρίας.
    - δ΄. Περί τοῦ κατακλυσμοῦ καί τίνων εἰκόνες ἦσαν τά ἐν τῇ κιβωτῷ· καί περί τοῦ Ἀβράαμ καί τοῦ κατ᾽ ἐκλογήν λήμματος καί τί ἐστι τό λῆμμα τοῦτο· καί περί τοῦ Ἰσραήλ καί τῆς περιτομῆς.
    - ε΄. Ὅτι τῷ παραχθέντι πρώτῳ κατ᾽ ἀρχάς κόσμῳ ἕτεροι δύο συνεπεγένοντο, ὧν ὁ ἔσχατος τύπος ἐστί τῶν μετά ταῦτα μελλόντων γενέσθαι, μέσος τις ὤν τῶν ἀρχαίων καί τῶν ἐξ ὕστερον· καί τίνος ἦν εἰκών ἡ τῆς ἐπαγγελίας γῆ καί τά ἑξῆς.
    - στ΄. Εἰς τό ῥητόν τοῦ Ἀποστόλου· «*Εἰ γάρ τό αὐτῶν παράπτωμα πλοῦτος κόσμου γέγονε*» καί τά ἑξῆς· καί προσωποποιΐα τῶν ἑκατέρων λαῶν, τῶν ἐθνῶν φημι καί τοῦ Ἰσραήλ.
    - ζ΄. Ὅτι νέος κόσμος ἡ τοῦ Χριστοῦ Ἐκκλησία καί νέος παράδεισος ἡ πρός αὐτόν πίστις. Καί πρός τούτοις ἀνακεφαλαίωσις τοῦ πρώτου κόσμου, ἀντιπαρατιθεμένων τοῖς ἐν ἐκείνῳ πραχθεῖσι τῶν ἐν τῇ Ἐκκλησίᾳ διά Χριστοῦ τελεσθέντων. Καί πρός τό τέλος ἐπανάληψις τοῦ ἀποστολικοῦ ῥητοῦ· «*Οὕς προέγνω, τούτους καί προώρισε.....*».
- ΛΟΓΟΣ Γ΄. Εἰς το ῥητόν τοῦ Ἀποστόλου ἐν ᾧ λέγει· «*Καί εἶδον τόν τοιοῦτον εἰς τρίτον οὐρανόν ἁρπαγέντα καί ἀκούσαντα ἄρρητα ῥήματα ἅ οὐκ ἐξόν ἀνθρώπῳ ἀκοῦσαι*». Τί οὖν εἰσιν ἅ ἀκήκοεν ὁ Παῦλος ἄρρητα ῥήματα; Τίνα δέ τά ἀγαθά «*ἅ ὀφθαλμός οὐκ εἶδε καί οὖς οὐκ ἤκουσε καί ἐπί καρδίαν ἀνθρώπου οὐκ ἀνέβη*»; Τίς δέ ἤ πῶς ἔσται καί ἔστιν εἰς ἡμᾶς ἡ τοῦ Θεοῦ βασιλεία καί τίς ἡ ἐν ἡμῖν ταύτης ἐνέργεια;
- ΛΟΓΟΣ Δ΄. Περί ἀπαθείας καί τῶν ἐν αὐτῇ κατά προκοπήν χαρισμάτων καί δωρεῶν· καί τίς ἡ τελείωσις τῆς κατά Χριστόν πνευματικῆς ἡλικίας.
- ΛΟΓΟΣ Ε΄ Περί τῶν οἰομένων ἀγνώστως ἔχειν ἐν ἑαυτοῖς τό Πνεῦμα τό Ἅγιον, μή ἐπαισθανομένων δέ καθόλου τῆς ἐνεργείας αὐτοῦ· καί περί τῶν λεγόντων μή δύνασθαί τινα τῶν ἀνθρώπων κατά τήν παροῦσαν ζωήν ὁρᾶν τήν δόξαν αὐτοῦ, καί ἀπόδειξις διά χρήσεων περί τούτου. Καί ὅτι φθόνος οὐδείς ἐν τοῖς ἁγίοις, ὅταν διά

πάσης σπουδῆς ἐναρέτου τούτοις συνεξισώμεθα. Καί ποίῳ τρόπῳ ὁρᾷ τις τόν Θεόν καί ὅτι ὁ εἰς τοιαῦτα μέτρα πεφθακώς, ὥστε ὁρᾷν κατά τό ἐφικτόν τόν Θεόν, ἔνθεν ἤδη μυεῖται καί τήν μέλλουσαν δοθῆναι ἐν τῷ μέλλοντι τοῖς ἁγίοις ἀπόλαυσιν. Καί ὅτι ὅσα ἄν ὁ τοιοῦτος λέγῃ ἤ ποιῇ ἤ γράφῃ, οὐκ αὐτός, ἀλλά τό Πνεῦμα τό Ἅγιον τό λαλοῦν ἐν αὐτῷ ταῦτα λέγει καί γράφει· καί ὁ τούς λόγους αὐτοῦ ἀθετῶν ἤ παραλογιζόμενος, εἰς τό Πνεῦμα τοῦ Θεοῦ, τό ἐνεργοῦν καί λαλοῦν ἐν αὐτῷ, ἁμαρτάνει καί βλασφημεῖ.

- ΛΟΓΟΣ στ΄. Περί ἀπαθείας καί ἐναρέτου ζωῆς. Καί ὅπως χρή τό οἰκεῖον ἐκκόπτειν θέλημα καί εἰς ὕψος ἀνέρχεσθαι τελειότητος. Καί περί συναφείας Θεοῦ πρός ψυχήν καί ψυχῆς πρός σῶμα καί ἑνώσεως τῶν τριῶν παραδόξου. Καί πρός τούτοις περί πνευματικῆς ἰατρείας καί ὅπως χρή θεραπεύειν τούς ψυχικῶς ἀσθενοῦντας.
- ΛΟΓΟΣ Ζ΄. Περί τῶν δουλευόντων Θεῷ, τίνες τε εἶεν και ὁποῖοι καί ποταποί. Καί τίς ἐστιν ὁ μετανοῶν καί ἡ ἐργασία αὐτοῦ, καί τίς ὁ τήν ἀσκητικήν ζωήν μετερχόμενος καί ἡ ἐργασία αὐτοῦ, καί τίς ὁ δουλεύων Θεῷ καί τό ἔργον αὐτοῦ. Καί ὅτι, ἐάν μή τάς ἀρετάς κτησώμεθα, οὐδέν ἡμᾶς ἀπαλλαγή μόνον τῶν παθῶν ὠφελήσει.
- ΛΟΓΟΣ Η΄. Περί ἀγάπης Θεοῦ καί πίστεως καί ὅπως τις ἐγκύμων γίνεται τῆς τοῦ Θεοῦ ἀγάπης. Καί περί ἐλλάμψεως καί θεωρίας φωτός καί μυστικῆς ὁμιλίας τοῦ Πνεύματος.
- ΛΟΓΟΣ Θ΄. Περί γνώσεως ἀληθινῆς καί ὅτι ἡ τοῦ Θεοῦ γνῶσις οὐκ ἐκ μαθημάτων, ἀλλ᾽ ἐκ καθαρότητος καί τῆς ἄνωθεν χάριτος ἐπιγίνεται τῷ σπουδαίῳ· καί ὅτι χαλεπόν τό κρίνειν· καί ἔλεγχος τῶν οἰομένων εἰδέναι τά τοῦ Πνεύματος χωρίς Πνεύματος· ἐν ᾧ καί περί τῆς τοῦ Πατρός ἁγιωσύνης· καί οἷον ἀγαθόν ἐστιν ἡ πίστις καί τίς ὁ ταύτης καρπός καί ὅπως αὐξάνεται· καί ὅτι οἱ τόν θησαυρόν ἐν ἑαυτοῖς ἐσχηκότες τοῦ Πνεύματος καί ἐν ἄλλοις ὄντα γνωρίζουσι· καί τίνα τῶν ἁγίων τά σημεῖα καί πῶς καί τίσι γνωρίζονται· καί ὅτι ὁ μή γεννηθείς ἄνωθεν οὐ δύναται ἰδεῖν τόν γεγεννηκότα Θεόν οὐδέ γνωρίσαι τόν εἰς τοῦτο πεφθακότα διά τοῦ Πνεύματος.
- ΛΟΓΟΣ Ι΄. Περί τῆς φοβερᾶς τοῦ Κυρίου ἡμέρας καί τῆς μελλούσης κρίσεως, ὅτι καί πρό τοῦ θανάτου ἐν ἡμῖν ἔνθεν ἤδη καθαιρομένοις διά δακρύων ἐνεργεῖται ἐν οἷς ἄν ἐγγένηται κατά τήν παροῦσαν ζωήν, κατά τήν μέλλουσαν οὐχ ὑπαντᾶ. Καί τίς ἐστιν ἡ ἡμέρα Κυρίου καί τίσιν αἴφνης ἀποκαλύπτεται. Καί ὅτι ἡ εἰς Χριστόν πίστις οὐ δύναται μόνη σῶσαι ἡμᾶς, εἰ μή καί Πνεύματος Ἁγίου γνωστῶς γενώμεθα μέτοχοι καί ὅτι οὐχί πάντες οἱ βαπτιζόμενοι διά τοῦ βαπτίσματος λαμβάνουσι τόν Χριστόν. Καί πῶς δύναταί τις γνῶναι εἰ περιφέρει ἐν αὐτῷ τόν Χριστόν καί Πνεύματος Ἁγίου γέγονε μέτοχος. Καί ἑρμηνεία ὡς ἐν παραδρομῇ εἰς τό « *Ἐν ἀρχῇ ἦν ὁ Λόγος*». Καί μακαρισμός εἰς τούς ἐξ ἀγώνων τήν ἐπιφοίτησιν δεξαμένους τοῦ Πνεύματος.
- ΛΟΓΟΣ ΙΑ '. Περί τῆς ζωοποιοῦ νεκρώσεως τοῦ Ἰησοῦ καί Θεοῦ τῆς ἀεί γινομένης εὐαισθήτως ἐν τοῖς τελείοις. Καί ὅτι ἡ κτῆσις τῶν ἀρετῶν αἵματι ἀγοράζεται· καί τίνα τῶν ἀρετῶν τά καταγώγια καί ὅτι ὁ μή διά τῆς πρώτης βαθμίδος κατά τάξιν εἰς

τήν βασιλείαν τῶν οὐρανῶν ἀνερχόμενος οὐδαμῶς εἰσελεύσεται εἰς αὐτήν. Ὅτι ἐν τοῖς τελείοις χαρά καί ἀγαλλίασίς ἐστι, καί οὐ δάκρυον, καί βρύουσι τῆς θεολογίας τά ῥεῖθρα. Καί πρός τό τέλος, ὅτι δεῖ ἐπιπηδᾶν ταῖς ἀρχαῖς ἄνευ τῆς πληροφούσης τάς καρδίας ἡμῶν χάριτος, τῆς ἐπί τό ποιμαίνειν καλούσης τόν λαόν τοῦ Θεοῦ· καί τί τό ἔργον τῶν προϊσταμένων, τίς δέ ἡ περί τά λογικά πρόβατα φροντίς, καί πῶς ὀφείλουσι ταῦτα παρά τῶν ποιμένων ποιμαίνεσθαι.

- ΛΟΓΟΣ ΙΒ΄. Εἰς τό ῥητόν τό λέγον τοῦ Ἀποστόλου· «*Ἐξαγοραζόμενοι τόν καιρόν, ὅτι αἱ ἡμέραι πονηραί εἰσί*». Καί πῶς ἐξαγοράζεταί τις φρονίμως τόν καιρόν τῆς παρούσης ζωῆς.
- ΛΟΓΟΣ ΙΓ΄. Εἰς τό ῥητόν τοῦ Ἀποστόλου· «*Ὁ πρῶτος ἄνθρωπος ἐκ γῆς χοϊκός, ὁ δεύτερον ἄνθρωπος ὁ Κύριος ἐξ οὐρανοῦ*». Καί πῶς τόν χοϊκόν ἀποτιθέμεθα ἄνθρωπον καί τόν Χριστόν ἐνδυόμεθα, συγγενεῖς αὐτοῦ καί ἀδελφοί χρηματίσαντες.
  - ΛΟΓΟΣ ΙΔ΄. Περί ἑορτῶν καί ὅπως χρή ἑορτάζειν καί τίνων σύμβολα τά τελούμενα ἐν ταῖς ἑορταῖς καί κατά τῶν ἐναβρυνομένων ἐν αὐταῖς. Καί περί τῶν ἀξίως ἤ ἀναξίως κοινωνούντων καί τίς ἡ ἐν τούτοις διαφορά· καί πρός τό τέλος, πῶς συνάπτεταί τις διά τῆς κοινωνίας Θεῷ καί πῶς οὐ συνάπτεται.
- ΛΟΓΟΣ ΙΕ΄ . Περί ἡσυχίας καί ὁποίας ἐργασίας ὀφείλει ἔχεσθαι ὁ ἐν ταύτῃ ἀνδρείως προσκαρτερῶν.
- ΚΕΦΑΛΑΙΑ ΠΡΑΚΤΙΚΑ ΚΑΙ ΘΕΟΛΟΓΙΚΑ
- ΕΤΕΡΑ ΚΕΦΑΛΑΙΑ ΓΝΩΣΤΙΚΑ ΤΕ ΚΑΙ ΘΕΟΛΟΓΙΚΑ κε'
- Ἕτερα κεφάλαια θεολογικά καί πρακτικά ρ'.
- ΔΙΑΛΟΓΟΣ ΣΧΟΛΑΣΤΙΚΟΥ ΠΡΟΣ ΣΥΜΕΩΝ ΤΟΝ ΝΕΟΝ ΘΕΟΛΟΓΟΝ.
- ΤΟΜΟΣ ΤΡΙΤΟΣ - ΥΜΝΟΙ ΕΠΙΣΤΟΛΑΙ
- Νικήτα μονάζοντος καί πρεσβυτέρου μονῆς τῶν Στουδίου τοῦ Στηθάτου εἰς τήν βίβλον τῶν θείων ὕμνων τοῦ ὁσίου πατρός ἡμῶν Συμεών.
- Ο ΠΙΝΑΞ ΤΩΝ ΘΕΙΩΝ ΕΡΩΤΩΝ
- ΕΥΧΗ ΜΥΣΤΙΚΗ δι’ ἧς ἐπικαλεῖται τό Πνεῦμα τό Ἅγιον ὁ αὐτό προορῶν.
- Α'. Περί θείας ἐλλάμψεως καί φωτισμοῦ Πνεύματος Ἁγίου· καί ὅτι εἷς τόπος ὁ Θεός, ἐν ᾧ μετά πότμον τήν ἀνάπαυσιν πάντες οἱ Ἅγιοι ἔχουσι· καί ὅτι ὁ τοῦ Θεοῦ ἐκπίπτων ἐν ἑτέρῳ τόπῳ οὐχ ἕξει τήν ἀνάπαυσιν ἐν τῇ μελλούσῃ ζωῇ.
- Β΄ Τίς ἡ ἐπί τῷ πατρί τούτῳ γενομένη ἀλλοίωσις καί πῶς καθαρθείς εἰς ἄκρον ἡνώθη Θεῷ καί οἷος ἐξ οἵου ἐγένετο, οἱ πρός Θεόν ἐρωτικοί αὐτοῦ λόγοι δηλοῦσιν ἐνταῦθα· ὅς καί θεολογῶν λέγει πρός τό τέλος περί ἀγγέλων.
- Γ'. Τίς ὁ μοναχός καί καί τίς ἡ αὐτοῦ ἐργασία· καί εἰς οἷον ὕψος οὗτος ὁ θεῖος πατήρ θεωρίας ἀνῆλθεν.
- Δ'. Διδασκαλία εἰς μοναχούς ἄρτι ἀποταξαμένους κόσμῳ καί τοῖς ἐν κόσμῳ· καί περί τοῦ, ὁποίαν τις ὀφείλει πίστιν ἔχειν πρός τόν ἴδιον πατέρα.
- Ε'. Ἀλφάβητος τοῦ αὐτοῦ κατά στοιχεῖον διπλοῦς προτρέπων καί ὁδηγῶν εἰς τελειότητα βίου ἀναδραμεῖν τόν ἄρτι ἀπό τοῦ κόσμου ἀναχωρήσαντα.
- ΣΤ'. Τετράστιχα τοῦ αὐτοῦ τόν πρός Θεόν αὐτοῦ ἐντεῦθεν δεικνύοντα ἔρωτα.

- Ζ'. Ἔντευξις τοῦ αὐτοῦ εἰς Θεόν· καί ὅπως Θεῷ συναπτόμενος καί δόξαν Θεοῦ ὁρῶν ἐν ἑαυτῷ ἐνεργοῦσαν ἐξεπλήττετο.
- Η'. Τίσι Θεός ἐμφανίζεται καί τίνες ἐν ἕξει γίνονται τοῦ καλοῦ διά τῆς τῶν ἐντολῶν ἐργασίας.
- Θ'. Ὅτι ὁ τοῦ Ἁγίου Πνεύματος μέτοχος γεγονώς ὑπό τοῦ φωτός καί τῆς δυνάμεως αὐτοῦ ἁρπαζόμενος ἐπάνω πάντων φέρεται τῶν παθῶν, μή βλαπτόμενος τῷ πλησιασμῷ ὑπ' αὐτῶν.
- Ι'. Ὅτι ὁ θάνατος τῇ λύπῃ καί τῶν στερροτέρων καθάπτεται.
- ΙΑ' Ὅπως ὡράθη αὐτῷ Θεός ὡς Στεφάνῳ καί Παύλῳ τοῖς ἀποστόλοις, ἐνταῦθα ὁ πατήρ ἐκπληττόμενος διηγεῖται.
- ΙΒ' Περί τοῦ ἑνός κατά πάντα τῆς τρισυποστάτου θεότητος θεολογία· καί δι' ὧν τῇ ταπεινώσει χρώμενος λέγει περί ἑαυτοῦ, τῶν δοκούντων εἶναί τι ἐντρέπων τήν οἴησιν.
- ΙΔ'. Εὐχαριστία πρός Θεόν τῶν δωρεῶν ἕνεκα, ὧν παρ' αὐτοῦ ἠξιώθη· καί ὅτι φρικτόν καί ἀγγέλοις τό τῆς ἱερωσύνης καί ἡγουμενείας ἀξίωμα.
- ΙΕ'. Ὅπως βλέπων τήν δόξαν τοῦ Θεοῦ ἐνηργεῖτο ὑπό τοῦ Παναγίου Πνεύματος, καί ὅτι τό Θεῖον ἐντός καί ἐκτός ἐστι τοῦ παντός, ἀλλά καί ληπτόν τε καί ἄληπτον τοῖς ἀξίοις, καί ὅτι οἶκος Δαυίδ ἡμεῖς ἐσμεν, καί ὅτι εἰς πολλά γινόμενος ὁ Χριστός καί Θεός ἡμῶν μέλη εἷς ἐστι καί ὁ αὐτός καί μένων ἀμέριστος.
- ΙΣΤ'. Ὅτι ποθεινόν τε καί ἐπιθυμητόν κατά φύσιν μόνον τό Θεῖον, οὗ ὁ μετέχων πάντων ἐν μετοχῇ γέγονε τῶν καλῶν
- ΙΖ'. Ὅτι ὁ φόβος γεννᾷ τήν ἀγάπην, ἡ δέ ἀγάπη ἐκριζοῖ τόν φόβον ἀπό τῆς ψυχῆς καί μένει μόνη ἐν αὐτῇ, Πνεῦμα Θεῖον οὖσα καί Ἅγιον.
- ΙΗ'. Διδασκαλία σύν θεολογίᾳ περί τῶν ἐνεργειῶν τῆς ἁγίας ἀγάπης, ἤγουν αὐτοῦ τοῦ φωτός τοῦ Ἁγίου Πνεύματος.
- ΙΘ'. Διδασκαλία σύν θεολογίᾳ, ἐν ᾗ καί περί ἱερωσύνης ἅμα καί ἀπαθοῦς θεωρίας.
- Κ'. Εὐχαριστία καί ἐξομολόγησις σύν θεολογίᾳ· καί περί δωρεᾶς καί μετουσίας Πνεύματος Ἁγίου.
- ΚΑ'. Ἐπιστολή πρός μοναχόν ἐρωτήσαντα· Πῶς χωρίζεις τόν Υἱόν ἀπό τοῦ Πατρός, ἐπινοίᾳ ἤ πράγματι; Ἐν ᾗ εὑρήσεις πλοῦτον θεολογίας ἀνατρεπούσης τήν αὐτοῦ βλασφημίαν.
- ΚΒ'. Εὐχαριστία σύν θεολογίᾳ· καί περί ὧν ἡ θεία χάρις τοῦ Πνεύματος διά τῶν ἐνεργειῶν ὠνόμασται.
- ΚΓ'. Περί τῆς ἀκαταλήπτου καί ἀπεριγράπτου Θεότητος ἀκριβής θεολογία· καί ὅτι ἀπερίγραπτος οὖσα ἡ θεία φύσις οὔτε ἐντός οὔτε ἐκτός ἐστι τοῦ παντός, ἀλλά καί ἐντός καί ἐκτός ὡς τῶν ὅλων αἰτία· καί ὅτι μόνον κατά νοῦν τῷ ἀνθρώπῳ ληπτόν ἀλήπτως τό Θεῖον ὡς τοῖς ὀφθαλμοῖς αἱ τοῦ ἡλίου ἀκτῖνες.
- ΚΔ'. Δι' ὧν ἐξομολογούμενος ἐν τῷ παρόντι γράφει λόγῳ, δείκνυσι τό βάθος τῆς ἑαυτοῦ ταπεινώσεως, καί προϊών διδάσκει αὐτήν τόν εἰς μέτρον ἐλάσαντα τελειότητος καί ἀξιωθέντα τοιούτων ἐν θεωρίᾳ ἀποκαλύψεων, Παῦλον τόν θεῖον κἀν τούτῳ μιμούμενος, ἁμαρτωλόν ἑαυτόν ἀποκαλοῦντα καί ἀνάξιον τοῦ καλεῖσθαι

ἀπόστολον.
- ΚΕ'. Περί τῆς γενομένης θεωρίας αὐτῷ τοῦ θείου φωτρός, καί ὅπως τό θεῖον φῶς οὐ καταλαμβάνεται ὑπό σκότους· ἐν οἷς καί διά τήν ὑπερβολήν τῶν ἀποκαλύψεων ἐκπληττόμενος μέμνηται τῆς ἀνθρωπίνης ἀσθενείας καί ἑαυτόν κατακρίνει.
- ΚΣΤ'. Ὅτι ὁ ἐν ἀγνωσίᾳ Θεοῦ ἔτι ζῶν νεκρός ἐστι μέσον τῶν ζώντων ἐν γνώσει Θεοῦ καί ὅτι τοῖς ἀναξίως τῶν μυστηρίων μεταλαμβάνουσιν ἄληπτον τό θεῖον σῶμα καί αἷμα τοῦ Χριστοῦ γίνεται.
- ΚΖ'. Ὁποῖον δεῖ εἶναι τόν μοναχόν καί τίς ἡ ἐργασία καί τίς ἡ τούτου προκοπή καί ἀνάβασις.
- ΚΗ'. Περί νοητῆς ἀποκαλύψεως τῶν ἐνεργειῶν τοῦ θείου φωτός καί ἐργασίας νοερᾶς τε καί θείας τῆς ἐναρέτου ζωῆς.
- ΚΘ'. Ὅτι μόνοις ἐκείνοις καταφανῆ τά τῶν θείων πραγμάτων, οἷς διά τῆς μετουσίας τοῦ Ἁγίου Πνεύματος ὅλοις ὅλος ἡνώθη Θεός.
- Λ'. Πρός ἕνα τῶν μαθητῶν, ὅτι ταῖς καθαρθείσαις ψυχαῖς διά δακρύων καί μετανοίας προσψαῦσαν τό θεῖον τοῦ Πνεύματος πῦρ δράσσεται αὐτῶν καί πλεον καθαίρει, φωτίζον τά ὑπό τῆς ἁμαρτίας ἐσκοτισμένα μέρη αὐτῶν καί τά τραύματα ἐξιώμενον εἰς τελεῖαν φέρει συνούλωσιν, ὡς τῷ θείῳ κάλλει ὑπεραστράπτειν αὐτάς.
- ΛΑ'. Περί θεολογίας καί ὅτι ἀνεξερεύνητος ἡ θεία φύσις καί πάντῃ τοῖς ἀνθρώποις ἀκατανόητος.
- ΛΒ'. Ὅτι οἱ ἔνδοξοι τῆς γῆς καί σοβαροί τῷ πλούτῳ περί τήν σκιάν τῶν ὁρωμένων πλανῶνται, οἱ δέ γε τῶν παρόντων καταφρονήσαντες ἐν ἀπλανεῖ μεθέξει τοῦ Θείου γίνονται Πνεύματος.
- ΛΓ'. Περί θεολογίας· καί ὅτι οἱ τό κατ᾽ εἰκόνα φυλάξαντες τάς πονηράς δυνάμεις τοῦ ἄρχοντος τοῦ σκότους καταπατοῦσιν, οἱ δ᾽ ἄλλοι, οἷς ἐμπαθής ὁ βίος, ὑπ᾽ αὐτοῦ κρατοῦνται καί βασιλεύονται.
- ΛΔ'. Ὅτι ἡ τοῦ Παναγίου Πνεύματος ἕνωσις πρός κεκαθαρμένας ψυχάς ἐν αἰσθήσει τρανῇ, ἤγουν ἐν ἐπιγνώσει γίνεται καί, ἐν αἷς ἄν γένηται, φωτοειδεῖς ὁμοίας ἑαυτόῦ καί φῶς αὐτάς ἀπεργάζεται.
- ΛΕ'. Ὅτι πάντες οἱ ἅγιοι ἐλλαμπόμενοι αὐγάζονται καί τήν δόξαν τοῦ Θεοῦ καθορῶσιν, ὡς θεμιτόν ἀνθρωπίνῃ φύσει Θεόν ὁρᾶν.
- ΛΣΤ'. Εὐχαριστία ὑπέρ τῆς ἐξορίας καί τῶν θλίψεων, ὧν ὑπέστη ἐν τῷ κατ᾽ αὐτόν διωγμῷ.
- ΛΖ'. Δέησις καί προσευχή τοῦ αὐτοῦ πρός Θεόν τῆς ἐκείνου ἕνεκα βοηθείας
- ΛΗ'. Περί θεολογίας· καί ὅτι ὁ νοῦς τῆς ὕλης τῶν παθῶν καθαρθείς ἀΰλως τόν ἄϋλον καί ἀόρατον καθορᾷ.
- ΛΘ'. Ὅτι ὁ πόθος καί ἡ πρός Θεόν ἀγάπη ὑπερβαίνει πᾶσαν ἀγάπην καί πάντα πόθον ἀνθρώπινον· βαφείς δέ ὁ νοῦς τῶν καθαιρομένων ἐν τῷ φωτί τοῦ Θεοῦ ὅλος θεοῦται καί νοῦς ἐκεῖθεν χρηματίζει Χριστοῦ.
- Μ'. Ὁμολογία τῆς χάριτος τῶν τοῦ Θεοῦ δωρεῶν· καί ὅπως ὁ ταῦτα γράφων πατήρ ὑπό τοῦ Ἁγίου ἐνηργεῖτο Πνεύματος· καί διδασκαλία ῥηθεῖσα ὑπό Θεοῦ, τοῦ τί δεῖ ποιοῦντα τινά, τῆς τῶν σῳζομένων σωτηρίας τυχεῖν.

- ΜΑ'. Εὐχαριστία πρός Θεόν ὑπέρ τῶν παρ' αὐτοῦ γεγονότων εὐεργεσιῶν καί αἴτησις τοῦ μαθεῖν, τίνος χάριν οἱ τέλειοι γεγονότες ὑπό τῶν δαιμόνων παραχωροῦνται πειράζεσθαι· καί περί τῶν ἀποτασσομένων τῷ κόσμῳ διδασκαλία καί ὑποτύπωσις ῥηθεῖσα παρά Θεοῦ.
- ΜΒ'. Ὅτι οἱ τῷ Θεῷ ἀπ' ἐντεῦθεν ἤδη διά τῆς τοῦ Ἁγίου Πνεύματος μετουσίας ἑνωθέντες, ἐκδημοῦντες τοῦ βίου εἰς αἰῶνας αὐτῷ ἐκεῖθεν συνέσονται· εἰ δ' οὖν, ἀλλά τό ἀνάπαλιν τοῖς ἄλλως ἔχουσιν ἐνταῦθα τότε γενήσεται.
- ΜΓ'. Ὅτι κρεῖσσον τό καλῶς ποιμαίνεσθαι ἤ τούς μή βουλομένους ποιμαίνειν· οὐδέ γάρ ἔσται κέρδος τῷ ἄλλους μέν σπουδάζοντι σῶσαι, ἑαυτόν δέ διά τῆς ἐκείνων ἀπολέσαντι προστασίας.
- ΜΔ'. Τί ἐστι τό κατ' εἰκόνα, καί πῶς εἰκότως νοεῖται ὡς τοῦ πρωτοτύπου εἰκών ὁ ἄνθρωπος· καί ὅτι ὁ τούς ἐχθρούς ὡς εὐεργέτας φιλῶν μιμητής ἐστι τοῦ Θεοῦ, Πνεύματος δέ Ἁγίου ἐντεῦθεν μέτοχος γεγονώς θέσει θεός καί χάριτι γίνεται, μόνοις ἐκείνοις γνωριζόμενος, τοῖς ὑπό τοῦ Ἁγίου Πνεύματος ἐνεργουμένοις.
- ΜΕ'. Περί θεολογίας ἀκριβεστάτης· καί ὅτι ὁ μή ὁρῶν τό φῶς τῆς τοῦ Θεοῦ δόξης χείρων τυγχάνει τυφλῶν.
- ΜΣΤ'. Ἐξομολόγησις εὐχῇ συνημμένη· καί περί συναφείας Πνεύματος Ἁγίου καί ἀπαθείας.
- ΜΖ'. Περί νοητοῦ παραδείσου τηλαυγῆς θεωρία· καί περί τοῦ ἐν αὐτῷ ξύλου ζωῆς.
- ΜΗ'. Ὅτι δόξα καί τιμή ἐστι παντί ἀνθρώπῳ ὑβριζομένῳ καί πάσχοντι κακῶς διά Θεοῦ ἐντολήν ἡ ὑπέρ αὐτῆς τῆς ἐντολῆς τοῦ Θεοῦ ἀτιμία· καί διάλογος πρός τήν ἰδίαν ψυχήν, διδάσκων τόν ἀκένωτον πλοῦτον τοῦ Πνεύματος.
- ΜΘ'. Ὅτι ἔστιν ὅτε καί διά τῆς εἰς τόν πλησίον ἐπιμελείας καί διορθώσεως συγκατασπᾶσθαι τόν διδάσκαλον εἰς τήν ἐνοῦσαν ἐκείνῳ τοῦ πάθους ἀσθένειαν.
- Ν'. Περί θεωρίας Θεοῦ καί θείων πραγμάτων καί Ἁγίου Πνεύματος παραδόξου ἐνεργείας· καί περί τῶν ἰδίων τῆς Ἁγίας καί ὁμοουσίου Τριάδος· καί ὅτι ὁ μή φθάσας εἰσελθεῖν εἰς τήν βασιλείαν τῶν οὐρανῶν οὐδέν ὠφεληθήσεται, κἄν ἐκτός γένηται τῶν τοῦ ᾅδυο κολάσεων.
- ΝΑ'. Ὅτι τοῦ Πνεύματος λάμποντος ἐν ἡμῖν τοῦ Ἁγίου πάντα τά τῶν παθῶν φυγαδεύονται ὡς ὑπό τοῦ φωτός τό σκότος· συστέλλοντος δέ αὐτοῦ τάς ἀκτῖνας, ὑπό τούτων καί τῶν πονηρῶν βαλλόμεθα λογισμῶν.
- ΝΒ'. Περί θεολογίας· καί ὅτι τῷ μή ἀλλοιωθέντι τῇ τοῦ Ἁγίου Πνεύματος μετουσίᾳ καί γεγονότι θέσει ἐν γνώσει Θεῷ διδάσκειν τά θεῖα τούς ἀνθρώπους οὐκ ἔξεστι.
- ΝΓ'. Κατά διάλεκτον Θεοῦ καί τοῦ πατρός τῶν λόγων ὁ λόγος· καί ὅπως ὑπό τοῦ Ἁγίου Πνεύματος ἐλλαμπόμενος ὁ θεῖος οὗτος πατήρ ὡμίλει Θεῷ καί ὑπ' ἐκείνου ἐμυσταγωγεῖτο τά θεῖά τε καί ἀνθρώπινα.
- ΝΔ'. Ὅτι ἑκάστῳ τῶν ἀνθρώπων δέδωκεν ὁ Θεός προσφυῶς καί πρός τό συμφέρον τό χάρισμα διά Πνεύματος Ἁγίου εἰς τό ἐνεργεῖν, οὐχ ὥσπερ αὐτός θέλει, ἀλλ' ὡς ὑπ' αὐτοῦ προωρίσθη, εἰς τό μή κενόν εἶναι μέσον τῆς ἐκκλησίας αὐτοῦ.
- ΝΕ'. Ὅτι τοῖς τό ἅγιον φυλάξασι βάπτισμα καθαρόν παραμένει τό Πνεῦμα τό Ἅγιον· ἀπό δέ τῶν μολυνάντων αὐτό ἀπανίσταται.

- ΝΣΤ'. Εὐχή πρός Θεόν ἐπί τοῖς γεγονόσιν εἰς αὐτόν, ἱκετήριός τε ὁμοῦ καί εὐχαριστήριος.
- ΝΖ'. Ὅτι ὁ τόν Θεόν ἐξ ὅλης ποθήσας ψυχῆς μισεῖ τόν κόσμον.
- ΝΗ'. Διδασκαλία κοινήν σύν ἐλέγχῳ πρός πάντας· βασιλεῖς, ἀρχιερεῖς, ἱερεῖς, μονάζοντας, λαϊκούς, ὑπό στόματος λαληθεῖσα καί λεγομένη Θεοῦ.
- ΕΠΙΣΤΟΛΕΣ.
- ΕΠΙΣΤΟΛΗ Α'. Περί ἐξομολογήσεως.
- ΕΠΙΣΤΟΛΗ Β'. Πρός Στέφανον Νικομηδείας
- ΕΠΙΣΤΟΛΗ Γ'. Ἑτέρα πρός Στέφανον Νικομηδείας.
- ΕΠΙΣΤΟΛΗ Δ'. Πρός Νικήτα Σταθᾶτον.

# ΤΟΜΟΣ ΠΡΩΤΟΣ

# Λόγος Α΄. Περί ἀγάπης. Καί ποῖαί εἰσι τῶν πνευματικῶν ἀνδρῶν αἱ ὁδοί καί αἱ πράξεις. Καί μακαρισμός πρός τούς ἔχοντας τήν ἀγάπην ἐγκάρδιον.

Ἀδελφοί και πατέρες, θέλω πρός ὑμᾶς λαλεῖν τά συντείνοντα πρός ὠφέλειαν ψυχῆς καί αἰδοῦμαι, μάρτυς μου ὁ Χριστός ἡ ἀλήθεια, τήν ἀγάπην ὑμῶν, γινώσκων μου τό ἀνάξιον. Διά τοῦτο γάρ ἀεί σιωπᾶν ἐβουλόμην, ὡς οἶδεν ὁ Κύριος, καί μηδέ ἀνανεύειν τό σύνολον καί πρόσωπον ἀνθρώπου ὁρᾶν, κατακρίνουσαν ἔχων μου τήν συνείδησιν, ὅτι κατετάγην ὅλως ἐγώ προηγεῖσθαι πάντων ὑμῶν ἀναξίως, ὡς τήν ὁδόν ἐπιστάμενος, ὁ μηδέ τά ἐν ποσίν εἰδώς, μηδέ ἀψάμενος ἀκμήν τῆς φερούσης ὁδοῦ πρός τόν Θεόν. Τοίνυν καί λύπη με διά τοῦτο οὐ μικρά καί ἡ τυχοῦσα κατέχει, ὅτι ὁδηγεῖν ὑμᾶς τούς τιμιωτάτους ὁ ταπεινός προκριθείς, οὕς ἔχειν αὐτός ὁδηγούς μᾶλλον ὤφειλον, ὡς πάντων ἔσχατος ὑπάρχων καί χρόνῳ καί ἡλικίᾳ, τόν ἔμπρακτον οὐκ ἔχω καί ἐμμάρτυρον λόγον ἀπό τοῦ βίου εἰς τό παρακαλεῖν ὑμᾶς καί ὑπομιμνήσκειν τά περί τῶν νόμων καί τοῦ θελήματος τοῦ Θεοῦ, ἐπειδή καί περί ὧν λαλεῖν βούλομαι, οἶδα μηδέν ἐξ αὐτῶν διαπραξάμενός ποτε. Οἶδα δέ ἀκριβῶς ὅτι ὁ Κύριος καί Θεός ἡμῶν οὐχί τόν λέγοντα μακαρίζει μόνον, ἀλλά τόν πρό τοῦ εἰπεῖν καί πράξαντα· «*Μακάριος γάρ, φησίν, ὁ ποιήσας καί διδάξας· οὗτος μέγας κληθήσεται ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν·*» Τοῦ γάρ τοιούτου διδασκάλου καί οἱ μαθηταί ἀκούοντες, μιμεῖσθαι αὐτόν γίνονται πρόθυμοι καί οὐ τοσοῦτον ἐκ τῶν ἐκείνου λόγων δέχονται τήν ὠφέλειαν, ὅσον ἀπό τῶν καλῶν αὐτοῦ πράξεων διεγείρονται καί τά αὐτά ποιεῖν ἀναγκάζονται, ὅπερ αὐτός ἐγώ ἐν ἐμαυτῷ οὐκ ἐπίσταμαι· οὐδέν γάρ ἀγαθόν ἐμαυτῷ σύνοιδα. Ἀλλά δέομαι καί παρακαλῶ πάντας ὑμᾶς, ἀγαπητοί ἀδελφοί μου, μή εἰς τόν διακεχυμένον μου βίον ὁρᾶν, ἀλλ’ εἰς τά τοῦ Κυρίου προστάγματα καί εἰς τάς τῶν πατέρων ἡμῶν τῶν ἁγίων διδασκαλίας. Οὐδέν γάρ οἱ φωστῆρες ἔγραψαν ἐκεῖνοι, ὅπερ πρότερον οὐκ ἐποίησαν καί ποιήσαντες οὐ κατώρθωσαν.

Τοιγαροῦν καί γενέσθω κοινή μία ἡμῖν ἡ ὁδός, αἱ ἐντολαί τοῦ Χριστοῦ, πρός οὐρανόν ἡμᾶς καί Θεόν ἐπανάγουσαι. Εἰ γάρ καί διαφόρους ὁ λόγος ὁδούς ὑπογράφει, ἀλλ’ οὐ πάντως κατά τήν φύσιν ἐκείνου, κατά δέ τήν ἑκάστου δύναμίν τε καί πρόθεσιν εἰς πολλάς σχίζεσθαι λέγεται. Ἐκ πολλῶν γάρ ἀρχόμενοι καί διαφόρων ἔργων καί πράξεων, ὥσπερ ἐκ τόπων τινῶν καί πολλῶν ἀπαίροντες ἕκαστος πόλεων, εἰς ἕν καταντῆσαι σπουδάζομεν καταγώγιον, τήν βασιλείαν τῶν οὐρανῶν. Πράξεις δέ καί ὁδούς τῶν κατά Θεόν ἀνδρῶν τάς πνευματικάς χρή νοεῖν ἀρετάς, ἐν αἷς οἱ βαδίζειν ἀρξάμενοι πρός ἕνα τρέχειν σκοπόν ὀφείλουσιν, ὅπως ἐκ διαφόρων χωρίων καί τόπων εἰς μίαν συνέλθωσι πόλιν, ὡς εἴρηται, τήν βασιλείαν τῶν οὐρανῶν καί συμβασιλεύειν Χριστῷ ἅμα καταξιωθήσωνται, ὑφ’ ἑνί βασιλεῖ τῷ Θεῷ καί Πατρί γενόμενοι. Πόλιν οὖν ἐνταῦθα μίαν μοι νοήσεις καί οὐ πολλάς, τήν ἁγίαν καί ἀχώριστον τριάδα τῶν ἀρετῶν, μᾶλλον δέ τήν πρώτην τῶν λοιπῶν, ἥν καί λέγουσιν ἐσχάτην, ὡς τέλος τῶν καλῶν οὖσαν καί μείζω πασῶν τυγχάνουσαν, τήν ἀγάπην φημί, ἐξ ἧς καί ἐν ᾗ πίστις πᾶσα τεθεμελίωται καί ἐλπίς

ᾠκοδόμηται, καί δίχα ταύτης συνέστη τῶν ὄντων οὐδέν, οὔτε μήν καθόλου συστήσεται. Πολλά δέ ταύτης ὀνόματα, πολλαί αἱ πράξεις αὐτῆς, πλείονα τά γνωρίσματα, τά ἰδιώματα θεῖα καί πλεῖστα, ἡ φύσις δέ μία καί ἐπίσης πάντῃ πᾶσιν ἀπόρρητος, τοῖς τε ἀγγέλοις καί τοῖς ἀνθρώποις καί πάσῃ κτίσει ἑτέρᾳ, τῇ ἴσως ἀγνοουμένῃ ἡμῖν. Ἀκατάληπτος τόν λόγον, τῇ δόξῃ ἀπρόσιτος, ἀνεξιχνίαστος τοῖς βουλεύμασιν, αἰώνιος ὅτι καί ἄχρονος, ἀθεώρητος ὅτι νοεῖται μέν, οὐ καταλαμβάνεται δέ. Πολλά τά κάλλη ταύτης τῆς ἀχειροποιήτου καί καί ἁγίας Σιών, ἅ ὁ βλέπειν ἀρξάμενος οὐκέτι αἰσθηταῖς ἐπευφραίνεται θεωρίαις, οὐκέτι τοῦ κόσμου τούτου τῇ δόξῃ πρόσκειται.

Δότε οὖν μοι ἐκ προοιμίων προσομιλῆσαι αὐτῇ μικρόν καί προσφθέγξασθαι καί τόν πόθον ὡς ἔχω ταύτῃ ἀφοσιώσασθαι. Ἐπειδή, ἀγαπητοί μου πατέρες καί ἀδελφοί, ἐμνήσθην τοῦ κάλλους τῆς ἀμωμήτου ἀγάπης, καί αἴφνης τό φῶς αὐτῆς εὑρέθη ἐν τῇ καρδίᾳ μου καί τῇ γλυκύτητι αὐτῆς συνηρπάγην καί τάς ἔξωθεν αἰσθήσεις ἀπώλεσα, ἔκνους ὅλως τῷ βίῳ γενόμενος, καί τῶν ἐν χερσίν ἐπιλέλησμαι. Μακράν δέ, οὐκ οἶδ' ὅπως εἰπεῖν, πάλιν ἀπέστη ἀπ' ἐμοῦ καί τήν ἰδίαν με ἀφῆκε θρηνεῖν ἀσθένειαν. Ὦ ἀγάπη παμπόθητε, μακάριος ὁ σέ ἀσπασάμενος, ὅτι οὐκέτι κάλλος γηγενοῦς ἐμπαθῶς ἐπιθυμήσει ἀσπάσασθαι. Μακάριος ὁ σοί περιπλακείς ἐξ ἔρωτος θείου· ἅπαντα γάρ τόν κόσμον ἀρνήσεται καί παντί πλησιάζων ἀνθρώπῳ οὐδαμῶς μολυνθήσεται. Μακάριος ὁ τά σά κάλλη καταφιλήσας καί κατατρυφήσας αὐτῶν ἐξ ἀπείρου πόθου, ὅτι ψυχικῶς ἁγιασθήσεται ἐκ τοῦ ἀχράντως ἀποστάζοντος ὕδατος καί αἵματος ἀπό σοῦ. Μακάριος ὁ ποθεινῶς σε κατασπασάμενος, ὅτι ἀλλοιωθήσεται τήν καλήν ἀλλοίωσιν πνευματικῶς καί ψυχικῶς εὐφρανθήσεται, ὅτι σύ ὑπάρχεις ἡ χαρά ἡ ἀνεκλάλητος. Μακάριος ὁ σέ κτησάμενος, ὅτι τούς θησαυρούς τοῦ κόσμου εἰς οὐδέν λογισθήσεται, καί γάρ εἶ ὁ πλοῦτος ἀληθῶς ὁ ἀκένωτος. Μακάριος δέ καί τρισμακάριος καί ὅν σύ προσελάβου· ἔσται γάρ ἐν ἀδοξίᾳ τῇ ὁρωμένῃ πάντων ἐνδόξων ἐνδοξότερος καί τιμίων πάντων τιμιώτερος καί σεμνότερος. Ἐπαινετός ὁ καταδιώκων σε, ἐπαινετώτερος ὁ εὑρών σε, μακαριώτερος ὁ ἀγαπηθείς ὑπό σοῦ, ὁ εἰσδεχθείς παρά σοῦ, ὁ διδαχθείς ἀπό σοῦ, ὁ κατοικήσας ἐν σοί, ὁ τραφείς διά σοῦ τροφήν Χριστόν τόν ἀθάνατον, Χριστόν τόν Θεόν ἡμῶν.

Ὦ ἀγάπη θεία, ποῦ Χριστόν περιέχεις; Ποῦ αὐτόν κατακρύπτεις; Τί τόν τοῦ κόσμου Σωτῆρα λαβοῦσα, μακράν γέγονας ἀφ' ἡμῶν; Ἄνοιξον καί ἡμῖν τοῖς ἀναξίοις μικράν σου θύραν, ἵνα καί ἡμεῖς ἴδωμεν τόν δι' ἡμᾶς παθόντα Χριστόν καί πιστεύσωμεν τῷ ἐλέει αὐτοῦ ὡς οὐκέτι ἀποθανοῦμεν ἀφ' οὗ αὐτόν θεασόμεθα. Ἄνοιξον ἡμῖν ἡ θύρα αὐτῷ γενομένη εἰς τήν διά σαρκός αὐτοῦ ἐπιφάνειαν, ἡ βιασαμένη τά ἄφθονα καί ἀβίαστα σπλάχνα τοῦ ἡμετέρου Δεσπότου εἰς τό βαστάσαι τάς ἁμαρτίας καί τάς νόσους ἁπάντων, καί μή ἀπορρίψῃς ἡμᾶς λέγουσα· «*Οὐκ οἶδα ὑμᾶς*». Γενοῦ μεθ' ἡμῶν, ἵνα γνωρίσῃς ἡμᾶς· ἀγνώριστοι γάρ σοι τυγχάνομεν. Ἐνοίκησον ἐν ἡμῖν, ἵνα διά σέ καί ἡμᾶς τούς ταπεινούς ὁ Δεσπότης ἐλθών ἐπισκέψηται προϋπαντώμενος παρά σοῦ - ἡμεῖς γάρ εἰς ἅπαν ἀνάξιοι -, ὡς ἄν προσμείνῃ μικρόν ὁμιλῶν σοι καί δέξηται καί ἡμᾶς τούς ἁμαρτωλούς προσπεσεῖν τοῖς ἀχράντοις αὐτοῦ ποσί, καί συλλαλήσῃς περί ἡμῶν ἀγαθά

καί πρεσβεύσῃς ἀφεθῆναι τό χρέος ἡμῖν τῶν κακῶν, ὅπως αὐτῷ τῷ Δεσπότῃ δουλεύειν διά σοῦ πάλιν ἐξιωθῶμεν καί ὑπ' αὐτοῦ προνοώμεθα καί τρεφώμεθα· τό γάρ χρεωστεῖν μέν μηδέν, λιμῷ δέ πτωχείας ἀπόλλυσθαι, παρά μικρόν τῆς ἴσης ἐστί τιμωρίας καί κολάσεως πρόξενον.

Συγχωρηθείημεν παρά σοῦ, ἁγία ἀγάπη, καί διά σοῦ τῶν ἀγαθῶν τοῦ ἡμετέρου Δεσπότου ἐν ἀπολαύσει γενοίμεθα, ὧν οὐδείς, εἰ μή διά σοῦ, γεύσεται τῆς γλυκύτητος. Ὁ γάρ σε ὡς δεῖ μή φιλήσας καί παρά σοῦ μή ἀγαπηθείς ὥσπερ χρή, τρέχει μέν ἴσως, οὐ κατέλαβε δέ ὅμως· πᾶς δέ ὁ τρέχων πρό τοῦ τόν δρόμον τελέσαι ἀμφίβολος. Ὁ δέ καταλαβών σε ἤ καταληφθείς ὑπό σοῦ, πάντως βέβαιος, ἐπειδή τέλος νόμου σύ εἶ, ἡ ἐμέ περικυκλοῦσα, ἡ ἐμέ φλέγουσα καί ἐκ πόνου καρδίας εἰς πόθον ἄπειρόν με Θεοῦ καί τῶν ἐμῶν ἀδελφῶν καί πατέρων ἀνάπτουσα. Σύ γάρ τῶν προφητῶν ἡ διδάσκαλος, τῶν ἀποστόλων ἡ σύνδρομος, τῶν μαρτύρων ἡ δύναμις, τῶν πατέρων καί διδασκάλων ἡ ἔμπνευσις, ἡ πάντων τῶν ἁγίων τελείωσις καί ἡ ἐμή νῦν πρός τήν παροῦσαν διακονίαν προχείρισις.

Ἀλλά σύγγνωτέ μοι, ἀδελφοί, τῆς κατηχήσεως τοῦ λόγου παρακινηθέντι μικρόν, τοῦ πόθου τῆς ἀγάπης τοῦτο ποιήσαντος. Ἐμνήσθην γάρ αὐτῆς καί «*ἐφράνθη μου ἡ καρδία*» κατά τόν θεῖον Δαυίδ καί εἰς ὕμνον ἐτράπην τῶν θαυμασίων αὐτῆς. Τοιγαροῦν ἀξιῶ καί τήν ὑμετέραν ἀγάπην ὀπίσω καταδιῶξαι αὐτῆς, ὅση δύναμις, καί καταλαβεῖν αὐτήν μετά πίστεως τρέχοντας, καί τῶν ἐλπίδων ὑμῶν οὐδαμῶς διαμάρτητε. Πᾶσα γάρ σπουδή καί πᾶσα ἄσκησις μετά καμάτων πολλῶν ἡ μή καταντῶσα εἰς τήν ἀγάπην ἐν συντετριμμένῳ τῷ πνεύματι, ματαία ἐστί καί εἰς οὐδέν καταλήγουσα χρήσιμον. Οὐδέ γάρ ἐν ἄλλῃ τινί ἀρετῇ ἤ καί πληρώσει κυριακῆς ἐντολῆς δύναταί τις γνωρίζεσθαι Χριστοῦ μαθητής· «*Ἐν τούτῳ γάρ, φησί, γνώσονται πάντες ὅτι ἐμοί μαθηταί ἐστε, ἐάν ἀγαπᾶτε ἀλλήλους*». Ταύτης ἕνεκα ὁ Λόγος σάρξ ἐγένετο καί ἐσκήνωσεν ἐν ἡμῖν, δι' ἥν ἐνανθρωπήσας, πάντα ὑπέμεινεν ἑκουσίως τά ζωοποιά πάθη, ἵνα τό οἰκεῖον πλάσμα, τόν ἄνθρωπον, τῶν δεσμῶν ἐλευθερώσῃ τοῦ ᾅδου καί ἀναλαβών εἰς οὐρανούς ἀναγάγῃ. Ταύτης ἕνεκα τόν ἀκατάπαυστον ἐκεῖνον ἔδραμον οἱ ἀπόστολοι δρόμον καί τήν ἅπασαν οἰκουμένην τῷ ἀγκίστρῳ καί τῇ σαγήνῃ τοῦ λόγου σαγηνεύσαντες, ἀπό τοῦ βυθοῦ τῆς εἰδωλομανίας ἀνέσπασαν καί πρός τόν λιμένα τῆς βασιλείας τῶν οὐρανῶν ἀνεσώσαντο. Ταύτης ἕνεκα οἱ μάρτυρες τά αἵματα ἑαυτῶν ἐκένωσαν, ἵνα μή Χριστόν ἀπολέσωσι. Διά ταύτην οἱ θεοφόροι πατέρες ἡμῶν καί τῆς οἰκουμένης διδάσκαλοι τάς ἑαυτῶν ψυχάς ὑπέρ τῆς καθολικῆς καί ἀποστολικῆς Ἐκκλησίας προθύμως ἔθηκαν· καί ἡμεῖς οἱ εὐτελεῖς ὑπεισήλθομεν τήν προστασίαν ὑμῶν τῶν τιμιωτάτων πατέρων καί ἀδελφῶν ἡμῶν, ὡς ἄν πάντα, κατά τόν ἐνόν ἐκείνους ἐκμιμούμενοι, δι' ὑμᾶς πάθωμέν τε καί ὑπομείνωμεν καί πρός οἰκοδομήν ὑμῶν καί ὠφέλειαν ἐκτελέσωμεν, ἵνα παραστήσωμεν ὑμᾶς θύματα τέλεια, ὁλοκαυτώματα λογικά, τῇ τραπέζῃ Θεοῦ. Ὑμεῖς γάρ ἐστε τά τέκνα τοῦ Θεοῦ, ἅ μοι δέδωκεν ὁ Θεός ὡς παιδία, τά ἐμά σπλάγχνα, οἱ ἐμοί ὀφθαλμοί. Ὑμεῖς ἐστε τό ἐμόν, ἀποστολικῶς εἰπεῖν, καύχημα καί ἡ σφραγίς τῆς ἐμῆς διδασκαλίας.

Σπουδάσωμεν οὖν, ἀγαπητοί μου ἐν Χριστῷ ἀδελφοί, ὥσπερ διά πάντων, οὕτω καί διά τῆς εἰς ἀλλήλους ἀγάπης θεραπεύειν τόν Θεόν καί ὅν ἡρετίσασθε εἰς τύπον ἔχειν πατρός πνευματικοῦ, εἰ καί τῆς ἀξίας πολύ ἀπολείπομαι, ὡς ἄν χαίρῃ μέν Θεός ἐπί τῇ ὁμονοίᾳ καί τελειώσει ὑμῶν, χαίρω δέ κἀγώ ὁ ταπεινός, ἐπεκτεινομένην ὁρῶν ἀεί τήν προκοπήν τοῦ κατά Θεόν ὑμῶν βίου ἐπί τό κρεῖττον ἐν πίστει, ἐν ἁγνεία, ἐν φόβῳ Θεοῦ, ἐν εὐλαβείᾳ, ἐν κατανύξει καί δάκρυσι, δι' ὧν ὁ ἔσω καθαίρεται ἄνθρωπος καί πληροῦται φωτός θείου καί ὅλος Πνεύματος Ἁγίου γίνεται ἐν συντρετριμμένῳ ψυχῆς καί καταβεβλημένῳ φρονήματι, καί ἡ χαρά ἡ ἐμή γίνεται εἰς εὐλογίαν ὑμῶν καί προσθήκην ἀνωλέθρου καί μακαρίας ζωῆς ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα εἰς τούς αἰῶνας. Ἀμήν.

# Λόγος΄.Β΄. Περί τοῦ φεύγειν τούς λοιμούς καί φθοροποιούς τῶν ἀνθρώπων καί τούς λόγους αὐτῶν ἀποπέμπεσθαι καί πρός τήν ἐργασίαν τῆς ἀρετῆς ἀναστῆναι. Ἔτι δέ καί περί τοῦ δεῖν σκοπεῖν εἰ τά τῶν μακαρισμῶν τοῦ Χριστοῦ ἐν ἑαυτοῖς ἔχομεν. Καί περί δακρύων καί κατανύξεως.

Ἀδελφοί καί πατέρες, πᾶς ὅστις εὑρεῖν βούλεται τόν Θεόν, ἀπαρνησάσθω ἑαυτόν καί τῆς ἰδίας μή φεισάσθω ψυχῆς, ἀλλ' ἔχθραν θήτω ἀναμέσον αὐτοῦ καί ἀναμέσον πάντων τῶν κατά σάρκα περιπατούντων. Μή ἐπιστραφήτω τινός τούτων τοῖς δῆθεν παρακλητικοῖς λόγοις καί μή καθίσῃ μετ' αὐτῶν ἐν καθέδρᾳ, μηδέ ὁμιλείτω ὁμιλίας κακάς, δι' ὧν ἡ ψυχή φαρμακεύεται καί ἀναγκάζεται τοῖς προτέροις ἐνδιατρίβειν πονηροῖς λογισμοῖς τε καί ἐνθυμήμασιν. Ἄνθρωπε, φοβήθητι τό μετά ἀγκίστρου δέλεαρ καί ἄκουσόν μου καί μακράν γενοῦ ἐξ αὐτῶν. Μή πάλιν καταγάγῃς σεαυτοῦ τήν ψυχήν ἐν τῷ ᾅδῃ. Στῆσον τόν λογισμόν σου καί μή πλανᾶσθαι αὐτόν συγχωρῇς εἰς τό ἀκούειν τά μάταια. Μή ἐπιστραφῇς εἰς τά ὀπίσω, μή ὀκνήσῃ ἤ βαρυνθῇς ῥᾳθυμίᾳ, μή δώσῃς ὕπνον σοῖς ὀφθαλμοῖς μηδέ γλυκάνῃς σόν φάρυγγα ἡδονῇ τινος βρώματος, μέχρις ἄν ἴδοις τό δι' οὐ καί δι' ὅ ἐκλήθης καί πρός ὅ ἐπείγῃ φθάσαι κατά σκοπόν. Μή παραδέξῃ τόν ὑποβάλλοντά σοι λογισμόν· «*Τί δεῖ σοι τοῦ πολλοῦ, φησί, κόπου καί τῆς ἀκαίρου ταλαιπωρίας; Χρόνον ἤδη πεπλήρωκας καί δύο καί τρεῖς, καί οὐδέν ἔγνως ὄφελος*». Μή, ἀδελφέ μου, μή ἐμπαγῇς τῇ παγίδι ταύτῃ, μηδέ προδῷς τήν σεαυτοῦ σωτηρίαν, ἀλλά χρῆσαι μᾶλλον εὐτονωτέρᾳ σπουδῇ καί ἀνδρείᾳ εἰς τήν ἐργασίαν τῶν ἀρετῶν, μή ἀπιστῶν τοῖς λόγοις καί διδασκαλίαις τῶν κατά Θεόν σου πατέρων. Θές οὖν ἐν τῇ ψυχῇ σου ἀποθανεῖν πρῶτον ἤ ἀποστῆναι τοῦ ζωηφόρου τούτου ζητήματος· εἰ γάρ ἀδιστάκτως τοῦτο πεποίηκας ἐξ ἀρχῆς, οὐκ ἄν σε ὁ ἀγαθός ὑπερεῖδε Θεός, ἀλλ' ἔδωκεν ἄν σοι τοῦ ποθουμένου σαφῶς τήν ἀπόλαυσιν.

Τοιγαροῦν εἰ θέλεις ἐπιτυχεῖν ὧν ἐφίεσαι καί ποθεῖς, τῶν ἀγαθῶν λέγω τοῦ Θεοῦ, καί ἐξ ἀνθρώπων γενέσθαι ἄγγελος ἐπίγειος, ἀγάπησον, ἀδελφέ, θλῖψιν σώματος, ἄσπασαι κακοπάθειαν, τούς δέ πειρασμούς οὕτω φίλησον ὡς μέλλοντάς σοι γενέσθαι προξένους παντός ἀγαθοῦ. Τί ὡραιότερον, εἰπέ μοι, θλιβομένης ψυχῆς μετά γνώσεως ὅτι ὑπομένουσα τήν πάντων μέλλει κληρονομῆσαι χαράν; Τί ἀνδρειότερον συντετριμμένης καί τεταπεινωμένης καρδίας, ἥ τάς φάλαγγας τῶν δαιμόνων ἀπονητί τρέπουσα εἰς τέλος ἀποδιώκει; Τί ἐνδοξότερον πτωχείας πνευματικῆς τῆς προξένου τῆς βασιλείας τῶν οὐρανῶν, ἧς τί ἄν καί ἔσται ἀντάξιον ἤ νῦν ἤ ἐν τῷ αἰῶνι τῷ μέλλοντι; Τό δέ καί ἑαυτοῦ μή μεριμνᾶν ἕνεκέν τινος τῶν γηΐνων, ἀλλ' ὅλην ἔχειν τήν διάνοιαν πρός Χριστόν, πόσων τοῦτο οἴει εἶναι πρόξενον ἀγαθῶν αἰωνίων, ὅσης τῆς ἀγγελικῆς καταστάσεως; Τό δέ καί πάντων ὁμοῦ τῶν προσκαίρων καταφρονεῖν καί αὐτῶν εἰπεῖν τῶν τοῦ σώματος ἀναγκαίων χρειῶν, ὡς μή φιλονεικεῖν ὑπέρ τούτων μετά τινος διά τό τήν εἰρήνην καί τήν

ἀγάπην ἐν ἀταράχῳ ψυχῆς καταστήματι ἀμείωτον συντηρεῖν, ποίων τῶν ἀμοιβῶν, τίνων δέ τῶν στεφάνων καί τῶν βραβείων οὐκ ἔστιν ἐπάξιον; Ὄντως ὑπέρ φύσιν ἡ ἐντολή καί ὑπέρ λόγον αἱ ἀμοιβαί, Χριστός τά πάντα ἀντί πάντων τούτοις γενήσεται. Χριστόν δέ ἀκούων μή τῇ τοῦ λόγου ἁπλότητι καί τῇ βραχύτητι τῆς λέξεως πρόσεχε, ἀλλά τήν τῆς Θεότητος ἐννόει μοι δόξαν, τήν ὑπέρ νοῦν καί διάνοιαν, τό ταύτης κράτος τό ἄφραστον, τό ἀμέτρητον ἔλεος, τόν ἀκατάληπτον πλοῦτον, ἅ δαψιλῶς τε καί φιλοτίμως αὐτοῖς δίδωσι, καί ταῦτα τούτοις ἀντί πάντων ἀρκεῖ, ὡς δεξαμένοις αὐτόν ἐκεῖνον ἐν ἑαυτοῖς, τόν αἴτιον καί βραβευτήν παντός ἀγαθοῦ· οὐδέ γάρ ἐπεθύμησέ τινος ἑτέρου ὁ αὐτόν ἰδεῖν καί θεάσασθαι καταξιωθείς, οὐδ’ ὁ τῆς ἀγάπης ἔμπλεως γεγονώς τοῦ Θεοῦ ἄλλον τινά ἐπί γῆς ἀγαπῆσαι πλέον ἠνέσχετο.

Τοιγαροῦν σπουδάσωμεν, ἀγαπητοί μου ἀδελφοί, τόν Χριστόν εὑρεῖν καί ἰδεῖν αὐτόν, ὁποῖός ἐστι τό κάλλος καί τήν τερπνότητα, ἐπειδή καί πολλούς ὁρῶμεν τῶν ἀνθρώπων δι’ ἐπιθυμίαν προσκαίρων τινῶν κόπους καί πόνους πολλούς ὑπομένοντας καί μακράς ἀποδημίας ποιουμένους, οὐ μόνον δέ ἀλλά καί γυναικός καί τέκνων καί πάσης ἄλλης δόξης καί τρυφῆς καταφρονοῦντας καί μηδέν ἕτερον τοῦ ἰδίου προτιμωμένους θελήματος, ὥστε μή ἀποτυχεῖν τοῦ ἰδίου σκοποῦ. Καί εἰ διά πρόσκαιρα καί φθαρτά τόν ὅλον ἀγῶνα καί αὐτήν τίθενται τήν ψυχήν τῶν ἀνθρώπων τινές, ἡμεῖς ὑπέρ τοῦ Βασιλέως τῶν βασιλευόντων καί Κυρίου τῶν κυριευόντων καί κτίστου καί ἐξουσιαστοῦ τῶν ἁπάντων τάς ψυχάς ἡμῶν καί τά σώματα εἰς θάνατον οὐ προδώσωμεν; Καί ποῦ ἀπελευσώμεθα ἤ ποῦ φύγωμεν, ἀδελφοί, ἀπό προσώπου αὐτοῦ; Ἐάν γάρ εἰς τόν οὐρανόν ἀναβῶμεν, ἐκεῖ αὐτόν ὄντα εὑρήσομεν· ἐάν εἰς τόν ᾅδην κατέλθωμεν, κἀκεῖ πάρεστιν· ἐάν εἰς τά ἔσχατα τῆς θαλάσσης, οὐ φευξόμεθα τήν χεῖρα αὐτοῦ, ἀλλ’ ἡ δεξιά αὐτοῦ κατάσχῃ τάς ἡμετέρας ψυχάς καί τά σώματα. Μή δυνάμενοι οὖν ἀνθίστασθαι ἀδελφοί, ἤ φυγεῖν ἀπό προσώπου Κυρίου, δεῦτε καί δῶμεν ἑαυτούς δούλους τῷ δι’ ἡμᾶς δούλου μορφήν ἐνδυσαμένῳ Κυρίῳ Θεῷ καί ἀποθανόντι ὑπέρ ἡμῶν, δεῦτε καί ταπεινωθῶμεν ὑπό τήν κραταιάν χεῖρα αὐτοῦ, τήν βλύζουσαν πᾶσι ζωήν τήν αἰώνιον καί τοῖς ζητοῦσι μεταδιδοῦσαν αὐτήν πλουσίως διά τοῦ Πνεύματος.

Ὦ ἀδελφοί μου ἀγαπητοί, πόσης ὀδύνης καί λύπης ἡ ψυχή μου πεπλήρωται, ὅταν ἐγώ μέν ἐξειπεῖν βουληθῶ τῆς χειρός τοῦ Θεοῦ τά θαυμάσια καί τό ἄφραστον κάλλος αὐτῆς, ὡς ἄν εἰδῆτε καί μάθητε τήν μεγαλωσύνην αὐτῆς καί λαβεῖν αὐτόν ἐν ἑαυτοῖς ἐκζητήσητε, οὐχ ὁρῶ δέ τινας ἐξ ὑμῶν μετά πόθου καί θέρμης τοῖς λεγομένοις προσέχοντας ἤ ἐφιεμένους τοιαύτης δόξης ἐπαπολαῦσαι. Διά τοῦτο καί μένω παντάπασιν ἄφωνος, εἰπεῖν ἤ ἐξηγήσασθαί τινι τήν τοῦ Χριστοῦ καί Θεοῦ ἡμῶν δόξαν, ἥν τοῖς ἐξ ὅλης ζητοῦσι ψυχῆς χαρίζεται, μηδόλως δυνάμενος. Ἀλλ’ ὤ τῆς ἐμῆς ἐκπλήξεως καί τῆς μεγαλωσύνης τῶν τοῦ Θεοῦ δωρεῶν, ὅτι τά σοφά τοῦ κόσμου καί τά ἰσχυρά καί τά πλούσια λιπών, τά ἀσθενῆ τούτου καί τά μωρά καί πτωχά ἐξελέξατο διά πολλήν καί ἄφατον ἀγαθότητα. Καί τίς ἱκανός ὑπέρ μόνου τούτου ἀξίως εὐχαριστῆσαι; Ἄνθρωποι μέν γάρ ἅπαντες σχεδόν τούς ἀσθενεῖς καί πτωχούς ὥσπερ ἀποβδελύσσονται καί βασιλεύς ἐπίγειος τούτους ὁρᾶν οὐκ ἀνέχεται, οἱ ἄρχοντες ἀποστρέφονται, ὑπερορῶσιν

οἱ πλούσιοι καί ὡς οὐδέν ὄντας αὐτούς καθυπαντῶντες παρέρχονται, καί τό συναναστρέφεσθαι τούτοις οὐδείς ἡγεῖται μακάριον· ὁ δέ Θεός, ὁ ὑπό μυρίων καί ἀναριθμήτων δυνάμεων λειτουργούμενος, ὁ πάντα φέρων τῷ ῥήματι τῆς δυνάμεως αὐτοῦ, ὁ ἔχων ἄστεκτον τοῖς πᾶσι τήν μεγαλοπρέπειαν αὐτοῦ, οὐ παρῃτήσατο γενέσθαι καί πατήρ καί φίλος καί ἀδελφός τῶν ἀπερριμμένων τούτων, ἀλλά καί σαρκωθῆναι ἠθέλησεν, ἵνα ὅμοιος ἡμῖν κατά πάντα χωρίς ἁμαρτίας χρηματίσῃ καί κοινωνούς ἡμᾶς τῆς δόξης αὐτοῦ καί τῆς βασιλείας ποιήσηται. Βαβαί τοῦ πλούτου τῆς πολλῆς αὐτοῦ ἀγαθότητος! Βαβαί τῆς ἀφάτου συγκαταβάσεως τοῦ Δεσπότου ἡμῶν καί Θεοῦ!

Τί οὐ προστρέχομεν, ἀδελφοί, τῷ οὕτως ἡμᾶς ἀγαπήσαντι εὐσπλάχνῳ Θεῷ; Τί τάς ψυχάς ἡμῶν εἰς θάνατον οὐ προδίδομεν ὑπέρ τοῦ δι' ἡμᾶς ἀποθανόντος Χριστοῦ καί Θεοῦ; Τί δειλοί ἐσμεν καί τήν ἐκ τοῦ σώματος δειλαινόμεθα ἔξοδον; Μή γάρ ᾅδης μέλλει λαμβάνειν ἤ κατέχειν τάς ψυχάς τῶν εἰς Χριστόν ἠλπικότων; Μή γάρ θάνατος ἐξουσιάζει τῶν ἐσφραγισμένων ψυχῶν τῇ χάριτι τοῦ Παναγίου Πνεύματος καί τῷ αἵματι τοῦ Χριστοῦ; Μή ἀντιβλέψαι τολμᾷ ὁ νοητός λύκος τῇ τοῦ ἀρχιποίμενος Χριστοῦ σφραγῖδι, ᾗ σφραγίζει τά ἴδια πρόβατα; Οὐμενοῦν, ἀδελφοί πιστοί καί θεόφρονες. Ὅσοι τοίνυν ἀσφράγιστοι, δράμετε· ὅσοι ἀσημείωτοι, σπεύσατε τῷ σημείῳ σημειωθῆναι τοῦ Πνεύματος. Τίς δέ ἐστιν ὁ ἀσφράγιστος; Ὁ δειλαινόμενος θάνατον. Τίς ὁ ἀσημείωτος; Ὁ μή ἀκριβῶς τό εἶδος τῆς σφραγῖδος γινώσκων· ὁ γάρ τό θεῖον καταμαθών ἐκτύπωμα, θαρρήσας τῇ πίστει ἐλπίδα ἀκαταίσχυντον κέκτηται. Ζητήσωμεν τοιγαροῦν τόν Χριστόν, ὅν διά τοῦ θείου βαπτίσματος ἐνδυθέντες, διά τῶν πονηρῶν ἐξεδύθημεν πράξεων, ἐπειδή ἀναισθήτως ἁγιασθέντες ἔτι νήπιοι ὄντες καί ταῖς φρεσί καί τῇ ἡλικίᾳ, ἑαυτούς ἐμολύναμεν ἐν νεότητι, ἵνα μή λέγω ὅτι καθ' ἑκάστην τῇ τῶν ἐντολῶν παραβάσει μολύνομεν τάς ψυχάς ἡμῶν καί τά σώματα. Διά τοῦτο οὖν πάλιν ἑαυτούς διά τῆς σωτηρίου μετανοίας ἀνακαλεσώμεθα, πάντα ποιοῦντες καί πράττοντες ὅσα Χριστῷ ὑπάρχει εὐάρεστα, ἵνα καί παρ' αὐτοῦ σφραγισθέντες τοῦ λοιποῦ ἄφοβοι βιωσώμεθα· οὐ μόνον δέ ἀλλά καί ἐκ χειρός αὐτοῦ λάβωμεν ἔλεος καί ἄξιοι γενέσθαι ἀξιωθῶμεν τῆς γνώσεως τῶν μυστηρίων Χριστοῦ, γνώσεως δέ λέγω οὐ τῆς ἐν λόγῳ μόνῳ καί ἀκοῇ παραδιδομένης, ἀλλά τῆς ἔργῳ καί πράξει θεωρουμένης. Πῶς οὖν ἔργῳ καί πράξει ἡ γνῶσις ἐν ἡμῖν θεωρεῖται τῶν μυστηρίων Χριστοῦ; Πρόσεχε.

Ὁ Χριστός ἡμῶν καί Θεός οὕτω διαρρήδην βοᾷ καθ' ἑκάστην διά τοῦ εὐαγγελίου αὐτοῦ· «*Μακάριοι οἱ πτωχοί τῷ πνεύματι, ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν*». Τοῦτο τοίνυν ἡμεῖς ἀκούοντες σκοπεῖν ὀφείλομεν καί ἑαυτούς ἀκριβῶς ἐξετάζειν, εἰ τοιοῦτοι ἀληθῶς πτωχοί ἐσμέν, ὥστε καί ἡμετέραν εἶναι τήν βασιλείαν τῶν οὐρανῶν τοσοῦτον, ὡς βεβαίαν ἐν αἰσθήσει ψυχῆς τήν κτῆσιν ἔχειν αὐτῆς, καί ἐπί τοσοῦτον κατέχειν αὐτῆς τόν πλοῦτον, ὡς ἐντός αὐτῆς ἀδιστάκτως ὑπάρχειν αἰσθάνεσθαι καί τοῖς ἐκεῖσε καλοῖς ἐντρυφῶντας εὐφραίνεσθαι. Ἐντός γάρ ἡμῶν εἶναι ταύτην ὁ αὐτός ἀπεφήνατο Κύριος· σημεῖα δέ καί ἀποδείξεις τοῦ ταύτης ἐντός εἶναί τινα, τό μηδέν ἐπιθυμεῖν τόν τοιοῦτον τῶν ὁρωμένων καί φθειρομένων, λέγω δή τῶν πραγμάτων καί τῶν τερπνῶν τοῦ κόσμου τούτου, μή πλούτου, μή δόξης, μή τρυφῆς, μή ἄλλης βιωτικῆς

ἤ σωματικῆς ἀπολαύσεως, ἀλλ' οὕτως ἀπέχεσθαι ἐκ τούτων ἁπάντων καί οὕτω πρός ταῦτα ἀηδῶς διακεῖσθαι κατά ψυχήν καί προαίρεσιν, ὅσον οἱ ἐν ἐξουσίᾳ καί βασιλικῇ τιμῇ διαπρέποντες πρός τούς ἐπί σκηνῆς πορνικῆς διατρίβοντας διάκεινται καί ὅσον οἱ καθαρά περιβεβλημένοι ἱμάτια καί μύροις εὐώδεσι ἐπιχριόμενοι τήν δυσωδίαν καί τόν βόρβορον ἀποστρέφονται. Ὁ γάρ πρός ἕν τι τούτων τῶν ὁρωμένων ἐπιστρεφόμενος, τήν βασιλείαν ἐκείνην τῶν οὐρανῶν οὔτε εἶδεν οὔτε ὠσφράνθη οὔτε ἐγεύσατο αὐτῆς τῆς θυμηδίας τε καί γλυκύτητος.

Καί πάλιν· «*Μακάριοι οἱ πενθοῦντες, ὅτι αὐτοί παρακληθήσονται*». Ἴδωμεν οὖν αὖθις καί ἑαυτούς ἐξετάσωμεν, εἰ ἄρα ἔχομεν τό πένθος ἐν ἑαυτοῖς καί ποίαν λέγει παράκλησιν τήν ἐπακολουθοῦσαν τῷ πένθει. Πρῶτον μέν γάρ εἴρηκε τούς τῷ πνεύματι πτωχούς εἶναι μακαρίους, ὡς αὐτῶν οὔσης τῆς βασιλείας τῶν οὐρανῶν. Οἱ δέ πτωχοί τῷ πνεύματι οὐδεμίαν, ὡς εἴρηται, πρός τά παρόντα προσπάθειαν ἔχουσιν, οὔτε τόν λογισμόν πρός αὐτά ἐμπαθῶς συνδυάζονται, κἄν ψιλῶς ἡδυνόμενον. Πῶς οὖν πενθήσει καί διατί ὁ τόν κόσμον ἅπαντα βδελυξάμενος καί ἐπί πλεῖον τῇ διαθέσει τοῦ λογισμοῦ μακρυνθείς ἐξ αὐτοῦ ἤ ὅσον προσεγγίζει τῷ σώματι; Ὁ μή πρός τι τῶν ὁρωμένων ἔχων τήν ἐπιθυμίαν ὑπέρ τίνος ἄρα λυπηθήσεται ἤ χαρήσεται καί πῶς πενθήσει τήν βασιλείαν τῶν οὐρανῶν καί ταύτῃ καθ' ἑκάστην ἐνεφραινόμενος, - ὅτι τούς πενθοῦντας εἶπε τήν παράκλησιν δέχεσθαι; Ἀλλά προσέχετε, παρακαλῶ, τοῖς λεγομένοις καί γνώσεσθε τήν γνῶσιν καί τόν λόγον τοῦ λεγομένου.

Ὁ πιστός ἄνθρωπος, ὁ ταῖς ἐντολαῖς τοῦ Θεοῦ ἀεί μετά ἀκριβείας προσέχων, ὅταν πάντα τά τῶν θείων ἐντολῶν ποιήσῃ καί πρός τό ὕψος τούτων ἤγουν πρός τήν ἄμωμον πολιτείαν καί καθαρότητα τήν ἑαυτοῦ διάνοιαν ἐμβατεύσῃ, τότε ἀνερευνῶν τά ἑαυτοῦ μέτρα, ἀσθενῆ ἑαυτόν εὑρήσει καί πρός τό ὕψος ἐκεῖνο τῶν ἐντολῶν μή ἰσχύοντα ἀφικέσθαι, ἀλλά καί πτωχόν λίαν ἤτοι ἀνάξιον εἰς ὑποδοχήν τοῦ Θεοῦ καί εὐχαριστίαν καί δόξαν, ὡς μήπω μηδέν κεκτημένον ἴδιον ἀγαθόν· ὁ δέ ταῦτα δι' ἑαυτόν ἐν αἰσθήσει ψυχῆς λογιζόμενος πενθήσει πάντως πένθος τό ὄντως μακαριώτατον, ὅ καί τήν παράκλησιν δέχεται καί πραεῖαν τήν ψυχήν ἀπεργάζεται.

Ἀρραβών γάρ ἐστι τῆς βασιλείας τῶν οὐρανῶν ἡ ἐκ τοῦ πένθους ἐγγινομένη παράκλησις. Πίστις μέν γάρ ἐστιν ἐλπιζομένων ὑπόστασις κατά τόν ἀπόστολον, παράκλησις δέ ἡ ἐκ τῆς ἐλλάμψεως τοῦ Πνεύματος γινομένη ἐν ταῖς πενθούσαις ψυχαῖς ἐπιδημία Θεοῦ, ταπεινοφροσύνην ταύταις βραβεύουσα, ἥτις καί σπόρος καί τάλαντον ὀνομάζεται· αὐξανομένη γάρ καί πολυπλασιαζομένη ἐν ταῖς τῶν ἀγωνιζομένων ψυχαῖς ἐν τριάκοντα καί ἐν ἑξήκοντα καί ἐν ἑκατόν, καρποφορεῖ τῷ Θεῷ καρπόν ἅγιον τῶν χαρισμάτων τοῦ Πνεύματος. Ὅπου γάρ ταπείνωσις ἀψευδής, ἐκεῖ καί ταπεινοφροσύνης βυθός· καί ὅπου ταπεινοφροσύνη, ἐκεῖ καί ἐλλάμψεις τοῦ Πνεύματος. Ὅπου δέ αἱ ἐλλάμψεις τοῦ Πνεύματος, ἐκεῖ φωτοχυσία Θεοῦ καί Θεός ἐν σοφίᾳ καί γνώσει τῶν μυστηρίων αὐτοῦ. Ἔνθα δέ ταῦτα, ἐκεῖ βασιλεία οὐρανῶν καί βασιλείας ἐπίγνωσις καί οἱ ἀποκεκρυμμένοι θησαυροί τῆς γνώσεως τοῦ Θεοῦ, ἐν οἷς καί ἡ φανέρωσίς ἐστι τῆς

πτωχείας τῆς πνευματικῆς. Ὅπου δέ πτωχείας πνευματικῆς αἴσθησις, ἐκεῖ καί τό χαρμόσυνον πένθος, ἐκεῖ καί τά ἀεννάως ῥέοντα δάκρυα, τά τήν φιλοῦσαν ταῦτα ψυχήν ἐκκαθαίροντα καί τελείως αὐτήν ἀπεργαζόμενα φωτεινοτάτην.

Διά τούτων οὖν ἀνανεύουσα ἡ ψυχή καί τόν ἑαυτῆς Δεσπότην ἐπιγινώσκουσα, τάς λοιπάς ἀρετάς ἄρχεται σπουδαίως καρποφορεῖν ἑαυτῇ καί Χριστῷ. Καί εἰκότως. Καταρδευομένη γάρ ἀεί καί πιαινομένη τοῖς δάκρυσι καί τό θυμικόν ἑαυτῆς ὅλως ἀποσβεννύουσα, πραεῖα μέν καί ἀκίνητος ὅλη πρός ὀργήν γίνεται, ἐπιθυμεῖ δέ καί ὀρέγεται πεινῶσα ὁμοῦ καί διψῶσα τά τοῦ Θεοῦ μαθεῖν δικαιώματα. Ἐν τούτοις δέ καί ἐλεήμων καί συμπαθής γίνεται, ὡς ἐκ πάντων τούτων καθαράν ἀποτελεῖσθαι τήν καρδίαν αὐτῆς καί ταύτην ἐν ὀπτασίᾳ Θεοῦ γίνεσθαι καί ὁρᾶν καθαρῶς τήν δόξαν αὐτοῦ ὡς ἡ ὑπόσχεσις. Οἱ γοῦν τοιαύτας κτησάμενοι τάς ἑαυτῶν ψυχάς εἰρηνοποιοί εἰσιν ἐν ἀληθείᾳ καί υἱοί Ὑψίστου κατονομάζονται, οἵ καθαρῶς καί τόν ἴδιον Πατέρα καί Δεσπότην ἐπιγινώσκουσι καί ἐξ ὅλης ψυχῆς ἀγαπῶσιν αὐτόν, πάντα δηλαδή πόνον καί πᾶσαν θλῖψιν δι' αὐτόν ὑπομένοντες, ὑβριζόμενοι, λοιδορούμενοι, στενοχωρούμενοι ἕνεκεν τῆς δικαίας αὐτοῦ ἐντολῆς ἥν καί τηρεῖν ἡμῖν ἐνετείλατο, ὀνειδιζόμενοί τε καί διωκόμενοι καί πᾶν πονηρόν ῥῆμα ψευδῶς λεγόμενον κατ' αὐτῶν ἕνεκεν τοῦ ὀνόματος αὐτοῦ μετά χαρᾶς ὑπομένοντες, ἀγαλλόμενοι ὅτι ὅλως ἠξιώθησαν ὑπέρ τῆς ἀγάπης αὐτοῦ ἐξ ἀνθρώπων ἀτιμασθῆναι.

Καταμάθετε, ἀδελφοί, τῆς σφραγῖδος Χριστοῦ τό ἀληθές ἐκτύπωμα. Ἐπίγνωτε, οἱ πιστοί, τοῦ χαρακτῆρος τά ἰδιώματα. Μία σφραγίς ἀληθῶς ἡ ἔλλαμψις ὑπάρχει τοῦ Πνεύματος, εἰ καί πολλαί τῶν ἐνεργειῶν αὐτῆς αἱ ἰδέαι καί πολλά τῶν ἀρετῶν αὐτῆς τά γνωρίσματα, ὧν πρῶτον καί ἀναγκαιότερόν ἐστιν ἡ ταπείνωσις, ὡς ἀρχή καί θεμέλιος -«*Ἐπί τίνα γάρ, φησίν, ἐπιβλέψω, ἀλλ' ἤ ἐπί τόν πρᾶον καί ἡσύχιον καί τρέμοντά μου τούς λόγους*»-, δεύτερον τό πένθος καί ἡ τῶν δακρύων πηγή, περί ὧν θέλω λέγειν πολλά καί ἀπορῶ λόγων, δι' ὧν ἐκφράσαι τά περί τούτων προῄρημαι· θαῦμα γάρ ἀνεκλάλητον, ὅτι διά τῶν ὀφθαλμῶν αἰσθητῶν ῥέοντα τήν ψυχήν νοερῶς τοῦ βορβόρου τῶν ἁμαρτημάτων ἐκπλύνουσι καί εἰς γῆν πίπτοντα τούς δαίμονας φλέγουσι καί καταράσσουσι καί τήν ψυχήν ἐλευθέραν ἐργάζονται τῶν ἀοράτων τῆς ἁμαρτίας δεσμῶν. Ὦ δάκρυα, τά ἐκ θείας ἐλλάμψεως βλύζοντα καί αὐτόν τόν οὐρανόν διανοίγοντα καί προξενοῦντά μοι θείαν παράκλησιν. Πάλιν γάρ καί πολλάκις ὑφ' ἡδονῆς καί πόθου τά αὐτά φθέγγομαι. Ὅπου δακρύων πληθύς, ἀδελφοί, μετά γνώσεως ἀληθοῦς ἐκεῖ καί θείου φωτός αὔγασις. Ὅπου δέ φωτός αὐγή, πάντων ἐκεῖ τῶν καλῶν χορηγία καί ἡ σφραγίς τοῦ Πνεύματος τοῦ Ἁγίου ἐμπεφυτευμένη ἐν τῇ καρδίᾳ, ἐξ οὗ καί πάντες οἱ καρποί τῆς ζωῆς· ἐντεῦθεν πραότης καρποφορεῖται Χριστῷ, εἰρήνη, ἐλεημοσύνη, συμπάθεια, χρηστότης, ἀγαθωσύνη, πίστις, ἐγκράτεια, ἐντεῦθεν τό ἀγαπᾶν τούς ἐχθρούς καί ὑπέρ αὐτῶν εὔχεσθαι, τό χαίρειν ἐν τοῖς πειρασμοῖς, τό ἐγκαυχᾶσθαι ἐν ταῖς θλίψεσι, τό τά ἀλλότρια πταίσματα ὡς ἴδια λογίζεσθαί τε καί κλαίειν, τό τήν ψυχήν τιθέναι ὑπέρ τῶν ἀδελφῶν προθύμως εἰς θάνατον.

Τοιγαροῦν ἴδωμεν, ἀδελφοί, καί ἀκριβῶς ἑαυτούς ἐξετάσωμεν καί καταμάθωμεν τάς ψυχάς ἡμῶν, εἰ ἐν ἡμῖν ἐστιν αὕτη ἡ σφραγίς. Ἐπιγνωσώμεθα εἰ ἐν ἡμῖν ὁ Χριστός ἐστιν, ἐκ τῶν εἰρημένων σημείων. Ἀκούσατε, παρακαλῶ, χριστιανοί ἀδελφοί, καί ἀνανήψατε καί σκοπήσατε εἰ τό φῶς ἔλαμψεν ἐν ταῖς καρδίαις ὑμῶν, εἰ φῶς ἐθεάσασθε τό μέγα τῆς ἐπιγνώσεως, εἰ ἐπεσκέψατο ἡμᾶς ἀνατολή ἐξ ὕψους ἐπιφαίνουσα ἐν σκότει καί σκιᾷ θανάτου καθημένοις ἡμῖν, καί δόξαν μετ' εὐχαριστίας τῷ δωρησαμένῳ ταύτην ἡμῖν ἀγαθῷ Δεσπότῃ διηνεκῶς ἀναπέμπωμεν καί ἀγωνισώμεθα τό θεῖον πῦρ διά τῆς τῶν ἐντολῶν ἐργασίας ἐν ἑαυτοῖς θρέψαι περισσοτέρως, δι' οὗ τό θεῖον φῶς ἐπί πλεῖον φαίνειν καί μεγαλύνεσθαι εἴωθεν. Εἰ δέ οὔπω τόν Χριστόν ἤ τήν ἐκείνου σφραγῖδα ἐλάβομεν καί τά προειρημένα σημεῖα ἐν ἡμῖν αὐτοῖς οὐ γνωρίζομεν, ἀλλά τοὐναντίον μᾶλλον ἐν ἡμῖν ὁ κόσμος ὁ δόλιος ζῇ καί ἡμεῖς ἐν αὐτῷ δυστυχῶς ζῶμεν μέγα τι εἶναι τά πρόσκαιρα ἡγούμενοι καί καταπίπτομεν ἐν ταῖς θλίψεσι καί ἐπί ταῖς ζημίαις δακνόμεθα καί τῇ τρυφῇ καί τῷ πλούτῳ ἐνεφραινόμεθα, φεῦ τῆς ζημίας, φεῦ τῆς ἀγνοίας καί τῆς σκοτώσεως, φεῦ τῆς ταλαιπωρίας καί τῆς ἀναισθησίας ἡμῶν, ὑφ' ὧν κρατούμεθα καί ὑφ' ὧν εἰς τά γήϊνα κατασπώμεθα. Ὄντως ἐλεεινοί καί πανάθλιοι καί αὐτῆς τῆς αἰωνίου ζωῆς καί τῆς τῶν οὐρανῶν βασιλείας ἀλλότριοί ἐσμεν, μηκέτι ἐν ἑαυτοῖς κτησάμενοι τόν Χριστόν, ἀλλά καί τόν κόσμον ζῶντα ἐν ἑαυτοῖς ἔχοντες ὡς ἐν αὐτῷ ζῶντες, καί φρονοῦντες τά γήϊνα. Ὁ δέ οὕτως ἔχων ἐχθρός ἐστιν ἄντικρυς τοῦ Θεοῦ· ἔχθρα γάρ ἐστιν εἰς Θεόν ἡ τοῦ κόσμου προσπάθεια, καθώς φησιν ὁ θεῖος ἀπόστολος·«*Μή ἀγαπᾶτε τόν κόσμον, μηδέ τά ἐν κόσμῳ*», ὅτι οὐδείς δύναται Θεῷ δουλεύειν καί κατά ἄνθρωπον ζῆν, ἐπειδή πάντα τά τοῦ κόσμου ἐμπόδιά εἰσι τῆς πρός Θεόν ἀγάπης καί εὐαρεστήσεως.

Τίς γάρ, ἀγαπῶν τήν δόξαν καί τήν παρά ἀνθρώπων τιμήν, ἔσχατον πάντων καί εὐτελέστερον ἕξει ποτέ ἑαυτόν καί ταπεινός τῷ πνεύματι ἤ τήν καρδίαν συντετριμμένος γενήσεται ἤ πενθῆσαί ποτε κἄν ὅλως δυνήσεται; Τίς δέ πλοῦτον ἀγαπῶν φιλαργυρίᾳ τε καί φιλοκτημοσύνῃ κρατούμενος, ἐλεήμων γένηται καί συμπαθής καί οὐχί παντός θηρίου ἀγριώτερος ἔσται καί ἀπηνέστερος; Τίς κενοδοξίᾳ κρατούμενος καί οἰήσει κατεχόμενος, φθόνου ποτέ ἤ βασκανίας ἀπαλλαγήσεται; Ὁ δέ καί πρός τά τῆς σαρκός πάθη καμπτόμενος καί τῷ βορβόρῳ τῶν ἡδονῶν καλινδούμενος, πότε καθαρός ἄρα τῇ καρδίᾳ γενήσεται ἤ πότε καί πῶς τόν Θεόν τόν δημιουργήσαντα αὐτόν ὄψεται; Εἰρηνοποιός δέ πῶς ἔσται ὁ ἀπαλλοτριώσας ἑαυτόν τοῦ Θεοῦ καί μή ἀκούων τοῦ λέγοντος· «*Ὑπέρ Χριστοῦ πρεσβεύομεν, ὡς τοῦ Θεοῦ παρακαλοῦντος δι' ἡμῶν· καταλλάγητε τῷ Θεῷ*»; Πᾶς γάρ ὁ διά τῆς τῶν ἐντολῶν παραβάσεως ἀνθιστάμενος καί πολεμῶν τῷ Θεῷ, οὗτος κἄν εἰρηνεύειν ἅπαντας πρός ἀλλήλους ποιῇ ἐχθρός ἐστι τοῦ Θεοῦ, ἐπειδή οὐδέ αὐτούς οὕς εἰρηνεύειν πρός ἀλλήλους ποιεῖ, ὡς ἀρέσκει τῷ Θεῷ ποιεῖ τοῦτο. Ἐχθρός γάρ αὐτός πρῶτος ὤν ἑαυτοῦ καί τοῦ Θεοῦ, ἐχθροί καθεστήκασιν αὐτοῦ καί οἱ διά τῶν τοιούτων εἰρηνεύοντες. Οὐ γάρ ἐπίσταται πάντως ὁ ἐχθρωδῶς πρός τινα διακείμενος τά τῷ ἐχθρῷ δοκοῦντα καί ἀρεστά ἑτέροις συμβουλεύειν ὀρθῶς καί τά ἐκείνου διδάσκειν αὐτούς ποιεῖν θελήματα, ἐπειδή καί αὐτό τοῦτο, τό ἀποκεχωρισμένως διάγειν ἐξ αὐτοῦ, ἄγνοιαν ἐμποιεῖ τῶν ἐκείνου καταθυμίων, οὐ μήν ἀλλά καί, διά τό ἐμπαθῶς καί ἀπεχθῶς διακεῖσθαι πρός αὐτόν μελέτην τε ἀένναον ἔχειν ἐναντίως τῶν

ἐκείνου θελημάτων πορεύεσθαι, ἐθισμόν τινα ποιεῖ τοῦ - εἰ καί ποτε θελήσει οὗτος ἑτέροις λαλῆσαι τά πρός θεραπείαν ἐκείνου τελούμενα - μή εὐκόλως δύνασθαι. Καί εἰκότως. Ψυχή γάρ ἀφώτιστος, ὑπό τῶν παθῶν καί μάλιστα ὑπό τοῦ φθόνου κρατηθεῖσα καί φθονεῖν τινι μελετήσασα, οὐδέ ἑτέρου τινος ὑπερλαλοῦντος τοῦ φθονουμένου ἀκοῦσαι ἀνέχεται, μή ὅτι γε πρός θεραπείαν ἐκείνου καί διαπρᾶξαί τι ἤ κἄν ὅλως εἰπεῖν. Φύσεως γάρ ἰσχύν λαμβάνει παλαιωθέν πάθος καί κακοῦ μελέτη χρονίσασα εἰς ψυχήν, ὡς μή δύνασθαι τοῦτο ἐξιαθῆναί ποτε. Ἐκ γάρ φωτός σκότος γίνονται οἱ τοιοῦτοι καί, ἐξ ἀγαθότητος εἰς πονηρίαν μεταπίπτοντες, νοσοῦσιν ἀνίατα.

Ὁ δέ γε Θεῷ συγκραθείς διά πίστεως καί ἐπιγνούς αὐτόν διά πράξεως, καί βλέπειν αὐτόν πάντως διά θεωρίας ἠξίωται. Βλέπει δέ ἅ μή γράφειν ἰσχύω. Ὁρᾷ γάρ ξένα τινά θεάματα ὁ νοῦς καί ὅλος φωτίζεται καί φωτοειδής γίνεται, νοεῖν δέ ἤ λαλεῖν ταῦτα οὐκ ἰσχύει. Αὐτός μέν γάρ ὁ νοῦς φῶς ἐστι καί βλέπει τά πάντα φῶς, καί τό φῶς ζῶν ἐστι καί ζωήν τῷ ὁρῶντι παρέχει. Βλέπει ἑαυτόν καθόλου τῷ φωτί ἡνωμένον, καί ὁρῶν συστέλλεται καί ἔστιν ὡς ἦν. Κατανοεῖ τό φῶς ἐν τῇ ψυχῇ καί ἐξίσταται, καί ἐξιστάμενος βλέπει τοῦτο μακράν, στραφείς δέ μέσον πάλιν εὑρίσκεται τοῦ φωτός. Καί οὕτως τί εἴπῃ ἤ τί ἐν τῷ ὁρωμένῳ κατανοήσῃ, ὅλως ἀπορεῖ καί λόγων καί νοημάτων.

Τίς οὖν ἀκούων ταῦτα δή τά μυστήρια οὐ θαυμάσει καί θαυμάσας προσδράμῃ Χριστῷ; Τίς Θεοῦ τερατουργίας μή ποθήσῃ ἰδεῖν καί ἀγαπήσει τόν δωρεάν διδόντα τά δῶρα ταῦτα καί ξένα χαρίσματα; Ὄντως κρεῖττον οὐδέν, ἀδελφοί, ἐν τῷ κόσμῳ ὡς τό μηδέν ἔχειν τοῦ κόσμου, μηδέ θέλειν τι πλέον τῆς ἀναγκαίας χρείας τοῦ σώματος. Χρείαν δέ ἀναγκαίαν ταύτην οἶδεν ὁ λόγος, ἄρτον καί ὕδωρ, ἱμάτιον καί σκέπην, κατά τόν θεῖον ἀπόστολον· «*Ἔχοντες διατροφάς καί σκεπάσματα, τούτοις ἀρκεσθησόμεθα*». Εἰ δέ καί πλέον τι τούτων χρήζομεν, πάντως ἐκεῖνος παρέξει ἡμῖν, ἐλπίζουσιν εἰς αὐτόν καί πιστεύουσιν, ὁ τά μείζω χαρίσας καί ἐμπιπλῶν πᾶν ζῷον εὐδοκίας. Μόνον καταλείψωμεν τά ἄλλα πάντα τῆς προσκαίρου ζωῆς, δόξαν φημί τήν κενήν, τόν φθόνον, τήν εἰς ἀλλήλους ἔριν, τόν δόλον, τόν γογγυσμόν, τήν ἐρίθειαν καί πάντα ὅσα τῷ Θεῷ ἀποτρόπαια καί εἰς κίνδυνον φέρει ψυχῆς. Ποθήσωμεν δέ ἐκ ψυχῆς ἅ κελεύει Θεός ἡμῖν κατασπάζεσθαι, φτωχείαν πνευματικήν, ἥν καλεῖ ὁ λόγος ταπείνωσιν, πένθος ἀέναον ἐν νυκτί καί ἡμέρᾳ, ἐξ οὗ πηγάζεται ἡ χαρά τῆς ψυχῆς καί ἡ παράκλησις καθ’ ὥραν τοῖς ἀγαπῶσι τόν Θεόν. Ἐκ τούτου γάρ πᾶσι τοῖς ἀγωνιζομένοις ἐν ἀληθείᾳ καί ἡ πραότης κατορθοῦται, πεινῶσι καί διψῶσι τήν δικαιοσύνην καί ζητοῦσιν ἀεί τήν τοῦ Θεοῦ βασιλείαν, τήν ὑπερέχουσαν πάντα νοῦν ἀνθρώπινον. Οὐ μόνον δέ ἀλλά καί τό γενέσθαι τινά ἐλεήμονα, καθαρόν τήν καρδίαν, εἰρήνης μεστόν καί εἰρηνοποιόν καί ἀνδρεῖον εἰς τούς πειρασμούς, ἐντεῦθέν ἐστιν ἐκ τοῦ πενθεῖν καθ’ ἑκάστην. Ἐντεῦθεν καί τό μισεῖν ἡμῖν ἐπιγίνεται τά κακά, ἐντεῦθεν ὁ θεῖος ζῆλος ἀνάπτεται εἰς τήν ψυχήν, ὅς οὐκ ἐᾷ ἠρεμῆσαι αὐτήν ὅλως ἤ συνεκκλῖναι πρός τά κακά τοῖς κακοῖς, ἀλλά πληροῖ ταύτην ἀνδρείας καί δυνάμεως εἰς τό μέχρι τέλους ἐγκαρτερεῖν τοῖς δεινοῖς.

Φύγωμεν οὖν τόν κόσμον καί τά ἐν κόσμῳ, ἀγαπητοί ἀδελφοί. Τί γάρ ἡμῖν καί τῷ

κόσμῳ καί τοῖς ἐν κόσμῳ ἀνθρώποις; Δράμωμεν, διώξωμεν, ἕως οὗ δραξόμεθά τινος τῶν ἑστώτων καί μή ῥεόντων. Τά γάρ πάντα φθείρεται καί ὡς ὄναρ παρέρχεται καί οὐδέν μόνιμον ἤ βέβαιον ἐν τοῖς ὁρωμένοις. Ὁ ἥλιος, τά ἄστρα, ὁ οὐρανός καί ἡ γῆ πάντα παρέρχονται, μόνος δέ πάντων μένει ὁ ἄνθρωπος. Τί τοίνυν ἐκ τῶν ὁρωμένων δύναται ἡμᾶς ὠφελῆσαι ἐν καιρῷ ἀνάγκης θανάτου, ἡμῶν ἀπερχομένων ἐντεῦθεν πρός τήν ἐκεῖθεν κατάπαυσιν τοῦ αἰῶνος ἐκείνου, αὐτῶν δέ ὄπισθεν καταλιμπανομένων; Εἰ δέ καί οὕτω τά ὁρώμενα παρελεύσεται, τί τό κέρδος ἡμῶν ἀπιόντων καί τό σῶμα καταλιμπανόντων νεκρόν; Ἀφ' οὗ γάρ ἡ ψυχή καταλίπῃ τό ἴδιον σῶμα, οὔτε βλέπειν δύναται δι' αὐτοῦ οὔτε βλέπεσθαι παρ' ἑτέρου, ἀλλ' ἔκτοτε πρός μόνα τά ἀόρατα ἔχει καί φροντίς οὐδεμία ἐστίν αὐτῇ περί τῶν ὧδε, διπλοῦν ἐκεῖθεν ἐχούσῃ τόν βίον καί τόν ἀγῶνα, ἤ βσιλείας οὐρανῶν καί αἰωνίου δόξης ἤ γεέννης πάλιν καί τιμωρίας πυρός. Ἕν γάρ τούτων εἰς κληρονομίαν αἰώνιον, κατ' ἀξίαν ὧν ἔπραξεν ἐνταῦθα, ἀπολαμβάνει παρά Θεοῦ.

Τοιγαροῦν φύγωμεν, ἀξιῶ, διά ταῦτα τόν κόσμον. Φύγωμεν τήν ἀπάτην τοῦ βίου καί τήν νομιζομένην εὐφροσύνην αὐτοῦ καί μόνῳ προσδράμωμεν τῷ ψυχοσώστη Χριστῷ. Τοῦτον σπουδάσωμεν εὑρεῖν τόν πανταχοῦ παρόντα, καί εὑρόντες κρατήσωμεν προσπεσόντες τούς πόδας αὐτοῦ, καί αὐτούς ἐν θέρμῃ ψυχῆς ἀσπασώμεθα. Ναί παρακαλῶ, σπουδάσωμεν ἔτι περιόντες ἰδεῖν αὐτόν καί θεάσασθαι. Ἐάν γάρ αὐτόν ἀξιωθῶμεν ἐνταῦθα αἰσθητῶς ἰδεῖν, οὐκ ἀποθανούμεθα, θάνατος οὐ κυριεύσει ἡμῶν. Μή γάρ εἰς τό μέλλον ἐκδεξώμεθα τοῦτον ἰδεῖν, ἀλλά νῦν ἀγωνισώμεθα θεάσασθαι αὐτόν, ἐπεί καί Ἰωάννης ὁ Θεολόγος οὕτω φησίν· «*Οἴδαμεν δέ ὅτι ἔχομεν τόν Θεόν ἐν ταῖς καρδίαις ἡμῶν, ἐκ τοῦ Πνεύματος οὗ ἐλάβομεν ἐξ αὐτοῦ*». Ὅσοι οὖν τήν πίστιν εἰς αὐτόν ἐκ τῶν ἔργων ἐδείξατε ἀρραγῆ καί βεβαίαν, τά παρ' ἡμῶν ἄνωθεν ῥηθέντα ἀκριβῶς καί καλῶς διακρίναντες, ὁρᾶτε μή λάθητε ἑαυτούς ἐν τῷ δοκεῖν Χριστόν ἔχειν ἐν ἑαυτοῖς, μηδέν ἔχοντες, καί κεναῖς ταῖς χερσίν ὑπεξέλθητε τόν βίον καί ἀκούσητε, ὅπερ ἀπεύχομαι, τῆς ἀπευκταίας ἐκείνης φωνῆς· «*Ἄραντες ὁ δοκεῖ κατέχειν ὁ πονηρός, δότε τῷ πλεῖον ἔχοντι*», καί τότε κλαύσετε καί καί πενθήσετε καί λύπην ἕξετε εἰς αἰῶνα ἀπέραντον.

Ἀλλά μή γένοιτο φωνῆς ἀκοῦσαι καί τοιοῦτον παθεῖν τούς ἀπαρνησαμένους ἡμᾶς κόσμον ἅπαντα καί τά ἐν κόσμῳ καί προσδραμόντας Χριστῷ, γένοιτο δέ τάς ἐντολάς τηρήσαντας τοῦ Θεοῦ, διά δακρύων καί μετανοίας καθαρθῆναι τάς καρδίας ἡμῶν, ὡς ἄν καί τό θεῖον φῶς, αὐτόν τόν Χριστόν, ἐντεῦθεν ὀψώμεθα καί μένοντα ἐν ἡμῖν κτησώμεθα, καί διά τοῦ Παναγίου αὐτοῦ Πνεύματος τρέφοντα καί ζωογονοῦντα ἡμῶν τάς ψυχάς, καί ἀπογεύοντα τῆς ἐνηδόνου γλυκύτητος τῶν ἀγαθῶν ἐκείνων τῆς βασιλείας αὐτοῦ, ἧς γένοιτο πάντας ἡμᾶς ἀξιωθῆναι ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

# Λόγος Γ΄. Περί τοῦ ὅτι χρή καλῶς ὑποτάσσεσθαι καί μή ἐπιλανθάνεσθαι τῶν συνθηκῶν, ὧν πρός Θεόν συνεθέμεθα. Καί ὅτι οὐ δεῖ γογγίζειν ἐπί ταῖς παννύχοις ἀγρυπνίαις τῶν ὄρθρων.

Ἀδελφοί καί πατέρες, ἀναμνησθέντες τῶν τοῦ Θεοῦ προσταγμάτων οὕτω λεγόντων· «*Μή κρίνετε καί οὐ μή κριθῆτε*», τούς ἀλλοτρίους βίους μηδαμῶς περιεργάζεσθε, ἅ δέ μᾶλλον λέγουσιν ἡμῖν οἱ ἱερεῖς ποιεῖν ποιεῖτε, κατά δέ τά ἔργα αὐτῶν μή ποιεῖτε, ὡς ἀκηκόατε. Διό πείσθητέ μοι ὡς δοῦλοι Χριστοῦ, τῷ ἀναξίῳ, καί τήν ἐμήν ὀλιγοψυχίαν ῥαθυμίαν ἐάσαντες, φροντίσατε, παρακαλῶ, τῶν ψυχῶν ὑμῶν καί ἀόκνως τάς ἐντολάς τοῦ Θεοῦ ποιεῖν σπεύσατε· καί κατ' ἐμοῦ τοῦ ταπεινοῦ μή γογγίζετε, ὡς ἅπαξ τοῦ ἐνιαυτοῦ ἐξεργεθέντες τό μεσονύκτιον, ἀλλά μνησθέντες τοῦ εἰπόντος· «*Μεσονύκτιον ἐξηγειρόμην τοῦ ἐξομολογήσασθαί σοι ἐπί τά κρίματα τῆς δικαιοσύνης σου*», εὐχαριστήσατε τῷ Θεῷ μᾶλλον καί τῷ ὑμᾶς εἰς τήν αὐτοῦ δοξολογίαν διυπνίσαντι καί χάρητε καί σκιρτήσατε, ὅτι μετά τῶν ἁγίων ἀγγέλων ἠξιώθητε ἀνυμνεῖν τόν Θεόν. Ὁ γάρ ἐπί τῇ συνήθει συνάξει ἀγανακτῶν καί ἐπί τῷ μήκει τῶν ἀναπεμπομένων ὕμνων δυσχεραίνων καί κατακλώμενος, οὗτος ἀληθῶς οὐκ οἶδεν ὡς γλυκέα τά λόγια τοῦ Θεοῦ ἐν τῷ λάρυγγι τῶν ἀγαπώντων αὐτόν καί ὑπέρ μέλι καί κηρίον ἐν τῷ στόματι τῶν ἐπιγινωσκόντων αὐτόν, ἀλλ' ὅλος σάρξ ὤν καί σαρκικόν ἔχων τό φρόνημα καί σαρκικωτέραν τήν αἴσθησιν, πνευματικῶς οὐ δύναται γεύεσθαι τῶν εἰς εὐεργεσίαν ἡμῖν δοθέντων ἀπό Θεοῦ, ἀλλά πάντα πικρά τά κατά Θεόν αὐτῷ φαίνονται, καί τό «*Γεύσασθε καί ἴδετε ὅτι χρηστός ὁ Κύριος*» οὐκ ἐπίσταται. Ὁ δέ τοῦτο μή ἐναργῶς ἐπιστάμενος, τῆς ἀγάπης καί τῆς γλυκύτητος τοῦ Χριστοῦ ἐναργῶς ἠλλοτρίωται. Ὁ δέ τούτων ἄγευστος καί ἀλλότριος - φεῦ μοι, ἐμόν τό ἀτύχημα, ἰδιοποιεῖσθαι γάρ προστέταγμαι τά ἀλλότρια - ἐχθρός ἐστι τοῦ Θεοῦ καί ξένος τῆς βασιλείας τῶν οὐρανῶν· ποίαν γάρ ἄλλην, εἰπέ μοι, ἕξει ἐλπίδα ἤ τίνος ἄλλου ἀγάπην περιπλακήσεται καί παραμυθίαν εὑρήσει ἤ ἐνταῦθα ἤ μετά θάνατον; Ὁ δέ καί ἀντιλέγων καί καταστενάζων καί ἐπαρώμενος τοῖς αὐτόν διεγείρουσι πρός ὕμνον θεῖον καί δοξολογίαν Θεοῦ, ποίαν ἀπολογίαν εὑρήσει ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως, καί ἑαυτῷ καί ἑτέροις σκάνδαλον ἀπωλείας γενόμενος;

Πιστεύσατέ μοι, πνευματικοί μου πατέρες καί ἀδελφοί, ὅταν ταῦτα ἀκούσω ἤ θεάσωμαί τινα ἐξ ὑμῶν διά ταῦτα δεινοπαθοῦντα, τοιαύτῃ θλίψει συνέχομαι καί τήν καρδίαν μου δάκνομαι, ὡς αὐτῇ τῇ κολάσει δοκεῖν παραδίδοσθαι, καί χαρᾶς οὐκ ἐπαισθάνομαι οὐδεμιᾶς ἄλλης τοῦ κόσμου, ἀλλά καί αὐτήν ἀπολέγομαι τήν ζωήν· καί κλαίω καί θρηνῶ, ὡς ἤδη κατακρινόμενος, καί τοι παρακαλῶν ὑμᾶς οὐκ ἀκούομαι, ἐπιτιμῶν ἀποπέμπομαι, ἐλέγχων μισοῦμαι καί παιδεύων ἀντιπαιδεύομαι καί ὡς ἐχθρός ἐκδιώκομαι, καί ταῦτα ποιῶν ἀνάπαυσιν οὐ δύναμαι κτήσασθαι. Βουλεύομαι παύσασθαι καί τά ἐμαυτοῦ μόνα σκοπεῖν κακά, ἀλλ' ὅταν τοῦτο στῆσαι θελήσω, τότε ὡς φλόξ ἀνάπτεται ἡ καρδία μου καί πάλιν ἐν τοῖς αὐτοῖς, ὁ ταπεινός, περιέχομαι καί ὀδυνᾶμαι τά

ὑμετέρα τραύματα οὐχ ἧττον ἤ τοῖς ἰδίοις μώλωψιν ἀλγύνεται ἕκαστος, καί ὑπέρ ὑμῶν ἐγώ φλέγομαι, καί τόν βίον ἡγοῦμαι ἀβίωτον, καί θαυμάζειν μοι ἔπεισι πῶς εἰς τοιαύτην κατήλθομεν σκότωσιν καί κατά τῶν ἰδίων ψυχῶν πάντα πράττομεν καί ἑαυτούς κατασφάζοντες ὡς ζῶντες ἀπολακτίζομεν, καί δεσμοῦντες τοῖς ἁμαρτήμασιν ἑαυτούς χαίρομεν καί τούς αἴροντας τά τοιαῦτα δεσμά κατεσθίομεν. Ἐάν κωλυθῶμεν παρά τινος μηδέν κατά τῶν ψυχῶν ἡμῶν διαπράξασθαι, ὡς κύνες μαινόμενοι καθυλακτοῦμεν καί μεμφόμεθα αὐτόν, καί οὐ παυόμεθα μέχρις οὗ τήν πρᾶξιν ποιήσομεν καί τάς ψυχάς ἡμῶν ἀπολέσομεν. Εἶτα καί εἰς τά τοιαῦτα ἐθισθέντες παράνομα, φυσικῶς, εἰπεῖν, κακοί γινόμεθα καί οὐκέτι ἀνανεῦσαι βουλόμεθα. Μοναχοί ἐπηγγειλάμεθα εἶναι καί πλεῖον τῶν κοσμικῶν ἐκακώθημεν. Πεινᾶσαι καί διψῆσαι καί κακοπαθῆσαι συνεταξάμεθα, καί ὑπέρ ἑνός κλάσματος ἄρτου λογομαχεῖν καί βλασφημεῖν οὐκ αἰσχυνόμεθα, καί τότε ἴσως ἐπιζητουμένου παρ’ ἡμῶν παρά τόν ὡρισμένον καιρόν τῆς τροφῆς. Πᾶσι τοῖς ἐν τῷ κόσμῳ, γονεῦσι, λέγω, καί ἀδελφοῖς καί φίλοις, ἤλθομεν ἀποτάξασθαι, καί τρέφειν μᾶλλον αὐτούς ἐκ τῶν τῆς μονῆς ἄρτων οὐ διαλιμπάνομεν. Ὡς ἐχθρόν τόν κόσμον ἐφύγομεν, καί τούς τοῦ κόσμου καί τά τοῦ κόσμου πλέον ἤ αὐτόν τόν Χριστόν ἀγαπῶμεν.

Εἰπέ μοι, ἐρωτῶ σε, ἀδελφέ, πιστεύων εἶναι κρίσιν καί ἀνάστασιν καί ἀνταπόδοσιν τῶν βεβιωμένων, ἦλθες ἐν τῇ μονῇ ὁμολογῶν εἶναι Θεόν μέλλοντα ἀποδοῦναι ἑκάστῳ κατά τάς πράξεις αὐτοῦ, ἤ οὐδέ τινα τούτων διέθου ἐν τῇ καρδίᾳ σου; Τηρῆσαι τάς συνθήκας ἅς συνέθου καί συνετάξω τῷ Χριστῷ ἐπί πολλῶν μαρτύρων ἐλήλυθας, ἤ τοῦτο μέν ὡς δεσμόν ἀδελφότητος δολίως προσεποιήσω, μέλος γενέσθαι τῆς ἐκκλησίας περιδρασσόμενος, τό δέ ὅλον ἦν σοι ἐν μελέτῃ κατεσκευασμένον, ἵνα λαμβάνῃς ἀνελλιπῶς τά πρός χορτασίαν καί γαστριμαργίαν χορτάσματα καί ζῇς βίον ἀμέριμνόν τε καί ἄπονον; Εἰ μέν οὖν παρεγένου δοῦλος γενέσθαι Χριστοῦ καί ἡμέτερος ἀδελφός, φύλασσε, παρακαλῶ, καί τάς αὐτοῦ ἐντολάς, καί θερμῶς δουλεύειν αὐτῷ προθυμήθητι, ἵνα φανῇς χριστανός ἀληθής ἐκ τῶν ἔργων καί ἀδελφός ἡμῶν φιλόθεος χρηματίσῃς, ἡμῖν ἐν πᾶσιν ἐξομοιούμενος· συγκακόπαθησον ὡς καλός στρατιώτης, ἵνα καί στεφανωθῇς καί συνδοξασθῇς, αἰωνίῳ δόξῃ ἐπευφραινόμενος. Εἰ δέ τό πᾶν σχηματιζόμενος μέν κουρεύεσθαι καί μοναχός γίνεσθαι ἦλθες, τρώγειν δέ καί πίνειν μετ’ αὐτῶν ἐμελέτησας μόνον, ἕτοιμα τά πάντα εὑρίσκων δῆθεν ἐξ αὐτομάτου, ἄκουσον καί ἐγώ σοι λέξω ἅ σοι μέλλουσιν ὑπαντῆσαι. Πρῶτον μέν, ὅ καί μέγιστον, ἴσθι ὡς οὐ κατηλλάγης οὐδέ προσῳκειώθης Θεῷ, ἀλλά ἐχθρός λελόγισαι αὐτοῦ καί ἐπίβουλος· καί πῶς δέ οὐκ ἐπίβουλος, ἄλλα μελετῶν ἐν καρδίᾳ καί ἄλλα ἐπί πάντων ἐπαγγελλόμενος καί δοκῶν τόν ἀλάθητον λανθάνειν Θεόν; Ἐκεῖνος· «*Μή μεριμνήσητε περί τῆς αὔριον, τί φάγητε ἤ τί πίητε ἤ τί ἐνδύσησθε*» διαρρήδην πᾶσιν ἐντέλλεται, σύ δέ διά τοῦτο ἀποκείρῃ, ἵνα μόνον ἀδελφός ὑπάρχῃς καί κοινωνός κτημάτων καί χρημάτων, ὧν ἴσως ἐν τῷ κόσμῳ ὤν οὐκ ἐκυρίευσας. Ὁ ἀπόστολος παραινεῖ λέγων· «*Ἔχοντες διατροφάς καί σκεπάσματα, τούτοις ἀρκεσθησόμεθα*», σύ δέ μηδέ εἰς αὐτήν τήν ἀναγκαίαν χρείαν ἀρκούμενος, κλέπτεις καί νοσφίζῃ τά τῆς μονῆς. Καί ἐν πᾶσι μέν τοῖς πρός σωματικήν ἡδονήν καί θεραπείαν ὑπάρχουσιν ἀδελφόν σεαυτόν εἶναι τῶν ἁπάντων ἀκαινοτόμητον βούλῃ καί

τήν ἰσότητα μετά τῶν κοπιώντων εἰς τό ἔργον Κυρίου προσαπαιτεῖς· ἐάν δέ πρός νηστείαν ἤ ἀγρυπνίαν ἤ τῆξιν σώματος, ἔτι δέ πρός πένθος ἤ εὐχήν ἀδιάλειπτον, παννύχους τε στάσεις καί ψαλμωδίας καί ὕμνους πνευματικούς ἴδῃς τινάς τῶν ἀδελφῶν προθύμως ἑαυτούς γυμνάζοντας καί τρέχοντας ὅλῃ τῇ ψυχῇ καί προθέσει, ἀλλότριον σεαυτόν εἶναι λέγεις καί ταῦτα ποιεῖν μή δύνασθαι· οὐ μόνον δέ ἀλλά καί ἀποκρυβόμενος καί μή εὑρισκόμενος εἰς τήν σύναξιν, οἴει σεαυτόν ὠφελεῖν. Ὦ τῆς ἄγαν σκοτώσεως καί ἀγνοίας καί τῆς ἀπάτης τῶν λογισμῶν σου! Καί τό χαλεπώτερον τούτου, ὅτι καί πειρασμῶν ἴχνος ἐάν ἐνώπιόν σου φανήσεται ἤ καί πρός δοκιμήν σου μικράν τινα λύπην λυπήσῃ σε ὁ ἡγούμενος, καί αὐτό ἀπαρνῇ τό ἔνδυμα, καθά πολλούς ἐγώ λέγοντας ἤκουσα· «*Μή γάρ δοῦλος γενέσθαι τινός ἐλήλυθα ἤ διά τό ὑβρίζεσθαι παραγέγονα*»; Ὦ τῆς παραπληξίας!

Οὐκ ἦλθες κατά τῶν ἀοράτων ἐχθρῶν ἀγωνίσασθαι; Οὐκ ἐλήλυθας ἀναλαβέσθαι τόν κατά τῶν παθῶν πόλεμον; Δι’ ἥν αἰτίαν στρατευθῆναι καί τοῖς Χριστοῦ στρατιώταις καταταγῆναι ἠθέλησας; ἵνα σιτηρέσια ἐπίσης αὐτοῖς λαμβάνων καί ὀψώνια, ἀνάκεισαι ὡς οἱ ἐπί σκηνῆς τρυφῶντες καί μεθυσκόμενοι; Ἐάν ταῦτα λογίζῃ, οὐαί σοι ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως, ὅταν ὁ Χριστός ἔλθῃ ἑκάστῳ ἀποδοῦναι κατά τάς πράξεις αὐτοῦ, ὅταν ἐκζητήσῃ ἀπό τῶν μοναχῶν, τῶν συνταξαμένων αὐτῷ ἐπί πολλῶν μαρτύρων, τάς συνθήκας ἅς συνέθεντο ποιῆσαι καί διαφυλάξαι ἐνώπιον τοῦ ἁγίου θυσιαστηρίου καί τῶν ἁγίων ἀγγέλων αὐτοῦ. Τί γάρ καί ἐρωτώμενοι ἀποκρινόμεθα; Οὐχί· τί προσήλθομεν τῷ ἁγίῳ θυσιαστηρίῳ καί τῇ ἁγίᾳ συνοδίᾳ ταύτῃ, ποθοῦντες τόν μοναχικόν βίον καί τήν ἀγγελικήν ἀσπάσασθαι πολιτείαν; Τί οὖν πρός ταῦτα ἀνθυποφέρομεν; οὐχί τό «*Ναί, τίμιε πάτερ*»; Ὁ δέ ἱερεύς τί πρός ἡμᾶς φησι πάλιν; «*Γινώσκετε, ἀδελφοί, ὅτι ἐφ’ ὅσον ἐληλύθατε καταριθμηθῆναι τοῖς δούλοις τοῦ βασιλέως Χριστοῦ, ἑτοιμάσατε ἑαυτούς εἰς πειρασμούς. Ἔσεσθε γάρ εἰδότες ὅτι ἀπό τοῦ νῦν μᾶλλον πᾶσαν μηχανήν ὁ ἐχθρός κινήσει καθ’ ὑμῶν. Δεῖ οὖν ὑμᾶς πεινᾶσαι καί διψῆσαι καί ῥιγᾶσαι, ἀτιμασθῆναί τε καί ἐμπτυσθῆναι, ῥαπισθῆναι τε καί χλευασθῆναι καί πάντα τά κατά Θεόν λυπηρά ὑπομεῖναι*». Ἄρα τί πρός ταῦτα ἡμεῖς ἀποκρινόμεθα; Οὐχί πάντα παθεῖν και ὑπομεῖναι ἐπαγγελόμεθα, καί τό «*Ναί, τίμιε πάτερ*» κατά πᾶσαν ἐρώτησιν τῶν τῆς ὑπομονῆς παθημάτων φθεγγόμεθα; Οὐχί ἐγκράτειαν καί ἀγρυπνίαν καί προσευχήν καί ὑπακοήν μέχρι θανάτου τῷ προεστῶτι καί πάσῃ τῇ ἀδελφότητι φυλάξαι ὁμολογοῦμεν ἐνώπιον Θεοῦ καί ἀγγέλων; Καί νῦν, ὡς οὐδενός ὄντος τοῦ μέλλοντος ἀπαιτῆσαι ἡμᾶς τάς συνθήκας ταύτας ἅς συνεθέμεθα, οὕτω διακείμεθα, ἐν ἀφοβίᾳ Θεοῦ διάγοντες καί καταφρονήσει τῶν αὐτοῦ ἐντολῶν, κατεπαιρόμενοι οὐ μόνον ἁπάσης τῆς λοιπῆς ἀδελφότητος, ἀλλά καί τῶν προεστώτων ἡμῶν, γογγύζοντες, ἀντιλέγοντες, καταρώμενοι, ῥαθυμοῦντες καὶ πάντα ποιοῦντες, ὅσα μισεῖ Θεός καί ὅσα εἰς γέενναν πυρός ἀπολλύουσιν ἡμῶν τάς ψυχάς.

Ποῦ τοιοῦτον ἀπό τοῦ αἰῶνος ἠκούσθη μηχανῆς ἔργον; Ποῖος δαίμων τρόπον ἀπωλείας κατά τῶν ἡμετέρων ψυχῶν ἐπινοήσει μείζονα τούτου; Μᾶλλον δέ τί πλεῖον καθ’ ἡμῶν οἱ δαίμονες μεριμνήσουσιν ἤ φροντίσουσι; Τῷ γάρ θελήματι τῆς σαρκός

ὁρῶντες οἱ δαίμονες κατεχομένους ἡμᾶς, τόν θάνατον βλέπουσι περιφέροντας· καί τίνος ἄλλου χάριν καθ’ ἡμῶν αὐτοί ἐκστρατεύουσιν; Ἅπας γάρ ὁ πόλεμος τῶν δαιμόνων διά τοῦτο καθ’ ἡμῶν φέρεται, ὅπως ἐκ τῆς τοῦ Θεοῦ δόξης καί τῆς τοῦ Ἁγίου Πνεύματος ἀλλοτριώσωσι χάριτος τούς πειθομένους αὐτοῖς. Ἀλλ’ ἡμεῖς καί πρό τῆς ἐκείνων πάλης ἑαυτούς ἡμᾶς, ὡς ὁρῶ, τῆς τοιαύτης ἀπεστερήσαμεν δωρεᾶς, καταλιπόντες τάς τοῦ Θεοῦ ἐντολάς καί μηδέ ζητῆσαι αὐτόν ἐξ ὅλης ψυχῆς ποτε προθυμούμενοι. Εἰ γάρ ἐζητοῦμεν αὐτόν, οὐκ ἄν οὕτω ῥαθύμως καί ἀμελῶς ἐβιοῦμεν. Ἐάν τά οὐράνια ἐφροντίζομεν, οὐκ ἄν περί τά γήινα τοσαύτην σπουδήν ἐποιοῦμεν. Ἐάν περί τῶν ἀφθάρτων διενοούμεθα, οὐκ ἄν ἐκεχήναμεν εἰς τά ῥέοντα καί φθαρτά. Ἐάν τῶν αἰωνίων ἐφιέμεθα, οὐκ ἄν τῶν προσκαίρων οὕτως ἀντεποιούμεθα. Ἐάν τόν Θεόν ἠγαπῶμεν, οὐκ ἄν τούς πρός αὐτόν ἡμᾶς ὁδηγοῦντας οὕτως ἀπεστρεφόμεθα. Ἐάν τάς ἀρετάς περιεποιούμεθα, οὐκ ἄν τούς διδασκάλους τῶν ἀρετῶν ἐβδελυσσόμεθα. Ἐάν τήν νηστείαν ἄσμενοι ἠσπαζόμεθα, οὐκ ἄν ποτε διά βρωμάτων ἤ πομάτων ἔνδειαν ἐγογγύζομεν. Ἐάν ἐγκρατεῖς τῶν παθῶν εἶναι ἠγωνιζόμεθα, οὐκ ἄν ἀκρατῶς ταῖς ἡδοναῖς ἐνεδίδομεν. Ἐάν πίστιν εἴχομεν ὀρθήν καί βεβαίαν, οὐκ ἄν τά τῶν ἀπίστων ἔργα διεπραττόμεθα. Ἐάν φόβον Θεοῦ εἰς τάς καρδίας ἡμῶν εἴχομεν, οὐκ ἄν τοῖς γνησίοις δούλοις αὐτοῦ εἰς πᾶσαν ἀρετήν θεάρεστον ἀντεπίπτομεν. Ἐάν ταπείνωσιν ἐκτησάμεθα, οὐκ ἄν τῶν τοῦ Θεοῦ δούλων κατεπαιρόμεθα. Ἐάν ἀγάπην ἀληθινήν κτήσασθαι ἠξιώθημεν, καί τόν Θεόν ἄν ἐγνωρίζομεν καὶ οὐ μόνον παιδεύεσθαι, ἀλλά καί ἀτιμάζεσθαι καί τύπτεσθαι καί ἀδικεῖσθαι καί ἐπηρεάζεσθαι καί πάντα πειρασμόν, πᾶσαν θλῖψιν προθύμως ὑπομένειν διά τόν Χριστόν ἠθελήσαμεν.

Νυνί δέ τοσοῦτον τοῖς πάθεσι κατεσχημένοι τελοῦμεν καί ἐν τοσαύτῃ σκοτώσει καί ἀγνοίᾳ τυγχάνομεν, ὅτι οὐδέ ἐν οἷς ἐσμεν αἰσθανόμεθα, οὐδέ ὅτι κακῶς πράττομεν ἐπιστάμεθα. Διά τοι τοῦτο καί ἐάν παρά τινος ὑπομνησθῶμεν περί τινος ἁμαρτίας, ὡς μή ἀκηκοότες ποτέ τάς τῶν χριστιανῶν Γραφάς οὕτως ἀποκρινόμεθα· «*Καί ἆρά γε ἁμαρτία ἡ πρᾶξις αὕτη ἐστί; Καί τίνος χάριν ἤ καί διά τί ἁμαρτία λογίζεται; Ματαίως τοῦτο παρά τινων ἁμαρτία ὀνομάζεται. Εἴθε τάς μείζονας ἐφυλαξάμεθα πράξεις· περί γάρ τούτων τῶν μικρῶν τήν πολλήν ὁ Θεός ἀκρίβειαν οὐ μή ἐνδείξηται*». Καί ταῦτα τίνες; Οἱ μοναχοί, οἱ δευτέραν ὁμολογίαν καί συνθήκην μετά τοῦ Θεοῦ ποιησάμενοι, οἱ τήν στολήν ὡς ἀρετήν καί τό ὄνομα ἀντί ἁγιότητος περιφέροντες, οἱ κόσμον καί τά ἐν κόσμῳ ἀποβαλέσθαι Χριστῷ συνταξάμενοι, οἱ γονεῦσι καί φίλοις ὁμολογήσαντες ἀποτάξασθαι, οἱ ὡς Θεῷ τῷ πνευματικῷ αὐτῶν πατρί συνταξάμενοι ὑποτάσσεσθαι, οἱ μέχρι καί βλέμματος καί ἀργοῦ ρήματος τήν ἀκρίβειαν καί ἄσκησιν ἐπαγγειλάμενοι, τό φθονεῖν ἤ λοιδορεῖν ἤ γογγύζειν ἤ ἀντιλέγειν ἤ ψεύδεσθαι καί ἰδιορρυθμεῖν καί ὀμνύειν ἤ τι τῆς μονῆς κρυφίως νοσφίζεσθαι ἤ καί διδόναι ἑτέρῳ ἄνευ βουλῆς τοῦ προεστῶτος ἁμαρτίαν οὐ κρίνουσι. Πρός τούτοις, οὐδέ τό κακῶς διοικεῖν τά ἐμπιστευθέντα αὐτοῖς πράγματα, οἷον ἤ προσπαθῶς τι ποιεῖν ἐν αὐτοῖς ἤ ἐμπαθῶς ἤ δολερῶς ἤ φθονερῶς ἤ ἀσυνειδήτως καί κατά πραγματείαν, ἡγοῦνται εἶναι τό σύνολον ἁμαρτίαν.

Οὐ φρίττεις, ἄνθρωπε, τοῦ Θεοῦ ἀκούων καθ’ ἑκάστην σοι λέγοντος διά πάσης τῆς

θείας Γραφῆς· «*Λόγος σαπρός μή ἐκπορευέσθω ἐκ τοῦ στόματος ὑμῶν. Ἀμήν γάρ λέγω ὑμῖν, καί ὑπέρ ἀργοῦ λόγου λόγον δώσετε καί ὑπέρ ψυχροῦ ὕδατος μισθόν λήψεσθε*»; Οὐκ ἀκούεις ὅτι καί ἐννοιῶν καί λογισμῶν καρδίας κριτής ἐστιν ὁ Θεός; Τί γάρ φησιν; «*Ὁ ἐμβλέψας γυναικί πρός τό ἐπιθυμῆσαι, ἤδη ἐμοίχευσεν αὐτήν ἐν τῇ καρδίᾳ αὐτοῦ*». Εἶδες πῶς μοιχός κρίνεται ὁ πρός ἐπιθυμίαν ἐμβλέπων εἰς πρόσωπόν τινος; Οὕτως ἴσθι βεβαίως, ὦ ἄνθρωπε, ὅτι καί ὁ ἐπιθυμίᾳ χρημάτων κρατούμενος φιλάργυρος κρίνεται, εἰ καί μηδέν ἕτερον τό σύνολον κέκτηται, καί ὁ βρωμάτων πολυτελῶν καί πολλῶν ὀρεγόμενος γαστρίμαργός ἐστιν, εἰ καί δι' ἔνδειαν ἄρτῳ μόνῳ καί ὕδατι τρέφεται, καί πόρνος ὁ τοῖς λογισμοῖς ἐπί πολύ συνδυάζων καί μολυνόμενος, εἰ καί πρόσωπον ἀνθρώπου ποτέ μή θεάσηται. Οὕτω καί ὁ λέγων ἐν τῇ καρδίᾳ αὐτοῦ· «*Κακῶς ἐπράχθη τοῦτο καί παραλόγως ἐκεῖνο γέγονε*» καί· «*Διά τί τό καί τό γέγονεν; ἵνα τί δέ καί ἐκεῖνο οὐ γέγονε;*»- μή πλανηθῇ, καταλαλητής ἔσται καί ὡς κατακρίνων κριθήσεται, κἄν μή ἐκβάλῃ ῥῆμα ἐκ τοῦ στόματος αὐτοῦ, μηδέ ἀκούσῃ τις τήν φωνήν αὐτοῦ.

Μή πλανᾶσθε, ἀδελφοί μου, φιλάνθρωπός ἐστιν ὁ Θεός καί ἐλεήμων καί εὔσπλαχνος, κἀγώ μαρτυρῶν ὁμολογῶ καί τῇ αὐτοῦ εὐσπλαχνίᾳ θαρρῶ σώζεσθαι. Πλήν γινώσκετε ὅτι τούς μή μετανοοῦντας καί μετά πάσης ἀκριβείας καί φόβου πολλοῦ τηροῦντας τάς αὐτοῦ ἐντολάς, οὐδέν ὠφελήσει, ἀλλά καί χεῖρον μᾶλλον τῶν ἀπίστων ἐθνῶν καί ἀβαπτίστων αὐτούς τιμωρήσεται. Μή πλανᾶσθε, ὦ ἀδελφοί, μηδέ μικρά ὑμῖν τινα τῶν ἁμαρτημάτων φαινέσθωσαν καί ὡς μή τοσαύτην βλάβην ἐμποιοῦντα ταῖς ἡμετέραις ψυχαῖς καταφρονείσθωσαν παρ' ἡμῶν. Μικροῦ γάρ καί μεγάλου ἁμαρτήματος διαφοράν οὐκ ἐπίστανται οἱ εὐγνώμονες δοῦλοι, ἀλλά κἄν μέχρι βλέμματος ἤ ἐννοίας ἤ λόγου πταίσωσιν, ὡς ἐκπεπτωκότες τῆς τοῦ Θεοῦ ἀγάπης διάκεινται, ὅπερ καί ἀληθές εἶναι πείθομαι. Ὁ γάρ ἔξω τοῦ θείου θελήματος μικρόν τι ἐνθυμηθείς καί μή εὐθύς, τήν τοῦ λογισμοῦ προσβολήν ἐκδιώξας, μετάμελος γένηται, ἀλλά καταδεξάμενος κρατήσει τήν ἔννοιαν, εἰς ἁμαρτίαν αὐτοῦ λογίζεται κἄν ἐν ἀγνοίᾳ τοῦ κακόν εἶναι τοῦτο λογίζεται. Ἐλθόντος γάρ τοῦ νόμου, ἤγουν τῆς τῶν ἁγίων Γραφῶν διδασκαλίας, τό μέν ἐν ἀγνοίᾳ κατεχόμενον κακόν ἀνέζησε καί ἡ ἁμαρτία ἐν ἐμοί εὑρέθη οὖσα, ἐγώ δέ νεκρός καί τοῦ καλοῦ ξένος γέγονα.

Χρή τοίνυν πάντας τούς ἐπερχομένους ἡμῖν λογισμούς διακρίνειν καλῶς καί ἀντιπαρατιθέναι αὐτοῖς τάς μαρτυρίας ἐκ τῶν θεοπνεύστων Γραφῶν καί ἀπό τῆς διδασκαλίας τῶν πνευματικῶν καί ἁγίων πατέρων καί, εἰ μέν συνᾴδοντας ταύταις καί ἰσοδυναμοῦντας εὑρίσκομεν αὐτούς, πάσῃ δυνάμει τούτους κρατεῖν καί εἰς ἔργον θαρροῦντας ἐξάγειν· μή συμφωνοῦντας δέ τῷ λόγῳ τῆς ἀληθείας, μετ' ὀργῆς πολλῆς αὐτούς ἐξ ἑαυτῶν ἀποπέμπεσθαι, καθά γέγραπται· «*Ὀργίζεσθε καί μή ἁμαρτάνετε*». Ὡς γάρ μίασμα καί θανάτου κέντρον, οὕτως ἐκφεύγειν δεῖ τήν ἐγγινομένην ἐκ τῶν ἐμπαθῶν λογισμῶν εἰσβολήν. Πολλῆς οὖν ἡμῖν χρεία τῆς νήψεως, πολλῆς τῆς σπουδῆς, πολλῆς τῆς τῶν θείων Γραφῶν ἐρεύνης. Τήν γάρ ἐξ αὐτῶν ὠφέλειαν ἐμφαίνων ἡμῖν ὁ Σωτήρ ἔλεγεν· «*Ἐρευνᾶτε τάς Γραφάς*». Ἐρευνᾶτε καί μετά πολλῆς ἀκριβείας καί πίστεως κατέχετε τά λεγόμενα, ὅπως ἀκριβῶς ἐκ τῶν θείων Γραφῶν ἐπιστάμενοι τό τοῦ Θεοῦ

θέλημα, δύνησθε τό καλόν διακρίνειν ἀπταίστως ἀπό τοῦ χείρονος καί μή παντί πνεύματι ὑπακούειν, μηδέ τοῖς βλαβεροῖς συμπεριφέρεσθαι λογισμοῖς. Πληροφορήθητε, ἀδελφοί μου, ὅτι οὐδέν οὕτως εὔκολον εἰς τό σωθῆναι ἡμᾶς ὡς τό ἐπακολουθεῖν τοῖς τοῦ Σωτῆρος θείοις προστάγμασι. Πλήν ὅμως πολλῶν ἡμῖν δεῖ τῶν δακρύων, πολλοῦ τοῦ φόβου, πολλῆς τῆς ὑπομονῆς καί ἐπιμόνου εὐχῆς, ἵνα κἄν ἑνός δεσποτικοῦ ῥήματος δύναμις ἀποκαλυφθῇ ἡμῖν, ὅπως γνῶμεν τό ἐν μικροῖς λόγοις κεκρυμμένον μέγα μυστήριον καί μέχρι θανάτου καί ὑπέρ μιᾶς κεραίας τῶν ἐντολῶν τοῦ Θεοῦ τάς ψυχάς ἡμῶν θήσωμεν. Ὁ γάρ τοῦ Θεοῦ λόγος ὡς μάχαιρα δίστομός ἐστιν, ἀποτέμνουσα καί ἀποχωρίζουσα τήν ψυχήν ἀπό πάσης σωματικῆς ἐπιθυμίας τε καί αἰσθήσεως· οὐ μόνον δέ ἀλλά καί ὡς πῦρ φλέγον γίνεται, διεγείρων ἡμῶν τό πρόθυμον τῆς ψυχῆς καί ποιῶν ἡμᾶς τοῦ καταφρονεῖν πάντων τῶν λυπηρῶν τοῦ βίου καί ἡγεῖσθαι χαράν πάντα πειρασμόν ἐπερχόμενον, καί τόν φοβερόν τοῖς ἄλλοις ἀνθρώποις θάνατον, ὡς ζωήν καί ζωῆς πρόξενον, ἐπιθυμεῖν καί ἀσπάζεσθαι.

Διό, παρακαλῶ, ἀνανήψωμέν ποτε, ἀδελφοί μου, καί ἀλλήλους διεγείροντες, τῇ παρακλήσει τοῦ λόγου, πρός ζῆλον καί μίμησιν τοῦ καλοῦ, δράμωμεν σπουδαίως, σπεύσωμεν προθύμως καί ζεούσῃ τῇ προθυμίᾳ χωρισθῶμεν τῇ ἀπροσπαθείᾳ τοῦ κόσμου, ἑνωθῶμεν τῇ ταπεινώσει τοῖς ἀπ’ αἰῶνος ἁγίοις· ἀποδυσώμεθα τόν παλαιόν ἄνθρωπον τῇ ἐκκοπῇ τοῦ γεώδους θελήματος καί τῇ νεκρώσει τοῦ χοϊκοῦ φρονήματος, ἐνδυσώμεθα τόν νέον Ἀδάμ, Ἰησοῦν Χριστόν, διά τῆς καθαρᾶς καί ἀΰλου προσευχῆς, τοῖς διηνεκέσι δάκρυσιν ἀποσμήξαντες ἑαυτούς. Ὥραν καθ’ ὥραν καί ἡμέραν καθ’ ἡμέραν ἀνακαινίζεσθαι ποιήσωμεν ἑαυτούς διά μετανοίας, ἵνα καί πολεμεῖν διδαχθῶμεν καί παλαίειν τοῖς ἀεί πολεμοῦσιν ἡμῖν ἐχθροῖς δαίμοσιν. Ὁ γάρ τά εἰρημένα ὅπλα μηδέπω κτησάμενος, ἐν καιρῷ πολέμου στῆναι οὐ δύναται, μᾶλλον δέ ἐν πάσῃ ὥρᾳ τιτρώσκεται. Γυμνός γάρ ὑπάρχων τῶν ὅπλων ἐκείνων, ἐν εἰρήνῃ καί ἐλευθερίᾳ διάγειν οὐ δύναται, ἐπειδή οὐχ ὁμοίως τῶν ἔξω πολέμων καί ὅπλων καί ὁ ἐν ἡμῖν αὐτοῖς πόλεμος, ἀλλά πολύ ἐκείνου φρικωδέστερος οὗτος. Ἄνθρωποι γάρ πρός ἀνθρώπους μαχόμενοι, ποτέ μέν πολεμοῦσι μετά τῶν ὅπλων, ποτέ δέ ὑπαναχωροῦσι καί παύονται, καί ἅρματα ῥίπτουσι καί ὕπνου μεταλαμβάνουσι καί τροφῆς μετά ἀδείας ἁπάσης, καί ὀχυρώμασι πολλάκις ἑαυτούς περικλείουσι καί ἄλλοι ἀντ’ ἄλλων τήν φυλακήν ἐμπιστεύονται, ὅθεν καί φυγῇ τις χρησάμενος σέσωσται, καί κρατηθείς ἴσως οὐ τεθανάτωται, ἀλλά τήν ἐλευθερίαν περιδόξῳ δουλείᾳ ἀνταλλαξάμενος, περιφανέστερος ὤφθη καί μᾶλλον ἐπλούτησεν. Ἐνταῦθα δέ οὐχ οὕτως, ἀλλά διηνεκής τυγχάνει ὁ πόλεμος καί διηνεκῶς ἀνάγκη περιβεβλῆσθαι τοῖς τοῦ Χριστοῦ στρατώταις τά ἑαυτῶν ὅπλα. Οὐκ ἔνι γάρ ἐν νυκτί ἤ ἐν ἡμέρᾳ ἤ ἐν μιᾷ καιροῦ ῥοπῇ τοῦτον τόν πόλεμον παύσασθαι, ἀλλά καί ἐσθιόντων ἡμῶν καὶ πινόντων καί κοιμωμένων καί ὁτιοῦν ἐργαζομένων, ἐν τῇ ἀκμῇ τῆς μάχης τυγχάνομεν. Ἀσάρκους γάρ ἔχομεν ἐχθρούς, οἵτινες καί κατά πρόσωπον ἡμῶν διηνεκῶς ἵστανται, εἰ καί μή βλέπονται παρ’ ἡμῶν, καί σκοποῦσιν ἀκριβῶς εἴ που εὑρεῖν δυνηθῶσι μέλος ἡμῶν ἄσκεπον τοῦ ἐμπῆξαι τά αὐτῶν βέλη καί θανατῶσαι ἡμᾶς. Καί οὐδείς ἐστιν ὁ ἀπό τειχῶν αἰσθητῶν καί ὀχυρωμάτων ἑαυτόν περιφυλάξαι δυνάμενος καί κἄν μίαν ὥραν ἀποκρυβῆναι καί μικρόν ἀναπνεῦσαι

καθ’ ἑαυτόν ἤ φυγῇ χρήσασθαι καί σωθῆναι, οὐδέ ἄλλον ἀντ’ ἄλλου τοῦτον τόν πόλεμον ἀναδέξασθαι, ἀλλά πᾶσιν ἀνθρώποις ἀνάγκη πᾶσα ἐπίκειται τοῦ πολεμῆσαι τοῦτον τόν πόλεμον, καί ἤ νικήσαντά τινα ζῆσαι ἤ πληγέντα ἀποθανεῖν ἀναμφιβόλως.

Πληγή δέ πρός θάνατόν ἐστι πᾶσα ἀμετανόητος καί ἀνεξαγόρευτος ἁμαρτία καί τό εἰς ἀπόγνωσιν τινά ἐμπεσεῖν, ὅπερ τῆς ἡμετέρας ἐστί προαιρέσεως καί θελήσεως. Εἰ γάρ ἡμεῖς ἑαυτούς οὐ προδώσομεν τῷ τῆς ἀμελείας βόθρῳ καί ἀπογνώσεως, οὐδέν οὐδαμῶς οἱ δαίμονες ἰσχύσουσι καθ’ ἡμῶν. Ἀλλά καί μετά τό πληγῆναι ἡμᾶς, ἐάν θέλωμεν, ἀνδρειότεροι καί ἐμπειρότεροι διά θερμῆς μετανοίας γινόμεθα. Μετά γάρ τό πληγῆναι καί θανεῖν πάλιν ἀναστῆναι καί πολεμεῖν, τῶν γενναιοτάτων καί ἄγαν ἀδρείως ἐστίν, ὅπερ καί πολλοῦ ἄξιόν ἐστι καί θαύματος πλῆρες. Τό μέν γάρ ἀπλήγους ἡμᾶς διατηρηθῆναι οὐκ ἔστι τῶν ἐφ’ ἡμῖν, τό δέ ἀθανάτους εἶναι ἤ θνητούς τῶν ἐφ’ ἡμῖν ἐστι. Μή ἀπογινωσκόντων γάρ ἡμῶν, οὐ τεθνηξόμεθα, θάνατος οὐ κυριεύσει ἡμῶν, ἀλλά ἐσόμεθα ἀεί δυνατοί, τῷ παντοδυνάμῳ καί φιλανθρώπῳ Θεῷ ἡμῶν ἐν μετανοίᾳ προσφεύγοντες.

Διό δή τοῦτο παρακαλῶ ἐμαυτόν τε καί πάντας ὑμᾶς πᾶσαν σπουδήν, πᾶσαν ἀνδρείαν ὑπομονῆς καί καρτερίας διά τῶν ἀγαθῶν ἐπιδείξασθαι πράξεων, ἵνα διά πασῶν τῶν τοῦ Χριστοῦ ἐντολῶν καί προσταγμάτων ὁδεύοντες, ἐν προθυμίᾳ ψυχῆς εἰς τάς αἰωνίους μονάς καταντήσωμεν ἐν ἀγωγίμοις τοῦ Πνεύματος, καί τῇ μιᾷ καί ἀδιαιρέτῳ Τριάδι παραστῆναι καί προσκυνῆσαι καταξιωθῶμεν ἐν αὐτῷ Χριστῷ τῷ Θεῷ ἡμῶν, ᾧ ἡ δόξα καί τό κράτος εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

# Λόγος Δ΄. Περί μετανοίας καί κατανύξεως. Καί ἐκ ποίων ταύτην ἔργων κτήσασθαι δυνατόν. Καί ὅτι ἄνευ δακρύων ἀδύνατον εἰς καθαρότητα καί ἀπάθειαν ἐλάσαι τινά.

Ἐπειδήπερ, πατέρες καί ἀδελφοί, τοῦ ἁγίου πατρός ἡμῶν Συμεών τοῦ Στουδιώτου τά θεόπνευστα τῶν ὑψηλῶν αὐτοῦ πράξεων ἀναγινώσκετε συγγράμματα, ἅπερ ἐκεῖνος εἰς πολλῶν ὠφέλειαν ἐξέθετο θείῳ κινούμενος Πνεύματι, μετά τῶν ἄλλων αὐτοῦ ὑπερφυῶν κατορθωμάτων καί τοῦτο ῥητῶς οὕτως, καθώς ἐν πάσῃ τῇ ζωῇ αὐτοῦ ἐκεῖνος ἀπαραβάτως ἐφύλαξεν, ἔγραψε καί ἐδίδαξε λέγων· «*Ἀδελφέ, ἄνευ δακρύων μή κοινωνήσῃ ποτέ*». Τοῦτο οἱ ἀκροαταί ἀκούσαντες - πολλοί γάρ παρῆσαν οὐ μόνον λαϊκοί, ἀλλά καί μοναχοί τῶν ὀνομαστῶν καί περιδόξων ἐπ' ἀρετῇ -, ἐθαύμασαν ἐπί τῷ λόγῳ καί ἀλλήλοις ἐνατενίσαντες εἶπον, ὡς ὑπομειδιῶντες, ὁμοθυμαδόν μιᾷ τῇ φωνῇ· «*Λοιπόν ἡμεῖς οὐδέποτε κοινωνήσωμεν, ἀλλά μείνωμεν ἅπαντες ἀκοινώνητοι!*».Τούτων ἀκούσας ὁ ἄθλιος ἐγώ καί ταλαίπωρος, κατ' ἰδίαν τε μνησθείς ἐκείνων αὐτῶν τῶν ταῦτα εἰπόντων καί τῶν ῥημάτων αὐτῶν καί διαπονηθείς, ἔκλαυσα πικρῶς, ἐν ὀδύνῃ καρδίας μου λέγων οὕτως ἐν ἐμαυτῷ· «*Ἆρα γε οὕτω περί τοῦ πράγματος ἀληθῶς διακείμενοι καί ὡς ἀδύνατον εἶναι τοῦτο ἀπό ψυχῆς λογισάμενοι, εἶπον ἅ εἶπον; ἤ ὡς μικρόν τι μᾶλλον κατόρθωμα λογισάμενοι τό κατά τόν καιρόν τῆς κοινωνίας κλαῦσαι μόνον, τοῦ ῥήματος κατεγέλασαν;*». Πάντως γάρ εἰ μή καθ' ἑκάστην ἡμέραν καί νύκτα ἔργον ἔχει τό κλαίειν τις ἐνώπιον Χριστοῦ τοῦ Θεοῦ, οὐδέ ὅτε τῶν θείων μυστηρίων μεταλαβεῖν βουληθῇ, κἄν ὁπωσοῦν πενθῆσαι ἤ κλαῦσαι ἰσχύσει κατά Θεόν καί δακρύων κατενεγκεῖν σταλαγμούς· πῶς γάρ, ἐάν μή κατ' οἰκονομίαν τινά ἄρρητον ἤ σύμβασιν ἐξ αἰτίας τινός σπανίως ἐπέλθῃ τινί; ὅ οὐδέ θαυμαστόν μοι δοκεῖ, ὅπου γε πολλοί καί ἐν αὐτῇ τῇ ἐξόδῳ τῆς ψυχῆς αὐτῶν ἔκλαυσαν ὁμοῦ καί ἐδάκρυσαν (οἶμαι δέ οὐ πολλοί, ἀλλά λίαν ὀλίγοι καί εὐαρίθμητοι). Εἰ δέ καί τοῦτο ἀδύνατον πάντῃ λογίζονται, τό μετά δακρύων καθ' ἑκάστην μετέχειν τῶν φρικτῶν μυστηρίων, φεῦ τῆς ἀγνοίας αὐτῶν, βαβαί τῆς ἀναλγησίας, οἴμοι τῆς ἀνοίας τῶν ταῦτα λεγόντων καί ἀμελείας καί τῆς πωρώσεως. Εἰ γάρ ἑαυτούς ἔκρινον, οὐκ ἄν ὑπό τῶν ἰδίων λόγων ἐκρίνοντο· εἰ μετανοίας ἐπεμελοῦντο, οὐκ ἄν ἀδύνατον εἶναί ποτε τοῦτο ἀπηρεύξαντο· εἰ πρᾶξιν μετήρχοντο ἔγκαρπον, οὐκ ἄν ἄγευστοι τοῦ τοιούτου καλοῦ τῆς τοιαύτης δωρεᾶς τοῦ Θεοῦ ὅλως ἐτύγχανον· εἰ φόβον Θεοῦ ἐν καρδίᾳ ἐκτήσαντο, οὐ μόνον ἐν τῷ καιρῷ τῆς μεταλήψεως τῶν θείων μυστηρίων δυνατόν εἶναι τό πενθεῖν καί κλαίειν διεμαρτύραντο, ἀλλά καί ἐν πάσῃ ὥρᾳ εἰ οἷόν τε.

Διό καί τήν ὑμετέραν ἀγάπην περί τούτου πληροφορῆσαι βουλόμενος, ὡς πρός ἐκείνους αὐτούς τούς οὕτως εἰπόντας τόν λόγον ποιούμενος, διερωτῆσαι προῄρημαι· «*Εἴπατέ μοι, ὦ βέλτιστοι ἀδελφοί, διά τί τοῦτο ἀδύνατον*»; «*Ἐπειδή, φησίν, οἱ μέν εὐχερῶς καί ἐξ ἑτοίμου πρός κατάνυξιν ἔχουσιν, οἱ δέ σκληροκάρδιοί τινες καί λιθοκάρδιοι ὄντες, οὐδέ τυπτόμενοι κατανύσσονται. Οἱ οὖν οὕτως ἔχοντες, πῶς κλαίειν καί πενθεῖν δύνανται καί μετά δακρύων ἀεί κοινωνεῖν; Ἀλλά καί οἱ ἱερεῖς αὐτοί τήν*

*θείαν καί ἀναίμακτον λειτουργίαν ἐπιτελοῦντες, πῶς δύνανται κλαίειν; Αὐτό οὖν τοῦτο τό εἶναι σκληρούς, ὥς φατε, καί πρός κατάνυξιν δυσκινήτους, πόθεν αὐτοῖς, εἴπατε εἰ ἐπίστασθε, προσεγένετο; Εἰ δ' ἀγνοεῖτε, μικρόν τι τοῦ ὕψους ὑμῶν ἀνεπαισχύντες ὑφέντες καί τήν ἀκοήν εὐμενῶς ὑποκλίναντες, μή ἀπαξιώσητε μαθεῖν ἐξ ἐμοῦ τοῦ ἐσχάτου. Γέγραπται γάρ· Ἐάν δέ τῷ ἐσχάτῳ ἀποκαλυφθῇ, ὁ πρῶτος σιγάτω».*

«*Πόθεν οὖν, φησίν, ὁ μέν σκληρός, ὁ δέ εὐκατάνυκτος;*». Ἄκουσον. Ἐκ προαιρέσεως ὁ μέν ἀγαθῆς, ὁ δέ φαύλης· καί ἐξ ἐννοιῶν ὁ μέν πονηρῶν, ὁ δέ τοιούτων· καί ἐκ πράξεων ὁ μέν ἐναντίων, ὁ δέ φιλοθέων. Καί εἰ δοκεῖ, σκόπησον καί εὑρήσεις ἅπαντας τούς ἐξ αἰῶνος διά μόνων τῶν τριῶν τούτων, ὅτι πολλοί ἐξ ἀγαθῶν ἐγένοντο πονηροί καί ἐκ πονηρῶν ἀγαθοί. Πόθεν γάρ - ἵνα ἄνωθεν αὐτούς ἐπαριθμήσωμαι - , ὁ Ἑωσφόρος ἐξέπεσεν; οὐχί προαιρέσει καί λογισμῷ συγκαταθέμενος πονηρῷ; Πόθεν ὁ Κάϊν ἀδελφοκτόνος ἐγένετο; οὐχί τῇ πονηρᾷ προαιρέσει ἑαυτόν τοῦ Ποιητοῦ προτιμήσας καί λογισμοῖς πονηροῖς ἐξακολουθήσας, τῷ φθόνῳ ἔκδοτος γέγονε καί τόν φόνον εἰργάσατο; Πόθεν δέ ὁ Σαούλ ἐζήτει κρατῆσαι καί ἀποκτεῖναι τόν Δαυίδ, ὅν ὡς ἑαυτόν ἐτίμα τό πρότερον καί ὑπερηγάπα ὡς εὐεργέτην; ἐκ φύσεως ἤ ἐκ πονηρᾶς προαιρέσεως; εὔδηλον ὅτι ἐκ πονηρᾶς προαιρέσεως· ἐκ φύσεως γάρ οὐδείς ἐγένετο πονηρός, ἐπειδή οὐδέ πονηρῶν ἔργων ποιητής ὁ Θεός, ἀλλά λίαν καλῶν, μάλα δή ἀγαθός ὤν καί τοῦτο οὐ θέσει καί προαιρέσει, ἀλλά φύσσει καί ἀληθείᾳ. Πρός τούτοις πόθεν ὁ μέν εἷς ληστής, ὁ συσταυρωθείς τῷ Δεσπότῃ Ἰησοῦ Χριστῷ, ἔλεγεν· «*Εἰ Υἱός εἶ τοῦ Θεοῦ, σῶσον σεαυτόν καί ἡμᾶς*», ὁ δέ ἕτερος αὐτῷ ἀνθυπέφερεν· «*Οὐδέ φοβῇ σύ τόν Θεόν; ὅτι ἡμεῖς μέν δικαίως, ἄξια γάρ ὧν ἐπράξαμεν ἀπελάβομεν, οὗτος δέ οὐδέν ἄτοπον ἔπραξε*»; Πόθεν, εἰπέ μοι, ὁ μέν ταῦτα, ὁ δέ ἐκεῖνα ἐφθέγξατο; καί ὁ μέν ἐδικαιώθη, ὁ δέ κατεκρίθη; Οὐχί ἐκ προαιρέσεως ἕκαστος καί λογισμῶν ὁ μέν ἀγαθῶν, ὁ δέ πονηρῶν; Ἐκ τούτων γάρ καί ὁ μέν ἀπιστίαν, ὁ δέ πίστιν κτησάμενος ἔλεγε· «*Μνήσθητί μου, Κύριε, ἐν τῇ βασιλείᾳ σου*».

Ἵνα δέ τούς ἄλλους παρήσω πολλούς ὄντας, ἐκ τούτων ὧν εἰπεῖν βούλομαι μάθετε καί διδάχθητε ὅτι προαιρέσεως αὐτεξουσιότητι ἕκαστος, ἤ κατανυκτικός καί ταπεινός, ἤ σκληροκάρδιος καί ὑπερήφανος γίνεται. Καί εἰκότως. Δύο γάρ τινων ἀποτασσομένων τῷ βίῳ ὁμοτέχνων, ὁμογενῶν, συνηλικιωτῶν, ἔσθ' ὅτε καί ἀδελφῶν, ὁμογνωμόνων, ὁμοτρόπων, πονηρῶν, φημί, καί σκληρῶν, ἀσπλάχνων, ὠμοτάτων, φιλασάρκων καί φιλαργύρων καί πᾶν εἶδος κακίας καί πονηρίας μετελθόντων ἐπίσης, καί εἰσερχομένων αὐτῶν ἅμα εἰς τό τῆς ἀσκήσεως στάδιον, ὁ μέν αὐτῶν κατορθοῖ πᾶσαν ὁμοῦ ἀρετήν, ζέσει πίστεως καί προθέσεως, πάντων ἀποκοπήν ποιούμενος τῶν κακῶν, ὁ δέ χείρων ἤ ὅπερ ἦν πρό τοῦ ἀποτάξασθαι γίνεται. Πόθεν οὖν οὐκ ἐπίσης καί τά τῆς ἀρετῆς αὐτοῖς κατωρθώθη, ὥσπερ καί τά τῆς κακίας ἐκορυφώθη; Οὐχί ὅτι ὁ μέν προθέσει ψυχῆς ἀγαθῆς πάντα τά κατά Θεόν ὑπέμεινε λυπηρά, καί πρός τούτοις προσέχων ἦν ἐξ αὐτῆς εἰσόδου καί ἀποταγῆς νουνεχῶς ταῖς θείαις Γραφαῖς καί οἴκοθεν ἀφ' ἑαυτοῦ τό ἀγαθόν ποιεῖν ἐξελέξατο, μιμούμενος τούς τῶν εὐλαβεστέρων ἀνδρῶν βίους καί συναμιλλώμενος αὐτοῖς ἐν νηστείαις καί προσευχαῖς, ἐν δεήσεσιν, ἐν σιωπῇ χειλέων, ἐν

κατανύξει καί δάκρυσιν, ἐν ἀποχῇ βρωμάτων ἡδέων καί ἀκαίρων ὁμιλιῶν, ἐν ἀποχῇ θυμοῦ καί ὀργῆς καί κραυγῆς, ὑπομένων ἐμπόνως ὕβρεις καί θλίψεις καί στενοχωρίας, καί τά εὐτελῆ καί ἀτιμότερα ἐκλεγόμενος τῶν ἔργων, μή ἀντιλέγων ἤ γογγύζων ἐπιτασσόμενος, ἀλλά προθύμως ἐπιτελῶν πάντα καί τόν ἔσχατον ἀεί μεταδιώκων τόπον καί ἑαυτόν εὐτελέστερον λογιζόμενος πάντων καί, ἁπλῶς εἰπεῖν, πάντα ποιῶν μετά γνώσεως, ὅσα ἡμᾶς αἱ θεῖαι Γραφαί σαφῶς ἐκδιδάσκουσιν, ἵνα τυχών ἐλέους καί συγχωρήσεως τῶν προτέρων κακῶν, εὕρῃ παρρησίαν ἐνώπιον τοῦ Θεοῦ; Ὁ δέ τά ἐναντία τούτων πάντων προθέσει ψυχῆς πονηρᾶς ποιῶν, ἔμεινεν ὅπερ ἦν καί πρό τοῦ ἀποτάξασθαι πονηρός, ἵνα μή λέγω καί χείρων ἤ ὅπερ ἦν.

Οὕτως οὐκ ἐκ φύσεως, ὥσπερ τινές οἴονται, ἀλλ' ἐκ προαιρέσεως γίνεται πᾶς ἄνθρωπος εἴτε ταπεινός καί εὐκατάνυκτος, εἴτε σκληρός τήν καρδίαν καί πεπωρωμένος καί ἀκατάνυκτος. Πότε γάρ, εἰπέ μοι, κατανυγήσεται τήν ψυχήν καί δάκρυον ἐκ ὀφθαλμῶν σταλάξει ὁ πᾶσαν ἡμέραν σχεδόν ὧδε κἀκεῖσε περιερχόμενος καί μήτε σιωπῆς χειλέων, μήτε εὐχῆς, μήτε ἀναγνώσεως καί ἡσυχίας ἐπιμελούμενος, ἀλλά ποτέ μέν προσομιλῶν τοῖς πλησίον ἐν ταῖς συνάξεσι, καί οὐ μόνον ἑαυτόν ἀλλά καί οἷς προσομιλεῖ τῆς ὠφελείας ἀποστερῶν, ποτέ δέ διασύρων καί λοιδορούμενος τούς εὐλαβεῖς τῶν ἀδελφῶν καί αὐτόν ἔσθ' ὅτε τόν προηγούμενον; Πότε κατάνυξιν κτήσεται ὁ πάντα περιεργαζόμενος τά τῆς μονῆς, καί οὐ μόνον τά τῆς μονῆς, ἀλλά καί ἑνός ἑκάστου τόν βίον; καί ποτέ μέν λέγων πρός τινας τῶν ἀδελφῶν· «*Ἤκουσα χθές τό καί τό*» φησί, ποτέ δέ· «*Ἔμαθες τί τῷ δεῖνι συνέβη τῷ ταπεινῷ;*» καί πάλιν· «*Ἠκούσατε τοῦ δεῖνος τήν συμφοράν;* ». Ὁ τοιοῦτος ἄρα πότε τῶν οἰκείων ἀναμνημονεύσει κακῶν, ἵνα καί πονέσας δάκρυον καταφέρῃ ἐξ ὀφθαλμῶν αὐτοῦ; Ὁ δέ καί τῆς συνάξεως ἐξερχόμενος ἐν τῷ καιρῷ τῆς ἀναγνώσεως τῶν θείων Γραφῶν καί ἐγγύς ἤ μακράν καθήμενος καί προσομιλῶν μετά τινων - ποτέ μέν ἐκείνου ποτέ δέ τῶν ἄλλων τάς ἀνωφελεῖς συντυχίας προβαλλομένων καί οὕτω λεγόντων· «*Ἠκούσατε, φησί, τί τόν δεῖνα πεποίηκεν ἀδελφόν ὁ ἡγούμενος;*» ὁ δέ· «*Λοιπόν, ἐάν εἴπω ὑμῖν τί τόν δεῖνα πεποίηκεν τόν ταπεινόν, τί ἔχετε εἰπεῖν*»; καί οὕτω τοιαῦτα καί χείρονα τούτων ὁ ὁμιλῶν καί ἀπασχολῶν καί ἀπασχολούμενος εἰς φλυαρίας τοιαύτας, πότε εἰς συναίσθησιν ἔλθῃ τῶν οἰκείων ἁμαρτημάτων καί ἑαυτόν ἀποκλαύσεται;

Ὁ γάρ μή προσέχων τοῖς θεοπνεύστοις λογίοις, μηδέ θύραν τιθέμενος περί τά χείλη αὐτοῦ, μηδέ ἀποστρέφων τό οὖς αὐτοῦ ἐξ ἀκοῆς ματαίας καί μεμνημένος τῆς ἐσχάτης ἀπολογίας καί τοῦ φοβεροῦ βήματος τοῦ Χριστοῦ, ὅπως γυμνοί καί τετραχηλισμένοι ὀφείλομεν παραστήσεσθαι πάντες αὐτῷ καί δοῦναι λόγον ὑπέρ τῶν βεβιωμένων ἡμῖν, πῶς ἄρα, εἰ πλεῖον τῶν ἑκατόν χρόνων ἐπιζήσει ἐν τῷ μοναχικῷ σχήματι, δάκρυον κτήσεται καί πενθήσει θερμῶς ἑαυτόν; Πῶς ὁ τῶν πρωτείων ἀντιποιούμενος ἐν τῇ στάσει τῆς ἐκκλησίας, ἐν τῇ καθέδρᾳ τῆς τραπέζης, καί ὑπέρ τῶν τοιούτων ἀεί μαχόμενος καί λυπούμενος, λυπηθήσεταί ποτε ὑπέρ τῆς ἰδίας ψυχῆς καί κλαύσει πικρῶς ἐνώπιον τοῦ Θεοῦ; Ὁ δέ καί προφασιζόμενος προφάσεις ἐν ἁμαρτίαις, ἀδυναμίαν προβαλλόμενος, δυνατός ὤν καί σφριγῶν καί νέος, ἐν τῇ στάσει τῆς ἐκκλησίας, καί παραμετρῶν ἑαυτόν

τοῖς πολλά κοπιάσασι καί χρονίσασι τῇ ἀσκήσει τῶν εὐλαβεστέρων ἀδελφῶν, λέγων· «*Μή δεύτερός εἰμι τοῦ δεῖνος ἤ τοῦ δεῖνος ἐγώ; ὅτι ἐκεῖνος ἐπακουμβίζων ἵσταται καί ἀπερχόμενος ἵσταται*»- συνεξισάζων ἑαυτόν ἐκείνοις, ὁ ἴσως ἀνάξιος ὤν καί τῆς κάτω χώρας, πότε τῆς ἑαυτοῦ ἀσθενείας ἐπιγνώμων γένηται, ἵνα καί στενάξας ἀπό ψυχῆς κατανυγῇ τήν καρδίαν καί δακρύσῃ τοῖς ὀφθαλμοῖς; Ἡ γάρ κενοδοξία, δοῦλον αὐτόν τῇ ἀκηδίᾳ ἐκδοῦσα, οὐκέτι ἐν οὐδενί καρτερῆσαι ἀφίησιν αὐτόν ἐν ὑπομονῇ· καί διάγει ἔκτοτε ἕκαστος τῶν τοιούτων εἰς πᾶσαν σύναξιν ἐν ῥᾳθυμίᾳ καί ἀμελείᾳ, τοῖς πλησιάζουσιν αὐτῷ καί ἀνεχομένοις ἀκούειν αὐτοῦ προσομιλῶν συνεχῶς μάταια καί γραώδη μυθεύματα. Καί οὕτως ἀναισθήτως ἤ μᾶλλον εἰπεῖν ἀναλγήτως τοῖς πνευματικοῖς καί θεοσεβέσιν ἀνδράσι συνεισερχόμενος ἐν ταῖς θείαις συνάξεσιν, ἀνωφελῶς ἐκεῖθεν ἐξέρχεται, μηδεμίαν ἀλλοίωσιν ὅλως πρός τό κρεῖττον ἐπαισθανόμενος προσγινομένην αὐτῷ, τήν διά τῆς κατανύξεως τοῖς ἀγωνιζομένοις ἀπό Θεοῦ διδομένην, τοῦτο μᾶλλον ἀρκεῖν ἑαυτῷ οἰόμενος, τό μή ἀπολιμπάνεσθαι τῶν τετυπωμένων συνάξεων - ὄρθρου λέγω καί λυχνικοῦ καί τῶν ψαλλομένων ὡρῶν -, οὕτως ἁπλῶς εἰς τήν κατόρθωσιν τῶν ἀρετῶν καί τήν τελείωσιν τῶν τετελειωμένων, εἰς τήν κατά Χριστόν ἡλικίαν. Ἔγνων γάρ τινας ὑπό τῆς τοιαύτης ἀπάτης κατασχεθέντας καί σπουδήν μέν ποιουμένους ὥστε μή περιπεσεῖν εἰς ἁμαρτίαν τινά σαρκικήν μεθ' ἑτέρων συναφθέντας σωμάτων· ὅπως δέ τά ἐν κρυφῇ γινόμενα ἤ καί ἐν τῷ ἀφανεῖ μελετώμενα τῆς καρδίας μή ἐκφυγεῖν τό καθόλου φροντίζοντας, καί οἰομένους σωθήσεσθαι ἄνευ τινός ἄλλης ἐργασίας, εὐχῆς λέγω καί σιωπῆς χειλέων καί ἀγρυπνίας καί ἐγκρατείας καί πτωχείας πνευματικῆς καί ταπεινώσεως καί ἀγάπης, μετά μόνης τῆς ἁπλῶς οὕτω γινομένοις ἐν ταῖς συνάξεσιν ὑπαντῆς. Ἀλλ' οὐχ' οὕτως ἔχει· Θεός γάρ οὐ βλέπει εἰς πρόσωπον, οὐδέ εἰς μόνην τήν ἔξωθεν καταστολήν τῶν ἠθῶν, οὐδέ εἰς τάς κραυγάς ἡμῶν, ἀδελφοί, ἀλλ' εἰς καρδίαν συντετριμμένην καί τεταπεινωμένην καί ἥσυχον καί τόν φόβον τοῦ Θεοῦ ἐπιφερομένην· «*Ἐπί τίνα γάρ, φησίν, ἐπιβλέψω, ἀλλ' ἤ ἐπί τόν πρᾷον καί ἥσυχον καί τρέμοντά μου τούς λόγους*».

Τί δέ καί περί τῶν ἀναξίως προσερχομένων καί αἰτήσεις ποιουμένων εἰς τούς προεστῶτας αὐτῶν εἴπω; Καί οἱ μέν ὅσοι εὐλαβείας δῆθεν τῆς ἔξωθεν ἐπιμελόμενοι μόνον ἤ, μᾶλλον εἰπεῖν, ὅσοι πρός τά κέρδη καί τήν δόξαν καί τά παρόντα μόνον κεχήνασιν· «*Οὐκ ἐσμέν ἄξιοι, φασί, καί ἡμεῖς, τίμιε πάτερ, διακονῆσαι τῇ μονῇ καί τοῖς ἀδελφοῖς; ἤ μόνος ὁ δεῖνα καί ὁ δεῖνα εἰς τήν δεῖνα καί δεῖνα διακονίαν ἐστίν ἄξιος, καί οἰκονομεῖν οἶδεν ἐκεῖνος κρεῖττον παρ' ἡμᾶς τά πράγματα; Δοκίμασον, εἰ βούλει, καί ἡμᾶς καί εὑρήσεις ποιοῦντας καί οἰκονομοῦντας κρεῖττον ἤ ὡς ἐκεῖνοι τά τῆς μονῆς πράγματα*», οἱ δέ ὅσοι τῇ ἀμελείᾳ καί ῥᾳθυμίᾳ ἐξ αὐτῆς αὐτῶν τῆς ἀποταγῆς ἐκδότους δεδώκασιν ἑαυτούς, ἀδυναμίαν σώματος προβαλλόμενοι, οἱ ἀπό τοῦ κόσμου χθές καί πρώην ἐλθόντες καί μυρίων κακῶν γέμοντες, πρό τοῦ ὑποταγῆναι καί ἱδρῶσαι καί κοπιᾶσαι αὐτούς εἰς τό ἔργον τοῦ Θεοῦ, ἀπερχόμενοι ἵστανται, ὡς εἴρηται, μετά τῶν πολλά κεκοπιασάντων ἐπακουμβίζοντες. Καί ἐάν εἴπῃ ὁ πλησίον αὐτοῦ πρός ἕνα τούτων· «*Εἴσελθε, ἀδελφέ, εἰς τόν συνήθη σου τόπον καί στῆθι ψάλλων ἐκεῖ μετά τῶν ἀδελφῶν· δύνασαι γάρ*», ἀποκρίνεται λέγων· «*Ἀπό τῶν ὧδε μᾶλλον προσεχέστερον ἀκούων,*

*κάλλιον ψάλλω ἤπερ ἀφ' οὗ ἐκ συνηθείας ἵσταμαι τόπου*». Ἐάν δέ πάλιν προσθείς ὁ ἀδελφός εἴπῃ αὐτῷ· «*Οὐ δύνασαι ὧδε ἵστασθαι, ἀδελφέ, ἄνευ προστάξεως τοῦ προεστῶτος ἡμῶν*», ἀκούσας ἐκεῖνος εὐθύς ἀπελθών αἰτεῖται τόν προεστῶτα, σώματος ἀδυναμίαν προφασιζόμενος καί ἀσθένειαν, ἕως οὗ ἐπιτύχῃ τοῦ ἰδίου σκοποῦ· «*Καί ἵνα, φησί, πάτερ, ἀκούω τόν πρῶτον κανονάρχον καί ἵσταμαι εἰς τό πρῶτον στηθέον ἤ εἰς τό δεύτερον τοῦ δεῖνος ἐγγύς*», παρισάζων ἑαυτόν τῷ κεκοπιακότι πολλά· καί ὁπηνίκα τοῦ σκοποῦ τύχῃ, ἔκτοτε οὐδέποτε δύναται στῆναι ἐν τῷ χορῷ. Κατά μικρόν δέ καί εἰς πᾶσαν ἄλλην ὑπόθεσιν τοῖς πρώτοις ὁ τοιοῦτος σπουδάζων συναριθμεῖν ἑαυτόν, τήν ἔξωθεν εὐλάβειαν ὑποκρίνεται, προσποιεῖται κοσμίαν καταστολήν, τοῖς ἐρχομένοις ἐν τῇ μονῇ φίλοις τῶν ἄλλων καί ἄρχουσι σπουδάζει προσυπαντᾶν καί ἐν οἷς προσέρχονται ἀδελφοῖς συχνότερον ἀπέρχεται ἐπί τῷ γνώριμος γενέσθαι αὐτῶν, ὠφελεῖσθαι προφασιζόμενος ὑπό τῶν λεγομένων ὑπ' ἐκείνων συντυχιῶν καί ἑρμηνειῶν τῆς θείας Γραφῆς.

Λοιπόν οὖν περιτρέχειν ἄρχεται τό μοναστήριον ἀπό κέλλης εἰς κέλλαν ἀπερχόμενος καί λέγων ἑνί ἑκάστῳ· «*Πίστευσον, ἀδελφέ, οὕτως σε ἀγαπῶ, ὅτι ἐάν μή ἴδω σε, οὐδέ ζῆν νομίζω τήν ἡμέραν ἐκείνην*». Εἰ μέν οὖν εὑρέθη τις, ἐξ ὧν ἀπερχόμενος ταῦτα λέγει, φοβούμενος τόν Θεόν, ἀποκρίνεται λέγων αὐτῷ· «*Μνησθείη σου ὁ Θεός τῆς ἀγάπης, ἀδελφέ μου· τί γάρ καί βλέπεις εἰς ἐμέ ἀγαθόν;*». Ὁ δέ· «*Καί τί, φησίν, οὐκ ἔχεις σύ τῶν καλῶν; Ποῖος γάρ οὕτω πραΰς, εὐλαβής, σοφός, γνωστικός, ἄπλαστος καί τό μεῖζον πάντων πατρός σπλάχνα κεκτημένος, πρός πάντας φιλάδελφος ὤν;*» Ταῦτα δέ λέγων πρός τό γεύσασθαι ἀποβλέπεται μετ' αὐτοῦ. Ὁ δέ πνευματικός ἀδελφός ὁμιλεῖ αὐτῷ κατά τήν δοθεῖσαν αὐτῷ χάριν τά πρός σωτηρίαν ψυχῆς καί, ὅσον τό ἐφ' ἑαυτόν τούς ἐπαίνους αὐτοῦ ἀπωθούμενος, διορθοῦται τόν ἀδελφόν. Εἰ δέ μή τοιοῦτος εὑρεθῇ, ἀλλ' ἀπ' ἐναντίας σαρκικός καί ἀστήρικτος, εὐθύς φυσιοῦται ἐν ἑαυτῷ ὑπό τῶν ἐπαίνων ἐκείνου καί ἀποκριθείς λέγει πρός αὐτόν· «*Καί τί κρεῖσσον τῆς ἀγάπης, ὦ πάτερ καί ἀδελφέ; ὄντως οὐδέν· καί μακάριος ὁ ταύτην κτησάμενος*», καί ἄλλα τινά, ὅσα οἶδε τόν κόλακα ἀποδέχεσθαι καί πρός εὐφημίαν αὐτοῦ διερεθίζειν. Εἶτα ὥσπερ τοῖς ἐπιπλάστοις ἐπαίνοις καταθελγόμενος, νοός κουφότητι χαυνωθείς ὁ τοιοῦτος, εἰ μέν τῶν εὐπόρων ἐστίν, αὐτίκα οὐδ' ὑποχωρῆσαι τοῦτον ἐᾷ, ἀλλ' ἀξιοῖ συνεστιασθῆναι αὐτόν αὐτῷ, καί βρώμασιν αὐτόν δεξιούμενος κενούς ἐπαίνους ἀντιλαμβάνει, τούς εἰς ἀέρα μέν διαλυομένους, βλάβην δέ οὐ τήν τυχοῦσαν τῇ αὐτοῦ προξενοῦντας ψυχῇ. Εἰ δ' οὖν ἀλλά μετά τάς πολλάς καί ἀνωφελεῖς ὁμιλίας λέγει αὐτῷ· «*Μηδέν μοι μέμψῃ, ἀδελφέ. Οἶδεν ἡ ἀγάπη, οὐδέν ἔχω ἄξιόν σου, ἵνα σύν ἐμοί τροφῆς μεταλάβῃς. Ἀλλ' ἐπεί τοιαύτην διάθεσιν καί ἀγάπην πρός ἡμᾶς τούς ταπεινούς κέκτησαι, ἔχομεν ἀπό τοῦ νῦν κοινῶς καί φιλικῶς καταπολαύειν ὧν ἄν ἐπιχορηγήσῃ Κύριος ἡμῖν εἰς βρῶσιν, καί συνευφραίνεσθαί σοι*». Ἔκτοτε οὖν παρεμπίπτει ἐν ἑκατέροις τούτοις φροντίς ἀνεξάλειπτος, καί οὐ παύονται πόρους ἐπιζητοῦντες, ὅθεν ἄν καί προσγένηται αὐτοῖς διά τῆς τῶν βρωμάτων δαψιλείας τήν δοκοῦσαν ἀγάπην βεβαιότερον ἐμπεδώσασθαι.

Οὕτω τοίνυν μετά πάντων προφάσει ἀγάπης, μᾶλλον δέ ἀπάτης συνδήσας ἑαυτόν τοῖς

πᾶσι, ποτέ μέν αὐτός ἄλλον, ποτέ δέ τῶν ἄλλων ὁ καθ' εἷς αὐτόν προσκαλούμενος, οὐκ ἐπιλείπει αὐτόν τράπεζα καί εὐθηνία τῶν εἰς τρυφήν χορτασμάτων εἰς κόρον, καί οὕτω γίνεται χοῖρος καί δεσμεῖται ταῖς ἡδοναῖς καί θεραπεύει ἐνδελεχῶς τήν γαστέρα, ὀκνῶ γάρ εἰπεῖν καί τά αὐτοῦ ὑπογάστρια. Διό καί μετ' ἐπιτηδεύσεως ἐκ τῶν ἐράνων γαστριζόμενος καθ' ἑκάστην τῆς ἑσπέρας ἐρχομένης μετά τήν τῶν ἀποδειπνίων ἀκολουθίαν εἰς τό κελλίον αὐτοῦ ἀπερχόμενος, λέγει τῷ ὑπουργοῦντι αὐτῷ· «*Ἴδε, ταπεινέ, τῷ δίψει συνέχομαι. Ἀλλά θερμόν εὐτρεπίσας, δός μοι πιεῖν καί ἀναψῦξαι τῆς δίψης*». Ἐκεῖνος οὖν, ὡς ἐξ ἔθους ἔχων, εὔνους εὑρίσκεται παραχρῆμα καί δραστικώτατος ὑπηρέτης, οἷα δή καί αὐτός αὐτῷ συνευωχούμενος καί ζωηρότερον μᾶλλον πίνων τόν οἶνον καί ἐκτροφῶν, τοῦ σκότους αὐτῷ λανθάνειν ἐπιβραβεύοντος. Ὅς καί μετά τό πιεῖν ἅπαξ πρός ὄρεξιν αὖθις διεγείρεται βρωμάτων καί λεληθότως τῇ τῶν βρωμάτων ἡδύτητι ὥσπερ ὑποκλεπτόμενος, ἀνεπαισθήτως κορέννυται καί παχεῖαν ἀπεργάζεται τήν γαστέρα καί δυσμεταχείριστον καί τῇ τῆς ψυχῆς ὁρμῇ μή ὑπείκουσαν. Τότε λέγει αὐτῷ ὁ λογισμός· «*Ἀπόλυσόν σου τόν ὑπουργόν καί στῆθι ποίησόν σου τήν συνήθη εὐχήν*». Ἀνταποκρίνεται ὁ ἕτερος λογισμός καί λέγει αὐτῷ· «*Καί πῶς ἰσχύεις στῆναι ἐμπεπλησμένος ὤν καί κατάγομος; Κοιμήθητι μικρόν καί τῇ φύσει βοήθησον εἰς τό ἐξαναλῶσαι τά βρώματα καί πρό τῆς συνάξεως ἐγέρθητι. Καί τότε μᾶλλον, εὐκίνητον ἔχων τό σῶμα, εὔξῃ καλῶς*». Ὑπακούει τῷ λογισμῷ καί πεσών ὑπνοῖ καί ἐάν ἔξυπνος γένηται, οὐκ ἐγείρεται, ἀλλά λέγει· «*Ταχύ ἐστιν, ὑπνώσω ἔτι μικρόν*». Καί οὕτως ὑπερτιθεμένου, φθάνει ἡ σύναξις τοῦ ὄρθρου, καί τηνικαῦτα ἐγειρόμενος εἰσέρχεται εἰς τήν σύναξιν, τό συνειδός ἔχων ἔλεγχον τῆς ἀμελείας καί ῥαθυμίας αὐτοῦ.

Καθώς οὖν προείπομεν, ὡς ἔθος αὐτῷ ἐστι, συχνοτέρως εἰς τάς τῶν φίλων καί ἀγαπητῶν πατέρων κέλλας ἀπερχόμενος ἕως βράδυ κάθηται συνδειπνῶν, συμπίνων, προσομιλῶν αὐτοῖς· καί οὕτως ἐν τῷ κελλίῳ ἐρχόμενος, ἄχρηστος γίνεται οὐ μόνον ἐν τῇ ἑσπερινῇ εὐχῇ, ἀλλά δή καί ἐν τῇ τοῦ ὄρθρου συνάξει, μηδέν ὅλως πνευματικόν ἤ ἐννοῆσαι ἤ διαπράξασθαι δυνάμενος. Ἀλλά καί ἐν τῇ αὐτοῦ κέλλῃ, ἐάν ἕτερος ἐλθών παραβάλῃ, ὁμοίως τήν νύκτα παρέλκει, ἔσθ' ὅτε λοιδορῶν καί κατακρίνων βίους ἑτέρων, καί μένει οὗτος τόν ὅλον τῆς ζωῆς αὐτοῦ χρόνον προσαπολλύς ἐν κραιπάλῃ καί μέθῃ καί μερίμναις οὐκ ἀγαθαῖς.

Ἀλλά τίνος ἕνεκα ταῦτα πάντα διῆλθον; Ἵνα δείξω ὑμῖν, ἀδελφοί, ὅτι ὁ τοιοῦτον ἕλκων βίον οὐ δύναταί ποτε δάκρυον ἐξ ὀφθαλμῶν αὐτοῦ καταγαγεῖν· πῶς γάρ ὁ ἀεί τήν αὐτοῦ θεραπεύων γαστέρα καί διηνεκῶς φροντίζων ὁμοίως τοῖς ἔθνεσι τί φάγεται αὔριον καί τί πίεται καί ὡς δεσποίνῃ δουλεύων τῇ τοῦ φάρυγγος ἡδονῇ; Δῶμεν δέ καί ἀπέχεσθαι τῶν εἰρημένων αὐτόν καί μήτε πρός ἄλλου τινός κέλλαν χωρεῖν, μήτε ἄλλον αὐτόν ὑποδέχεσθαι ἐν τῇ κέλλῃ αὐτοῦ, μήτε κόρῳ γαστρός καί πότῳ καί ἀργολογίαις προσανέχειν, ἀλλά κλείσαντα τάς θύρας ἔνδον μένειν τῆς κέλλης μονώτατον· τί οὖν ὁ ὄφελος αὐτῷ, ἐάν μή πνευματική ὑπάρχῃ καί μετά γνώσεως ἡ ἐργασία αὐτοῦ, ἀλλά κάθηται ἀναγινώσκων πρός τό ἀποστηθίσαι τι, ἵνα ἔχῃ τοῦτο λέγειν ἐν καιρῷ συνάξεως ἤ καί παρουσίᾳ φίλων, ὥστε φαίνεσθαι αὐτόν γνωστικόν; Θῶμεν δέ ὅτι οὐχ ἕνεκα τούτου,

ἀλλά χάριν ὠφελείας καί τοῦ ἀκοῦσαι λόγον Θεοῦ ἐντυγχάνει ταῖς θείαις Γραφαῖς, εἶτα ἐγερθείς ἵσταται εἰς προσευχήν· ἡ δέ προσευχή αὐτοῦ ἔστωσαν, εἰ δοκεῖ, ψαλμοί δύο ἤ τρεῖς ἤ δέκα ἤ ἑκατόν, αἱ προσκυνήσεις ὡσαύτως, ὅσας ἄν καί εἴποις ποιεῖν, εἶθ᾽ οὕτως ἐκπληρώσας πάντα ἀνακλίνεται καί πλέον οὐδέν· τί οὖν, εἰπέ μοι, ὄφελος αὐτῷ ἐκ τῆς τοιαύτης καί μόνον ἐργασίας, ἐάν μή καί ὁ καρπός τῆς εὐχῆς καί τῆς ἀναγνώσεως ἐπανθήσῃ τῇ ψυχῇ αὐτοῦ διά τῶν δακρύων τῆς μετανοίας, ὅς ἐστιν ἡ ἀπάθεια, ἡ ἐπίκτησις τῆς ταπεινοφροσύνης ὁμοῦ καί πρᾳότητος, καί ἡ γνῶσις μετά σοφίας τοῦ πνεύματος; Παντί γάρ τῷ μετά γνώσεως ἐργαζομένῳ τήν πνευματικήν ἐργασίαν τῶν ἐντολῶν τοῦ Θεοῦ ἀναλόγως δίχα πάσης ἀμφιβολίας ἡ τῶν εἰρημένων ἐπιγίνεται κτῆσις τῆς ἐμπόνου ἐργασίας αὐτοῦ. Εἰ δέ ἐργαζομένῳ κατά τό δοκεῖν καί πονοῦντι οὐκ ἐπανθήσει τά εἰρημένα, οὐκ ἔστιν κατά Θεόν ἡ ἐργασία αὐτοῦ ἀλλά μόνον πρός ἀνθρώπων ἀρέσκειαν, καί εἰκότως τῶν κρειττόνων ἐξαμαρτάνει.

Οὕτω τοίνυν ἀεί τόν ἑαυτοῦ βίον ἕκαστος τῶν προειρημένων διερχόμενος, δυνήσεταί ποτε ἆρα, ὡς ὁ ἀπό τῆς ἀρχῆς τῆς ἀποταγῆς αὐτοῦ δούς ἑαυτόν ὅλον εἰς τό πάντα τά κατά θεόν λυπηρά ὑπομεῖναι καί παθεῖν, καθώς ἄνωθεν προειρήκαμεν, δάκρυον ἤ κατάνυξιν κτήσασθαι ἤ τήν ἐκ τοῦ κόσμου συνοῦσαν αὐτῷ κακίαν καί πονηρίαν καί σκληροκαρδίαν ἀποβαλέσθαι καί ταπείνωσιν κτήσασθαι; Οὐδαμῶς. Πλανᾷ ἑαυτόν ὅστις ἄν ᾖ, ὁ ταῦτα νομίζων ἤ καί νομοθετῶν. Ὡς γάρ οὐκ ἐνδέχεται τόν μή ἐκπυρούμενον σίδηρον τῷ πυρί ὁμοίως τῷ ἐκπυρουμένῳ λαμπρύνεσθαι ἤ εἰς ἁπαλότητα δι᾽ ἑτέρας τινός μηχανῆς ἔρχεσθαι καί χαλκεύεσθαι καί εἰς ἐργαλεῖον κατασκευάζεσθαί ποτε εὔχρηστον, οὕτως οὐδέ τόν ἀμελῆ καί ῥᾴθυμον καί τοιοῦτον ἕλκοντα βίον ἐπιβλαβῆ, οἷον ὁ λόγος ἐδήλωσε, δυνατόν τῷ ἀναδεξαμένῳ ἐκ πρώτης τύπους ἀγαθούς ἐξ ὑπακοῆς πατέρων πνευματικῶν καί βίον ἐνάρετον ἔχοντι ἐξισωθῆναι καί τῶν αὐτῶν ἐκείνῳ καταπολαῦσαι δωρεῶν καί χαρισμάτων τοῦ Πνεύματος. Καί εἰκότως. Ὁ μέν γάρ ταπεινός ὤν τήν καρδίαν καί ταπεινοτέρας ἔχων τάς ἐννοίας καί συντετριμμένον τόν λογισμόν προαιρούμενός τε σπουδαιότερον ταῖς θείαις Γραφαῖς ἐξακολουθεῖν καί πᾶσαν ὑπομένων θλῖψιν και πάντα πειρασμόν ὑποφέρων, ἔτι δέ καί μετά πάντων τῶν εὐτελεστέρων συναριθμῶν ἑαυτόν, τάς πράξεις αὐτοῦ δηλονότι καί τά κακά ἀναλογιζόμενος καί μεμφόμενος ἑαυτόν καθ᾽ ἑκάστην καί βλέπων ἁμαρτωλόν ἑαυτόν, προκόπτει συντόμως καί ὑπό τῆς θείας χάριτος, ὅταν μή ἔχῃ ἄνθρωπον, τά πρός σωτηρίαν διδάσκεται, ἐξορίζων κατ᾽ ὀλίγον ἀπό τῆς αὐτοῦ ψυχῆς τάς ἐνούσας αὐτῷ ἀπό τοῦ κόσμου κακίας καί πονηρίας, ἀντεισάγων δέ ἀντ᾽ ἐκείνων τάς ἀρετάς. Ὁ δέ γέμων ἀκαθαρσίας ὁμοῦ καί οἰήσεως καί μή βουλόμενος ἐνώπιον τῆς κραταιᾶς χειρός τοῦ Θεοῦ ταπεινωθῆναι καί ἀνακαλύψαι τά τῆς καρδίας αὐτοῦ πατρί πνευματικῷ καί κολληθῆναι αὐτῷ καί πάντα δρᾶσαι καί παθεῖν, ὅσα πρός ἀρετήν καί Θεόν μετά συνέσεως φέρει καί τελεοῖ τόν κατά Θεόν ἄνθρωπον, γίνεται χείρων ἤ ὅπερ ἦν ἐν τῷ κόσμῳ τοῦ ὑλικοῦ πνεύματος ἀντιστραφέντος καί ἐνοικήσαντος εἰς αὐτόν μετά τῶν ἑπτά πνευμάτων τῆς πονηρίας. Καί οὕτως ὁ μέν ὑπερβαίνει τοσοῦτον καί ὑπερνικᾷ τόν συνεισελθόντα αὐτῷ ἀδελφόν, ὅσον ὁ τρέχων ἐλευθερίως τόν ἐν δεσμοῖς καί πέδαις σιδηραῖς κατεχόμενον· ὁ δέ ἡττᾶται καί τοῖς προτέροις ἐναπομένει κακοῖς ἤ καί χείροσι, μή θελήσας οἴκοθεν

ἐκλέξασθαι καί ποιῆσαι τό ἀγαθόν ἐν τῷ ὑπεισελθεῖν καί ἀναδέξασθαι τούς ἀγῶνας τῆς ἀρετῆς.

Διά τοῦτο οὖν, ὡς ἔφθην εἰπών, ἐργασίας ἐστί καρπός ἡ κατάνυξις καί καρπῶν πρόξενος, μᾶλλον δέ ποιητική πασῶν τῶν ἀρετῶν καί δημιουργός αὕτη καθέστηκε, καθώς πᾶσα Γραφή θεόπνευστος μαρτυρεῖ. Τοιγαροῦν καί ὁ θέλων κόψαι πάθη ἤ κτήσασθαι ἀρετάς, ταύτην πρό πάντων τῶν καλῶν καί μετά πασῶν τῶν ἀρετῶν ὀφείλει ἐπιμελῶς ἐκζητεῖν. Χωρίς γάρ ταύτης οὐ θεάσεται καθαράν ποτε τήν ἑαυτοῦ ψυχήν· εἰ δέ μή ταύτην, οὐδέ τό σῶμα πάντως κτήσεται καθαρόν. Ἄνευ γάρ ὕδατος ἀμήχανον ἐκπληθῆναι τό ῥερυπωμένον ἱμάτιον, καί δίχα δακρύων ἀμηχανέστερον ἀποπλυθῆναι καί καθαρθῆναι κηλίδων καί μολυσμῶν τήν ψυχήν. Μή προφασιζώμεθα προφάσεις ψυχοβλαβεῖς καί ματαίας, μᾶλλον δέ εἰπεῖν εἰς ἅπαν ψευδεῖς καί τῆς ἀπωλείας προξένους, ἀλλ᾽ ἐκζητήσωμεν τήν βασιλίδα ταύτων τῶν ἀρετῶν ὁλοψύχως.

Ὁ γάρ ταύτην ὁλοψύχως ἐπιζητῶν, εὑρίσκει αὐτήν· μᾶλλον δέ αὕτη παραγινομένη εὑρίσκει τόν ἐκζητοῦντα ἐπιπόνως αὐτήν, καί κἄν χαλκοῦ κἄν σιδήρου κἄν ἀδάμαντος σκληροτέραν ἔχῃ καρδίαν, ἅμα τῷ παραγενέσθαι κηροῦ παντός μαλακωτέραν ταύτην ἐργάζεται. Πῦρ γάρ ἐστι θεῖον διαλῦον ὄρη καί πέτρας καί λεῖα πάντα ποιοῦν καί μεταποιοῦν εἰς παραδείσους καί ἀλλοιοῦν τάς αὐτό δεχομένας ψυχάς. Μέσον γάρ τούτων πηγή βλύζουσα γίνεται, ὕδωρ ζωῆς ἀεί πηδῶν καί ἁλλόμενον καί καταρδεῦον πλουσίως αὐτάς, καί ὥσπερ ἀπό δεξαμενῆς τινος καταρρέον εἰς τούς ἐγγύς καί μακράν, καί ὑπερεμπιπλοῦν τάς μετά πίστεως δεχομένας τόν λόγον ψυχάς. Ἐκπλύνει μέν γάρ ἐκ πρώτης τοῦ ῥύπου τούς μετόχους αὐτοῦ, εἶτα συνεκπλύνει τά πάθη καί ἀπορρύπτει, ὥσπερ τραυμάτων λεπίδας ταῦτα ἐξανασπῶν, φημί δή πονηρίαν, φθόνον, κενοδοξίαν καί τἆλλα πάντα ἅ τούτοις συνέπεται· οὐ μόνον δε ἀλλά καί ὥσπερ τις φλόξα περιτρέχουσα κατ᾽ ὀλίγον ἐξαφανίζει ἐκκαίουσα καθ᾽ ὥραν ὡς ἀκάνθας αὐτάς καί καταφλέγουσα· ἥτις καί πρῶτον μέν πόθον ἐμποιεῖ τῆς τελείας τούτων ἐλευθερίας τε καί καθάρσεως, ἔπειτα καί τῶν ἀποκειμένων καί ἡτοιμασμένων παρά Θεοῦ ἀγαθῶν τοῖς ἀγαπῶσι αὐτόν.

Ταῦτα δέ πάντα μετά δακρύων, μᾶλλον δέ διά τῶν δακρύων, τό τῆς κατανύξεως θεῖον πῦρ ἀπεργάζεται· ἄνευ δέ δακρύων, ὡς ἔφαμεν, οὐδέ ἕν τούτων ἤ ἐν ἡμῖν αὐτοῖς ἤ ἔν τισιν ἑτέροις γέγονέ ποτε ἤ γενήσεται. Οὐδέ γάρ ἀπό τῶν θείων Γραφῶν ἀποδείξει τοῦτό τις, ὅτι δακρύων δίχα καί κατανύξεως διηνεκοῦς ἐκαθάρθη τις ἀνθρώπων ποτέ ἤ ἅγιος γέγονεν ἤ Πνεῦμα Ἅγιον ἔλαβεν ἤ τόν Θεόν ἐθεάσατο ἤ σκηνώσαντα ἔνδον αὐτοῦ ἔγνωκεν ἤ ὅλως τοῦτον ἔσχε ποτέ ἔνοικον ἐν τῇ καρδίᾳ αὐτοῦ, μή προηγησαμένης μετανοίας καί κατανύξεως καί ὡς ἀπό πηγῆς ἀεί βρυόντων δακρύων διηνεκῶν, τῶν κατακλυζόντων δηλονότι καί τήν τῆς ψυχῆς ἐκπλυνόντων οἰκίαν, καί αὐτήν καταδροσιζόντων καί ἀναψυχόντων τήν ὑπό τοῦ ἀπροσίτου πυρός κατεχομένην καί καταφλεγομένην ψυχήν.

Οἱ οὖν λέγοντες μή εἶναι δυνατόν καθ᾽ ἑκάστην νύκτα καί ἡμέραν πενθεῖν καί κλαίειν,

ἑαυτούς πάσης ἀρετῆς γυμνούς εἶναι διαμαρτύρονται. Εἰ γάρ οἱ πατέρες ἡμῶν οἱ ἅγιοι οὕτως ἀποφηνάμενοι λέγουσι· «*Ὁ θέλων κόψαι πάθη, κλαυθμῷ κόπτει αὐτά καί ὁ θέλων κτήσασθαι ἀρετάς, κλαυθμῷ κτᾶται αὐτάς*», εὔδηλον ὅτι ὁ μή κλαίων καθ' ἑκάστην, οὔτε τά πάθη κόπτει οὔτε τάς ἀρετάς κατορθοῖ, κἄν, ὡς οἴεται, δοκῇ πάσας μετέρχεσθαι. Τί γάρ ὠφελοῦσιν, εἰπέ μοι, τά ἐργαλεῖα τῆς τέχνης τοῦ τεχνίτου μή παρόντος, τοῦ τήν ὕλην εἰδότος μεταχειρίσασθαι καί ταύτην ποιῆσαι σκεῦος ἁρμόδιον; Τί δέ τόν κηπουρόν ὀνίσησιν, ἐάν ὅλον μέν τόν κῆπον ἐργάσηται καί λαχάνου πᾶν γένος σπείρῃ τε καί φυτεύσῃ ἐν αὐτῷ, μή κατέλθῃ δέ ὑετός ἄνωθεν ἐπ' αὐτοῖς ἤ μή οὔσης ἀρδείας αὐτῷ ὕδατος; Πάντως οὐδέν. Οὕτως οὐδέ ὁ τάς ἄλλας ἀρετάς μετερχόμενος καί κοπιῶν ἐν αὐταῖς ὀνήσεταί τι χωρίς ταύτης τῆς ἁγίας καί μακαρίας δεσποίνης καί δημιουργοῦ πασῶν τῶν ἀρετῶν.

Ὥσπερ γάρ βασιλεύς δίχα τοῦ ὑπ' αὐτόν στρατεύματος ἀσθενής καί εὐχείρωτος τοῖς πᾶσι γίνεται καί οὐδέ βασιλεύς φαίνεται, ἀλλ' ὡς εἷς τῶν λοιπῶν ἀνθρώπων ἐστίν, ὡσαύτως δέ καί τά τοῦ πλήθους στρατεύματα καί στρατόπεδα δίχα βασιλέως ἤ τοῦ ἀρχιστρατήγου αὐτῶν εὐχερῶς διασκορπίζονται καί ὑπό τῶν ἀντιπάλων ἐξαφανίζονται, οὕτως λόγισαι εἶναι τό πένθος πρός τάς λοιπάς ἀρετάς. Στρατόπεδον μέν γάρ ἐπί τό αὐτό συναγόμενον ἁπάσας νόει μοι εἶναι τάς τῶν εἰσαγωγικῶν ἀρετάς, βασιλέα δέ τούτων καί στρατηγάρχην τό μακάριον πένθος καί τόν κλαυθμόν, δι' οὗ ἐπί παράταξιν ἅπαν διατίθεται καί παρατάσσεται τό στρατόπεδον, προθυμοποιούμενον, ἀλειφόμενον, ἐνισχυόμενον, διδασκόμενον, ὅπλα τε αἴρειν καί ὅπῃ δεῖ καί πῶς καί πότε καί ποταπά καί ἐπί ποίῳ καί ποταπῷ τῷ ἀντιπάλῳ κατά καιρόν καί καιρούς καλῶς ὁριζόμενον, τίνας τε πέμπειν σκοπούς καί ὁποίους ἱστᾶν φύλακας καί τί τοῖς ἀπό τῶν ἀντιπάλων πεμπομένοις προσδιαλέγεσθαι χρή καί ποίοις - ἔστι γάρ καί ἀπό μόνης ὁμιλίας τρέψαι πάντας αὐτούς, ἐνίοτε δέ καί ἐκ τοῦ μηδέ εἰς συντυχίαν αὐτούς προσδέξασθαι -, πῶς δέ καί ἐνέδρας κατ' αὐτῶν καί λόγους εἴτουν ἐγκρύμματα, καί πότε καί ποίους τοῦ στρατοπέδου εἰς τοῦτο ἐκπέμψαι καί ἐν ποίοις τόποις, αὐτό δή τό πένθος, λέγω, σαφῶς διατάττεται· ἄνευ δέ τούτου ὁ λαός τῶν ἀρετῶν ἅπας εὐχείρωτος.

Καί διά τοῦτο πρό πάντων καί μετά πάντων ἔργον ἔστω πᾶσιν ἡμῖν, ἀδελφοί, ἡ μετάνοια καί ὁ συνημμένος ταύτῃ κλαυθμός· καί τά τῷ κλαυθμῷ συνεπόμενα δάκρυα· οὔτε γάρ δίχα μετανοίας κλαυθμός, οὔτε δίχα κλαυθμοῦ δάκρυα, ἀλλά τά τρία ταῦτα ἀλλήλοις συνδέδενται, καί οὐκ ἔστι δίχα τοῦ ἑτέρου φανῆναι τό ἕτερον. Μή οὖν λέγῃ τις ἀδύνατον εἶναι τό καθ' ἑκάστην κλαίειν· ὁ γάρ τοῦτο λέγων, ἀδύνατον εἶναι λέγει καί τό καθ' ἑκάστην μετανοεῖν καί ἀνατρέπει πάσας τάς θείας Γραφάς, ἵνα μή λέγω καί αὐτήν τήν ἐντολήν τοῦ Κυρίου τήν λέγουσαν· «*Μετανοεῖτε, ἤγγικε γάρ ἡ βασιλεία τῶν οὐρανῶν*», καί πάλιν· «*Αἰτεῖτε καί λήψεσθε, ζητεῖτε καί εὑρήσετε, κρούετε καί ἀνοιγήσεται ὑμῖν*». Εἰ γάρ τό μετανοεῖν καί κλαίειν καί δακρύειν καθ' ἑκάστην λέγεις ἀδύνατον, τό ταπεινοφρονεῖν καί πάντοτε χαίρειν καί ἀδιαλείπτως προσεύχεσθαι, ἀλλά μήν καί αὐτήν κτήσασθαι καθαράν τήν καρδίαν ἀπό παντοίων παθῶν τε καί λογισμῶν πονηρῶν πρός τό θεάσασθαί τινα τόν Θεόν, πῶς ἐρεῖ ποτε δυνατόν παρά ἀνθρώπων

κατορθωθῆναι φθαρτῶν; Οὐδαμῶς· καί οὕτω γενήσεταί σοι τό μετά ἀπίστων καταταγῆναι καί οὐ πιστῶν. Εἰ μέν γάρ ὁ Θεός πάντα ταῦτα ὡς δυνατά παρ’ ἡμῖν γίνεσθαι καί εἶπε καί λέγει καί καθ’ ἑκάστην βοᾷ, σύ δέ ἀντιλέγεις ἀπ᾽ἐναντίας ἐκείνῳ, ἀδύνατα λέγων εἶναι ἡμῖν καί οὐ δυνατά, πάντως τῶν ἀπίστων διαφέρεις οὐδέν.

Θέλεις οὖν μή κοινωνῆσαί ποτε δίχα δακρύων; Ποίησον τά παρά σοῦ καθ’ ἡμέραν ᾀδόμενά τε ὁμοῦ καί ἀναγινωσκόμενα, καί τηνικαῦτα δυνήσῃ καί τοῦτο ἀδιαλείπτως ἐπιτελεῖν. Ποῖα ταῦτα; Καί ὅλως σύ ἀγνοεῖς; Ἄκουε τοῦ λέγοντος· «*Οὐ γάρ οἱ ἀκροαταί τοῦ νόμου δίκαιοι οὗτοι παρά τῷ Θεῷ, ἀλλ’ οἱ ποιηταί τοῦ νόμου δικαιωθήσονται*». Ἀλλ’ ἵνα μή τόν λόγον μηκύνωμεν, αὐτά σοι λέγω, τά τοῦ Δαυίδ ἀναμνήσομαι ῥήματα· «*Εἰ ἀναβήσομαι, φησίν, ἐπί κλίνης στρωμνῆς μου, εἰ δώσω ὕπνον τοῖς ὀφθαλμοῖς μου καί τοῖς βλεφάροις μου νυσταγμόν καί ἀνάπαυσιν τοῖς κροτάφοις μου, ἕως οὗ εὕρω τόπον τῷ Κυρίῳ, σκήνωμα τῷ Θεῷ Ἰακώβ*», καί πάλιν· «*Οὐκ ἔστιν εἰρήνη ἐν τοῖς ὀστέοις μου ἀπό προσώπου τῶν ἁμαρτιῶν μου, ὅτι αἱ ἀνομίαι μου ὑπερῆραν τήν κεφαλήν μου, ὡσεί φορτίον βαρύ ἐβαρύνθησαν ἐπ’ ἐμέ. Προσώζεσαν καί ἐσάπησαν οἱ μώλωπές μου ἀπό προσώπου τῆς ἀφροσύνης μου. Ἐταλαιπώρησα καί κατεκάμφθην ἕως τέλους, ὅλην τήν ἡμέραν σκυθρωπάζων ἐπορευόμην. Ἐκακώθην καί ἐταπεινώθην ἕως σφόδρα, ὠρυόμην ἀπό στεναγμοῦ τῆς καρδίας μου καί ἐγενόμεην ὡς στρουθίον μονάζον ἐπί δώματος, ὡμοιώθην πελεκᾶνι ἐρημικῷ, ὅτι σποδόν ὡσεί ἄρτον ἔφαγον καί τό πόμα μου μετά κλαυθμοῦ ἐκίρνων. Ἐκοπίασα ἐν τῷ στεναγμῷ μου, λούσω καθ’ ἑκάστην νύκτα τήν κλίνην μου, λούσω καθ’ ἑκάστην τήν κλίνην μου τήν στρωμνήν μου βρέξω*». Φησί δέ καί ὁ τῆς Κλίμακος ἅγιος Ἰωάννης· «*Δίψα καί ἀγρυπνία ἐξέθλιψαν καρδίαν· καρδίας δέ θλιβείσης ἐξεπήδησαν ὕδατα*». Ὁπόσα δέ καί ἄλλα περί τούτων ἡμῖν διαλέγεται, αὐτῇ τῇ βίβλῳ ὁ θελήσας ἐγκῦψαι μαθήσεται.

Εἰ οὖν καί σύ ταῦτα, ἅ καθ’ ἑκάστην ψάλλεις καί ἀναγινώσκεις ἤ ἄλλων ἀναγινωσκόντων ἀκούεις, ἀπαραλείπτως ἐν ὅλῃ καρδίᾳ μετά ταπεινοφροσύνης καί πίστεως διάξεις, ἀμήν εὐαγγελίζομαί σοι χαράν μεγάλην, ὅτι ἐάν ἐπιμείνῃς ταῦτα ποιῶν, διψῶν, ἀγρυπνῶν, μέχρι θανάτου ὑποτασσόμενος καί ὑπακούων ἀδιακρίτως καί ἀνυποκρίτως τῷ προεστῶτί σου, ὑποφέρων τε πᾶσαν θλῖψιν καί ὕβριν καί λοιδορίαν καί διαβολήν, οὐ μήν δέ ἀλλά καί μάστιγας καί αἰκίας παρά τῶν εὐτελεστέρων σου ἀδελφῶν, ἐν πάσῃ εὐχαριστίᾳ διατιθέμενος ἀμνησικάκως πρός αὐτούς καί ὑπέρ αὐτῶν προσευχόμενος, χαῖρε καί ἀγαλλία χαρᾷ ἀνεκλαλήτῳ, ὅτι οὐ μόνον ἐν ἑσπέρᾳ καί πρωῒ καί μεσημβρίᾳ, ἀλλά καί ἐσθίοντί σοι καί πίνοντι καί πολλάκις προσομιλοῦντι, ψάλλοντι καί ἀναγινώσκοντι καί εὐχομένῳ καί ἐπί κλίνης ἀνακειμένῳ σοι, ἡ θεία δωρεά καί ἀνεκλάλητος αὕτη ἐλθοῦσα καταδιώξει σε πάσας τάς ἡμέρας τῆς ζωῆς σου καί συνοδεύσει σοι ἐν ὁδῷ καί συγκαταλύσει σοι καταλύοντι καί διακονοῦντι συνδιακονήσει σοι, παραμυθουμένη καί παρακαλοῦσα τάς ἐκ τοῦ κόπου ὀδύνας σου. Καί τότε γνώσεις, ὡς λίαν πρεπόντως καί καλῶς ὁ ἅγιος εἴρηκε Συμεών μή κοινωνῆσαι ἄνευ δακρύων τινά, καί ὡς δυνατόν τοῦτο καί ἐπ’ ἀληθείας πᾶσιν ἁρμόδιον. Οὐ γάρ ἐκεῖνος, ἀλλά δι’ ἐκείνου τό Ἅγιον Πνεῦμα καί εἶπε καί ἔγραψεν. Εἰ γάρ οὐδείς

ἀναμάρτητος, οὐδ’ ἄν ἡμέρα μία ἡ ζωή αὐτοῦ, καί οὐδείς δύναται ἁγνήν ἔχειν τήν καρδίαν, εὔδηλον ὅτι ἄνευ μετανοίας καί δακρύων ὀφείλει ἄνθρωπος διελθεῖν μίαν καί μόνην ἡμέραν ἐν πάσῃ τῇ ζωῇ αὐτοῦ· ὅσον τό ἐπ’ αὐτόν. Εἰ γάρ καί μή ἔχει δάκρυα, ἀλλά τέως ζητεῖν ὀφείλει ταῦτα ἐξ ὅλης ἰσχύος τε καί ψυχῆς. Οὐδέ γάρ ἄλλως δύναται γενέσθαι ἀναμάρτητος, οὐδέ τήν καρδίαν ἁγνός.

Εἰ δέ μή χαμευνῆσαι καί ἀγρυπνῆσαι βουληθῇ τις, ἀναλογιζόμενος τό πλῆθος τῶν ἁμαρτημάτων αὐτοῦ καί τό βάρος τῶν αὐτοῦ σφαλμάτων, καί διορθώσασθαι ἀνέξεται τούς προσοζέσαντας καί σαπέντας ὑπό ἀμελείας καί καταφρονήσεως μώλωπας τῆς ἐμπαθοῦς ὀρέξεως καί τῶν προλήψεων αὐτοῦ, τῶν εἰς ἀναισθησίαν αὐτόν ἀγουσῶν - τοῦτο γάρ ἡ ὄντως ἀφροσύνη ἐστί -, πῶς εἰς συναίσθησιν ἔλθῃ τῆς μελλούσης τῶν ἁμαρτωλῶν καταδίκης καί κατακρίσεως καί κλαύσει ἐν ὀδύνῃ τῆς καρδίας αὐτοῦ;

Εἰ οὐ βούλεται κακοπαθῆσαί τις ἐν τῷ ταλαιπωρηθῆναι καί κατακαμφθῆναι ἕως τέλους καί ὅλην τήν ἡμέραν σκυθρωπάζων πορεύεσθαι, ἐν τῷ κακωθῆναί τε καί ταπεινωθῆναι ἕως σφόδρα καί ὠρύεσθαι ἀπό στεναγμοῦ τῆς καρδίας αὐτοῦ καί ὡς στρουθίον μονάζον γενέσθαι ἐπί δώματι καί πελεκᾶνι ἐρημικῷ ὁμοιωθῆναι, ἐν τῷ διαθέσει ψυχῆς ξένον γενέσθαι ἀπό πάντων τῶν ἐν τῇ μονῇ καί τῶν ἐν τῷ κόσμῳ καί ἀπαρρησίαστον ἀπό μεγάλων τε καί μικρῶν, ἐν τῷ κοπιᾶν ἐν στεναγμῷ καί τόν ἄρτον ὡσεί σποδόν ἐσθίειν καί τό κιρνᾶν τό πόμα αὐτοῦ μετά κλαυθμοῦ, πῶς ἰσχύσει ποτέ, ἀδελφοί, ἤ λούειν καθ’ ἑκάστην νύκτα τήν κλίνην αὐτοῦ ἤ ἐν δάκρυσι τήν στρωμνήν αὐτοῦ βρέχειν; Ὄντως οὐδέποτε οὐδαμῶς, οὐ μόνον ταῦτα ἐν ἑαυτῷ γεγονότα οὐ μή θεάσηται, ἀλλ’ οὐδέ ἐν εὐχῇ αὐτοῦ εὑρήσει αὐτά, οὐδέ τόπον ἑτοιμάσαι ἰσχύσει τῷ Κυρίῳ, οὐδέ σκήνωμα ἄξιον τῷ Θεῷ Ἰακώβ, ὅς ἐστι Χριστόν Κύριος, ὁ Σωτήρ καί Θεός ἡμῶν. Εἰ δέ μή ταῦτα προετοιμάσει καλῶς, οὐδέ μετά δακρύων, δηλονότι, οὐδέ ἀξίως καί ὡς δεῖ κοινωνῶν, τόν Βασιλέα καί Θεόν ἐν ἑαυτῷ ὑποδέξεται, κἄν ἅπαξ τοῦ ἐνιαυτοῦ τοῦτο ποιήσειε.

«*Τά γάρ ἅγια τοῖς ἁγίοις*» καθ’ ἑκάστην οἱ μέν λέγουσι καί τοῖς ἄλλοις κηρύττουσι, μέγα ἐκβοῶντες αὐτοῖς - εἴθε δέ καί ἑαυτοῖς-, οἱ δέ λεγόντων ἐκείνων ἀκούετε. Τί οὖν; Ὁ μή ἅγιος καί ἀνάξιος; Οὔ, ἀλλ’ ὁ μή καθ’ ἑκάστην τά κρυπτά τῆς καρδίας αὐτοῦ ἐξαγγέλλων, ὁ μή μετάνοιαν ἀξίαν ὑπέρ τούτων καί ὑπέρ τῶν ἐν ἀγνοίᾳ ἐπιδεικνύμενος, ὁ μή πενθῶν ἀεί καί σκυθρωπάζων πορευόμενος καί τά προειρημένα μή μετερχόμενος ἐν σπουδῇ, οὗτος οὐκ ἄξιος. Ὁ δέ ταῦτα πάντα ποιῶν καί καί ἐν στεναγμοῖς καί δάκρυσι τόν ἑαυτοῦ βίον διανύων, καί σφόδρα ἐστίν ἄξιος οὐκ ἐν ἑορτῇ μόνον, ἀλλά καθ’ ἑκάστην ἡμέραν ἐξ αὐτῆς, εἰ τολμηρόν εἰπεῖν, τῆς ἀρχῆς τῆς μετανοίας καί ἐπιστροφῆς αὐτοῦ τῶν θείων τούτων ἐν μετοχῇ γίνεσθαι μυστηρίων. Συγγνωστός γάρ ἐστιν ὁ τοιοῦτος, ὡς ἐν τούτοις καί τοῖς τοιούτοις ἔργοις μέλλων ἐγκαρτερεῖν μέχρι τέλους, ὁδεύων ἐν ταπεινώσει καί συντετριμμένῃ καρδίᾳ. Οὕτω γάρ ποιῶν καί οὕτως ἔχων, φωτίζεται τήν ψυχήν ὁσημέραι, βοηθούμενος ἐκ τῆς μεταλήψεως τῶν ἁγίων, καί εἰς τελείαν κάθαρσιν καί ἁγιότητα συντόμως μᾶλλον ἀνάγεται.

Ἄλλως δέ πως ἀποπλυθῆναι ἤ καθαρθῆναι τό ῥερυπωμένον ἡμῶν σκεῦος καί τήν μολυνθεῖσαν οἰκίαν ἡμῶν οὐκ ἔνι. Ἐγώ γάρ οὐδέν πλέον οὔτε ἀπό τῶν θείων Γραφῶν μεμάθηκα, οὔτε ἐξ ἐμαυτοῦ γνῶναι ἴσχυσα. Λέγοντος γάρ ἀκούομεν καθ' ἑκάστην τοῦ ἀποστόλου· «*Δοκιμαζέτω γάρ, φησίν, ἕκαστος ἑαυτόν καί οὕτως ἐκ τοῦ ἄρτου ἐσθιέτω καί ἐκ τοῦ ποτηρίου πινέστω. Ὁ γάρ ἀναξίως ἐσθίων καί πίνων τό σῶμα τοῦ Κυρίου, κρῖμα ἑαυτῷ ἐσθίει καί πίνει*» καί πάλιν·«*Ὁ δέ ἀναξίως ἐσθίων τό σῶμα καί τό αἶμα τοῦ Κυρίου, ἔνοχος ἔσται τοῦ σώματος καί αἵματος τοῦ Κυρίου, μή διακρίνων τό σῶμα τοῦ Κυρίου* ». Εἰ δέ ὁ μή ἀξίους τούς καρπούς τῆς μετανοίας ἐπιδειξάμενος, ἀνάξιος εἶναι ὑπό πάσης θεοπνεύστου Γραφῆς ἀπελέγχεται, πῶς, εἰπέ μοι σύ, δίχα δακρύων ποτέ καθαρθῆναί τις δυνηθῇ καί ἀξίως, ὅσον τό ἐπ' αὐτῷ, τῶν μυστηρίων μεταλαβεῖν; Καρπός γάρ τῆς μετανοίας πρῶτος ταῦτά εἰσι καί, ὥσπερ ἡ βδελυρά τοῦ σώματος ῥύσις καί ἡ τῆς καρδίας πρός πᾶν πάθος οἱονεί ἐνήδονος μίξις τῷ διαβόλῳ οἷα τις θυσία προσάγεται παρ' ἡμῶν, οὕτω τά ἐξ αὐτῆς χεόμενα πάλιν δάκρυα θυσία εὐπρόσδεκτος τῷ Δεσπότῃ προσφέρονται καί τῆς ἐμπαθοῦς ἐκείνης ἡδονῆς τό αἶσχος ἀποκαθαίρουσι, καί τοῦτο δηλῶν ὁ Δαυίδ ἔλεγε· «*Θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον, καρδίαν συντετριμμένην καί τεταπεινωμένην ὁ Θεός οὐκ ἐξουδενώσει*». Καί εἰκότως· ἐν ἕξει γάρ τοιαύτῃ γενομένη ἡμῶν ἡ ψυχή καί οὕτω καθ' ἑκάστην ταπεινουμένη, ἡμέραν μίαν οὐ διέρχεταί ποτε ἄνευ δακρύων κατά τόν εἰρηκότα Δαυίδ· «*Λούσω καθ' ἑκάστην νύκτα τήν κλίνην μου, ἐν δάκρυσί μου τήν στρωμνήν μου βρέξω*».

Διά τοῦτο οὖν παρακαλῶ καί ὑμᾶς, πατέρες καί ἀδελφοί μου, ἐν σπουδῇ ἕκαστος τήν ἑαυτοῦ ψυχήν ἐν τούτοις καί τοῖς τοιούτοις ἐγγυμνασάτω ἔργοις, ἥτις κατανυγεῖσα καί μεταποιηθεῖσα κατά μικρόν, πηγή γίνεται ποταμούς δακρύων καί κατανύξεως ἀναβλύζουσα. Εἰ δέ μή οὕτω καθαροί γεγονέναι σπουδάσομεν, ἀλλ' ἐν ἀμελείᾳ καί ῥαθυμίᾳ καί χαυνότητι πορεύεσθαι θελήσομεν, ἐγώ μέν οὐδέν ἐρῶ φορτικόν φειδοῖ τῆς ἀγάπης ὑμῶν, πλήν τοῦτο, ῞ιτι κἄν συμβῇ ποτέ τινα μετά δακρύων ἴσως κοινωνῆσαι, ἤγουν ἤ πρό τῆς λειτουργίας ἤ ἐν τῇ θείᾳ λειτουργίᾳ ἤ καί ἐν αὐτῷ τῷ καιρῷ τῆς τῶν θείων μεταλήψεως κλαῦσαι, τάς δέ λοιπάς ἡμέρας τε καί νύκτας οὐ προθυμεῖται τοῦτο ποιεῖν, οὐδέν αὐτῷ ἐκ τοῦ πρός ἅπαξ κλαῦσαι τό ὄφελος ἔσται. Οὐ γάρ τοῦτο μόνον ἀξίους ἡμᾶς εὐθύς ἀποκαθαῖρον ποιεῖ, ἀλλά τό καθ' ἑκάστην καί ἀδιαλείπτως μέχρι θανάτου πενθεῖν, ὡς αὐτός ἡμῖν ὁ Δεσπότης ποιεῖν προσέταξε «*Μετανοεῖτε, λέγων, αἰτεῖτε καί ζητεῖτε καί κρούετε*». Ἕως πότε; «*Ἕως οὗ λήψεσθε, φησί, καί εὑρήσετε καί ἀνοιγήσεται ὑμῖν*». Τίς; Ἡ βασιλεία τῶν οὐρανῶν, δηλονότι.

Αὕτη γάρ ἡ μετάνοια καί ἡ οὕτως ἀπαραλείπτως, ὡς εἴπομεν, μέχρι θανάτου μετά πόνου καί θλίψεως ἐπιτελουμένη, κατά μικρόν μικρόν δάκρυα προχέειν ἡμᾶς ποιεῖ πικρά, δι' ὧν ἀποσμήχει καί ἀποκαθαίρει τόν τῆς ψυχῆς ῥύπον καί μολυσμόν· μετά ταῦτα δέ μετάνοιαν ἡμῖν ἐμποιεῖ καθαράν καί εἰς γλυκέα τά πικρά δάκρυα μεταβάλλει καί χαράν ἀένναον ἀπογεννᾷ ἐν ταῖς καρδίαις ἡμῶν καί τό ἄδυτον φέγγος ἰδεῖν προξενεῖ, ὅ εἰ μή πάσῃ σπουδῇ καταλαβεῖν ἀγωνισόμεθα, πνευματικοί πατέρες καί ἀδελφοί, οὐκ ἄν τῶν παθῶν ἁπάντων τελείως ἀπαλλαγῶμεν, οὐ ἄν τάς ἀρετάς κτησώμεθα πάσας, οὐκ ἄν

ἀξίως ἤ μετά δακρύων τῶν κατά Θεόν ἰσχύσωμεν ποτε τῶν θείων μυστηρίων καθ' ἑκάστην μεταλαμβάνειν ἤ τό συνόν αὐτοῖς θεάσασθαι θεῖον φῶς. Ἀλλ' οὐδέ τήν καρδίαν ἕξομέν ποτε καθαράν, οὐδέ τό Ἅγιον Πνεῦμα ἐνοικήσει γνωστῶς ἐν ἡμῖν, οὐδέ ἰδεῖν ἀξιωθησόμεθα, ὡς οἱ ἅγιοι, τόν Θεόν οὔτε ἐνταῦθα ὄντες οὔτε ἐκεῖ μοί δοκεῖ, τυφλοί ἀπελθόντες, ἀλλ' ὡς ὁ Θεολόγος λέγει Γρηγόριος, τοσοῦτον τῆς ἐκείνου θέας ἐκπέσομεν «*κατά τήν ἀναλογίαν τῆς ἑκάστου ἡμῶν ἀπεντεῦθεν ἀμβλυωπίας*», καθ' ὅσον τοῦ φωτός αὐτοῦ ἑκουσίως ἑαυτούς ὑστερήσαμεν ἐν τῇ παρούσῃ ζωῇ.

Ἀλλά γένοιτο πάντας ἡμᾶς, καθαιρομένους τε καί καθαρθέντας, τοῦτον ἀξιωθήσεσθαι κατιδεῖν. Οἱ γάρ ἐκτός τῶν δύο τούτων τοῦ βίου ὑπεξερχόμενοι, ἄδηλον ἔχουσι τό πέρας τῆς περί αὐτούς ἀποφάσεως. Τό δέ ἄδηλον καί ἀβέβαιον, ἀνέλπιστον καί ἀπληροφόρητον· ὁ γάρ μή χάριτι τήν καρδίαν βεβαιούμενος ἐξ οὐδενός ἑτέρου τήν ἀκαταίσχυντον ἐλπίδα ἀδίστακτόν ποτε, οἶμαι, κτήσεται· ὁ δέ ταύτην μή ἔχων, διά τίνος ἄλλου εἰς ἀπάντησιν τοῦ Κυρίου εἰς ἀέρα συναρπαγήσεται τοῖς ἁγίοις; Διά τίνος δέ καί ἡ λαμπάς ἡμῶν τότε ἐξαναφθήσεται, ἐσβεσμένη ἀπό τῶν ὧδε τυγχάνουσα; Ποῦ τοῦ ἐλαίου καί πόθεν εὑρισκομένου καί ποίου τοῦ πυρός, εἰπέ μοι, τοῦ ταύτην ἀνάψαι μέλλοντος, ἤ πόθεν ἤ πῶς, ἵνα τότε ἑτοιμασθέντες φαιδροί φαιδραῖς ταῖς λαμπάσι τῷ νυμφίῳ προσυπαντήσωμεν; Ἐξαναστάντων γάρ ἡμῶν ὡς ἐξ ὕπνου, εὐθύς πρός τήν ἀπάντησιν, ὡς ἀκούετε, τρέχειν μέλλομεν. Εἰ οὖν καθεζομένων καί ἐν τοῖς μνήμασιν οἰκούντων ἡμῶν, ἐκβοήσασα ἡ σάλπιγξ ἐξυπνήσει ἡμᾶς, ἐάν μή ἀπό τῶν ὧδε, ὡς λαμπάδας προαναφθείσας, ἔχωμεν τάς ψυχάς, ἀλλ' εὑρεθῶσιν ἤ μηδόλως ἤ ὀλίγον τι καί μικρόν φαίνουσαι καί ὅσον οὔπω σβεσθῆναι, κατά τήν εὐαγγελικήν φωνήν, μέλλουσαι, ποῦ τότε εὑρήσομεν ἤ τάς παντελῶς ἐσβεσμένας ἀνάψαι ἤ ταῖς σβεννυμέναις ἀπό τῆς ἐνδείας τοῦ ἐλαίου προσθεῖναί τι μικρόν; Ὄντως οὐδέν οὐδαμοῦ εὑρήσομεν. Διά τοῦτο σπουδάσωμεν ἀπεντεῦθεν ἤδη ταύτας ἀνάψαι διά μετανοίας ὁμοῦ καί δακρύων φαιδρῶς, ἵνα ἐν τῇ ἀναστάσει λαμπροί λαμπρῶς τῷ νυμφίῳ προσυπαντήσωμεν καί συνεισελευσώμεθα αὐτῷ ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν καί τῶν αἰωνίων καταaπολαύσωμεν ἀγαθῶν, ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν ἐν αὐτῷ Χριστῷ τῷ Θεῷ ἡμῶν, ᾧ πρέπει πᾶσα δόξα, τιμή καί προσκύνησις εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## Λόγος Ε΄. Περί μετανοίας. Καί ὅτι οὐκ ἀρκεῖ ἡμῖν ἡ τῶν ἐνόντων μόνον διάδοσις καί ἡ ἀπογύμνωσις αὐτή τῶν πραγμάτων εἰς κάθαρσιν ψυχῆς, ἐάν μή καί τό πένθος κτησώμεθα. Καί περί τῆς τοῦ Ἀδάμ ἐξορίας. Καί ὅτι εἰ μετενόησε παραβάς, οὐκ ἄν τοῦ παραδείσου ἐξέπεσε. Καί οἷον ἀγαθόν εἰργάσατο αὐτοῦ ἡ μετά τήν ἔκπτωσιν μετάνοια. Καί περί τῆς δευτέρας τοῦ Κυρίου παρουσίας καί τῆς τῶν ἁμαρτωλῶν κατακρίσεως. Καί πρός τό τέλος, ἔλεγχος τῶν ἐν κακίᾳ καί ὑποκρίσει ζώντων.

Ἀδελφοί καί πατέρες, καλόν ἡ μετάνοια καί ἡ ἐξ αὐτῆς γινομένη ὠφέλεια. Τοῦτο γάρ εἰδώς καί ὁ τά πάντα προειδώς Κύριος Ἰησοῦς Χριστός, ὁ Θεός ἡμῶν, «*Μετανοεῖτε, ἔφη, ἤγγικε γάρ ἡ βασιλεία τῶν οὐρανῶν*». Θέλετε δέ μαθεῖν πῶς δίχα μετανοίας, καί μετανοίας ἀπό ψυχῆς καί οἵαν ὁ λόγος ἐπιζητεῖ παρ' ἡμῶν, ἀδύνατον σωθῆναι ἡμᾶς; Αὐτοῦ τοῦ ἀποστόλου βοῶντος ἀκούσατε· «*Πᾶσα ἁμαρτία ἐκτός τοῦ σώματος ἐστιν· ὁ δέ πορνεύων εἰς τό ἴδιον σῶμα ἁμαρτάνει*», καί πάλιν· «*Παραστῆναι δεῖ ἡμᾶς ἔμπροσθεν τοῦ βήματος τοῦ Χριστοῦ, ἵνα ἀπολήψηται ἕκαστος τά διά τοῦ σώματος πρός ἅ ἔπραξεν, εἴτε ἀγαθόν εἴτε φαῦλον*». Ἔχει οὖν πολλάκις ἐκ τούτου τις εἰπεῖν· «*Εὐχαριστῶ τῷ Θεῷ, ὅτι οὐκ ἐμίανα μέλος σώματός μου ἐν οὐδεμιᾷ τινι πονηρᾷ πράξει*»- ὅπερ εἰπεῖν οὐκ ἔχω τέως ἐγώ, ὁ πάσης ἀνομίας ἐργάτης! - καί ἔχει δῆθεν παραμυθίαν ἐκ τούτου ὅτι ἐκτός ἐστιν ἁμαρτίας σώματος αὐτοῦ. Ἀλλ' ἀντιφθέγγεται ὁ Δεσπότης καί λέγει τήν περί τῶν δέκα παρθένων παραβολήν καί δείκνυσι πᾶσιν ἡμῖν καί ἀποφαίνεται μηδέν ὠφελεῖσθαι ἡμᾶς ἐκ τῆς τοῦ σώματος καθαρότητος μή προσουσῶν ἡμῖν καί τῶν λοιπῶν ἀρετῶν. Οὐ μόνον δέ ἀλλά καί αὐτός πάλιν ὁ Παῦλος συνᾴδοντα τῷ Δεσπότῃ βοᾷ λέγων· «*Εἰρήνην διώκετε μετά πάντων καί τόν ἁγιασμόν, οὗ χωρίς οὐδείς ὄψεται τόν Κύριον*». Διατί δέ εἶπε «*Διώκετε*»; Διότι οὐ δυνατόν ἐστιν ἐν ὥρᾳ μιᾷ γενέσθαι καί εἶναι ἁγίους ἡμᾶς, δεῖ γάρ ἀπό μικρῶν ἀρξαμένους κατά προκοπήν ἀναχθῆναι εἰς ἁγιωσύνην καί καθαρότητα· καί ὅτι κἄν χίλια ἔτη ἐν τῷ βίῳ τούτῳ ποιήσωμεν, οὐδέποτε τό ταύτης τέλειον καταλαβεῖν δυνησόμεθα, ἀλλά πάντοτε καθ' ἑκάστην, ὡς ἀρχήν βάλοντες, ὀφείλομεν ἐν αὐτῇ ἀγωνίζεσθαι· καί τοῦτο αὐτός πάλιν ἐδήλωσεν οὕτως εἰπών· «*Διώκω δέ εἰ καί καταλάβω, ἐφ' ᾧ καί κατελήφθην*».

Διά τοῦτο, ἀδελφοί μου, προσέχετε, παρακαλῶ, καί ἀκούσατε λόγους ἀδελφοῦ ὑμῶν ἐλαχίστου καί ἁμαρτωλοῦ, καί δεῦτε προσκυνήσωμεν καί προσπέσωμεν τῷ ἀγαθῷ καί φιλανθρώπῳ Θεῷ ἡμῶν. Προφθάσωμεν τό πρόσωπον αὐτοῦ ἐν ἐξομολογήσει καί κλαύσωμεν ἐνώπιον αὐτοῦ τοῦ ποιήσαντος ἡμᾶς, ὅτι αὐτός ἐστι Κύριος ὁ Θεός καί ἡμεῖς λαός αὐτοῦ καί πρόβατα νομῆς αὐτοῦ, καί οὐ μή ἀποστρέψῃ τό πρόσωπον αὐτοῦ ἀφ'

ἡμῶν. Μόνον μετανοήσωμεν ὁλοψύχως καί ἀποβαλώμεθα μή μόνον τάς πράξεις ἡμῶν τάς κακάς, ἀλλά καί αὐτούς ἡμῶν τούς πονηρούς καί ἀκαθάρτους λογισμούς τῆς καρδίας κατά τό γεγραμμένον ἐξαφανίσωμεν· «*Διαρρήξατε, φησί, τάς καρδίας ὑμῶν καί μή τά ἱμάτια ὑμῶν*». Τί τό ὄφελος, εἰπέ μοι, ἐάν πάντα μέν τά ὑπάρχοντα ἡμῶν πτωχοῖς διανείμωμεν, οὐ ποιησώμεθα δέ τήν ἀποχήν τοῦ κακοῦ οὐδέ τήν ἁμαρτίαν μισήσωμεν; Τί δέ ἐάν πρακτικῶς μέν σωματικήν ἁμαρτίαν οὐ πράττωμεν, νοητῶς δέ αἰσχροῖς καί ἀκαθάρτοις συνδυάζωμεν λογισμοῖς καί ἀφανῶς τήν ἁμαρτίαν πληρῶμεν καί ὑπό παθῶν ἀκαθέκτων ψυχῆς βασιλευώμεθα καί κρατώμεθα; Ἀποβαλώμεθα, παρακαλῶ, μετά τῶν χρημάτων ἡμῶν καί τῶν εἰρημένων κακῶν τήν συνήθη δουλείαν, καί μή στῶμεν μέχρι τούτου, ἀλλά καί δάκρυσι μετανοίας τόν ῥύπον αὐτῶν σπουδαίως ἀπονιψώμεθα.

Ὥσπερ γάρ αὐτός ὁ βασιλεύς, ὁ τό διάδημα καί τήν πορφύραν τῆς βασιλείας περικείμενος, ὁ θησαυρούς ἔχων ἀμετρήτου χρυσίου καί ἀργυρίου καί ἐπί θρόνου ὑψηλοῦ καί μετεώρου καθήμενος, ἐάν βόρβορον καί ἀσβόλην ἑκουσίως λάβοι ποθέν καί σύν αὐταῖς ταῖς χερσί καί ὅλον αὐτοῦ τό πρόσωπον χρίσας ἐφμράξῃ πάσας αὐτοῦ τάς αἰσθήσεις, ὡς μήτε ὁρᾶν αὐτόν δύνασθαι μήτε ἀκούειν μήτε ὀσφραίνεσθαι, εἶτα μεταμεληθείς ἀπαλλαγήν τοῦ κακοῦ τούτου ζητῶν, οὐκ εἰσέλθῇ ταχέως εἰς τόν κοιτῶνα αὐτοῦ καί ὕδασι πολλοῖς ἀπονίψηται τόν βόρβορον ἐκεῖνον καί τήν ἀσβόλην, καί οὕτω πάλιν ὡς τό πρότερον κεκαθαρμένος ἐπί τόν θρόνον τῆς βασιλείας αὐτοῦ καθεσθῇ, ἀλλ’ ἀντί τούτου σκορπίσῃ μόνον πάντας αὐτοῦ τούς θησαυρούς τοῖς πένησι καί πᾶσαν αὐτοῦ κινητήν καί ἀκίνητον περιουσίαν ἀποδῴη αὐτοῖς, οὐδέν ἐκ τούτου ὠφελήσει ἑαυτόν μή ἀπονιψάμενος τήν ἀσβόλην καί τόν βόρβορον ὕδατι, ἀλλά καί γέλως ἔσται τοῖς ὁρῶσιν αὐτόν, ὧδε κἀκεῖσε ὡς μορμολύκιον μέσον τῆς συγκλήτου ἀναστρεφόμενος, οὕτως οὐδέ ἕτερός τις ἑαυτόν ὠφελήσει πάντα μέν τά ὑπάρχοντα αὐτοῦ διανείμας τοῖς πένησι, πᾶσαν δέ φτωχείαν καί ἀκτημοσύνην ἀναλαβόμενος, ἀποχήν δέ μή ποιησάμενος τοῦ κακοῦ, μηδέ διά μετανοίας καί δακρύων ἀποκαθάρας αὐτοῦ τήν ψυχήν.

Πᾶς γάρ ἄνθρωπος, ὁ ἁμαρτήσας ὁμοίως ἐμοί τῷ κατακεκριμένῳ καί βορβόρῳ τῶν ἡδονῶν τάς αἰσθήσεις ἐμφράξας αὐτοῦ τῆς ψυχῆς, εἰ καί πᾶσαν μέν τήν περιουσίαν αὐτοῦ διένειμε τοῖς πτωχοῖς, πᾶσαν δέ δόξαν ἀξιωμάτων περιφάνειάν τε οἴκων καί ἵππων, ποιμνίων καί βουκολίων καί ἀνδραπόδων, αὐτούς τε πάντας τούς ἰδίους καί φίλους καί συγγενεῖς κατέλιπε καί πτωχός καί ἀκτήμων εἰς τό τῶν μοναχῶν σχῆμα ἐλθών ἐγένετο, ἀλλ’ οὖν ὡς ἀναγκαίων τῇ ζωῇ αὐτοῦ δέεται τῶν δακρύων τῆς μετανοίας, ἵνα τόν βόρβορον τῶν ἁμαρτημάτων αὐτοῦ ἀπονίψηται, καί μᾶλλον ἐάν ἔτι καθάπερ ἐγώ τήν ἀσβόλην καί τόν βόρβορον τῶν πολλῶν αὐτοῦ κακῶν οὐκ ἐπί τοῦ προσώπου μόνον καί τῶν χειρῶν, ἀλλά καί ὅλως ἐν ὅλῳ τῷ σώματι περιφέρηται. Οὐ γάρ ἀρκεῖ μόνον ἡμῖν ἡ τῶν ὑπαρχόντων διάδοσις εἰς κάθαρσιν τῆς ψυχῆς, ἐάν μή καί κλαύσωμεν καί θρηνήσωμεν ἀπό ψυχῆς, ἀδελφοί. Οἶμαι γάρ ὅτι ἐάν μή πάσῃ σπουδῇ αὐτός ἑαυτόν διά δακρύων τοῦ μολυσμοῦ τῶν ἁμαρτημάτων μου ἐκκαθάρω, ἀλλά μεμολυσμένος τοῦ βίου ἐξέλθω, δικαίως καί παρά τοῦ Θεοῦ καί παρά τῶν ἀγγέλων αὐτοῦ καταγελασθήσομαι καί σύν τοῖς δαίμοσιν εἰς τό πῦρ τό αἰώνιον ἐκβληθήσομαι.

Ναί, ὄντως οὕτως ἐστίν, ἀδελφοί! Οὐδέν γάρ εἰσηνέγκαμεν εἰς τόν κόσμον, ἵνα ἁμαρτήσαντες δῶμεν αὐτό ἀντίλυτρον τῶν ἁμαρτιῶν ἡμῶν τῷ Θεῷ. «*Τί γάρ, φησίν ὁ ἀπόστολος, δώσει ἄνθρωπος τῷ Θεῷ, ἵνα ἀνταποδοθῇ αὐτῷ;*» Αὕτη κρίσις ὀρθή, αὕτη ταπείνωσις δικαία καί ἀληθής. Φησί γάρ καί ὁ Κύριος· «*Μή νομίσητε ὅτι ἦλθον καταλῦσαι τόν νόμον ἤ τούς προφήτας· οὐκ ἦλθον καταλῦσαι ἀλλά πληρῶσαι*». Τοῦτο δέ ἐστι πλήρωμα νόμου τό μή δικαιολογεῖσθαί τινα ἔν τινι, μηδέ ἑαυτόν ἐκδικεῖν, ἀλλά προκεῖσθαι τοῖς πᾶσι τά πάντα ὡσεί νεκρόν, ἵνα εἴτι δ' ἄν ποιῶσιν εἰς αὐτόν μή κινῆται ὅλως μηδέ ταρασσόμενος ἀντιλέγῃ αὐτοῖς, ἀλλ' εἶναι ἐν μόναις ταῖς ἐντολαῖς τοῦ Θεοῦ καί εἰς τό τηρεῖν τά ἐκείνου προστάγματα, ὡς λέοντα ἤ γιγαντιαῖον ἄλλον Σαμψών ἤ εἴ τινα ἕτερον ἤ προγεγονότα ἤ ὄντα καί αὐτοῦ ἀνδρειότερον.

Δυνατόν οὖν ἐστιν, ἀδελφοί, τοῖς πᾶσιν οὐ μόνον τοῖς μοναχοῖς ἀλλά καί τοῖς λαϊκοῖς τό ἀεί καί διηνεκῶς μετανοεῖν καί κλαίειν καί δέεσθαι τοῦ Θεοῦ, καί διά τῶν τοιούτων πράξεων καί τάς λοιπάς πάσας ἀρετάς κτήσασθαι. Καί ὅτι τοῦτο ἀληθές ἐστι συμμαρτυρεῖ μοι καί ὁ χρυσορρήμων Ἰωάννης, ὁ μέγας στῦλος καί διδάσκαλος τῆς ἐκκλησίας, περί τοῦ Δαυίδ λόγοις τόν πεντηκοστόν ψαλμόν ἐξηγούμενος, λέγων δυνατόν εἶναι γυναῖκα ἔχοντα καί παῖδας καί παιδίσκας καί πλῆθος οἰκετῶν καί περιουσίαν πολλήν καί βιωτικοῖς ἐμπρέποντα πράγμασι, μή τοῦτο μόνον δύνασθαι, τό κλαίειν καθ' ἑκάστην καί εὔχεσθαι καί μετανοεῖν, ἀλλά καί εἰς τό τέλειον φθάσαι τῆς ἀρετῆς τόν βουλόμενον καί Πνεῦμα λαβεῖν Ἅγιον καί φίλον γενέσθαι Θεοῦ καί ἐπαπολαύειν τῆς θέας αὐτοῦ, οἷοι καί πρό τῆς Χριστοῦ παρουσίας ἐγένοντο Ἀβραάμ, Ἰσαάκ, Ἰακώβ καί ὁ ἐν Σοδόμοις Λώτ καί - ἵνα τούς ἄλλους παρήσω πολλούς ὄντας - Μωσῆς καί Δαυίδ, ἐν τῇ νέᾳ δέ χάριτι καί ἐπιφανείᾳ τοῦ Θεοῦ καί Σωτῆρος ἡμῶν Πέτρος, ὁ ἁλιεύς καί ἀγράμματος, μετά τῆς πενθερᾶς καί τῶν ἄλλων κηρύσσων τόν ἐπιφανέντα Θεόν. Τούς δ' ἄλλους τίς ἀριθμήσειεν, ὑπέρ σταγόνας ὄντας τῶν ὑετῶν καί ὑπέρ τούς ἀστέρας τοῦ οὐρανοῦ, βασιλεῖς, ἄρχοντας καί δυνάστας - μή εἴπω πένητας καί τούς τῇ αὐταρκείᾳ συζήσαντας - ὧν αἱ πόλεις καί αἱ οἰκίαι καί τῶν ἐκκλησιῶν οἱ ναοί, οὕς ἐκεῖνοι φιλοτίμως ἀνήγειραν, ὧν τά γηροκομεῖα καί τά ξενοδοχεῖα σῴζονται καί εἰσι μέχρι τοῦ νῦν, ἅπερ καί περιόντες ἐκεῖνοι ἐκέκτηντο καί ἐχρῶντο αὐτοῖς εὐσεβῶς, οὐχ ὡς οἰκείοις, ἀλλ' ὡς δοῦλοι τοῦ δεσπότου τά παρά τοῦ δεσπότου δοθέντα αὐτοῖς καί ὡς ἐκείνῳ ἐδόκει διέποντες, χρώμενοι μέν τῷ κόσμῳ κατά τήν τοῦ Παύλου φωνήν, οὐ καταχρώμενοι δέ. Διά γάρ τοῦτο καί ἐν τῷ βίῳ τῷ παρόντι περίδοξοι γεγόνασι καί λαμπροί καί νῦν καί εἰς τούς ἀτελευτήτους αἰῶνας ἐν τῇ βασιλείᾳ τοῦ Θεοῦ περιδοξότεροι καί λαμπρότεροι ἄνθρωποι γενήσονται. Καί εἰ μή ὀκνηροί ἦμεν καί ῥάθυμοι καί καταφρονηταί τῶν ἐντολῶν τοῦ Θεοῦ, ἀλλά σπουδαῖοι καί διεγηγερμένοι καί νήφοντας, οὐδεμίαν εἴχομεν χρείαν ἀποταγῆς ἤ κουρᾶς ἤ τῆς τοῦ κόσμου φυγῆς. Καί ἵνα τοῦτο πιστώσωμαι, ἄκουσον!

Ὁ Θεός τόν ἄνθρωπον βασιλέα ἐποίησεν ἐξ ἀρχῆς πάντων τῶν ἐπί γῆς, ἀλλά μήν καί αὐτῶν τῶν ὑπό τόν ὄροφον ὄντων τοῦ οὐρανοῦ· ἥλιος γάρ καί σελήνη καί ἄστρα διά τόν ἄνθρωπον πάντως παρήχθησαν. Τί οὖν; Βασιλεύες ὤν τούτων ἁπάντων τῶν ὁρωμένων,

ἐβλάπτετο ἆρα ἐκ τούτων πρός ἀρετήν; Οὐμενοῦν οὐδαμῶς, ἀλλά καί μειζόνως, εἰ ἔμεινεν εὐχαριστῶν τῷ ποιήσαντι καί δεδωκότι αὐτῷ τά πάντα Θεῷ, ἔμελλεν εὐδοκιμεῖν. Εἰ μή γάρ παρέβη τήν ἐντολήν τοῦ Δεσπότου, οὐκ ἄν τήν βασιλείαν ταύτην ἀπώλεσεν, οὐκ ἄν τῆς τοῦ Θεοῦ δόξης ἑαυτόν ἀπεστέρησεν· ἐπεί δέ τοῦτο πεποίηκεν, εἰκότως ἐξεβλήθη, ἐξωρίσθη, ἐβίωσε καί ἀπέθανε. Καί λέγω σοι πρᾶγμα ὅπερ σαφῶς, οἶμαι, οὐδείς ἀπεκάλυψε, συνεσκιασμένως δέ τοῦτο εἴρηται. Ποῖον; Ἄκουε τῆς θείας λεγούσης Γραφῆς· «*Καί εἶπεν ὁ Θεός τῷ Ἀδάμ*» - μετά τό παραβῆναι λέγω -· «*'Αδάμ, ποῦ εἶ;*» Τί τοῦτο λέγων, ὁ τοῦ παντός Ποιητής; Πάντως εἰς συναίσθησιν αὐτόν ἀγαγεῖν βουλόμενος καί τοῦτον πρός μετάνοιαν ἐκκαλούμενος, «*Ἀδάμ, ποῦ εἶ; φησί. Κατανόησον σεαυτόν, κατάμαθέ σου τήν γύμνωσιν! Ἴδε οἵου ἐνδύματος, οἵας δόξης ἐστέρησαι. Ἀδάμ, ποῦ εἶ;*» οἱονεί πως τοῦτον παρακαλῶν καί λέγων· «*ναί, φρόνησον, ταπεινέ, ναί, ἔξελθε ὅθεν εἶ κεκρυμμένος. Ἐμέ οἴει κρύπτεσθαι; Εἰπέ· Ἥμαρτον! Ἀλλ' οὐ λέγει τοῦτο, μᾶλλον δέ οὐκ ἐγώ λέγω τοῦτο ὁ ἄθλιος - ἐμόν γάρ τό πάθος ἐστίν! -, ἀλλά τί; Τῆς φωνῆς σου ἤκουσα περιπατοῦντος ἐν τῷ παραδείσῳ καί ἔγνων ὅτι γυμνός εἰμι καί ἐκρύβην*». Τί οὖν ὁ Θεός; «*Καί τίς ἀνήγγειλέ σοι ὅτι γυμνός εἶ, εἰ μή ἀπό τοῦ ξύλου, οὐ ἐνετειλάμην σοι τούτου μόνου μή φαγεῖν, ἀπ' αὐτοῦ ἔφαγες;*».

Ὁρᾶς, ἀγαπητέ, μακροθυμίαν Θεοῦ; Εἰπόντος γάρ αὐτοῦ· «*Ἀδάμ, ποῦ εἶ*»; καί μή ὁμολογήσαντος τήν ἁμαρτίαν εὐθύς, ἀλλ' εἰπόντος· «*Τῆς φωνῆς σου ἤκουσα, Κύριε, καί ἔγνων ὅτι γυμνός εἰμι καί ἐκρύβην*», οὐκ ὠργίσθη ὁ Θεός, οὐκ ἀπεστράφη εὐθύς, ἀλλά καί δευτέρας ἀξιοῖ αὐτόν ἀποκρίσεως καί φησι· «*Τίς ἀνήγγειλέ σοι ὅτι γυμνός εἶ, εἰ μή ἀπό τοῦ ξύλου, οὗ ἐνετειλάμην σοι τούτου μόνου μή φαγεῖν, ἀπ'αὐτοῦ ἔφαγες;*» Νόει μοι βάθος λόγων σοφίας Θεοῦ. «*Τί λέγεις, φησίν, ὅτι 'Γυμνός εἰμι', τήν δέ ἁμαρτίαν σου κρύβεις; Μή νομίζεις με τό σῶμά σου μόνο ὁρᾶν, τήν δέ καρδίαν καί τάς ἐνθυμήσεις σου μή ὁρᾶν;*». Ἤλπιζε γάρ ἀπατηθείς ὁ Ἀδάμ ὅτι οὐκ ᾔδει ὁ Θεός τήν ἁμαρτίαν αὐτοῦ καί ἔλεγεν οὕτω καθ' ἑαυτόν, οἱονεί ὅτι· «*Ἐάν εἴπω ὅτι γυμνός εἰμι, φησίν, ἀγνοῶν ὁ Θεός εἰπεῖν ἔχει· ' Καί διατί εἶ γυμνός;'. Εἶτα ἀπαρνήσασθαι ἔχω ἐγώ καί εἰπεῖν· 'Οὐκ οἶδα', καί λαθεῖν ἔχω αὐτόν καί πάλιν ἀπολαβεῖν τήν πρώτην μου στολήν. Εἰ δέ μή, τέως οὐ μή ἐκβάλῃ με, τέως οὐ μή ἐξορίσῃ με!* ». Ταῦτα ἐνθυμουμένου αὐτοῦ - ὡς καί νῦν ποιοῦσι πολλοί καί αὐτός ἐγώ πρῶτος, τά ἑαυτῶν κακά κρύπτοντες -, ὁ Θεός μή θέλων πολυπλασιάσαι αὐτῷ τό κρίμα λέγει· «*Καί πόθεν ἔγνως ὅτι γυμνός εἶ, εἰ μή ἀπό τοῦ ξύλου, οὗ ἐνετειλάμην σοι μή φαγεῖν, ἀπ' αὐτοῦ ἔφαγες;*», οἱονεί λέγων· Καί ὅλως ἐμέ κρύπτειν οἴεσαι; Οὐ γινώσκω ἐγώ τί πέπραχας; Οὐ λέγεις τό ' Ἥμαρτον'; Εἰπέ, ταπεινέ· 'Ναί, ἀλήθεια, Δέσποτα, παρέβην τήν ἐντολήν σου, ἔπταισα ἀκούσας τῆς συμβουλῆς τῆς γυναικός, ἐσφάλην μεγάλως ποιήσας τόν ἐκείνης λόγον καί παρακούσας τόν σόν, ἐλέησόν με!' Ἀλλ' οὐ λέγει τοῦτο, οὐ ταπεινοῦται, οὐ κάμπτεται, νεῦρον σιδηροῦν ὁ τῆς καρδίας τράχηλος - οἷος δή καί ὁ ἐμός, τοῦ ἀθλίου, ἐστίν - . Εἰ γάρ εἶπε τοῦτο, ἔμεινε ἄν ἐν τῷ παραδείσῳ καί τόν κύκλον ὅλον ἐκεῖνον τῶν μυρίων κακῶν, ὅν ὑπέστη ἐξορισθείς καί εἰς τόν ᾅδην τοσούτους αἰῶνας ποιήσας κείμενος, κερδᾶναι ἄν εἶχε ἀπό μιᾶς τῆς τότε φωνῆς.

Τοῦτο οὖν ἐστιν ὅ ὑπεσχόμην εἰπεῖν. Καί ἄκουσον τῶν ἑξῆς καί γνῶθι ὅτι ἀληθής ἐστιν ὁ λόγος καί οὐκ ἔστι ψεῦδος τό οἱονοῦν ἐν αὐτῷ. Εἶπεν ὁ Θεός τῷ Ἀδάμ· «*Ἥν ὥραν φάγεσθε ἀπό τοῦ ξύλου, οὗ ἐνετειλάμην ὑμῖν τούτου μόνου μή φαγεῖν, θανάτῳ ἀποθανεῖσθε*», δηλονότι τῷ ψυχικῷ, ὅ καί αὐτῇ τῇ ὥρᾳ ἐγένετο, δι' ὅ καί τῆς ἀθανάτου στολῆς ἐγυμνώθη· οὐδέν δέ πλέον προεῖπεν ὁ Θεός καί οὐδέν πλέον ἐγένετο. Προγινώσκων γάρ ὁ Θεός ὅτι ἁμαρτῆσαι ἔχει ὁ Ἀδάμ καί βουλόμενος μετανοοῦντα συγχωρῆσαι αὐτόν, οὐδέν, ὡς εἴρηται, πλέον προαπεφήνατο κατ' αὐτοῦ· ἐπεί δέ ἠρνήσατο τήν ἁμαρτίαν αὐτοῦ καί οὐδέ ἐλεγχόμενος ὑπό τοῦ Θεοῦ μετενόησεν, (ἔφη γάρ· «*Ἡ γυνή, ἥν δέδωκάς μοι, αὕτη με ἠπάτησεν*». - «*Ἥν δέδωκάς μοι!*» ὤ ψυχῆς ἀπροσέκτου, οἱονεί τῷ Θεῷ λεγούσης· «*Σύ, φησίν, ἔπταισας· ἡ γυνή, ἥν δέδωκάς μοι, αὕτη με ἠπάτησεν*»- οἷα καί νῦν ἐγώ πάσχω, ὁ ταπεινός καί ταλαίπωρος, καί οὐ θέλω ταπεινωθῆναί ποτε καί εἰπεῖν ἀπό ψυχῆς ὅτι ἐγώ εἰμι αἴτιος τῆς ἐμῆς ἀπωλείας, ἀλλ' «*Ὁ δεῖνά με, λέγω, παρώτρυνε ποιῆσαι καί εἰπεῖν τά καί τά, ὁ δεῖνά μοι συνεβούλευσεν ἐργάσασθαι τό καί τό*», ὤ ἀθλίας ψυχῆς προϊεμένης ῥήματα ἁμαρτίας μεστά! ὤ ψυχῆς ἀναιδοῦς καί μιαρᾶς ἀναιδέστεροι λόγοι καί μιαροί !) - τοίνυν καί οὕτω τοῦ Ἀδάμ εἰπόντος, τότε λέγει αὐτῷ ὁ Θεός· «*ἐν κόπῳ καί ἱδρῶτι φάγῃ τόν ἄρτονσου, καί ἀκάνθας καί τριβόλους ἀνατελεῖ σοι ἡ γῆ*», καί τελευταῖον ὅτι· «*Γῆ εἶ καί εἰς γῆν ἀπελεύσῃ*»- «*Ἔλεγον, φησί, μετανοῆσαί σε καί εἶναι πάλιν ἐν τῇ προτέρᾳ σου διαγωγῇ. Ἐπειδή δέ σκληρός οὕτως εἶ, ἄπελθε τοῦ λοιποῦ ἀπ' ἐμοῦ καί ἀρκέσει σοι εἰς παίδευσιν ἡ ἀποστασία σου, ὅτι γῆ εἶ καί εἰς γῆν ἀπελεύσῃ*».

Ἤδη οὖν ἔγνως ὅτι μετά τήν παράβασιν διά τό μή μετανοῆσαι καί εἰπεῖν «*Ἥμαρτον*», καί ἐξορίζεται καί ἐν κόπῳ καί ἱδρῶτι διάγειν κελεύεται καί εἰς τήν γῆν, ἐξ ἧς ἐλήφθη, διά τοῦτο κατεκρίθη; Τοῦτο δέ δῆλον ἐκ τῶν ἑξῆς. Τοιγαροῦν καί ἀφείς αὐτόν ἔρχεται πρός τήν Εὔαν, θέλων δεῖξαι ὅτι δικαίως καί αὕτη συνεκβληθήσεται, μετανοῆσαι μή θέλουσα, καί φησι· «*Τί τοῦτο ἐποίησας;*» ἵνα κἄν αὕτη εἴπῃ τό «*Ἥμαρτον*». Ποίαν γάρ καί ἄλλην χρείαν εἶχειν, εἰπέ μοι, ὁ Θεός λαλεῖν πρός αὐτήν ταῦτα τά ῥήματα, εἰ μή πάντως ἵνα εἴπῃ ὅτι· «*Ἐν ἀφροσύνῃ μου, Δέσποτα, τοῦτο ἔπραξα, ἡ ταπεινή καί ἀθλία, σοῦ τοῦ Δεσπότου μου παρακούσασα. Ἐλέησόν με!* ». Ἀλλ' οὐκ εἶπε τοῦτο. Τί δέ; «*Ὁ ὄφις ἐξηπάτησέ με*». Ὦ τῆς ἀναισθησίας! Καί ὅλως ὄφει, κατά τοῦ Δεσπότου λέγοντί σοι, συνέτυχες καί τοῦτον ἀντί τοῦ ποιήσαντός σε Θεοῦ προετίμησας, κἀκείνου τήν συμβουλήν ὑπέρ τήν ἐντολήν τοῦ Δεσπότου προτιμοτέραν καί ἀληθεστέραν πεποίηκας; Ὡς δέ οὐδέ αὕτη εὗρεν εἰπεῖν «*Ἥμαρτον*», ἐκβάλλονται τῆς τρυφῆς, ἐξορίζονται τοῦ παραδείσου καί τοῦ Θεοῦ.

Ἀλλά σκόπει μοι τό βάθος τῶν μυστηρίων τοῦ φιλανθρώπου Θεοῦ καί μάθε καί διδάχθητι ἐντεῦθεν ὅτι εἰ μετενόησαν, οὐκ ἄν ἐξεβλήθησαν, οὐκ ἄν κατεκρίθησαν, οὐκ ἄν εἰς τήν γῆν, ἐξ ἧς ἐλήφθησαν, ἀποστραφῆναι καί κατεδικάσθησαν. Πῶς; Ἄκουσον!

Ἐπεί ἐξεβλήθησαν καί ἤδη ἐξαὐτῆς ἐνέπεσον εἰς τούς ἱδρῶτας καί εἰς τούς σωματικούς κόπους, πεινᾶν δέ ἤρξαντο καί διψᾶν, ῥιγᾶν τε ὁμοῦ καί τρέμειν καί πάσχειν

τοιαῦτα, οἷα καί ἡμεῖς αὐτοί πάσχομεν σήμερον, πλείονα δηλονότι λαβόντες τῆς δυστυχίας ταύτης καί τῆς ἐκπτώσεως αἴσθησιν, οὐ μόνον δέ ἀλλά καί αὐτῆς ἑαυτῶν τῆς κακοφροσύνης καί τῆς ἀφάτου τοῦ Θεοῦ εὐσπλαχνίας, ἔξω οὖν τοῦ παραδείσου περιπατοῦντες καί καθεζόμενοι, μετεμέλοντο, ἔκλαιον, ἐθρήνουν, τό πρόσωπον ἔτυπτον, ἔτιλλον σύροντες ἑαυτῶν τάς τρίχας, τήν ἑαυτῶν σκληροκαρδίαν ἀποκλαιόμενοι, τοῦτο δέ οὐ μίαν ἡμέραν οὐδέ δύο ἤ δέκα, ἀλλ᾽ ἐν πάσῃ, πιστεύσατε, τῇ ζωῇ αὐτῶν. Πῶς γάρ καί μή κλαίειν ἀεί καί διηνεκῶς τόν Δεσπότην ἐκεῖνον τόν ἥμερον ἐνθυμούμενοι, τήν τρυφήν ἐκείνην τήν ἄφραστον, τά κάλλη τῶν ἀνθέων ἐκείνων τά ἄρρητα, τόν ἀμέριμνον βίον καί ἄμοχθον, τάς τῶν ἀγγέλων ἀνόδους καί καθόδους, τάς πρός αὐτούς; Καθάπερ γάρ οἱ παρά τινος τῶν ἀρχόντων τοῦ παρόντος αἰῶνος ἐκλεχθέντες εἰς ὑπηρεσίαν αὐτοῦ δοῦλοι, τήν κατά πρόσωπον, ἕως μέν τήν αἰδῶ καί τήν τιμήν καί τήν δουλείαν ἀνόθευτον φυλάττουσι πρός τόν ἑαυτῶν δεσπότην καί ἀγαπῶσιν αὐτόν τε καί τούς ὁμοδούλους αὐτῶν, ἀπολαύουσι καί τῆς παρρησίας τῆς πρός αὐτόν καί τῆς εὐνοίας καί τῆς ἀγάπης αὐτοῦ ἐν ἀνέσει πολλῇ καί τρυφῇ καί σπατάλῃ, ἐπάν δέ εἰς ἀπόνοιαν τραπέντες κατά τοῦ οἰκείου δεσπότου τραχηλιάσωσι καί κατεπαρθῶσι τῶν συνδούλων αὐτῶν, ἐκπίπτουσι τῆς παρρησίας τῆς πρός αὐτόν καί τῆς ἀγάπης καί τῆς εὐνοίας, ὑπ᾽ ἐκείνου εἰς μακράν χώραν ἐξορισθέντες καί μυρίοις τῇ προστάξει αὐτοῦ καθυποβαλλόμενοι πειρασμοῖς, ἐν τῷ κοπιᾶν καί κατατρύχεσθαι ἐπί πλεῖον καί πλεῖον ἐπαισθάνονται τῆς ἀνέσεως ἧς ἀπέλαυον καί τῶν ἀγαθῶν ὧν ἐξέπεσον τῆς ζημίας, τόν αὐτόν τρόπον πεπόνθασι καί οἱ πρωτόπλαστοι ἐν τῷ παραδείσῳ ὄντες καί ἀπολαύοντες ἐκείνων τῶν ἀγαθῶν, εἶτα ἐκπεσόντες αὐτῶν καί ἐξορισθέντες. Ἐπεί ᾔσθοντο τῆς ἐκπτώσεως, πάντοτε ἐθρήνουν, πάντοτε ἔκλαιον, τοῦ Δεσπότου αὐτῶν τήν εὐσπλαγχνίαν ἐπικαλούμενοι.

Ἀλλά τί ὁ πολύς ἐν ἐλέει καί βραδύς ἐν κολάσει; Ἐπειδή γάρ εἶδε ταπεινωθέντας αὐτούς, τήν μέν ἐξενεχθεῖσαν ψῆφον οὐ λύει τέως - πρός σωφρονισμόν ἡμῶν τοῦτο ποιήσας καί ἵνα μηδείς κατά τοῦ πάντων Ποιητοῦ κατεπαίρηται -, προειδώς δέ ὡς Θεός καί τήν ἔκπτωσιν τούτου τήν μετάνοιαν, προώρισε πάντως πρό τοῦ ποιῆσαι τά πάντα καί τόν καιρόν καί τόν χρόνον καί ὅπως καί πότε ἀπό τῆς ἐξορίας τοῦτον ἀνακαλέσεται ἀπορρήτοις κρίμασι καί ἀνεξιχνίαστοις πάσῃ πνοῇ. Εἰ γάρ καί ἀποκαλυφθῶσί τισι καί γράψαι ταῦτα θελήσουσιν, οὐ χρόνος οὐ χάρτης οὐ μέλαν ἀρκέσειεν, οὐ κόσμος ὅλος αὐτά τά βιβλία χωρήσειεν. Ὡς οὖν σπλαχνισθείς προώρισε καί προεῖπεν, οὕτω δή καί ἐποίησε. Καί οὕς ἐκ τοῦ παραδείσου διά τήν ἀναίδειαν καί ἀμεταμέλητον καρδίαν καί γνώμην ἐξέβαλε, πρεπόντως μετανοήσαντας καί ἀξίως ταπεινωθέντας καί κλαύσαντας καί θρηνήσαντας, αὐτός ἐκεῖνος, ὁ μόνος ἐκ μόνου Μονογενής Υἱός καί Λόγος, τοῦ προανάρχου Πατρός αὐτοῦ κατελθών - ὡς ἴστε πάντες -, οὐ μόνον ὁμοίως ἐκείνοις ἄνθρωπος γέγονεν, ἀλλά καί ἀποθανεῖν, ὡς αὐτοί, κατεδέξατο, βιαστόν ἑλόμενος καί ἐπονείδιστον θάνατον, καί κατελθών εἰς τόν ᾅδην, κἀκεῖθεν αὐτούς ἀνέστησεν. Ὁ οὖν τοσαῦτα, ὅσα καθ᾽ ἑκάστην ἀκούεις, παθών δι᾽αὐτούς, ἵνα αὐτούς ἀπό τῆς μακρᾶς ἐκείνης ἐξορίας ἀνακαλέσηται, εἰ μετενόησαν ἐν τῷ παραδείσῳ, οὐκ ἄν αὐτούς συνεπάθησε; Καί πῶς οὐχί ὁ φύσει φιλάνθρωπος καί διά τοῦτο ποιήσας αὐτόν, ἵνα τῶν ἀγαθῶν αὐτοῦ τῶν ἐν τῷ παραδείσῳ ἀπολαύῃ καί δοξάζῃ τόν εὐεργέτην αὐτοῦ; Ναί

ὄντως, ἀδελφοί, τοῦτο ἄν, ὡς οἶμαι, ἐγένετο. Ἵνα δέ μάθῃς καί τά λοιπά καί ἐπί πλεῖον τῷ λόγῳ πιστεύσῃς, ἄκουσον τῶν ἑξῆς!

Εἰ μετενεόησαν ἔνδον ὄντες τοῦ παραδείσου, αὐτόν ἐκεῖνον ἀπελάμβανον τόν παράδεισον καί πλέον οὐδέν. Ἐπεί δέ ἐξεβλήθησαν διά τό ἀμετανόητον αὐτῶν, μετά δέ ταῦτα μετανοήσαντες ἔκλαυσαν, ἐθλίβησαν - ἅπερ, ὡς εἶπον, οὐ μή ἔπαθον, εἰ ἐν τῷ παραδείσῳ μετανόησαν -, ὑπέρ τῶν πόνων τούτων καί ἱδρώτων καί κόπων καί τῆς καλῆς μετανοίας αὐτῶν θέλων ὁ Δεσπότης Θεός τιμῆσαι καί δοξάσαι αὐτούς, οὐ μόνον δέ ἀλλά καί ποιῆσαι αὐτούς ἅπαντα ἐκεῖνα τά δεινά ἐπιλαθέσθαι, τί ποιεῖ; Καί σκόπει μοι τῆς φιλανθρωπίας τό μέγεθος! Κατελθών εἰς τόν ᾅδην καί ἀναστήσας αὐτούς, οὐχί εἰς τόν παράδεισον, ὅθεν ἐξέπεσον, ἀποκατέστησε πάλιν αὐτούς, ἀλλ' εἰς ἐκεῖνον αὐτόν ἀνήγαγε τόν οὐρανόν τοῦ οὐρανοῦ· καί καθίσας ὁ Δεσπότης ἐκ δεξιῶν τοῦ Θεοῦ καί προανάρχου Πατρός αὐτοῦ, τί λέγεις ποιῆσαι αὐτόν, τόν δοῦλον μέν αὐτοῦ κατά φύσιν, πατέρα δέ αὐτοῦ χρηματίσαντα κατά χάριν; Εἶδες εἰς οἷον ὕψος αὐτόν διά τήν μετάνοιαν αὐτοῦ καί ταπείνωσιν καί τούς θρήνους αὐτοῦ καί τά δάρκυα ὁ Δεσπότης ἀνήγαγεν;

Ὢ μετανοίας ἰσχύς καί δακρύων! Ὢ φιλανθρωπίας ἀφάτου καί ἀνεξιχνιάστου ἐλέους πέλαγος, ἀδελφοί! Ὅτι οὐ μόνον ἐκεῖνον, ἀλλά καί ἅπαν τό σπέρμα αὐτοῦ, ἡμᾶς δηλονότι τούς υἱούς αὐτοῦ, τούς μιμουμένους ἐκείνου τήν ἐξομολόγησιν, τήν μετάνοιαν, τόν θρῆνον, τά δάκρυα καί τἆλλα ἅπερ προείπομεν, οὕτως ὡς ἐκεῖνον καί ἐτίμησε καί ἐδόξασε, καί τούς οὕτω ποιοῦντας ἕως τοῦ νῦν καί ἀπό τοῦ νῦν ποιήσοντας, εἴτε κοσμικοί εἶεν εἴτε μονάζοντες· «*Ἀμήν, εἶπεν ὁ ἀληθής Θεός, οὐκ ἐγκαταλείψω αὐτούς ποτε, ἀλλ' ὡς ἀδελφούς μου καί φίλους, πατέρας τε καί μητέρας καί συγγενεῖς καί συγκληρονόμους μου ἀναδείξω αὐτούς, καί ἐδόξασα καί δοξάσω καί ἐν τῷ οὐρανῷ ἄνω καί ἐπί τῆς γῆς κάτω, καί τῆς ζωῆς αὐτῶν καί εὐφροσύνης καί δόξης οὐκ ἔσται τέλος ποτέ*».

Τί οὖν, εἰπέ μοι, τούς πρωτοπλάστους ὠφέλησεν ἡ ἐν τῷ παραδείσῳ ἄπονος διαγωγή καί ἀμέριμνος, ἀδελφέ, ῥαθυμήσαντας καί τῇ πρός Θεόν ἀπιστίᾳ καταφρονήσαντας καί τήν ἐντολήν παραβάντας αὐτοῦ; Εἰ γάρ ἐπίστευσαν αὐτῷ, οὐκ ἄν τόν ὄφιν ἡ Εὔα πιστότερον, τήν δέ Εὔαν ὁ Ἀδάμ πιστοτέραν ἐκείνου ἡγήσατο, ἀλλά φυλάξαι εἶχον τοῦ μή φαγεῖν τοῦ φυτοῦ· φαγόντες δέ καί ἡ μετανοήσαντες, ἐξεβλήθησαν. Οὐδέν δέ πάλιν ἐκ τῆς ἐξορίας ἐβλάβησαν, ἀλλά καί τά μέγιστα ὠφελήθησαν καί εἰς σωτηρίαν ἡμῶν πάντων τοῦτο ἐγένετο. Κατελθών γάρ ἄνωθεν ὁ Δεσπότης ἡμῶν τῷ ἰδίῳ θανάτῳ τόν καθ' ἡμῶν ἔλυσε θάνατον, τό ἐκ τῆς τοῦ προπάτορος παραβάσεως κατάκριμα παντελῶς ἀνελών καί διά τοῦ ἁγίου βαπτίσματος ἀναγεννῶν καί ἀναπλάττων καί ἀπαλλάττων ταύτης τελείως ἡμᾶς, τίθησιν ἐν τῷδε τῷ κόσμῳ ἐλευθέρους πάντῃ καί μή ἐνεργουμένους τυραννικῶς ὑπό τοῦ ἐχθροῦ, ἀλλά τῷ ἐξ ἀρχῆς αὐτεξουσίῳ τιμῶν ἡμᾶς, ἰσχύν μᾶλλον δίδωσι κατ' αὐτοῦ, ἵνα οἱ βουλόμενοι νικῶσιν αὐτόν εὐχερῶς ὑπέρ πάντας τούς πρό τῆς Χριστοῦ παρουσίας ἁγίους, ἀποθνῄσκοντες δέ μή καθάπερ ἐκεῖνοι καί οὗτοι εἰς τόν ᾅδην καταβιβάζωνται, ἀλλ' εἰς τόν οὐρανόν καί εἰς τήν ἐκεῖσε τρυφήν καί

ἀπόλαυσιν, νῦν μέν μετρίως, μετά δέ τήν ἐκ νεκρῶν ἐξανάστασιν ὅλης ὅλως ἐπαπολαύειν καταξιῶνται τῆς αἰωνίου χαρᾶς.

Οἱ οὖν βουλόμενοι προφάσεις μή προφασίζωνται, μηδέ λεγέτωσαν ἐκ τῆς τοῦ Ἀδάμ ἡμᾶς παραβάσεως ὅλως ἐνεργεῖσθαι καί πρός τήν ἁμαρτίαν καθέλκεσθαι. Οἱ γάρ τοῦτο ἐννοοῦντες καί λέγοντες τήν τοῦ Δεσπότου ἡμῶν καί Θεοῦ παρουσίαν ἀνωφελῶς γεγενῆσθαι καί διακενῶς νομίζουσιν, ὅπερ αἱρετικῶν καί οὐ πιστῶν ἐστι τό λεγόμενον. Διά τί γάρ κατῆλθεν ἤ τίνος ἕνεκα θανάτου ἐγεύσατο, εἰ μή ὅτι πάντως διά τό λῦσαι τό ἐκ τῆς ἁμαρτίας κατάκριμα καί ἐλευθερῶσαι τό γένος ἡμῶν ἀπό τῆς δουλείας καί ἐνεργείας τοῦ ἀντικειμένου ἐχθροῦ; Τοῦτο γάρ ἡ ὄντως αὐτεξουσιότης, τό μή ὑφ’ ἑτέρου τινός τῷ οἱῳνδήποτε τρόπῳ δεσπόζεσθαι. Ἡμεῖς μέν γάρ ἀπό τοῦ ἁμαρτήσαντος ἦμεν ἁμαρτωλοί, ἀπό τοῦ παραβάντος παραβάται, ἀπό τοῦ δούλου τῆς ἁμαρτίας δοῦλοι καί αὐτοί γενόμενοι ἁμαρτίας, ἀπό τοῦ κεκατηραμένου καί νεκροῦ κατάρατοι καί νεκροί, ἀπό τοῦ τῇ συμβουλίᾳ ἐνεργηθέντος τοῦ πονηροῦ καί δουλωθέντος αὐτῷ καί τό αὐτεξούσιον ἀπολέσαντος, ὡς τέκνα αὐτοῦ ἐνεργούμενοι καί καταδυναστευόμενοι τυραννικῶς ἐδεσποζόμεθα. Ὁ δέ Θεός κατελθών ἐσαρκώθη καί ἐγεννήθη καθώς καί ἡμεῖς ἄνθρωπος, χωρίς ἁμαρτίας, καί ἔλυσε τήν ἁμαρτίαν, σύλληψίν τε καί γέννησιν ἁγιάσας καί ἀνατραφείς κατά μικρόν πᾶσαν ἡλικίαν εὐλόγησε· τέλειος δέ ἀνήρ γεγονώς τότε ἤρξατο τοῦ κηρύγματος, διδάσκων ἡμᾶς μή ἔν τινι προπηδᾶν καί προλαμβάνειν τούς πολιούς ἐν συνέσει καί ἀρετῇ, οἱ νέοι μάλιστα καί οὐκ ἄνδρες τήν φρόνησιν. Ἀνεδέξατο τά ὑπέρ ὑμῶν καί φυλάξας πάσας τάς ἐντολάς τοῦ ἰδίου Θεοῦ καί Πατρός, τήν παράβασιν ἔλυσε καί τούς παραβάτας τοῦ κατακρίματος ἠλευθέρωσε. Δοῦλος ἐγένετο, μορφήν ἀναλαβόμενος δούλου, καί τούς δούλους ἡμᾶς εἰς τό δεσποτικόν ἀξίωμα ἐπανήγαγε, τοῦ πρῴην τυράννου δεσπότας ἀποκαταστήσας ἡμᾶς - καί μαρτυροῦσιν οἱ ἅγιοι οἱ καί μετά θάνατον ὡς ἀσθενῆ αὐτόν καί τούς αὐτοῦ ὑπουργούς ἀπελαύνοντες. Κατάρα ἐγένετο σταυρωθείς - «*Ἐπικατάρατος γάρ, φησί, πᾶς ὁ ἐπί ξύλου κρεμάμενος*»-, καί ὅλην τήν κατάραν ἔλυσε τοῦ Ἀδάμ. Ἀπέθανε καί τῷ ἑαυτοῦ θανάτῳ ἀνεῖλε τόν θάνατον. Ἀνέστη καί τήν δύναμιν καί ἐνέργειαν ἠφάνισε τοῦ ἐχθροῦ, τοῦ διά θανάτου καί τῆς ἁμαρτίας τήν ἐξουσίαν ἔχοντος καθ’ ἡμῶν. Ἐμβαλών γάρ ἐν τῷ θανατηφόρῳ ἰῷ καί φαρμάκῳ τῆς ἁμαρτίας τήν ἄρρητον τῆς Θεότητος αὐτοῦ καί τῆς σαρκός ζωοποιόν ἐνέργειαν, ὅλως ὅλον τό γένος ἡμῶν τῆς ἐνεργείας τοῦ ἐχθροῦ ἐλυτρώσατο, διά δέ τοῦ ἁγίου βαπτίσμτος καί τῆς κοινωνίας τῶν ἀχράντων αὐτοῦ μυστηρίων, τοῦ σώματος καί τοῦ αἵματος αὐτοῦ τοῦ τιμίου, ἀποκαθαίρων ἡμᾶς καί ζωοποιῶν, ἁγίους καί ἀναμαρτήτους ἀποκαθίστησιν, ἀλλά καί εὐθύς τῷ αὐτεξουσίῳ τιμᾶσθαι ἀφίησιν, ἵνα μή βίᾳ ἀλλά προαιρέσει φανῶμεν τῷ Δεσπότῃ δουλεύοντες. Καί ὥσπερ ἐξ ἀρχῆς ἦν ὁ Ἀδάμ ἐν τῷ παραδείσῳ ἐλεύθερος καί ἁμαρτίας καί βίας ἐκτός, τῷ αὐτεξουσίῳ δέ θελήματι ὑπήκουσε τῷ ἐχθρῷ καί ἀπατηθείς παρέβη τήν ἐντολήν τοῦ Θεοῦ, οὕτω καί ἡμεῖς ἐκ τοῦ ἁγίου βαπτίσματος ἀναγεννώμενοι τῆς δουλείας ἀπολυόμεθα καί γινόμεθα αὐτεξούσιοι, καί εἰ μή τῷ οἰκείῳ θελήματι τῷ ἐχθρῷ ὑπακούσομεν, ἄλλως πως οὐ δύναται καθ’ ἡμῶν ἐνεργεῖν τι. Εἰ γάρ πρό τοῦ νόμου καί τῆς Χριστοῦ παρουσίας, τῶν βοηθημάτων τούτων ἁπάντων χωρίς, πολλοί καί

ἀναρίθμητοι τῷ Θεῷ εὐηρέστησαν καί ἄμεπτοι ἀπεδείχθησαν, ἐξ ὧν τόν δίκαιον μέν Ἐνώχ μετέθετο καί τῇ μεταθέσει τοῦτον τετίμηκεν, Ἠλίαν δέ πυρίνῳ ἅρματι εἰς οὐρανόν ἀνελάβετο, τί ἀπολογησόμεθα ἡμεῖς, οἱ μετά τήν χάριν καί τήν τοσαύτην καί τηλικαύτην εὐεργεσίαν, μετά τήν τοῦ θανάτου καί τῆς ἁμαρτίας ἀναίρεσιν, μετά τήν τοῦ βαπτίσματος ἀναγέννησιν καί τήν τῶν ἁγίων ἀγγέλων παραφυλακήν καί αὐτήν τήν ἐπισκίασιν καί ἐπέλευσιν τοῦ Ἁγίου Πνεύματος, μηδέ ἴσοι τοῖς πρό τῆς χάριτος εὑρισκόμενοι, ἀλλά ῥαθυμοῦντες καί τῶν ἐντολῶν τοῦ Θεοῦ καταφρονοῦντες καί αὐτάς παραβαίνοντες; Ὅτι δέ μειζόνως ὑπέρ τούς ἐν τῷ νόμῳ ἁμαρτήσαντας κολασθησόμεθα τοῖς κακοῖς ἐπιμένοντες, ὁ ἅγιος Παῦλος ἐδήλωσεν εἰπών· «*Εἰ γάρ ὁ δι' ἀγγέλων λαληθείς λόγος ἐγένετο βέβαιος καί πᾶσα παράβασις καί παρακοή ἔλαβε ἔνδικον μισθαποδοσίαν, πῶς ἡμεῖς ἐκφευξόμεθα τηλικαύτης ἀμελήσαντες σωτηρίας;*»

Μή οὖν τόν Ἀδάμ ἀλλ' ἑαυτόν αἰτιάτω καί μεμφέσθω ἡμῶν ἕκαστος, τῶν ἐν οἱᾳδηποτοῦν περιπιπτόντων ἁμαρτίᾳ, καί μετάνοιαν ἐξίαν ἕκαστος ἡμῶν ὡς ἐκεῖνος ἐπιδεικνύσθω, εἰ ἄρα καί βούλεται τῆς αἰωνίου ζωῆς ἐν Κυρίῳ ἐπιτυχεῖν. Εἰ δέ μή θελήσετε μηδέ παντί τρόπῳ σπουδάσετε, ἤ ἀναμαρτήτους ἑαυτούς ἐν τῷ τάς ἐντολάς τηρεῖν πάσας φυλάξαι, ἤ παραβαίνοντες ἔν τινι μέχρι θανάτου μετανοεῖν καί τήν ἑαυτοῦ ἕκαστος ἁμαρτίαν σφοδρῶς ἀποκλαίεσθαι, ἀλλ' ἐμμένετε ἐπί τῇ σκληρότητι καί ἀμετανοήτῳ γνώμῃ ὑμῶν, τάδε λέγει Κύριος· «*Συντρομάξει ἡ γῆ ἐπί τούς μετά τοσαῦτα καί τηλικαῦτα θαύματα, μετά τήν ἐν τῷ κόσμῳ φανέρωσιν, μετά τήν τοσαύτην διδασκαλίαν ἥν ἐν τῷ κόσμῳ ἐφήπλωσα, ἔτι ἀναβαλλομένους καί δυσπιστοῦντας καί ἀπειθοῦντας τοῖς λόγοις μου· καί διαρραγήσεται εἰς πολλά, μή φέρουσα τούς ἀγνώμονας καί σκληροτραχήλους καί παρηκόους μου φέρειν ἐπί τοῦ νώτου αὐτῆς, καί ἴδωσι τήν πτῶσιν αὐτῶν ἐγγίσασαν πρό τῶν ποδῶν αὐτῶν καί τρομάξουσι. Τῆς γάρ γῆς τρεμούσης, τοῦ οὐρανοῦ κλονουμένου καί ῥοιζηδόν ὡς βιβλίου ἑλισσομένου, ἐκ τῶν φοβερῶν δειμάτων ἐκείνων πτοηθῶσιν αἱ ἀκαμπεῖς καί ἀμείλικτοι καρδίαι αὐτῶν, ὡς λαγωοῦ ἐν ὥρᾳ σφαγῆς. Καί συσκοτάσει τό φῶς, πεσοῦνται τά ἄστρα, ὁ ἥλιος καί ἡ σελήνη σβεσθήσονται ἐπ' αὐτούς, ἀπό δέ τῶν σχισμάτων τῆς γῆς ἀναβήσεται πῦρ ὑπερεκβλύζον ὡς τά πελάγη τῶν θαλασσῶν. Καί ὥσπερ ἐπί τοῦ κατακλυσμοῦ ἀνεῴχθησαν οἱ καταρράκται τοῦ οὐρανοῦ καί κατῆλθε τό ὕδωρ καί κατ' ὀλίγον ἐκάλυψε τούς λαούς, οὕτω καί τότε ἀνοιχθήσεται ἀπό τῶν θεμελίων αὐτῆς ἡ γῆ, καί ἀναδοθήσεται οὐ κατά μικρόν ἀλλά ἀθρόον τό πῦρ καί ἐπικαλύψει πᾶσαν τήν γῆν, καί γενήσεται ἅπασα ποταμός πυρός*».

Τί οὖν ποιήσουσι τότε οἱ λέγοντες ὅτι· «*Εἴθε με ἠφίεσαν ὧδε καί τήν βασιλείαν τῶν οὐρανῶν ἐγώ οὐκ ἤθελον*»; Τί γενήσονται οἱ νῦν γελῶντες καί οὕτω λέγοντες· «*Τί οὖν κελεύεις κλαίειν ἡμᾶς καθ' ἑκάστην;*» Οἱ δέ καί ἀντιλογίας ἤ γογγυσμούς ἤ καί τά χείρω τούτων ἀπεργαζόμενοι, τί τότε ἀπολογήσονται; Μή ἐροῦσιν ὅτι· «*Οὐκ ἠκούσαμεν*»; μή ὅτι· «*Οὐδείς ἡμᾶς ἐνουθέτησε*»; μή ὅτι· «*Ἠγνοήσαμέν σου τοῦ Δεσπότου τό ὄνομα, τό κράτος, τήν ἰσχύν, τήν δύναμιν*»; - «*Πόσα γάρ ὑμᾶς, ὦ ἄθλιοι, εἰκότως πρός ἡμᾶς εἴπῃ, διά προφητῶν, δι' ἀποστόλων, διά πάντων ὁμοῦ τῶν δούλων καί δι'ἐμοῦ αὐτοῦ προεῖπον*

*καί παρήγγειλα; Οὐκ ἠκούετε τῶν εὐαγγελίων μου λεγόντων· Μετανοεῖτε*»; Οὐκ ἠκούετε λεγόντων· «*Μακάριοι οἱ κλαίοντες νῦν, ὅτι γελάσονται*»; Οὐκ ἠκούετε βοῶντός μου· «*Μακάριοι οἱ πενθοῦντες*»; Ὑμεῖς δέ ἐγελᾶτε ἀνακαγχάζοντες, ἀλλήλοις ὁμιλοῦντες καί καταμακρύνοντες ὑμῶν τάς ἀργολογίας, ἀλλήλους πρός τά ἄριστα προσκαλούμενοι καί θεραπεύοντες ὑμῶν τάς γαστέρας. Οὐκ ἐμοῦ λέγοντος· «*Τί στενή ἡ πύλη καί τεθλιμμένη ἡ ὁδός ἡ ἀπάγουσα εἰς τήν ζωήν*» καί ὅτι «*Βιαστή ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν καί βιασταί ἁρπάζουσιν αὐτήν*», ὑμεῖς ἀνέκεισθε ἐπί στρωμνῶν ἁπαλῶν καί διά πάντων τήν ἄνεσιν ἐδιώκετε; Οὐκ ἐμοῦ λέγοντος· «*Ὁ θέλων εἶναι πρῶτος, ἔστω πάντων ἔσχατος καί πάντων δοῦλος καί πάντων διάκονος*», ὑμεῖς τάς πρωτοκλισίας καί πρωτοκαθεδρίας, ἀρχάς τε καί ἡγεμονίας καί διακονίας καί μεγέθη ἀξιωμάτων προετιμήσασθε, καί ὑποταγῆναι ἤ δουλεῦσαι ἐν ταπεινώσει ψυχῆς εὐτελεῖ καί πτωχῷ καί ἀπερριμένῳ οὐκ ἠθελήσατε; Οὐχί ἐμοῦ λέγοντος· «*Ὅσα θέλετε, ἵνα ποιῶσιν ὑμῖν οἱ ἄνθρωποι, καί ὑμεῖς ὁμοίως ποιεῖτε αὐτοῖς*», ὑμεῖς τάς ἑαυτῶν θεραπείας μόνας καί τά θελήματα καί τάς ἐπιθυμίας ἐξεπληρώσατε, πλεονεκτοῦντες, ἁρπάζοντες, ἀδικοῦντες καί ἑαυτούς μόνους ἐθεραπεύσατε; Οὐχί ἐμοῦ λέγοντος· «*Ἐάν τίς σε ῥαπίσῃ εἰς τήν δεξιάν σου σιαγόνα, στρέψον αὐτῷ καί τήν ἄλλην*», οἱ μέν ἐγελᾶτε, οἱ δέ οὐδέ ἀκοῦσαι τοῦτο ἠνείχεσθε, ἀλλά κακῶς με τοῦτο καί ἀδίκως προστάξαις ἐλέγχετε; Οὐχί δέ ἐμοῦ λέγοντος. «*Ἐάν τίς σε ἀγγαρεύσῃ μίλιον ἕν, ὕπαγε μετ' αὐτοῦ δύο*», οὐ μόνον οὐδείς ἐξ ὑμῶν τοῦτο πεποίηκεν, ἀλλ' οἱ πλείονες καί τούς ἀδελφούς ἠγγαρεύσατε; Οὐκ ἐμοῦ λέγοντος· «*Μακάριοί ἐστε ὅταν ὀνειδίσωσιν ὑμᾶς καί διώξωσι καί εἴπωσι πᾶν πονηρόν ῥῆμα καθ' ὑμῶν ψευδόμενοι ἕνεκεν ἐμοῦ*», ὑμεῖς οὐδέ λόγον σκληρόν ἀκοῦσαι ἠνείχεσθε οὐ μόνον ἐκ τῶν ὁμοίων ὑμῶν, ἀλλ' οὐδέ ὑπό τῶν προεχόντων; Οὐκ ἐμοῦ λέγοντος· «*Χαίρετε καί ἀγαλλιᾶσθε ἐπί τοῖς διωγμοῖς καί ταῖς θλίψεσιν*», ὑμεῖς τούς ἐπαίνους μᾶλλον καί τήν τιμήν καί τήν δόξαν ἠσπάσασθε, ἐπί δέ τοῖς τοιούτοις ἀπελέγεσθε καί αὐτήν ὑμῶν τήν ζωήν; Οὐχί ἐμοῦ μακαρίζοντος τούς φτωχούς, ὑμεῖς οὐκ ἐποθήσατέ ποτε ἀπό ψυχῆς γενέσθαι πτωχοί; Οὐκ ἐμοῦ τούς πραεῖς τήν βασιλείαν τῶν οὐρανῶν κληρονομεῖν λέγοντος, ὑμεῖς ὡς θῆρες ἄγριοι διέκεισθε εἰς τούς μή τάχιον ποιοῦντας ὑμῶν τά θελήματα; Οὐχ ὁρῶντες πάλιν αὐτούς παραβαίνοντάς μου τάς ἐντολάς, συμπαθεῖς ἐγίνεσθε τότε καί μέτριοι καί «*Ἄφες, ἐλέγετε, εἶπεν ὁ Κύριος· Μή ὀργίζου κατά τινος*»; Οὐχί ὑμεῖς ἐλέγετε, ὁπόταν ἔλεγον· «*Εὔχεσθε ὑπέρ τῶν ἐπηρεαζόντων ὑμᾶς, ἀγαπᾶτε τούς ἐχθρούς ὑμῶν καί καλῶς ποιεῖτε τούς μισοῦντας ὑμᾶς*», - «*Αὐτό τῶν ἀποστόλων ἐστίν, αὐτό τῶν μεγάλων ἁγίων! Ἐπεί τίς τοῦτο ἄλλος ποιῆσαι δύναται;*» - Ἄθλιοι, καί ὑμεῖς διατί οὐκ ἐγίνεσθε ἅγιοι; Οὐκ ἠκούετε λέγοντός μου· «*Γίνεσθε ἅγιοι, ὅτι ἐγώ ἅγιός εἰμι*», ὑμεῖς δέ ἐν τῇ ἀκαθαρσίᾳ τῶν μολυσμῶν ὑμῶν καί ἀνομιῶν ἐμείνατε.

Καί πρός μέν τάς γυναῖκας ἐρεῖ· «*Οὐκ ἠκούετε ἐν ταῖς ἐκκλησίαις ἀναγινωσκόντων καί λεγόντων· Βίος τῆς ἁγίας Πελαγίας, τῆς ποτε πόρνης, Βίος τῆς ὁσίας Μαρίας τῆς Αἰγυπτίας, τῆς ἀσώτου ποτέ, Θεοδώρας τῆς μοιχαλίδος καί μετά ταῦτα θαυματουργοῦ*», καί πάλιν · «*Εὐφροσύνης τῆς παρθένου καί μετονομασθείσης Σμαράγδου*», καί· «*Ξένης, τῆς ὄντως ξένης καί θαυμαστῆς;*» Οὐκ ἠκούσατε ὅπως καί γονεῖς καί πλοῦτον καί μνηστῆρας αὐτούς κατέλιπον καί ἐν εὐτελείᾳ καί ταπεινώσει ἐδούλευσάν μοι καί

ἐγένοντο ἅγιαι; Διά τί οὖν καί ὑμεῖς ταύτας καί τάς τοιαύτας, αἱ μέν πόρναι τάς πόρνας, αἱ δέ ἄσωτοι τάς ἀσώτους, αἱ δέ ὕπανδροι τάς ἁμαρτησάσας ὑπάνδρους, αἱ δέ παρθένοι τάς παρθένους καί ὁμοίας ὑμῶν οὐκ ἐμιμήσασθε;

Πρός δέ τούς ἄνδρας βασιλεῖς τε καί ἄρχοντας ὁμοίως ἐρεῖ· «*Οὐκ ἠκούετε πῶς ὁ Δαυίδ ἁμαρτήσας, καί εἰσελθόντος πρός αὐτόν τοῦ προφήτου Νάθαν καί ἐλέγξαντος αὐτόν περί τῆς ἁμαρτίας αὐτοῦ, οὐκ ἀντεῖπεν, οὐκ ὠργίσθη, οὐκ ἔκρυψε τό ἁμάρτημα αὐτοῦ, ἀλλά τοῦ θρόνου ἀξαναστάς προσέπεσεν ἐνώπιον παντός τοῦ λαοῦ ἐπί τήν γῆν καί εἶπεν· Ἡμάρτηκα τῷ Κυρίῳ μου! καί οὐκ ἐπαύσατο ἡμέρας τε καί νυκτός κλαίων ὁμοῦ καί θρηνῶν*»; Οὐκ ἠκούετε τούτου λέγοντος· «*Ὅτι σποδόν ὡσεί ἄρτον ἔφαγον καί τό πόμα μου μετά κλαυθμοῦ ἐκίρνων, ἀπό φωνῆς τοῦ στεναγμοῦ μου ἐκολλήθη τό ὀστοῦν μου τῇ σαρκί μου, ὡμοιώθην πελεκᾶνι ἐρημικῷ*», καί πάλιν· «*Ἐκοπίασα ἐν τῷ στεναγμῷ μου, λούσω καθ' ἑκάστην νύκτα τήν κλίνην μου, ἐν δάκρυσί μου τήν στρωμνήν μου βρέξω;*» Οὐκ ἠκούετε λέγοντος αὐτοῦ· «*Κύριε ὁ Θεός μου, εἰ ἐποίησα τοῦτο, εἰ ἔστιν ἀδικίας ἐν χερσί μου, εἰ ἀνταπέδωκα τοῖς ἀνταποδιδοῦσί μι κακά, ἀποπέσοιμι ἄρα ἀπό τῶν ἐχθρῶν μου κενός, καταδιώξαι ἄρα ὁ ἐχθρός τήν ψυχήν μου καί καταλάβοι καί καταπατήσαι εἰς γῆν τήν ζωήν μου καί τήν δόξαν μου εἰς χοῦν κατασκηνώσαι;*». Διά τί οὖν καί ὑμεῖς τοῦτον καί τούς ὁμοίους αὐτοῦ μή ἐμιμήσασθε; Μή τούτου ὑμεῖς περιδοξότεροι εἶναι ἐδοκεῖτε ἤ πλουσιώτεροι, καί διά τοῦτο ταπεινωθῆναί μοι οὐκ ἠβουλήθητε; Ἄθλιοι καί ταλαίπωροι, ὑμεῖς φθαρτοί καί θνητοί ὄντες, μονοκράτορες καί κοσμοκράτορες εἶναι ἐβούλεσθε καί, εἴπου ἦν τις ἐν ἑτέρᾳ χώρᾳ μή θέλων ὑμῖν ὑποτάσσεσθαι, ὡς κατά εὐτελοῦς ὑμῶν δούλου κατεπαίρεσθε αὐτοῦ καί οὐκ ἐφέρετε ὑπομεῖναι τήν ἀνυποταξίαν αὐτοῦ, καί τοι συνδούλου ὑμῶν ὄντος καί μηδέν πλέον ἐκείνου ἐχόντων ὑμῶν· ἐμοί δέ τῷ Ποιητῇ καί Δεσπότῃ ὑμῶν πῶς ὑμεῖς οὐκ ἠθελήσατε ὑποταγῆναι καί δουλεῦσαι ἐν φόβῳ καί τρόμῳ; Ἀνταποδιδόντες δέ τοῖς ἁμαρτάνουσιν εἰς ὑμᾶς, τί ἐν ἑαυτοῖς ἄρα διελογίζεσθε περί ὧν ὑμεῖς εἰς ἐμέ ἡμαρτάνετε; ὅτι οὐκ ἔστιν ὁ ἐκζητῶν τῶν ἀδικουμένων τά αἵματα; ὅτι οὐκ ἔστιν ὁ βλέπων τά παρ' ἡμῶν κρυφίως πραττόμενα; ἤ ὅτι ἐπελάθεσθέ μου καί μή ἔχειν ὑπελαμβάνετε τόν ἐπάνω ὑμῶν ὄντα, οὐδέ ἠλπίσατέ ποτε γυμνοί με καί τετραχηλισμένοι παρασταθήσεσθαι; Οὐκ ἠκούετέ μου ἀεί λέγοντος· «*Ὁ θέλων εἶναι πάντων πρῶτος, ἔστω πάντων ἔσχατος καί πάντων δοῦλος καί πάντων διάκονος;*» Πῶς οὐκ ἐφρίσσετε καί ἐν ἑαυτοῖς ὑμῖν ἐθρηνεῖτε καί συνετρίβεσθε, φοβούμενοι μή εἰς ἔπαρσιν ὑπό τῆς ματαίας ἐκείνης καί διακένου ἐλθόντες, παραβάται ταύτης μου τῆς ἐντολῆς γενόμενοι, τῷ πυρί τούτῳ παραδοθήσεσθε; Οὐκ ἠκούετε πῶς ὁ Δαυίδ ὑπό τοῦ στρατηγοῦ αὐτοῦ Σεμεΐ ὑβριζόμενος καί ἀνήρ αἱμάτων καλούμενος, εὐτελέστερον ἑαυτόν ἐκείνου ἔχων ἀπό ψυχῆς, οὐκ ὠργίζετο, ἀλλά καί τούς ἐκεῖνον ἀνελεῖν βουλομένους ἐκώλυσεν; Ἰδοῦ οὖν καί Μωυσῆς καί Ἰησοῦς τοῦ Ναυῆ καί Δαβίδ καί ἄλλοι πλεῖστοι πρό τῆς ἐπιφανείας μου καί νυνί μετά τήν παρουσίαν μου πλείονες, οὕς βλέπετε συνδοξαζομένους μοι, καί βασιλεῖς γεγόνασιν, ὡς ἡμεῖς, καί ἄρχοντες καί στρατηγοί, καί διά τόν ἐμόν φόβον ἐν ταπεινώσει καί δικαιοσύνῃ βιώσαντες, κακόν ἀντί κακοῦ τινι οὐκ ἀνταπέδωκαν, ἀλλά καί παρά τῶν ὁμοίων καί ὑπό χεῖρα πολλάκις ἀτιμασθέντες, ἐμοί ἀνέθεντο τήν περί τούτου ἐκδίκησιν καί ὑπέρ ὧν εἰς

ἐμέ ἥμαρτον ἐν πάσῃ τῇ ζωῇ αὐτῶν, ἀπό ψυχῆς ἐν φόβῳ καί πόθῳ μετενόουν καί ἔκλαιον, ταύτην τήν ἡμέραν τῆς ἐμῆς ἐλεύσεως καί παρουσίας καί κρίσεως ἀκούοντες καί πιστεύοντες, ὑμεῖς δέ κατεφρονήσατέ μου τῶν ἐντολῶν, ὥς τινος ἑνός τῶν ἀπερριμμένων καί ἀσθενῶν. Λοιπόν οὖν μεθ' οὗ συνεῖναι ᾑρετίσασθε καί ὧν τούς λόγους καί τάς πράξεις ποιοῦντες, αὐτούς ἐμιμήσασθε, μετά τούτων αὐτῶν, καί τῶν ἐκείνοις ἡτοιμασμένων ἐπαπολαύσατε!

Οὕτω καί τοῖς πατριάρχαις τούς ἁγίους ἀντιπαραθῇ πατριάρχας, Ἰωάννην τόν Χρυσορρήμονα, Ἰωάννην τόν Ἐλεήμονα, Γρηγόριον τόν Θεολόγον, Ἰγνάτιον, Ταράσιον, Μεθόδιον καί τούς λοιπούς οἵτινες οὐ λόγῳ μόνῳ ἀλλά καί ἔργῳ τοῦ ἀληθινοῦ Θεοῦ γεγόνασιν ἀπεικόνισμα· τοῖς μητροπολίταις τούς ἁγίους μητροπολίτας, Βασίλειον, Γρηγόριον, τόν ἀδελφόν αὐτοῦ, καί τόν τούτου ὁμώνυμον καί θαυματουργόν, Ἀμβρόσιον καί Νικόλαον. Καί ἁπλῶς εἰπεῖν, ἕκαστον πατριάρχην καί ἕκαστον μητροπολίτην καί ἕκαστον ἐπίσκοπον μετά τῶν πρό αὐτοῦ διαπρεψάντων ἀποστόλων τε καί πατέρων ἁγίων ἐν ἑκάστῃ μητροπόλει καί ἐπισκοπῇ κρινεῖ ὁ Θεός, καί ἐξ ἐναντίας ἀλλήλων στήσας πάντας αὐτούς - καθώς ἀκούεις αὐτοῦ λέγοντος· «*Τά μέν πρόβατα ἐκ δεξιῶν, τά δέ ἐρίφια ἐξ εὐωνύμων*»-, ἐρεῖ· «*Οὐχί ἔνθα οὗτοι ἐθεράπευσαν καί ἐδούλευσάν μοι, ἐκεῖ καί ὑμεῖς ἐβιώσατε καί εἰς τούς θρόνους αὐτῶν ἐκαθίσατε; Διά τί μή καί τόν βίον καί τήν πολιτείαν αὐτῶν ἐμιμήσασθε; Διά τί ἀκαθάρτοις χερσί καί ἀκαθαρτοτέραις ψυχαῖς τόν ἄχραντον ἐμέ καί ἀμόλυντον κρατεῖν καί ἐσθίειν οὐκ ἐφοβήθητε; Οὐκ ἐφρίξατε ὅλως, οὐκ ἐτρομάξατε; Διά τί τά τῶν πενήτων εἰς τάς ὑμετέρας ἡδονάς καί εἰς τούς ἰδίους καί συγγενεῖς ὑμῶν ἀναλώσατε; Διά τί με χρυσίῳ καί ἀργυρίῳ, ὡς ὁ Ἰούδας, ἀπεμπολήσατε; Διά τί με καί ὡς δοῦλον ἀχρεῖον ἐξαγοράσαντες, εἰς τά τῆς σαρκός με θελήματα διακονεῖν ἀπεχρήσασθε; Ὡς οὖν ὑμεῖς με οὐκ ἐπιμήσατε, οὐδέ ἐγώ φείσομαι ὑμῶν. Ἀπέλθατε ἀπ' ἐμοῦ οἱ ἐργάται τῆς ἀνομίας, ἀπέλθατε!*».

Οὕτω τοίνυν πατέρες παρά πατέρων, φίλοι καί συγγενεῖς παρά φίλων καί συγγενῶν, ἀδελφοί παρά ἀδελφῶν, δοῦλοι καί ἐλεύθεροι παρά δούλων καί ἐλευθέρων, πλούσιοι καί πένητες ὑπό πλουσίων καί πενήτων, οἱ ἐν γάμῳ παρά τῶν ἐν γάμῳ διαπρεψάντων, οἱ ἐν ἐλευθερίᾳ παρά τῶν ἐν ἐλευθερίᾳ βιωσάντων, καί ἁπλῶς πᾶς ἄνθρωπος ἁμαρτωλός ἐν τῇ φοβερᾷ ἡμέρᾳ τῆς κρίσεως ἀπεναντίας αὐτοῦ εἰς τήν εἰς τήν αἰωνίαν ζωήν καί εἰς τό ἀνεκλάλητον ἐκεῖνο φῶς ὄψεται τόν ὅμοιον αὐτοῦ καί κριθήσεται παρ' αὐτοῦ. Οἷόν τι λέγω; Ἀπιδών ἕκαστος τῶν ἁμαρτωλῶν πρός τόν ὅμοιον αὐτοῦ, βασιλεύς πρός βασιλέα, ἄρχων πρός ἄρχοντα καί πόρνος μή μετανοήσας πρός πόρνον μετανοήσαντα, φτωχός πρός φτωχόν καί δοῦλος πρός δοῦλον, καί μνησθείς ὅτι καί αὐτός ἐκεῖνος ἄνθρωπος ἦν, τήν αὐτήν ψυχήν ἔχων, τάς αὐτάς χεῖρας, τούς αὐτούς ὀφθαλμούς καί ἁπλῶς τἆλλα πάντα ἐξ ἴσης καί συνῆν αὐτῷ ἐν τῷ βίῳ καί ὅμοιον εἶχε τό ἀξίωμα, τήν τέχνην, τό ἐπιτήδευμα, μιμήσασθαι δέ αὐτόν οὐκ ἠθέλησεν, εὐθύς ἐμφράσσεται τό στόμα αὐτοῦ καί μένει ἀναπολόγητος, μή ἔχων ὅλως τι φθέγξασθαι. Ὅταν οὖν οἱ κοσμικοί κοσμικούς ἴδωσι καί οἱ ἁμαρτωλοί βασιλεῖς βασιλεῖς ἁγίους ἐκ δεξιῶν, πλουσίους τε καί ὑπό ζυγόν ἁγίους οἱ ὑπό ζυγόν βίου, καί οἱ ἐν βασάνοις πάντες ὁμοίους αὐτῶν ἐν τῇ βασιλείᾳ τῶν

οὐρανῶν, καί τηνικαῦτα αἰσχυνθῶσι καί ἀναπολόγητοι εὑρεθῶσιν, ὥσπερ ὁ πλούσιος ἐκεῖνος ἐν τοῖς κόλποις τοῦ Ἀβραάμ τόν Λάζαρον, ἐκεῖνος ἀποτηγανιζόμενος ἐν τῷ πυρί.

Τί ποιήσωμεν ἡμεῖς ἄρα οἱ μοναχοί, οἱ κατ' ἐμέ, λέγω, ῥάθυμοι καί ἁμαρτωλοί, ποία ἄρα αἰσχύνη ἡμᾶς καί βάσανος λήψεται, ὅταν τούς ἐν βίῳ καί γυναῖκας καί οἰκέτιδας ἔχοντας καί οἰκέτας, μετά γυναικῶν ὁμοῦ καί τέκνων θεασώμεθα ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν ὁμοθυμαδόν συγχορεύοντας; ὅταν τούς ἐν ἀξιώμασι καί πλούτῳ εὐαρεστήσαντας, ὅταν ἁπλῶς ἐκ πάντων ἴδωμεν τῶν ἐν τῷ βίῳ πᾶσαν κατορθωκότων ἀρετήν καί ἐν μετανοίᾳ καί δάκρυσι πολιτευσαμένων διά τόν φόβον τοῦ Κυρίου καί ἱσταμένους ἐν τῇ χαρᾷ καί φαιδρότητι τῶν δικαίων; ὅταν γάρ ἐννοήσωμεν ὅτι πατέρας καί μητέρας καί ἀδελφούς καί ἀδελφάς καί κόσμον ὅλον διά τό σῶσαι ἡμῶν τάς ψυχάς κατελείψαμεν, οἱ δέ καί γυναῖκας καί τέκνα, ἄλλοι σύν τούτοις καί πλοῦτον καί ἀξιώματα καί ἄλλα ὅσα ὁ βίος ἔχει τερπνά, καί ἀναχωρήσαντες ἐπτωχεύσαμεν καί ἀποκειράμενοι γεγόναμεν μοναχοί διά τήν βασιλείαν τῶν οὐρανῶν, διά δέ μικράν ῥαθυμίαν καί πονηρίαν καί διά τάς πονηράς ἡμῶν ἐπιθυμίας κατετάξαμεν ἡμᾶς ἑαυτούς μετά κοσμικῶν καί πόρνων καί μοιχῶν καί βιωσάντων ἀσώτως κατά τόν κόσμον, ὁποῖος τότε φόβος καί τρόμος καί αἰσχύνη καλύψει ἡμᾶς! Πιστεύσατέ μοι λέγοντι, ἀδελφοί, ὅτι χείρων βάσανος ἡ ἐντροπή ἡμῶν ἔσται ὑπέρ τήν τῶν κοσμικῶν αἰωνίαν κόλασιν. Ὅταν γάρ ἐμέ τόν ἀποταξάμενον πάσῃ ψυχῇ, μετά κοσμικῶν, φέρε εἰπεῖν, νῦν τέκνα ἐχόντων, καί δημοσίοις πράγμασιν ἐμπεπλεγμένων ἤ καί στρατιᾷ ἐκδουλευόντων, ἵστασθαι καί τήν ἴσην ἐκείνοις κόλασιν λήψεσθαι μέλλοντα, στραφέντες οὗτοι καί ἰδόντες με, εἴπωσι πρός με· «*Καί σύ, μοναχέ, ὁ τόν κόσμον ἀφείς, ὧδε μεθ' ἡμῶν τῶν κοσμικῶν ἵστασαι; Κἄν σύ διά τί;*» Τὶ ἄρα ἀπολογήσομαι, τί ἐρῶ πρός αὐτούς; Τίς γάρ, ἀδελφοί, τό μέγεθος τῆς τότε μελλούσης μοι γενέσθαι θλίψεως δυνήσεται ἀξίως, διά λόγου ἐκδιηγήσασθαι; Πάντως οὐδείς! Τί γάρ καί ἐροῦμεν ἤ τί ὅλως δυνηθῶμεν ἀπολογήσασθαι; ὅτι τόν κόσμον καί τά ἐν κόσμῳ κατελίπομεν; ἀλλά ταῦτα οὐκ ἐβδελυξάμεθα ἀπό ψυχῆς· τοῦτο γάρ ἐστιν ἡ ἀληθής τοῦ κόσμου καί τῶν ἐν κόσμῳ ἀναχώρησις, τό μετά τό φυγεῖν τόν κόσμον μισῆσαι τά αὐτοῦ καί βδελύξασθαι.

Τί δέ ὁ κόσμος καί τί τά ἐν τῷ κόσμῳ εἰσίν; Ἄκουσον! Οὐ χρυσίον ἐστίν, οὐκ ἄργυρος, οὐχ ἵπποι, ἀλλ' οὐδέ ἡμίονοι· ταῦτα γάρ πάντα, ὅσα καί ἡμῖν λειτουργοῦσιν εἰς χρείαν τοῦ σώματος, καί ἡμεῖς κεκτήμεθα. Οὐ κρέας, οὐκ ἄρτος, οὐκ οἶνος· μεταλαμβάνομεν γάρ καί ἡμεῖς ἐκ τούτων καί ἐσθίομεν αὐτάρκως. Οὐκ οἶκοι, οὐ λουτρά, οὐ χωρία ἤ ἀμπελῶνες καί προάστεια· αἱ λαῦραι γάρ καί τά μοναστήρια ἐκ τῶν τοιούτων συνίστανται. Ἀλλά τίς ὁ κόσμος; Ἡ ἁμαρτία καί ἡ πρός τά πράγματα σχέσις ἐστίν, ἀδελφοί, καί τά πάθη. Τά δέ ἐν τῷ κόσμῳ Ἰωάννης ὁ Θεολόγος εἰπάτω, ὁ ἠγαπημένος τοῦ Χριστοῦ μαθητής· «*Μή ἀγαπᾶτε γάρ, φησί, τόν κόσμον μηδέ τά ἐν τῷ κόσμῳ· ὅτι πᾶν τό ἐν τῷ κόσμῳ, ἡ ἐπιθυμία τῆς σαρκός καί ἡ ἐπιθυμία τῶν ὀφθαλμῶν καί ἡ ἀλαζονεία τοῦ βίου, οὐκ ἔστιν ἐκ τοῦ Πατρός, ἀλλ' ἐκ τοῦ κόσμου ἐστίν*». Εἰ οὖν ἡμεῖς τόν κόσμον ὅλον καταλιπόντες καί ἀποφυγόντες καί γεγονότες γυμνοί, ταῦτα οὐκ ἐφυλαξάμεθα, τί ἡμῖν τό ὄφελος ἐκ μόνης τῆς ἀναχωρήσεως γένοιτ' ἄν; Καί γάρ ὅθεν ἄν

ἐξέλθωμεν καί ἐν οἷς ἄν καταντήσωμεν, τά αὐτά πράγματα πάλιν εὑρήσομεν· πανταχοῦ γάρ ἄνθρωποι μόνοι ζῆν οὐ δυνάμεθα, πανταχοῦ τά πρός τήν σύστασιν τοῦ σώματος χρήζομεν ἐπιτήδεια, πανταχοῦ καί γυναῖκες καί παῖδες καί οἶνος καί παντοίων ἐστίν εἶδος καρπῶν· ἐκ τούτων γάρ καί τῶν τοιούτων ἐστίν ἡ τῆς ζωῆς ἡμῶν σύστασις. Ἐάν τήν ἐπιθυμίαν ἔχωμεν τῆς σαρκός καί τήν ἐπιθυμίαν τῶν ὀφθαλμῶν καί τήν ἀλαζονείαν τῶν λογισμῶν, πῶς δυνησόμεθα ἐν μέσῳ αὐτῶν τῆς καθόλου ἁμαρτίας ἀποσχέσθαι καί μηδόλως τῷ ταύτης κέντρῳ πληγῆναι; Ὅπερ πολλοί τῶν πάλαι καί τῶν νῦν ἁγίων, εὖ οἶδα, ἐφυλάξαντο καί φυλάττουσι, μέσον τῶν τοῦ βίου πραγμάτων καί φροντίδων καί μεριμνῶν διατρίβοντες καί ἐν ἁγιότητι τελείᾳ τόν βίον αὐτῶν διανύοντες, καθώς ὁ Παῦλος μαρτυρεῖ περί τούτων καί τῶν τοιούτων λέγων· «*Παράγει γάρ τό σχῆμα τοῦ κόσμου τούτου, ἵνα καί οἱ ἔχοντες γυναῖκας ὡς μή ἔχοντες ὦσι καί οἱ ἀγοράζοντες ὡς μή κατέχοντες καί οἱ χρώμενοι τῷ κόσμῳ ὡς μή καταχρώμενοι*». Ἔξεστιν οὖν καί τά λοιπά ἐξ τούτων καταμαθεῖν· οἷον, τόν θυμούμενον μή ὀργίζεσθαι, τόν δικαιολογούμενον μηδόλως τῇ καρδίᾳ τοῖς λαλουμένοις προστίθεσθαι, τόν ἑαυτόν ἐκδικοῦντα ὡς νεκρόν εἶναι τῷ κόσμῳ τῇ τῆς ψυχῆς διαθέσει, τόν ἅπαξ τοιοῦτον γενόμενον ζητεῖν τε καί προθυμεῖσθαι μηδέ τοῦ ἰδίου φείδεσθαι σώματος. Τοιοῦτοι γάρ καί ἐγένοντο καί καθ' ἑκάστην γενεάν οἱ ἀγωνιζόμενοι γίνονται.

Εἰ δέ μή τοιοῦτοι γενέσθαι σπουδάσομεν καί οὕτω τόν βίον ἡμῶν ἀνύομεν, τί ἐροῦμεν; ὅτι «*Δόξης καί πλούτου κατεφρονήσαμεν;*» Ἀλλά πάντως ἐρεῖ ἡμῖν ὅτι· «*Φθόνον καί ἔριν καί ζῆλον οὐ κατελείψατε*». Ὅτι δέ ταῦτα ἀλλοτριοῦσιν ἡμᾶς καί χωρίζουσιν ἀπό τοῦ Θεοῦ, λέγει ὁ θεῖος Ἰάκωβος, ὁ ἀπόστολος τοῦ Χριστοῦ· «*Εἰ δέ ζῆλον πικρόν ἔχετε - ἔστι γάρ καί ἐπί καλῷ καί ζηλῶσαί τινα! - καί ἐριθείαν ἐν τῇ καρδίᾳ ὑμῶν, μή κατακαυχᾶσθε καί ψεύδεσθε κατά τῆς ἀληθείας, οὐκ ἔστιν αὕτη ἡ σοφία ἄνωθεν κατερχομένη, ἀλλά ἐπίγειος, ψυχική, δαιμονιώδης· ὅπου γάρ ζῆλος καί ἐρίθεια, ἐκεῖ καί ἀκαταστασία καί πᾶν φαῦλον πρᾶγμα*», καί μετ' ὀλίγα· «*Αἰτεῖτε καί οὐ λαμβάνετε, διότι κακῶς αἰτεῖσθε, ἵνα ἐν ταῖς ἡδοναῖς ὑμῶν δαπανήσετε*», καί ἐπιφέρει· «*Μοιχοί καί μοιχαλίδες, οὐκ οἴδατε ὅτι ἡ φιλία τοῦ κόσμου ἔχθρα τοῦ Θεοῦ ἐστιν; ὅς ἄν οὖν βουληθῇ φίλος εἶναι τοῦ κόσμου, ἐχθρός τοῦ Θεοῦ καθίσταται*». Σκόπει δέ ὅτι οὐκ εἶπε μόνον· «*Ὁ κόσμος ἐχθρός ἐστι τοῦ Θεοῦ*», ἀλλά καί ἡ πρός τόν κόσμον φιλία· δι' αὐτῆς γάρ μοιχοί καί μοιχαλίδες γινόμεθα. Καί ὅτι ἀληθές ἐστι τοῦτο, ἄκουσον αὐτοῦ τοῦ Κυρίου λέγοντος· «*Πᾶς ὁ ἐμβλέψας πρός τό ἐπιθυμῆσαι ἤδη ἐμοίχευσεν ἐν τῇ καρδίᾳ αὐτοῦ*» καί πάλιν· «*Οὐκ ἐπιθυμήσεις τι τοῦ πλησίον σου*». Δείκνυσι δέ διά τούτων ἡμῖν τῶν ῥημάτων, ὅτι οὐχ ὁ ποιῶν τήν ἁμαρτίαν αὐτός μόνος χωρίζεται τοῦ Θεοῦ καί ἐχθρός αὐτοῦ γίνεται, ἀλλά καί ὁ αὐτήν ἀγαπῶν καί ὁ ἐπιθυμῶν τινος, ἤτοι σχετικῶς τῇ καρδίᾳ πρός τι τῶν ἐπί γῆς διακείμενος, τοῦτο γάρ ἡ φιλία τοῦ κόσμου ἐστίν· ὥστε φανερῶς ἀποδέδεικται ὅτι, εἰ καί γυμνός πάντων ὑπάρχει τις καί μή πράττει ἔργῳ τήν οἱανοῦν ἁμαρτίαν, μόνον δέ ἀγαπῶν καί φιλῶν αὐτήν οἱονεί σχετικῶς πρός αὐτήν διακείμενος, ἐχθρός ἐστι τοῦ Θεοῦ, καθώς καί Ἰωάννης φησίν· «*Ἐάν τις ἀγαπᾷ τόν κόσμον, οὐκ ἔστιν ἡ ἀγάπη τοῦ Πατρός ἐν αὐτῷ*», ἀλλά καί ὁ Κύριος· «*Ἀγαπήσεις Κύριον τόν Θεόν σου ἐξ ὅλης τῆς διανοίας σου καί ἐξ ὅλης τῆς ἰσχύος σου καί ἐξ ὅλης*

*τῆς ψυχῆς σου*», ὥστε ὁ πρός ἕτερόν τι ἐπιθυμητικῶς ἤ σχετικῶς διακείμενος τῆς ἐντολῆς ταύτης ἐκτός ἐστιν. Ἡμεῖς δέ, οἱ ἄθλιοι καί ταλαίπωροι, τά μεγάλα καί περίδοξα καί ὑψηλά τοῦ κόσμου καταλιπόντες καί εἰς τό μοναστήριον ἐλθόντες, ἀγαπῶμεν οἱ μέν παλλία ἐκστίλβοντα, οἱ δέ ἱμάτια καλόχρυσα, οἱ δέ λώρους καί ἀναλάβους, ἄλλοι σανδάλια καί ὑποδήματα, ἄλλοι βρώματα ἡδέα καί πόματα, ἕτεροι σμίλας καί ῥαφίδας καί μαχαίρας ἤ καί τά τούτων εὐτελέστερα, δι’ ὧν τῆς ἀγάπης ἐκπίπτοντες τοῦ ἐπί πάντων βασιλέως Χριστοῦ καί ἐχθροί αὐτοῦ γενόμενοι, οὐκ αἰσθανόμεθα, ὦ ἀδελφοί! δι’ ἅ καί μέλλομεν ἄρα, εἰ μή προλαβόντες μετανοήσομεν καί πᾶσαν ἐπιθυμίαν κακήν καί πονηράν καί ἔριν καί ζῆλον καί ἀλαζονείαν ἐκ τῆς ψυχῆς ἡμῶν ἕκαστος ἐξορίσομεν, εἰς τό πῦρ τό αἰώνιον μετά τελωνῶν κα΄ἁμαρτωλῶν καί πλουσίων, τῶν ἐν ἀσωτίᾳ βιωσάντων, κατακριθήσεσθαι.

Διά τοῦτο οὖν σπουδάσωμεν, ἀδελφοί, πᾶσαν ἀρετήν ἐπιδείξασθαι, πᾶσαν δέ κακίαν καί πᾶν πάθος βδελύξασθαι ἀπό ψυχῆς καί μισῆσαι πᾶν πρᾶγμα μικρόν ἤ μέγα, ὅ φέρει ταῖς ψυχαῖς ἡμῶν κίνδυνον· μόνοις δέ τούτοις χρησώμεθα ἐν οἷς ὁ μέν νοῦς οὐ τέρπεται, ἡ καρδία δέ ἡμῶν οὐχ ἡδύνεται, ἵνα μή εἰς τά ἀριστερά διά τῶν δοκούντων εὐτελῶν μετά τῶν κοσμικῶν, ὡς εἴρηται, ἡμᾶς αὐτούς κατατάξαντες, βλέψωμεν εἰς τά δεξιά τοῦ Θεοῦ παρισταμένους τούς ἀδελφούς ἡμῶν καί πατέρας καί κατακρίνοντας ἡμᾶς, - οἱ ἡγούμενοι ἑκάστου, λέγω, μοναστηρίου τούς ἐν τοῖς αὐτοῖς μοναστηρίοις εὐαρεστήσαντας τῷ Κυρίῳ, οἱ ἐν διακονίαις τούς ἐν ταῖς αὐταῖς διακονίαις λάμψαντας ὡς φωστῆρας, οἱ ἐν ὑποταγῇ καί ἐργοχείροις τούς ἐν τοῖς ὁμοίοις διαπρέψαντας ἔργοις καί ἐν ταῖς αὐταῖς ἐλαχίσταις ἤ καί προτιμοτέραις δουλείαις, ἐστεφανωμένους ὄντας μετά τῶν ἁγίων μαρτύρων, οἱ τήν νεότητα μολύναντες τούς τήν νεότητα χαλιναγωγήσαντας, οἱ ἐν τελειότητι ἡλικίας ἐκ ῥαθυμίας πεσόντες τούς ἀπό νεότητος μέχρι γήρως ἐγκαρτερήσαντας τῷ τῆς σαρκός πολέμῳ καί φυλάξαντας τήν ἑαυτῶν σωφροσύνην, οἱ ἐν γήρᾳ καί μέχρι τέλους τά τῶν παίδων τῶν ἀναισθήτων διαπραττόμενοι τούς ἐν γήρᾳ ἀποκειραμένους καί πᾶσαν κακήν συνήθειαν ἥν ἀπό νεότητος προσελάβοντο διά τόν τοῦ Θεοῦ φόβον ἐν μικρῷ χρόνῳ ἐγκόψαντας, οἱ γελῶντες τούς νυνί κλαίοντας, οἱ τρυφῶντες καί πρός τῆς τετυπωμένης ὥρας ἐσθίοντες τούς μηδέ ἐν τῷ καιρῷ τοῦ ἀρίστου κορεννυμένους, οἱ παίζοντες τούς ἐν στυγνότητι καί ὠχρότητι ὄντας διηνεκεῖ ἀπό τῆς μνήμης τῆς φοβερᾶς ἐκείνης καί τῶν ἰδίων ἁμαρτημάτων αὐτῶν, οἱ ἀπό πλούτου καί δόξης ἐλθόντες εἰς τό μοναχικόν καί ταπεινωθῆναι καί μικρόν μή θελήσαντες τούς ἀπό πτωχείας ἐσχάτης ἐλθόντας καί σύν ἡμῖν βιοτεύσαντας, διά δέ τήν ταπείνωσιν αὐτῶν ὑπέρ πολλούς τῶν μετ’ αὐτῶν ἱσταμένων εἰς τά δεξιά - βασιλέων, λέγω, καί πατριαρχῶν - ἐνδοξοτέρους ὑπάρχοντας, τῇ ταπεινώσει αὐτῶν ὄντως κεκοσμημένους.

Ἆρα οὖν, ἀδελφοί μου ἀγαπητοί, ἔγνωτε τί εἶπον; Ἄρα οἴδατε ὁποία αἰσχύνη τότε ἡμῖν ἔσται; Ἆρα ἐλάβετε εἰς νοῦν; Ἤλθετε εἰς αἴσθησιν τῆς ὥρας ἐκείνης, ἤ ἵνα τά αὐτά καί πάλιν ἐρῶ εἰς ὠφέλειαν ἐμοῦ καί τῶν ὁμοίων μου ἀμελῶν; Τοιγαροῦν καί ἐν ἡμῖν αὐτοῖς οὕτως ἔσται ἐν τῇ φοβερᾷ ἡμέρᾳ ἐκείνῃ καί πολλοί τῶν ἡμετέρων ἀδελφῶν εὑρεθῶσιν ἐν δεξιᾷ ἱστάμενοι τοῦ Θεοῦ μετά δόξης, πολλοί δέ ἐξ εὐωνύμων κατακρινόμενοι ὑπ’

αὐτῶν. Καί πῶς οὐχί, ὁπηνίκα δύο ἐπί τό αὐτό ἀποταξάμενοι, ὁμότεχνοι, λιθοξόοι τυχόν ἤ τέκτονες, αἱ δύο νέοι καί καθαροί ἀπό πάσης σωματικῆς ἁμαρτίας καί ἐκ πενήτων ὄντες, ὁ μέν εἷς γένηται ἐκ προαιρέσεως πάσης ἀρετῆς ἐργάτης, ὁ δέ ἕτερος πάσης κακίας καί πονηρίας; Ἤ οὐχί τοῦτο καθ' ἑκάστην ὁρῶμεν γινόμενον μέσον ἡμῶν; Καί τόν μέν ὁρῶμεν τῶν δύο τούτων ταπεινόν, εὐπειθῆ, ὑπήκοον, ὡς δοῦλον Θεοῦ καί οὐκ ἀνθρώπων συναναστρεφόμενον ἡμῖν καί διακονοῦντα μετά πίστεως πάσης τοῖς ἀδελφοῖς, τό φρόνημα ταπεινόν ἔχοντα καί συντετριμμένον, καί οὕτω πως καθ' ἑαυτόν λογιζόμενον καί λέγοντα - τοῦτο μεμαθηκότες ἀπό τῆς ἐξομολογήσεως αὐτοῦ τῆς καθ' ἡμέραν καί ἀπό τῶν πολλάκις διερωτώντων αὐτόν καί οὕτως ἀποκρινομένου αὐτοῖς -· «*Ἐγώ, φησί, τίμιε πάτερ, καί ἐν τῷ κόσμῳ ὤν, μόλις ἐν στενότητι ἠδυνάμην πορίζεσθαι μετά κόπου πολλοῦ τήν ἐμαυτοῦ τροφήν. Καί ὧδε ἐλθών, πῶς ἀμελήσω τοῦ ἔργου καί φάγω ἄρτον τῆς μονῆς δωρεάν καί ἀπαιτηθήσομαι αὐτόν ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως; Ἀλλ' ἐπεί τῷ Θεῷ ἦλθον δουλεύειν, ἀγωνίσομαι καί ὑπερπερισσεῦσαι τό ἔργον τῆς τροφῆς μου, ὅσον εἰς δύναμιν, καί ὑποταγῶ τῷ προεστῶτι καί πᾶσι τοῖς ἀδελφοῖς μου μέχρι θανάτου ἀγογγύστως, ὡς αὐτῷ τῷ Χριστῷ, εἰς μηδέν τό σύνολον παρακούων αὐτῶν*», τόν δέ κενόδοξον, ἀνυπότακτον, ἀπειθῆ, καί οὕτω καί αὐτόν ἐξ ἐναντίας ἐκείνου λογιζόμενον καθ' ἑαυτόν καί λέγοντα· «*Ἰδού δή ἔπεμψέ μοι ὁ Θεός οἶκον, ἄρτον καί οἶνον καί ἀφθόνους τροφάς. Ἐγενόμην συναρίθμιος τοῖς πρώτοις, καί πρῶτος τοῖς μετ' ἐμέ ἐρχομένοις, καί ἀδελφός εἰμι τούτων πάντων, θελόντων καί μή θελόντων αὐτῶν. Τοῦ λοιποῦ φάγομαι καί πίομαι καί ὑπνώσω εἰς κόρον. Τί γάρ μοι καί χρεία τοῦ ἐργάζεσθαι ἀπό τοῦ νῦν, ἵνα ἐγώ κοπιῶ καί τόν κόπον μου ἀποκερδαίνωσιν ἄλλοι; Ἐάν γάρ καί εἰς δουλείας τινάς μοι ἐπιτάξωσι, προβαλοῦμαι πρῶτον ἀδυναμίαν· ἐάν δέ καί ἀναγκάσωσί με, εἴπω πρός αὐτούς· Καί ἐάν μή δύνωμαι τοῦτο ποιῆσαι, ἵνα με ἀποπνίξητε, ἵνα με διώξητε, ἐάν μή ἰσχύω*». Καί οὕτω προσποιήσομαι κλαίειν, κραυγάσω, ἔκλυσιν προβαλοῦμαι γονάτων, σκοτοῦσθαι προφασίσομαι, τήν κεφαλήν μου ἀπό χολῆς ὀχλεῖσθαι εἴπω, καί τούτου γε ἕνεκα δυνήσομαι εὐλόγως δῆθεν καί ἀπό πρωΐας ἐσθίειν, ἀναθεματίζειν ἄρξομαι καί βλασφημεῖν καί ἐπί πᾶσι τοῖς ἐπιταττομένοις μοι ἀντιλογήσομαι ὁμοῦ καί γογγύσω· καί πάντως περικακήσαντες ἐάσουσί με καί μή βουλόμενοι. Εἰ δέ καί δώσουσί μοι ἔργα τινά εὐτελῆ καί διακονίαν ὡσαύτως ποτέ, καταφρονήσω αὐτῆς. Οἷον, εἰ μέν τοῖς ἡμιόνοις προστάξουσί μοι δουλεύειν, προφασίσομαι μή εἰδέναι τήν δουλείαν αὐτῶν καί ἐάσω αὐτά ἀφιλοκάλητα καί ἀνεπιμέλητα μετά πάντων τῶν στρωμάτων αὐτῶν· καί ἤ ἐάσουσί με ἀναγκασθέντες ἤ ἕτερον δώσουσιν εἰς βοήθειάν μου, κἀκείνου πάσας ἐπιτελοῦντος τάς χρείας, ὀλίγον ἐγώ τι ποιῶν, ἀναπαύομαι. Εἰ δέ ἀρτοποιόν προστάξουσί με γενέσθαι, προμαρτύρομαι μεθ' ὑποκρίσεως, ὡς ἄν μή καταγνωσθῶ ὡς παρήκοος, λέγων αὐτοῖς· «*Ἐγώ, πατέρες, οὐδέποτε ἐθεασάμην ἄρτον πῶς γίνεται, καί οὕτως ἀπελθών ποιήσω αὐτοῖς τόν ἄρτον πηλόν, αὐτοί δέ μή ὑποφέροντες τοῦτον φαγεῖν, οὐκέτι με εἰς τήν τοιαύτην καταναγκάσουσι διακονίαν*». Εἰ δέ καί εἰς τό μαγειρεῖον διακονεῖν τάξουσιν αὐτόν, οὐκ οἶδε ταπεινωθῆναι τῷ προεστῶτι αὐτοῦ καί βαλεῖν μετάνοιαν, ἀλλά λέγει αὐθαδῶς πρός αὐτόν· «*Κύριε ἐλέησον! Πάτερ, ἐκ πάντων μόνον ἐμέ ἐξελέξω εἰς τάς ἀτίμους δουλείας; Οὐκ εἰσί καί ἄλλοι ἐν τῇ μονῇ ἀδελφοί;*» καί ταῦτα μέν λέγει, ὥστε παρακρούσασθαι τήν

προστασσομένην αὐτῷ διακονίαν· ἐάν δέ ἴδῃ τήν ἔνστασιν τοῦ ἡγουμένου, τέως ἀπέρχεται οὐ διά τόν Θεόν ἀλλά φοβούμενος τήν παιδείαν καί τάς μάστιγας, ἀπερχόμενος δέ καί γογγύζων λέγει ἐν ἑαυτῷ· «*Τέλεια καί καλά ἔχουσι φαγεῖν ἐξ ὧν μαγειρεύσω ἐγώ! Ἐάν μή ποιήσω αὐτούς νήστεις ἐκ τῆς τραπέζης ἐξαναστῆναι ἤ ἐξεμέσαι ὅσα ἄν φάγωσιν, οὐκ εἰμί ἐγώ!*» καί ἁπλῶς οὕτω πάντα ποιεῖ μετά μανίας πολλῆς ὁ ἄθλιος. Καί τήν μέν μαγειρίαν τῶν ἀδελφῶν ὡσαύτως καί τό ὄσπριον αὐτῶν καπνίζει καί παρακαίει αὐτά, ἐμβάλλων πάντα ἄπλυτα καί ἀκαθάριστα εἰς τάς χύτρας, καί ἅλας ἐν αὐτοῖς ὑπέρ τό μέτρον βάλλει ποιῶν ἅλμην αὐτά, τό δέ θερμόν αὐτῶν χλιαρόν εἶναι ἐᾷ ἵνα ἀηδεσθέντες ἐκταραχθῶσιν ἐμέσαι τά βρώματα· ἐάν δέ εἴπῃ αὐτῷ ἀδελφός ἤ καί ἀποστείλῃ τι πρός τό ἑψῆσαι καί εὐτρεπίσαι αὐτό, λέγει ἀναισχύντως· «*Οὐ φείδεται; Ἐκέλευσε τίνα κῦρι τόν δοῦλον αὐτοῦ! Οὐά, ἕως τότε μή φάγῃ, ἕως οὗ ἐγώ ἐγγίσω ἤ εὐτρεπίσω αὐτά!*». Καί οὕτως ἐπί πᾶσι ποιοῦντος αὐτοῦ, εἰς μόνας ἐκείνας εὑρίσκεται προπηδῶν καί ἐπιτρέχων διακονίας ὁμοῦ καί δουλείας, ἔνθα γινώσκει ὁδόν ἔχειν αὐτόν κλέψαι τι ἤ νοσφίσασθαι· καί ἐάν μή μᾶλλον παρά πάντας προτιμηθῇ, φανερῶς λυπεῖται καί κρυπτῶς πρός τούς ὁμοίους αὐτοῦ καταγογγύζει θλιβόμενος· ὅταν δέ ἐπί τοῖς τοιούτοις ἐπιταγῇ, ὡς ἀπό νεκρῶν καί ὡς ἀπό τοῦ ᾅδου ἐγείρεται καί εὐθύς γάνυται τῷ προσώπῳ καί οἱ ὀφθαλμοί αὐτοῦ χαροποιοί γίνονται. Κἄν ἀπό πολλῆς πονηρίας ὑποκρίνεσθαι βουληθῇ διά τό μή καταγνωσθῆναι, ἀλλ᾽ οὐδ᾽ οὕτω λαθεῖν τούς ὁρῶντας δύναται· ὅταν γάρ ἄλλοθεν οὐδαμόθεν ἀλλ᾽ ἐκ τοῦ μή γογγύσαι ἤ ἀναβαλέσθαι μικρόν, ὡς ἐν πάσαις διακονίαις ποιεῖν ἔθος ἦν αὐτῷ, διαγινώσκεται. Φοβεῖται γάρ ὅλως ἐν ταύτῃ εἰπεῖν τι, ἵνα μή ἄλλος ἀντ᾽ ἐκείνου ἀπολυθῇ καί καταλειφθῇ οὗτος ἄπρακτος.

Τούτων οὖν οὕτως ἐχόντων τῶν ἀμφοτέρων καί τοῦ μέν ὑποτασσομένου ἐν ὑπακοῇ ψυχῆς ἀγαθῆς καί τεταπεινωμένῃ καρδίᾳ ἀόκνως, ἀγογγύστως, ἀδόλως, ἀκλόπως, ἀσκανδαλίστως, τοῦ δέ τά ἐναντία τούτων ποιοῦντος, ὡς γέγραπται, ἐάν ἐλθών ὁ θάνατος ἁρπάσῃ ἀμφοτέρους αὐτούς, καί ἐν τῇ φοβερᾷ ἡμέρᾳ ἐκείνῃ γυμνός καί κατῃσχυμένος ἐξ ἀριστερῶν ἱστάμενος - ὁ πονηρός ἐκεῖνος λέγω -, ἀποβλεψάμενος ἴδῃ ἐν τοῖς δεξιοῖς τόν ποτε μετ᾽ αὐτοῦ συναποκαρέντα καί συνεσθίοντα καί συμπίνοντα, τόν ὁμοήλικα, τόν ὁμότεχνον, ὅλον ὡς ἐκεῖνον αὐτόν τόν Χριστόν ἐν μεγάλῃ δόξῃ ὑπάρχοντα, τί τότε ὅλως ἰσχύσει εἰπεῖν ἤ φθέγξασθαι; Ὄντως, ἀδελφοί μου, οὐδέν! Ἀλλὰ στένων καί τρέμων καί τούς ὀδόντας βρύχων ἀπελεύσεται εἰς τό αἰώνιον πῦρ. Οὕτως οὖν ἕκαστος ἡμῶν τῶν ἁμαρτωλῶν ὑπό ἑκάστου τῶν ἁγίων κατακριθήσεται, ὥσπερ οἱ ἄπιστοι ὑπό τῶν πιστῶν καί οἱ ἁμαρτήσαντες μέν, μή μετανοήσαντες δέ, ὑπό τῶν πλείονα ἴσως ἁμαρτησάντων καί θερμῶς μετανοησάντων κατακριθήσονται.

Διά τοῦτο παρακαλῶ καί δέομαι ὑμῶν πάντων, ἵνα εἰ ἐπίστασθε ἑαυτούς πονηρόν τι ποιεῖν και ἐξαμαρτάνειν καί τάς ἰδίας ὑμῶν τιτρώσκειν καί ἀπολύειν ψυχάς, κἄν ἀπό τοῦ νῦν διορθώσησθε καί μετάνοιαν ἀξίαν τῶν ἁμαρτημάτων αὐτοῦ ἕκαστος ὑμῶν ἐπιδείξησθε καί παντί τρόπῳ σπουδάσητε ἐκ δεξιῶν στῆναι τοῦ Σωτῆρος ἡμῶν καί Θεοῦ. Ὅσοι δέ μικρά τινα σφάλλεσθαι ἑαυτούς συγγινώσκετε, μετά σφοδρᾶς καί ταῦτα τῆς ταχύτητος ἀπορρίψατε ἀφ᾽ ἑαυτῶν, ἵνα μή διά τά μικρά ταῦτα ἐξ ἀριστερῶν καί ὑμεῖς,

ὡς πᾶσα Γραφή διαμαρτυρουμένη λέγει, σταθήσησθε, καί μή ὡς μηδαμινά καί μικρά, ἀλλ’ ὡς μεγάλα ταῦτα καί ἔχετε καί λογίζεσθε. Ὁ γάρ εἰς τά μικρά σφάλλων ἑκουσίως, τῶν δέ μεγάλων ἁμαρτημάτων ἀπεχόμενος, περισσοτέρως κατακριθήσεται, ὅτι τῶν μειζόνων κρατήσας ὑπό τῶν ἐλαττόνων ἐκυριεύθη. Ἀρκεῖ γάρ εἰς ἀπώλειαν καί ἕν μόνον ἡμῖν πάθος, καθώς ἀνωτέρω εἶπον καί αὐτούς ὑμῖν τούς ἁγίους ἀποστόλους, Ἰωάννην φημί καί Ἰάκωβον, εἰς μαρτυρίαν παρήγαγον. Ἵνα δέ καί διά παραδείγματος ὑμῖν δείξω τό τοῦ λόγου πιστόν, τοῦτο ὑμᾶς ἐρωτήσω.

Ὁ πρός δέκα ἄνδρας ἔχων τήν μάχην ἤ καί πρός δώδεκα, ἀδελφοί, ἐν τῷ συμβαλεῖν πόλεμον μετ’ αὐτῶν, ἐάν τούς προμάχους μέν καί ἀνδρειοτέρους αὐτῶν ἀθρόως ἐκ πρώτης προσβολῆς ἅπαντας τρέψῃ καί τρώσας καταβάλῃ, ἕνα δέ ἤ καί δύο ἐκ τούτων ταλαιπωροτέρους ἤ καί ἀσθενεστέρους ὕστερον καταλειφθέντας ἰδών καί μετά φόβου καί κολακείας ἐπερχομένους αὐτῷ ἀπό μακρόθεν, οὐ σπεύσας κρατήσει καί ἐξαγκωνίσας δεσμεύσει ἤ καί κατασφάξει αὐτούς, οὐ δεινῶς ἀναιρεθήσεται ὑπ’ αὐτῶν; Εἰ γάρ ἐξ ὑπερηφανίας καί ἀλαζονείας ῥίψας τά ὅπλα, ἀνακλιθείς καί ἀναπεσών ὑπνώσει καταφρονήσας αὐτῶν, οὐχί ἑκουσίως ἑαυτόν εἰς δουλείαν τῶν ταλαιπώρων ἐκείνων ἐξέδωκεν; Οὐχί ἐπελθόντες οἱ δύο ἤ καί εἷς ἐξ αὐτῶν δεσμήσας αὐτόν, ὑπόσπονδον ἑαυτοῦ τοῦτον ἕξει καί δοῦλον ἄρας οἰχήσεται ἤ καί ἀνελών αὐτόν μαχαίρᾳ, ποιήσει πᾶσιν ἀνθρώποις γενέσθαι τοῦτον εἰς καταγέλωτα; Οὐχί δέ πάντες ἐροῦσι δικαίαν γενέσθαι τοῦ ἀμελοῦς ἐκείνου καί ἀλαζόνος, μᾶλλον δέ ἄφρονος καί ἀναισθήτου σφαγήν; Οὐ γάρ τοσοῦτον πάντως ἐπαινετός ἔσται τῆς πρός τούς ἰσχυροτέρους πάλης καί νίκης ἕνεκα, ὅσον ψεκτός καί βδελυκτός καί ἀπόβλητος, ἵν’ εἴπω, καί δοῦλος ἤ νεκρός, διά τήν ἐκ τοῦ ἑνός ἐκείνυ γενομένην ἧτταν αὐτῷ.

Οὕτως οὖν, ἀδελφοί μου ἀγαπητοί, οὐδέν ἡμᾶς οὐ μή ὠφελήσῃ τῶν μεγάλων παθῶν κρατήσαντας, ἐάν ὑπό τῶν ἐλασσόνων κυριευώμεθα. Οἷόν τι λέγω; Τά γάρ αὐτά καί πάλιν ἐρῶ καί λέγων οὐ παύσομαι. Ἐάν τόν τῆς σαρκός μολυσμόν φυλαξώμεθα, ἐάν ἀπό φθόνου καί μεγάλης ὀργῆς καί κλοπῆς ἀποσχώμεθα, ἐάν ἀρσενοκοιτίας, παιδοφθορίας, μαλακίας καί πάσης ἀσελγείας κρατήσωμεν, γαστριμαργίᾳ δέ ἤ πολλῷ οἴνῳ ἤ ὕπνῳ ἤ ὀκνηρίᾳ ἤ ῥαθυμίᾳ, ἀντιλογίᾳ τε καί ἀνηκοΐᾳ καί γογγυσμῷ, οἷα δή δοῦλοι καί μαστιγίαι δουλούμεθα, τί ἡμῖν ἔσται τό ὄφελος ἐκ τῆς τῶν πονηρῶν ἔργων καί μόνων ἀποχῆς; Εἰ δέ καί λάθρα ἄρτου τεμάχια αἴρομεν καί ἐσθίομεν ἤ ἄλλο τί ποθεν ἐπιλαβόμενοι καί ταῦτα ἄνευ εὐχῆς τοῦ προεστῶτος ἡμῶν, τίς ἄν εἴπῃ ἐλευθέρους ἡμᾶς ἁμαρτίας; Εἰ δέ καί τῶν συνάξεων, δίχα μεγάλης ἀσθενείας ἤ ἀναγκαίας χρείας τινός, ἑκουσίως ἀπολιμπανόμεθα, εἰ δέ καί τους καρπούς φυλάσσοντες ἐξ αὐτῶν οὐκ ἐγκρατευόμεθα - καί γάρ τί ἄλλο ἦν ὅ τόν Ἀδάμ ἐκ τοῦ παραδείσου ἐξέβαλε καί τῷ θανάτῳ παρέδωκε; - τί κερδανοῦμεν ἐκ τῆς τῶν εἰρημένων ἀποφυγῆς; Οὐδέ γάρ εἰ ὁλόσωμόν τις πληγήν ἔχων, εἶτα διά φαρμάκων πολλῶν ἰαθείς παρά μικρόν τήν πληγήν, δύναται ὑγιής λέγεσθαι, εἰ μικράν ὀπήν ἴσην ῥαφίδος ἐπιφέρεται τραύματος, ἀλλ’ ὁ καί τούς μώλωπας, εἰ δυνατόν, τοῦ τραύματος ἐξαφανίσας, ἐκεῖνος παρά πάντων εἰκότως λεχθήσεται ὑγιής. Μή οὖν ταῦτα μικρά λογιζώμεθα, ἀλλά διά ταῦτα τιμωρηθέντας ἄλλους ἀκούοντες καί

καταδικασθέντας σφοδρῶς, ἡμεῖς τήν ἐξ αὐτῶν βλάβην πάσῃ δυνάμει ἐκφύγωμεν. Καί μηδείς, ἀγαπητοί, ἔν τινι τούτων ἤ πάθει ἑτέρῳ τοῦ λοιποῦ ἐπιμείνῃ, ἀλλ' ἀπό τοῦ νῦν ἀποσχόμενος μετανοησάτω βαλών ἀρχήν, καί μή ἀποστῇ ἐξαγγέλλων τήν ἧτταν ἑαυτοῦ, ἕως ἄν αἰσχυνθείς ὁ ὑποβάλλων αὐτῷ ἐχθρός παύσηται τοῦ αὐτόν πολεμεῖν. Μή φθόνος κυριεύσῃ ἡμῶν, μή ὀργή ἤ θυμός καί κραυγή, ἐξ ὧν αἰσχρολογίαι καί ὕβρεις εἰώθασι τίκτεσθαι, μή κενοδοξία καί ὑπερηφανία καί οἴησις κατασχοῦσαι ἡμᾶς εἰς βυθόν ᾅδου καθέλξωσιν, ἀλλά ταῦτα πάντα πόρρω ἐξορίσαντες ἑαυτῶν, κτησώμεθα τάς ἀρετάς ἀντ' αὐτῶν.

Ἴσως δέ τις ἐρεῖ ὅτι· «*Τοσούτων ὄντων καί ἀναριθμήτων παρά μικρόν τῶν εἰρημένων παθῶν, τίς δύναται ταῦτα ἐρευνᾶν πάντα καί ἐκ τούτων πάντων ἀπέχεσθαι, ἵνα μή ὑπ' οὐδενός τούτων κυριευθῇ τις;* ». Ἐγώ χάριτι Χριστοῦ διδάξω ὑμᾶς. Ὁ ἀεί ἐννοῶν τάς ἑαυτοῦ ἁμαρτίας καί τήν μέλλουσαν κρίσιν διηνεκῶς προορῶν καί μετανοῶν καί κλαίων θερμῶς, οὗτος ὑπεραίνει πάντα ὁμοῦ καί ὑπερνικᾷ ὑπό τῆς μετανοίας ὑψούμενος, ὡς μή δύνασθαι ἕν καί μόνον τῶν εἰρημένων φθάσαι καί καθάψασθαι αὐτοῦ τῆς ἀεροβατούσης ψυχῆς. Εἰ δέ μή ἡ διάνοια ἡμῶν ὑπό τῆς μετανοίας και τῶν δακρύων καί ὑπό τῆς ἐγγινομένης ἐκ τούτων πνευματικῆς ταπεινώσεως πτερωθεῖσα εἰς ὕψος ἀπαθείας ἀρθῇ, οὐκ ἄν ἐλεύθεροι τῶν εἰρημένων ἁπάντων γενέσθαι ἰσχύσωμεν, ἀλλά ποτέ μέν ὑπό τοῦδε τοῦ πάθους, ποτέ δέ ὑφ' ἑτέρου κεντᾶσθαι καί ὡς ὑπό θηρίων ἀγρίων κατεσθίεσθαι οὐ παυσόμεθα, καί μετά θάνατον διά ταῦτα τῆς τῶν οὐρανῶν βασιλείας ἐκπεσόντες, ὑπό τῶν τοιούτων πάλιν αἰωνίως κολασθησόμεθα.

Διά τοῦτο παρακαλῶ πάντας ὑμᾶς, πνευματικοί μου πατέρες καί ἀδελφοί, καί παρακαλῶν οὐδέποτε παύσομαι τήν ὑμετέραν ἀγάπην, μή ἀμελῆσαι ἕκαστον τῆς ἑαυτοῦ σωτηρίας, ἀλλά παντί τρόπῳ σπουδάσαι ἀρθῆναι μικρόν ἀπό τῆς γῆς. Εἰ γάρ τοῦτο γενήσεται τό θαῦμα καταπλῆξαν ὑμᾶς, τό ἀπό τῆς γῆς εἰς ἀέρα λέγω κρέμασθαι, οὐκέτι πρός τήν γῆν κατελθεῖν καί στῆναι κἄν ὅλως θελήσετε· «*γῆν*» δέ τό σαρκικόν καί «*ἀέρα*» τό πνευματικόν λέγω φρόνημα. Εἰ γάρ ὁ νοῦς τῶν πονηρῶν λογισμῶν καί παθῶν ἐλευθερωθῇ καί θεασόμεθα δι' αὐτοῦ τήν ἐλευθερίαν, ἥν ἡμῖν ὁ Χριστός καί Θεός ἐχαρίσατο, οὐκέτι καταδεξόμεθα πρός τήν προτέραν δουλείαν τῆς ἁμαρτίας καί τοῦ σαρκικοῦ φρονήματος κατελθεῖν, ἀλλά κατά τήν τοῦ Κυρίου φωνήν γρηγορεῖν καί προσεύχεσθαι οὐ παυσόμεθα, ἕως ἄν πρός τήν ἐκεῖθεν μεταβῶμεν μακαριότητα καί τῶν ἐπηγγελμένων ἐπιτύχωμεν ἀγαθῶν, χάριτι καί φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοοῦ, ᾧ πρέπει πᾶσα δόξα εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## Λόγος στ΄. Περί ἐργασίας πνευματικῆς. Καί τίς ἦν ἡ ἐργασία τῶν παλαιῶν ἁγίων. Καί πῶς ταύτην κατορθῶσαι δυνάμεθα, ἵνα καί μέτοχοι, ὥσπερ ἐκεῖνοι, τοῦ Παναγίου γενώμεθα Πνεύματος.

Ἀδελφοί καί πατέρες, ἐπειδήπερ μεγάλα τινές οἰόμενοι περί ἑαυτῶν, ὡς οὐκ ὤφελεν, ἴσους ἑαυτούς ἡγοῦνται κατά τε πρᾶξιν καί γνῶσιν καί τελειότητα τῶν πάλαι ἁγίων θεοφόρων πατέρων ἡμῶν καί τοῦ αὐτοῦ πνεύματος, ᾧ ἔζων καί ἐκινοῦντο ἐκεῖνοι, συνιστάνοντες ἑαυτούς ἐκ λόγων μόνων καί δίχα τῶν ἔργων, πνεύματι ἀποπλανηθέντες οἰήσεως, ᾠήθην διά βραχέων οὕτω πως ἐν ἁπλότητι καί ὑπτιότητι λόγου πρός αὐτούς εἰπεῖν ὡς πρός ἕνα, διά τε τόν εἰρηκότα Θεόν· «*Καί σύ στραφείς, τούς ἀδελφούς σου διόρθωσαι*», καί διά τήν κοινήν ἀγάπην ἥν ἐντελλόμεθα ἔχειν πρός τούς πλησίον ἡμῶν. Ἄρξομαι δέ ἐντεῦθεν τοῦ λέγειν ἐν ἀφελότητι καί παρακαλεῖν τήν ἀγάπην ὑμῶν.

Βούλῃ τοιγαροῦν ἀκοῦσαι τί ἐποίουν οἱ πατέρες ἡμῶν οἱ ἅγιοι, ἐν τοῖς ἑαυτῶν κελλίοις καθήμενοι; Ἀνάγνωθι τούς βίους αὐτῶν καί μάθε σύ πρῶτον τήν σωματικήν τέως πρᾶξιν αὐτῶν, εἶτα ἐγώ σοι ἀναγγελῶ τήν πνευματικήν ἐργασίαν ἥν ἐκεῖνοι εἰργάζοντο. Οἱ γάρ τούς βίους συγγραψάμενοι τῶν ἁγίων, τάς πράξεις αὐτῶν ἐδήλωσαν τάς σωματικάς, τήν ἀκτημοσύνην, τήν νηστείαν, τήν ἀγρυπνίαν, τήν ἐγκράτειαν, τήν ὑπομονήν καί καθεξῆς τά λοιπά, ἵνα μή πάντα ἀπαριθμοῦντες τόν λόγον μηκύνωμεν, τήν δέ πνευματικήν αὐτῶν ἐργασίαν μικρόν τε καί ὡς ἐν ἐσόπτρῳ διά τῶν τοιούτων ἐδήλωσαν, ἵνα οἱ τούς κόπους ἐκείνων καί τήν πίστιν ἐκ τῶν ἔργων ἐπιδεικνύμενοι, ἔργοις αὐτοῖς καί τῶν πνευματικῶν χαρισμάτων αὐτῶν ἐν γνώσει καί μετοχῇ γένωνται, οἱ δέ γε λοιποί μηδέ ἀκοῦσαι περί τῶν τοιούτων ἀξιωθήσωνται. Ἐπεί δέ εἰς τοσοῦτον ἀνοίας βόθρον κατήχθημεν, ὡς καί δίχα τῶν ἔργων, ὧν ἐκεῖνοι εἰργάσαντο, ἴσως ἐκείνοις τήν χάριν ἔχειν καί ἡμᾶς οἴεσθαι, φέρε τόν περί ἐκείνων γυμνάσωμεν λόγον καί ἀπό τῶν μεμαρτυρημένων πραγμάτων τήν πληροφορίαν λαβόντες, σπουδάσωμεν τέως κατά πόδας ἐκείνων βαδίσαι, εἰ καί μή φθάσαι δυνηθῶμεν αὐτούς. Ἄνωθεν δέ τόν λόγον ἀρξάμενοι, κατ᾽ ὀλίγον ἕως ἡμῶν καταβαίνοντες ἔλθωμεν.

Τί οὖν ὁ μέγας Ἀντώνιος ἐν τῷ μνήματι καθεζόμενος ἔπραττε, καί τοι μήπω πνευματικήν ἐργασίαν ὅλως εἰδώς; Οὐχί ὡς νεκρόν ἑαυτόν ἐν τῷ μνήματι ἔκλεισε, μηδέν τῶν τοῦ κόσμου ἐπιφερόμενος, μηδέ μέριμναν ἔχων τήν οἱανοῦν ἐν αὐτῷ; Οὐχί ὅλος ἦν νεκρός ἐκ τοῦ κόσμου, καί κείμενος ἐν τῷ μνημείῳ τόν ζωῶσαι καί ἀναστῆσαι δυνάμενον ἐζήτει Θεόν; Οὐχί ἄρτῳ μόνῳ ἠρκεῖτο καί ὕδατι; Οὐχί πολλά παρά τῶν δαιμόνων ὑπέστη κακά καί ἡμιθανής ἔκειτο ἐκ τοῦ ἀφορήτου δαρμοῦ; Οὐχί ἐν τῇ ἐκκλησίᾳ ὡς νεκροῦ ἀπενεχθέντος αὐτοῦ, ἡνίκα ἦλθεν εἰς ἑαυτόν, πάλιν αὐθόρμητος πρός τούς ἀντιπάλους ἀπῆλθεν; Εἰ μή γάρ πρός ἐκείνους ὑπέστρεψεν, ἀλλ᾽ ἐνέμεινε τῷ κόσμῳ καί εἰ μή μέχρι τέλους ἐνεκαρτέρησεν, εἰς θάνατον ἐκδεδωκώς ἑαυτόν τῇ προθυμίᾳ καί προαιρέσει, οὐκ ἄν τῆς πολυποθήτου θέας τοῦ Δεσπότου αὐτοῦ ἠξιώθη,

οὐκ ἄν τῆς γλυκείας ἐκείνου φωνῆς ἀκήκοεν. Ἀλλά ἐζήτησεν ὁλοψύχως, ἔκρουσεν ἀόκνως, ὑπέμεινεν εἰς τέλος καί ἔλαβεν ἐπάξιον τόν μισθόν. Ἀποθανών γάρ, ὡς εἴρηται, τῇ προαιρέσει ὑπέρ Χριστοῦ, ἔκειτο ὡσεί νεκρός, ἕως οὗ ἦλθεν ὁ ζωογονῶν τούς νεκρούς καί ἀνέστησεν αὐτόν ἐκ τοῦ ᾅδου, τοῦ σκότους φημί τοῦ ψυχικοῦ, καί ἐξήγαγεν αὐτόν εἰς τό θαυμαστόν φῶς τοῦ προσώπου αὐτοῦ. Ὅπερ θεασάμενος καί τῶν λυπηρῶν ἐκείνων ἀπαλλαγείς καί περιχαρής γεγονώς ἔλεγε· «*Κύριε, ποῦ ἦς ἕως ἄρτι*»; Τό μέν οὖν εἰπεῖν «*Ποῦ ἦς;*» ἀγνοοῦντος πάντως ἐστίν ὅπου καί ἦν· τό δέ εἰπεῖν «*Ἕως ἄρτι*» τήν θεωρίαν καί αἴσθησιν καί γνῶσιν τῆς τοῦ Δεσπότου παρουσίας ἐδήλωσεν. Εἰ τοίνυν οὕτως ἀποτάξασθαι ἡμεῖς οὐ βουλόμεθα καί καρτερῆσαι ὁμοίως ἐκείνῳ καί ὑπομεῖναι οὐ προαιρούμεθα, πῶς τόν Θεόν ἐν Ἁγίῳ Πνεύματι ὡς ἐκεῖνος ἰδεῖν ἀξιωθῶμεν καί πληρωθῆναι ἀγαλλιάσεως; Οὐδαμῶς.

Ἀλλά γάρ καί πρός ἕτερον, εἰ δοκεῖ, τόν λόγον ἰθύνωμεν. Τί ὁ μέγας Ἀρσένιος διεπράξατο ἐξ αὐτῆς ἀρχῆς τῆς ἀποταγῆς αὐτοῦ; Οὐχί τά βασίλεια καταλιπών καί τούς βασιλεῖς, τού σηρικοφόρους οἰκέτας καί πάντα τόν πλοῦτον αὐτοῦ, μόνος ὡς φτωχός καί πένης ἐν τῷ μοναστηρίῳ ἀφίκετο, ὅστις ποτέ ἦν σπουδάσας λαθεῖν, φεύγων τήν δόξαν καί τόν ἀνθρώπινον ἔπαινον, ἵνα παρά Θεῷ δοξασθῇ; Τί οὖν ἄρα τούτοις μόνοις ἔμεινεν ἀρκεσθείς; μή γένοιτο· ἀλλά τί; Οὐδέ ὡς εὐτελής μετά εὐτελῶν ἀνθρώπων ἑαυτόν κατατάξαι ἠνέσχετο, ἀλλ' ὡς κύνα ἐλογίσατο ἑαυτόν. Ῥιφέντος γάρ αὐτῷ παρά τοῦ ἡγουμένου τοῦ ἄρτου καί πεσόντος τούτου ἐπί τῆς γῆς, αὐτός τετραποδίσας, οὐ τῇ χειρί ἀλλά τῷ στόματι, ὡς κύων ἄρας τόν ἄρτον, οὕτως αὐτόν ἔφαγεν. Ἐν δέ τῷ κελλίῳ καθήμενος, οὐ μόνον εἰργάζετο, ἀλλά καί πολύ ἔλαττον τοῦ ἐργοχείρου αὐτοῦ εἰς τήν ἑαυτοῦ χρείαν ἀνήλισκεν, ὕδωρ πίνων βορβόρου ὄζοντος ὅμοιον. Διά τοῦτο καί ἐργαζόμενος καί εὐχόμενος διηνεκῶς ἔκλαιε καί τοῖς ἑαυτοῦ δάκρυσι κατεβρέχετο, ἀλλά καί ἀφ' ἑσπέρας εὐχόμενος ἵστατο μέχρι πρωΐας καί τῇ πτωχείᾳ καί εὐτελείᾳ μέχρι τέλους ἐνεκαρτέρησε. Διά τί ; Διά τό παθεῖν πάντως καί ἰδεῖν καί αὐτόν, ὅπερ ὁ μέγας Ἀντώνιος ἰδεῖν καί παθεῖν ἠξιώθη. Πῶς οὖν οὐ γέγραπται καί ἐπί τούτου, ὅτι εἶδε τόν Κύριον; Μή τούς μέν κόπους αὐτός κατεβάλετο, ἐκεῖνον δέ ἰδεῖν οὐκ ἠξίωται; Οὐχί, ἀλλά καί αὐτός οὕτως ἰδεῖν τόν Θεόν ἠξιώθη, εἰ καί μή ὁ συγγραψάμενος τοῦτο οὕτως ἐδήλωσε φανερῶς· καί εἰ βούλει τοῦτο μαθεῖν ἀκριβῶς, τά παρ' ἐκείνου αὐτοῦ, φημί τοῦ ἁγίου Ἀρσενίου, ἐκτεθέντα κεφάλαια δίελθε καί γνώσει ἐξ αὐτῶν ὅτι καί οὗτος θεόπτης ἐστίν ἀληθῶς.

Ὁ οὖν αὐτούς ἐκμιμούμενος ἔργῳ καί πόνοις τῆς αὐτῆς ὄντως καταξιωθήσεται χάριτος· εἰ δέ μή βούλεταί τις τήν ταπείνωσιν τούτων καί τήν ὑπομονήν ἐκμιμήσασθαι, τί καί λέγει τό πρᾶγμα ἀδύνατον; Εὐθυμίου δέ καί Σάβα καί τῶν καθεξῆς ἁγίων τάς πράξεις, τάς ὑπέρ ἄνθρωπον, τίς διηγήσεται; Εἴτε γάρ πρό τοῦ τήν χάριν λαβεῖν τοῦ Πνεύματος, εἴτε καί μετά τό ταύτην λαβεῖν, τέως ἄνευ κόπων καί πόνων πολλῶν καί ἱδρώτων βίας τε καί στενοχωρίας καί θλίψεως οὐδείς διῆλθε τόν σκοτασμόν τῆς ψυχῆς, οὐδέ τό φῶς τοῦ Παναγίου Πνεύματος ἐθεάσατο. Βιαστή γάρ ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν καί βιασταί ἁρπάζουσιν αὐτήν, ἐπειδή καί διά πολλῶν θλίψεων δεῖ ἡμᾶς

εἰσελθεῖν εἰς τήν βασιλείαν τῶν οὐρανῶν. Ἡ δέ βασιλεία τῶν οὐρανῶν ἡ μετοχή ὑπάρχει τοῦ Πνεύματος τοῦ Ἁγίου· τοῦτο γάρ ἐστι τό εἰρημένον ὅτι ἡ βασιλεία τῶν οὐρανῶν ἐντός ἡμῶν ἐστιν, ἵνα τό Πνεῦμα τό Ἅγιον ἐντός ἡμῶν λαβεῖν καί ἔχειν σπουδάσωμεν. Μή οὖν λεγέτωσαν οἱ ἐκτός ὄντες διηνεκοῦς βίας καί στενοχωρίας καί εὐτελείας καί θλίψεως, ὅτι ἐντός ἡμῶν ἔχομεν τό Πνεῦμα τό Ἅγιον· ἄνευ γάρ ἔργων καί ἱδρώτων καί πόνων τῆς ἀρετῆς ὁ μισθός οὗτος οὐ δίδοταί τισι. Διό μοι καλῶς ἔχειν δοκεῖ καί τό παρά πολλοῖς οὕτω λεγόμενον· «*Δεῖξον, φησίν, ἔργα καί ἀπαίτει μισθούς*».

Ἐγώ γάρ οἶδα ἄνθρωπον πρό τοῦ κόπους καταβαλέσθαι καί πρό τοῦ βιάσασθαι ἑαυτόν, εὐθύτητι διαλογισμῶν καί ψυχῆς ἁπλότητι ταῖς θείαις Γραφαῖς ἐγκύψαντα καί ὀλίγας ἡμέρας καί νύκτας ἀκόπως, ἵν’ εἴπω, ἀγρυπνήσαντα καί εὐξάμενον καί ἐπί τοσοῦτον ἐλλαμφέντα ὑπό τῆς ἄνωθεν χάριτος, ὡς ἔξω δόξαι αὐτόν γενέσθαι τοῦ σώματος καί τοῦ οἰκήματος καί τοῦ κόσμου παντός - νύξ γάρ ἦν καί ὡς ἡμέρα τελεία ἐγένετο -, ἀλλ’ ἐπεί ἀπόνως πλοῦτον ἔλαβε, συντόμως αὐτοῦ καί κατεφρόνησε. Διό καί ἀμελήσας, ὅλον ὁμοῦ τόν πλοῦτον ἀπώλεσε καί ἐπί τοσοῦτον, ὡς μηδέν μνημονεύειν ὅλως αὐτόν, ὅτι ποτέ τοιαύτην δόξαν τεθέαται.

Πῶς οὖν οἱ μηδέ λαβεῖν ἀξιωθέντες ποτέ ἤ κατιδεῖν τήν δόξαν ταύτην ποσῶς, λέγουσιν ἔχειν ταύτην ὅλην ἐν ἑαυτοῖς, ἀπορῶ. Ἀλλ’ ὤ τῆς πωρώσεως, ὤ τοῦ σκοτασμοῦ, ὤ τῆς ἀγνοίας καί τῆς ματαίας οἰήσεως, ποῦ ποτε τοῦτο ἤ διά ποίων γραφῶν μεμαθήκασιν; Ὄντως ἐματαιώθησαν ἐν τοῖς διαλογισμοῖς αὐτῶν καί ἐσκοτίσθη ἡ ἀσύνετος αὐτῶν καρδία καί ἔμειναν ἐν Αἰγύπτῳ, τουτέστιν ἐν τῷ σκότει τῶν παθῶν αὐτῶν καί τῶν ἡδονῶν.

Οἱ γάρ τήν γῆν τῆς ἐπαγγελίας ἰδεῖν ποθήσαντες, ἥν πραέων ὀφθαλμοί καί ταπεινῶν καί πτωχῶν βλέπειν καταξιοῦνται, πᾶσαν στενοχωρίαν καί πᾶσαν θλῖψιν καί εὐτέλειαν καταδέχονται καί ἀπό πάσης καί παντοίας σωματικῆς ἡδονῆς καί τιμῆς καί ἀνέσεως σφοδρῶς ἀπέχονται. Οὐ μόνον δέ ἀλλά καί ἀπό παντός ἀνθρώπου μικροῦ τε καί μεγάλου χωρίζονται, φεύγοντες αὐτούς ἀμίσως, ἵνα ταύτης καταξιωθῶσιν ἐπιβῆναι πρό τοῦ ἐκκοπῆναι τόν δρόμον αὐτῶν ἀπό τῆς ὁδοῦ τῆς παρούσης ζωῆς. Ταπεινούμενοι γάρ καί ὡς πονηροί καί προσκεκρουκότες πολλά ἐπ’ ἀληθῶς διακείμενοι, οὐ μήν ἀλλά γάρ καί ὡς ἐχθροί καί παραβάται τῶν ἐντολῶν τοῦ Θεοῦ στυγνοί καί λελυπημένοι διάγουσιν, ἐπιποθοῦντες μαθεῖν τό τί ἄν δέοι αὐτούς διαπράξασθαι πρός τό καταλλαγῆναι τῷ Δεσπότῃ Χριστῷ. Διά τοῦτο τοίνυν χαρίζεται αὐτοῖς ὁ Κύριος οὐ μόνον τό γνῶναι ὅ τι δέοι ποιῆσαι, ἀλλά καί ἰσχύς δίδοται αὐτοῖς παρ’ αὐτοῦ καί ὑπομονή εἰς τό ἐκπληρώσαντας πάντα ἅ δεῖ, αὐτόν ἐκεῖνον ἰδέσθαι καί κτήσασθαι τόν ἐπί πάντων καί ἐπί πᾶσι Θεόν καί τηνικαῦτα ὡς ἐν οὐρανῷ διάγειν καί ἐκεῖσε τό πολίτευμα ἔχειν, κἄν ἐν σπηλαίοις κἄν ἐν ὄρεσι κἄν ἐν κελλίοις διάγωσι, κἄν ἐν μέσαις ἀναστρέφωνται πόλεσι, καί οὕτως ἀεί ἐν χαρᾷ καί εὐφροσύνῃ καί ἀγαλλιάσει ἀρρήτῳ δουλεύειν αὐτῷ.

Αὕτη τοιγαροῦν ἡ ἐργασία τῶν ἁγίων ἐστίν, αὕτη ἡ πρᾶξις τῶν ἐν Πνεύματι ἀγομένων

Θεοῦ. Οἷος γέγονε καί ἐν τῇ καθ’ ἡμᾶς γενεᾷ ὁ ἅγιος καί μακαριώτατος εὐλαβής Συμεών, ὁ λάμψας δίκην ἡλίου μέσον τῆς περιωνύμου μονῆς τῶν Στουδίου, ὁ ἐν μέσῳ τοῦ κόσμου ποτέ ὤν καί τοῖς τοῦ κόσμου πράγμασι καί φίλοις καί συγγενέσιν, οὐ μόνον δέ ἀλλά καί ταῖς φροντίσι καί μερίμναις καί ἡδοναῖς τοῦ βίου ἐπί τοσοῦτον ἀποταξάμενος, ὡς μηδέ τήν μνήμην ὅλως ἔχειν αὐτῶν, ἀλλά καί ταύτην ἀφ’ ἑαυτοῦ ἐξορίσαι μακράν, ὁ ἀναστραφείς μέσον τοῦ πλήθους τῶν μοναχῶν καί τήν μακαρίαν ἐκείνην τότε λέξας φωνήν, «*Ὀφείλει λέγων εἶναι ὁ μοναχός ἐν τῷ μοναστηρίῳ ὡς ὤν καί μή ὤν καί μή φαινόμενος, μᾶλλον δέ μηδέ γνωριζόμενος*», ἥν καί ἑρμηνεύων ἔλεγεν· «*Ὡς ὤν μέν τῷ σώματι, μή ὤν δέ τῷ πνεύματι, μή φαινόμενος δέ εἰ μή μόνοις διά τοῦ Ἁγίου Πνεύματος τοῖς καθαροῖς τῇ καρδίᾳ, μή γνωριζόμενος δέ διά τό μή ἔχειν μετά τινός τι*». Ὢ μακαρίων ῥημάτων, δι’ ὧν ἡ ὑπέρ ἄνθρωπον ἀγγελική πολιτεία αὐτοῦ κηρύττεται, δι’ ὧν κεκτῆσθαι ἐν οὐρανοῖς τό πολίτευμα αὐτός ἑαυτῷ διά τοῦ Ἁγίου Πνεύματος μεμαρτύρηκεν, δι’ ὧν τήν μετά Θεοῦ ἡμῶν διαγωγήν ὑπέφηνε, μή ἔχειν εἰπών μετά τινός τι. Ὅπερ οὐδείς κατορθῶσαι ἤ ἐπ’ ἀληθῶς εἰπεῖν δύναται, εἰ μή ὅλως ὅλῳ ἑνωθῇ τῷ Θεῷ· εἰ δέ καί εἴπῃ, πλανᾷ ἑαυτόν. Ὁ γάρ λέγων μή ἁμαρτάνειν τυφλός ἐστι μυωπάζων, τόν Θεόν δέ ὁ ἔχων ἁμαρτάνειν οὐ δύναται, ὅτι σπέρμα αὐτοῦ ἐν αὐτῷ μένει, καθώς φησιν ὁ Ἰωάννης ἡ θεολογικωτάτη τῶν ἀποστόλων βροντή. Ὅτι δέ ἐκεῖνος τόν Θεόν ὅλον εἶχεν ἐν ἑαυτῷ καί ζῶν ἔλεγε καί ἀποθανών διά τῆς οἰκειοχείρου αὐτοῦ γραφῆς μεγάλῃ βοᾷ τῇ φωνῇ· «*Θεόν κτῆσαι σεαυτῷ φίλον καί ἀνθρώπου βοηθείας οὐ δεηθήσῃ*». Καί πάλιν· «*Θεόν κτῆσαι καί οὐ δεηθήσῃ βιβλίου*», καί τοῦτο ἐδήλωσεν ἐξ ἔργων αὐτῶν, βιβλίον ἐκ τοῦ ἰδίου κόπου, μᾶλλον δέ ἐκ τοῦ ἐνοικήσαντος αὐτῷ Πνεύματος συγγραψάμενος, μαθήσεως γραμμάτων ὑπάρχων ἀμύητος, ὁμολογοῦμεν δέ καί ἡμεῖς, συμμαρτυροῦντες τῷ ἁγίῳ ἡμῶν πατρί καί μή κρύπτονες τήν εὐεργεσίαν φειδοῖ τοῦ μή νομισθῆναι ἀλαζόνας ἡμᾶς παρά τισιν, ὅτι ὥσπερ δεξαμενή τις ἀπορρέοντος ὕδατος, οὕτως ὁ ἅγιος πατήρ ἡμῶν ἐκ τοῦ πληρώματος μετέλαβε τοῦ Δεσπότου ἡμῶν Χριστοῦ καί ἐπλήσθη τῆς χάριτος τοῦ Πνεύματος αὐτοῦ, ὅπερ ἐστίν ὕδωρ ζῶν· ὥσπερ δέ πάλιν ἀπό τῆς δεξαμενῆς τό ὑπερπλεονάσαν καί ἔξωθεν ὑπερεκχυνόμενον ὕδωρ λαμβάνει τις εἰς κόρον, οὕτω καί ἡμεῖς ἐκ τοῦ πατρός ἡμῶν τοῦ ἁγίου τήν ὑπερπλεονάσασαν καί ὑπερεκχυνομένην ἀεί ἐξ αὐτοῦ χάριν εἴδομεν καί ἐλάβομεν καί ἐπίομεν καί τάς ὄψεις ἐξ αὐτοῦ ἐνιψάμεθα, τάς χεῖρας καί τούς πόδας αὐτούς, εἶτα καί ὅλοι ὅλῳ τῷ σώματι ἐλουσάμεθα καί αὐτήν τήν ψυχήν μετά τοῦ ἀθανάτου ὕδατος ἐκείνου. Ὢ μυστηρίου ξένου καί θαυμαστοῦ, ἀδελφοί.

Καί μή ἀπιστήσητε τοῦτο· οὐ γάρ ἐμοῦ μόνου ὁ λόγος ἤ ἐπ’ ἐμοί μόνῳ γέγονε, ἀλλ’ ἄκουε τοῦ εὐγγελιστοῦ Ἰωάννου, τί περί τοῦ ὕδατος τούτου φησί, μᾶλλον δέ αὐτοῦ τοῦ Υἱοῦ καί Λόγου τοῦ ζῶντος Θεοῦ, παρ’ οὗ καί Ἰωάννης τόν λόγον πεπλούτηκεν· «*Ὁ πίνων γάρ, φησίν, ἐκ τοῦ ὕδατος τούτου - τοῦ αἰσθητοῦ δηλονότι- , διψήσει πάλιν· ὅστις δέ πίῃ ἐκ τοῦ ὕδατος οὗ ἐγώ δώσω αὐτῷ, οὐ μή διψήσῃ πώποτε, ἀλλά γενήσεται ἐν αὐτῷ πηγή ὕδατος ἁλλομένου εἰς ζωήν αἰώνιον*». Καί ἑρμηνεύων τοῦτο ὁ εὐαγγελιστής φησι· «*Τοῦτο δέ ἔλεγε περί τοῦ Πνεύματος, οὗ ἔμελλον λαμβάνειν οἱ πιστεύοντες εἰς αὐτόν*». Διά τοῦ τοιούτου γάρ ὕδατος ὥσπερ ῥύπος ἡ πονηρία ἐκπλύνεται ἀπό τῆς ψυχῆς· ἄνευ

δέ τούτου πολλά πονήσας ὠφελήσει οὐδέν. Διά δέ τοῦτο καί μή δυνάμενοι ὅλως ἡμεῖς τό τάλαντον τοῦ Δεσπότου ἡμῶν κρύπτειν καί τήν γινομένην εἰς ἡμᾶς τοῦ Θεοῦ δωρεάν μή ἀναγγέλλειν, φανερῶς ὁμολογοῦμεν τό ἔλεος τοῦ Θεοῦ, ὅτι ἐνεπλήσθημεν ἀπλήστως οἱ ἀνάξιοι ἐκ τοῦ ὕδατος οὗ ἐλάβομεν διά τοῦ πατρός ἡμῶν ἀπό τοῦ Θεοῦ καί ἐκορέσθημεν ἀκορέστως εἰς δόξαν τοῦ ὀνόματος αὐτοῦ τοῦ ἁγίου, καί κατά τόν ἐνόν ἡμῖν τῆς δυνάμεως, ὡς ἔσχατοι καί ἀχρεῖοι, ἐδοξάσαμεν καί νῦν δοξάζομεν τόν Θεόν, τόν δοξάσαντα τόν πατέρα ἡμῶν τόν ἅγιον καί διά τοῦ πατρός ἡμῶν τούς ταπεινούς καί ἀναξίους ἡμᾶς. Μή οὖν οἰηθείη μέ τις ψεύδεσθαι καί κατά τῆς ἐμῆς ψυχῆς καί κατά τοῦ ἐμοῦ πατρός φθέγγεσθαι, κομπολόγον με καί τορνολόγον ἡγούμενος· εἰδώς γάρ εἰμι ὅτι ἀπολεῖ ὁ Θεός πάντας τούς λαλοῦντας τό ψεῦδος, καί τοῦτο ποιεῖν με Παῦλος ὁ θεῖος διδάσκει, «*Εὐλογητός ὁ Θεός*» λέγων, «*καί Πατήρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ ὤν εὐλογητός εἰς τούς αἰῶνας, ἀλήθειαν λέγω καί οὐ ψεύδομαι. Οἶδα ἄνθρωπον πρό ἐτῶν δεκατεσσάρων*» καί τά ἑξῆς, καί πάλιν· «*Ἡμεῖς δέ οὐ τό πνεῦμα τοῦ κόσμου ἐλάβομεν, ἀλλά τό Πνεῦμα τό ἐκ τοῦ Θεοῦ, ἵνα ἴδωμεν τά ὑπό τοῦ Θεοῦ χαρισθέντα ἡμῖν, ἅ καί λαλοῦμεν*». Τί δέ καί ἐμαυτόν ὠφελήσαιμι ἤ τόν ἐμόν πατέρα τόν ἅγιον ἐκ τῶν ἐπαίνων κἄν ὅλως; Πάντως οὐδέν. Ἀλλά καθάπερ περί τῶν λοιπῶν ἁγίων ἄνωθεν εἰρηκώς, ἐκείνους μέν ἐκ τῶν λόγων οὐδέν ὠφέλησα, τούς δέ ἀκροατάς πρός ζῆλον διήγειρα καί πρός τήν ἐκείνων παρώτρυνα μίμησιν, οὕτω καί περί τοῦ ἁγίου Συμεών καί λέγων οὐ παύσομαι, ἀνάγκης δέ μοι ἐπικειμένης μή βουλόμενος λέγω καί περί ἡμῶν αὐτῶν τῶν ἀναξίων. Ἡ γάρ τῶν πολλῶν ἀπιστία τῶν λεγόντων εἰς βλάβην τῶν ἀκουόντων, μή δύνασθαι εἶναί τινα τοιοῦτον ἄρτι μήτε τοῖς ἔργοις εἰς τάς τῶν ἐκείνοις δοθέντων χαρισμάτων καταξιούμενον, ἀναγκάζει με καί ἄκοντα λέγειν ἅ λέγειν οὐ ἐβουλόμην οὐδέποτε καί δημοσιεύειν ὄντως τοῦ Θεοῦ τό φιλάνθρωπον, ἵνα τῶν ταῦτα λεγόντων τό ὀκνηρόν καί ῥᾴθυμον ἀπελέγχηται.

Ἐκοπίασεν ὁ μακάριος πατήρ ἡμῶν καί ἅγιος Συμεών, ὡς πολλούς τῶν πάλαι ἁγίων πατέρων ὑπερβαλέσθαι, θλίψεις δέ πειρασμούς τοσούτους ὑπέμεινε, ὡς ἐξισωθῆναι πολλοῖς τῶν περιφανεστέρων ἐν μάρτυσι. Διά ταῦτα οὖν ἐδοξάσθη ἀπό Θεοῦ καί ἐγένετο ἀπαθής καί ἅγιος, λαβών ἐν ἑαυτῷ ὅλον, ὡς εἰπεῖν, τόν Παράκλητον· καί τότε, ὥσπερ προῖκα πατήρ υἱῷ κλῆρον δίδωσι, οὕτω κἀμέ τόν ἀνάξιον δοῦλον αὐτοῦ Πνεύματος Ἁγίου ἀκαματί καί δωρεάν ἔπλησε. Ποῖος γάρ, εἰπέ μοι, ἐξ ὑμῶν, μή ὅτι γε εἴπω διεπράξατο, ἀλλ' ἔτι τά παρ' ἐκείνου πραχθέντα καί ὡς δυνατόν ῥηθέντα, νοῆσαι καλῶς δύναται;

Πρῶτον γάρ πάντων τοῦτο ἔγραψεν, ὡς ἐν τάξει διδασκαλίας οὕτως εἰπών· «*Ἀδελφέ, ταύτην ἡγοῦ λέγεσθαι ἀναχώρησιν τελείαν τοῦ κόσμου, τήν παντελῆ τοῦ ἰδίου θελήματος ἀπονέκρωσιν*». Ὦ μακαρίας φωνῆς, μᾶλλον δέ ψυχῆς τῆς οὕτω γενέσθαι ἀξιωθείσης καί τοῦ κόσμου παντός χωρισθείσης. Πρός γοῦν τούτους καί τούς τοιούτους ὁ Δεσπότης λέγει Χριστός· «*Ὑμεῖς οὐκ ἐστέ ἐκ τοῦ κόσμου, ἀλλ' ἐγώ ἐξελεξάμην ὑμᾶς ἐκ τοῦ κόσμου. Δεῦτε προς με κἀγώ ἀναπαύσω ὑμᾶς*». Οἱ γάρ ἄλλως πως ἐν τοῖς ἑαυτῶν θελήμασι κἄν ὁπωσοῦν ἤ ἔν τισι καλοῖς τό δοκεῖν πορευόμενοι, οὐ μή ἴδωσι τήν ζωήν,

ἥν οἱ ἀποτμηθέντες τοῦ κόσμου καί τῷ ἑαυτῶν ἀποθανόντες θελήματι βλέπουσιν.

Εἰ οὖν σύ ταπεινωθῆναι καί ὑποταγῆναι, θλιβῆναί τε καί ἀτιμασθῆναι, ἐξουδενωθῆναι καί λοιδορηθῆναι καί ὡς εἷς τῶν ἀφανῶν καί ἀφρόνων καί εὐτελῶν καί παραπεσόντων, ἀδελφέ, οὐ καταδέχῃ γενέσθαι, ἀλλ' οὐδέ καταφρονηθῆναι παρά παντός ἀνθρώπου καί ὡς εἷς τῶν ἐπιλήπτων καί προσαιτούντων εἰς τάς πλατείας καί ῥύμας τῆς πόλεως λογισθῆναι, πῶς, εἰπέ, γένῃ ξένος τοῦ ἰδίου θελήματος; Εἰ γάρ ταῦτα πρός δοκιμήν καί πεῖραν ἐπερχόμενα φέρειν ἐν ὑπομονῇ πᾶσιν ἡμῖν ὁ Θεός ἐνετείλατο, μᾶλλον δέ οὐ πρός δοκιμήν καί πεῖραν, ἀλλά πρός κάθαρσιν τῶν ψυχῶν ἡμῶν ἐπαγόμενα, ἡμεῖς ὑπομεῖναι ταῦτα οὐ θέλομεν, ἀλλά ζῇ ἐν ἡμῖν τό μή θέλειν ταῦτα παθεῖν, ὅπερ ἐστί τό γεῶδες φρόνημα τῆς σαρκός, πῶς νεκροί γενησόμεθα; Οὐδαμῶς. Εἰ δέ μή νεκροί τῷ κόσμῳ καί τοῖς ἐν κόσμῳ γενοίμεθα, πῶς οἱ μή γεγονότες διά Θεόν νεκροί ζήσομεν τήν ἐν Χριστῷ κεκρυμμένην ζωήν; Πῶς, ὡς ὁ ἅγιος εἶπε Συμεών, θεασόμεθα τόν Θεόν ἐνοικήσαντα ὡς φῶς ἐν ἡμῖν; Οὐδαμῶς, ἀδελφοί, μηδείς πλανάτω ὑμᾶς.

Ἀλλά μωρόν ἡγῇ τόν μακάριον Συμεών καί αἰσχύνῃ μιμήσασθαι τάς πράξεις αὐτοῦ; Μίμησαι Χριστόν τόν Θεόν. Πάθε καί αὐτός διά τήν σεαυτοῦ σωτηρίαν, ὡς ἐκεῖνος ἔπαθε διά σέ. Ἐκάλουν γάρ αὐτόν, ὡς ἀκούεις, διαμονῶντα, πλάνον, φάγον καί οἰνοπότην. Ἔλεγον γάρ· «*Δαιμόνιον ἔχεις*», καί πάλιν· «*Ἰδού ἄνθρωπος φάγος καί οἰνοπότης, φίλος τελωνῶν καί ἁμαρτωλῶν*». Ταῦτα δέ καί ὁ μακάριος πατήρ ἡμῶν, ὁ ἅγιος Συμεών, ὑπέρ ἡμῶν, μᾶλλον δέ δι' ἡμᾶς ἤκουσε. Σύν τούτοις ἀκούεις πάλιν ὡς φονέα καί κακοῦργον δεδεμένον συρόμενον τόν Κύριον καί ὡς ἕνα τῶν εὐτελῶν παριστάμενον τῷ Πιλάτῳ, ῥάπισμα καταδεχόμενον ὑπό δούλου, εἰς φυλακήν ἐμβαλλόμενον καί ἀπό φυλακῆς ἐκβαλλόμενον, ὑπό στρατιωτῶν ῥαβδούχων ἀγόμενον, τῷ λαῷ ὑπό Πιλάτου παραδιδόμενον, «*Λάβετε αὐτον*» φάσκοντος «*ὑμεῖς καί σταυρώσατε*». Ἐννόησον οὖν πῶς ἦν ἀποδοθείς μέσον αὐτῶν, ὁ ὑπεράνω πάντων τῶν οὐρανῶν καί τά πάντα διακρατῶν τῇ χειρί αὐτοῦ, ὠθούμενος, ἀντωθούμενος, πυγμιζόμενος, ῥαπιζόμενος, ἐγγελώμενος, φραγγελόμενος, εἰς τό πραιτώριον εἰσαγόμενος, ὁ πάσῃ κτίσει καί αὐτοῖς τοῖς Σεραφείμ ἀθεώρητος, ἐκδυόμενος, τῷ κίονι προσδεσμούμενος, τεσσαράκοντα πλήρεις λαμβάνων πληγάς, τήν ἐπιθάνατον δηλούσας ἀπόφασιν. Εἶτα τί; Πορφύραν κοκκίνην παικτικῶς ἐνδυόμενον, κατά κεφαλῆς ῥαπιζόμενον καί «*Τίς ἐστιν ὁ παίσας σε;*» ἐρωτώμενον ἀκάνθαις στεφανούμενον, προσκυνούμενόν τε καί ἐμπαιζόμενον, ἐμπτυόμενον καί εἰρωνικῶς ἀκούοντα· «*Ἴδε ὁ βασιλεύς τῶν Ἰουδαίων*», ἐνδυόμενον πάλιν τά ἑαυτοῦ ἱμάτια, τόν τράχηλον σχοινίῳ δεσμούμενον καί ἐπί τόν θάνατον ἀπαγόμενον, εἶθ' οὕτω τόν ἑαυτοῦ σταυρόν ἐπιφορτιζόμενον καί ἐπί τοῦ τόπου γινόμενον καί τοῦτον ὁρῶντα πηγνύμενον καί μόνον ὑπό τῶν φίλων καί μαθητῶν ἐγκαταλειπόμενον, μετά ταῦτα πάλιν ἀποδυόμενον, ἀναρτώμενον, τάς χεῖρας καί τούς πόδας ὑπό τῶν στρατιωτῶν καθηλούμενον καί κρέμασθαι ἀφιέμενον, χολήν ποτιζόμενον, λόγχῃ νυττόμενον, ὑπό ληστοῦ βλασφημούμενον, χλευαζόμενον καί ἀκούοντα· «*Ὁ καταλύων τόν ναόν καί ἐν τρισίν ἡμέραις ἐγείρων, σῶσον σεαυτόν καί κατάβηθι ἀπό τοῦ σταυροῦ*», καί αὖθις· «*Εἰ Υἱός*

*ἐστι τοῦ Θεοῦ, καταβάτω νῦν ἀπό τοῦ σταυροῦ καί πιστεύσομεν εἰς αὐτόν*», καί οὕτω μετά τό ταῦτα πάντα παθεῖν, εὐχαριστοῦντα καί εὐχόμενον ὑπέρ τῶν φονευσάντων αὐτόν καί τήν ψυχήν εἰς χεῖρας παρατιθέντα τοῦ Πατρός αὐτοῦ.

Οὐκ ἀρκοῦσι ταῦτά σοι πάντα εἰς μίμησιν, ἀδελφέ, ἀλλ' αἰσχύνῃ οὕτω ταῦτα παθεῖν; Διά ποίων δέ ἄλλων ἔργων ἤ πῶς συνδοξασθήσῃ αὐτῷ; «*Ὅστις γάρ, φησίν, ἐπαισχυνθῇ με καί τούς ἐμούς λόγους, ἐπαισχυνθήσομαι κἀγώ αὐτόν ἔμπροσθεν τοῦ Πατρός μου, τοῦ ἐν τοῖς οὐρανοῖς*». Διό καί ὁ Παῦλός φησιν· «*Εἰ συμπάσχομεν καί συνδοξασθησόμεθα*». Εἰ δέ τά παθήματα αὐτοῦ, ἅ ὑπέστη ὑπέρ ἡμῶν, αἰσχυνόμεθα μιμήσασθαι καί παθεῖν, ὡς ἐκεῖνος ἔπαθεν, εὔδηλον ὅτι οὐδέ τῆς δόξης αὐτοῦ συμμέτοχοι γενησόμεθα· οὐ γάρ ἔργῳ ἀλλά λόγῳ μόνῳ ἐσμέν, οὕτως ἔχοντες, πιστοί· ἔργων δέ μή προσόντως, νεκρά ὑπάρχει ἡ πίστις ἡμῶν.

Διά τοῦτο τοιγαροῦν λέγω καί λέγων οὐ παύσομαι, ὅτι οἱ μή τά πάθη Χριστοῦ διά μετανοίας καί ὑπακοῆς μιμησάμενοι καί τοῦ θανάτου αὐτοῦ μέτοχοι γεγονότες, καθώς ἀνωτέρω λεπτομερῶς ἐδηλώσαμεν, οὔτε τῆς πνευματικῆς αὐτοῦ ἀναστάσεως συμμέτοχοι γενήσωνται, οὔτε Πνεῦμα λάβωσιν Ἅγιον. Διά γάρ τοῦ Ἁγίου Πνεύματος ἡ ἀνάστασις πάντων γίνεται· καί οὐ λέγω τήν ἐπί συντελείᾳ τῶν σωμάτων ἀνάστασιν - σαλπίσει γάρ τότε ὁ ἄγγελος καί τά νεκρά σώματα ἀναστήσονται -, ἀλλά τήν καθ' ἑκάστην γινομένην τῶν νεκρῶν ψυχῶν πνευματικῶς πνευματικήν ἀναγέννησιν καί ἀνάστασιν, ἥν ὁ ἅπαξ ἀποθανών καί ἐγερθείς καί διά πάντων καί εἰς πάντας τούς ἀξίως βιοῦντας ἀνιστάμενος καί τάς συναποθανούσας αὐτῷ τῇ προθέσει καί τῇ πίστει ψυχάς συνεγείρων, δίδωσι διά τοῦ Παναγίου αὐτοῦ Πνεύματος, δωρούμενος αὐταῖς ἀπεντεῦθεν ἤδη τήν βασιλείαν τῶν οὐρανῶν, ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν χάριτι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ πρέπει πᾶσα δόξα εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## Λόγος Ζ΄. Περί προσπαθείας τῆς εἰς τούς συγγενεῖς. Καί τίς ἡ ἀπάτη αὐτῆς καί εἰς οἷον βόθρον καί δεσμόν κατάγει τούς κρατουμένους ὑπ’ αὐτῆς. Καί περί ἀπογνώσεως καί τῆς ἐν ταύτῃ διαφορᾶς. Καί τί ἐστι τό «*Ὁ πιστεύσας καί βαπτισθείς σωθήσεται, ὁ δέ ἀπιστήσας κατακριθήσεται*».

Ἀδελφοί καί πατέρες, ὡς ὤφελόν γε ἀεί σιωπᾶν, ἠδυνάμην καί τά ἐμαυτοῦ κακά ἀποκλαίεσθαι καί μηδέποτε διδασκάλου ἔργῳ ἐπιχειρεῖν ἤ κατηχεῖν τήν ὑμετέραν ἀγάπην ἤ κἄν ὅλως ἄλλοις ὑποδεικνύειν τάς τῆς σωτηρίας ὁδούς, οὐχ ὡς ἐναντίου ὄντος τοῦ πράγματος τῇ τοῦ Θεοῦ ἐντολῇ, μᾶλλον μέν οὖν καί εὐπροσδέκτου ὑπάρχοντος αὐτῷ, ἀλλ’ ὅμως ἐμοῦ ἀναξίου τυγχάνοντος τοῦ τοιούτου πνευματικοῦ ἐγχειρήματος, διό καί δέδοικα, ὁ ταπεινός, μή καί ἐπ’ ἐμοί τό Δαυιτικόν ἐκεῖνο προσφορώτατα λεχθήσεται ῥῆμα· «*Τῷ δέ ἁμαρτωλῷ εἶπεν ὁ Θεός· Ἵνα τί σύ ἐκδιηγῇ τά δικαιώματά μου καί ἀναλαμβάνεις τήν διαθήκην μου διά στόματός σου; σύ δέ ἐμίσησας παιδείαν καί ἐξέβαλες τούς λόγους μου εἰς τά ὀπίσω*».

Ἀλλ’ ἴδωμεν, εἰ δοκεῖ, τίς ἐστιν ὁ μισῶν παιδείαν καί τίς ὁ ἐκβάλλων τούς λόγους αὐτοῦ εἰς τά ὀπίσω. Ὁ μή πειθόμενος τοῖς τοῦ Θεοῦ νόμοις μισεῖ τήν ἐκ τῶν λόγων τοῦ Κυρίου παιδείαν καί βύει τά ὦτα αὐτοῦ τοῦ μή ἀκοῦσαι λόγον τῆς ἐσχάτης ἀνταποδόσεως τῶν ἁμαρτωλῶν ἤ τοῦ πυρός ἐκείνου τοῦ αἰωνίου καί τῶν κολάσεων τοῦ ᾅδου καί τῆς κατακρίσεως τῆς αἰωνίου ἐκείνης, ἀφ’ ἧς οὐκ ἔνι διαδρᾶσαι τόν ἅπαξ ἐμπεσόντα εἰς τάς τιμωρίας αὐτῆς. Ὁ δέ μή πάσῃ ἰσχύϊ καί δυνάμει ψυχῆς τάς ἐντολάς τοῦ Θεοῦ πρό τῶν ὀφθαλμῶν αὐτοῦ ἔχων ἀεί καί φυλάττων αὐτάς, ἀλλά καταφρονῶν μέν αὐτῶν, προτιμῶν δέ τά ἐναντία τούτων καί ποιῶν αὐτά, ἔστιν ὁ ἐκβάλλων τούς λόγους εἰς τά ὀπίσω. Καί ἵνα ἐξ ἑνός σαφές ὑμῖν ποιήσω τό τοῦ λόγου προκείμενον, ὅταν ὁ μέν Θεός προστάσσῃ καί διαρρήδην βοᾷ· «*Μετανοεῖτε, ἤγγικε γάρ ἡ βασιλεία τῶν οὐρανῶν*» καί πάλιν· «*Σπουδάσατε εἰσελθεῖν διά τῆς πύλης τῆς στενῆς*», ὁ δέ ταῦτα ἀκούων οὐ μόνον οὐ προαιρεῖται μετανοεῖν καί βιάσασθαι ἑαυτόν εἰσελθεῖν διά τῆς στενῆς πύλης, ἀλλά διερχόμενος πάσας τάς ἡμέρας τῆς ζωῆς αὐτοῦ ἐν μετεωρισμῷ καί διαχύσει ψυχῆς, προστιθείς τοῖς ἑαυτοῦ κακοῖς καθ’ ὥραν κακά καί ἄνεσιν σώματος καί θεραπείαν ὑπέρ τήν δέουσαν χρείαν ἐπιζητῶν, ὅπερ τῆς πλατείας μᾶλλον καί εὐρυχώρου ὁδοῦ σημεῖόν ἐστι καί οὐχί τῆς στενῆς καί τεθλιμμένης, τῆς φερούσης εἰς τήν ζωήν τήν αἰώνιον, οὕτω τοίνυν καί ὁ τοιοῦτος ἐκβάλλει τοῦ Θεοῦ τούς λόγους εἰς τά ὀπίσω καί τά ἑαυτοῦ θελήματα, μᾶλλον δέ τά τοῦ διαβόλου, ποιεῖ.

Ἅ κἀγώ πρῶτος, ὁ ταλαίπωρος, ἐκπληρῶν καί ἐν λάκκῳ βορβόρου κείμενος καί ἐν αἰσθήσει ὑπάρχων τῶν ἰδίων κακῶν, βοῶ κάτωθεν κράζων καί τούς ἔξωθεν παριόντας ἅπαντας προσφωνῶν· «*Πόρρω που τοῦ δεινοτάτου τούτου λάκκου γίνεσθε, ἀδελφοί, καί τήν εὐθεῖαν ὁδόν, ἥτις ἐστίν ὁ Χριστός, πορεύεσθε! Καί μηδείς ἐκκλίνῃ δεξιᾷ ἤ ἀριστερᾷ*

*καί ὧδε σύν ἐμοί τῷ παναθλίῳ καί δυστυχεῖ ἐμπεσεῖται καί στερηθείη μετά τῶν ἐπιγείων καί τά ἐπουράνια ἀγαθά*». Ἐπειδή δέ διά πολλῶν τῶν ἑαυτοῦ μηχανημάτων ὁ παμπόνηρος διάβολος καί ἐχθρός τῶν ψυχῶν ἡμῶν εἰς τό τοιοῦτον βάραθρον τούς πλείονας ἤ καί σχεδόν ἅπαντας ὁμοῦ, οἱονεί συμφορήσας, κατά καιρούς ἀπορρίπτει, ἔστι δέ καί διά μιᾶς ταύτης, τῆς πρός τούς συγγενεῖς λέγω προσπαθείας, ᾗ καί ὡς σχοινίῳ χρώμενος, ὁ ἐχθρός ἐφ’ ἑνός ἑκάστου τραχήλῳ ἀποδεσμῶν ἄγει καί συνπεριάγει πάντας τούς τόν τοιοῦτον καταδεξαμένους δεσμόν, εἰς κρημνούς φρικτούς τε καί βάραθρα ἁμαρτημάτων χαλεπά καί ἀσύγγνωστα καί εἰς αὐτόν καταποντίζει τόν τῆς ἀπογνώσεως λάκκον, καί ἐν πυθμένι ᾅδου καταβιβάσας καί ἐνδεσμήσας ἀφίησι, φύγωμεν, ἀγαπητοί, τόν ὄλεθρον τοῦτον, παρακαλῶ.

Πανούργως γάρ ἐνριζοῖ ἐν τοῖς τοιούτοις καί σεσοφισμένως ἐμποιεῖ τήν ἀπόγνωσιν ἐπί τοσοῦτον, ὡς μήτε νομίζειν τούτους ἐν ἀπογνώσει γενέσθαι, μήτε πείθεσθαι ταῖς θείαις Γραφαῖς, μήτε μήν πιστούς ἡγεῖσθαι τούς περί τοιούτων λέγοντας πρός αὐτούς, πάντα δέ δεύτερα τῆς ἑαυτῶ τιθέναι φρονήσεως ἤ μᾶλλον εἰπεῖν ἀφροσύνης καί ἀναισθησίας, καί δεδεμένους ὄντας ἀπό τοῦ τραχήλου ἀναλγήτους διακεῖσθαι, ὅπερ χεῖρον πάσης ἐστίν ἀπογνώσεως. Ἄλλο γάρ τό εἰς πλῆθος ἐμπεσόντα κακῶν τῆς ἑαυτοῦ σωτηρίας ἀπογινώσκειν τινά, καί ἕτερον τό ὡς καλῷ τῷ κακῷ χρᾶσθαι καί ἐν πληροφορίᾳ εἶναι ὅτι καλόν τι ποιεῖ. Ὁ μέν γάρ πρότερος, εἰ περί μετανοίας καί τῆς τοῦ Θεοῦ φιλανθρωπίας διδαχθῇ καί μάθη ὅτι οὐκ ἔστι πλῆθος ἁμαρτιῶν ὅ μή ἐξαλείφει ἡ μετάνοια καί ὅτι «*ὅπου ἐπλεόνασεν ἡ ἁμαρτία, ὑπερεπερίσσευσεν ἡ χάρις*» καί ὅτι «*χαρά μᾶλλον γίνεται ἐν τῷ οὐρανῷ ἐπί ἑνί ἁμαρτωλῷ μετανοοῦντι*», ἴσως ἑαυτοῦ γενόμενος καί κατανυγείς, ἐπιθυμήσειέ ποτέ τῶν πολλῶν ἐκείνων ἀπαλλαγῆναι κακῶν καί τοῦ δυσβαστάκτου φορτίου κουφισθῆναι τό αὐτοῦ συνειδός, διαναστήσεται καί πάντα ἄλλα - τά βιωτικά λέγω - εἰς οὐδέν λογισθήσεται καί τῇ μετανοίᾳ θερμῶς προσέλθῃ· ὁ δέ δεύτερος, δυσανακλητότερος ὤν, εἰς ἅπαν ἀπαναίνεται τοῖς τοιούτοις φαρμάκοις ἰατρευθῆναι. Πῶς γάρ καί ἰατρευθῆναι καταδέξεται, ὁ μηδέ ὅτι ἐν νόσῳ ἤ πτώματι κεῖται ὅλως πειθόμενος; Οὐδαμῶς!

Ἀλλά δέον ἡμᾶς λόγοις πρότερον, καθ’ ὅσον οἷοί τε ὦμεν, πνευματικοῖς, ἔκ τε τοῦ θείου Εὐαγγελίου καί τῶν λοιπῶν ἁγίων Γραφῶν ἀναλεξαμένους, πληροφορῆσαι καί δεῖξαι αὐτοῖς, πῶς μέν τῆς εὐθείας ὁδοῦ ἀπαρξάμενοι, ἐκκλίναντες ἠπατήθησαν, πῶς δέ ὁ ἐχθρός αὐτούς μεμονωμένους εὑρών τό τῆς προσπαθείας σχοινίον ἀπατηλῶς τοῖς ἑαυτῶν τραχήλοις ἐμπεριέδησεν, ἔπειτα καί πῶς αὐτούς εἰς κρημνούς καί βάραθρα ἁμαρτημάτων ἐμπεριήγαγε· καί μετά ταῦτα δείξομεν αὐτοῖς καί πῶς τῷ βαθυτάτῳ λάκκῳ ἐναπέρριψε, καί ποῦ καί πῶς ἐν τῷ ᾅδῃ καταβιβάσας, τό ἐπί τοῦ τραχήλου αὐτῶν σχοινίον ἐναπέδησε, καί ὡς οὐκέτι δυναμένους ἐλευθερωθῆναι καί πρός τήν γῆν ἀνελθεῖν, ἀφείς αὐτούς ὑπεχώρησε. Καί οὕτω τούς πειθομένους τοῖς λόγοις τῆς θείας Γραφῆς καί εἰς συναίσθησιν τῶν οἰκείων ἐρχομένους κακῶν καί συνομολογοῦντας καί οὕτως ἔχειν συντιθεμένους τά κατ’ αὐτούς, τηνικαῦτα καί τά φάρμακα τοῖς τραύμασιν ἁρμόζοντα διά τῶν λόγων αὐτῶν ἐπιδώσομεν.

Μέλλοντί μοι δέ πρός τάς ἀποδείξεις τῶν πραγμάτων ἐλθεῖν καί τόν ἀγῶνα τοῦ λόγου τῷ ἀλόγῳ καί ἀμαθεῖ ἐπειγομένῳ ἀναδέξασθαι, συνεύξασθαι δέομαι πάντων ὑμῶν, ἵνα ἡ χάρις τοῦ Παναγίου Πνεύματος φαιδρότερον ἐπιλάμψασα ὅλην μου καταφωτίσῃ τήν διάνοιαν καί τόν νοῦν καί δῴη ἀξίως εἰπεῖν τι, οὐχί διά τήν ἐμήν ἀξίαν, ἀλλά διά τήν ὑμετέραν ὠφέλειαν, ἐνηχοῦσα οἷον αὐτήν τούς λόγους ἅμα τε τῷ ταύτης φωτί φαίνουσα καί ὑποδεικνύουσα πάντα ἅπερ προείπομεν, καί οἱονεί πως λέγουσα πρός ἡμᾶς· «*Ἴδε ἡ ὁδός, ἴδε ἡ ἔκπτωσις αὐτῆς, ἴδε ὁ ἐχθρός, τό σχοινίον. Ἴδε ὁ ἀδελφός, πῶς μετά χαρᾶς τόν δεσμόν καταδέχεται. Ἴδε ποῦ σύρων ὁ διάβολος αὐτόν ἀποφέρει*», καί πάντα καθεξῆς ἀνελλιπῶς ὑποδείξασα καί πῶς τούς ἐκείνου βρόχους δυνηθῶμεν διαφυγεῖν ἐκδιδάξασα, πρός τούς οὐρανούς ἐλευθέρους ἡμᾶς συμπαραλαβοῦσα ἀνέλθῃ. Τοῦτο δέ οὐκ ἄλλως ἄν γένηται ἡμῖν δυνατόν, εἰ μή ἄνωθεν καί ἐξ ἀρχῆς τοῦ βίου καί τῆς εἰς τό μοναχικόν στάδιον εἰσόδου ἡμῶν τόν λόγον ἀναγαγόντες, ἐκεῖθεν τήν ἀρχήν ποιησόμεθα. Οὕτω γάρ καί ὡς ἐν ὁδῷ βαδίζων ὁ λόγος, ἅπερ ὑπέσχετο διά τῆς τοῦ Πνεύματος χάριτος καθαρῶς τοῖς προσέχουσιν ἀποδείξειεν. Ἀλλά μή ἀποκάμητε, ὠφέλιμος γάρ ὁ λόγος, καθ’ ὅσον ἐστί καί θεόπνευστος, ἐπειδή καί ἡμεῖς καί οἱ λόγοι ἡμῶν, κατά τόν εἰρηκότα σοφόν, καί αὐτή ἡμῶν ἡ πνοή ἐν χειρί Θεοῦ τοῦ πεποιηκότος ἡμᾶς.

Ὁ Κύριος καί Θεός ἡμῶν Ἰησοῦς Χριστός, Υἱός ὤν γνήσιος τοῦ Θεοῦ καί Πατρός, ὁμοούσιός τε καί ὁμοφυής καί ὁμόδοξος, σύνθρονός τε καί ὁμόθρονος, ἐν τῷ Πατρί μένων καί ὁ Πατήρ ἐν αὐτῷ, πρός τήν ἡμετέραν ταλαιπωρίαν καί κάκωσιν, ἀλλά μήν καί αὐτήν ἡμῶν τήν δουλείαν ἥν διά τῆς ἁμαρτίας τῷ ἀπατήσαντι ἡμᾶς ἐχθρῷ ἐδουλεύσαμεν ἀπιδών καί κατελεήσας ἡμᾶς τῇ ἀφάτῳ φιλανθρωπίᾳ αὐτοῦ βουληθείς ἐξελέσθαι τῆς δουλείας καί αἰσχίστης πλάνης ἡμᾶς, κατῆλθεν ἐκεῖθεν ὅλως τούς πατρῴους κόλπους μή λιπών, ὡς οἶδεν αὐτός, καί γενόμενος ἐπί τῆς γῆς, ἐμπεριπατήσας τε καί συναναστραφείς ἡμῖν τοῖς ἀνθρώποις οὖσιν ἁμαρτωλοῖς, καί προστάγματα δούς σωτηρίας τοῖς ἁγίοις αὐτοῦ μαθηταῖς καί ἀποστόλοις, ἀνῆλθεν αὖθις πρός τόν ἑαυτοῦ Πατέρα μετά δόξης, παραγγείλας αὐτοῖς καί εἰπών· «*Πορευθέντες, κηρύξατε τό εὐαγγέλιον πάσῃ τῇ κτίσει διδάσκοντες*» πάντας, οὐχί τόδε «*τηρεῖν*» ἤ τόδε, ἀλλά «*πάντα ὅσα ἐνετειλάμην ὑμῖν*». «*Πάντα*» δέ εἰπών οὐδέν ἀφῆκεν ὅ μή φυλάξαι προσέταξεν. Εἶτα τί; «*Ὁ πιστεύσας, φησί, καί βαπτισθείς σωθήσεται, ὁ δέ ἀπιστήσας κατακριθήσεται*».

Ἆρα οὖν, ἀγαπητοί ἀδελφοί, ἔγνωτε τί ἐστι τοῦτο ὅ λέγει· «*Ὁ πιστεύσας καί βαπτισθείς*», εἶτα πάλιν· «*Ὁ ἀπιστήσας*», ἤ καί περί τούτου εἴπω πρός τήν ὑμετέραν ἀγάπην; Δοκεῖ γάρ εὔληπτον εἶναι καί ἁπλοῦν τό λεγόμενον, ἔχει δέ ἐγκεκρυμμένα εἰς βάθος αὐτοῦ τά νοήματα.

Πίστιν ἐνταῦθα οὐ ταύτην λέγει ὅτι Θεός ἐστιν ὁ Χριστός μόνον, ἀλλά τήν περί πασῶν τῶν παρ’ αὐτοῦ λεχθεισῶν ἁγίων ἐντολῶν περιεκτικωτάτην πίστιν τήν συνέχουσάν πως ἐν ἑαυτῇ πάσας τάς θείας αὐτοῦ ἐντολάς καί πιστεύουσαν μηδέν εἶναι ἀργόν μέχρι καί μιᾶς κεραίας ἐν αὐτοῖς, ἀλλά πάντα ἕως ἑνός ἰῶτα ζωή καί ζωῆς αἰωνίου πρόξενα· ὡς ἄν ὁ πιστεύων οὕτως ἔχειν αὐτάς καί διά τοῦ ἁγίου βαπτίσματος συνταξάμενος ταῦτα πάντα

φυλάσσειν καί ἀπαραλείπτως ποιεῖν σωθήσεται, ὁ δέ ἀπιστήσας ἔν τινι τοῖς λόγοις αὐτοῦ μέχρι καί μιᾶς, ὡς εἴρηται, κεραίας ἤ ἑνός ἰῶτα, ὡς αὐτόν ἐκεῖνον ὅλον ἀπαρνησάμενος, κατακριθῇ. Καί εἰκότως· ὁ γάρ εἰς τά μεγάλα πιστεύσας αὐτῷ - οἷον ὅτι Θεός ὤν ἀτρέπτως ἐγένετο ἄνθρωπος, ὅτι ἐσταυρώθη καί ἀπέθανε καί ἀνέστη, ὅτι ἀναστάς τῶν θυρῶν κεκλεισμένων εἰσῆλθε καί ὤφθη τοῖς ἑαυτοῦ μαθηταῖς, ὅτι ἀνελήφθη καί κάθηται ἐν δεξιᾷ τοῦ Θεοῦ καί Πατρός, ὅτι μέλλει ἔρχεσθαι κρῖναι ζῶντας καί νεκρούς καί ἀποδοῦναι ἑκάστῳ κατά τά ἔργα αὐτοῦ πρότερον δηλονότι ἐξαναστήσας πάντας ἡμᾶς, τούς ἀπό Ἀδάμ καί μέχρι τῆς ἐσχάτης ἡμέρας τεχθήσεσθαι μέλλοντας - , λέγοντι δέ αὐτῷ «*Ἀμήν λέγω ὑμῖν, ὅτι καί ὑπέρ ἀργοῦ λόγου λόγον δώσουσιν οἱ ἄνθρωποι ἐν ἡμέρᾳ κρίσεως*» ἀπιστῶν, πῶς ἄρα πιστός ἔσται καί μετά πιστῶν συγκαταριθμηθῇ;

Ὁ τοίνυν ἐπ’ ἐκείνοις τοῖς φρικτοῖς καί ὑπέρ νοῦν καί ὑπέρ πᾶσαν ἀνθρωπίνην διάνοιαν πιστεύων Χριστῷ καί τοῖς γεγονόσι καί μέλλουσι γενέσθαι παρ’ αὐτοῦ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ πειθαρχοῦσαν ἔχων καί συντιθεμένην αὐτοῦ τήν ψυχήν, ἀπιστῶν δέ αὐτός ὁπηνίκα λέγοντος ἀκούει· «*Ὁ θέλων ὀπίσω μου ἐλθεῖν, ἀπαρνησάσθω ἑαυτόν καί ἀράτω τόν σταυρόν αὐτοῦ καί ἀκολουθείτω μοι*» καί· «*Ὁ φιλῶν πατέρα ἤ μετέρα ὑπέρ ἐμέ οὐκ ἔστι μου ἄξιος*» καί ὅτι «*Ὁ ἐρχόμενος πρός με καί οὐ μισεῖ τόν πατέρα αὐτοῦ καί τήν μετέρα καί τούς ἀδελφούς καί τάς ἀδελφάς καί τήν γυναῖκα καί τά τέκνα, ἔτι δέ καί τήν ἑαυτοῦ ψυχήν, οὐ δύναταί μου εἶναι μαθητής*» καί ὅτι «*Ὁ λύσας μίαν τῶν ἐντολῶν τούτων τῶν ἐλαχίστων ἐλάχιστος κληθήσεται ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν*», πῶς ὁ τοιοῦτος πιστός καί οὐχί μᾶλλον ὡς ἄπιστος ἤ καί χείρων ἀπίστου κατακριθήσεται; Ὅτι ἐν μέν τοῖς μείζοσιν ὁμολογεῖ πιστεύειν Χριστῷ, ἐν δέ τοῖς ἐλαχίστοις ὡς ψευδομένου καταφρονεῖ αὐτοῦ τοῦ τῶν ὅλων Θεοῦ καί Δεσπότου· καί πιστεύειν λέγων ἐν τοῖς ἄλλοις αὐτῷ ὡς Θεῷ, ὡς τῷ τυχόντι ἀνθρώπῳ διαπιστεῖ λέγοντι ὅτι καί ὑπέρ ἀργοῦ λόγου λόγον δώσουσιν οἱ ἄνθρωποι ἐν ἡμέρᾳ τῆς κρίσεως· καί οἴεται γελῶν καί αἰσχρολογῶν καί ματαιολογῶν σωθῆναι, ταλανίζοντος ἐκείνου τούς γελῶντας καί μακαρίζοντος τούς πενθοῦντας· ἀλλά καί ἑαυτόν μή ἀπαρνούμενος μηδέ τόν σταυρόν βαστάζων, ἀκολουθεῖν νομίζει τῷ δι’ αὐτόν σταυρωθέντι Χριστῷ· καί πλεῖον φιλῶν τούς ἑαυτοῦ γονεῖς, ἄξιον εἶναι αὐτόν τοῦ Χριστοῦ ἀπό ψυχῆς ἔχει. Οὕτως ἄρα καί αὐτοί οἱ ἐρχόμενοι δῆθεν πρός αὐτόν διά τῆς ἀποταγῆς καί οὐ μισοῦντες ἅπαντας τούς ἑαυτῶν συγγενεῖς, ἔτι δέ καί τήν ἑαυτῶν ψυχήν ἀπαρνούμενοι, ἀλλ’ ἐξ ἐναντίας καί ἀγαπῶντες αὐτούς μᾶλλον, μαθηταί εἶναι τοῦ Χριστοῦ ματαίως νομίζουσι· καί λύοντες καθ’ ὥραν οὐχί μίαν καί τήν ἐλαχίστην τῶν ἐντολῶν ἀλλά πολλάς καί μεγάλας, οὐδέν ὅλως ἐναντίον ποιεῖν τι νομίζουσι, μᾶλλον μέν οὖν καί μεγάλους ἑαυτούς ἐν τῇ τοῦ Θεοῦ βασιλείᾳ οὕτως ἔχοντες ὑπολαμβάνουσιν ἔσεσθαι· καί τό μεῖζον ἁπάντων κακῶν, ὅτι οὐχί παράβασιν ὅλως ταῦτα ἐντολῆς εἶναι λέγουσιν, ἀλλά καί ἡμᾶς αὐτούς, ἀντιποιουμένους τοῦ λόγου τῆς ἀληθείας, πείθειν ἀσυνέτως ἐπιχειροῦσιν. Ἀλλ’ ἐπί τό προκείμενον ἐπανέλθωμεν.

Πάντα τοίνυν ὅσα τοῖς ἀποστόλοις ὁ Χριστός καί Θεός ἐνετείλατο, ὁμοίως καί ἡμᾶς φυλάττειν προσέταξεν, ἅπερ ἐν τῷ κόσμῳ φυλάξαι δυνάμεθα μέν, οὐ προαιρούμεθα δέ

διά τό ἀσθενεῖν ἡμᾶς τῇ πίστει καί τῇ ἀγάπῃ τῇ εἰς Χριστόν. Καί ὅτι τοῦτο ἀληθές ἐστι μαρτυροῦσι πάντες οἱ πρό νόμου καί ἐν νόμῳ καί μετά τήν τοῦ Σωτῆρος παρουσίαν μετά παίδων καί γυναικῶν καί τῶν ἐν ἅπασι βιωτικοῖς μεριμνῶν καί φροντίδων εὐαρεστήσαντες τῷ Κυρίῳ, κεχωρισμένοι τούτων ἁπάντων τῇ ἀπροσπαθεῖ προαιρέσει γενόμενοι καί ὑπέρ τούς ἐν ὄρεσι καί σπηλαίοις λαμπρότεροι τῇ πίστει καί τῷ βίῳ ἀναφανέντες. Διά τοῦτο τοιγαροῦν τῇ ἐντολῇ τοῦ Κυρίου χρώμενοι βοηθῷ - ὡς δι' ἡμᾶς καί τήν ἡμετέραν ἀσθένειαν λεχθείσῃ -, πᾶσιν ἀποτασσόμεθα καί τῇ στενῇ καί τεθλιμμένῃ ὁδῷ προσερχόμεθα καί οἱονεί πως τοῦ κόσμου σωματικῶς καί τῶν τοῦ κόσμου ἀποτεμνόμεθα, καί οὕτως ἀπ' ἄλλης χώρας καί τόπου καί πόλεως πρός ἑτέραν ἀπαίροντες κατοικίαν καί μονήν ἀφικνούμεθα, εἰς τό στάδιον τῆς γυμνασίας τῶν ἀρετῶν διά πολιτείας οἱονεί καί ἀσκήσεως κατά τήν ἑαυτοῦ προαίρεσιν ἕκαστος βαδίζοντες ἤ καί ὀξυποδοῦντες καί τρέχοντες. Τί τοῦτο; Ἵνα τήν ἀπροσπάθειαν τῶν εἰρημένων κτησώμεθα. Διά τοῦτο γάρ καί ἀπό τοῦ κόσμου ἀπαίροντες, αὐτίκα ταῖς ἐντολαῖς ἑπόμενοι τοῦ Κυρίου καί τοῖς προστάγμασιν αὐτοῦ πειθαρχοῦντες, ἀπαρχόμεθα τῆς εἰς οὐρανούς φερούσης ὁδοῦ.

Σκόπει μοι δέ ἐντεῦθεν ἄρτι καλῶς τῶν λεγομένων τήν δύναμιν. Ὑποζωγράφει μοι τῷ νοΐ ὁδόν τετριμμένην ὅλην τοῖς ποσί τῶν προλαβόντων καλῶς. Ἔνθεν τε κἀκεῖθεν ὄρη μοι νόει καί ὕλας καί κρημνούς καί σκοπέλους καί φάραγγας, σύν τούτοις δέ πεδία και παραδείσους τόπους τε τερπνούς καί συσκίους καί ὡραιοτάτους καί παντοδαπούς καρπούς ἐν αὐτοῖς, εἶτα θηρίων πλῆθος πολύ καί ληστῶν καί ἀνδροφόνων κατά τόπους ἐγκεκρυμμένα συστήματα. Τούτων οὕτως ἐχόντων οὐδεν ἡμᾶς ἐκ τῶν εἰρημένων ἤ δελεάσαι καί τήν αἴσθησιν ἡμῶν κατασεῖσαι ἤ παραβλάψαι δυνήσεται, ἑπομένους τοῖς προλαβοῦσιν ἁγίοις καί τήν αὐτήν ὁδόν πορευομένους ἥν κἀκεῖνοι ἐβάδισαν. Πορευομένων γάρ ἡμῶν ἐν τῇ ὁδῷ τοῦ Κυρίου και Θεοῦ ἡμῶν ἐντολῶν καί διερχομένων ἀμεταστρεπτί μέσον ἁπάντων τῶν εἰρημένων, οὐδείς οὔτε τῶν ληστῶν ἐκείνων οὔτε τῶν θηρίων φανερῶς καί ἀναιδῶς ἡμῖν ἐπιβαίνει ἤ τολμᾷ προσεγγῖσαι ἡμῖν, καί μάλιστα ἐάν ὁδηγῷ ἐπακολουθῶμεν καί συνοδοιπόροις συμπορευώμεθα ἀγαθοῖς. Πλήν ὅμως ποτέ μέν μακρόθεν, ποτέ δέ ἔγγιστα γεγονότες, οἵ μέν ἀπειλαῖς χρῶνται καί φονίῳ πρός ἡμᾶς βλέπουσιν ὄμματι, οἵ δέ δελεασμοῖς τισι καί καλακείαις καί φιλικαῖς ὁμιλίαις. Ἀλλά μήν ὑποδεικνύουσιν ἡμῖν καί τά τῶν τόπων τερπνότητας κατά χώραν καί τήν ὡραιότητα τῶν καρπῶν καί παραινοῦσι μικρόν ἀναπαύσασθαι εἰς παραμυθίαν τῶν πόνων τῆς ὁδοιπορίας καί φαγεῖν ὑποτίθενται ἀπό τῶν καρπῶν τό ἡδύ πλέον ἐπιφερομένων τῆς ἑνούσης αὐτοῖς θεωρίας, καί πολλάς ἑτέρας ἐπινοοῦσι τάς πάγας ἡμῖν καί ποικίλας τάς ἀφορμάς· οὐκ ἐν ἡμέρᾳ δέ μόνον ἀλλά καί ἐν αὐταῖς ταῖς νυξί, καί οὐδέ ἐγρηγορότων μόνον ἀλλά καί καθευδόντων, ἡμῖν ἐπανίστανται, ποτέ μέν γαργαλισμοῖς καί ἐκκρίσεσι, ποτέ δέ βρωμάτων ἀπηγορευμένων γεύσεσιν, ἄλλοτε δέ καί μετά φανῶν καί λαμπάδων ὡσεί ξιφήρεις λησταί ληστρικῶς ἐπερχόμενοι θάνατον ἡμῖν ἐπισείουσιν, ἐκταράσσειν ἡμᾶς οἰόμενοι καί τῆς εὐθείας παρατρέψαι ὁδοῦ. Καί οἵ μέν αὐτῶν ἀδύνατον ἡμῖν ὑποτίθενται τό μέχρι τέλους ὑπενεγκεῖν τά ἐν τῇ ὁδῷ δυσχερῆ, οἵ δέ καί ἀνόνητα ταῦτα καί μηδέν τούς κοπιῶντας ὠφελεῖν δυνάμενα. Ἄλλοι ὅτι οὐδέ ἔστι ποτέ τέλος τῆς ὁδοῦ ταύτης

οὐδέ ἔσεται λέγουσι, δεικνύοντες ἐκ τῶν μή κατορθωκότων τινάς καί μάλιστα τούς ἐγχρονίσαντας εἰς τήν ἄσκησιν καί μηδεμίαν ἐκ τοῦ χρόνου εὑρόντας ὠφέλειαν διά τό μή ἐν γνώσει καί εὐσεβεῖ λογισμῷ τρέχειν αὐτούς ἐν τῷ δοκεῖν τόν δρόμον τῶν ἐντολῶν, ἀλλ' ἰδιορρυθμίᾳ καί οἰήσει τοῦτο ποιεῖν, οἷς εἰκότως καί τά κατά Θεόν αὐτῶν διαβήματα περικόπτεται, δειλαινομένοις καί ὑποστρέφουσιν εἰς τά ὀπίσω καί ἑαυτούς διά τῆς ἀμελείας τῷ πονηρῷ ἐμπαρέχουσιν εἰς τό ἐργάσασθαι εἰς αὐτούς τά δοκοῦντα αὐτῷ.

Ἀλλά τί θέλω πάντα ὑμῖν ἐξηγήσασθαι τοῖς πνευματικοῖς μου ἀδελφοῖς, καί ἰδού εἰσιν ἀριθμῷ μή καθυποβαλλόμενα, τά τοῦ ἀντικειμένου ἡμῖν διαβόλου καί τῶν αὐτοῦ πονηρῶν πνευμάτων ἔνεδρά τε καί δεινά πανουργεύματα! Ἀλλά τά πλεῖστα παρά τοῖς σπουδαίοις διερευνᾶσθαι ἐάσας καί παρασχών αὐτοῖς ἐκ τῶν ὀλίγων τούτων τάς ἀφερμάς, ὅ ἐπηγγειλάμην ὑμῶν τῇ ἀγάπῃ ἀποδεῖξαι πειράσομαι· τί δέ ἐστι τοῦτο; Ὁ δεσμός τῆς πρός τούς συγγενεῖς ἡμῶν προσπαθείας καί ὅπως δεσμεῖ ἡμᾶς δι' αὐτῆς ὁ διάβολος, καί μάλιστα τούς κατά τῶν ἄλλων παθῶν τήν ἀνδρείαν ἐπιδειξαμένους καί τόν στέφανον ἄραντας, καί δι' ἧς ἡμᾶς τῷ σκότει καί τῇ ἀπωλείᾳ δυστυχῶς ὁ πονηρός παραπέμπει.

Καί σκόπει μοι πάλιν ἀκριβῶς τοῦ λεγομένου τήν δύναμιν. Κατανόησον σεαυτόν ἐν τῇ εἰρημένῃ ὁδῷ ἤ ἐπιβάντα ἀρτίως αὐτῆς ἤ ἐπ' αὐτῇ ἐπί χρόνους βαδίσαντα καί παρά πάντων ἐκείνων τῶν εἰρημένων θηρίων τε καί ληστῶν πολλά μέν παθόντα ἐξ ὧν προειρήκαμεν, τῇ χάριτι δέ Χριστοῦ μήτε κολακείαις ἀπατηθέντα, μήτε τῇ ὡραιότητι τῶν φαινομένων κλαπέντα πρός ἡδονήν, μήτε φόβῳ καμφθέντα ἤ ἀπειλαῖς πρός τό ἐκκλῖναι τῆς εὐθείας ὁδοῦ ἤ παύσασθαι τοῦ πρόσω βαίνειν, μήτε μήν εἰς τά ὀπίσω στραφέντα, ἀλλά μᾶλλον καί εὐτονώτερον τρέχοντα. Ἆρα οὖν οὕτως τρέχοντός σου ἠρέμησε τοῦ μηκέτι πολεμεῖν σε ὁ Σατανᾶς ἤ ποτέ ἠρεμήσει; Οὐμενοῦν οὐδαμῶς! Ἀλλ' εἰδώς ὅτι ἐντολήν ἡμῖν δέδωκεν ὁ Θεός ἀπαρνήσασθαι πατέρα καί μητέρα καί πᾶσαν ἁπλῶς συγγένειαν σαρκικήν, ἔτι δέ καί ὅλους ἡμᾶς αὐτους· οὐ μόνον δέ ἀλλ' ὅτι συνεθέμεθα τῷ Θεῷ, ὅτε τῇ μοναδικῇ πολιτείᾳ προσήλθομεν, καί ταύτην μετά τῶν ἄλλων ἁπάντων φυλάξασθαι, ἐπειδή οὐκ ἴσχυσεν ἐκ τῶν εἰρημένων ἁπάντων τι κατά σοῦ, τί ποιεῖ; Πρῶτον τήν τῶν ἰδίων μνήμην ἀνακινεῖ καί ἀνανεοῖ ἐν ἡμῖν, ἔπειτα καί ἀπό τῶν θείων Γραφῶν τά περί ἄλλων καί πρός ἄλλους εἰρημένα ἐπί ἀνατροπῇ θολερᾷ καί παραβάσει τῆς ἐντολῆς ἡμῖν ὑποτίθησι λέγων· «*Τίμα τόν πατέρα σου, φησίν ἡ θεία Γραφή, καί τήν μητέρα, καί ἀπό τῶν οἰκείων τοῦ σπέρματός σου οὐχ ὑπερόψει· ὁ γάρ μή προϊστάμενος τῶν οἰκείων, κατά τόν θεῖον ἀπόστολον, τήν πίστιν ἤρνηται*», ἀγνοῶν ὁ δόλιος, ὡς εἰκός, ὅτι ταῦτα εἴρηται οὐχ ἵνα πλέον τοῦ Θεοῦ τούς γεννήσαντας ἡμᾶς ἤ τούς συγγενεῖς ἀγαπῶμεν καί προτιμῶμεν αὐτούς τῆς ἀγάπης ἐκείνου, ἀλλ' ἵνα ὑπακοήν παιδευθῶμεν καί μάθωμεν ὅτι, εἰ πρός τούς γεννήσαντας ἡμᾶς ἀναγκαία ἐστίν ἡ ὑποταγή καί τιμή, πόσῳ μᾶλλον ἡ πρός αὐτόν, τόν αὐτούς καί ἡμᾶς πεποιηκότα Θεόν; Οἰκεῖοι δέ τοῦ σπέρματος ἡμῶν, ὦ ἀπατεών - καλόν γάρ πρός αὐτόν ἀντιστρέψαι τόν λόγον- , οὐχ οἱ συγγενεῖς ἀλλ' οἱ οἰκεῖοί εἰσι τῆς πίστεως, οὕς, ὡς εἰκός, ἀγνοεῖς καί δολίως ὑποσπείρεις

ἡμῖν τήν κατά σάρκα συγγένειαν, σπουδάζων κατάγειν ἡμᾶς εἰς τήν φιλίαν αὐτῶν καί προσπάθειαν.

Τοιγαροῦν καί ὅτε τῆς ἀπάτης αἰσθανθῶμεν καί ἐν γνώσει γενώμεθα, εἴτε ἀφ' ἡμῶν αὐτῶν εἴτε ἀπ' ἄλλων τῶν ὁδηγούντων ἤ συμπορευομένων ἐν τῇ ὁδῷ τοῦ Κυρίου ἡμῖν, τί πάλιν πρός ἡμᾶς ἐν τῷ ἀφανεῖ κινήματι τῆς καρδίας ὑποψιθυρίζει; «*Σύ, φησίν, ἀπό γε τοῦ παρόντος εἰς ἄλλα μέτρα καί εἰς ἄλλην ἔφθασας προκοπήν, ἥν οὐδείς τῶν συνόντων σοι ἐπίσταται ἀδελφῶν, ἀπροσπάθειάν τε ἐκτήσω καί ἀπάθειαν παντελῆ. Διό καί εἰ θέλεις, ὑπερορᾷς καί καταφρονεῖς τῶν συγγενῶν σου, καί οὐδέν σοι ὅλως μέλλει περί αὐτῶν*». Ταῦτα ὑποτιθέμενος ἐν τῷ κρυπτῷ, παριστᾷ ἴσως καί αὐτόν ἐκεῖνον τόν συγγενῆ ἤ κατά διάνοιαν ἤ καί σωματικῶς ἐνώπιον αὐτοῦ, καί τοιαῦτα ὑποβάλλει λέγων αὐτῷ· «*Πῶς τό τοῦ Θεοῦ πλάσμα ἀπολέσθαι ἐάσεις, ἵνα παρομοιωθῇ τοῖς κτήνεσι καί ὑπό ἀγνωσίας εἰς τήν τῶν ἀλόγων τάξιν καταπέσῃ; Οὐκ ὀρέξεις χεῖρα, οὐ διανοίξεις αὐτοῦ τόν νοῦν, οὐ ποιήσεις αὐτόν τόν πεποιηκότα γνωρίσαι Θεόν; Καί ποίαν ἄρα τήν ἀπολογίαν ἕξεις ἤ τί ἐρεῖς ποιεῖ τοῦτον ἐν τῇ εὐχῇ καί ὡσανεί συμπαθείας δάκρυα χέειν καί οἱονεί ἐνώπιον τοῦ Θεοῦ προσφέρειν αὐτόν ὡς δῶρον εὐπρόσδεκτον ἐν τῷ λέγειν ἐν ἑαυτῷ· Ὁ ἐξάγων ἄξιον ἐξ ἀναξίου ὡς στόμα μου ἔσται*», καί· «*Ἐφ' ὅσον πάλιν ἐποιήσατε ἑνί τούτων τῶν ἐλαχίστων, ἐμοί ἐποιήσατε*», καί πάλιν· «*Ὅς ἐγένετο πατήρ ὀρφανῶν*» καί τά ἑξῆς. Ταῦτα δέ πάντα πλάνη σαφής καί ἀπάτη τοῦ πονηροῦ.

Ὅτε δέ καί ἐπί πᾶσι τούτοις μή πεισθῇ τις, ἀλλ' ἔτι δή ἀναβάλλεται καί τῷ πονηρῷ ἀντιλέγει· «*Πάντως, φησίν, ὅ ὀφείλω ποιῆσαι τῷ συγγενεῖ μου, τοῦτο ποιήσω εἰς ξένον, τόν κατά Θεόν μᾶλλον συγγενῆ μου ὄντα ἤ κατά σάρκα*», ἀποκρίνεται ὁ δόλιος ἐχθρός καί λέγει αὐτῷ· «*Καί πάντως οὕτω φροντίζει τῶν πάντων ὁ Θεός καί οὕτως οἱ πάντες εἰς γνῶσιν καί πίστιν αὐτοῦ ἐνάγονται· σύ μέν διά τῶν σῶν συγγενῶν εἴτε καί ἀλλοτρίων, αὐτός δέ πάλιν διά σοῦ καί δι' αὐτοῦ ἕτεροι. Τίς δέ ἄρτι ἐν ταῖς ἡμέραις ταύταις ὡς σύ; Ἤ καί ποῦ ἐάσεις αὐτόν ἀπελθεῖν, ἵνα μή εὐθύς λύκου κατάβρωμα γένηται καί ἀπολέσει αὐτοῦ τήν ψυχήν, ἥν αὐτός ζημιωθήσει, ἐάν καταλείψῃς πάντως αὐτόν;* ». Τότε δή τότε καί ὁ ἀδελφός ἀπατηθείς ἵσταται καί εὐλόγως καταδέχεται δεσμευθείς παρά τοῦ Σατανᾶ οὐκέτι ἀντιλέγει, πειθαρχήσας τοῖς λόγοις αὐτοῦ.

Καί ὅρα μοι πανουργίαν τοῦ δεινοῦ τούτου καί ψυχοφθόρου ληστοῦ! Δεσμέυσας οὖν αὐτόν τῇ προσπαθείᾳ οὐκέτι ἐν τῇ ὁδῷ συμπεριπατεῖ μετ' αὐτοῦ, οὐδέ ὀχλεῖ, τό γε νῦν ἔχον, περί τούτου αὐτόν, ὡς ἄν μή γνωσθῇ αὐτοῦ ἡ ἐπιβουλή. Ἀλλά τί; Τό ἄκρον οἱονεί τοῦ σχοινίου λαβόμενος καί μακράν γεγονώς, ἀποκρύπτεται ἀπ' αὐτοῦ ἐν τῷ σκότει, ὁ τοῦ σκότους ἀληθῶς ἀρχηγός, ἀφείς αὐτῷ τήν περί τοῦ συγγενοῦς φροντίδα καί μέριμναν. Οἶδε γάρ ὅτι ἐκεῖνος ἀντ' αὐτοῦ διηνεκῶς ὀχλεῖ καί νύσσει αὐτόν. Τούτου οὖν γενομένου, ἐπάν πρός μέριμναν τήν οἱανοῦν χωρήσῃ τοῦ συγγενοῦς ἕνεκα, ἐκκλίνει τῆς βασιλικῆς καί εὐθείας ὁδοῦ ἧς ἀπήρξατο· καί ὅσον ἐκκλίνει, ὁ ἐχθρός εἰς βάθος που τῆς αὐτοῦ σκαιωρίας μεθίσταται καί ἐνδότερον ὑπεισερχόμενος κρύπτεται, ἔχων ἐν ταῖς αὐτοῦ χερσί τό δῆθεν σχοινίον τῆς προσπαθείας καί κρατῶν αὐτό ἀσφαλῶς καί

σπουδάζων ὅλως μή γνωσθῆναι αὐτῷ.

Τῆς οὖν ὁδοῦ ὁ ἀδελφός ἐκπεσών, πρόσεχε τί ἄρχεται λέγειν ἐν ἑαυτῷ· «*Ψυχήν ὁ σώσας, ὡς ὁ κτήσας*». Καί οὕτω πείθει ἑαυτόν ὅτι χριστομίμητον ἔργον ἐπεχείρησε ἐπιτελέσαι. Καί εἰ μέν ἐστι γνώριμος τῶν κατά κόσμον τισίν, ἀπέρχεται πρός αὐτούς καί ποτέ μέν παρ' ἀξίαν αὐτούς κολακεύει καί ἐπαινεῖ, ποτέ δέ ἀποτόμως ἐπιπλήττειν ἐπιχειρεῖ. Ἄλλοτε γαστρίμαργον ἑαυτόν ἀποδείκνυσι καί ἀδιάφορον καί τινας λόγους λαλεῖ, ἵνα εἰς γέλωτας πάντας κινήσῃ. Καί ἁπλῶς ἑνί ἑκάστῳ συμπεριφέρεται κατά τό θέλημα αὐτοῦ, ἵνα ἀποδεξάμενος δόσῃ χρῆμά τι. Ἐάν δέ μηδέν ἴδῃ διδόντα αὐτῷ, ἀναιδῶς οὐ παραιτεῖται ζητεῖν πανταχοῦ τήν μνείαν περιφέρων τοῦ συγγενοῦς. Οἱ δέ ἀκούοντες, σαρκικοί ὄντες καί τοῖς αὐτοῖς κακοῖς ἐμπεριεχόμενοι, ἐπαινοῦσι μᾶλλον τόν δυστυχῆ καί «*Μισθόν ἔχεις μέγα*» λέγουσι πρός αὐτόν. Ἐξ ὧν ἡ προσπάθεια αὐξομένη ῥιζοῖ, μᾶλλον δέ συνουλοῖ τῇ τραχήλου νοητῶς σαρκί τό ταύτης πάθος ὥσπερ σχοινίον καί ἰσχυροποιεῖται καί ἀδιάλυτον γίνεται. Ὅθεν ἐκ τοῦ κατ' ὀλίγον ἀποσπᾷ αὐτόν τῆς καθαρᾶς προσευχῆς καί τά κατά Θεόν δάκρυα εἰς ἐναντία ἀγνώστως μεταποιεῖ καί τηνικαῦτα εἰς μῖσος καί φθόνον ἐνάγει τῶν ἐχόντων πλέον ὑπέρ αὐτόν καί μή διδόντων ἀφθόνως αὐτῷ· οὐ μόνον δέ ἀλλά καί πρός πᾶσαν ὑπακοήν ῥᾴθυμον αὐτόν καί παρήκοον ἀπεργάζεται. Εἶτα ψεύδεται καί οἰκονομίαν τό πρᾶγμα ἡγεῖται, ὡς τῷ Θεῷ δῆθεν διδούς τά εἰς τόν συγγενῆ ἐξοδιαζόμενα, καί οὐ τοῦτο μόνον, ἀλλά καί κλέπτειν ἀπό μικρῶν ἄρχεται καί οὐδέ ὅτι κλέμμα ἐστί πείθεται, ἀλλ' ἀποβουκοληθείς τάς φρένας ὑπό τοῦ πάθους, εἴ τι δ' ἄν καί ποιῇ ὑπερασπιζόμενος τῶν ἰδίων καί συγγενῶν, οὐκ ἔχει καταγινώσκουσαν αὐτοῦ τήν συνείδησιν. Τοιγαροῦν καί ὅταν εἰς ταῦτα πάντα καταβιβάσῃ τόν ταπεινόν μοναχόν ὁ ἐχθρός ἡμῶν διάβολος, τότε καί αὐτό τό ἄκρον δῆθεν τοῦ σχοινίου ἐν τῇ ποιωθείσῃ καί ῥιζωθείσῃ ἁμαρτίᾳ τοῦ πάθους τῆς προσπαθείας, ὡς ἐν στυλῳ τινί πεπηγμένῳ ἐν ᾅδου μυχοῖς ἐμπειριειλήσας, ἀφίησι, πληροφορίαν ἔχων ὡς οὐκέτι ἐκεῖθεν ἀνασπασθήσεται.

Ταῦτα οὖν ὡς ἐκ πολλῶν ὀλίγα περί τῶν ἀγωνιζομένων εἰρήκαμεν. Περί γάρ τῶν ἀδιαφόρως καί καταφρονητικῶς ταύτῃ τῇ ὁδῷ προσερχομένων καί πολιτείᾳ, τί δεῖ καί λέγειν ὅση τούτων ἡ πρός τούς συγγενεῖς ὑπάρχει προσπάθεια, ὅπου γε δίκην ἀναισθήτων ὀρνέων πρός πᾶσαν παγίδα τοῦ διαβόλου ἐμπίπτουσιν οἱ τοιοῦτοι, ἐκδότους ἑαυτούς πρός πᾶν πάθος ποιήσαντες, οἵ καί κατάβρωμα ἀεί τοῦ πονηροῦ γίνονται, τοῦ περιπατοῦντος καί ὠρυομένου ὡς λέοντος, τίνα καταπίῃ, καί προαιροῦνται μᾶλλον ἀποθανεῖν ἤ τῶν ἐκείνου ὀδόντων καί τοῦ δεινοτάτου φάρυγγος ἐκσπασθῆναι; Ἀλλ' εὐξώμεθα ἡμεῖς ἐξ ὅλης προθέσεως καί διανοίας, οἱ μετά πίστεως τόν λόγον ἀκούοντες, μή ἀπατηθῆναί ποτε μηδέ δελεασθῆναι, μηδέ διά μιᾶς τινος μικρᾶς ἤ μεγάλης παραβάσεως ἐκπεσεῖν τῆς ὁδοῦ τῆς φερούσης εἰς οὐρανούς, μηδέ πάθει τινί δεσμευθῆναι, ἀλλά βαδίσαντες ἀμεταστρεπτί ἐν αὐτῇ σπεύσωμεν πορευόμενον ἔμπροσθεν ἡμῶν φθάσαι τόν Ἰησοῦν· καί γεγονότες αὐτοῦ ἐγκρατεῖς προσπέσωμεν αὐτῷ καί κλαύσωμεν ἐνώπιον τῆς αὐτοῦ ἀγαθότητος καί θερμῶς αἰτησώμεθα μή χωρισθῆναι αὐτόν ὅλως ποτέ ἀφ' ἡμῶν, μηδέ ἐᾶσαι ἔξω πεσεῖν ἡμᾶς τῆς ὁδοῦ, ἥτις

αὐτός ἐστιν ἐκεῖνος εἰρηκώς· «*Ἐγώ εἰμι ἡ ὁδός καί ἡ ἀνάστασις καί ἡ ζωή*». Τοῦτον οὖν ἐκζητήσωμεν, τοῦτον φθάσαι σπουδάσωμεν, ἵνα καί κατάσχωμεν αὐτόν, καί ἐάν τοῦτο γένηται καί συμβιοτεύσωμεν αὐτῷ καί συμπολιτευσώμεθα, οὐ μόνον ἐν τῇ ἐξόδῳ τοῦ βίου ἀλλά καί νῦν εἰς οὐρανούς αὐτῷ συνανέλθωμεν καί συναναληφθῶμεν, μᾶλλον δέ αὐτός ἡμᾶς συνανενέγκῃ καί συνδοξάσῃ καί τῶν αἰωνίων ἀγαθῶν δωρήσηται τήν ἀπόλαυσιν, ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν χάριτι καί φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καί τό κράτος νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## Λόγος Η΄. Περί τελείας ἀγάπης καί τίς ἡ ταύτης ἐνέργεια. Καί ὅτι ἐὰν μή διά σπουδῆς ἐντεῦθεν ἤδη τῆς τοῦ Πνεύματος μεθέξεως γενώμεθα μέτοχοι, οὐδέ πιστοί καί χριστιανοί δυνάμεθα εἶναι, ἀλλ’ οὐδέ υἱοί καί τέκνα Θεοῦ χρηματίσωμεν.

Ἀδελφοί καί πατέρες, εἰ ὁ τήν ἀρετήν ὑποκρινόμενος πρός ἀπάτην πολλῶν καί ἀπώλειαν, ἄθλιος ὄντως ἐστί καί παρά Θεῷ καί ἀνθρώποις κατακεκριμένος ὑπάρχει καί βδελυκτός, εὔδηλον ὅτι ὁ ἐμπάθειάν τινα, ἀπαθής ὤν, πρός σωτηρίαν πολλῶν καί ὠφέλειαν ἐν προσποιήσει κατά τούς παλαιούς πατέρας σχηματιζόμενος, ἐπαινετός καί μακάριος. Ὥσπερ γάρ ὁ διάβολος ἐν προσχήματι ὄφεως καί συμβουλῆς, τῷ δοκεῖν μέν χρηστῆς καί ἐπωφελοῦς, τῇ δέ ἀληθείᾳ θανασίμου τυγχανούσης καί τοῦ Θεοῦ και πάντων τῶν ἐν τῷ παραδείσῳ καρπῶν ἀποστερούσης τόν ἄνθρωπον, θεομάχος καί ἀνθρωποκτόνος ἐδείχθη, οὕτω καί ὁ ἐν προσχήματι κακίας πονηρούς τινας λόγους κατά τό φαινόμενον ἐκφέρων, ἵνα τά τελούμενα τῷ διαβόλῳ ὑπό τῶν ὑποκρινομένων τήν ἀρετήν καί εὐλάβειαν ἀναμαθών ἐπιστρέψῃ τούς δρῶντας τά κακά πρός μετάνοιαν και σωτηρίαν καί ἐξομολόγησιν, χρηστομίμητος ὄντως καί συνεργός Θεοῦ καί σωτήρ ἀνθρώπων προφανῶς γίνεται.Τοῦτο δέ μόνων ἐκείνων ἔργον ἐστίν, ὧν ἡ αἴσθησις ἀναίσθητός ἐστι τοῦ ἀέρος τούτου καί τοῦ κόσμου καί τῶν πραγμάτων αὐτοῦ τῆς αἰσθήσεως, ὧν ἡ διάνοια οὐ προσπάσχει τοῖς ὁρωμένοις ἀλλ’ ἐξέστη τῆς τοῦ σώματος ταπεινώσεως, τῶν ἰσαγγέλων λέγω, τῶν τελείως τῷ Θεῷ ἑνωθέντων καί ὅλον Χριστόν ἐν ἑαυτοῖς ὁλοτελῶς κτησαμένων ἔργῳ καί πείρᾳ, αἰσθήσει καί γνώσει καί θεωρίᾳ.

Κακόν τοιγαροῦν τό ἐπακροᾶσθαι ἤ παρατηρεῖν λάθρᾳ τί ὁ πλησίον προσομιλεῖ ἤ διαπράττεται, ἀλλ’ ἐάν πρός τό ὀνειδίσαι ἤ ἐκφαυλίσαι ἤ λοιδορῆσαι ἤ ἐκπομπεῦσαι ἐν καιρῷ ἅπερ εἶδεν ἤ ἤκουσεν· εἰ δέ πρός τό συμπαθῶς καί σοφῶς ἐν φρονήσει τά τοῦ πλησίον ἐπιδιορθώσασθαι καί ἀπό ψυχῆς ὑπέρ αὐτοῦ μετά δακρύων προσεύξασθαι τοῦτο ποιεῖ, οὐκ ἔστιν πονηρόν τό τοιοῦτον. Εἶδον γάρ ἐγώ ἄνθρωπον πολλά ἐπιτηδεύματα καί πολλούς τρόπους ποιοῦντα, ὅπως μηδέν αὐτόν τῶν γινομένων ἤ λεγομένων ὑπό τῶν συνόντων αὐτῷ διαλανθάνῃ· οὐκ ἐποίει δέ τοῦτο πρός βλάβην, μή γένοιτο, ἀλλ’ ὅπως τόν μέν λόγῳ, τόν δέ δώροις, τόν δέ ἑτέρᾳ τινί προφάσει τῶν ἐναντίων πράξεων καί λογισμῶν ἀποστήσῃ. Καί εἶδον τόν τοιοῦτον ποτέ μέν κλαίοντα διά τόν δεῖνα, ποτέ δέ θρηνοῦντα ὑπέρ τοῦ δεῖνος, ποτέ δέ καί τάς ἑαυτοῦ ὄψεις καί τό στῆθος αὐτοῦ τύπτονα ὑπέρ ἄλλου, τό τοῦ ἁμαρτήσαντος ἐν λόγῳ ἤ ἐν ἔργῳ ἀναδεχόμενον πρόσωπον δηλονότι, καί ὡς ἐκεῖνον αὐτόν εἶναι τόν τό κακόν ποιήσαντα λογιζόμενον ἑαυτόν καί τῷ Θεῷ ἐξομολογούμενον καί προσπίπτοντα καί πενθοῦντα σφοδρῶς. Καί εἶδον ἕτερον ἐπί τοῖς κατορθοῦσι καί ἀγωνιζομένοις τοσοῦτον χαίροντα καί τήν ἐκείνων προκοπήν ἀποδεχόμενον, ὡς δοκεῖν ἐκεῖνον αὐτόν μᾶλλον ἤ ἐκείνους τῶν ἀρετῶν καί πόνων μέλλειν ἀπολήψεσθαι τούς μισθούς· ἐπί δέ τοῖς ἐν λόγῳ ἤ ἔργῳ

καταπίπτουσι καί τοῖς κακοῖς ἐπιμένουσι τοσοῦτον ἐλυπεῖτο καί ἔστενεν, ὡς δοκεῖν αὐτόν μόνον ἐν ἀληθείᾳ ὑπέρ ἐκείνων πάντων λόγον ἀποδοῦναι προσαπαιτούμενον καί τῇ κολάσει παραδοθῆναι. Καί εἶδον ἕτερον οὕτω τήν σωτηρίαν τῶν ἀδελφῶν αὐτοῦ παραζηλοῦντα καί θέλοντα, ὡς πολλάκις μετά δακρύων θερμῶν ἐξ ὅλης ψυχῆς δέεσθαι τοῦ φιλανθρώπου Θεοῦ ἤ κἀκείνους σωθῆναι ἤ καί αὐτόν σύν ἐκείνοις κατακριθῆναι, ἀπό διαθέσεως θεομιμήτου καί Μωσαϊκῆς ὅλως σωθῆναι μόνον ἑαυτόν θέλοντα. Τῇ ἁγίᾳ γάρ ἀγάπῃ ἐν Ἁγίῳ Πνεύματι πνευματικῶς αὐτοῖς συνδεθείς, οὐδέ εἰς αὐτήν τήν βασιλείαν τῶν οὐρανῶν εἰσελθεῖν προῃρεῖτο καί χωρισθῆναι αὐτῶν. Ὤ δεσμός ἅγιος, ὤ δύναμις ἄφατος, ὤ ψυχῆς οὐρανόφρονος, μᾶλλον δέ εἰπεῖν θεοφορουμένης καί ἐν τῇ τοῦ Θεοῦ ἀγάπῃ καί τῇ τοῦ πλησίον σφόδρα τετελειωμένης!

Ὁ τοίνυν εἰς ταύτην οὔπω πεφθακώς τήν ἀγάπην, μηδέ ἴχνος αὐτῆς ἐν τῇ ἑαυτοῦ ψυχῇ θεασάμενος μηδέ τήν παρουσίαν αὐτῆς ὅλως ἐπαισθανθείς, ἔτι τῇ γῇ καί τοῖς ἐν τῇ γῇ μᾶλλον δέ ὑπό γῆν κρύπτεσθαι πέφυκεν, ὥσπερ ὁ λεγόμενος ἀσπάλαξ, τυφλός δηλαδή ὤν καί αὐτός ὡς ἐκεῖνος καί μόνῃ τῇ ἀκοῇ τῶν ἐπί γῆς λαλούντων ἐπακρουώμενος. Ὢ τῆς συμφορᾶς, ὅτι ἐκ Θεοῦ γεννηθέντες καί ἀπαθανατισθέντες ἐπουρανίου τε κλήσεως μέτοχοι καί κληρονόμοι Θεοῦ καί συγκληρονόμοι Χριστοῦ καί πολῖται τῶν οὐρανῶν γενόμενοι, αἴσθησιν οὔπω τῶν τοσούτων ἐλάβομεν ἀγαθῶν· ἀλλ’ ἀναισθήτως, ἵν’ οὕτως εἴπω, ὥσπερ σίδηρος ἐμβάλλεται τῷ πυρί ἤ ὡς ἄψυχον δέρμα ἐμβάπτεται ἀνεπαισθήτως κοκκίνῃ βαφῇ, οὕτω καί ἡμεῖς ἔτι ἐν τοῖς τοσούτοις ἀγαθοῖς τοῦ Θεοῦ μέσον ὄντες διακείμεθα, μηδεμίαν αἴσθησιν ἐν ἑαυτοῖς ἔχειν ὁμολογοῦντες. Καί ὡς ἤδη σεσωσμένοι καί τοῖς ἁγίοις κατειλεγμένοι ἐνσεμνυνόμεθα, σχηματιζόμενοί τε καί κοσμούμενοι καί τήν ἁγιωσύνην ὑποκρινόμενοι, ὡς ἐπί ὀρχήστρας ἤ σκηνῆς ἀθλίως βοιοῦντες, τοῖς μίμοις καί ταῖς πόρναις ἐξομοιούμεθα, αἵ τό φυσικόν οὐκ ἔχουσαι κάλλος ἐπιτρίμμασι καί βαφαῖς ξέναις ἑαυτάς κοσμεῖν ἀφρόνως οἴονται. Ἀλλ’ οὐχί καί τῶν ἁγίων τῶν ἄνωθεν γεννωμένων οἱ χαρακτῆρες τοιοῦτοι.

Χρεών δέ εἰδέναι, ὅτι ὥσπερ τό βρέφος ὅταν τῆς μητρικῆς νηδύος προέλθοι, τοῦ ἀέρος τούτου ἀνεπαισθήτως αἰσθάνεται καί εὐθέως πρός κλαυθμόν καί θρῆνον αὐτομάτως κινεῖται, οὕτω καί ὁ γεννηθείς ἄνωθεν καί ἐκ τοῦ κόσμου μέν τούτου ὡς ἐκ νηδύος σκοτεινῆς προελθών, εἰσελθών δέ εἰς τό νοητόν καί οὐράνιον φῶς καί οἱονεί προκύψας ἔνδον τούτου μικρόν, εὐθύς χαρᾶς ἀφάτου πληροῦται καί δάκρυα ἀνωδύνως προχέει, ἐννοῶν, τό εἰκός, ὅθεν ἐρρύσθη καί ἐν οἵῳ γενέσθαι κατηξιώθη φωτί· ἀρχή γάρ τοῦ εἰς χριστιανούς καταλεγῆναί τινα τοῦτό ἐστιν. Οἱ δέ γε τοῦ τοιούτου καλοῦ ἐν γνώσει καί θεωρίᾳ μήπω γενόμενοι, μηδέ ζητήσαντες αὐτό ἐν ἐπιμονῇ πολλῇ καί θρήνοις καί δάκρυσιν, ἵνα διά τῶν τοιούτων πράξεων καθαρθέντες τύχωσιν αὐτοῦ καί τέλεον ἑνωθέντες αὐτῷ κοινωνίαν σχῶσι μετ’ αὐτοῦ, εἰπέ, χριστιανοί καθόλου κληθῶσιν; Οὐκ εἰσί γάρ ὡς χρή. Εἰ γάρ τό γεννώμενον ἐκ τῆς σαρκός σάρξ ἐστι καί τό γεννώμενον ἐκ τοῦ Πνεύματος πνεῦμά ἐστιν, ὁ σωματικῶς γεννηθείς καί ἀνήρ γεγονώς, πνευματικῶς δέ μηδέ ὅτι γε ὀφείλει γεννηθῆναι ἐννοήσας ἤ πιστεύσας ἤ σπουδάσας ποτέ, πῶς ἄρα πνευματικός γένηται καί πνευματικοῖς ἀνδράσιν ἑαυτόν συναριθμήσειεν, εἰ μή λάθρᾳ, ὡς

ὁ τά ῥυπαρά ἱμάτια ἐνδεδυμένος, ἑαυτόν παρενείρει τοῖς λαμπροφοροῦσιν ἁγίοις, καί ἐπί τῆς βασιλικῆς τραπέζης μετ' αὐτῶν συνανακλιθείς ἔξω βληθείη χεῖρας καί πόδας δεθείς, ὡς μή φωτός υἱός ἀλλά σαρκός καί αἵματος, καί παραπεμφθείη τῷ αἰωνίῳ πυρί, τῷ ἡτοιμασμένῳ τῷ διαβόλῳ καί τοῖς ἀγγέλοις αὐτοῦ; Ὁ γάρ λαβών ἐξουσίαν υἱός γενέσθαι Θεοῦ βασιλείας τε οὐρανῶν καί αἰωνίων ἀγαθῶν κληρονόμος, ὁ μαθών πολυτρόπως διά ποίων ἔργων και ἐντολῶν ὀφείλει εἰς ταύτην τήν τιμήν καί τήν δόξαν ἀναχθῆναι, καί τούτων μέν ἁπάντων καταφρονήσας, προτιμήσας δέ τά ἐπίγεια καί φθειρόμενα καί τόν χοιρώδη βίον προκρίνας καί τήν πρόσκαιρον δόξαν τῆς αἰωνίου δόξης κρείττονα ἡγησάμενος, πῶς οὐχί δικαίως πάντων τῶν πιστῶν χωρισθήσεται καί μετά τῶν ἀπίστων σύν αὐτῷ τῷ διαβόλῳ κατακριθήσεται;

Διό παρακαλῶ πάντας ὑμᾶς, ἀδελφοί καί πατέρες, σπουδάσατε ἕως καιρός ἐστι καί ἐν τοῖς ζῶσίν ἐσμεν, ἀγωνίσασθε ἵνα υἱοί Θεοῦ γένησθε, ἵνα φωτός χρηματίσητε τέκνα - ταῦτα γάρ ἡ ἄνωθεν ἡμῖν γέννησις δίδωσι -, μισήσατε τόν κόσμον καί τά ἐν κόσμῳ, μισήσατε τήν σάρκα καί τά ἐξ αὐτῆς τικτόμενα πάθη, μισήσατε πᾶσαν ἐπιθυμίαν κακήν καί τήν πλεονεξίαν μέχρι ἐλαχίστου εἴδους καί πράγματος. Τοῦτο δέ ποιῆσαι δυνησόμεθα, ἐάν τό μέγεθος τῆς μελλούσης ἡμᾶς διαδέξασθαι δόξης καί χαρᾶς καί τρυφῆς ἐννοήσωμεν. Τί γάρ, εἰπέ μοι, τοσοῦτον μεῖζον ἐν οὐρανῷ ἤ ἐπί τῆς γῆς ὡς τό γενέσθαι τινά υἱόν Θεοῦ καί κληρονόμον αὐτοῦ καί συγκληρονόμον Χριστοῦ; Πάντως οὐδέν! Ἀλλά διά τό προτιμᾶν ἡμᾶς τά ἐπίγεια καί τά ἐν χερσί καί διά τό μή ζητεῖν τά ἐν οὐρανοῖς ἀποκείμενα ἀγαθά μηδέ τῷ πόθῳ τούτων ἐκκρέμασθαι, σαφῆ παρέχομεν τοῖς ὁρῶσιν ἀπόδειξιν ὅτι πρῶτον μέν ἀπιστίας νόσῳ κρατούμεθα, καθώς γέγραπται· «*Πῶς δύνασθε πιστεύειν δόξαν παρά ἀνθρώπων λαμβάνοντες, τήν δέ δόξαν τήν παρά τοῦ μόνου Θεοῦ μή ἐπιζητοῦντες;*» - ἔπειτα καί δοῦλοι παθῶν γεγονότες τῇ γῇ καί τοῖς ἐν αὐτῇ προσηλούμεθα μηδ' ὅλως ἀνανεῦσαι βουλόμενοι πρός οὐρανούς καί Θεόν, ἀλλ' ἐν ἀφροσύνῃ ψυχῆς παρακρουόμενοι τάς τοῦ Θεοῦ ἐντολάς ἐκπίπτομεν τῆς υἱοθεσίας αὐτοῦ.

Τί γάρ ἀφρονέστερον, εἰπέ μοι, τοῦ παρακούοντος τοῦ Θεοῦ καί μή σπουδάζοντος ἐπιτυχεῖν τῆς υἱοθεσίας αὐτοῦ; Ὁ γάρ πιστεύων ὅτι ἔστι Θεός, μεγάλα τινά φαντάζεται περί αὐτοῦ. Οἶδε γάρ ὅτι μόνος Δεσπότης καί Κτίστης καί Κύριος αὐτός ἐστι τῶν ἁπάντων, καί ὅτι ἀθάνατος, ἀΐδιος, ἀκατάληπτος, ἄφραστος, ἄφθαρτος, καί τῆς βασιλείας αὐτοῦ τέλος οὐκ ἔσται. Ὁ γοῦν τοιοῦτον εἰδώς τόν Θεόν, πῶς οὐ ποθήσει αὐτόν; Πῶς οὐ σπουδάσει καί αὐτήν τήν ψυχήν αὐτοῦ εἰς θάνατον ὑπέρ τῆς ἀγάπης αὐτοῦ θεῖναι, ἵνα καταξιωθῇ, μή εἴπω υἱός αὐτοῦ καί κληρονόμος γενέσθαι, ἀλλά κἄν τῶν γνησίων αὐτοῦ δούλων εἷς, τῶν ἱσταμένων πλησίον αὐτοῦ; Εἰ δέ πᾶς μέν ὁ ἀγωνιζόμεος καί φυλάττων ἀπαρατρώτως πάσας τάς ἐντολάς τοῦ Θεοῦ, καί τέκνον Θεοῦ καί υἱός Θεοῦ γεννηθείς ἄνωθεν γίνεται, καί πιστός ὄντως καί χριστιανός τοῖς πᾶσι γνωρίζεται, ἡμεῖς δέ τῶν τοῦ Θεοῦ ἐντολῶν καταφρονοῦμεν καί ἀθετοῦμεν τούς νόμους αὐτοῦ, οὕς ἐκδικήσει ἐκεῖνος ἐλθών μετά δόξης αὖθις καί δυνάμεως φοβερᾶς, καί δεικνύομεν ἑαυτούς ἐν μέν τῇ πίστει τοῖς ἔργοις αὐτοῖς ἀπίστους, ἐν δέ τῇ ἀπιστίᾳ διά τῶν λόγων μόνον πιστούς. Ἄνευ γάρ

ἔργων, μή πλανᾶσθε, οὐδέν ἡμᾶς ἡ πίστις μόνη ὠφελήσει· νεκρά γάρ ἐστι, νεκροί δέ ζωῆς οὐ γίνονται μέτοχοι, εἰ μή πρότερον διά τῆς τῶν ἐντολῶν ἐργασίας ταύτην ζητήσουσιν. Ἐν γάρ τῇ ἐργασίᾳ τούτῃ ἀναφύεται ὥσπερ τις πολύχους καρπός ἐντός ἡμῶν ἡ ἀγάπη, ἡ ἐλεημοσύνη, ἡ πρός τόν πλησίον συμπάθεια, ἡ πραότης, ἡ ταπείνωσις, ἡ ὑπομονή τῶν πειρασμῶν, ἡ ἁγνεία, ἡ καθαρότης τῆς καρδίας, δι᾽ ἧς καταξιούμεθα ὁρᾶν τόν Θεόν καί ἐν ᾗ ἡ τοῦ Ἁγίου Πνεύματος παρουσία καί ἔλλαμψις γίνεται, ἥτις καί ἄνωθεν ἡμᾶς γεννᾷ καί υἱούς Θεοῦ ἀποτελεῖ καί τόν Χριστόν ἐπενδύει καί τήν λαμπάδα ἀνάπτει καί τέκνα φωτός ἀποδεικνύει καί τοῦ σκότους τάς ψυχάς ἐλεθεροῖ καί τῆς αἰωνίου ζωῆς κοινωνούς ἡμᾶς ἀπ᾽ ἐντεῦθεν ἤδη γνωστῶς ἀπεργάζεται.

Μή οὖν ἐπί μόναις ἄλλαις τισίν ἐργασίαις καί ἀρεταῖς θαρρήσαντες, νηστείαις λέγω ἤ ἀγρυπνίαις ἤ χαμευνίαις καί ποικίλαις ἄλλαις κακοπαθείαις, ταύτης τῆς ἐργασίας τῶν ἐντολῶν τοῦ Κυρίου καταφρονήσωμεν, ὡς δι᾽ ἐκείνων καί χωρίς ταύτης σωθῆναι δυνάμενοι. Ἀδύνατον γάρ τοῦτο, ἀδύνατον! Καί πειθέτωσάν σε καί αἱ πέντε μωραί παρθένοι καί οἱ πολλά σημεῖα καί θαύματα ἐν τῷ τοῦ Χριστοῦ ὀνόματι πεποιηκότες, οἵ διά τό μή ἔχειν ἐν ἑαυτοῖς τήν ἀγάπην καί τήν τοῦ Παναγίου Πνεύματος χάριν ἤκουσαν ἀπό τοῦ Κυρίου· «*Ἀπέλθατε ἀπ᾽ ἐμοῦ οἱ ἐργάται τῆς ἀνομίας! Οὐ γάρ οἶδα ὑμᾶς πόθεν ἐστέ*», καί οὐ μόνον οὗτοι ἀλλά μετά τούτων καί πολλοί ἕτεροι, οἵτινες παρά μέν τῶν ἁγίων ἐβαπτίσθησαν ἀποστόλων καί τῶν μετά ταῦτα ἁγίων, τῆς δέ χάριτος τοῦ Ἁγίου Πνεύματος μή καταξιωθέντες διά πονηρίας ὑπερβολήν, οὔτε βίον ἄξιον τῆς κλήσεως ἧς ἐκλήθησαν ἐπεδείξαντο, οὔτε τέκνα Θεοῦ ἐχρημάτισαν, ἀλλ᾽ ἔμειναν σάρκες ὄντες καί αἵματα, μηδέ ὅτι ἐστι Πνεῦμα πιστεύσαντες ἤ ζητήσαντες ἤ λαβεῖν προσδοκήσαντες.Ὅθεν οἱ τοιοῦτοι οὐδέ τῶν τῆς σαρκός ἐπιθυμιῶν οὐδέ τῶν ψυχικῶν παθῶν δεσπόται ποτέ γενέσθαι ἰσχύσουσιν, οὔτε τι γενναῖον ἐν ἀρεταῖς ἐπιδείξονται, φησί γάρ ὁ Κύριος· «*Οὐ δύνασθε χωρίς ἐμοῦ ποιεῖν οὐδεν*». Ἀλλά παρακαλῶ, πατέρες καί ἀδελφοί, σπουδάσωμεν ἡμεῖς ὅση δύναμις, ἵνα μέτοχοι ἔνθεν ἤδη τῆς τοῦ Ἁγίου Πνεύματος δωρεᾶς καταξιωθῶμεν γενέσθαι, ὅπως καί τῶν παρόντων καί τῶν μελλόντων ἐπιτύχωμεν ἀγαθῶν, χάριτι καί φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα εἰς τούς αἰῶνας. Ἀμήν.

## Λόγος Θ΄. Περί ἐλεημοσύνης. Καί τίς ἐστιν ὁ πεινῶντα τόν Θεόν τρέφων καί διψῶντα ποτίζων καί καθεξῆς. Καί πῶς τοῦτό τινι κατορθωθήσεται. Καί ὅτι εἰ μή τις καί ἐν ἑαυτῷ ταῦτα πάντα ποιήσει καί θρέψει καί ποτίσει Χριστόν, οὐδέν ὠφεληθήσεται ἐκ τοῦ ταῦτα μόνον ποιεῖν εἰς τούς πένητας, ἑαυτόν δέ ἄτροφον παρορᾶν καί γυμνόν τῆς δικαιοσύνης τοῦ Θεοῦ.

Ἀδελφοί καί πατέρες, ἔδει μέν μή τολμᾶν με πρός ὑμᾶς ὅλως φθέγγεσθαι, μηδέ διδασκάλου τάξιν ἐπέχειν ἐνώπιον τῆς ἀγάπης ὑμῶν· ἀλλ' ἐπεί περ ἐπίστασθε ὅτι, ὥσπερ τό ὑπό τοῦ τεχνίτου κατασκευασθέν ὄργανον οὐχ ὅταν ἐκεῖνο βούληται, ἀλλ' ὅταν ὑπό τοῦ πνεύματος οἱ αὐλοί μέν πληρωθῶσιν, ὑπό δέ τῶν δακτύλων τοῦ τεχνίτου εὐρύθμως κρούηται, τότε καί τόν ἦχον ἀποτελεῖ καί τάς ἀκοάς τῶν πάντων ἡδυτάτου μέλους ἀποπληροῖ, οὕτω δέ καί ἐπ' ἐμοί συμβαίνειν ἐννοεῖν ὑμᾶς χρή καί μή, τῇ ὀργάνου εὐτελείᾳ ἀποβλέποντας, ἀηδῶς πρός τά ῥηθήσεσθαι μέλλοντα διατεθῆναι. Ἀλλά πρός τήν τοῦ Πνεύματος χάριν, τήν ἄνωθεν ἐμπνέουσαν καί πληροῦσαν τῶν πιστῶν τάς ψυχάς, καί πρός αὐτόν τόν δάκτυλον τοῦ Θεοῦ, τόν τάς νευράς τοῦ νοός κρούοντα καί πρός τό λαλεῖν ἡμᾶς διεγείροντα ἀφορῶντες, ὡς σάλπιγγος ἠχούσης δεσποτικῆς ἤ, ἀληθέστερον εἰπεῖν, τοῦ Βασιλέως τῶν ὅλων ὡς δι' ὀργάνου λαλοῦντος ἡμῖν, μετά φόβου καί τρόμου ἐν συνέσει καί ἡσυχίᾳ πολλῇ ἀκούσατε.

Πάντες μέν ἄνθρωποι σκοπεῖν καί ἑαυτοῖς προσέχειν ὀφείλομεν, πιστοί τε καί ἄπιστοι, μικροί τε καί μεγάλοι, ἵνα οἱ μέν ἄπιστοι πρός ἐπίγνωσιν καί πίστιν τοῦ πεποιηκότος ἡμᾶς Θεοῦ γενώμεθα, οἱ δέ πιστοί ἵνα καλῶς πολιτευσάμενοι εὐάρεστοι αὐτῷ ἐν παντί ἔργῳ ἀγαθῷ ἀναφανῶμεν· οἱ δέ μικροί ὅπως τοῖς μεγάλοις ὑποταγῶμεν διά τόν Κύριον, οἱ μεγάλοι δέ ὡς πρός τέκνα γνήσια τούς μικρούς διατεθῶμεν διά τήν λέγουσαν ἐντολήν τοῦ Κυρίου· «*Ἐφ' ὅσον ἐποιήσατε ἑνί ἑκάστῳ τούτων τῶν ἐλαχίστων, ἐμοί ἐποιήσατε*». Οὐ γάρ περί τῶν πενομένων μόνον, ὥς τινες οἴονται, καί τῶν τῆς σωματικῆς τροφῆς ἀπορούτων τοῦτο ὁ Κύριος εἴρηκεν, ἀλλά καί περί πάντων τῶν ἄλλων ἡμῶν ἀδελφῶν, τῶν οὐ λιμῷ τηκομένων ἄρτου καί ὕδατος, ἀλλά λιμῷ ἀργίας καί ὑπακοῆς τῶν ἐντολῶν τοῦ Κυρίου - ὅσῳ γάρ ἡ ψυχή τιμιωτέρα ὑπάρχει τοῦ σώματος, τοσοῦτον καί ἡ πνευματική τροφή τῆς σωματικῆς ἀναγκαιοτέρα καθέστηκεν, - οἶμαι δέ ὅτι καί περί ταύτης μᾶλλον λέγειν τόν Κύριον· «*Ἐπείνασα καί οὐκ ἐδώκατέ μοι φαγεῖν, ἐδίψησα καί οὐκ ἐποτίσατέ με*», ἤ περί τῆς σωματικῆς καί φθειρομένης τροφῆς. Διψᾷ γάρ ἀληθῶς τήν σωτηρίαν ἑνός ἑκάστου ἡμῶν καί πεινᾷ, ἡ δέ σωτηρία ἡμῶν ἡ ἀποχή πάσης ἁμαρτίας ἐστίν· ἀποχήν δέ πάσης ἁμαρτίας δίχα τῆς τῶν ἀρετῶν ἐργασίας καί τῆς ἐκπληρώσεως πασῶν τῶν ἐντολῶν κατορθωθῆναι ἀδύνατον. Διά γάρ τῆς τῶν ἐντολῶν ἐκπληρώσεως τρέφεσθαι εἴωθε παρ' ἡμῶν ὁ Δεσπότης ἡμῶν καί Θεός καί Κύριος τοῦ παντός. Λέγουσι

γάρ οἱ πατέρες ἡμῶν οἱ ἅγιοι ὅτι καθάπερ ἐκ τῶν πονηρῶν ἡμῶν πράξεων οἱ δαίμονες τρέφονται καί ἰσχύουσι καθ’ ἡμῶν, ἐπάν δέ ἡμεῖς τῶν κακῶν ἀφιστάμεθα, λιμοκτονοῦνται ἐκεῖνοι καί ἐκνευρίζονται, οὕτω λογίζομαι καί τόν διά τήν ἡμετέραν σωτηρίαν πτωχεύσαντα τρέφεσθαι παρ’ ἡμῶν καί παρορᾶσθαι πάλιν λιμώττοντα. Καί τοῦτο ἐξ αὐτοῦ τοῦ βίου τῶν ἁγίων ἔστι γνῶναι καί πληροφορηθῆναι ἡμᾶς καί, ἵνα τούς ἄλλους παρήσω πολλούς ὄντας καί ὑπέρ ἀριθμόν ψάμμου πέλοντας, ἐξ ἑνός ἤ μιᾶς ἁγίας πληροφορήσω τήν ὑμετέραν ἀγάπην.

Οἶδα ὅτι Μαρίας τῆς Αἰγυπτίας τόν βίον ἀκούετε, οὐκ ἄλλου τινός διηγουμένου αὐτόν, ἀλλ’ αὐτῆς ἐκείνης τῆς ἰσαγγέλου ὡς ἐν τάξει ἐξαγορεύσεως τήν πτωχείαν αὐτῆς δηλούσης ἐν τῷ εἰπεῖν ὅτι· «*Οὐδέ διδόντων μοι πολλάκις τινῶν τῆς ἁμαρτίας μισθόν ἐλάμβανον. Τοῦτο δέ, φησίν, ἐποίουν οὐχ ὡς εὐποροῦσα τῶν ἀναγκαίων - στυππεῖον γάρ νήθουσα ἐτρεφόμην -, ἀλλ’ ὅπως πολλούς ἐραστάς σχῶ ἐν ἑτοίμῳ τοῦ πάθους μου*». Καί ὅτε ἐν τῷ πλοίῳ εἰσελθεῖν ἔμελλε καί εἰς Ἀλεξάνδρειαν ἀπελθεῖν, ἐπί τοσοῦτον ὑπῆρχε πτωχή, ὡς μηδέ ναῦλον, μηδέ δαπάνην κεκτῆσθαι αὐτήν. Ὅτε δέ τῇ παναμώμῳ Θεοτόκῳ συνταξαμένη ἐπί τήν ἔρημον ὥρμησε, δύο παρά τινος φόλλεις λαβοῦσα ἄρτους ὠνήσατο, καί οὕτω τόν Ἰορδάνην διαπεράσασα μέχρι τέλους αὐτῆς ἐν τῇ ἐρήμῳ ἐνεκαρτέρησε, μηδέ ἀνθρώπου πρόσωπον ἰδοῦσα, εἰ μή μόνον τοῦ Ζωσιμᾶ, μή τοί γε πεινῶντα πτωχόν θρέψασα ἤ διψῶντα ποτίσασα ἤ γυμνόν ἐπενδύσασα ἤ τούς ἐν φυλακῇ ἐπισκεψαμένη ἤ ξένους συναγαγοῦσα· τοὐναντίον μᾶλλον μέν οὖν καί πρός ἀπωλείας βάραθρον πολλούς συνελάσασα, ἐν τῷ καταγωγίῳ τῆς ἁμαρτίας αὐτούς ὑπεδέχετο. Πῶς οὖν, εἰπέ μοι, σωθήσεται αὕτη καί μετά τῶν ἐλεημόνων εἰς τήν τῶν οὐρανῶν βασιλείαν συνεισελεύσεται, ἡ μήτε πλοῦτον καταλιποῦσα, μήτε ὑπάρχοντα δοῦσα πένησι, μήτε ἐλεημοσύνην ποτέ ὅλως ποιήσασα, χρηματίσασα δέ μᾶλλον ἄλλοις μυρίοις πρόξενος ἀπωλείας; Ὁρᾷς πῶς ἐάν διά χρημάτων καί σωματικῆς τροφῆς μόνης τήν ἐλεημοσύνην εἴπωμεν γίνεσθαι καί διά ταύτης παρ’ ἡμῶν τόν Κύριον τρέφεσθαι καί μόνους τούς οὕτω τρέφοντας αὐτόν καί ποτίζοντας καί ἁπλῶς θεραπεύοντας σῴζεσθαι, τούς δέ μή τοῦτο ποιοῦντας ἀπόλλυσθαι, ἄτοπον εἶναι δόξει τοῦτο, ὡς καί πολλούς τῶν ἁγίων τῆς βασιλείας ἐκβάλλεσθαι. Ἀλλ’ οὐκ ἔστι τοῦτο, οὐκ ἔστι!

Τά γάρ ἐν τῷ κόσμῳ πράγματά τε καί χρήματα κοινά τῶν πάντων ἐστίν, ὥσπερ τό φῶς καί ὁ ἀήρ οὗτος ὅν ἀναπνεύομεν, καί αὐτή ἡ βοσκή τοῖς ἀλόγοις ζῴοις ἔν τε τοῖς πεδίοις ἔν τε τοῖς ὄρεσι. Πᾶσι μέν οὖν τά πάντα κοινά τῇ χρήσει μόνῃ τῆς ἀπολαύσεως καθεστήκασι, κατά δεσποτείαν δέ οὐδενός· ἡ δέ πλεονεξία, ὥσπερ τύραννος εἰσελθοῦσα τῷ βίῳ, τά κοινῶς τοῖς πᾶσιν ὑπό τοῦ Δεσπότου δοθέντα ἄλλοθεν ἄλλως ὑπό τῶν αὐτῆς δούλων καί ὑπηρετῶν κατεμερίσατο, φραγμοῖς περικλείσασα καί πύργοις καί μοχλοῖς καί θύραις κατασφαλισαμένη, πάντας ἄλλους ἀνθρώπους τῆς ἀπολαύσεως τῶν τοῦ Δεσπότου ἀγαθῶν ἀπεστέρησε, δεσπότης εἶναι τούτων ἡ ἀναιδής λέγουσα καί μηδένα ἀδικεῖν τῶν ἁπάντων φιλονεικοῦσα. Οἱ δέ ὑπηρέται καί δοῦλοι τῆς τυράννους ταύτης, κατά διαδοχήν ἕκαστος αὐτῶν οὐ δεσπότης τῶν ἀποκειμένων πραγμάτων καί χρημάτων, ἀλλά πονηρός τις δοῦλος καί φύλαξ γίνεται. Πῶς οὖν, εἰ ἐκ τῶν τοιούτων χρημάτων ἤ

φόβῳ τῶν ἀπειλουμένων τιμωριῶν ἤ ἐλπίδι τοῦ ἑκατονταπλασίονα λήψεσθαι ἤ συμφοραῖς ἀνθρώπων ἐπικαμφθέντες, ὀλίγα τινά ἤ και πάντα ἐξενεγκόντες, τοῖς ἐν στενοχωρίᾳ καί ὑστερήσει μέχρι τότε παρεωραμένοις δώσουσιν, ἐλεήμονες λογισθήσονται, ἤ ὡς Χριστόν θρέψαντες ἤ ὡς ποιήσαντες ἔργον μισθοῦ ἄξιον; Οὐδαμῶς, ἀλλ' ὡς ἐγώ φημι, καί μετάνοιαν χρεωστοῦσι μέχρι θανάτου, ὑπέρ ὧν ἐπί χρόνοις ταῦτα κατέσχον καί τούς ἀδελφούς τήν χρῆσιν αὐτῶν ἀπεστέρησαν.

Πῶς δέ καί οἱ κατά τό δοκεῖν πτωχοί γεγονότες - ὥσπερ Χριστός ὁ Θεός, πλούσιος ὤν, ἐπτώχευσε δι' ἡμᾶς- , αὐτούς ἡμᾶς ἐλεοῦντες τόν δι' ἡμᾶς γενόμενον ὡς ἡμεῖς ἐλεεῖν λογιζόμεθα; Νόει μοι καλῶς τό λεγόμενον. Ἐγένετο ὁ Θεός διά σέ πτωχός ἄνθρωπος, γενέσθαι χρεωστεῖς καί σύ, ὁ πιστεύων εἰς αὐτόν, ὅμοιος ἐκείνῳ πτωχός. Πτωχός ἐκεῖνος κατά τήν ἀνθρωπότητα, πτωχός σύ κατά τήν Θεότητα. Σκόπησον τοίνυν πῶς θρέψεις αὐτόν, πρόσεχε ἀκριβῶς. Ἐπτώχευσεν ἵνα σύ πλουτήσῃς, ἵνα σοί μεταδῷ τοῦ πλούτου τῆς χάριτος αὐτοῦ· διά τοῦτο σάρκα ἀνέλαβεν ἐκεῖνος, ἵνα μεταλάβῃς σύ τῆς ἐκείνου Θεότητος. Ὅταν γοῦν σεαυτόν πρός ὑποδοχήν αὐτοῦ εὐτρεπίσῃς, τότε ὑποδεχθήσεσθαι αὐτόν ὑπό σοῦ λέγεται. Ὅταν δέ δι' ἐκεῖνον πεινᾷς σύ καί διψᾷς, τροφή ἐκείνῳ καί πόσις ταῦτα λογίζεται. Πῶς; Ὅτι διά τούτων καί τῶν τοιούτων ἔργων καί πράξεων καθαίρεις σου τήν ψυχήν καί τοῦ λιμοῦ καί τοῦ ῥύπου τῶν παθῶν ἀπαλλάττεις σαυτόν· καί ὁ ἀναδεξάμενός σε οὕτω καί ἰδιοποιησάμενος τά κατά σέ πάντα Θεός καί θεόν σε ποιῆσαι ἐπιποθῶν, ὡς ἐκεῖνος ἐγένετο ἄνθρωπος, ἅπερ ποιεῖς σεαυτῷ, ἐκεῖνος ταῦτα πανθάνειν λογίζεται καί λέγει· «*Ἐφ' ὅσον ἐποίησας τῇ ἐλαχίστῃ ψυχῇ σου, ἐμοί ἐποίησας*».

Διά ποίων γάρ ἄλλων ἔργων οἱ ἐν σπηλαίοις καί ὄρεσι τῷ Θεῷ εὐηρέστησαν, εἰ μή δι' ἀγάπης πάντως καί μετανοίας καί πίστεως - πάντα γάρ τόν κόσμον ἀφέντες καί αὐτῷ μόνῳ ἀκολουθήσαντες, διά μετανοίας καί δακρύων ἐδέξαντό τε αὐτόν καί ἐξένισαν, ἔθρεψάν τε καί διψῶντα ἐπότισαν -, ἄλλως δέ πάντες πάντως οἵ ἐκ τοῦ ἁγίου βαπτίσματος υἱοί Θεοῦ χρηματίζουσιν, ἐλάχιστοι δέ καί κατά κόσμον εἰσί καί πτωχοί; Οἱ οὖν γνόντες ἐν αἰσθήσει ψυχῆς ὅτι υἱοί γεγόνασι τοῦ Θεοῦ, οὐκέτι ἀνέχονται κόσμῳ καλλωπισθῆναι φθαρτῷ, ἐνδεδυμένοι γάρ εἰσι τόν Χριστόν. Τίς δέ ἀνθρώπων καταδέξεταί ποτε, πορφύρᾳ βασιλικῇ ἐστολισμένος, ῥυπῶντα και διερρωγότα χιτῶνα ἐπάνω ταύτης ἐνδύσασθαι; Οἱ δέ μή τοῦτο εἰδότες καί γυμνοί τοῦ βασιλικοῦ ὄντες ἐνδύματος, σπουδάσαντες δέ διά μετανοίας καί τῶν ἄλλων, ὡς εἴπομεν, ἀγαθοεργιῶν καί ἐνδυσάμενοι οὕτω τόν Χριστόν, αὐτόν ἐκεῖνον ἐνδύουσι τόν Χριστόν· χριστοί γάρ καί αὐτοί, ὡς υἱοί Θεοῦ ἀπό τοῦ θείου βαπτίσματος, πέλουσιν. Εἰ δέ μή τοῦτο ποιήσουσιν, ἀλλά τούς γυμνούς μέν ἅπαντας, τούς ἐν τῷ κόσμῳ, ἐνδύσουσιν, ἑαυτούς δέ γυμνούς καταλείψουσι, τί ὠφέλησαν; Εἶτα πάλιν, ἀδελφοί Χριστοῦ οἱ βαπτισθέντες εἰς τό ὄνομα τοῦ Πατρός καί τοῦ Υἱοῦ καί τοῦ Ἁγίου Πνεύματος λεγόμεθα· καί οὐ τοῦτο μόνον, ἀλλά καί μέλη ἐσμέν αὐτοῦ. Ἀδελφός οὖν ὑπάρχων αὐτοῦ καί μέλος, ἐάν πάντας μέν ἄλλους τιμήσῃς, ξενίσῃς, θεραπεύσῃς, σεαυτόν δέ παρίδῃς καί διά πάντων οὐκ ἀγωνίσῃ εἰς τό ἀκρότατον τῆς κατά Θεόν πολιτείας καί τιμῆς ἀνελθεῖν, ἀλλά λιμῷ ὀκνηρίας ἤ δίψει

ῥαθυμίας ἤ φυλακῇ στενωτάτῃ τοῦδε τοῦ ῥυπαροῦ σώματος διά γαστριμαργίας ἤ φιληδονίας τήν σεαυτοῦ ψυχήν καταλείψῃς ῥυπῶσαν, αὐχμῶσαν, ἐν βαθυτάτῳ σκότει κειμένην ὡσεί νεκράν, οὐχί τόν τοῦ Χριστοῦ ἐνύβρισας ἀδελφόν; Οὐχί πεινῶντα αὐτόν καί διψῶντα κατέλιπες; Οὐχί φυλακῇ ὄντα οὐκ ἐπεσκέψω αὐτόν; Τοιγαροῦν καί διά τοῦτο ἀκούσεις· «*Σεαυτόν οὐκ ἠλέησας, οὐκ ἐλεηθήσῃ*».

Εἰ δέ λέγει τις· «*Καί ἐπειδή, φησί, τοιοῦτόν ἐστι καί μισθόν τῶν παρ' ἡμῶν διδομένων χρημάτων ἤ πραγμάτων οὐκ ἔχομεν, τίς καί διδόναι τοῖς πένησι χρεία ἐστίν;*» ἀκουσάτω τοῦ μέλλοντος αὐτόν κρῖναι καί ἀποδοῦναι ἑκάστῳ κατά τά ἔργα αὐτοῦ, οἱονεί λέγοντος πρός αὐτόν· «*Ἄφρων, τί εἰσήνεγκες εἰς τόν κόσμον ἤ τί τό ὁρώμενον αὐτός ἐποίησας; Οὐχί γυμνός ἐκ κοιλίας μητρός σου προῆλθες, γυμνός δέ ἐξελεύσῃ τοῦ βίου καί τετραχηλισμένος τῷ ἐμῷ βήματι παραστήσῃ; Καί ὑπέρ ποίων σου χρημάτων μισθούς μοι προσαπαιτεῖς; Διά ποίων δέ σῶν πραγμάτων ἐλεεῖν λέγεις τούς ἀδελφούς σου καί διά τούτων ἐμέ, τόν πάντα ταῦτα οὐχί σοί μόνῳ, ἀλλά κοινά τοῖς πᾶσι προθέμενον; Ἤ ἐπιθυμεῖν με ὑπολαμβάνεις τινός καί δωροδοκεῖσθαι ὁμοίως τοῖς φιλαργύροις τῶν κρινόντων ἀνθρώπων οἴει κἀμέ; ἔστι γάρ καί τοῦτο ἐξ ἀγνοίας λογίσασθαί σε. Οὐχί χρημάτων ὅλως ἐπιθυμῶν, ἀλλά ὑμᾶς ἐλεῶν, οὐχί τά ὑμέτερα θέλων λαβεῖν, ἀλλά τοῦ ἐπ' αὐτοῖς κρίματος ἐλευθερῶσαι ὑμᾶς βουλόμενος, ταῦτα νομοθετῶ καί δι' ἕτερόν τι οὐδέν*».

Ἀλλά γάρ μή δοκῇς, ἀδελφέ, ὅτι ἀπορεῖ ὁ Θεός καί οὐ δύναται θρέψαι τούς πένητας καί διά τοῦτο προστάσσει ἡμῖν ἐλεεῖν αὐτούς καί περί πολλοῦ ποιεῖσθαι τήν ἐντολήν ταύτην. Μή γένοιτο! Ἀλλ' ὅπερ διά πλεονεξίας καθ' ἡμῶν καί εἰς ἀπώλειαν ἡμῶν ἐποίησεν ὁ διάβολος, τοῦτο διά τῆς ἐλεημοσύνης ὑπέρ ἡμῶν κατεσκεύασε καί εἰς σωτηρίαν ἡμῶν ἐποίησε γίνεσθαι ὁ Χριστός. Οἷόν τι λέγω; Ὑπέθετο ἡμῖν ὁ διάβολος τά εἰς κοινήν προτεθέντα χρείαν ἰδιοποιήσασθαι καί ἀποθησαυρίσαι αὐτά, ὅπως διά τῆς πλεονεξίας ταύτης δύο ἡμῖν ἐγκλήματα περιάψῃ καί τῆς αἰωνίου τιμωρίας καί κατακρίσεως ὑπαιτίους ποιήσῃ, ἕν μέν τό τῆς ἀνελεημοσύνης, ἕτερον δέ τῆς ἐπί τά ἀποκείμενα χρήματα καί οὐκ ἐπί τόν Θεόν ἐλπίδος.Ὁ γάρ ὑποκείμενα χρήματα ἔχων ἐπί τόν Θεόν ἐλπίζειν οὐ δύναται· καί τοῦτο δῆλον ἐξ ὧν ὁ Χριστός καί Θεός ἡμῶν εἶπεν· «*Ὅπου, φησίν, ὁ θησαυρός ὑμῶν, ἐκεῖ καί ἡ καρδία ὑμῶν ἔσται*». Ὁ οὖν μεταδιδούς τοῖς πᾶσιν ἐκ τῶν ἀποκειμένων αὐτῷ χρημάτων, μισθόν ὑπέρ αὐτῶν οὐ χρεωστεῖται λαβεῖν, ἀλλά καί ὑπόδικος μᾶλλόν ἐστι τῆς ἕως τότε ἀδίκου ἀποστερήσεως· οὐ μήν ἀλλά καί ὑπεύθυνος τῶν κατά καιρούς λιμῷ καί δίψει τόν βίον ἀπολειπόντων, οὕς αὐτός τότε δυνάμενος θρέψαι οὐκ ἔθρεψε, κατορύξας τά τῶν πενήτων καί ἐάσας αὐτούς τῷ κρύει καί τῷ λιμῷ βιαίως ἀποθανεῖν, ὡς φονεύς τοσούτων ἀποδειχθείς, ὅσους θρέψαι ἠδύνατο.

Τούτων τοίνυν ἁπάντων τῶν ἐγκλημάτων τό κρίμα ἡμῖν ἀφείς ὁ ἀγαθός Δεσπότης καί εὔσπλαγχνος, οὐχ ὡς ἀλλότρια κατέχοντας ἡμᾶς, ἀλλ' ὡς οἰκεῖα ἡμῶν λογίζεται ταῦτα καί οὐ δεκαπλασίονα μόνον, ἀλλ' ἑκατονταπλασίονα δοῦναι ἡμῖν ἐπαγγέλλεται, τοῖς ἐν ἱλαρότητι ταῦτα τοῖς ἀδελφοῖς διανέμουσιν. Ἱλαρότης δέ ἐστι τό μή ὡς οἰκεῖα λογίζεσθαι

ταῦτα, ἀλλ’ ὡς ὑπό τοῦ Θεοῦ ἐγχειρισθέντα αὐτῷ εἰς οἰκονομίαν τῶν συνδούλων αὐτοῦ, καί ἀφθόνως ταῦτα μετά χαρᾶς καί μεγαλοψύχως σκορπίζειν, μή ἐκ λύπης ἤ ἐξ ἀνάγκης, ἄλλως τε δέ καί ἵνα μετά χαρᾶς τά ἀποθησαυρισθέντα κενώσωμεν ἐπ’ ἐλπίδι τῆς ἀληθινῆς ἐπαγγελίας, ἧς ἡμῖν ὁ Θεός ἐπηγγείλατο, ἑκατονταπλασίονα δοῦναι τόν μισθόν ὑπέρ τούτου. Εἰδώς γάρ ὁ Θεός ὅτι ὅλως ὅλοι τῇ τῶν χρημάτων ἐπιθυμίᾳ καί τῇ τοῦ πλούτου μανίᾳ κρατούμεθα καί δυσαποσπάστως ἔχομεν πρός αὐτά, καί οἱ τούτων πολυτρόπως ἀποστερούμενοι αὐτήν τήν ἑαυτῶν ζωήν ἀπολέγονται, τῷ καταλλήλῳ φαρμάκῳ ἐχρήσατο, ἐπαγγειλάμενος δοῦναι ἡμῖν, ὥσπερ εἴρηται, ὑπέρ ὧν κατακενοῦμεν εἰς τούς πένητας, ἑκατονταπλασίονα τόν μισθόν, ἵνα καί τοῦ ἐπ’ αὐτοῖς κρίματος τῆς πλεονεξίας ἐν πρώτοις ἀπαλλαγῶμεν, ἔπειτα καί τοῦ ἐπ’ αὐτά ἔχειν τήν πεποίθησιν καί ἐλπίδα παυσώμεθα καί τάς καρδίας ἡμῶν ἐλευθέρους κτησώμεθα ἀπό τῶν τοιούτων δεσμῶν· ἵνα ἐλεύθεροι γεγονότες πρότερον, τότε ἐπί τάς πράξεις τῶν ἐντολῶν αὐτοῦ ἀκωλύτως βαδίσωμεν καί δουλεύσωμεν αὐτῷ ἐν φόβῳ καί τρόμῳ, οὐχ ὡς ἐκείνῳ τι χαριζόμενοι, ἀλλ’ ὡς ἡμεῖς διά τῆς δουλείας εὐεργετούμενοι. Ἄλλως δέ οὐκ ἔνι σωθῆναι ἡμᾶς. Οἱ γάρ πλούσιοι τήν τῶν χρημάτων ἀπόθεσιν, ὡς οἷά τινος φορτίου καί ἐμποδίου πρός τόν κατά Θεόν βίον, πρότερον ἐνεργεῖν ἐκελεύθησαν καί οὕτω τόν σταυρόν ἐπί ὤμων αἴρειν καί τῷ Δεσπότῃ κατ’ ἴχνος ἀκολουθεῖν· τά γάρ ἀμφότερα ἐπιφέρεσθαι ἡμᾶς πάντῃ ἀδύνατον. Οἱ δέ γε τούτων ὄντες ἐκτός καί ἐν αὐταρκείᾳ ζῶντες ἤ καί ὑστερήσει τῶν ἀναγκαίων διάγοντες, οὐδέν τό ἐμποδίζον αὐτούς ἔχουσιν, ἐάν τῇ στενῇ καί τεθλιμμένῃ ὁδῷ βαδίζειν ἐθέλωσιν· ἀλλ’ οἱ μέν προθέσεως χρήζουσι μόνον πρός τοῦτο, οἱ δέ ἐν αὐτῇ τῇ ὁδῷ περιπατοῦντές εἰσι, διό ἐν ὑπομονῇ καί εὐχαριστίᾳ διάγειν ὀφείλουσι. Καί ὁ Θεός, δίκαιος ὤν, οὕτω πορευομένους αὐτούς εἰς αἰώνιον ζωήν καί ἀπόλαυσιν, ποιήσῃ αὐτῶν τό κατάλυμα.

Τό δέ πάντα δοῦναι μέν τά κτήματα καί χρήματα, πρός δέ τάς ἐπιφοράς τῶν πειρασμῶν καί τῶν λοιπῶν θλιβερῶν μή γενναίως ἀνταγωνίσασθαι, ὀλιγώρου μοι ψυχῆς δοκεῖ καί ἀγνοούσης τόν σκοπόν τῆς ὠφελείας αὐτῆς. Ὥσπερ γάρ ὁ χρυσός κατιωθείς εἰς βάθος οὐ δύναται ἄλλως καθαρθῆναι καλῶς καί εἰς τήν οἰκείαν λαμπρότητα ἐπανελθεῖν, εἰ μή πυρί βληθῇ καί σφύραις πολλάκις τυφθῇ, οὕτω καί ψυχή τῷ ἰῷ τῆς ἁμαρτίας κατιωθεῖσα καί εἰς βάθος ἀχρειωθεῖσα, οὐ δύναται ἄλλως καθαρθῆναι καί τό ἀρχαῖον κάλλος ἀπολαβεῖν, εἰ μή πολλοῖς πειρασμοῖς προσομιλήσῃ καί ἐν τῇ χωνείᾳ εἰσέλθῃ τῶν θλίψεων. Τοῦτο γάρ ὑπεμφαίνει καί αὐτός ὁ λόγος τοῦ Κυρίου ἡμῶν, οὕτω λέγων· «*Πώλησόν σου τά ὑπάρχοντα καί δός πτωχοῖς καί ἆρον τόν σταυρόν σου καί δεῦρο ἀκολούθει μοι*»- τούς πειρασμούς καί τάς θλίψεις διά τοῦ σταυροῦ αἰνιττόμενος.Οὐδέν οὖν ἀπό μόνης τῆς τῶν χρημάτων καί πραγμάτων ἀπορρίψεως κερδήσουσιν οἱ ταῦτα ἀποβαλλόμενοι καί πρός τόν μονήρη βίον αὐτομολοῦντες, ἐάν μή μέχρι τέλους τοῖς πειρασμοῖς καί ταῖς θλίψεσι καί ταῖς κατά Θεόν λύπαις ἐγκαρτερήσωσιν. Οὐ γάρ εἶπεν ὁ Χριστός· «*Ἐν τῇ ἀποθέσει τῶν πραγμάτων ὑμῶν κτήσασθε τάς ψυχάς ὑμῶν*», ἀλλ’ «*ἐν τῇ ὑπομονῇ ὑμῶν*». Ὅτι μέν γάρ καί ἡ τῶν χρημάτων πρός τούς πένητας διανομή καί ἡ φυγή τοῦ κόσμου καλή καί ὠφέλιμος δῆλον, ἀλλ’ οὐ δύναται αὐτή καθ’ ἑαυτήν μόνη τέλειον τόν κατά Θεόν ἄνθρωπον ἀπεργάσασθαι

ἄνευ τῆς τῶν πειρασμῶν ὑπομονῆς. Καί ὅτι τοῦτο οὕτως ἔχει καί οὕτω δοκεῖ τῷ Θεῷ, ἄκουσον αὐτοῦ πρός τόν πλούσιον λέγοντος· «*Εἰ θέλεις, φησί, τέλειος εἶναι, πώλησόν σου τά ὑπάρχοντα καί δός πτωχοῖς καί ἆρον τόν σταυρόν σου καί δεῦρο ἀκολούθει μοι*» - διά τοῦ σταυροῦ τάς θλίψεις, ὡς εἴρηται, καί τούς πειρασμούς αἰνιττόμενος.

Ἐπειδή γάρ ἡ βασιλεία τῶν οὐρανῶν βιαστή ἐστι καί βιασταί ἁρπάζουσιν αὐτήν καί ἄλλως οὐκ ἔνι τοῖς πιστοῖς εἰσελθεῖν εἰς αὐτήν, εἰ μή διά τῆς στενῆς πύλης τῶν πειρασμῶν τε καί θλίψεων, εἰκότως ἡμῖν τό θεῖον ἐντέλλεται λόγιον· «*Ἀγωνίζεσθε, φησί, διά τῆς στενῆς πύλης εἰσελθεῖν*», καί αὖθις· «*Ἐν τῇ ὑπομονῇ κτήσασθε τάς ψυχάς ὑμῶν*», καί· «*Δεῖ ὑμᾶς διά πολλῶν θλίψεων εἰσελθεῖν εἰς τήν βασιλείαν τῶν οὐρανῶν*». Ὁ μέν γάρ σκορπίζων τά ἑαυτοῦ χρήματα τοῖς δεομένοις καί ἀναχωρῶν ἐκ τοῦ κόσμου καί τῶν πραγμάτων αὐτοῦ ἐπ' ἐλπίδι μισθοῦ, ἐν ἡδονῇ πολλῇ τήν συνείδησιν ἐπιφέρεται καί ἔσθ' ὅτε καί ὑπό κενοδοξίας κλέπτεται τούς μισθούς. Ὁ δέ μετά τό πάντα δοῦναι τοῖς πένησι καί τά λυπηρά ὑπομένων ἐν εὐχαριστίᾳ ψυχῆς καί ἐγκαρτερῶν τοῖς δεινοῖς, πικρίας μέν πάσης καί πόνων ὀδυνηρῶν ἐπαισθάνεται, ἄσυλον δέ τόν λογισμόν ἔχει νῦν τε καί εἰς τό μέλλον μεγάλην τήν ἀνταπόδοσιν, ὡς τά πάθη μιμησάμενος τοῦ Χριστοῦ καί ὑπομένων αὐτόν ἐν ἡμέραις ἐπαγωγῆς τῶν πειρασμῶν τε καί θλίψεων.

Διά τοι τοῦτο παρακαλῶ ὑμᾶς, ἐν Χριστῷ ἀδελφοί, σπουδάσωμεν κατά τήν φωνήν τοῦ Κυρίου καί Θεοῦ καί Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, ἐπειδή κόσμῳ καί τοῖς ἐν κόσμῳ ἀπεταξάμεθα, ἵνα διά τῆς στενῆς εἰσέλθωμεν πύλης, ἥτις ἐστίν ἡ ἐκκοπή καί ἀποφυγή τοῦ σαρκικοῦ ἡμῶν φρονήματος καί θελήματος. Ἄνευ γάρ τοῦ νεκρωθῆναι ἡμᾶς τῇ σαρκί καί ταῖς ἐπιθυμίαις αὐτῆς καί τοῖς θελήμασιν αὐτῆς οὐκ ἔνι τυχεῖν ἀνέσεως καί ἀπαλλαγῆς τῶν κακῶν καί ἐλευθερίας τῆς ἐπιγινομένης ἡμῖν ἀπό τῆς παρακλήσεως τοῦ Ἁγίου Πνεύματος. Ταύτης δέ χωρίς - λέγω δή τῆς ἐπιφοιτήσεως τοῦ Πνεύματος - οὐδείς ὄψεται τόν Κύριον, οὔτε ἐν τῷ νῦν αἰῶνι οὔτε ἐν τῷ μέλλοντι. Ὅτι μέν γάρ καλόν εἰργάσω, πάντα σου τά χρήματα σκορπίσας τοῖς δεομένοις, εἴ γε καί οὐδέν ἑαυτῷ ὑπελείπω κατά τόν Ἀνανίαν ἐκεῖνον, καί πρός τούτοις κόσμῳ ἀπετάξω καί τοῖς ἐν κόσμῳ, καί φυγών τόν βίον καί τάς φροντίδας αὐτοῦ ἔδραμες εἰς λιμένα ζωῆς, τήν μόρφωσιν τῆς εὐσεβείας περιβαλλόμενος, σύμφημι κἀγώ καί ἐπαινῶ σε τῆς πραγματείας. Χρή δέ σέ καί τό φρόνημα τῆς σαρκός, ὥσπερ τούς χιτῶνας ἄρτι, καί αὐτό ἀποδύσασθαι καί κατά τήν στολήν, ἥν ἐνεδύσω διά Χριστόν, κτήσασθαι τούς τρόπους τῆς ψυχῆς καί αὐτό δή πνευματικόν σου φρόνημα· οὐ μόνον δέ ἀλλά καί τόν φωτεινόν ἐπενδύσασθαι χιτῶνα διά μετανοίας, ὅπερ ἐστίν αὐτό τό Πνεῦμα τό Ἅγιον. Τοῦτο δέ ἄλλως οὐ γίνεται, εἰ μή διά τῆς ἐπιμόνου τῶν ἀρετῶν ἐργασίας καί τῆς ὑπομονῆς τῶν θλίψεων. Θλιβομένη γάρ ἡ ψυχή διά τῶν πειρασμῶν κινεῖται εἰς δάκρυα, τά δάκρυα δέ καθαίροντα τήν καρδίαν ποιοῦσιν αὐτήν ναόν καί καταγωγίον τοῦ Ἁγίου Πνεύματος.Οὐδέ γάρ ἀρκεῖ ἡμῖν εἰς σωτηρίαν καί τελειότητα ἡ περιβολή μόνη τοῦ σχήματος καί ὁ ἔξω κόσμος τοῦ ἀδριάντος, ἀλλ' ὥσπερ τόν ἔξω, οὕτω καί τόν ἐντός ἡμῶν ἄνθρωπον κοσμῆσαι χρεών τῇ καταστολῇ τοῦ Πνεύματος καί ἐξ ὁλοκλήρου θῦσαι ἑαυτούς τῷ Θεῷ ψυχῇ τε καί σώματι, καί τῇ μέν σωματικῇ γυμνασίᾳ γυμνάζειν τό σῶμα

πρός τούς πόνους τῆς ἀρετῆς εἰς τό εὐτόνως ἐθίζεσθαι τοῖς κατά Θεόν λυπηροῖς καί φέρειν γενναίως τό πικρόν τῆς νηστείας, τό βεβιασμένον τῆς ἐγκρατείας, τήν ἀνάγκην τῆς ἀγρυπνίας, τήν ἅπασαν κακοπάθειαν, τῇ δέ εὐσεβείᾳ τοῦ Πνεύματος παιδαγωγεῖν τήν ψυχήν εἰς τό φρονεῖν ἅ δεῖ φρονεῖν καί μελετᾶν ἀεί τά τῆς αἰωνίου ζωῆς, ταπεινόφρονά τε εἶναι, πραεῖαν, συντετριμμένην, κατανυκτικήν, πενθοῦσαν καθ' ἑκάστην καί τό φῶς πρός ἑαυτήν διά τῆς προσευχῆς ἐκκαλουμένην τοῦ Πνεύματος, ἅ καί προσγίνεσθαι ταύτῃ διά μετανοίας θερμοτάτης εἰώθασι, καθαιρομένῃ διά δακρύων πολλῶν ὧν ἄνευ οὐδέ τόν χιτῶνα ταύτης ἔξεστί ποτε καθαρθῆναι, οὐδέ εἰς ὕψος αὐτήν ἀναδραμεῖν θεωρίας. Ὥσπερ γάρ ἱμάτιον ἐκ βορβόρου ποθέν καί κοπρίας εἰς βάθος μολυνθέν, ἄλλως καθαρθῆναι τοῦτο ἀμήχανον, εἰ μή διά πολλοῦ ὕδατος καί πολλῆς θλίψεως τῶν ποδῶν, οὕτω καί ὁ χιτών τῆς ψυχῆς ἐκ βορβόρου καί κοπρίας ἐφαρμάτων παθῶν μολυνθείς, ἄλλως ἀπορρυφθῆναι οὐ δύναται, εἰ μή διά πολλῶν δακρύων καί ὑπομονῆς τῶν πειρασμῶν τε καί θλίψεων. Δύο γάρ οὐσῶν οὐσιωδῶς ἐν ἡμῖν ῥεύσεων ἐκ τοῦ σώματος - λέγω δή τῶν ἄνωθεν ἐπεισρεόντων δακρύων καί τῶν ἀπό τῶν γονίμων δυνάμεων -, καί τῶν μέν μολυνόντων τήν ψυχήν παρά φύσιν καί νόμον κενουμένων, τῶν δέ καθαιρόντων αὐτήν ἐκ μετανοίας ῥεόντων, χρή τούς μεμολυσμένους τήν ψυχήν τῇ ἐφαρμάρτῳ πράξει τῆς ἁμαρτίας καί τῇ ἐμπαθεῖ κινήσει τῆς καρδίας ἀλόγων ἐπιθυμιῶν μορφάς ἐν ἑαυτοῖς ἐγχαράξαντας, διά πολλῶν καθαρθῆναι δακρύων καί τόν χιτῶνα τῆς ψυχῆς καθαρώτατον κτήσασθαι. Ἄλλως γάρ ἰδεῖν τόν Θεόν, αὐτό τό φῶς ὅ φωτίζει παντός ἀνθρώπου καρδίαν, ἐρχομένου διά μετανοίας πρός αὐτόν, ἀμήχανον, εἴπερ οἱ καθαροί τῇ καρδίᾳ ὁρῶσι Θεόν.

Σπουδάσωμεν οὖν, παρακαλῶ, πατέρες μου καί ἀδελφοί καί τέκνα, καθαράν κτήσασθαι τήν καρδίαν ἐξ ἐπιμελείας τῶν τρόπων καί διηνεκοῦς ἐξομολογήσεως τῶν κρυπτῶν λογισμῶν τῆς ψυχῆς. Ἡ γάρ συνεχῶς καί καθ' ἑκάστην γινομένη παρ' ἡμῶν ἐξομολόγησις τῶν τοιούτων, ἐκ μεταμέλου κινουμένη καρδίας, μετάνοιαν ἡμῖν τῶν πραχθέντων ἤ καί μελετηθέντων ἐργάζεται, ἡ δέ μετάνοια κινεῖ τό δάκρυον ἐκ βαθέων ψυχῆς, τό δέ δάκρυον καθαίρει τήν καρδίαν καί μεγάλας ἁμαρτίας ἐξαφανίζει, ἀπαλειφομένων δέ τούτων διά δακρύων ἐν παρακλήσει γίνεται ἡ ψυχή τοῦ Θείου Πνεύματος καί γλυκυτάτης κατανύξεως νάμασι καταρδεύεται, ἀφ' ὧν καθ' ἑκάστην πιαίνεται νοητῶς καί τρέφει τοῦ Πνεύματος τούς καρπούς καί ἐν καιρῷ προσφόρως, ὡς πολύχουν σῖτον, αὐτούς ἀναδίδωσιν εἰς τροφήν ἀδάπανον τῆς ψυχῆς καί εἰς ζωήν αὐτῆς ἄφθαρτον καί αἰώνιον. Ἐν τούτῳ δέ διά σπουδῆς καλῶς καταντήσασα, οἰκειοῦται Θεῷ καί γίνεται οἶκος Τριάδος Θείας καί ἐνδιαίτημα, ὁρῶσα καθαρῶς τόν ἑαυτῆς Ποιητήν καί Θεόν καί προσομιλοῦσα αὐτῷ καθ' ἑκάστην, ἐξίσταται τοῦ σώματος καί τοῦ κόσμου καί τοῦ ἀέρος τούτου καί εἰς οὐρανούς οὐρανῶν ἀνερχομένη καί κουφιζομένη ταῖς ἀρεταῖς καί ταῖς πτέρυξι τῆς ἀγάπης τοῦ Θεοῦ, καταπαύει μετά πάντων δικαίων ἀπό τῶν πόνων αὐτῆς καί γίνεται ἐν ἀπείρῳ καί θείῳ φωτί, ἔνθα τῶν ἀποστόλων Χριστοῦ, τῶν μαρτύρων, τῶν ὁσίων καί πασῶν τῶν ἄνω δυνάμεων τά τάγματα συγχορεύουσι.

Τοιαύτης οὖν καί ἡμεῖς γενώμεθα καταστάσεως, ἀδελφοί ἐν Χριστῷ, ἵνα μή

ἀπολειφθῶμεν τῶν πατέρων ἡμῶν τῶν ἁγίων, ἀλλ’ ἵνα διά σπουδῆς τῶν καλῶν καί ἐργασίας τῶν ἐντολῶν τοῦ Χριστοῦ εἰς ἄνδρα τέλειον φθάσωμεν, εἰς μέτρον ἡλικίας τοῦ πληρώματος τοῦ Χριστοῦ. Οὐδέν γάρ τό κωλῦον, εἰ μόνον θελήσομεν. Οὕτω γάρ καί Θεόν δοξάσομεν ἐν ἡμῖν αὐτοῖς καί Θεός παρ’ ἡμῶν εὐφρανθήσεται καί Θεόν εὕρωμεν ἀπό τῆς παρούσης ἀναχωροῦντες ζωῆς, ὡς μέγαν κόλπον τοῦ Ἀβραάμ ὑποδεχόμενον ἡμᾶς καί ἐπιθάλποντα ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν, ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν χάριτι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα εἰς τούς αἰῶνας. Ἀμήν.

## Λόγος Ι΄. Περί μετοχῆς Πνεύματος Ἁγίου καί ἁγιωσύνης καί τελείας ἀπαθείας. Καί ὅτι ὁ ἀγαπῶν τήν ἐξ ἀνθρώπων δόξαν οὐδέν ἐκ τῶν λοιπῶν ἀρετῶν ὠφελεῖται, κἄν πάσας κατώρθωσε.

Ἀδελφοί καί πατέρες, οὐχ ὁρᾶτε πῶς οἱ τῷ ἐπιγείῳ βασιλεῖ παριστάμενοι, αὐτοί τε δόξαν ἡγοῦνται τοῦτο μεγάλην καί ἐναμβρύνονται ἐπί τούτῳ, καί παρά τῶν ἐν κόσμῳ ἀνθρώπων ζηλωτοί καθεστήκασιν; Εἰ οὖν φθαρτοῖς οὗτοι καί ματαίοις οὕτω διάκεινται, πόσῳ μᾶλλον ἡμεῖς ὀφείλομεν, οἱ τῷ ἐπουρανίῳ βασιλεῖ στρατευθέντες καί τήν ἐκείνου δουλείαν ἀναδεξάμενοι, χαίρειν καί εὐφραίνεσθαι ὅτι ὅλως εἰς ὑπηρεσίαν ἐκείνου καταταγῆναι κατηξιώθημεν καί εἰς λειτουργίαν τοῦ ὀνόματος αὐτοῦ προσεκλήθημεν; Εἰ δέ καί τῆς κατά πρόσωπον αὐτοῦ θέας ἐξιωθείημεν ποτέ καί μετά τῶν ἐνώπιον αὐτοῦ παρισταμένων καταταγείημεν, ποῖον οὐχ ὑπερβαίνει τοῦτο μακαριότητος ἔπαινον; Εἰ δέ καί τῶν οἰκείων δούλων καί φίλων αὐτοῦ γένηταί τις καί ὁμιλίας καί φωνῆς ἀκούειν Δεσποτικῆς καταξιωθήσεται, ποῖος ἄρα νοῦς ἀνθρώπου, ποία δέ γλῶσσα τῆς δόξης ταύτης καί τῆς ἀξίας τό μέγεθος διηγήσεται; Εἰ γάρ ἅ ὀφθαλμός οὐκ εἶδε καί οὖς οὐκ ἤκουσε καί ἐπί καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, τά ἀγαθά ἅ ἡτοίμασεν ὁ Θεός τοῖς ἀγαπῶσιν αὐτόν, ὑπέρ τήν ἀνθρωπίνην κατάληψίν εἰσι καί ὑπέρ πάντα τά ὁρώμενα ἀγαθά, πολλῷ μᾶλλον αὐτός ὁ ἑτοιμάσας ταῦτα Θεός· καί οὐ μόνον αὐτός, ἀλλά καί ἐκεῖνον αὐτόν βλέπειν καί αὐτῷ παρίστασθαι καί ὁμιλεῖν καταξιωθέντες καί τῆς αὐτοῦ θεότητός τε καί δόξης κοινωνοί καί συμμέτοχοι γεγονότες, ὑπέρ τά ἀγαθά τά ἑτοιμασθέντα αὐτοῖς παρά Θεοῦ πάντως γεγόνασιν, ὡς τόν ἑτοιμάσαντα μᾶλλον αὐτόν τά ἀγαθά Κύριον κληρωσάμενοι. Ὅτι δέ γεγόνασι τοιοῦτοι καί μέχρι τοῦ νῦν γίνονται, οὐ λέγω μετά θάνατον μόνον, ἀλλά καί ἔτι ἐν τῷ παρόντι βίῳ διάγοντες, πᾶσα μέν τοῦτο θεόπνευστος διδάσκει Γραφή, πάντες δέ τοῦτο συμμαρτυροῦσι διά τῆς αὐτῶν πολιτείας οἱ ἅγιοι, μεθ' ἅμα καί αὐτοῦ τοῦ μακαρίου πατρός ἡμῶν Συμεών τοῦ Στουδιώτου, οὗ καί τήν μνήμην ἄγομεν σήμερον, καί οἱ τούς ἁγίου πάλιν διά λόγων ἐγκωμιάζοντες.

Οὗτος γάρ ὁ ὁσιώτατος πατήρ ἡμῶν Συμεών, οὗ καί τόν βίον καί τήν θεάρεστον αὐτοῦ πολιτείαν ἀνέγνωμεν, μέσον πόλεως καί μονῆς περιφανεστάτης ἐν μέσῳ, τοιοοῦτον βίον ἤσκησε καί τοιαύτην ἀνεδείξατο πολιτείαν, ὡς μή μόνον τούς κατά τήν γενεάν αὐτοῦ λάμψαντας, ἀλλά καί τῶν παλαιῶν πατέρων πολλούς ὑπερβῆναι τῷ ὕψει τῶν ἀρετῶν καί τοῖς ὑπέρ δύναμιν κατορθώμασι. Διά τοῦτο καί ἐπαίνων καί ἐγκωμίων πολλῶν ἀναφανείς ἡμῖν ἄξιος, ἐπαινεῖται καί μακαρίζεται καί ἐγκωμιάζεται ἡμῖν κατά δύναμιν.

Ἅπας γάρ τῶν ἁγίων ἔπαινος καί μακαρισμός διά τῶν δύο τούτων συνίσταται, διά τε τῆς ὀρθοδόξου πίστεως καί τοῦ ἐπαινετοῦ βίου, καί διά τῆς δωρεᾶς τοῦ Ἁγίου Πνεύματος καί τῶν χαρισμάτων αὐτοῦ. Τοῖς γάρ δυσί τούτοις τό τρίτον συνέπεται. Ἐν γάρ τῷ βιῶσαί τινα καλῶς τε καί θεοφιλῶς μετά φρονήματος ὀρθοδόξου καί ἐν τῷ

χαριτωθῆναι ἀπό Θεοῦ καί δοξασθῆναι διά τῆς τοῦ Πνεύματος δωρεᾶς, συνέπεται αὐτῷ ὁ ἔπαινος καί ὁ μακαρισμός παρά πάσης τῆς ἐκκλησίας τῶν πιστῶν καί παρά πάντων τῶν διδασκάλων αὐτῆς. Πίστεως δέ καί ἔργων ἀνελλιπῶς μή καταβληθέντων ἀδύνατόν ἐστι τήν παρουσίαν γενέσθαι ποτέ τοῦ προσκυνητοῦ καί θείου Πνεύματος καί τήν δωρεάν αὐτοῦ λαβεῖν τινα τῶν ἀνθρώπων. Τούτου δέ μή παραγενομένου ἐν τῷ ἀνθρώπῳ, μηδέ γνωστῶς ἐνοικήσαντος ἐν αὐτῷ, ἀνοίκειον πάντῃ πνευματικόν αὐτόν ὀνομάζεσθαι. ὁ δέ μή πνευματικός γεγονώς, πῶς ἔσεται ἅγιος; Ὁ δέ μή ἅγιος γεγονώς, διά ποῖον ἄλλο ἔργον ἤ πρᾶξιν μακαρισθήσεται εἰ ἡ μακαριότης Θεός ἐστιν; Ὁ δέ τοῦ Θεοῦ μή μετασχών, μᾶλλον δέ ὁ μή αὐτόν ὅλον ἔχων ἐν ἑαυτῷ, πῶς μακάριος δοκεῖ μοι; Οὐδαμῶς. Ἥλιος γάρ ἄνευ φωτός, πῶς ἄν λεχθείη ἥλιος; καί ἄνθρωπος δίχα τῆς τοῦ Παναγίου Πνεύματος μετουσίας, πῶς ἄν κληθείη ἅγιος; «*Γίνεσθε γάρ, εἶπεν ὁ Κύριος, ἅγιοι, ὅτι ἐγώ ἅγιός εἰμι*», εἰς τήν διά τῶν ἔργων ἡμᾶς μίμησιν, τούς ἐν ἁμαρτίαις ἐξεταζομένους, ὁ εὔσπλαχνος οἱονεί προτρεπόμενος καί λέγων· «*Ἀπόστητε τῶν κακῶν και πάντα τά καλά διαπράξασθε, πᾶσαν ἀρετήν κατά τό ὑμῖν δυνατόν μετέλθετε καί ὅσον ἐφικτόν ὑμῖν ἅγιοι γίνεσθε, εἴπερ ἄρα καί κοινωνίαν ἔχειν βούλεσθε μετ’ ἐμοῦ. Ἐγώ γάρ ἅγιός εἰμι, τουτέστι καθαρός καί ἀμόλυντος. Ταῦτά μοι φυσικῶς πρόσεστιν, ὑμεῖς δέ ἐν τῇ ἐργασίᾳ τῶν ἐντολῶν ἀπό τοῦ μολυσμοῦ τῶν ἁμαρτιῶν ἀπεχόμενοι καί μέτοχοί μου τῇ τοῦ Πνεύματος γενόμενοι χάριτι, τότε καί ὑμεῖς ἅγιοι ἔσεσθε*». Τοῦτο γάρ δηλοῖ τό «*γίνεσθε*».

Γίνεται τοίνυν ἐν τῇ ἀποχῇ τῶν κακῶν καί ἐν τῇ ἐργασίᾳ τῶν ἀγαθῶν ὁ ἄνθρωπος ἅγιος, οὐχ ὡς δι’ ἔργων πάντως ἁγιαζόμενος - οὐ γάρ δικαιωθήσεται ἐξ ἔργων νόμου πᾶσα ψυχή -, ἀλλ’ ὡς τῷ Ἁγίῳ Θεῷ διά τῆς τῶν τοιούτων πράξεων ἐργασίας προσοικειούμενος. Τοῦτο δέ πρός τούς ἤδη λαβόντας τήν τοῦ Πνεύματος χάριν εἰπεῖν τόν Κύριον μᾶλλον πείθομαι, ὅς καί παραγγέλλων μή θαρρεῖν τῇ δωρεᾷ καί διά ῥαθυμίας ἐπιστρέφειν πρός τά κακά, οἱονεί πως ἔλεγε· «*Μή τῇ ἀργίᾳ σεαυτόν ἐκδῷς, ὦ πνευματικέ σύ, ὁ τήν χάριν λαβών τοῦ Ἁγίου Πνεύματος καί διά ταύτης ἐμέ. Ἡ γάρ ἀργία τίκτει τήν πονηρίαν, ἡ δέ πονηρία πᾶν εἶδος κακίας ἀπογεννᾷ. Τῇ οὖν καθημερινῇ ἐργασίᾳ τῶν ἐντολῶν γίνου ἅγιος, εἴπερ ἐμέ, φησί, βούλει ἐν σοί εἶναι καί μετά σοῦ καί σέ ἐν ἐμοί καί σύν ἐμοί*». Ἐπειδή δέ ἀεικίνητον πρᾶγμα ὁ νοῦς ὅλως ἀργεῖν μή δυνάμενον, δέον ἐμφρόντιδα τοῦτον εἶναι καί σπουδαῖον εἰς τήν ἐργασίαν τῶν ἐντολῶν τοῦ Θεοῦ. Οὕτω γάρ καί ὁ βίος ἅπας ὁ τῶν ἀνθρώπων μεμεριμνημένος τίς ἐστι καί ἔμφροντις καί σχολήν ἔχειν ἐκ πάντων οὐ δύναται, εἰ καί πολλοί τοῦτο ποιῆσαι ὑπέρ τήν ἑαυτῶν ἰσχύν καί δύναμιν ἠγωνίσαντο, ἀλλά καί ἐξ ἀρχῆς τοιοῦτος ἐκτίσθη ὁ ἄνθρωπος· ἐργάζεσθαι γάρ καί φυλάσσειν ἐν τῷ παραδείσῳ ὁ Ἀδάμ προσετάγη καί φυσική τις ἐν ἡμῖν ὑπάρχει τῆς ἐργασίας ἡ πρός τά καλά κίνησις. Οἱ οὖν τῇ ἀργίᾳ καί ῥαθυμίᾳ ἑαυτούς ἐκδιδόντες, οἷοι δ’ ἄν καί εἶεν πνευματικοί καί ἅγιοι, εἰς τήν παρά φύσιν ἐμπάθειαν ἑαυτούς ἐπιρρίπτουσιν.

Ὥσπερ γάρ πηγή ἀεννάως τό ὕδωρ ἐκβλύζουσα, μικρόν παυσαμένη ἀφανίζεται καί εἰς τό μή εἶναι πηγή ἀλλά λάκκος μεθίσταται, οὕτω καί ὁ ἀεί τῇ ἐργασίᾳ τῶν ἐντολῶν

ἑαυτόν καθαίρων καί ἐκ τοῦ Θεοῦ καθαιρόμενος καί ἁγιαζόμενος, ἐάν μικρόν τῆς ἐργασίας ἐκπέσῃ, κατά ἀναλογίαν ἐκπίπτει τῆς ἁγιότητος. Ὁ δέ καί ἁμαρτίᾳ μιᾷ ἐν γνώσει συναπαγόμενος ὅλος ἐκπίπτει τῆς καθαρότητος, καθάπερ καί ἀγγεῖον ὕδατος μικρᾷ κόπρῳ καθόλου μιαίνεται. Οὐ λέγω ἁμαρτίαν τήν ἐπιτελουμένην μόνον διά τοῦ σώματος, ἀλλά καί τά ἄλλα πάθη τά ἔνδοθεν καί ἐν ἡμῖν ἀοράτως τελούμενα δι᾽ ἡμῶν. Καί μή ἀπιστήσετέ μοι λέγοντι, ἀδελφοί, τοῦτο δέ γινώσκοντες ἔσεσθε, ὅτι εἰ πᾶσαν ἀρετήν ἐξασκήσομεν καί θαύματα ἐκτελέσομεν, εἰ μηδέν ἤ μικρόν ἤ μέγα τῆς ἐντολῆς παραλείψομεν, μόνην δέ τήν ἐξ ἀνθρώπων δόξαν ποθήσομεν καί ταύτην κἄν ὁπωσοῦν δι᾽ ἐπιτηδευμάτων ζητήσομεν καί πρός τό λαβεῖν ταύτην σπεύσομεν, τῶν ἄλλων ἁπάντων τόν μισθόν ἐστερήθημεν. Τήν τῶν ἀνθρώπων γάρ δόξαν λαμβάνοντες καί τήν τοῦ Θεοῦ μή προκρίνοντες, ὡς εἰδωλολάτραι κρινόμεθα λατρεύοντες τῇ κτίσει παρά τόν κτίσαντα. Ἀλλά καί διδομένην τήν ἐπίγειον δόξαν, ὁ μεθ᾽ ἡδονῆς καί χαρᾶς ταύτην ἀποδεξάμενος καί ἐν ταύτῃ ἐναμβρυνόμενος καί τῇ καρδίᾳ ἐνευφραινόμενος, ὡς πόρνος κατακριθήσεται. Ὅμοιος γάρ ἐστιν ὁ τοιοῦτος ἀνθρώπῳ παρθενεύειν προαιρουμένῳ καί τήν τῶν γυναικῶν συνουσίαν ἀπηρνημένῳ και πρός μέν αὐτάς μή αὐτομολοῦντι, μήτε μετ᾽ αὐτῶν διάγειν ἐπιθυμοῦντι, ἀπερχομένης δέ πρός αὐτόν μιᾶς τινος γυναικός, μεθ᾽ ἡδονῆς εὐθύς ἀποδεχομένῳ καί τήν τῆς μίξεως ἡδονήν ἐκπληροῦντι. Τοῦτο δέ ἄρα καί ἐπί πάσης ἄλλης ἐπιθυμίας καί ἐπί παντός πάθους συμβαίνει γίνεσθαι. Εἴτε γάρ φθόνῳ, καί φιλαργυρίᾳ ἤ ζήλῳ ἤ ἔριδι ἤ τινι ἑτέρᾳ κακίᾳ ἑκουσίως ἑαυτόν τις ἐκδῷ, τοῦ στεφάνου τῆς δικαιοσύνης οὐκ ἐπιτεύξεται. Δίκαιος γάρ ὤν ὁ Θεός, ἀδίκους ἔχειν συγκοινωνούς οὐκ ἀνέχεται καί καθαρός ὤν, ἀκαθάρτῳ οὐ συμμιαίνεται καί ἀπαθής ὑπάρχων, τοῖς ἐμπαθέσιν οὐ συναυλίζεται καί ἅγιος ὤν, εἰς κεχραμμένην ψυχήν καί πονηράν οὐκ εἰσέρχεται. Πονηρός δέ ἐστιν ὁ τοῦ πονηροῦ σπορέως τόν κόκκον ὑποδεξάμενος ἐν τῇ καρδίᾳ αὐτοῦ καί καρποφορῶν ἀκάνθας καί τριβόλους τῆς ἁμαρτίας τῷ διαβόλῳ, τά τοῦ αἰωνίου πυρός ὑπεκκαύματα, ἅτινά ἐστι φθόνος, μῖσος, μνησικακία, ζῆλος, ἐριθεία, οἴησις, κενοδοξία, ὑπερηφανία, δόλος, περιεργία, διαβολή καί εἴτι διά σαρκός πάθος ἀπόπτυστον καθ᾽ ἡδονήν ἐκτελεῖται καί κοινοῖ τόν ἐντός ἡμῶν ἄνθρωπον κατά τήν τοῦ Κυρίου φωνήν.

Ἀλλά μή γένοιτο ἡμᾶς, ἀδελφοί, τοιαῦτά ποτε καρποφορῆσαι ζιζάνια, δεξαμένους ἐκ ῥαθυμίας τόν σπόρον τοῦ πονηροῦ ἐν ταῖς καρδίαις ἡμῶν. Γένοιτο δέ εἰς τριάκοντα καί ἑξήκοντα καί ἑκατόν καρποφορῆσαι Χριστῷ τά διά τοῦ Πνεύματος ἐν ἡμῖν γεωργούμενα, ἅ ἐστιν ἀγάπη, χαρά, εἰρήνη, χρηστότης ἀγαθωσύνη, μακροθυμία, πίστις, πρᾳότης, ἐγκράτεια, τραφῆναί τε τόν ἄρτον τῆς γνώσεως καί αὐξηθῆναι ταῖς ἀρεταῖς καί καταντῆσαι εἰς ἄνδρα τέλειον, εἰς μέτρον ἡλικίας τοῦ πληρώματος τοῦ Χριστοῦ, ᾧ πρέπει πᾶσα δόξα εἰς τούς αἰῶνας. Ἀμήν.

# Λόγος ΙΑ΄. Περί νηστείας. Καί ὅτι οὐ χρή τό τῆς νηστείας ὠφέλιμον ἐν τῇ πρώτῃ καί μόνῃ τῶν νηστειῶν ἑβδομάδι σπουδαίως τηρεῖν καί ἀσπάζεσθαι, ἀλλά τήν ἴσην καί τήν αὐτήν σπουδήν ἐν πάσαις ταῖς ἑβδομάσι τῶν νηστειῶν ἀναγκαῖον τοῖς σπουδαίοις διατηρεῖν.

Ἀδελφοί καί πατέρες, ἔδει μέν ἡμᾶς τῇ παρελθούσῃ κυριακῇ τά νῦν μέλλοντα ῥηθήσεσθαι παρ' ἡμῶν πρός τήν ὑμετέραν ἀγάπην εἰπεῖν. Ἀλλ' ἐπείπερ εἰδώς ἤμην, ὅτι ἅπαν τό χριστιανικώτατον φῦλον, μοναχῶν τε φημί καί λαϊκῶν, τῇ ἁγίᾳ καί πρώτῃ ἑβδομάδι τῶν νηστειῶν ζεούσῃ τῇ προθυμίᾳ τό τῆς νηστείας καλόν ἕκαστος ἡμῶν τῶν πιστῶν ὑποδέχεται, καί πᾶς τις ἐπί τόν αὐτοῦ τράχηλον τόν ταύτης ζυγόν ἐπιτίθησιν ἑκόντι, καί οὐδείς ἐστιν, οὐδέ τῶν λίαν ἀπεγνωκότων τῆς ἑαυτῶν σωτηρίας καί ἐν ἀφοβίᾳ καί καταφρονήσει Θεοῦ πολιτευομένων, ὅς τήν ἑβδομάδα ἐκείνην τόν τῆς νηστείας ἀπωθεῖται νόμον καί οὐχί μᾶλλον καί αὐτός μετά πάντων, τό ὅσον ἐφ' ἑαυτῷ, ἐγκρατεύεται, σήμερον ἤδη λέξων ἔρχομαι βραχέα καί ὀλίγα τοῦ ἐνεστῶτος χάριν καιροῦ πρός ὑμᾶς.

Ἐπειδή γάρ, ὡς εἴρηται, τήν παρελθοῦσαν πρῶτην τῶν νηστειῶν ἑβδομάδα ἅπαντες οἱ πιστοί ἐναγωνίως διέρχονται, παρελθούσης δέ ταύτης καί τοῦ σαββάτου καταλαβόντος, ἐπεί καί ἡ τοῦ Θεοῦ ἐκκλησία ἑορτήν ἄγειν ἐκ παραδόσεως ἔλαχε τήν τοῦ ἁγίου μεγαλομάρτυρος Θεοδώρου ἤ, μᾶλλον εἰπεῖν, τήν ἐκ Θεοῦ δι' αὐτοῦ γενομένην τῷ πιστοτάτῳ λαῷ αὐτοῦ σωτηρίαν παράδοξον, ὡσαύτως δέ καί τῇ κυριακῇ πάντες τήν τῆς ὀρθοδόξου πίστεως ἀνάμνησιν ποιούμενοι, εὐχαριστηρίους ὕμνους τῷ παναγάθῳ Θεῷ ἡμῶν ᾄδομεν, ἀεί φθονῶν τά καλά πονηρός, ἑκάστῳ τῶν πιστῶν λανθανόντως ὑπεισερχόμενος καί ῥᾳθυμίᾳ καί ἀμελείᾳ τοῦτον ἀοράτως καταδεσμεύων, ἀπορρίψαι πείθει καταφρονητικῶς ἀφ' ἑαυτοῦ τόν σωτηριώδη τῆς νηστείας ζυγόν καί πρός τήν προτέραν παλινδρομῆσαι συνήθειαν, διά τοῦτο τήν σήμερον ὑπομιμνήσκω καί παρακαλῶ τήν ὑμετέραν ἀγάπην ὁμοῦ καί πατρότητα τοῦ μή ὑπακοῦσαι καθόλου τῷ δυσμενεῖ, μηδέ τῇ πονηρᾷ συνηθείᾳ τῆς ἀκορέστου γαστριμαργίας συναπαχθῆναι, μηδέ πρός τήν ὄπισθεν καί χρονίαν τῶν πονηρῶν ἐπιθυμιῶν ἐκπλήρωσιν ἐπαναστρέψαι, ἀλλ' ὡς τήν πρώτην καί τήν δευτέραν ταύτην τῶν νηστειῶν ἑβδομάδα τιμήσωμεν, καί καθεξῆς ὁμοῦ τάς λοιπάς.

Ναί πατέρες καί ἀδελφοί μου, εὐεργετήσωμεν οὕτω ποιοῦντες ἑαυτούς καί μή ἅπερ συνήξαμεν τότε, νυνί ἀπολέσαι καταδεξώμεθα, προσθεῖναι δέ μᾶλλον καί αὐξῆσαι σπουδάσωμεν, ἀλλά μηδέ ἅπερ ὄπισθεν καλῶς ἀνῳκοδομήσαμεν νῦν κακῶς καταλῦσαι θελήσωμεν. Μνημονευέτω δέ ὑμῶν ἕκαστος τήν ἐκ τῆς νηστείας ὠφέλειαν καί οἵας ἀπήλαυσε παρά Θεοῦ δωρεᾶς ἐν ταῖς ὀλίγαις ταύταις ἡμέραις καί προθυμότερος γινέσθω πρός τό ἑξῆς. Καί γάρ εἴωθεν ἡ ἰατρός τῶν ψυχῶν ἡμῶν αὕτη τοῦ μέν τῆς σαρκός τάς

πυρώσεις καί τάς κινήσεις συστέλλειν, τοῦ δέ τό θυμῶδες καταπραΰνειν, τοῦ δέ τόν ὕπνον ἀποδιώκειν, τοῦ μέν τό πρόθυμον διεγείρειν, τοῦ δέ τόν νοῦν ἀνακαθαίρειν καί τῶν πονηρῶν λογισμῶν ἐλεύθερον αὐτόν ἀποκαθιστᾶν, ἄλλου τήν ἀδάμαστον γλῶσσαν δαμάζειν καί οἱονεί χαλινῷ τινι τῷ φόβῳ τοῦ Θεοῦ ταύτην ἐπέχειν καί μή ἐᾶν ὅλως ἀργούς ἤ σαπρούς λόγους φθέγγεσθα· ἑτέρου τούς μετεώρους σκεπάζει ἀφανῶς καί ἱστᾷ ὀφθαλμούς καί περιέργως αὐτούς οὐκ ἐᾷ ὧδέ τε κἀκεῖσε φέρεσθαι, ἀλλ’ ἑαυτόν ἕκαστον παρασκευάζει σκοπεῖν καί τῶν ἰδίων ἁμαρτημάτων τε καί ἐλαττωμάτων μεμνῆσθαι διδάσκει. Νηστεία τόν νοητόν ζόφον καί τό ἐπικείμενον τῇ ψυχῇ κάλυμμα τῆς ἁμαρτίας κατά μικρόν ἐκλεπτύνει καί ἀπελαύνει, καθάπερ τήν ὁμίχλην ὁ ἥλιος. Νηστεία τόν πνευματικόν ἀέρα νοερῶς ἡμῖν καθορᾶν ἐμποιεῖ, ἐν ᾧ οὐκ ἀνατέλλει, ἀλλά ἀεί λάμπει ὁ ἄδυτος ἥλιος Χριστός ὁ Θεός ἡμῶν. Νηστεία, συνεργόν λαβοῦσα τήν ἀγρυπνίαν, τό σκληρόν ὑπεισελθοῦσα τῆς καρδίας μαλλάσσει καί ἀντί τῆς πρῴην κραιπάλης κατανύξεως πηγάς βλυστάνειν παρασκευάζει, ὅπερ καί ἐν ἡμῖν γενέσθαι σπουδάσωμεν ἕκαστος ἡμῶν, παρακαλῶ, ἀδελφοί. Τούτου γάρ γενομένου εὐκόλως σύν Θεῷ, πᾶσαν τήν τῶν παθῶν θάλασσαν διαρρήξομεν καί τά κύματα διελθόντες τῶν πειρασμῶν τοῦ πικρῶς τυραννοῦντος ἡμᾶς, εἰς τόν λιμένα ἐγκαθορμισθῶμεν τῆς ἀπαθείας.

Ταῦτα δέ, ἀδελφοί μου, οὐκ ἐν μιᾷ ἡμέρᾳ, οὐδέ ἐν μιᾷ ἑβδομάδι γενέσθαι δυνατόν, ἀλλά ἐν πολλῷ χρόνῳ καί πόνῳ καί κόπῳ κατά τό ἀναλογίαν τῆς ἑκάστου προθέσεώς τε καί προαιρέσεως, ἔτι δέ καί κατά τό μέτρον τῆς πίστεως καί τῆς τῶν ὁρωμένων καί νοουμένων πραγμάτων καταφρονήσεως, οὐ μόνον δέ, ἀλλά καί κατά τήν θέρμην τῆς ἀδιαλείπτου μετανοίας καί αὐτῆς τῆς ἐν τῷ κρυπτῷ τῆς ψυχῆς ταμείῳ ἀεννάου ἐργασίας ἤ συντομώτερον ἤ βραδύτερον Θεοῦ δωρεᾷ τε καί χάριτι κατορθοῦνται, ἄνευ δέ νηστείας οὐδέν οὔτε τούτων οὔτε τῶν ἄλλων ἀρετῶν κατορθωθῆναί ποτε παρά τινος ἠδυνήθη· νηστεία γάρ πάσης ἐργασίας πνευματικῆς ἀρχή καί θεμέλιος. Ὅσα τοιγαροῦν οἰκοδομήσεις ἐπί τόν θεμέλιον τοῦτον, ἄπτωτα καί ἀκατάλυτα, ὡς ἐπί στερεάν πέτραν κτισθέντα, γίνεται· ἐπάν δέ τοῦτον τόν θεμέλιον ἄρῃς καί ἀντ’ αὐτοῦ γαστρός κόρον καί ἐπιθυμίας ἀτόπους ὑποθῇ, ὥσπερ ψάμμος ὑπό τῶν πονηρῶν ταῦτα λογισμῶν καί τοῦ ποταμοῦ τῶν παθῶν ὑποσύρεται καί πᾶσαν τήν οἰκοδομήν τῶν ἀρετῶν καταστρέφει. Ἵν’ οὖν μή καί ἐφ’ ἡμῶν τοῦτο γένηται, στῶμεν περιχαρῶς ἐπί τόν στερεόν θεμέλιον τῆς νηστείας, στῶμεν, ἀδελφοί μου, καλῶς, στῶμεν αὐτοθελῶς· ὁ βάρ ἀβουλήτως ἐπί τήν τῆς νηστείας πέτραν ἀναβαίνειν ἀναγκαζόμενος, ἑαυτόν πάντως ἐκεῖθεν ὑπό τῆς ἐπιθυμίας ὑποσυρείς πρός καθροφαγίαν κατακρημνίζει, καί βιβρώσκων αὐτός τοῦ πονηροῦ, ὡς δοκεῖ, κατάβρωμα γίνεται· νόμος γάρ θεῖός ἐστι καί τούς παραβαίνειν τολμῶντας ὥσπερ δήμιος ὁ διάβολος παραλαμβάνων μαστίζει, εἰ καί μή εὐθύς, μηδέ παραχρῆμα, τοῦ Θεοῦ μακροθυμοῦντος ἐφ’ ἡμᾶς καί τήν μετάνοιαν ἡμῶν ἀπεκδεχομένου, ἀλλ’ ὅμως οὐκ ἐκφευξόμεθα τάς χεῖρας αὐτοῦ πάντως ἤ ἐνταῦθα ἤ ἐν τῷ μέλλοντι αἰῶνι, ἀμετανοήτως ἐπιμένοντες τῇ ἁμαρτίᾳ, ἐπειδή τήν μετ’ αὐτοῦ καταδίκην οὕτως ἔχοντες ἀποληψόμεθα καί ὑπ’ αὐτοῦ καί σύν αὐτῷ ἀθάνατα κολασθῆναι κρίσει δικαίᾳ Θεοῦ κατακριθῶμεν. Εἰ γάρ καί τούς προεστῶτας ἡμῶν λανθάνομεν, ἀλλά γε τόν τῶν προεστώτων Δεσπότην ὁμοῦ καί Θεόν λαθεῖν οὐ

δυνάμεθα.

Φυλαξώμεθα τοιγαροῦν, ἀδελφοί, μή ἀπό λαθροφαγίας μόνον, ἀλλά καί ἀπό κόρου τῶν ἐπί τῆς τραπέζης παρατιθεμένων βρωμάτων ἡμῖν. Ναί, παρακαλῶ καί παρακαλῶν οὐ παύσομαι, μνήσθητε τῆς παρελθούσης ἁγίας ἑβδομάδος. Ἀναλογίσασθε τήν ἐκ τῆς νηστείας καί ἀγρυπνίας, εὐχῆς τε καί ψαλμῳδίας, ὡς ἔφην, ὠφέλειαν, ἀλλά τήν κατήφειαν, ἀλλά τήν εὐλάβειαν, ἀλλά τήν σιωπήν. Ὥσπερ γάρ ἀοίκητόν μοι ἐξ ἀνθρώπων ἐδόκει τότε εἶναι τό μοναστήριον, ὑπό ἀγγέλων μόνων ἐγκατοικούμενον, διά τό μή ὅλως ἕτερόν με ἀκοῦσαί τι ῥῆμα βιωτικόν, ἀλλ’ ἤ μόνην τήν ὑφ’ ὑμῶν πρός Θεόν ἀναπεμπομένην δοξολογίαν, ἤ καί ἀγγέλων ἔργον ἐστί. Πιστεύω δέ ὅτι, ὥσπερ ὑμεῖς ἐπιτελεῖτε τό τῶν ἀγγέλων ἔργον, οὕτω καί οἱ ἄγγελοι ἀοράτως συνδιῆγον ὑμῖν καί συνέψαλλον. Μή οὖν χωρισθῆναι τῆς μετ’ ἐκείνων συναυλίας διά τῆς πολυλογίας καί ἀργολογίας θελήσητε, μηδέ φωναῖς ἀτάκτοις ἤ κραυγαῖς ἀμέτροις αὐτούς μέν ἀφ’ ὑμῶν, τούς δέ δαίμονας πλησιάσαι ὑμῖν, ὡς τό πρίν, ποιήσητε, ἀλλά προσεχέτω ἕκαστος ἑαυτῷ καί τό ἐργόχειρον αὐτοῦ καί τήν διακονίαν αὐτοῦ, ὡς τῷ Θεῷ δουλεύων καί οὐκ ἀνθρώποις, ἐπιμελῶς ἐκτελείτω. Γέγραπται γάρ· «*Ἐπικατάρατος πᾶς ἄνθρωπος, ὁ ποιῶν τά ἔργα Κυρίου ἀμελῶς*».

Ἐν ταῖς θείαις τῶν συνάξεων ἀναγνώσεσιν ἀλλήλους πρός ἀκρόασιν διεγείρειν, ὦ ἀδελφοί, μή ἐλίπητε. Καί γάρ ὥσπερ ἐπί τῆς αἰσθητῆς τραπέζης ἐσθίειν προτρεπόμεθά τε καί παρακελευόμεθα τοῖς πλησίον, καί οὕς ἄν τῶν ἄλλων πλεῖον ἀγαπῶμεν, παραβιαζόμεθα ἐπί τό φαγεῖν, οὕτω δή καί ἐπί τῆς ψυχοτρόφου ταύτης τραπέζης προσέχειν καί προτρέπεσθαι τοῖς πλησίον χρεωστοῦμεν, ἵνα μή ὡς μή ἀγαπῶντες ἀλλήλους κατακριθῶμεν καί τό μαθηταί εἶναι Χριστοῦ ἀπολέσωμεν. Λέγει γάρ· «*Ἐν τούτῳ γνώσονται πάντες, ὅτι ἐμοί μαθηταί ἐστε, ἐάν ἀγαπᾶτε ἀλλήλους*». Ὁ οὖν ἐπί τῆς αἰσθητῆς τραπέζης τόν ἑαυτοῦ φίλον μή παραβιασάμενος εἰς ἑστίασιν τά μέγιστα αὐτόν πολλάκις ὠφέλησεν· ὁ δέ ἐπί τῆς πνευματικῆς τραπέζης, τῆς ἀκροάσεως τῶν θείων λέγω λογίων, τοῦτο ποιῶν, οὐ τήν τυχοῦσαν ζημίαν τοῖς αὐτῷ πλησιάζουσι προξενεῖ. Ἐπειδή τῶν βρωμάτων μέν ἐκείνων ἡ πλησμονή καί τήν ψυχήν καί τό σῶμα διαφθείρειν εἴωθε πολλάκις καί βλάπτειν, τά δέ ἐνταῦθα ὑπό τῶν ἁγίων λεγόμενα καί νοῦν φωτίζει καί ψυχήν ἁγιάζει καί τῷ σώματι αὐτῷ δι’ αὐτῆς πάντως τοῦ ἁγιασμοῦ μεταδίδωσι καί ὑγιεινότερον καί ῥωμαλεώτερον καθιστᾷ.

Προσεχέτω τοιγαροῦν ἕκαστος τῇ ἀναγνώσει. Οἱ γάρ λόγοι τῶν ἁγίων Θεοῦ λόγοι καί οὐκ ἀνθρώπων εἰσίν. Ἐμβαλέτω τούτους ἐν τῇ καρδίᾳ αὐτοῦ καί τηρείτω αὐτούς ἀσφαλῶς, ἐπειδή οἱ λόγοι τοῦ Θεοῦ λόγοις ζωῆς εἰσι καί ὁ ἔχων αὐτούς ἐν ἑαυτῷ καί φυλάσσων αὐτούς, ἔχει ζωήν αἰώνιον. Ἐπί μέν γάρ πολυτελοῦς πολλάκις καθεσθέντες τραπέζης, οὐκ οἶμαί ποτε ῥᾳθυμήσαντά τινα ἐξ ὑμῶν ὅλως ἀπονυστάξαι καί μή μόνον τά ἀρκοῦντα λαβεῖν, ἀλλά καί τά εἰς τήν αὔριον μετά σπουδῆς ἄραντα ἀπελθεῖν καί ἤ φίλοις τισίν ἤ πτωχοῖς αὐτά μεταδοῦναι προθυμηθέντα. Ἔνθα δέ λόγοι ζωῆς πρόκεινται καί τούς ἐξ αὐτῶν τρεφομένους ἀθανάτους ἀποτελοῦσι, καθεύδειν, εἰπέ μοι, καί ῥᾳθυμεῖν ἤ

νυστάζειν καί ῥέγχειν ἔξεστί τινι, ὥσπερ ἐμψύχῳ νεκρῷ; Ὦ τῆς ζημίας! Ὦ τῆς ἀναισθησίας καί τῆς νωθρότητος! Ὁ ἐπί τραπέζης καθήμενος καί τῶν προκειμένων μή ὀρεγόμενος τῆς κατά φύσιν ὑγιείας προδήλως ἐστέρηται· οὕτω καί ὁ ἀναγνώσεως θείας ἀκούων καί μή μεθ᾽ ἡδονῆς ἀφάτου καί ἀΰλου ὀρέξεως αΰλως τοῖς ἀΰλοις καί θείοις λογίοις ψυχικῶς ἐντρυφῶν καί τάς αἰσθήσεις πάσας αὐτοῦ νοερῶς ἐμπιπλῶν ἐκ τῆς τούτων γλυκύτητος, ἀσθενής τῇ πίστει ἐστί καί τῶν πνευματικῶν δωρεῶν εἰς ἅπαν ἄγευστος, ἐν μέσῳ δηλονότι πολλῶν ἀγαθῶν λιμῷ καί δίψει τηκόμενος. Καθάπερ γάρ νεκρός ὕδατι λουόμενος ἀνεπαισθήτως ἔχει, οὕτω καί οὗτος ὑπό τῶν ζωηρῶν καί θείων τοῦ λόγου ναμάτων ἐπαντλούμενος οὐκ αἰσθάνεται.

Ὅσοι τοίνυν λόγον ζωῆς ἐν ἑαυτοῖς ἔχετε, ὅσοι τραφῆναι τόν ἄρτον τοῦτον τοῦ λόγου ἐφθάσατε, ὅσοι μή νεκροί ἀλλ᾽ ἐκ νεκρῶν ζῶντες γεγόνατε καί τῆς ἀληθινῆς ζωῆς ἀπεγεύσασθε καί σπλάγχνα οἰκτιρμῶν πρός τούς πλησίον παρά τοῦ εὐσπλάγχνου Θεοῦ λαβόντες ἐκτήσασθε, διεγείρειν καί παρακαλεῖν καί νουθετεῖν τούς πλησίον καί πάντας, εἰ οἷόν τε, μή παύσησθε, ἀλλ᾽ ὡς οἰκεῖα μέλη, μᾶλλον δέ ὡς μέλη Χριστοῦ καί υἱούς ὄντας Θεοῦ, παιδαγωγεῖν, ἐπιτιμᾶν καί ἐλέγχειν αὐτούς προθυμήθητε, οὐχ ἵνα τούτους λυπήσητε, ἀλλ᾽ ἵνα πατρικῆς ὀργῆς καί ἀγανακτήσεως ἐλευθερώσητε, οὐδ᾽ ἵνα βλάψητε, ἀλλ᾽ ἵνα τά μέγιστα αὐτούς ὠφελήσητε, τά τοῦ Θεοῦ καί Πατρός αὐτῶν θελήματα παρασκεύζοντες αὐτούς ἐκπληροῦν. Ἐάν οὕτω ποιῆτε καί οὕτω τόν ἑαυτοῦ ἀδελφόν ἕκαστος ὑμῶν διεγείρῃ πρός παροξυσμόν ἀγάπης καί καλῶν ἔργων, συντόμως ἅπαντες πρός ὕψος ἀρθῶμεν τῶν ἀρετῶν καί ἐκπληρωταί τῶν ἐντολῶν ἀναφανῶμεν τοῦ Θεοῦ καί τῆς βασιλείας τῶν οὐρανῶν ὁμοθυμαδόν ἐπιτύχωμεν ἐν αὐτῷ Χριστῷ τῷ Θεῷ ἡμῶν, ᾧ πρέπει πᾶσα δόξα εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

# Λόγος ΙΒ΄. Περί ἐγκρατείας καί ὑπομονῆς εἰς τήν ἐργασίαν τῶν ἀρετῶν ἐν τῷ καιρῷ τῆς νηστείας. Καί περί σιωπῆς. Καί ὅπως δεῖ ἐν πάσῃ τῇ νηστείᾳ διάγειν τούς ἀγωνιζομένους ἐν ἀληθείᾳ.

Ἀδελφοί καί πατέρες, ἐγώ μέν καί τῇ ψυχῇ καί τῷ σώματι ἐκ πλημμελοῦς καί ῥᾳθύμου προαιρέσεώς τε καί διαθέσεως ἀεί ἀσθενῶν, σιωπᾶν ἐβουλόμην καί μόνα τά κατ' ἐμαυτόν ἐπισκέπτεσθαι, ἕως ἄν μοι τά τοῦ χείρονος ἡττήθη καί τῷ κρείττονι λογισμῷ καθυπετάγη καί ὅλως ἀπήλαυσα τῆς εἰρήνης τοῦ πνεύματος, ἐλευθερωθείς τῆς ὀχλήσεως τοῦ χοϊκοῦ καί γεώδους φρονήματος καί εἰσελθών εἰς τόν λιμένα τῆς μακαρίας ἡμῶν ἀναπαύσεως. Ἀλλ' ἐπεί εἰς κεφαλήν τοῦ σώματος ὑμῶν τοῦ ἁγίου παρ' ὑμῶν ἐξελέγην, ἀνάγκη μοί ἐστι τοῦ παρακαλεῖν τήν ἀγάπην ὑμῶν, ἐπειδή ἡ σωτηρία τῆς ὑμῶν ἀδελφότητος παραμηθεῖταί με, ὅτι καί ἐμοῦ ἀσθενοῦντος κατά ψυχήν, ὑμεῖς ταῖς εὐχαῖς τοῦ πατρός μου καί πατρός ὑμῶν διασῴζεσθε. Τοίνυν καί μή διᾶραι στόμα οἷός τε ὤν, μόλις κἄν γράψαι τόν λόγον ἴσχυσα καί προϋπομνῆσαι τήν ὑμῶν ἀδελφότητα, ἐν παρακλήσει πολλῇ τῆς ὑμετέρας ἀγάπης δεόμενος, ἵνα ὡς ἀληθινοί δοῦλοι Χριστοῦ καί φιλάδελφοι, εὔχησθε ὑπέρ τῆς ἐμῆς ἀθλιότητος, ὡς ἄν καί αὐτός ἐγώ μεθ' ὑμῶν σῴζωμαι καί τήν ὁδόν ὁδεύων τῶν ἐντολῶν τοῦ Θεοῦ, καί ὑμῖν τοῖς ἀγαπητοῖς μου ἀδελφοῖς συναυλίζωμαι.

Παρακαλῶ οὖν ὑμᾶς καί δέομαι ὑμῶν ἐν Χριστῷ Ἰησοῦ προσέχειν ἑαυτοῖς καί ἕκαστον φρονεῖν εἰς τό σωφρονεῖν καί μή φρονεῖν παρ' ὅ δεῖ φρονεῖν, μηδέ τόν ἀμελῆ μου καί μετέωρον βίον ὁρᾶν, ἀλλά τοῖς ἴχνεσιν ἐξακολουθεῖν τοῦ Κυρίου καί Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ καί ἀποδοῦναι χρεωστοῦμεν τήν ἀπολογίαν ὡς δικαίῳ καί ἀπαραλογίστῳ κριτῇ. Δότε μοι ταύτην τήν καύχησιν, ὅτι μόνος ἐγώ εἰς ᾅδου κατενεχθείς διά τῆς ἀμελείας μου βάραθρον, ὑμᾶς μέγα βοήσας τῆς παγίδος ἐξήρπασα, καί εἰ πολά χρεωστῶ θρηνῆσαι τήν ῥᾳθυμίαν μου, ἀλλ' ἀρκοῦμαι καί μόνον βλέπων ὑμᾶς ὑψουπετομένους καί ὑπεράνω τῶν βρόχων τοῦ διαβόλου. Φυλάξατε τοιγαροῦν πάσας ἀπαραλείπτως τάς ἐντολάς τοῦ Θεοῦ, ἀγαπητοί, ἵνα σῴζησθε ὥσπερ δορκάς ἐκ βρόχων καί ὡς στρουθίον ἐκ παγίδος.

Πρώτη δέ ἐντολή ἐστι τό ἀγαπᾶν ἐξ ὅλης ψυχῆς τόν Θεόν καί ἀλλήλους, ὡς αὐτός ὁ Θεός τόν κόσμον ἠγάπησεν. Ἡ δέ ἀληθής ἀγάπη ἐν τούτοις γνωριζομένη χαρακτηρίζεται· ἐν τῷ μή φυσιοῦσθαι, ἐν τῷ μή κατεπαίρεσθαι, μηδέ ζηλοῦν τόν ἀδελφόν, ἀλλά ζηλοῦν τό καλόν, ἐν τῷ μή περπερεύεσθαι, μή γογγύζειν, μή παίζειν, μηδέ γελᾶν, μηδέ δικάζεσθαι περί μικροῦ ἤ μεγάλου, τό σύνολον, πράγματος, ἐν τῷ μή κορέννυσθαι μή μόνον βρωμάτων καί ἐδεσμάτων, ἀλλ' εἰ δυνατόν μήτε ὕδατος, καί μᾶλλον ἐν ταῖς παρούσαις ἡμέραις τῶν νηστειῶν, ἐν αἷς ὁ σπουδαίως καί ἐμπόνως μετανοῶν, τοῦ χρόνου παντός τῶν ἁμαρτημάτων αὐτοῦ λαμβάνει τήν ἄφεσιν ἄνωθεν κατά τήν θείαν Γραφήν. Οἴδατε γάρ ὅτι ἡ θέρμη τῆς μετανοίας καί ἐκ βάθους καρδίας

ἀναπεμπομένων δακρύων ἡ ζέσις δίκην πυρός ἀναχωνεύει καί καταφλέγει τόν ῥύπον τῆς ἁμαρτίας καί τήν μολυνθεῖσαν ψυχήν καθαράν ἐπεργάζεται· οὐ μόνον δέ, ἀλλά καί φωτός χύσιν διά τῆς τοῦ Πνεύματος ἐπιδημίας δαψιλῶς αὐτῇ καί φιλοτίμως χαρίζεται, ὡς ἐντεῦθεν γίνεσθαι αὐτήν μεστήν ἐλέους καί καρπῶν ἀγαθῶν. Ταύτῃ τοιγαροῦν χρησώμεθα, δέομαι, καί ἐν ταύτῃ τῇ τρίτῃ τῶν νηστειῶν ἑβδομάδι, πατέρες καί ἀδελφοί, καί ἐν ταῖς μετ᾽ αὐτήν, θέρμην ἐπί θέρμῃ καί σπουδήν ἐπί σπουδῇ προστιθέντες τό καθ᾽ ἡμέραν, ἕως οὗ φθάσωμεν εἰς τήν Κυρίαν τοῦ Πάσχα, λελαμπρυσμένοι τάς ψυχάς ὁμοῦ καί τά σώματα.

Ἰδού γάρ, ὡς ὁρᾶτε, ὅτι Θεοῦ βοηθείᾳ καί τοῦτο τό στάδιον τῆς δευτέρας τῶν νηστειῶν ἑβδομάδος εὐψύχως καί μετά ζεούσης τῆς προθυμίας διήλθομεν. Μαρτυρῶ γάρ ὑμᾶς μηδέν ὑστερηκέναι τῶν τῆς νηστείας καλῶν, ἀλλά καί παννύχους τάς ψαλμῳδίας μετά πάσης προσοχῆς πεποιήκατε καί τήν ἐγκράτειαν εὔτονον τετηρήκατε καί τηρεῖτε, τοῖς παρατιθεμένοις λαχάνοις καί ὀσπρίοις ἀρκούμενοι. Ἐγώ δέ τινας ἐξ ὑμῶν ἐπίσταμαι, καί αὐτῶν τῶν εὐτελῶν τῆς τραπέζης βρωμάτων, συντετριμμένῳ τῷ πνεύματι καί ταπεινῷ τῷ φρονήματι καθεζομένους ἐν ταύτῃ μέσον ὑμῶν, ἀπεχομένους ἀναξίους ἑαυτούς ἡγουμένους τῆς αὐτῶν μεταλήψεως. Πρός τούτοις, ἑαυτοῖς καί τοῖς ἐργοχείροις ὑμῶν προσέχοντες, ἀπαρρησίαστοι μετά σιωπῆς μεμενήκατε, ὅλοι κατανύξεως τήν ψυχήν δακρύων πεπληρωμένοι, εὐχῶν, δεήσεως, κόπου πνευματικοῦ ἐκ τῶν συνεχῶς γινομένων γονυκλισιῶν καί τήν καλήν ἀλλοίωσιν ἠλλοιώθητε, ἀσκητικωτάτην καί ὡραίαν τήν ὄψιν κτησάμενοι.

Νῦν οὖν ἐπεί πρός τό ἑξῆς ἀποδύσασθαι μέλλομεν τῆς νηστείας, ἀγωνισώμεθα, παρακαλῶ, τηρῆσαι καί ἐν ταύτῃ τῇ ἱερᾷ ἑβδομάδι τῆς καλλίστης νηστείας τόν νόμον καί τόν ἴδον θέσθαι ταῖς προλαβούσαις ἀγῶνα, ἐπειδή πολλῆς ἡμῖν χρεία τῆς νήψεως, πολλῆς τῆς σπουδῆς, ἵνα μή ὡς οἱ βιωτικοί καί ἡμεῖς τάς ἡμέρας ἡμῶν διανύσωμεν. Οἴδατε γάρ ὅτι, τῆς πρώτης παρελθούσης ἑβδομάδος, τήν ἁγίαν ἐκεῖνοι τεσσαρακοστήν διελθεῖν οἴονται ἅπασαν· καί οὐ μόνον τοῦτο ὑπολαμβάνουσιν, ἀλλά καί διαρρήδην πρός ἀλλήλους καί πρός ἅπαντας λέγουσιν. Ἡμῖν δέ, ἀδελφοί μου, φόβος καί φόβων ὁ μέγιστος, μήπως ὡς οὗτοι καί ἡμεῖς ὑπολάβωμεν καί πρός ἀλλήλους διαλεξώμεθα καί ἀρνηταί φανῶμεν τοῦ ἐπαγγέλματος. Οὐ μόνον γάρ ἡμῖν τοῖς φεύγουσι τόν κόσμον καί σταυρωθεῖσιν αὐτῷ καί ἀνατεθεῖσιν ὁλικῶς Θεῷ ὁ παρών καιρός εἰς ἐγκρατείας νόμον ἐδόθη, ἀλλά καί ὅλος ὁ βίος τῆς παρούσης ἡμῶν ζωῆς, ἐφ᾽ ᾧ καί ἀπαραιτήτως χρεωστοῦμεν ἐγκρατεύσθαι.

Πῶς δέ οὐ χρεωστοῦμεν τοῦτο ποιεῖν ἐν παντί τῷ χρόνῳ, οἱ πεινᾶσαι καί διψῆσαι καί γυμνητεῦσαι καί πάντα παθεῖν καί ἐν χαρᾷ ὑπενεγκεῖν συνταξάμενοι, καί μᾶλλον ἄρτι ἐν τῷ καιρῷ τῶν ἀγώνων τῆς τεσσαρακοστῆς; Εἰ δέ οὐχ οὕτω ποιεῖν βουλόμεθα ἐν πάσαις ταῖς ἡμέραις ἡμῶν τῆς ζωῆς, ἀλλά γελᾶν καί ἀργολογεῖν καί παίζειν καί ἀντιλέγειν θέλομεν, τί διαφέρομεν τῶν ἀπίστων καί ἐθνικῶν ἀνθρώπων; Ὄντως οὐδέν. Εἰ γάρ τό ἐπιζητεῖν καί μεριμνᾶν περί ἄρτου καί οἴνου καί ἱματίου ὁμοίους ἡμᾶς τῶν ἐθνικῶν

ἀπεργάζεται, τίνων ἴσους ποιήσουσιν ἡμᾶς τά εἰρημένα, αἰχρότερα τούτων ὄντα καί ἐφαμαρτότερα; Οὐχί πληρωθήσεται ἐφ' ἡμῶν τό ὑπό τοῦ προφήτου εἰρημένον· «*Παρασυνεβλήθη τοῖς κτήνεσι τοῖς ἀνοήτοις καί ὡμοιώθη αὐτοῖς*»;

Πειθαρχήσωμεν, ἀδελφοί, τῷ βοῶντι καθ' ἑκάστην πρός ἡμᾶς Θεῷ καί λέγοντι διά τῶν ἀποστόλων αὐτοῦ· «*Οὔτε ἐάν φάγωμεν περισσεύομεν, οὔτε ἐάν μή φάγωμεν ὑστερούμεθα*», καί πάλιν· «*Μή μεριμνήσητε τῇ ψυχῇ ὑμῶν τί φάγητε ἤ τί πίητε ἤ τί ἐνδύσησθε, ζητεῖτε δέ πρῶτον τήν βασιλείαν τοῦ Θεοῦ καί τήν δικαιοσύνην αὐτοῦ καί ταῦτα πάντα προστεθήσεται ὑμῖν*». Ἵνα δέ μή ἔχῃ τις λέγειν· «*Ἐάν βραδύνῃ τοῦ δοῦναι καί οὐκ ἔχω τι φαγεῖν, τί ποιήσομαι; Τά πετεινά, εἶπε, βλέπετε τοῦ οὐρανοῦ, πῶς οὐ σπείρει, οὐδέ θερίζει, οὐδέ συνάγουσιν εἰς ἀποθήκας, καί ὁ Πατήρ ὑμῶν ὁ οὐράνιος τρέφει αὐτά*», καί ἐπάγω φησίν· «*Οὐχί πολλῶν στρουθίων διαφέρετε ὑμεῖς, ὀλιγόπιστοι;*». Ὡς ἄν δέ μή γογγύζωμεν, ὀλιγοψυχοῦντες ἕνεκεν βρώματος ἤ πόματος, διαρρήδην βοᾷ πρός ἡμᾶς· «*Μακάριοι οἱ πεινῶντες καί διψῶντες τήν δικαιοσύνην, ὅτι αὐτοί χορτασθήσονται*».

Εἰ οὖν πιστεύεις Χριστῷ καί ἀψευδῆ τοῦτον εἶναι ὁμολογεῖς, ὅτε πεινάσεις ἤ διψήσεις καί οὐκ ἔχεις τι τοῦ φαγεῖν ἤ πιεῖν, ζητήσεις δέ τόν κελλαρίτην ἄρτον ἤ οἶνον ἤ βρώσιμόν τι καί οὐ παρέξει σοι ὑπό δουλειῶν ἐμποδιζόμενος ἴσως, ἐνθυμήθητι μνησθείς τῶν τοῦ Κυρίου λόγων καί εἶπον πρός ἑαυτόν· «*Πεινῶ μέν καί διψῶ, ἀλλ' ὑπομένων ὑπομείνω τόν Κύριον καί αὐτός ποιήσει κατά τήν ἀσθένειάν μου καί οὐκ ἐγκαταλείψει με*». Καί οὕτως ὑπόμεινον, ἀδελφέ, καί πολύν ἕξεις τόν μισθόν παρά τῷ Θεῷ. Ἀλλά καί ἐπί πᾶσιν ἄλλοις τοῖς ὑπαντῶσί σοι πειρασμοῖς οὕτω ποίει καί θαυμαστωθήσῃ, ἔν τε τῇ παρούσῃ ζωῇ καί ἐν τῇ μελλούσῃ μετά τῶν ἁγίων καταταγήσῃ μαρτύρων. Πόσοι τῶν ἐν Χριστῷ ἡμῶν ἀδελφῶν ἐπιθυμοῦσι πολάκις, ἐν μιᾷ κατακείμενοι γωνίᾳ, καί αὐτοῦ τοῦ ψυχροῦ ὕδατος καί εὐχαριστοῦσιν ἴσως τῷ θεῷ καί οὐδέν ἀγανακτοῦντες λέγουσι βλάσφημον, ἡμεῖς δέ Θεοῦ χάριτι διά τῶν πλουσίων αὐτοῦ δωρεῶν πᾶσαν τήν χρείαν τοῦ σώματος ἀνελλιπῆ ἔχομεν και περισσόν ἔχομεν. Ὅταν οὖν τις ἐξ ἡμῶν μηδέν ὅλως ἔχῃ, γογγύσῃ δέ, κατακρίνεται ὡς μή ἔχον ὑπομονήν· ὅταν δέ καί πολύ ἔχῃ, ἐπί δέ τῇ τοῦ ὀλίγου στερήσει φιλονεικίας καί μάχας ἐγείρῃ, ἔτι δέ καί βλάσφημα φθέγγεται ῥήματα, ποίας ὁ τοιοῦτος συγγνώμης ἄξιος ἔσται; Ἀλλά ταῦτα λέγων, οἶδα ὅτι ἐμαυτόν κατακρίνω καί ἔσονται οἱ λόγοι μου τάχα εἰς κατάκρισίν μου καί ἔλεγχον. Ὅμως ἔστωσαν, ἀξιῶ, καί εἰς ὑμετέραν ὑπόμνησιν.

Τοιγαροῦν καί ἀναμνημονεύοντες τῆς ὠφελείας τῶν παρελθουσῶν ἡμερῶν τῆς νηστείας, πῶς αὐτάς καί μεθ' ὅσης τῆς σπουδῆς καί τῆς θέρμης διήλθητε, οὕτω καί πᾶσαν, δέομαι, τήν ἁγίαν τεσσαρακοστήν σπουδάσατε διελθεῖν, ἀναλογιζόμενοι τήν καλήν ὑμῶν ἀναστροφήν, οἵαν εὐλάβειαν, οἵαν ταπείνωσιν, ἀλλά σιωπήν, ἀλλά σπουδήν εἴς τε τόν κανόνα τῆς θείας συνάξεως καί εἰς τό ἐργόχειρον ὑμῶν ἕκαστος εἴχετε. Ναί, παρακαλῶ, μή ἐπιλάθησθε τῆς παθοκτόνου νηστείας, τῆς καθαρτικῆς ἐγκρατείας καί τά αὐτά ποιεῖν μή κατοκνήσητε, ἀδελφοί, ἀλλ' εἰ καί βρωμάτων ἐναλλαγή γενέσθαι

πολλάκις συμβῇ καί ποθεν τύχοιτε παρακλήσεως, τήν γνώμην ἦτε ἀσάλευτοι καί τήν κατάστασιν ἀμετάβλητοι, μᾶλλον μέν οὖν πλεῖον τῆς συνήθους φαγόντες τροφῆς, περισσοτέρως καί εἰς τό ἔργον τοῦ Θεοῦ κοπιᾶσαι σπουδάσατε, ὅπως μή γένηται ὑμῖν, ἀντί εὐχαριστίας καί κέρδους, ῥαθυμίας καί ζημίας οὐ τῆς τυχούσης ἡ παράκλησις πρόξενος. Ναί, ἀδελφοί μου, νήψατε καί καθώς εἶπον ὑμῖν, κατά τήν παρελθοῦσαν ἑβδομάδα καί τήν εἰσιοῦσαν ταύτην ἐκτός βρώματος ἰχθύων κρατήσατε καί ἐν φόβῳ Θεοῦ ἀναστρέφεσθε, μή καταλιμπάνοντες τάς διακονίας ὑμῶν καί τά ἐργόχειρα καί ὧδε κἀκεῖσε περιπατοῦντες καί μετεωριζόμενοι καί ἐκδότους ἑαυτούς ποιοῦντες τῷ τῆς ἀκηδίας δαίμονι. Ἀλλ’ εἴ πού τις ἐξ ὑμῶν διερχόμενος ἕτερον ἱστάμενον ἤ καθήμενον εὕρῃ τῶν ἀδελφῶν, σπουδαίως διερχόμενος βαλέτω μετάνοιαν, καί ἴσως ἔλθῃ καί ὁ ἀργός εἰς συναίσθησιν καί ἀφ’ ἑαυτοῦ κἀκεῖνος ἐντραπείς ἐπί τό ἔργον ἐλεύσεται καί, οὕτως ἕκαστος ὑμῶν ποιῶν, ἐκφύγητε τό τῆς ἀργίας καί ἀργολογίας κατάκριμα.

Οὐκ ἀκούετε τί Ζωσιμᾶς ὁ μακάριος ἐκεῖνος λέγει, ὁ τῆς ὁσίας Μαρίας τόν βίον ἐξηγησάμενος, περί τῶν ἁγίων ἀνδρῶν ἐκείνων, τῶν ἐν τῇ μονῇ ἐν ᾗ κἀκεῖνος τηνικαῦτα κατήντησε Θεοῦ προνοίᾳ, πῶς τῆς μονῆς ἐξερχόμενοι πᾶσαν κατά τήν ἔρημον τήν τεσσαρακοστήν ἐποίουν, μηδέποτε ὁ εἷς τῷ ἑτέρῳ ἑνούμενος, ἀλλ’ εἴ που καί παρά τινος αὐτῶν ὑπηντήθη, ἐκκλίνων ἐξέφευγε καί οὐδέ πλησιάσαι ἀλλήλοις ἠνείχοντο; Οὕτω καί ὑποστρέφοντες ἐν τῇ μονῇ οὐδείς, ὡς φησίν, ἠρώτα ποτέ τόν ἕτερον τί εἶδεν ἤ τί πεποίηκεν εἰς τήν ἔρημον, ἀλλ’ ὥσπερ τινές ξένοι καί παρεπίδημοι καί ταῖς φωναῖς ἑτερόγλωσσοι, οὕτως ἅπαντες ἔζων καί οὕτως ἐπολιτεύοντο· δι’ οὐδέν δέ ἄλλο τοῦτο πάντως ἐποίουν, ὡς οἶομαι, εἰ μή τό ὅλον ἀκριβαζόμενοι μή ἐκφέρειν λόγον ἀργόν ἀπό τοῦ στόματος. Εἰ τοίνυν τοσαῦτα ἔτη καί τοσαύτας ἡμέρας ἐκεῖνοι ἀλλήλοις μή ὁμιλοῦντες τό σύνολον ἐποίουν, τί πεισόμεθα ἡμεῖς οἱ μηδέ τάς ὀλίγας ταύτας ἡμέρας ἀπό τῶν συντυχιῶν καί ἀργολογιῶν φυλαττόμενοι; Καί τί λέγω ἡμέρας, ὅπου γε οὐδέ ὥρας μιᾶς καιρόν ἑαυτούς κρατῆσαι δυνάμεθα; Καί τί ποιήσομεν, ἀδελφοί μου καλοί, ἐάν αἴφνης οὕτως ἐχόντων ἡμῶν ὁ κριτής ἁπάντων καί Θεός παραγένηται, ὁ καί ὑπέρ ἀργοῦ λόγου λόγον ἀπαιτῶν ἡμᾶς ἐν ἡμέρᾳ τῆς κρίσεως; Πῶς δέ καί τῶν ἄλλων παθῶν κρατήσομεν, γλῶσσαν ἀκράτητον ἔχοντες; Ποῖον γάρ, εἰπέ μοι, ἐλαφρότερον ἐστι τούτου τοῦ πάθους τῶν λοιπῶν ἁπάντων παθῶν; Ἡ σάρξ, ἔχουσα τήν φυσικήν ἐπιθυμίαν καί πύρωσιν, κατά τοῦ πνεύματος ἐπανίσταται καί πολεμεῖ κραταιῶς τήν ψυχήν, ἡ γαστήρ θέλει βρωμάτων χορτάζεσθαι, εἰς τοῦτο γάρ καί ἐγένετο· εἰ τοίνυν τῆς γλώσσης τήν συνήθειαν, ὅπερ ἐστίν εὔκολον καί κοῦφον ἡμῖν, οὐ κρατήσομεν, τῶν χαλεπῶν τούτων καί μεγάλων, τῶν πολλήν ἐχόντων ἰσχύν μετά τῆς φύσεως καί αὐτῆς, εἰπεῖν, τῆς ἐπιθυμίας καί ἡδονῆς, πῶς ἰσχύσομεν ἐγκρατεῖς γενέσθαι ποτέ;

Ἀρχή οὖν ἔστω ἀπό σήμερον λοιπόν ἡμῖν, ἀδελφοί, καί ὅσον δυνάμεως ἔχομεν, δράμωμεν, ἵνα ὥσπερ τινές χρυσόπτεροι ἀετοί, κοῦφοι τό Πάσχα Κυρίου καταλάβωμεν, ἔνθα πρόδρομος ἡμῶν εἰσῆλθεν Χριστός ὁ Θεός ἡμῶν, πάντα τά τυραννοῦντα ἡμᾶς πάθη ὄπισθεν ἡμῶν ἀπορρίψαντες. Θήσομεν δέ, εἰ δοκεῖ, αὐτοί ἡμεῖς νόμον κοινῇ βουλῇ ἐν μέσῳ ἡμῶν αὐτῶν, ὡσάν ἐκτός σαββάτου καί κυριακῆς εἰ δύο εὑρεθῶσιν ἀργίᾳ

ἔκδοτοι καί ἱστάμενοι συντυχίας ἀνωφελεῖς, ὅλως ἔχουσι μηδενός κατά τήν ἡμέραν ἐκείνην ἑτέρου, εἰ μή μόνον ἄρτου ξηροῦ μετά ἅλατος καί ὕδατος μεταλαμβάνειν ψυχροῦ ἐν τῷ καιρῷ τοῦ ἀρίστου, ἱσταμένους δηλονότι καί ἐσθίοντας περί τό κάτω μέρος τῆς τραπέζης. Καί τοῦτο νόμον ἔχοντες ἀπαράβατον, ἀπό μέν ἀργολογίας καί ἐρεσχελίας ἑαυτούς ἀμέμπτους τηρήσητε, τόν Θεόν δέ δι' ὅν θύραν τίθεσθε τοῖς χείλεσιν ὑμῶν καί φυλακήν ὡσαύτως τοῖς στόμασι θεραπεύσετε, καί ἐμέ τόν ἀνάξιον πατέρα ὑμῶν μεγάλως ἐν τούτῳ παρακαλέσετε, καί θυμηδίας πληρώσετε τήν ταπεινήν μου ψυχήν, καί τάς ψυχάς ὑμῶν οὐ μικρῶς ὠφελήσητε, τύπον ἀγαθόν καί συνήθειαν θαυμαστήν ἑαυτούς διά τήν τοῦ Θεοῦ ἀγάπην διδάσκοντες. Ἔπειτα δοξασθήσεσθε καί θαυμασθήσεσθε παρά πάντων εἰκότως ἀνθρώπων καί δι' ὑμῶν ὁ Θεός, ὅτι εἰς τήν γενεάν ταύτην ὑμεῖς εὑρεθήσεσθε τῶν ἁγίων τούς βίους μιμούμενοι, ὅπερ οὐκ οἶμαι νῦν εὐκόλως εὑρεθῆναι ἐν οἷς τόποις τέως ἐσμέν καί βλέπομεν καί περί τινων ἀκούομεν μοναχῶν καί τῶν μοναστηρίων αὐτῶν.

Διά τοῦτο παρακαλῶ τήν ὑμετέραν ἀγάπην, πατέρες μου ἅγιοι καί δοῦλοι Θεοῦ, μή παρακούσητε τούς ἐμούς λόγους τοῦ ἀναξίου πατρός ὑμῶν, μηδέ ὡς λῆρος ἐνώπιον ὑμῶν φανῶσι τά ῥήματά μου. Εἰ γάρ καί ἀσθενής εἰμι καί μυρίων γέμων ἁμαρτημάτων, ἀλλ' ἴδετε καί σκοπήσατε ἀκριβῶς ὅτι οὐδέν ὑμῖν ἔξωθεν τῶν τοῦ Θεοῦ ἐντολῶν καί τῶν θείων Γραφῶν συνεβούλευσα. Ποιήσατε οὖν ἀρχήν καλήν καί δότε μοι προθυμίαν μικράν, ἵνα εὐχαῖς ὑμῶν ἁγίαις ἐνισχύσας, ἀνανεύσω καί τρίψω μου τήν ὄψιν καί τούς ὀφθαλμούς νίψωμαι καί τοῦ πολλοῦ ὕπνου τῆς ῥαθυμίας ἐξεγερθήσωμαι καί ἀντί τῶν ἀγαθῶν ὧν εἰς ἐμέ ποιεῖτε τόν εὐτελῆ δοῦλον ὑμῶν, εἰ καί μή ἀξίως, ἀλλά γε τό κατά δύναμιν, λόγοις ἀνταμείψωμαι ἀγαθοῖς, ἐξ ὧν ἡ τοῦ Θεοῦ χάρις δίδωσιν ἐν ἀνοίξει τοῦ ἀκαθάρτου μου στόματος, τήν ἀγάπην ὑμῶν. Ναί, ἀδελφοί μου, δέομαι ὑμῶν, μή παρίδητέ μου τήν δέησιν, ἀλλ' ὥσπερ ἐξ ἡμιθανοῦς καί παντελῶς ἀλάλου ἐδώκατέ μοι λέγειν ἐνώπιον τῆς ὑμῶν τιμιότητος, οὕτω μοι χαρίσασθε καί τό θέλημα ὑμῶν, ὡς ἄν διά τῆς αὐτοῦ ἐκκοπῆς ὑμεῖς μέν ζήσεσθε ζωήν τῶν μαρτύρων καί ἀθλοφόρων Χριστοῦ, ἐγώ δέ ἀπό τῆς σύμερον ἔτι καί ἔτι προσθήσω τιθέναι ὑπέρ ὑμῶν ὅλην μου τήν ψυχήν σύν τῷ σώματι εἰς ἑκούσιον θάνατον, ὅ καί εὔχομαι ἐφόδιόν μοι γενέσθαι πρός τήν ἐκεῖθεν ζωήν ἀπαίροντι ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καί τό κράτος σύν τῷ Πατρί καί τῷ Ἁγίῳ Πνεύματι νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

# Λόγος ΙΓ ΄. Περί τῆς τοῦ Χριστοῦ ἀναστάσεως. Καί ὁποία τίς ἐστιν ἤ πῶς ἐν ἡμῖν γίνεται ἡ ἀνάστασις τοῦ Χριστοῦ καί ἐν αὐτῇ ἡ ἀνάστασις τῆς ψυχῆς. Καί τί τό μυστήριον ταύτης τῆς ἀναστάσεως. Ἐλέχθη μετά τό Πάσχα τῇ δευτέρᾳ τῆς δευτέρας ἑβδομάδος τοῦ Πάσχα.

Ἀδελφοί και πατέρες, ἤδη τό Πάσχα, ἡ χαρμόσυνος ἡμέρα, ἡ πάσης εὐφροσύνης καί θυμηδίας, τῆς τοῦ Χριστοῦ ἀναστάσεως κατά περίοδον τοῦ χρόνου παραγινομένης ἀεί μᾶλλον δέ καθ' ἑκάστην καί ἀεννάως γινομένης ἐν τοῖς εἰδόσι τό μυστήριον ταύτης, χαρᾶς καί ἀγαλλιάσεως ἀφάτου ἐπλήρωσε τάς καρδίας ἡμῶν, λύσασα ἐπί τό αὐτό τῆς πανσέπτου νηστείας τόν κόπον ἤ μᾶλλον εἰπεῖν, τελειώσασα καί ἅμα παρακαλέσασα ἡμῶν τάς ψυχάς, διό καί πρός ἀνάπαυσιν καί εὐχαριστίαν πάντας ὁμοῦ τούς πιστούς προσκαλεσαμένη, ὡς ὁρᾶτε, διῆλθεν. Εὐχαριστήσωμεν οὖν τῷ Κυρίῳ, τῷ διαβιβάσαντι ἡμᾶς τό πέλαγος τῆς νηστείας καί είς τόν λιμένα τῆς αὐτοῦ ἀναστάσεως ἀγαγόντι μετ' εὐθυμίας ἡμᾶς· εὐχαριστήσωμεν αὐτῷ, οἵ τε καλῶς καί προθύμως μετά ζεούσης προθέσεως καί ἀγώνων τῆς ἀρετῆς τόν δρόμον διανύσαντες τῆς νηστείας καί οἱ ἀσθενήσαντες περί ταῦτα δι' ὀλιγωρίαν καί ψυχῆς ἀσθένειαν, ἐπειδή αὐτός ἐστιν ὁ καί τοῖς σπουδαίοις ὑπέρ ἐκ περισσοῦ διδούς τούς στεφάνους καί τούς ἀξίους μισθούς τῶν ἔργων αὐτῶν, καί συγγνώμην αὖθις τοῖς ἀσθενεστέροις, ὡς ἐλεήμων καί φιλάνθρωπος, ἀπονέμων. Ὁρᾷ γάρ τάς διαθέσεις ἡμῶν τῶν ψυχῶν καί τάς προαιρέσεις μᾶλλον ἤ τούς κόπους τοῦ σώματος, δι' ὧν γυμνάζομεν πρός ἀρετήν ἑαυτούς, ἤ πλεῖον τήν ἄσκησιν προθυμίᾳ ψυχῆς ἐπιτείνοντες ἤ ἔλαττον δι' ἀσθένειαν σώματος ταύτην τῶν σπουδαίων ποιούμενοι, καί κατά τάς προθέσεις ἡμῶν ἀντιμετρεῖ τά ἔπαθλα καί τά τοῦ Πνεύματος ἑκάστῳ χαρίσματα, ποιῶν ἤ περίφημον καί ἔνδοξον τῶν σπουδαίων τινά ἤ ἐῶν ταπεινόν ἔτι καί δεόμενον ἐπιπονωτέρας καθάρσεως.

Ἀλλά γάρ ἴδωμεν, εἰ δοκεῖ, καί καλῶς ἐξετάσωμεν, τί τό μυστήριον τῆς τοῦ Χριστοῦ τοῦ Θεοῦ ἡμῶν ἀναστάσεως, ὅπερ ἀεί τοῖς βουλομένοις ἡμῖν μυστικῶς γίνεται, καί πῶς ἐν ἡμῖν ὁ Χριστός ὡς ἐν μνήματι θάπτεται καί πῶς ἑνούμενος ταῖς ἡμετέραις ψυχαῖς ἐξανίσταται, συνανιστῶν καί ἡμᾶς ἑαυτῷ. Ἔστι δέ ὁ σκοπός τοῦ λόγου τοιοῦτος.

Ὁ Χριστός καί Θεός ἡμῶν, ἐπί σταυροῦ κρεμασθείς καί προσηλώσας ἐν αὐτῷ τήν ἁμαρτίαν τοῦ κόσμου, θανάτου γευσάμενος, κατῆλθεν ἐν τοῖς κατωτάτοις τοῦ ᾅδου. Ὥσπερ οὖν ἐξ ᾅδου πάλιν ἀνελθών εἰς τό ἄχραντον ἑαυτοῦ σῶμα εἰσῆλθεν, οὗ κατελθών ἐκεῖσε οὐδαμῶς ἐχωρίσθη, καί εὐθύς ἀνέστη ἐκ τῶν νεκρῶν καί μετά ταῦτα ἀνῆλθεν εἰς οὐρανούς μετά δόξης πολλῆς καί δυνάμεως, οὕτω δή καί νῦν ἐξερχομένων ἡμῶν ἐκ τοῦ κόσμου καί εἰσερχομένων διά τῆς τῶν παθημάτων τοῦ Κυρίου ἐξομοιώσεως ἐν τῷ τῆς μετανοίας καί ταπεινώσεως μνήματι, αὐτός ἐκεῖνος ἐξ οὐρανῶν κατερχόμενος, εἰσέρχεται ὡς ἐν τάφῳ ἐν τῷ ἡμῶν σώματι, καί ἑνούμενος ταῖς ἡμετέραις

ψυχαῖς ἐξανιστᾷ νεκράς οὖσας ὁμολογουμένως αὐτάς, καί τηνικαῦτα βλέπειν ἐμπαρέχει τῷ οὕτως ἀναστάντι σύν τῷ Χριστῷ τήν δόξαν τῆς μυστικῆς αὐτοῦ ἀναστάσεως.

Ἀνάστασις οὖν Χριστοῦ ἡ ἡμετέρα ὑπάρχει ἀνάστασις, τῶν κάτω κειμένων. Ἐκεῖνος γάρ μή πεσών εἰς ἁμαρτίαν ποτέ, καθά γέγραπται, μηδέ ἀλλοιωθείς τῆς ἰδίας δόξης κἄν ὁπωσοῦν, πῶς ἀναστήσεταί ποτε ἤ δοξασθήσεται, ὁ ἀεί ὤν ὑπερδεδοξασμένος καί ὑπεράνω πάσης ἀρχῆς καί ἐξουσίας διαμένων ὡσαύτως; Ἀνάστασις καί δόξα Χριστοῦ ἡ ἡμετέρα, καθάπερ εἴρηται, δόξα ὑπάρχει, ἡ διά τῆς ἐν ἡμῖν αὐτοῦ ἀναστάσεως γινομένη καί δεικνυμένη καί ὁρωμένη ἡμῖν. Ἅπαξ γάρ οἰκειωσάμενος τά ἡμέτερα, ἅ ποιεῖν ἐν ἡμῖν αὐτός, ταῦτα ἑαυτῷ ἐπιγράφεται. Ἀνάστασις δέ ψυχῆς ἡ ἕνωσίς ἐστι τῆς ζωῆς· ὥσπερ γάρ τό νεκρόν σῶμα, εἰ μή δέξεται ἐν ἑαυτῷ τήν ζῶσαν ψυχήν καί ἀμίκτως ταύτῃ μιγῇ, ζῆν οὐ λέγεται οὐδέ δύναται, οὕτως οὐδέ ψυχή μόνη ζῆν αὐτή καθ' ἑαυτήν δύναται, εἰ μή ἀρρήτως καί ἀσυγχύτως ἑνωθῇ Θεῷ, τῇ ὄντως αἰωνίᾳ ζωῇ. Πρό γάρ τῆς ἐν γνώσει καί ὁράσει καί αἰσθήσει ἑνώσεως νεκρά ἐστιν, εἰ καί νοερά ὑπάρχει καί τῇ φύσει ἀθάνατος. Οὔτε γάρ γνῶσις δίχα ὁράσεως, οὔτε ὅρασις δίχα αἰσθήσεως. Ἔστι δέ τό λεγόμενον οὕτως· ὅρασις καί ἐν τῇ ὁράσει γνῶσις καί αἴσθησις (ἐν τοῖς πνευματικοῖς δέ τοῦτό φημι, ἐν γάρ τοῖς σωματικοῖς καί δίχα ὁράσεως αἴσθησις γίνεται). Οἷόν τι λέγω; Τυφλός εἰς λίθον τόν πόδα κρούων αἰσθάνεται, ὁ δέ νεκρός οὔ· ἐν τοῖς πνευματικοῖς δε εἰ μή εἰς θεωρίαν ἔλθῃ ὁ νοῦς τῶν ὑπέρ ἔννοιαν, τῆς μυστικῆς ἐνεργείας οὐκ αἰσθάνεται. Ὁ οὖν πρό τῆς θεωρίας τῶν ὑπέρ νοῦν καί λόγον καί ἔννοιαν ἐπαισθάνεσθαι λέγων ἐν τοῖς πνευματικοῖς, τῷ τάς ὄψεις πηρῷ ἔοικεν, ὅς ἐν οἷς μέν πάσχει ἀγαθοῖς ἤ κακοῖς ἐπαισθάνεται, ἀγνοεῖ δέ τά ἐν χερσίν ἤ ποσί καί τά παραίτια ζωῆς ἤ θανάτου τούτῳ γενόμενα· τά γάρ ἐπερχόμενα αὐτῷ κακά ἤ ἀγαθά οὐδαμῶς ἐπαισθάνεται τῆς ὀπτικῆς ἐστερημένος δυνάμεως καί αἰσθήσεως, ὅθεν καί πολλάκις τήν ῥάβδον ἐπάρας πρός τήν τοῦ ἐχθροῦ ἄμυναν, ἀντ' ἐκείνου ἔσθ' ὅτε τόν ἑαυτοῦ φίλον μᾶλλον ἐτύπτησε, τοῦ ἐχθροῦ πρό τῶν ὀφθαλμῶν αὐτοῦ ἱσταμένου καί διαγελῶντος αὐτόν.

Ἀνάστασιν Χριστοῦ οἱ πλείονες μέν τῶν ἀνθρώπων πιστεύουσιν, ὀλίγοι δέ λίαν εἰσίν οἱ καί ταύτην βλέποντες καθαρῶς, οἱ δέ γε μή θεασάμενοι οὐδέ προσκυνεῖν δύνανται, ὡς ἅγιον καί Κύριον, τόν Χριστόν Ἰησοῦν· «*Οὐδείς γάρ, φησί, δύναται εἰπεῖν Κύριον Ἰησοῦν, εἰ μή ἐν Πνεύματι Ἁγίῳ*», καί ἀλλαχοῦ· «*Πνεῦμα ὁ Θεός, καί τούς προσκυνοῦντας αὐτόν ἐν πνεύματι καί ἀληθείᾳ δεῖ προσκυνεῖν*». Οὐδέ γάρ λέγει τό ἱερώτατον λόγιον, ὅ καθ' ἑκάστην ἐπί στόματος περιφέρομεν· Ἀνάστασιν Χριστοῦ πιστεύσαντες, ἀλλά τι; «*Ἀνάστασιν Χριστοῦ θεασάμενοι, προσκυνήσωμεν ἅγιον Κύριον Ἰησοῦν, τόν μόνον ἀναμάρτητον*». Πῶς οὖν προτρέπεται νῦν ἡμᾶς τό Πνεῦμα λέγειν τό Ἅγιον - ὡς αὐτήν ἰδόντες, ἥνπερ οὐκ εἴδομεν· «*Ἀνάστασιν Χριστοῦ θεασάμενοι*», ἅπαξ πρό χιλίων ἐτῶν ἀναστάντος τοῦ Χριστοῦ καί μηδέ τότε τοῦτον ἀνιστάμενον ἰδόντος τινός; Ἆρα μή ψεύδεσθαι ἡμᾶς βούλεται ἡ θεία Γραφή; Ἄπαγε, ἀλλ' ἀληθεύειν μᾶλλον παρεγγυᾷ, ὡς ἐν ἑνί ἑκάστῳ ἡμῶν τῶν πιστῶν ἐγγινομένης δηλονότι τῆς Χριστοῦ ἀναστάσεως καί τοῦτο οὐχ ἁπλῶς, ἀλλά καθ' ὥραν, ὡς εἰπεῖν, αὐτοῦ τοῦ Δεσπότου Χριστοῦ ἐν ἡμῖν ἐξανισταμένου, λαμπροφοροῦντος καί ἀπαστράπτοντος τάς τῆς

ἀφθαρσίας καί Θεότητος ἀστραπάς. Ἡ φωτοφόρος γάρ παρουσία τοῦ Πνεύματος ὑποδεικνύει, μᾶλλον δέ αὐτόν ἐκεῖνον τόν ἀναστάντα ὁρᾷν χαρίζεται. Διό καί λέγομεν· «*Θεός Κύριος καί ἐπέφανεν ἡμῖν*», καί τήν δευτέραν αὐτοῦ ὑποσημαίνοντες παρουσίαν ἐπιφέροντες οὕτω λέγομεν· «*Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου*». Οἷς οὖν ἐπιφανῇ ὁ Χριστός ἐξαναστάς, πάντως πνευματικῶς αὐτοῖς τοῖς πνευματικοῖς ὄμμασι ὁρώμενος δείκνυται. Ὅταν γάρ ἐν ἡμῖν διά τοῦ Πνεύματος γένηται, ἀνιστᾷ ἡμᾶς ἐκ νεκρῶν καί ζωοποιεῖ καί αὐτόν ἐν ἡμῖν ὅλον ὁρᾷν ζῶντα δίδωσι, τόν ἀθάνατον καί ἀνώλεθρον, οὐ μόνον δέ, ἀλλά καί συνανιστῶντα καί συνδοξάζοντα ἡμᾶς ἑαυτῷ τρανῶς γινώσκειν χαρίζεται, καθώς πᾶσα θεία Γραφή μαρτυρεῖ.

Ταῦτα τοίνυν εἰσί τά τῶν χριστιανῶν θεῖα μυστήρια, αὕτη ἡ ἐγκεκρυμμένη τῆς πίστεως ἡμῶν δύναμις, ἥν οἱ ἄπιστοι ἤ δύσπιστοι ἤ μᾶλλον εἰπεῖν ἡμίπιστοι οὐχ ὁρῶσιν, οὔτε μήν ἰδεῖν οὐδαμῶς δύνανται. Ἄπιστοι δέ, δύσπιστοι καί ἡμίπιστοι, οὗτοί εἰσιν οἱ μή διά τῶν ἔργων τήν πίστιν ἐπιδεικνύμενοι. Ἔργων γάρ δίχα καί οἱ δαίμονες πιστεύουσι καί Θεόν εἶναι τόν Δεσπότην ὁμολογοῦσι Χριστόν· «*Οἴδαμεν γάρ σε, φασί, τόν Υἱόν τοῦ Θεοῦ*», καί ἀλλαχοῦ· «*Οὗτοι οἱ ἄνθρωποι δοῦλοι τοῦ Θεοῦ τοῦ ὑψίστου εἰσίν*». Ἀλλ' ὅμως οὔτε τούς δαίμονας οὔτε τούς ἀνθρώπους αὐτούς ἡ τοιαύτη πίστις ὠφελήσει. Οὐδέ γάρ τῆς πίστεως ταύτης ὄφελος, νεκρά γάρ ἐστι κατά τόν θεῖον ἀπόστολον· «*Ἡ πίστις γάρ, φησί, δίχα τῶν ἔργων νεκρά ἐστιν*», ὥσπερ καί τά ἔργα δίχα πίστεως. Νεκρά δέ πῶς; Ὅτι τόν ζωογονοῦντα Θεόν οὐκ ἔχει ἐν ἑαυτῇ, ὅτι τόν εἰπόντα· «*Ὁ ἀγαπῶν με τάς ἐντολάς τάς ἐμάς τηρήσει, καί ἐγώ καί ὁ Πατήρ ἐλευσόμεθα καί μονήν παρ' αὐτῷ ποιησόμεθα*» οὐκ ἐκτήσατο ἐν ἑαυτῇ, ἵνα τῇ παρουσίᾳ αὐτοῦ ἐξαναστήσῃ τόν κεκτημένον αὐτήν ἐκ νεκρῶν καί ζωοποιήσῃ αὐτόν καί τόν ἀναστάντα ἐν αὐτῷ καί αὐτόν ἀναστήσαντα κατιδεῖν χαρίσηται. Νεκρά οὖν ἐστιν ἡ τοιαύτη πίστις τούτου γε ἕνεκα, μᾶλλον δέ νεκροί οἱ ταύτην χωρίς τῶν ἔργων κεκτημένοι εἰσίν. Ἡ γάρ πίστις, ἡ εἰς Θεόν, ἀεί ζῇ καί ζῶσα ζωοποιεῖ τούς ἐκ προθέσεως ἀγαθῆς προσερχομένους καί ὑποδεχομένους αὐτήν, ἥτις καί πρό τῆς ἐργασίας τῶν ἐντολῶν πολλούς ἐκ τοῦ θανάτου εἰς την ζωήν ἀνήγαγε καί τόν Χριστόν καί Θεόν ὑπέδειξε. Καί ἔμελλον ἄν, εἰ ἐνέμειναν ταῖς αὐτοῦ ἐντολαῖς καί ταύτας μέχρι θανάτου ἐφύλαξαν, διαφυλαχθῆναι καί αὐτοί ὑπ' αὐτῶν - οἷοι δηλονότι γεγόνασιν ὑπό μόνης τῆς πίστεως· ἐπεί δέ μετεστράφησαν ὡς τόξον στρεβλόν καί ταῖς προτέραις αὐτῶν περιεπάρησαν πράξεσιν, εἰκότως εὐθύς καί περί τήν πίστιν εὑρέθησαν ναυαγήσαντες καί τοῦ ἀληθινοῦ πλούτου, ὅς ἐστι Χριστός ὁ Θεός, ἑαυτούς δυστυχῶς ἀπεστέρησαν. Ὅπερ ἵνα μή πάθωμεν καί ἡμεῖς, τηρήσωμεν, ἀξιῶ, τάς ἐντολάς τοῦ Θεοῦ ὅση δύναμις, ἵνα καί τῶν παρόντων καί τῶν μελόντων ἀγαθῶν, λέγω δή αὐτῆς τῆς τοῦ Χριστοῦ θέας, ἐπαπολαύσωμεν, ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν χάριτι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα εἰς τούς αἰῶνας. Ἀμήν.

# Λόγος ΙΔ΄. Περί μετανοίας καί ἀρχῆς βίου μοναδικοῦ. Καί πῶς τις ὁδῷ καί τάξει προβαίνων εἰς ἀρετήν ἐν τῇ τῶν ἐντολῶν ἐργασίᾳ εἰς τελειότητα ἔρχεται.

Ἀδελφοί καί πατέρες, ὁ πάντων καταφρονήσας τῶν ὁρωμένων καί αὐτῆς αὐτοῦ τῆς ψυχῆς, ἵνα γνησίαν μετάνοιαν δυνηθῇ ἐπιδείξασθαι κατά τήν ἐντολήν τοῦ Κυρίου καί τοῦ ἔργου τούτου ἐνάρξηται, οὐκ ἀφ' ἑαυτοῦ τοῦτο μαθεῖν οἴεται, ἀλλά τεχνίτῃ καί ἐμπείρῳ ἀνδρί προσελθών, μετά φόβου καί τρόμου πολλοῦ καί μετά προσοχῆς συντόνου τούτῳ ὑποταγείς, μανθάνει ἐξ αὐτοῦ καί διδάσκεται τήν πνευματικήν ἐργασίαν τῶν ἐναρέτων πράξεων, καί τίνα μετανοῶν χρή ποιεῖν· φόβου δέ λέγω καί τρόμου τοῦ μή ἀποτυχεῖν αὐτόν τοῦ τοιούτου καλοῦ, καί ὡς ἀδόκιμόν τινα ἐργάτην τῶν ἐντολῶν καταδικασθῆναι τῷ αἰωνίῳ πυρί. Ὡς γάρ ἐκ στόματος Θεοῦ τούς ἐκείνου λόγους ἐξερχομένους λογιζόμενος καί ὡς αἰτίου ὄντας ζωῆς καί θανάτου ἐν τῷ φυλάσσεσθαι ἤ παρορᾶσθαι αὐτούς, ἀκριβῶς φυλάσσει αὐτούς· καί οὕτως - ἵνα μή πολλά λέγων μηκύνω τόν λόγον - ἐναρξάμενος πίστει τε ἀδιστάκτῳ τῶν ἐπαγγελιῶν τοῦ Θεοῦ ἐκκρεμάμενος, προκόπτει κατά Θεόν ὁσημέραι, καί ὁδῷ προβαίνων αὐξάνει τήν πνευματικήν ἡλικίαν, καί γίνεται ἀνήρ τέλειος ἐν Χριστῷ τῷ Θεῷ.

Ποίων οὖν ἐπαγγελιῶν αὐτοῦ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τοῦ Υἱοῦ τοῦ Θεοῦ; Ἄκουε συνετῶς οἷα ἡμῖν ἐπαγγέλλεται· «*Ἀμήν λέγω ὑμῖν ὅτι χαρά γίνεται ἐν τῷ οὐρανῷ ἐπί ἑνί ἁμαρτωλῷ μετανοοῦντι*», καί πάλιν· «*Τόν ἐρχόμενον πρός με - διά τῆς τοιαύτης δηλονότι ὁδοῦ - οὐ μή ἐκβάλω ἔξω*», καί αὖθις· «*Ὁ διψῶν ἐρχέσθω πρός με καί πινέτω*», καί· «*Ὁ πιστεύων εἰς ἐμέ οὐ μή ὄψεται θάνατον εἰς τόν αἰῶνα*», καί ἀλλαχοῦ· «*Ἐγγίσατέ μοι καί ἐγγιῶ ὑμῖν*», καί· «*Δεῦτε πρός με πάντες οἱ κοπιῶντες καί πεφορτισμένοι, κἀγώ ἀναπαύσω ὑμᾶς*», καί ἑτέρωθι· «*Ὁ ἔχων τάς ἐντολάς μου καί τηρῶν αὐτάς, ἐκεῖνός ἐστιν ὁ ἀγαπῶν με· καί ὁ ἀγαπῶν με ἀγαπηθήσεται ὑπό τοῦ Πατρός μου, καί ἐγώ καί ὁ Πατήρ διά τοῦ Πνεύματος ἐλευσόμεθα καί μονήν παρ' αὐτῷ ποιήσομεν*», καί· «*Εἰ ὑμεῖς, φησί, πονηροί ἄνθρωποι ὄντες, οἴδατε δόματα ἀγαθά διδόναι τοῖς τέκνοις ὑμῶν, οὐ πολλῷ μᾶλλον ὁ Πατήρ ὑμῶν ὁ οὐράνιος δώσει Πνεῦμα Ἅγιον τοῖς αἰτοῦσιν αὐτόν;*». Ἐν ταύταις οὖν ταῖς ὑποσχέσεσι καί ταῖς ἐπαγγελίαις τοῦ Θεοῦ πίστει ἀδιστάκτῳ ἐλπίζων, ὡς ἔφαμεν, πολλῇ προθυμίᾳ καί ἀκατασχέτῳ ὁρμῇ πάσας τάς αὐτοῦ ἐντολάς ἀόκνως ἐπιτέλει. Πρώτη δέ ἐντολή αὕτη ἐστί· «*Μετανοεῖτε, ἤγγικε γάρ ἡ βασιλεία τῶν οὐρανῶν*», καί αὖθις· «*Αἰτεῖτε καί δοθήσεται ὑμῖν, ζητεῖτε καί εὑρήσετε, κρούετε καί ἀνοιγήσεται ὑμῖν· πᾶς γάρ ὁ αἰτῶν λαμβάνει καί ὁ ζητῶν εὑρίσκει καί τῷ κρούοντι ἀνοιγήσεται*». Διδάξει δέ ἡμᾶς ἐπί τούτοις βουλόμενος ὁ Θεός, ὅπως δεῖ αἰτεῖσθαι καί διά ποίων ῥημάτων καί ἔργων, ἔφη· «*Ὁ θέλων ἐν ὑμῖν εἶναι πρῶτος, γενέσθω πάντων ἔσχατος καί πάντων δοῦλος καί πάντων διάκονος. Ὁ γάρ ὑψῶν ἑαυτόν ταπεινωθήσεται, ὁ δέ ταπεινῶν ἑαυτόν ὑψωθήσεται*».

Ταῦτα πάντα καί τά τούτοις ὅμοια ὁ ἀδιαλείπτως ἐν διανοίᾳ κρατῶν καί ἐν αὐτοῖς

νυκτός καί ἡμέρας ἐνασχολούμενος, νοερῶς τε καί αἰσθητῶς ταῦτα λογιζόμενος καί σπουδῇ ἐργαζόμενος, χωρίζεται τῆς μνήμης κατ' ὀλίγον τοῦ κόσμου, τῶν πραγμάτων τοῦ βίου, τῶν χρημάτων, τῶν συγγενῶν καί ἰδίων, καί τοῖς πνευματικοῖς ἀναλόγως συγγίνεται. Οὕτω δέ καθ' ἡμέραν προκόπτων, ἐπαισθάνεται πῶς κατά μικρόν ὑποχωροῦσιν οἱ λογισμοί τῶν προλήψεων, εἶτα πῶς καί αἱ προλήψεις αὗται μειοῦνται, καί μαλασσομένη ἡ καρδία πρός ταπείνωσιν ἔρχεται· πῶς τε πάλιν αὕτη λογισμούς ταπεινοφροσύνην ἐμποιοῦντας ἀπογεννᾷ. Οὕτω δέ τούτων ἐπαισθανόμενος, μόλις διά πάντων πρός κατάνυξιν καί δάκρυα ἔρχεται. Ἔρχεται δ' οὖν ὅμως διά πολλῶν θλίψεων, καί πλέον ταπεινουμένη περισσότερον κατανύσσεται. Ἡ μέν γάρ ταπείνωσις τό πένθος ἀπογεννᾷ, τό δέ πένθος ἐκτρέφει τήν γεννήσασαν καί αὐξάνειν ποιεῖ. Αὕτη δέ ἡ ἐργασία δά τῆς ἐκπληρώσεως ἐπιτελουμένη τῶν ἐντολῶν ἐκπλύνει μέν - ὢ τοῦ θαύματος! - πάντα ῥύπον ἀπό τῆς ψυχῆς, ἀπελαύνει δέ πᾶν πάθος καί πᾶσαν ἐπιθυμίαν κακήν - σωματικήν τε λέγω καί βιωτικήν. Καί οὕτω γίνεται ἐλεύθερος τῇ ψυχῇ ἀπό πάσης γηΐνης ἐπιθυμίας ὁ ἄνθρωπος· οὐ μόνον δεσμῶν σωματικῶν, ἀλλά γάρ ὡς ὅταν ἱμάτιόν τις ἀποδύσηται καί γυμνός ὅλος γένηται. Καί εἰκότως· ἀποδύεται γάρ ἡ ψυχή πρῶτον μέν τήν ἀναισθησίαν, ἥν ὁ θεῖος ἀπόστολος κάλυμμα λέγει, ἥτις ἐν ταῖς τῶν ἀπίστων Ἰουδαίων κεῖται καρδίαις, οὐ μήν ἀλλά γάρ καί νῦν πᾶς ὁ τάς ἐντολάς τῆς νέας χάριτος μή πάσῃ δυνάμει καί ζεούσῃ καρδίᾳ ποιῶν, τό τοιοῦτον κάλυμμα ἔχει ἐπικείμενον τῷ νοερῷ τῆς ψυχῆς αὐτοῦ καί εἰς τό ὕψος τῆς ἐπιγνώσεως τοῦ Υἱοῦ τοῦ Θεοῦ ἀνενεχθῆναι οὐ δύναται. Εἶτα ὥσπερ ὁ ἀποδυσάμενος σωματικῶς τά ἐν τῷ σώματι αὐτοῦ τραύματα καθορᾷ, οὕτω δή καί οὗτος τά ἐν τῇ ψυχῇ αὐτοῦ προσόντα πάθη τηνικαῦτα βλέπει τρανῶς, οἷον φιλοδοξίαν, φιλαργυρίαν, μνησικακίαν, μισαδελφίαν, φθόνον, ζῆλον, ἔριν, οἴησιν καί τά λοιπά καθεξῆς. Τάς γοῦν ἐντολάς ὡς φάρμακα, τούς δέ πειρασμούς ὡς καυτῆρας ἐν τούτοις ἐπιτιθείς, καί ταπεινούμενος καί πενθῶν καί τήν τοῦ Θεοῦ βοήθειν θερμῶς ἐκζητῶν, ὁρᾷ ἐναργῶς τήν χάριν τοῦ Ἁγίου Πνεύματος παραγενομένην καί ἕν καθ' ἕν τούτων ἐξανασπῶσαν καί ἐξαφανίζουσαν, ἕως οὗ τέλεον πάντων τούτων ἐλευθέραν τήν αὐτοῦ ψυχήν ἀπεργάσηται. Οὐδέ γάρ ἐκ μέρους αὐτήν ἡ τοῦ Παρακλήτου ἐπιδημία τῆς ἐλευθερίας ἀξιοῖ, ἀλλά τελείως καί καθαρῶς, μετά γάρ τῶν εἰρημένων παθῶν καί πᾶσαν ἀκηδίαν, πᾶσαν ἀμέλειαν, πᾶσαν ῥαθυμίαν καί ἄγνοιαν λήθην τε καί γαστριμαργίαν καί πᾶσαν φιληδονίαν ἀποδιώκει, καί οὕτως ἀνανεοῖ καί ἀνακαινίζει τόν ἄνθρωπον ψυχικῶς τε ὁμοῦ καί σωματικῶς, ὡς δοκεῖν τόν τοιοῦτον οὐ σῶμα φθαρτόν καί βαρύ περικεῖσθαι, ἀλλά πνευματικόν τε καί ἄϋλον καί ἤδη πρός ἁρπαγήν ἐπιτήδειον. Οὐ τοῦτο δέ μόνον ἐργάζεται ἐν αὐτῷ ἡ τοῦ Πνεύματος χάρις, ἀλλ' οὐδέ ὁρᾶν τι τῶν αἰσθητῶν συγχωρεῖ τῷ τοιούτῳ, ποιεῖ δέ μᾶλλον αὐτόν ἐν τῷ ὁρᾶν ὡς μή ὁρῶντα τῇ αἰσθήσει διατελεῖν. Ὁπόταν γάρ ὁ νοῦς τοῖς νοητοῖς συναφθῇ, ἔξω τῶν αἰσθητῶν ὅλος γίνεται, εἰ καί δοκεῖ τά αἰσθητά καθορᾶν.

Οὕτως οὖν ἐν τούτοις ἐνδιατρίβων κατά τόν λέγοντα ἅγιον· «*Ἡμῶν δέ τό πολίτευμα ἐν οὐρανοῖς ὑπάρχει, μή σκοπούντων ἡμῶν τά βλεπόμενα ἀλλά τά μή βλεπόμενα*», καταλάμπεται, φωτίζεται καί καθ' ἑκάστην αὐξάνει τήν πνευματικήν ἡλικίαν, καταργῶν μέν τά τοῦ νηπιώδους φρονήματος, προκόπτων δέ ἐπί τήν ἀνδρικήν τελειότητα. Διό καί

κατά τό μέτρον τῆς ἡλικίας ἀλλοιοῦται τάς ψυχικάς δυνάμεις καί ἐνεργείας, καί πρός τάς πράξεις τῶν ἐντολῶν τοῦ Θεοῦ ἀνδρειότερος καί κραταιότερος γίνεται. Ταύτας οὖν ὁσημέραι πληρῶν, κατά ἀναλογίαν τῆς ἐργασίας αὐτῶν ἔτι καθαίρεται αὖθις, λαμπρύνεται, φωτίζεται καί μυστηρίων μεγάλων ἀποκαλύψεις καταξιοῦται ὁρᾶν, ὧν οὐδείς ποτε εἶδε τό βάθος, οὔτε μήν ὅλως ἰδεῖν δύναται, τῶν μή εἰς τοιαύτην καθαρότητα ἀνενεχθῆναι ἀγωνισαμένων. Μυστήρια δέ λέγω τά παρά πάντων ὁρώμενα μέν μή καταλαμβανόμενα δε· καινούς γάρ παρά τοῦ καινοποιοῦ Πνεύματος κτᾶται ὀφθαλμούς, ὦτα δέ ὡσαύτως καινά, καί τοῦ λοιποῦ οὐχ ὡς ἄνθρωπος βλέπει τά αἰσθητά αἰσθητῶς, ἀλλ’ ὡς ὑπέρ ἄνθρωπον γεγονώς, τά αἰσθητά πνευματικῶς καθορᾷ καί ὡς εἰκόνας τῶν ἀοράτων, καί τάς ἐν τούτοις μορφάς ὡς ἀμόρφους καί ἀνειδέους. Ἀκούει δέ οὐχ, ὡς ἄν τις εἴπῃ, ἀνθρώπου φωνῆς ἤ φωνῶν, ἀλλά μόνου τοῦ ζῶντος Λόγου, ὅταν διά τῆς τοῦ ἀνθρώπου φωνῆς προέλθῃ. Τοῦτον γάρ καί μόνον, ὡς γνώριμον καί προσφιλῆ πέλοντα, διά τῆς ἀκοῆς εἰσδέχεται ἡ ψυχή καί τήν εἴσοδν τούτῳ παραχωρεῖ, καί ἀσμένως ἔνδοθεν γενόμενον κατασπάζεται, καθώς ἔφη ὁ Κύριος· «*Τά πρόβατα τά ἐμά τῆς φωνῆς μου ἀκούει, ἀλλοτρίων δέ οὐκ ἀκούσονται*». Τούς δέ γε λοιπούς τῶν ἀνθρώπων ἅπαντας λόγους ἀκούει μέν οὐ προσδέχεται δε· ἀλλ’ οὐδέ ἔνδοθεν εἰσελθεῖν τούτους ὅλως ἐᾷ, κενούς δέ ἀποστρεφόμενος αὐτούς ἀποπέμπεται· ἔστιν ὅτε οὐδέ τῆς παρουσίας ἤ τῶν κρουσμάτων αὐτῶν ἐπαισθάνεται, ἀλλ’ ὡσεί κωφός οὐκ ἀκούων - καίτοι γε ἀκούων αὐτῶν - , οὕτω πρός τούτοις διάκειται.

Τοιγαροῦν καί τοιούτου γενομένου αὐτοῦ, εὐθύς οἰκεῖ ὁ Θεός ἐν αὐτῷ καί γίνεται αὐτῷ πάντα ὅσα ἄν θέλῃ, μᾶλλον δέ καί ὑπέρ ἅ θέλει. Πᾶν γάρ ἀγαθόν ὤν ὁ Θεός, τήν ἐν ᾗ οἰκήσῃ ψυχήν παντός ἐμπίπλησιν ἀγαθοῦ κατά τό ἐγχωροῦν τῇ φύσει ἡμῶν, ἐπειδή πάσῃ κτιστῇ φύσει ἀχώρητός ἐστιν ὁ Θεός καί ἄστεκτος. Ἀγαθά δέ ἐκεῖνα λέγω, ἅ ὀφθαλμός οὐκ εἶδε καί οὖς οὐκ ἤκουσε καί ἐπί καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, τοῦ μή γενομένου δηλονότι τοιούτου. Τοιγαροῦν καί διδάσκει τόν τοιοῦτον ἄνθρωπον ὁ οἰκήσας ἐν αὐτῷ Θεός περί τῶν μελλόντων καί ἐνεστώτων, οὐ λόγῳ ἀλλ’ ἔργῳ καί πείρᾳ καί πράγματι. Ἀποκαλύπτων γάρ τούς νοερούς αὐτοῦ ὀφθαλμούς, δείκνυσιν αὐτῷ ὅσα βούλεται ὁ Θεός καί ὅσα συμφέρει αὐτῷ, τά δ’ ἄλλα πείθει μή ἐρευνᾶν μηδέ ζητεῖν μηδέ πολυπραγμονεῖν, ἐπειδή οὐδέ ἅπερ Θεός αὐτῷ ἐκκαλύπτει καί ὑποδείκνυσιν, ἀναιδῶς ποτε δύναται καθορᾶν· ἀλλά παρακύπτων εἰς τό βάθος τοῦ πλούτου καί τῆς σοφίας καί τῆς γνώσεως τοῦ Θεοῦ, εὐθύς ἰλιγγιᾷ καί καταπλήττεται, ἐννοῶν ἑαυτόν καί τίς ὤν τίνων θεατής γενέσθαι ἠξίωται. Εἰς γάρ τό μέγεθος τῆς φιλανθρωπίας τοῦ Θεοῦ ἀποβλέπων καί ἐξιστάμενος, ἀνάξιόν τε τῆς τῶν τοιούτων ἀγαθῶν θέας ἑαυτόν ἀπό ψυχῆς λογιζόμενος, οὐδέ ἀποβλέψαι τρανῶς πρός αὐτά οὐδέ καταμαθεῖν ταῦτα βούλεται, ἀλλά τρόμῳ καί φόβῳ καί αἰδοῖ συνεχόμενος, «*Τίς εἰμι ἐγώ, Κύριε, καί τίς ὁ οἶκος τοῦ πατρός μου*» βοᾷ, «*ὅτι τοιαῦτα μυστήρια τῷ ἀναξίῳ ἐθάρρησας, καί τοιούτων με ἀγαθῶν σου οὐ μόνον θεατήν, ἀλλά καί μέτοχον καί κοινωνόν παραδόξως πεποίηκας;*».

Ὁ τοιοῦτος τοίνυν ὑπέρ τήν κτίσιν ἅπασαν γεγονώς, οὐ βούλεται ἐπιστρέψαι καί πολυπραγμονεῖν τά τῆς κτίσεως. Κτησάμενος γάρ τόν τῶν ἀγγέλων Δεσπότην, περί

οὐσίας καί φύσεως τῶν λειτουργούντων ἀγγέλων αὐτῷ ἐρευνᾶν οὐκ ἀνέχεται, ἐπειδή γινώσκων ἐστίν ὡς οὐκ ἀρεστόν ὑπάρχει τοῦτο Θεῷ, τό πολυπραγμονεῖν ἄνθρωπον τά ὑπέρ ἄνθρωπον· εἰ γάρ τάς θείας Γραφάς μή πολυπραγμονεῖν ἐκελεύσθημεν, πολλῷ μᾶλλον ὑπέρ τά γεγραμμένα μή δεῖν ἡμᾶς ὅλως περιεργάζεσθαι. Ὁ τοιοῦτος βλέπει τόν Θεόν, ὅσον ἀνθρώπῳ ἰδεῖν δυνατόν καί ὅσον δοκεῖ αὐτῷ τῷ Θεῷ, ὅς καί διαπαντός καθορᾶν σπουδάζει αὐτόν καί μετά τέλος εὔχεται ἀεί βλέπειν αὐτόν, ἀρκούμενος δηλαδή καί μόνῃ τῇ ἐκείνου θέᾳ μηδενός ἑτέρου δεόμενος, ὅθεν οὐδέ ἐπιθυμεῖ τόν Δεσπότην καταλιπεῖν καί Θεόν, ὑφ’ οὗ πληροῦται φωτός καί παρ’ οὗ τῆς ἀκηράτου ζωῆς τήν ἀπόλαυσιν ἔχει, καί ἐναπιδεῖν πρός τούς συνδούλους αὐτοῦ. Ὁ τοιοῦτος βλεπόμενος ἤτοι ἄνωθεν ἐλλαμπόμενος ὑπό τοῦ Θεοῦ, καί αὐτός τήν ὑπερβάλλουσαν δόξαν αὐτοῦ καθορῶν, θεαθῆναι παρ’ ἑτέρων οἷος ὑπάρχει καί ἐν οἵᾳ δόξῃ ἐστίν οὐδέ ἐννοῆσαί ποτε δύναται· πᾶσα γάρ ἁγία ψυχή ἀπηλλαγμένη πάσης φιλοδοξίας ἐστίν, ἐπεί ἐστολισμένη οὖσα τόν χιτῶνα τόν φωτεινότατον τοῦ Πνεύματος καί βασιλικόν καί τῆς ὑπερβαλλούσης δόξης τοῦ Θεοῦ ἐμπεπλησμένη ὑπάρχουσα, οὐ μόνον ἀλογεῖ τῆς τῶν ἀνθρώπων δόξης, ἀλλ’ οὐδέ ὅλως καί προσφερομένην αὐτῷ παρ’ ἐκείνων πρός αὐτήν ἐπιστρέφεται. Ὑπό γάρ τοῦ Θεοῦ βλεπομένη καί αὐτή καθορῶσα πάλιν αὐτόν, ἰδεῖν πρός ἄλλον τινά τῶν ἀνθρώπων ἤ ὑπό τινος ἄλλου θεαθῆναι οὐδαμῶς ἐπιθυμήσει ποτέ.

Διό παρακαλῶ ὑμᾶς, ἐν Χριστῷ ἀδελφοί, μή λόγοις μόνοις τά ἀνέκφραστα μανθάνειν ἐθέλωμεν, ὅπερ ἀμήχανον καί τοῖς διδάσκουσι περί τοιούτων καί τοῖς ἀκροωμένοις αὐτοῖς ἐπίσης ἐστίν. Οὔτε γάρ οἱ διδάσκοντες περί νοητῶν καί θείων πραγμάτων δύνανται ἀκριβῶς ἐναργεῖς ἐκ παραδειγμάτων δοῦναι τάς ἀποδείξεις καί αὐτήν τήν τούτων πραγματικῶς παραστῆσαι ἀλήθειαν, οὔτε οἱ διδασκόμενοι ἐκ τοῦ λόγου μόνου μαθεῖν τήν τῶν λεγομένων ἐνέργειαν, ἀλλά πράξει καί κόπῳ καί πόνοις ταῦτα καταλαβεῖν καί ἐν τῇ τῶν τούτων θεωρίᾳ γενέσθαι σπεύσωμεν, ὡς ἄν καί τούς περί τῶν τοιούτων λόγους ἐκεῖθεν μυσταγωγηθῶμεν καί δοξασθῇ ὁ Θεός οὕτως ἔχουσιν ἐν ἡμῖν καί ἡμεῖς διά τῆς τῶν τοιούτων γνώσεως δοξάσωμεν αὐτόν καί αὐτός δοξάσῃ ἡμᾶς ἐν αὐτῷ Χριστῷ τῷ Θεῷ ἡμῶν, ᾧ πρέπει πᾶσα δόξα εἰς τούς αἰῶνας. Ἀμήν.

## Λόγος ΙΕ΄. Περί ἐμπαθοῦς καί ἀπίστου καί πονηρᾶς διαθέσεως. Καί τίς ἡ ἕνωσις τοῦ Θεοῦ πρός τούς υἱούς τοῦ φωτός καί τίνα τρόπον ἐν αὐτοῖς αὕτη γίνεται. Καί πρός τό τέλος, καταδρομή τῶν ἀναξίως κατατολμώντων τῆς ἀρχιερωσύνης.

Ἀδελφοί καί πατέρες, ἀεί μέν ἀλλήλοις ἀντίκεινται τῷ φωτί τό σκότος, τῇ πίστει ἡ ἀπιστία, ἡ ἀγνωσία τῇ γνώσει καί τῇ ἀγάπῃ τό μῖσος. Εἰπόντος γάρ ἐξ ἀρχῆς τοῦ Θεοῦ· «*Γενηθήτω φῶς*» καί γεγονότος, εὐθύς τό σκότος ἠφάντωτο· τῇ δέ τοῦ φωτός ὑποστολῇ νύξ καί αὖθις ἐγένετο. Ὁ δέ Ἀδάμ τῇ πίστει τῇ εἰς Θεόν φρουρούμενος ἐν τῇ ἀθανάτῳ ὑπῆρχε δόξῃ καί ἐν τῷ παραδείσῳ ἦν, ὑπό δέ τοῦ ἐχθροῦ εἰς ἀπιστίαν παρεκτραπείς θανάτῳ καταδικάζεται καί τοῦ παραδείσου ἐκβάλλεται καί ἀντί τῆς θείας καί πνευματικῆς γνώσεως τήν γνῶσιν τήν σαρκικήν ἐκομίσατο. Ἐκτυφλωθείς γάρ τούς τῆς ψυχῆς ὀφθαλμούς καί ἀνωλέθρου ζωῆς ἐκπεσών, τοῖς σωματικοῖς ἀνέβλεψεν ὀφθαλμοῖς· καί ἐμπαθεῖ αἰσθήσει τοῖς ὁρωμένοις τήν τῶν ὀμμάτων ἐπιβαλών ὅρασιν, ἔγνω Εὔαν τήν γυναῖκα αὐτοῦ καί αὐτή συλλαβοῦσα ἔτεκε τόν Κάϊν. Ἡ οὖν γνῶσις αὕτη ἀγνωσία ὄντως ἐστί παντός ἀγαθοῦ· εἰ μή γάρ πρῶτον τῆς τοῦ Θεοῦ γνώσεως καί θεωρίας ἐξέπεσεν, οὐκ ἄν εἰς τήν γνῶσιν ταύτην κατήγετο. Οὕτω δέ καί ὁ Κάϊν ὁ υἱός αὐτοῦ, εἰ μή πρῶτον εἰς μῖσος καί φθόνον ἐξεκαύθη κατά τοῦ ἀδελφοῦ αὐτοῦ Ἄβελ, οὐκ ἄν αὐτόν ἀπέκτεινεν.

Ὅσοι τοιγαροῦν τῷ ἐκ γεννητῆς σκότει κατέχονται καί πρός τό νοητόν φῶς, ὅθεν ὁ προπάτωρ ἐξέπεσεν, ἐνατενίσαι οὐ βούλονται, οὗτοι τούς ἐν αὐτῷ γενομένους τῷ φωτί καί τά τοῦ φωτός διαλεγομένους ὡς ἀντικειμένους ἐχθρούς λογίζονται, πληττόμενοι τοῖς λόγοις αὐτῶν. Καθάπερ γάρ ἡλίου ἀκτίς ἐν οἰκίᾳ σκοτεινῇ ποθεν εἰσελθοῦσα, οἷα δή βέλος τιτρώσκει καί διατέμνει τό σκότος, οὕτω καί λόγος θεόπνευστος ἀνδρός πνευματικοῦ καί ὁσίου, ὡς δίστομος μάχαιρα ἐν καρδίᾳ ἀνθρώπου σαρκικοῦ γίνεται, ἰδύνην ἐμποιοῦσα καί πρός ἀντιλογίαν καί μῖσος ὑπό τῆς ἀγνωσίας καί ἀπιστίας αὐτήν διεγείρουσα.

Ὁ δέ καί οἰόμενος εἰδέναι τι μηδέν εἰδώς, κἄν ἄγγελον ἴδῃ ἐξ οὐρανοῦ πρός αὐτόν κατελθόντα, ὡς δαίμονα πονηρόν ἀποπέμπεται αὐτόν, κἄν ἀπόστολον, κἄν προφήτην Θεοῦ, ὡς ἄλλον τινά Σίμωνα Μάγον καί αὐτόν ἀποστρέφεται. Καί ὤ τῆς ἐσχάτης ἀναισθησίας, ὁ τυφλός τυφλόν ἡγεῖται τόν βλέποντα καί ὁ τῷ ὄντι λῆρος λῆρον ἡγεῖται τούς λόγους αὐτοῦ. Καί καθάπερ ἐν νυκτί πολλάκις λεγόντων τινῶν μή λάμπειν τόν ἥλιον, ἀκούων ὁ τυφλός οὐ πιστεύει αὐτοῖς, καί ἐν ἡμέρᾳ μέσῃ ὤν νύκτα εἶναι πάλιν ἀπιστεῖ, πλανᾶσθαι οἰόμενος ὑπό ἀμφοτέρων, καί κἄν φῶς εἶναι ἐν ἡμέρᾳ ἀκούῃ, κἄν σκότος ἐν νυκτί, ἀμφιβάλλων τούς λέγοντας ἀποσείεται· οὕτω καί οἱ ἐν σκότει παθῶν καθήμενοι καί τετυφλωμένον ἔχοντες τόν νοῦν ἐξ ἀγνοίας, μᾶλλον δέ νοῦν μή

κεκτημένοι Χριστοῦ, ὡς μέν ἄνουν τόν ἔχοντα τόν νοῦν τοῦ Χριστοῦ, ὡς δέ ἔννουν τόν μή τοῦτον ἔχοντα λογίζονται, περί ὧν εἰκότως ὁ προφήτης λέγει Δαυίδ· «*Ἄφρων καί ἄνους ἀπολοῦνται*». Τοιγαροῦν πᾶσαν οἱ τοιοῦτοι Γραφήν κατά τάς ἰδίας αὐτῶν ἐπιθυμίας στρεβλοῦσι καί παραφθείρουσιν ἑαυτούς ἐν τοῖς ἑαυτῶν πάθεσιν, εἰ καί μή πάσχει τοῦτο ἡ θεία Γραφή, ἀλλ' οἱ ταύτην παραχαράττοντες.

Πῶς οὖν, εἰπέ μοι, ὁ τήν κρίσιν ὀρθήν τῶν πραγμάτων ἐπιφερόμενος, ὀρθῶς ποτε ἀφ' ἑαυτῶν τά νοήματα τοῦ φωτός οἱ τυφλοί ἀναγνώσονται, μή καταδεχόμενοι ἀπό οἰήσεως τό διδάσκεσθαι; Ὁ τυφλός τοῖς ὀφθαλμοῖς καί μή βλέπων τό φῶς, πῶς τά ἐν τῷ φωτί γράμματα ἀναγνώσεται; Ὁ δέ τυφλός ὤν τόν νοῦν καί μή ἔχων ἐν ἑαυτῷ τόν νοῦν τοῦ Χριστοῦ, πῶς τά ἐν τῷ φωτί τοῦ Χριστοῦ ἐναποκείμενα νοήματα ἀναλογίσασθαι δύναται; Κἄν μυριάκις τοῖς σωματικοῖς ὀφθαλμοῖς γεγραμμένα ὄντα αἰσθητῶς αὐτά ἀναγνῷ, οὐκ ἄν, οἶμαι, ποτέ δυνηθῇ τά πνευματικά τε καί ἄϋλα καί φωτοειδῆ ἐν ὑλικῷ καί σκοτεινῷ χώρῳ θεάσασθαι ὁ τοιοῦτος.

Μηδείς οὖν ὑμᾶς πλανάτω. Ὁ Θεός φῶς ἐστι καί, οἷς συναφθῇ, μεταδίδωσιν αὐτοῖς κατά ἀναλογίαν τῆς καθάρσεως τῆς ἰδίας λαμπρότητος. Καί τηνικαῦτα ἡ ἐσβεσμένη γινώσκει λαμπάς τῆς ψυχῆς, ἤγουν ὁ νοῦς, ὅτι πῦρ θεῖον περιδραξάμενον αὐτῆς ἐξανήφθη. Ὢ τοῦ θαύματος, ὅτι ἄνθρωπος Θεῷ ἑνοῦται πνευματικῶς τε καί σωματικῶς, εἴπερ οὐ χωρίζεται τοῦ νοῦ ἡ ψυχή, οὐδέ τῆς ψυχῆς τό σῶμα, ἀλλά τῇ οὐσιωδῶς ἑνώσει γίνεται τρισυπόστατος κατά χάριν καί ὁ ἄνθρωπος, εἷς θέσει Θεός, ἐκ σώματος καί ψυχῆς καί οὗπερ μετείληφε θείου Πνεύματος, καί πληροῦται τηνικαῦτα τό εἰρημ ένον ὑπό τοῦ προφήτου Δαυίδ· «*Ἐγώ εἶπα· θεοί ἐστε καί υἱοί Ὑψίστου πάντες*», υἱοί Ὑψίστου κατ' εἰκόνα δηλαδή τοῦ Ὑψίστγου καί καθ' ὁμοίωσιν, γεννήματα θεῖα ἐκ θείου Πνεύματος, πρός οὕς εἶπεν εἰκότως καί ἀεί λέγει ὁ Κύριος· «*Μείνατε ἐν ἐμοί, ἵνα καρπόν πολύν φέρητε - καρπόν τά πλήθη φησί τῶν παρ' αὐτῶν σῳζομένων - τό κλῆμα, φησίν, ἐάν μή μείνῃ ἐν τῇ ἀμπέλῳ ξηραίνεται καί εἰς πῦρ βάλλεται· μείνατε οὖν ὑμεῖς ἐν ἐμοί κἀγώ ἐν ὑμῖν*». Πῶς οὖν μένει ἐν ἡμῖν καί πῶς πάλιν μένομεν ἡμεῖς ἐν αὐτῷ, αὐτός ὁ Κύριος ἐδίδαξε λέγων· «*Σύ, Πάτερ, ἐν ἐμοί κἀγώ ἐν σοί καί οὗτοι ἐν ἐμοί κἀγώ ἐν αὐτοῖς*». Καί τοῦτο θέλων βεβαιῶσαι ἐπαναλαμβάνει τόν λόγον καί φησίν· «*Αὐτοί ἐν ἐμοί κἀγώ ἐν αὐτοῖς, καθώς σύ Πάτερ, ἐν ἐμοί κἀγώ ἐν σοί*», ἔτι δέ πρός πληροφορίαν τῶν ἀκουόντων προστίθησι λέγων· «*Καθώς ἠγάπησάς με, ἠγάπησα αὐτούς καί αὐτοί ἔγνωσαν ὅτι σύ με ἀπέστειλας*». Εὔδηλον οὖν ὅτι, ὡς μένει ὁ Πατήρ ἐν τῷ ἰδίῳ Υἱῷ καί ὁ Υἱός ἐν τῷ κόλπῳ τῷ πατρικῷ κατά φύσιν, οὕτω καί οἱ διά τοῦ θείου Πνεύματος ἀναγεννηθέντες καί τοῦ Χριστοῦ καί Θεοῦ κατά τήν αὐτοῦ δωρεάν γενόμενοι ἀδελφοί καί υἱοί Θεοῦ καί θέσει θεοί, μένουσιν ἐν τῷ Θεῷ καί ὁ Θεός ἐν αὐτοῖς κατά χάριν;

Οἱ οὖν μή γεγονότες τοιοῦτοι, μηδέ πράξει καί γνώσει καί θεωρίᾳ καθόλου ἀλλοιωθέντες, πῶς οὐκ αἰσχύνονται χριστιανούς ἑαυτούς ὀνομάζειν; Πῶς δέ καί στόμα τολμῶσιν ἀνοίγειν καί λαλεῖν ἀναιδῶς περί τῶν μυστηρίων Θεοῦ τῶν ἀποκεκρυμμένων, ἐπί ἀμελείας ὡς ἐπί στρωμνῆς κατακείμενοι; Πῶς μετά χριστιανῶν συναριθμεῖν οὐκ

ἐρυθριῶσι; Πῶς τῶν ἱερέων συγκάθεδροι καί τοῦ σώματος καί αἵματος τοῦ Δεσποτικοῦ ἱερουργοί καί λειτουργοί οὐ φρίττουσι γίνεσθαι; Ὅλως ἔνθεν ἐπαπορῶ, ἀλλ' ἡ τύφλωσις, ὡς εἴρηται, τοῦ νοός καί ἡ συνεπομένη ἀναισθησία καί ἄγνοια καί ἡ τικτομένη ἐκ τούτων οἴησις, ὡς πηλόν παρασκευάζει πατεῖν τόν ὄντως χρυσόν, τόν τιμιώτατον λίθον, αὐτόν τόν Κύριον ἡμῶν Ἰησοῦν, τόν Χριστόν. Ὢ τῆς φρικτῆς τόλμης, ὡς ἐπί βάθραν ὑψηλήν ἐπιβαίνειν αὐτούς ποιεῖ καί ἵστασθαι ἐπ' αὐτήν, ἵν' ἕκαστος τούτων τοῖς πολλοῖς ὑπερέχων δείκνυται καί περίβλεπτος. Χριστιανούς οὖν τούς τοιούτους, ποῖος ἄρα χριστιανός ὀνομάσει;

Ἀλλά ταῦτα μέν πρός τούς πάντα εἰδέναι καί λέγειν ἐπιχειροῦντας καί οἰομένους εἶναί τι, μηδέν ὄντας, ὡς ἐν στήλῃ τῷ λόγῳ, ὁποῖοι καί ποταποί εἰσιν οἱ χριστιανοί ὑπεδείξαμεν, ἵνα ἑαυτούς τῷ ἀρχετύπῳ συγκρίνοντες, γνώσωνται ὁπόσον τῶν ἐν ἀληθείᾳ χριστιανῶν ἀπολείπονται. Πρός δέ γε ὑμᾶς, τούς τοῦ Χριστοῦ δούλους καί τοῦ μανθάνειν ἐφιεμένους καί ηὐτρεπισμένους τήν ἀκοήν, αὐτός ὁ Δεσπότης τῶν ὅλων διά τῶν ἁγίων αὐτοῦ Εὐαγγελίων βοᾷ λέγων· «*Ἕως τό φῶς ἔχετε, τρέχετε πρός τό φῶς, ἵνα μή σκοτία ὑμᾶς καταλάβῃ*». Τρέχετε διά μετανοίας ἐν τῇ ὁδῷ τῶν ἐντολῶν αὐτοῦ, τρέχετε, τρέχετε ἕως ὁ καιρός τῆς ἐπιλάμψεως αὐτοῦ, πρίν ἤ ἡ τοῦ θανάτου νύξ καταλάβῃ ὑμᾶς καί τῷ αἰωνίῳ σκότει παραπεμφθήσεσθε. Τρέχετε, ζητεῖτε, κρούετε, ἵνα ἀνοιγῇ ὑμῖν ἡ πύλη τῆς βασιλείας τῶν οὐρανῶν καί ἔνδοθεν γενήσησθε αὐτῆς καί αὐτήν ἐντός ὑμῶν κτήσησθε. Οἱ γάρ πρό τοῦ κτήσασθαι ταύτην τοῦ τῇδε βίου ὑπεξερχόμενοι, ποῦ ποτε ταύτην ἐκεῖ ἀπελθόντες εὑρήσουσιν; Ἐνταῦθα τοίνυν αἰτεῖσθαι καί ζητεῖν καί κρούειν ἐν μετανοίᾳ καί δάκρυσι προσετάγημεν, καί οὕτω ποιοῦσιν ὁ Δεσπότης ταύτην ὑπέσχετο δώσειν ἡμῖν. Εἰ οὖν τοῦτο ποιῆσαι καί ὑπακοῦσαι τῷ Δεσπότῃ Χριστῷ οὐ θελήσομεν, ἵνα ἔτι τῷ βίῳ περιόντες σπεύσωμεν λαβεῖν τήν βασιλείαν ἐντός ἡμῶν, οὐχί ἀπελθόντες ἐκεῖ δικαίως ἀκούσομεν λέγοντος αὐτοῦ πρός ἡμᾶς· «*Τί ζητεῖτε νῦν, ἥν διδομένην ὑμῖν παρ' ἐμοῦ λαβεῖν παρῃτήσασθε; Οὐχί πολλά παρακαλοῦντός μου ὑμᾶς κοπιᾶσαι καί λαβεῖν αὐτήν παρ' ἐμοῦ, οὐκ ἠβουλήθητε, ἀλλά κατεφρονήσατε ταύτης καί τήν ἀπόλαυσιν τῶν φθαρτῶν καί γηΐνων προετιμήσασθε; Ποίοις οὖν ἔργοις ἤ λόγοις ταύτην εὑρεῖν ἀπό γε τοῦ νῦν ἐξισχύσητε;*»

Διά τοῦτο τοίνυν, πατέρες καί ἀδελφοί, παρακαλῶ ὑμᾶς, πάσῃ σπουδῇ τάς ἐντολάς τοῦ Θεοῦ ἡμῶν φυλαξώμεθα, ἵνα καί ζωῆς καί βασιλείας ἐπιτευξώμεθα αἰωνίου καί μή ἀκούσωμεν νῦν μέν· «*Ὁ ἀπειθῶν τῷ Υἱῷ οὐκ ὄψεται τήν ζωήν, ἀλλ' ἡ ὀργή τοῦ Θεοῦ μενεῖ ἐπ' αὐτόν*», ἐν δέ τῷ μέλλοντι αἰῶνι· «*Ἀπέλθατε ἀπ' ἐμοῦ, οὐκ οἶδα ὑμᾶς, πόθεν ἐστέ*», ἀλλά τῆς εὐλογημένης ἐνωτισθῶμεν ἐκείνης φωνῆς «*Δεῦτε, λεγούσης, οἱ εὐλογημένοι τοῦ Πατρός μου, κληρονομήσατε τήν ἡτοιμασμένην ὑμῖν βασιλείαν, ὅτι ἐθρέψατέ με, πεινῶντα τήν σωτηρίαν ὑμῶν, διά τῆς ἐργασίας τῶν ἐμῶν ἐντολῶν, ἐποτίσατε, ἐνεδύσατε, συνηγάγετέ με καί ἤλθετε πρός με, καθάραντες τάς καρδίας ὑμῶν ἀπό παντός σπίλου καί ῥύπου τῆς ἁμαρτίας· λοιπόν ἀπολαύσατέ μου τῶν ἀγαθῶν, ὧν ἡ ἀπόλαυσις ἄρρητος καί ζωή αἰώνιος καί ἀθάνατος*» -, ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν χάριτι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα εἰς τούς αἰῶνας. Ἀμήν.

## Λόγος Ιστ΄. Περί τῶν ἐνεργειῶν τοῦ Πνεύματος τοῦ Ἁγίου. Καί τίς ἡ θεωρία τῶν μυστηρίων αὐτοῦ. Καί ὅπως τοῖς καθαροῖς τήν καρδίαν ἀποκαλύπτονται. Καί διήγησις ἐκ προοιμίων ἐπωφελής περί τινος ὑποτακτικοῦ, λαβόντος Πνεῦμα Ἅγιον ταῖς εὐχαῖς τοῦ πνευματικοῦ αὐτοῦ πατρός.

Ἀδελφοί καί πατέρες καί τέκνα, νεώτερός τις διηγήσατό μοι λέγων ὅτι· Ὑποτακτικός τυγχάνων πατρός τιμίου καί ἰσοστασίου τῶν μεγάλων καί ὑψηλῶν ἁγίων, ἀκούων παρ’ αὐτοῦ πολλάκις θείας οὐρανόθεν γινομένας ἐν τοῖς ἀγωνιζομένοις ἐλλάμψεις, φωτός τε πλῆθος καί ὁμιλίαν Θεοῦ δι’ αὐτοῦ πρός ἀνθρώπους, ἐθαύμαζον. Καί τοσαύτην εἶχον -φησί-τήν ἐπιθυμίαν καί τόν ἔρωτα τοῦ τοιούτου καλοῦ, ὥστε τῇ ἐννοίᾳ τῇ πρός αὐτό πάντων τῶν ἐπιγείων καί ἐπουρανίων ἐπιλανθάνεσθαί με, οὐ μόνον δέ ἀλλά καί πάσης βρώσεώς τε καί πόσεως καί σωματικῆς παντοίας ἀνέσεως. Μέγας δέ ὑπάρχων ὁ ἐν ἁγίοις ἅγιος οὗτος καί τῷ προορατικῷ κεκοσμημένος χαρίσματι, βλέπων με ἀδιστάκτως ἐπιτελοῦντα μόνα τά παρ’ αὐτοῦ μοι ἐπιτασσόμενα καί μήτε ἐσθίοντα μήτε πίνοντα, ἀλλά σύννουν ὄντα δι’ ὅλου καί ὡς ὑπό τινος ἰοῦ δαπανώμενον, συμπάθειαν κεκτημένος ἀμέτρητον, προσέταττέ μοι μετ’ ἐπιτιμίου, καί μή βουλόμενος ἤσθιον· ἐφοβούμην γάρ -φησί-τό κρίμα τῆς παρακοῆς. Ὅσον οὖν τροφῆς μετελάμβανον, πλεῖον ἐφλεγόμην καί τήν ἀνάγκην οὐκ ἔφερον, ὡς καί ποταμηδόν ἐκχέειν με τά δάκρυα καί οὕτω τῆς τραπέζης πολλάκις ἀνίστασθαι. Ἐδόκουν γάρ ὁ ἀναίσθητος ὅτι ἐμποδίζει μου τήν πρόθεσιν, μή εἰδώς οἷον ἔχων πόνον ἐνδότατον, καί οὕτως ἔχων ἠγνόουν ὁ ἄθλιος ὅτι καί τούς λογισμούς ἐγίνωσκε τούς κρυπτούς τῆς καρδίας μου. Τοῦτο γάρ διά τῶν ἑξῆς δηλωθήσεται.

Ἐν μιᾷ οὖν συνέβη ἡμῖν ἐν τῇ πόλει εἰσελθεῖν, ἐν ᾗ καί τήν κατοίκησιν εἶχε, πρός τό τούς πνευματικούς αὐτοῦ ἐπισκέψασθαι παῖδας. Δι’ ὅλης τοίνυν τῆς ἡμέρας ἐν αὐτοῖς διατρίψαντες - πολλούς γάρ ὠφέλει καί μόνον φαινόμενος --, ἑσπέρας ἐλθόντες ἐν τῷ κελλίῳ καί ὥσπερ ἀπό τοῦ πολλοῦ κόπου καί καύματος πρόσπεινοι γεγονότες καί ἔκδιψοι - οὐδαμοῦ γάρ εἶχεν ἔθος ὕπνου μεταλαμβάνειν, καίπερ θερινῆς οὔσης τῆς ὥρας καί αὐτός γέρων ὤν, ὡς περί τά ἑξήκοντα ἐληλακώς ἔτη --, καθεσθέντες πρός τό μεταλαβεῖν ἄρτου, ἐγώ οὐκ ἤσθιον. Ἤμην γάρ τῷ σώματι πλήρης κατάκοπος. Ἐλογιζόμην γάρ ὅτι, εἰ μεταλάβω τροφῆς καί πόσεως, οὐ μή δυνηθῶ ἐν τῇ εὐχῇ μου στῆναι τό σύνολον πρός τήν τοῦ ποθουμένου ζήτησιν. Ταῦτα - φησίν -- ἐννοῶν, ἐκαθεζόμην ὥσπερ ἐξεστηκώς.

Ὁ οὖν ἅγιος ἰδών με καί τόν κόπον ὅν μετ’ αὐτοῦ ἐκοπίασα ἀναλογισάμενος καί γνούς τήν αἰτίαν, οἷα δή τῷ διορατικῷ κεκοσμημένος, ὥσπερ εἴρηται, χαρίσματι, δι’ ἥν ταῦτα ὑπέμενον, εἰς συμπάθειαν ἐκινήθη πολλήν καί λέγει μοι μετ’ ἐπιτιμίου· «*Φάγε, τέκνον, καί πίε καί μή λυποῦ ἀπό τοῦ παρόντος. Εἰ γάρ μή ἤθελεν ὁ Θεός ἐλεῆσαί σε, οὐκ ἄν*

*ηὐδόκησεν ἐλθεῖν πρός ἡμᾶς*». Ἐφάγομεν οὖν - φησί - καί ἐπίομεν καί ὑπέρ τήν χρείαν· ἤσθιε γάρ τῇ ἐμῇ κἀκεῖνος ἐξακολουθῶν ἀσθενείᾳ. Εἶτα τῆς τραπέζης ἀρθείσης φησί πρός ἐμε· «*Γίνωσκε, τέκνον, ὅτι οὔτε νηστείᾳ, οὔτε ἀγρυπνίᾳ, οὔτε κόπῳ σωματικῷ, οὔτε τινί ἑτέρῳ τῶν δεξιῶν πράξεων χαίρει ὁ Θεός καί ἐμφανίζεται, εἰ μή ταπεινῇ τε καί μόνῃ ἀπεριέργῳ καί ἀγαθῇ ψυχῇ καί καρδίᾳ* ». Ταῦτα τοιγαροῦν ἀκούσας ἐγώ καί θαυμάσας ἐπί τῷ λόγῳ καί τῇ παραινέσει τοῦ ἁγίου, ἐπί πλεῖστόν τε ἐκκαιόμενος καί τάς ἁμαρτίας μου τῇ τοῦ νοός ὀξύτητι πάσας ἐν ῥιπῇ ἐπί μνήμης μου φέρων, περιελιμναζόμην τοῖς δάκρυσι καί πεσών εἰς τούς πόδας αὐτοῦ τούς ἁγίους καί τούτους κρατήσας· «*Εὔχου ὑπέρ ἐμοῦ, ἔφην, ἅγιε τοῦ Θεοῦ, ἵνα διά σοῦ εὕρω ἔλεος, ἐπεί ἐξ ὧν εἶπας ἀγαθῶν, ἐμοί οὐδέ ἕν πρόσεστιν, εἰ μή πολλαί ἁμαρτίαι, ἅς ἐπίστασαι καί αὐτός*». Συμπαθήσας οὖν με ἐπί πλεῖον ὁ ἅγιος καί δακρύσας, εἶτα κελεύσας με ἀναστῆναι ἀπό τοῦ ἐδάφους, φησί· «*Θαρρῶ τῷ Θεῷ, τῷ τήν χάριν αὐτοῦ πλουσίως μοι δωρησαμένῳ, ὅτι ταύτην καί σοί δισσῶς δωρήσεται ὑπέρ τῆς πίστεως μόνης ἧς ἔχεις καί πρός αὐτόν καί πρός τήν ἐμήν ταπείνωσιν*». Τοῦτον τοίνυν τόν λόγον ὡς ἐξ αὐτοῦ δεξάμενος τοῦ Θεοῦ καί τό παρά Ἠλιοῦ πρός Ἐλισαιέ γενόμενον ἐννοήσας καί πιστεύσας ὅτι, εἰ καί ἀνάξιος ἐγώ, ἀλλ᾽ ὁ Θεός φιλάνθρωπος, συντόμως ποιῶν τό θέλημα τῶν φοβουμένων αὐτόν, βαλών καί αὖθις μετάνοιαν καί αἰτήσας εὐχήν, ἀπῆλθον πρός τό κελλίον μου, ἐντολήν λαβών ἐξ αὐτοῦ τοῦ ποιῆσαι μόνον Τρισάγιον καί ὑπνῶσαι.

Εἰσελθών οὖν ἔνθα εἰώθην προσεύχεσθαι καί τό «*Ἅγιος ὁ Θεός*» ἐναρξάμενος, μνησθείς τε τῶν λόγων τοῦ ἁγίου, εὐθέως εἰς δάκρυα καί εἰς πόθον θεῖον ἐπί τοσοῦτον ἐκινήθην, ὥστε μή δύνασθαί με διά λόγου παραστῆσαι τήν γενομένην μοι τηνικαῦτα χαράν τε καί ἡδονήν. Ἀλλά γάρ εὐθύς πρηνής πεσών ἐπί γῆς εἶδον, καί ἰδού φῶς πολύ νοερῶς ἐπιλάμψαν μοι καί προσλαβόμενόν μου τόν νοῦν ὅλον ἅμα πρός ἑαυτό καί τήν ψυχήν, ὥστε τῷ ἀθρόῳ τοῦ θαύματος ἐκπλαγῆναί με καί ὡς ἐν ἐκστάσει γενέσθαι. Οὐ μήν ἀλλά γάρ καί ἐπελαθόμην τοῦ τε τόπου, ἐν ᾧ ἱστάμην, καί ὅστις ὑπῆρχον καί ποῦ, μόνον κράζων τό «*Κύριε ἐλέησον*», καθώς καί ἐν συναισθήσει γενόμενος τοῦτο λέγων ἐπέγνων· τίς δέ ἦν ὁ λαλῶν, πάτερ, ἤ κονῶν μου τήν γλῶτταν, οὐκ οἶδα - φησίν- ὁ Θεός οἶδεν. Εἴτε γάρ ἐν σώματι, εἴτε ἐκτός σώματος τῷ φωτί τούτῳ προσωμίλησα, οἶδεν αὐτό τό φῶς, τό καί ἀποδιῶξαν ὅσον ἀχλυῶδες ὑπῆρχεν ἐν τῇ ψυχῇ μου καί ἅπαν γήϊνον φρόνημα, τό ἀπελάσαν ἀπ᾽ ἐμοῦ ὕλην ὅση παχεῖα καί βάρος σώματος τό ἀκηδίαν καί νάρκωσιν ἐμποιῆσαν τοῖς ἐμοῖς μέλεσιν. Οὕτω γάρ ἐτόνωσεν, ὤ θαύματος φρικτοῦ, καί ἐνίσχυσε τήν ἔκλυσιν τῶν ἄρθρων καί νεύρων, τήν ἐκ τοῦ πολλοῦ κόπου μοι τηνικαῦτα προσγενομένην, ὡς δόξαι καί φανῆναί μοι φθορᾶς ἱμάτιον ἀποδύσασθαι. Οὐ μόνον δέ, ἀλλά καί χαράν εὐθέως πολλήν νοεράν τε αἴσθησιν καί γλυκύτητα ὑπέρ πᾶσαν γεῦσιν τῶν ὁρωμένων ἐν τῇ ψυχῇ μου ἀφράστως ἐνέσταξεν, ἔτι δέ, ἐλευθερίαν καί λήθην πάντων λογισμῶν τῶν ἐν τῷ βίῳ, καί αὐτόν τόν τῆς ἐκδημίας τρόπον τῆς παρούσης ζωῆς παραδόξως ἐχαρίσατό μοι καί ἐγνώρισε. Πρός γάρ μόνην τήν ἐκείνου τοῦ φωτός ἄρρητον εὐφροσύνην πᾶσαι καί τοῦ νοός καί τῆς ψυχῆς αἱ αἰσθήσεις μου ἐκολλήθησαν.

Ἀλλά γάρ τοῦ φανέντος μοι - φησίν- ἐκείνου ἀπλέτου φωτός- οὐδέ γάρ ἔχω τι ἕτερον

τοῦτο καλέσαι οἰκεῖον καί κατάλληλον ὄνομα - , ἠρέμα πως ὑπολωφήσαντος καί οἱονεί συσταλέντος, ἐν συναισθήσει ἐγενόμην καί γνούς οἷα ἡ τούτου δύναμις ἀθρόον εἰργάσατο ἐν ἐμοί καί ἐννοήσας τόν αὐτοῦ χωρισμόν καί ὡς πάλιν ἐν τῷ βίῳ μόνον με κατέλιπεν ἀναλογισάμενος, λύπῃ κάτοχος γέγονα καί ὀδύνῃ βαρείᾳ τοσαύτῃ, ὡς ἐκφράσαι ἀξίως ἀπορῶ τό μέγεθος τῆς δίκην πυρός ἀναφθείσης ἐν τῇ καρδίᾳ μου ποικίλης καί σφοδροτάτης ὀδύνης. Λοιπόν οὖν παράστησον - ἔλεγεν - εἰ δύνασαι σύ, πάτερ, τόν τε πόνον τοῦ χωρισμοῦ καί τῆς ἀγάπης τό ἄμετρον καί τό πλῆθος τοῦ ἔρωτος καί τῆς μεγίστης εὐεργεσίας τό ὕψος. Ἐγώ γάρ οὔτε λέγειν διά στόματος δύναμαι οὔτε νῷ καταλαβεῖν τό ἀπέραντον τῆς ὁράσεως.

«*Ἀλλ᾽ εἰπέ μοι σύ, ὦ σεβασμιώτατε πάτερ καί ἀδελφέ, ἔφην ἐγώ, τάς τοῦ ὁραθέντος σοι ἐνεργείας τρανότερον καί σαφέστερον*». Ὁ δέ γλυκύς ἐκεῖνος καί πλήρης Πνεύματος θείου καί θεωρίας ἠξιωμένος προσηνεστάτῃ καί μελιρρύτῳ φωνῇ τάχιστα ἀπεκρίνατο· «*Εὐφραίνει, πάτερ, φαινόμενον καί τιτρώσκει κρυπτόμενον. Καί πλησίον μου γίνεται καί εἰς οὐρανούς ἀναφέρει με. Μαργαρίτης ἐστί. Καί τό φῶς ἐπενδύει με καί ὡς ἄστρον μοι φαίνεται καί ὑπάρχει τοῖς πᾶσιν ἀχώρητον. Ἀπαστράπτει ὡς ἥλιος καί τήν κτίσιν συνεχομένην κατανοῶ ἐν αὐτῷ, τά ἐν αὐτῇ πάντα δεικνύει μοι καί φυλάσσειν προστάττει μοι τά μέτρα τά ἴδια. Συνέχομαι ὑπό στέγης καί τοίχων καί τούς οὐρανούς διανοίγει μοι. Τούς ὀφθαλμούς μου αἴρω αἰσθητῶς τά ἐκεῖσε θεάσασθαι καί πάντα βλέπω καθώς ὑπῆρχον τό πρότερον. Θαυμάζω τό γεγονός καί ἀκούω φωνῆς μυστικῶς λεγούσης μοι ἄνωθεν· 'Ταῦτα αἰνίγματά εἰσι καί προοίμια, τό γάρ τέλειον οὐ θεάσῃ ἕως τήν σάρκα ἐνδέδυσαι. Ἀλλά πρός ἑαυτόν ἐπίστρεφε καί βέπε μή τι πράξῃς τῶν τά ἐνταῦθα ἀποστερούντων σε. Εἰ δέ καί παρασφαλεῖς, εἰς ὑπόμνημα ταπεινώσεως, ἀλλά μή ἀποστῇς τῆς μετανοίας ἐπιμελούμενος. Αὕτη γάρ καί τά προγεγονότα καί τά γινόμενα πταίσματα, τῇ ἐμῇ φιλανθρωπίᾳ ἑνουμένη, ἐξαφανίζει'.*»

Ταῦτα τοίνυν ἀκηκοώς ἐγώ ἐξ αὐτοῦ, πατέρες καί ἀδελφοί, μικροῦ δεῖν ἐξέστην καί ὅλος σύντρομος ἐγενόμην, ἐννοήσας ἐξαυτῆς εἰς ὅσον εὐθύς ὕψος θεωρίας ἀνῆλθε καί γνώσεως ἐκ μόνης τῆς πρός τόν πνευματικόν πατέρα αὐτοῦ ἀγάπης καί πίστεως καί οἵων ἠξιώθη ἐκ προοιμίων τῶν ἀγαθῶν ἰδεῖν καί ἀπολαῦσαι, ὡς ἤδη τήν ἀνθρωπίνην ἀσθένειαν ἀποβαλλόμενος καί ἄγγελος γεγονώς ἐξ ἀνθρώπων.

Διά τοῦτο οὖν παρακαλῶ ὑμᾶς, ἐν Χριστῷ ἀδελφοί, ἀπορρίψωμεν μακράν ἀφ᾽ ἑαυτῶν πᾶσαν σχέσιν καί πᾶσαν μέριμναν τῆς παρούσης ζωῆς, μισήσωμεν τάς ἡδονάς τῆς σαρκός, τήν εὐπάθειαν τοῦ σώματος, τήν ἄνεσιν καί ἀργίαν, δι᾽ ὧν ἰσχύει τό χεῖρον κατά τοῦ κρείττονος· δεῦτε, ἀναλαβώμεθα πίστιν εἰλικρινῆ πρός τόν Θεόν καί τούς κατά Θεόν πατέρας καί διδασκάλους ἡμῶν, κτησώμεθα συντετριμμένην καρδίαν, τεταπεινωμένον τό φρόνημα τῆς ψυχῆς καί καθαράν τήν καρδίαν διά δακρύων καί μετανοίας ἀπό παντός σπίλου καί ῥύπου τῆς ἁμαρτίας, ἵνα καί ἡμεῖς ἀξιωθῶμεν ἐλάσαι ποτέ εἰς μέτρα συντόμως τοιαῦτα καί ἰδεῖν καί ἀπολαῦσαι τῶν ἀπορρήτων ἀγαθῶν ἔνθεν ἤδη τοῦ θείου φωτός, εἰ καί μή τελείως, ἀλλ᾽ ἐκ μέρους καί ὅσον χωροῦμεν κατά τήν ἀναλογίαν τῆς

καθάρσεως ἡμῶν. Οὕτω γάρ καί ἑαυτούς ἑνώσομεν τῷ Θεῷ καί ὁ Θεός ἑνωθείη ἡμῖν καί τοῖς ἐγγίζουσιν ἐσόμεθα φῶς καί ἅλας καί εἰς μεγάλην ὠφέλειαν ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα εἰς τούς αἰῶνας. Ἀμήν.

# Λόγος ΙΖ΄. Περί θεωρίας καί ἀποκαλύψεως καὶ πεφωτισμένης εὐχῆς. Καί ὅπως ὁ ὑπό τῆς ἀγάπης κατασχεθείς τοῦ Θεοῦ καί εἰς βάθος ταπεινοφροσύνης ἐλάσας, ἐνεργεῖται ὑπό τοῦ Πνεύματος τοῦ Ἁγίου.

Ἀδελφοί καί πατέρες, πολλή ἡ συγκατάβασις καί ἡ φιλανθρωπία Θεοῦ πρός ἀνθρώπους. Διό καί ἐκπληττόμενος εἰς τήν τοῦ Θεοῦ ἄφατον ἀγαθότητα, οὕτω πως καταπληκτικόν ἀνακράζω· «*Ὦ θαύματος ἔκπληξις καί ἐντολῶν Θεοῦ δύναμις, οἵους ἀπεργάζονται τούς ποιοῦντας καί φυλάσσοντας αὐτάς!*»

Ἀρχήν γάρ ποτε βαλών ἐν αὐταῖς, μικρόν ἀνανήψας ἐκ βάθους κακῶν καί σκοτώσεως, φόβῳ μέν συνειχόμην τοῖς κακοῖς μου σφιγγόμενος, ἀγάπη δέ ὡς ἀληθῶς καί τοῦ καλοῦ με ἡ ἔφεσις πρός αὐτό τό πλεῖστον ἐπέστρεφεν.

Ὅλον δέ ἦν τό τελούμενον φυγή κακῶν, πρός τά καλά συνωθοῦσά με. Ἕν μόνον ἐν μέσῳ τούτων ὑπῆρχε τό ἀηδίζον με, τῶν προλήψεων ἡ συνήθεια καί ἦθος κακόν καί φιλήδονον, ὅπερ τῇ ἐπιμόνῳ τῆς εὐχῆς ἐργασίᾳ καί τῇ μελέτῃ τῶν θείων λογίων καί τῷ ἐν ἕξει γενέσθαι τῶν ἀγαθῶν ἀφανίζεται. Ὥσπερ γάρ τοῦ ἡλίου κατά μικρόν ἀνετέλλοντος ὑποχωρεῖ τό σκότος καί ἀφανίζεται, οὕτω καί ἀρετῆς αὐγαζούσης οἵα δή σκότος ἡ κακία ἐλαύνεται καί ἀνυπόστατος δείκνυται, καί τηνικαῦτα μένομεν διαπαντός ἀγαθοί, καθά πρώην ὑπήρχομεν πονηροί. Διά μικρᾶς οὖν ὑπομονῆς καί προαιρέσεως ἐλαχίστου ἤ μᾶλλον εἰπεῖν Θεοῦ βοηθείᾳ τοῦ ζῶντος ἀναπλαττόμεθα καί ἀνανεούμεθα, ψυχήν καί σῶμα καί διάνοιαν καθαιρόμενοι, καί γινόμεθα ἅπερ ἀγνοοῦντες τυγχάνομεν, ὑπό τῶν παθῶν καλυπτόμενοι, καί προσλαμβάνομεν ἅ οὐκ ἐσμέν ἄξιοι.

Ἐξ ὧν ἔλαβον κἀγώ, ὁ πάντων εὐτελέστερος καί ἀχρεῖος - καλόν γάρ ἀνακηρύττειν εὐγνωμόνως τάς εὐεργεσίας τοῦ Θεοῦ τοῦ φιλανθρώπου -, τῇ τοῦ ἐμοῦ Σωτῆρος Ἰησοῦ Χριστοῦ χάριτι. Ἔλαβον δέ τῇ χάριτι χάριν καί τῇ εὐργεσίᾳ εὐεργεσίαν καί τῷ πυρί πῦρ, φλόγα δέ τῇ φλογί καί τῇ ἀναβάσει προσετέθησαν ἀναβάσεις μοι, τῷ δέ τέλει τῆς ἀναβάσεως φῶς καί τῷ φωτί φῶς τρανότερον. Καί μέσον τούτου πάλιν φαιδρός ἔλαμψεν ἥλιος καί ἐξ αὐτοῦ ἐφάνη ἀκτίς καί αὕτη τά πάντα ἐπλήρωσε καί τό νοούμενον ἀκατάληπτον, ἐν οἷς ἔμεινά τε ἐγώ δακρύων ἡδύτατα καί θαυμάζων τά ἄφραστα. Νοῦς δέ θεῖος τῷ ἐμῷ νοΐ προσωμίλει καί οὕτω λέγων ἐδίδασκεν· «*Ἔγνως οἷόν σε ἡ ἐμή δύναμις ἀπετέλεσε φιλανθρώπως δία πίστιν καί ὑπομονήν μικράν, τήν ἀγάπην σου βεβαιοῦσαν; Ἰδού ὑπό θάνατον ὤν, ἐγένου ἀθάνατος καί κρατούμενος τῇ φθορᾷ, εὑρίσκῃ ταύτης ἐπάνω. Κόσμον οἰκεῖς καί σύν ἐμοί ὑπάρχεις, σῶμα ἐνδέδυσαι καί οὐδεμιᾷ τῶν τοῦ σώματος ἡδονῶν ὑποσύρῃ. Μικρός εἶ τό ὁρώμενον καί νοερῶς ὁρᾷς. Πάντως ἐγώ σε ἐκ τοῦ μή ὄντος εἰς τό εἶναι παρήγαγον*».

Πρός ἅ τρόμῳ καί χαρᾷ ἀνταπεκρινάμην καί ἔλεγον· «*Τίς εἰμί ἐγώ, Κύριε, ὁ*

*ἁμαρτωλός καί ἀκάθαρτος, ὅτι δή καί ὅλως ἐπέβλεψας ἐπ' ἐμέ καί ὁμιλίας ἠξίωσας; Ὁ ἄχραντος, ὁ ἀόρατος καί τοῖς πᾶσιν ἀπρόσιτος, πῶς ἐμοί προσιτός καί γλυκύς καί φαινόμενος ὡραιότατος διά τῆς ἀπαστραπτούσης σου δόξης καί χάριτος δείκνυσαι;*».

Ταῦτα ἤκουον μέν μυστικῶς καί παραδόξως ἀπεκρινάμην, τό δέ ὑπέρ φύσιν ἐξέπληττε καί τό φοβερόν ἀποστῆναί με ἠνάγκαζε. Τό ἄφραστον κάλλος τοῦ φαινομένου ἐτίτρωσκέ μου τήν καρδίαν καί πρός ἀγάπην εἷλκε με ἄπειρον, ἡ δέ ἀγάπη ἐποίει με πρός τά κάτω μή στρέφεσθαι, ἀλλ' ὡς ἤδη τελείως καί ἔξω τῶν δεσμῶν τῆς σαρκός γεγονώς, ἔχαιρον καί πάλιν ἤμην τό ὅλον ἄνθρωπος. Πληροφορία τῆς συγχωρήσεως τῶν ἁμαρτιῶν μοι ἐδίδοτο καί ὑπέρ πάντα ἄνθρωπον ἔβλεπον ἐμαυτόν ἁμαρτωλότερον. Ἀπιστῆσαι τῷ λαλοῦντι οὐκ εἶχον καί πιστεῦσαι ἐφοβούμην διά τήν τῆς ἐπάρσεως ἔκπτωσιν. Ἀκουσίως ταύτης καθέλκομαι διά τό μέτρον τῆς ἀνθρωπότητος καί τό τῆς ταπεινώσεως ἀσφαλέστερον. Πολλά γινώσκω τῶν τοῖς πλείοσιν ἀγνοουμένων καί ὑπέρ ἅπαντας ἀνθρώπους εἰμί ἀγροικότερος. Χαίρω ὅτι μοι Χριστός, ᾧ πεπίστευκα, ἐδωρήσατο βασιλείαν αἰώνιον καί ἀσάλευτον καί ὡς ἀνάξιος τῶν ἐκεῖσε κλαίω διαπαντός καί κλαίων οὐ παύσομαι. Ἀνοῖξαι τό στόμα καί συγχώρησιν αἰτήσασθαι τῶν ἐμοί πεπραγμένων οὐ τολμῶ καί ὑπέρ ἄλλων ἐξ ἀγάπης παρρησιάζομαι και - ἵν' ἀφρόνως εἴπω - καί εἰσακούομαι. Ὡς υἱός παρίσταμαι καί οὕτω διάκειμαι ὡς ξένος ἀπαρρησίαστος. «*Εὖ δοῦλε πιστέ*» ἀκούω καί τά ἑξῆς, καί ὅλως ἐν ἀληθείᾳ εὑρίσκομαι μηδέ τό ἕν φυλάξας τάλαντον ἐκ πάντων ὁμοῦ τῶν δοθέντων μοι. Τῶν καλῶν καταλαβεῖν δοκῶ τό ἀκρότατον καί εἰς τήν ἄβυσσον τῶν ἁμαρτιῶν μου κάτω κείμενος κατέχομαι καί τῇ ἀπογνώσει βυθίζομαι καί ὅταν πάντων κατώτερος γένωμαι, τότε ὑπεράνω τῶν οὐρανῶν ἀναφέρομαι καί τῇ ἀγάπῃ πάλιν ἑνοῦμαι Χριστῷ τῷ Θεῷ ἡμῶν, ᾧ καί ἐλπίζω, τῆς γεώδους ταύτης καί βαρείας σαρκός στερηθείς, παραστῆναι ἐγγύτερον, οὐ μήν ἀλλά γάρ καί μυηθῆναι σαφέστερον τῆς ἐκεῖ ἀγάπης τήν αἰώνιον εὐφροσύνην καί ἀγαλλίασιν.

Ταῦτα τοιγαροῦν, ἀδελφοί μου, γράψαι ἠθέλησα οὐχ ὡς δόξαν θηρᾶσαι βουλόμενος - ἄφρων γάρ ὁ τοιοῦτος καί τῆς ἄνω δόξης ἀλλότριος - , ἀλλ' ὅπως εἰδότες ἔσεσθε τήν ἄμετρον φιλανθρωπίαν τοῦ Θεοῦ καί οἷον ὑπάρχει τῶν ἐντολῶν τό φορτίον τό ἐλαφρότατον αὐτοῦ τοῦ Σωτῆρος ἡμῶν Χριστοῦ καί Θεοῦ καί ὅση τῆς αὐτοῦ δωρεᾶς ἡ ἀντίδοσις - ἅ καί μανθάνοντες ἤ ἐπιποθήσατε τῆς αὐτοῦ ἀγάπης ἐπιτυχεῖν ἤ τό ταύτης ἀποτυχεῖν ὡς αἰώνιον θάνατον φοβήθητε καί φρίξατε -, διδαχθήσεσθε δέ πρός τούτοις καί ταπεινώσεως ὕψος καί τελείας ἀγάπης τεκμήριον, ἔτι δέ καί τό ἐμπόρευμα τῆς τοῦ Θεοῦ συγκαταβάσεως γνώσεσθε καί τό δῶρον τῆς μεγάλης αὐτοῦ καί ἀκενώτου πρός ἡμᾶς κενώσεως εἴσεσθε καί τόν φρικτόν τρόπον τῆς χοϊκῆς ἀναπλάσεως καταμάθετε, ὅπως τε ζῶσιν οἱ πιστεῦσαι θελήσαντες τῷ σταυρωθέντι Χριστῷ, οἱ μιμησάμενοι δηλονότι τήν αὐτοῦ ὑπακοήν καί ταπείνωσιν καί νεῦσαι βουληθέντες ἐκ τῶν χειρόνων ἐπί τά κρείττονα, καί ὅπως ἀλλοιοῦνται οἱ διά τήν ἀγάπην τοῦ ἡμᾶς ἀγαπήσαντος πάντα καταλιμπάνοντες, μηδενός δέ τῶν ἐνεστώτων ἤ μελλόντων στερούμενοι, ὅπως γίνονται παραδόξως οἱ σκοτεινοί φῶς, τῷ μεγάλῳ φωτί πλησιάσαντες, οἵ καί τῶν κάτω, καθά καί

Μωσῆς ποτε, θεοί ἀποκαθίστανται, τοῖς ἄνω ἑνούμενοι, καί μετά πάντων ὄντες οὐδαμῶς ἐκ τῆς συνουσίας τῶν ἄλλων μολύνονται· καί εὐεργετοῦντες τούς πλησιάζοντας ζημίαν τοῦ καλοῦ οὐδεμίαν ὑφίστανται, ἀλλά μεταδίδοντες καί ἑτέροις τόν ἔλεον λαμβάνουσι πλέον ἤ διδοῦσι, μᾶλλον τῷ ὁμοιοῦσθαι φιλανθρώπως τῷ φιλανθρώπῳ, ὅσον ἀνέλθωσι ταπεινούμενοι καί ὅσον ταπεινωθῶσιν ὑψούμενοι, πάντων ἀποροῦντες τῇ ταπεινώσει τῶν ἀναγκαίων καί μηδενός λειπόμενοι, τρεφόμενοι τῇ αἰωνίῳ ζωῇ τῆς ἁγίας ἀγάπης.

Ἰδού οὖν ἀνεκάλυψα ὑμῖν τοῖς φίλοις καί ἀδελφοῖς μου τά ἐν ἐμοί κεκρυμμένα μυστήρια - τό τέλος τῆς ἐμῆς ζωῆς ἐγγίζον ὁρῶ ὅσον οὔπω -, ἵνα εἰδῆτε καί μετανοίας τρόπους, ἀρχῆς τε καί μεσότητος ἀναβάσεις καί προκοπάς καί τελειότητος μέτρα, καί σπουδάσητε μιμήσασθαι, εἰ μή τινα ἄλλον, τόν γοῦν γεγεννηκότα πάντως ὑμᾶς καί ἐκ ψυχῆς ἀγαπήσαντα, γαλακτοτροφήσαντά τε τῷ λόγῳ τοῦ Θεοῦ καί τῷ ζωογονοῦντι θρέψαντα ἄρτῳ καί βαδίζειν ὑποδείξαντα ἐν τῇ ὁδῷ τῶν σωτηρίων ἐντολῶν τοῦ Θεοῦ, ᾧ πρέπει πᾶσα δόξα νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

# Λόγος ΙΗ΄. Περί μεθόδων τοῦ πονηροῦ, ὧν ὑποβάλλει τοῖς κουφοτέροις καί φιλοπρωτεύουσιν, ὁπόταν ὁ ποιμήν ἐξ ἀνθρώπων γένηται. Καί ὅτι χρή τούς μέν ἀναξίως ἐπιπηδῶντας τῇ ἀρχῇ πάσῃ κωλύειν συνωθεῖν ἐπί τοῦτο καί συνεργεῖν. Καί πρός τῷ τέλει, πρός τόν ποιμένα.

Ἀδελφέ, εἰ λαοῦ καί ποίμνης ἡγούμενος κατεστάθης, σκόπησον καλῶς καί ἀνάκρινον σεαυτόν ποίῳ λογισμῷ καί ἐκ ποίου τρόπου εἰς τήν τοιαύτην κατέστης ἀρχήν. Εἰ μέν οὖν εὑρήσεις σεαυτόν κἄν ψιλῷ λογισμῷ ἐνθυμηθέντα, ὅτι διά τήν τῶν ἀνθρώπων τιμήν ταύτῃ ἐπέδραμες ἤ διά προεδρίαν ἤ διά δόξαν, εἴτε ὡς μή καταδεξαμένου σου παρ᾽ ἑτέρου ἄρχεσθαι ἀδελφοῦ διά τό οἴεσθαι μή εἶναί σου εὐλαβέστερον ἤ λογιώτερον ἕτερον, ἤ διά τό ἔχειν τάς σωματικάς χρείας περισσότερον τῶν ἄλλων ἁπάντων καί τήν δουλείαν καί τήν ἀνάπαυσιν, ἤ διά τό τινάς τῶν ἰδίων καί συγγενῶν εὐεργετῆσαι καί φίλους κτήσασθαι τούς κατά σάρκα περιπατοῦντας, ἤ διά τό ὀνομαστόν σε ἐκ τῆς ἡγουμενίας γενέσθαι καί καί τῆς τοῦ κόσμου βασιλεῦσι καί ἄρχουσι γνώριμον, εἴτε καί κατά φθόνον - ὡς ὅτι οὐκ ἤθελες, ἀλλ᾽ ἵνα μή γένηται ὁ δεῖνα ὁ ἀδελφός - ἐσπούδασας τοῦ γενέσθαι σύ, ἤ καί διά τήν τῶν ἀνθρώπων αἰσχύνην, ἵνα μή ἀκούσωσι πάντες ἤ καί παραγενόμενοί τινες ἴδωσιν ὅτι ἄλλος ὑπέρ σέ προεκρίθη καί καταγνώσωσί σου ὡς μή ἐναρέτου, γινώσκων γίνωσκε ὅτι οὐ κατά Θεόν ἐγένετό σου ἡ πρόβλησις. Καί ἵνα σοι, ἐξ ὧν ὑποτίθεται ὁ πονηρός ἑκάστῳ τῶν ἐν κοινοβίῳ καθεζομένων, σαφέστερον τοῦτο ποιήσωμαι, ἐντεῦθεν ἄκουε τάς ἐπιβουλάς καί ὑπονοίας τοῦ Σατανᾶ.

Ὑποβάλλειν ἄρχεται ὁ ἐχθρός, ὅταν ὁ ποιμήν πρός Κύριον ἐκδημήσῃ, ἕτερον δέ ὀφείλει ἐκλέξασθαι ἡ ἀδελφότης, καί λέγειν ἑκάστῳ κατά τό ἴδιον πάθος, κατά τό ἴδιον θέλημα, κατά τήν ἰδίαν κατάστασιν. Ἐάν οὖν ὦσιν ἐν τῇ ποίμνῃ ἐκείνῃ τῶν εὐλαβεστέρων τινές, ταῦτα ἑκάστῳ αὐτῶν ὑποτίθεται καί φησίν· «*Εἰ ἐγένου σύ ἐνταῦθα ποιμήν καί ἡγούμενος, εἶχες ἄν πάντως ὠφελῆσαι καί σῶσαι καί τῶν σῶν αὐτοῖς ἀρετῶν μεταδοῦναι, ἐπεί ὁ δεῖνα ἤ ὁ δεῖνα ἀδελφός ἐν τῷ πράγματι τοῦτο οὐ ποιεῖ*». Εἰ δέ καί γνώριμος τοῖς κατά κόσμον ἐστίν, ὑποβάλλει αὐτῷ ὅτι· «*Καί πολλούς ἄν ἑλκύσαι εἶχες πρός τήν μοναχικήν πολιτείαν καί ἐξαγαγεῖν αὐτούς ἐκ τοῦ κόσμου, καί στόμα ἄν ἐγένου Χριστοῦ· ὁ γάρ ἐξάγων, φησί, τίμιον ἐξ ἀναξίου ὡς στόμα μου ἔσται. Εἶχον δέ προσαγαγεῖν οἱ τοιοῦτοι καί ἀποταγάς μεγάλας καί τάς ὑποστάσεις αὐτῶν ἐν τῇ μονῇ ἐπιδοῦναι, καί προστεθῆναι εἶοχε τό μοναστήριον καί οἷον τοῦ μεγάλου Εὐθυμίου καί Σάβα καί Παχωμίου τῶν ἁγίων γενέσθαι. Ἀλλά γάρ πρός τούτοις καί αὐτός περισσοτέραν ταπείνωσιν εἶχες κτήσασθαι, ἵνα ἔβλεπον καί ἐμιμοῦντό σε οἱ ἀδελφοί, ὡς γάρ ἔσχατον πάντων ἄν διῇγες ἐν τῇ μονῇ καί βαστάζειν εἶχες πάντων τά βάρη, πάντων τά ἐλαττώματα. Καί οὕτως οὐ μόνον ὠφελήσας τούς πολλούς, ἀλλά καί αὐτός σύ ὠφελήθης μᾶλλον ψυχικῶς καί σωματικῶς εὗρες μεγάλην ἀνάπαυσιν*».

Ταῦτα τοίνυν ὑποβάλλει τοῖς δῆθεν ἀγωνιζομένοις ἐν τῷ σεμνείῳ. Ἄρχεται οὖν ἕκαστος αὐτῶν ἀποκαλύπτειν τόν ἴδιον λογισμόν πρός ὅν ἄν θαρρεῖ ἀδελφόν καί δῆθεν ὡς ἀστειαζόμενος καί μετριάζων, ἵνα μή καταγνωσθῇ ὡς φιλόδοξος, φησί· «*Ἄρτι, κῦρι ὁ δεῖνα, ἐάν ἐφρονοῦσαν οἱ ἀδελφοί, οὐ μή εἶχον ποιῆσαί με ἡγούμενον;*». Ὁ δέ ἴσως ἀποκρίνεται καί λέγει· «*Πίστευσόν μοι, πάτερ, σύ μέν, οἶδα ὅτι μετριάζεις, ἐπεί πρό πολλοῦ τοῦτο χρόνου ἐνεθυμούμην ἐγώ, ἀλλ᾽ εὐλαβούμην εἰπεῖν σοι περί τούτου, ἵνα μήπως ὡς τά παρά γνώμην σου λαλοῦντά μοι μέμψῃ*». Εἶτα πάλιν ἐκεῖνός φησι· «*Καλῶς εἶπας, ἀδελφέ. Πίστευσον, οὐ χρήζω γενέσθαι, ἀλλ᾽ ἵνα μή ἀδιάφορός τις γένηται καί τό μοναστήριον καταστρέψῃ καί τούς ἀδελφούς λυπήσῃ, ἐάν ἤθελον οἱ ἀδελφοί ἵνα ἐγενόμην, καί πάντως ποιῆσαι εἶχον σέ οἰκονόμον, τόν δεῖνα καί δεῖνα κελλαρίτην καί ἀποθηκάριον, ἐγώ δέ ἐσχόλαζον πάντως εἰς μόνα τά ψυχικά καί ἵνα ἤμην ἀπό τῶν πραγμάτων ἐλεύθερος*». Ἀκούει ταῦτα ὁ ἀδελφός καί ὅτι οἰκονόμον μέλλει τοῦτον ποιεῖν, καί ἀπελθών θαρρεῖ ταῦτα τοῖς ἀδελφοῖς οὕς εἶπε ποιήσειν διακονητάς.

Ταῦτα τοίνυν καί τρεῖς ἐκ τῶν εὐλαβεστέρων ἴσως ποιοῦσιν, ἀγνοοῦντες τάς μεθόδους τοῦ πονηροῦ· τοῖς δέ γε σαρκικωτέροις καί ἀμελῶς ἔχουσι περί τήν ἑαυτῶν σωτηρίαν ταῦτα ὑποβάλλει καί ὑποτίθησιν ὁ ἐχθρός, τήν τρυφήν, τήν δόξαν καί τήν παρά πάντων τιμήν. «*Καί ἵνα μή ἐκ τῶν ὑποκριτῶν, φησί, γένηταί τις καί ψευδοευλαβῶν τούτων, σπούδασον γενέσθαι σύ. Εἰ γάρ μή τοῦτο ποιήσεις, μέλλεις πάντως δεδεμέναις χερσί τῷ γενομένῳ παρίστασθαι καί ἀτιμάζεσθαι παρ᾽ αὐτοῦ. Ἀλλά γάρ καί ἐποχούμενος ἔσται ἐκεῖνος ἐν ἡμιόνοις πολυτίμοις, σύ δέ πεζοπορῶν ἔσῃ καί κοπιῶν· ἐκείνῳ διάφορος ἑτοιμασθήσεται τράπεζα καί ἄρτος ὡσαύτως καί οἶνος, σοί δέ ἡ λαχανώδης καί σπερματώδης καί τοῖς πᾶσι κοινή. Ἐκεῖνος καθεσθήσεται ἐπί θρόνου καί πρῶτος, σύ δέ μέσον τῶν ἄλλων ἤ καί τῶν λοιπῶν ἔσχατος· ἀγαπᾷ γάρ διαφερόντως τόν δεῖνα, καί εἰ γένηται ἡγούμενος, ὑπέρ σέ τιμήσας ἐπάνω σου προκαθίσει αὐτόν, καί πῶς βαστάσεις τήν αἰσχύνην τῶν ἀδεφλῶν; Οὐ μόνον δέ ἀλλά καί ὁ δεῖνα εὐλαβέστερός σού ἐστι, καί ἴσως παρ᾽ ἐκείνου προτιμηθῇ; Ἔτι δέ ἴσως καί ἀπό τῶν ἐμφανῶν καί ἐνδόξων ἀποκεῖραι ἔχει, καί μέλλουσιν ἐκεῖνον μέν τιμᾶν ὡς ἡγούμενον, ἐκεῖνος δέ πάλιν ἐκείνους ὡς ἀξιωματικούς καί ὡς ἀποκαρέντας παρ᾽ αὐτοῦ τιμῆσει καί σοῦ ὑπερκαθίσει αὐτούς, σέ δέ εἰς τό διαζύγιον ἀπολύσει ἤ καί παντελῶς ἵστασθαί σε καί διακονεῖν προτρέψεται. Καί πρός ταῦτα τί ἄρα μέλλεις ποιεῖν; Λαλῆσαι οὐ τολμᾷς· εἰσί γάρ οἱ ἀγαπῶντες αὐτόν καί εὐθύς ἐπιστομίσουσί σε. Τάχα δέ ἴσως καί τύψουσί σε ἀντιλέγοντα, καί χείρων ἔσται ἡ ἀτιμία. Ὑποχωρῆσαι τῆς μονῆς κατάγνωσίς σού ἐστι, καί πᾶς ἄνθρωπος καταγελάσεται καί καταμέμψεταί σε, καί οὐδέ εὑρήσεις ἀλλαχοῦ ἀνάπαυσιν· ἔνθα γάρ ἀπέλθῃς, ὡς ξενοκουρίτης πάντων ἔσχατος εἶναι ὀφείλεις. Ὑπομένειν ταῦτα καί εἶναι ἐν τῇ μονῇ σου οὐ δύνασαι. Λοιπόν οὖν πάσῃ δυνάμει ἀγώνισαι μή νικήσῃ τις τῶν εὐλαβεστέρων*». Εἶτα σκέπτεται καί λέγει ἐν ἑαυτῷ· «*Πάντες γινώσκωσι τόν δεῖνα ἀδελφόν καί τόν δεῖνα εὐλαβεστέρους καί μέλλουσιν ἐκείνους ζητεῖν κἀμέ παραβλέψασθαι. Ἀλλ᾽ ἀπελθών ἐγώ τόν δεῖνα κρατήσω ἀδελφόν καί τόν δεῖνα· αὐτοί γάρ τρυφᾶν ἀγαπῶσι, παίζειν τε καί χαίρεσθαι καί τῆς μονῆς ἐξέρχεσθαι συνεχῶς καί διάγειν ἐν οἷς θέλουσιν. Αὐτοῖς οὖν καί συντάξομαι. Ἄλλως τε καί ὅσα ἄν μοι εἴπωσι, καί*

*αὐτοί ἀγωνίσονται σπουδαίως ἵνα ἡγούμενος γένωμαι»*. Τοιγαροῦν καί ἀπελθών, οὕτω κατά τήν ματαίαν αὐτοῦ μελέτην καί ποιεῖ. Φησί δέ καί τοῦτο πρός ἑαυτόν· «*Ὁ δεῖνα ἀδελφός εὐλαβής ἐστι καί τοῦ πράγματος τούτου οὐ χρήζει, ἔχει δέ συγγενεῖς καί φίλους καί βούλεται θεραπεύειν αὐτούς ἀπό τῆς μονῆς. Ἀπελθών λαλήσω κἀκείνῳ, καί ὁμοίως συντάξομαι*». Περιέρχεται οὖν τό μοναστήριον συνεχῶς καί ἁπλῶς ἕκαστον παρακαλῶν κατ' ἰδίαν καί συντασσόμενος πληρῶσαι πάντων τά καταθύμια ἐν ἀγωνίᾳ καί τρόμῳ ὑπάρχει πολλῷ, φόβῳ τοῦ μή ἀποτυχεῖν τοῦ σκοποῦ.

Ἐκ τούτων οὖν καί ἑτέρων πολλῶν σχίσματα, διχόνοιαι καί στάσεις γίνονται ἐν τῷ μοναστηρίῳ πολλαί, τῶν μέν εὐλαβεστέρων πρός τό καί ἑαυτούς καί ἄλλους ὠφελῆσαι σπευδόντων, τῶν δέ σαρκικωτέρων τήν ἑαυτῶν μόνον δόξαν ζητούντων, τό πρόσκαιρον κέρδος καί τάς τοῦ σώματος ἡδονάς, τοῦ δέ λοιποῦ πλήθους ζητοῦντος κατά τάς ἰδίας ἐπιθυμίας τόν ἄγοντα καί τῷ ὁμοίῳ προστρέχοντος. Σύ οὖν, πνευματικέ ἀδελφέ, ἄκουσον μετά προσοχῆς, παρακαλῶ, τῶν ἐμῶν ῥημάτων· οὐ γάρ ἀπ' ἐμαυτοῦ λαλήσω, ἀλλ' ἅπερ ὁ μόνος σοφός καί εὔσπλαχνος λαλῆσαι θελήσει σοι.

Ἐάν ᾖς ἐν κοινοβίῳ ἀδελφῶν καθεζόμενος, κατά τοῦ ἀποκείραντός σε πατρός μή θελήσῃς γενέσθαι ποτέ, εἰ καί πορνεύοντα, εἰ καί μεθύοντα βλέπεις αὐτόν καί τῷ δοκεῖν σοι κακῶς τά τῆς μονῆς διεξάγοντα πράγματα, εἰ τύπτεσαι καί ἀτιμάζεσαι παρ' αὐτοῦ καί πολλαῖς ἄλλαις καθυποβάλλεσαι θλίψεσι. Μή συγκαθεσθῇς τοῖς λοιδοροῦσιν αὐτόν, μηδέ πορευθῇς μετά τῶν μελετησάντων κατ' αὐτοῦ. Ὑπόμεινον δέ αὐτόν μέχρι τέλους μηδέν περιεργαζόμενος τῶν ἐκείνου κακῶν. Ὅσα οὖν ἀγαθά βλέπεις ποιοῦντα αὐτόν, βάλε ἐν τῇ καρδίᾳ σου καί ἐκείνων μόνων βιάζου μιμνήσκεσθαι· ὅσα δέ ἀπρεπῆ καί κακά ἤ ἐργαζόμενον ἤ λέγοντα ἴδῃς, ταῦτα σευτῷ ἐπίγραφε καί ὡς ἴδιά σου ἁμαρτήματα λογίζου καί μετανόει ἐν δάκρυσιν, ἔχων ὡς ἅγιον ἐκεῖνον καί ἐπικαλούμενος τήν εὐχήν αὐτοῦ.

Εἰ δέ συμβῇ αὐτῷ θάνατος, καί ἕτερον προβαλέσθαι ἡγούμενον οἱ ἀδελφοί βούλονται, πρόσεχε ἐάν γινώσκῃ σου ἡ συνείδησις ἴσον σου εἶναι ἀδελφόν τινα τῆς μονῆς ἤ καί μείζονα λόγῳ καί ἔργῳ καί πράξεσιν ἀγαθαῖς, καί διά τοῦτο παρά τῶν ἀδελφῶν εἰς ἡγούμενον προτιμώμενον. Μή θελήσῃς γενέσθαι ἀντίχριστος, τῇ βουλῇ τοῦ Θεοῦ δηλαδή καί τῷ ἀδελφῶν ἀντικείμενος, τῷ ἀγαθῷ καί χρηστῷ, λόγους λαλῶν ἤ ἔργα ἐπιτηδεύων ὁπωσοῦν σκανδάλου καί ὑπονοίας, ὡς ἄν ἀποστάσῃς τινάς τῶν ἀδελφῶν ἐκ τῆς πρός ἐκεῖνον ἀγάπης καί πίστεως, ἀλλά πάσῃ χαρᾷ καί ταπεινώσει κατάδεξαι καί συνέργησον καθαρῶς τῇ θελήσει τῶν ἀδελφῶν. Εἰ δέ καί εὐλαβέστερον ἄλλον παρά τόν ψηφιζόμενον ἐπίστασαι εἶναι, εἰπέ τῷ μελλόντι γίνεσθαι ἀδελφῷ κατ' ἰδίαν· «*Κῦρι ἀδελφέ, σύ Θεοῦ χάριτι εὐλαβής ὑπάρχεις καί πνευματικός, καί καθώς ἐπίστασαι, πάντα εἰς δόξαν Θεοῦ ποιεῖν ὀφείλομεν καί εἰς σωτηρίαν τῶν ἡμετέρων ψυχῶν. Καί οἶδας ὅτι ἀδελφός ἡμῶν ὁ δεῖνα εὐλαβής ἐστι καί ἐνάρετος. Καί ἄν κελεύῃς, ἄς ποιήσωμεν ἐκεῖνον ἡγούμενον, καί ἔχει καλῶς ποιμᾶναι πᾶσαν τήν ἀδελφότητα. Συναγωνισώμεθα δέ αὐτῷ πάσῃ δυνάμει καί ἡμεῖς, καί τόν μισθόν, πίστευσον, ἵνα ἕξωμεν μετ' αὐτοῦ καί σύν αὐτῷ*

*καί τήν συνείδησιν ἡμῶν ἀκατάκριτον. Ἀλλά γάρ καί αὐτόν ἐν τούτῳ τόν Θεόν θεραπεύσομεν καί πάντες ἡμᾶς ἐπαινέσουσιν ὅτι οὐχ ἑαυτούς συνεστήσαμεν, ἀλλ' ὅν ὁ Θεός ἤθελεν*». Εἰ μέν οὖν ἔχει ταπείνωσιν ὁ ἀδελφός καί τήν ψυχήν ἀπηλλαγμένην φιλοδοξίας, χωρίς δέ πάσης προσπαθείας τῆς εἰς τόν ἕτερον, λέγει καί αὐτός αὐτῷ ταῦτα, καί πάσης ἄλλης πονηρᾶς ὑπονοίας πληροφορεῖ αὐτόν ὁ Θεός· καί δέξεται πάντως τούς λόγους σου καί εὐθύς ὑπακούσει σου. Καί τηνικαῦτα οἱ ἀμφότεροι λαλεῖτε πάσῃ τῇ ἀδελφότητι, καί γίνεται τό θέλημα τοῦ Θεοῦ.

Εἰ δέ σύ μέν λέγεις ἀπροσπαθῶς ὑπέρ τοῦ πνευματικωτέρου ἀδελφοῦ, ὁ δέ ἀδελφός οὐχ ὑπακούει σου, ἀλλά πρός δικαιολογίας κινηθῇ συνιστῶν ἑαυτόν, γίνωσκε ὅτι ὑπό φιλοδοξίας κατέχεται, καί σπούδασον παντί τρόπῳ, ὡς Χριστοῦ διάκονος, ἐκ καθαρῷ τῷ μαρτυρίῳ τῆς σῆς συνειδήσεως τόν πνευματικώτερον ἀδελφόν γενέσθαι ἡγούμενον. Εἰ δέ καί ὑποβληθείς παρά τοῦ ἐχθροῦ ἤ καί δοκιμάζων σε, λέγει σοι· «*Γενοῦ λοιπόν σύ, ἐπεί ἐκεῖνον ὅν λέγεις οὐκ ἐῶ γενέσθαι, χαίρω δέ εἰς σέ*», μή συγκατασπασθῇς τῷ πάθει αὐτοῦ μηδέ τῷ ἐκείνου πτώματι περιπέσῃς, ἀλλά φύλαξόν σου τήν τῆς ψυχῆς παρθενίαν ἄφθορον τῷ Χριστῷ, ὑπ' οὐδεμιᾶς ἐπιθυμίας κλαπεῖσαν πρός ἡδονῆς ἐπιθυμίαν. Ἀλλά γάρ μήτε ὑπό φόβου ἐκκλίνῃς τοῦ ἀγαθοῦ καί τόν πονηρόν καταδέξῃ γενέσθαι, λέγων ἐν σεαυτῷ· «*Μή φανῶ κωλύων καί ἀντιλέγων περί τοῦ δεῖνος, ὡς οὐκ ἔστιν ἄξιος τῆς προστασίας· εἶτα καί μή βουλομένου μου γένηται καί θλίψεις πολλάς ἐπαγάγει μοι*». Ἀλλ' εἰ μέν τῶν προκριτοτέρων ᾖς, ἐρωτώμενος μετά παρρησίας εἶπον τήν ἀλήθειαν καί τούς ἀστηρίκτους εἰς τό καλόν στήριξον· εἰ δέ τῶν ἐσχάτων καί τῶν μή καλῶς εἰδότων διακρίνειν τοῦ δικαίου τόν ἄδικον, τοῖς εὐλαβεστέροις καί πνευματικωτέροις ἐξακολούθησον.

Ἐάν δέ καί πρός κακόν ἴσως οἱ πλείονες ἤ καί πάντες ὁμοφωνήσωσιν, ἔχειν δέ καί τῶν ἔξωθεν βοηθούς ἐπί τοῦτο ἐπραγματεύσαντο, παραχώρησον καί μήτε συνεργήσῃς μήτε κωλύσῃς, ἀλλά ἄφες τούς κακούς συντριβῆναι παρ' οὗ ἔκριναν ἄρχεσθαι, ὡς ἄν καί τόν οἰκεῖον κερδήσωσι πόνον καί ὠφέλειαν οὐχ εὑρήσωσιν, ἐπειδή πολλάκις δίδωσιν ἄρχοντα τῷ λαῷ <τῷ> ἀπειθεῖ ὁ Θεός κατά τήν καρδίαν αὐτῶν. Καί ταῦτα μέν οὕτως ἔστωσάν σοι βέβαια καί ἀμετακίνητα.

Εἰ δέ μετά τόν θάνατον τοῦ προεστῶτος ἴδῃς τήν περί σέ ἀδελφότητα πᾶσαν ἀστήρικτον, σαλευομένην πᾶσαν ὑπό τῶν πνευμάτων τῆς πονηρίας, καί ταῖς τῆς σαρκός ἐπιθυμίαις καί ἡδοναῖς διασυρομένην καί καταπίπτουσαν καί μηδεμίαν ἔχουσαν βάσιν μήτε θεμέλιον ἐπί τῆς πέτρας, ἀλλ' ὅλην κλονουμένην καί ἄλλον ἀλλαχῆ ἀδελφόν τάς χεῖρας ἁπλοῦντα καί περιδράξασθαί τι σπουδάζοντα, οὐχ ὅπερ σῴζει αὐτόν ἀλλ' ὅπερ συγκατασπᾷ εἰς ᾅδην καί εἰς σκότος καί πῦρ ἡδονῶν τό σῶμα καί τήν ψυχήν αὐτοῦ, ἄλλους δέ πάλιν σφριγῶντας καί περί τήν ἀρχήν μαινομένους καί τήν ἐπιθυμίαν ταύτης ἀκράτητον ἔχοντας, ἐλέησον, συμπάθησον, σπλαγχνίσθητι καί οἰκτείρησον, πένθησον ὑπέρ τῶν τοιούτων καί δάκρυσον, ἀνιστόρησον κατά νοῦν, εἰ καλῶς βλέπειν ἠξίωσαι τῶν σῶν ἀδελφῶν τά τραύματα, τῶν σῶν μελῶν τά συντρίμματα, τοῦ ὅλου σώματος τήν

κατάπτωσιν, καί τόν Θεόν ἀπό καρδίας μετά πόνου καί δακρύων ἱκέτευσον στῆσαι τῆς τοσαύτης κακίας τήν ῥύμην καί πρός τό κρεῖττον μεταστρέψαι τάς καρδίας τῶν ἀδελφῶν. Ὅρα δέ τήν ῥοπήν τῆς καρδίας σου, μήποτε προσφέρῃ τήν δέησιν περί σεαυτοῦ, ὡς ἄν προτιμήσωνταί σε, καί ἀντί εὐλογίας κατάραν σοι καί ὀργήν τοῦ Θεοῦ προξενήσῃ.

Ἐάν οὖν οὕτω ποιῶν καί οὕτως ἔχων ἴδῃς τῶν ἀδελφῶν σού τινας ἐπί κακῷ ὁμονοήσαντας καί ἀπατᾷν περιτρέχοντας τούς ἁπλουστέρους αὐτῶν, ἀλλά καί πάσῃ σπουδῇ καί δώροις εἰς βοήθειαν αὐτῶν τούς ἔξωθεν ἐπισπωμένους, λυπήθητι καί ἐν ὀδύνῃ καρδίας σου θρήνησον, ὅτι εἰς τοιαύτην τόλμαν καί σκότωσιν οἱ μοναχοί κατηντήσαμεν, ὥστε ποιμαίνειν ἐπιχειρεῖν ἡμᾶς δίχα Χριστοῦ τά τοῦ Χριστοῦ πρόβατα, καί διά ἡδονήν καί ἀπόλαυσιν σώματος καί χρημάτων πορισμόν καί τήν ἐξ ἀνθρώπων τιμήν. Φεῦ μοι τῷ ταπεινῷ καί ἀθλίῳ, τήν ἀξίαν τῶν ἀποστόλων παντί τρόπῳ λαμβάνειν ἀγωνιζόμεθα καί τήν ἐκείνων ἐξουσίαν χρυσίῳ ἐξαγοράζομεν, μήτε τόν Θεόν φοβούμενοι μήτε τούς ὁρῶντας ἡμᾶς αἰσχυνόμενοι. Καί θρόνῳ μέν βασιλέως οὐδείς ἐπιβῆναι τολμᾷ μή θελήσαντος ἐκείνου, ἀλλ’ οὐδέ γραμματικοῦ ἤ ῥήτορος τινος ἀναλαβέσθαι τάξιν ἰδιώτης τυγχάνων, οὐδέ ἐπί λαοῦ ἀναγνῶναι ἀγράμματος ὤν, τήν δέ τῶν ἀποστόλων ἀξίαν ἐπιζητεῖς ἤ καί καταδέχῃ, μήπω τήν χάριν τῶν ἀποστόλων λαβών μηδέ τούς καρπούς αὐτῆς θεασάμενος γεωργηθέντας ἐν σοί! Καί πῶς ὑποφέρεις, ἀδελφέ, τό μέγεθος ἐννοῆσαι τῆς τόλμης; Εἰπέ μοι ἀγαπητέ, ἐάν σε πᾶσα ἡ μεγάλη αὕτη καί πολυάνθρωπος πόλις παρεκάλει λέγουσα· «*Ποιήσομέν σε πραιπόσιτον καί τοῦ βασιλέως πρωτοβεστιάριον, καί ἀνάβησθι μόνος εἰς τό παλάτιον καί εἰσελθών λάλησον τῷ βασιλεῖ περί ἡμῶν καί παρακάλεσον αὐτόν ποιῆσαι ἡμῖν τά καί τά*», σοῦ δηλονότι εἰς παλάτιον μή εἰσελθόντος ποτέ, ἀλλά ἀγνωρίστου τυγχάνοντος καί αὐτῷ τῷ βασιλεῖ, ὡς ξένου πᾶσι τοῖς ἐν τῷ παλατίῳ, ἆρα ἐτόλμησας ἄν ποτε τοῦτο ποιῆσαι ἤ ἀποδέξασθαι τό ἀξίωμα; Πάντως ὁμολογήσεις ὡς οὐκ ποτε διαπράξασθαι τετόλμηκας, ἀλλά καί τούς ταὐτά σοι λέγοντας ὡς μαινομένους καί ἔκφρονας μᾶλλον ἐμέμψω καί κατεγέλασας, καί τό ἀξίωμα οὐχ ὡς τιμῆς ἀλλ’ ὡς ἀτιμίας καί κολάσεως πρόξενον ἀπερρίψω. Εἰ τοίνυν ἀδυνάτως ἔχομεν ἐπί ἀνθρωπίνων πραγμάτων τοιαῦτα ποιεῖν, οὐ φρικτόν σοί ἐστι καί δοκεῖ τό ἀναλαβέσθαι ἀποστολικόν ἀξίωμα προπετῶς, ἀδελφέ; Καί πλησιάσαι τῷ ἀπροσίτῳ φωτί καί μεσίτης Θεοῦ καί ἀνθρώπων γενέσθαι μικρόν σοι λελόγισται; Καί ὡς εὐκαταφρόνητος ἡ ἐπιχείρησις τούτου τοῦ πράγματος; Οὐαί μοι, ἀδελφέ, φοβοῦμαι ὅτι εἰς παντελῆ κατηνέχθημεν σκότωσιν καί διά τοῦτο ἀγνοοῦμεν ὁποίων κατατολμῶμεν πραγμάτων. Εἰ γάρ ἐγινώσκομεν, οὐκ ἄν εἰς τοσοῦτόν ποτε αὐθαδείας καί τόλμης ἠλάσαμεν, ὥστε τῶν θείων κατορχεῖσθαι πραγμάτων καί πλείονα τήν τιμήν καί τόν φόβον φυλάττειν τῷ ἐπί γῆς βασιλεῖ ὑπέρ τόν ἀθάνατον βασιλέα Χριστόν. Τοιγαροῦν μή παυσώμεθα ἑαυτούς ἀνακρίνοντες, καί τούς εἰς τοιαύτην ἀναξίως ἐπιβαίνειν ἐπιχειροῦντας ἀρχήν παντί τρόπῳ ἀνατρέπειν καί ἐκκόπτειν τῆς ἐγχειρήσεως· ἀλλά σπουδάσωμεν ὅσον τό ἐφικτόν κωλύειν αὐτούς τῆς παραλόγου ὁρμῆς, ἵνα καί αὐτούς τοῦ κρίματος ἀπαλλάξωμεν καί ἡμεῖς βιώσωμεν ἀσφαλέστερον.

Ἐάν δέ, καθώς εἴρηται, οὐδένα ὁρᾷς ἐν τῷ μοναστηρίῳ ἀδελφόν ἐμμάρτυρον βίον ἔχοντα καί πνευματικόν ἔργῳ καί λόγῳ τυγχάνοντα, πάντα δέ τόν τυχόντα ἁπλῶς ἐπιπηδῶντα καί ἀναξίως τῇ ποιμενικῇ ἀρχῇ, καί πρός βλάβην μέν σπουδάζοντα τῶν ἀδελφῶν, πρός ἀπώλειαν δέ τῆς ἰδίας ψυχῆς, ἐρευνῶν δέ ἀκριβῶς εὑρίσκεις σεαυτόν πάσης μέν ἀπηλλαγμένον φιλοδοξίας, πάσης δέ ἡδονῆς καί ἐπιθυμίας σωματικῆς ἴχνος οὐκ ἔχοντα, φυλαργυρίας δέ καί μνησικακίας τό παντελές καθαρεύοντα, πρᾳότητα τελείαν καί ἀοργησίαν ἔχοντα, ἀγάπην δέ τοιαύτην εἰς τόν Θεόν ἔχοντα ὡς ἐκ μόνης τῆς ἀκοῆς τοῦ ὀνόματος τοῦ Χριστοῦ ἀνάπτεσθαι τῷ πόθῳ εὐθύς καί καταφέρειν τά δάκρυα, καί πρός τούτοις ὑπέρ τόν πλησίον πενθοῦντα καί ἡγούμενον ἴδια τά ἀλλότρια σφάλματα καί ἑαυτόν πάντων ἀπό ψυχῆς ἁμαρτωλότερον ἔχοντα· καί τέλος, ἐάν πλουσίαν ἐν σοί ὁρᾷς τήν χάριν τοῦ Ἁγίου Πνεύματος, φωτίζουσαν καί ὡς ἥλιον ἀποτελοῦσαν τά ἐντός τῆς καρδίας σου, καί τό τῆς βάτου θαῦμα ἐναργῶς κατανοεῖς ἐν σοί ἐκτελούμενον, ὡς καίεσθαι μέν ἐν τῷ ἑνοῦσθαι τῷ ἀπροσίτῳ πυρί, μή κατακαίεσθαι δέ διά τό ἀπηλλαγμένην εἶναι παντός πάθους τήν σήν ψυχήν· ἔτι δέ εἰ οὕτω ταπεινοῦσαι, ὡς νομίζειν ἑαυτόν ἀνίκανον καί ἀνάξιον, τῆς ἀνθρωπίνης φύσεως ἐπιστάμενος τήν ἀσθένειαν; θαρρεῖς δέ τῇ ἄνωθεν χάριτι καί τῇ ἐξ αὐτῆς ἱκανότητι καί προθύμως ἐπιχειρεῖς τῷ πράγματι, τῇ ζέσει ταύτης ἀναγκαζόμενος πάντε τε λογισμόν ἀνθρώπινον ἀπωθούμενος, καί τήν ψυχήν αὐτήν διά μόνην τήν τοῦ Θεοῦ ἐντολήν καί τήν ἀγάπην τοῦ πλησίου ὑπέρ τῶν ἀδελφῶν προτιθέμενος· καί πρός τοῖς εἰρημένοις, ἐάν γυμνόν ἔχῃς τόν νοῦν πάσης κοσμικῆς ἐνθυμήσεως, ἐνδεδυμένος δέ ᾖς τόν φωτοειδῆ χιτῶνα τῆς ταπεινώσεως, ὥστε μήτε τοῖς σνεργοῦσι κἄν ψιλῶς τήν καρδίαν προστίθεσθαι μήτε τοῖς ἀντιπράττουσιν ἀηδίζεσθαι, ἀλλ' ὅλως ἴσος εἶναι πρός πάντας τῇ ἁπλότητι καί ἀγαθότητι καί τῇ ἀκακίᾳ τῆς καρδίας σου· μηδέ τότε ἄνευ βουλῆς τοῦ σοῦ πνευματικοῦ πατρός τῆς ἀρχῆς ἐπιβῆναι τολμήσῃς, ἀλλά ταπεινώθητι καί μετά εὐχῆς αὐτοῦ καί προστάξεως τοῦτο ποίησον, καί ἐπίβηθι τῆς ἀρχῆς διά μόνην τήν σωτηρίαν τῶν ἀδελφῶν.

Ἀλλ' ἐάν οἶδας τόν σόν πνευματικόν πατέρα μέτοχον εἶναι τοῦ αὐτοῦ Πνεύματος, τῆς αὐτῆς ἠξιωμένον γνώσεώς τε καί δωρεᾶς, ἵνα μή τά ἐναντία τοῦ θείου θελήματος ἀλλά κατά τό αὐτό χάρισμα καί μέτρον λαλήσῃ σοι τά δοκοῦντα Θεῷ καί τά συμφέροντα τῇ ψυχῇ σου, ὡς ἄν μή εὑρεθῇς πειθαρχῶν ἀνθρώπῳ καί οὐ Θεῷ, καί ἀπογυμνυμνωθήσῃ τῆς δόξης καί τοῦ δοθέντος σοι θείου χαρίσματος - ἐάν γάρ συνεργόν εὑρήσῃς ἀγαθόν καί πνευματικόν σύμβουλον, ἴσθι ὅτι ἀσφαλεστέρα σου ἔσται ἡ ἐπιχείρησις καί ταπεινότερόν σου τό φρόνημα γίνεται - ταῦτα τοίνυν πάντα καί τούτων πλείονα ἕτερα ἐάν βλέπων βλέπῃς, εὑρήσεις ἀληθῶς καί ἀπό σεαυτοῦ γνώσεις, μᾶλλον δέ παρά τοῦ ἡλίου τῆς δόξης μαθήσει, εἰ ἄρα καί τῷ ἡλίῳ ποτέ ἐνητένισας.

Εἰ δέ ἡ πρόβλησις τοιαύτη καί οὕτω δύσκολος καί εἰς τό γενέσθαι ταύτην κατά Θεόν δυσνόητος, πολλῷ μᾶλλον ἡ τῶν πραγμάτων αὐτῶν ἐγχείρησις καί διοίκησις, καί ἡ πρός τούς πειρασμούς ὑπομονή, καί ἡ πρός τούς πολέμους λεπτοτάτη διάκρισις. Διά δή τοῦτο ὀλίγα ταῦτα, ἐξ ὧν μαθεῖν καί γνῶναι κατηξιώθημεν, δῆλα τῇ ἀγάπῃ ὑμῶν διά τῆς κατηχήσεως ταύτης ποιῆσαι ᾠήθημεν δεῖν· περί δέ τῶν λοιπῶν, ἵνα μή ἐκπομπεύοντες

φανῶμεν τά ἐν τοῖς μοναστηρίοις γινόμενα, τόν νοῦν καί τήν χεῖρα ἐπέσχομεν, ἀλλά γάρ τά τῶν ἄλλων ἅπαντα καταλείψαντες ἐπί τόν ποιμένα τόν λόγον ἰθύνωμεν.

Βλέπων τοίνυν βλέπε τήν σήν καρδίαν, πάτερ πνευματικέ, μᾶλλον δέ τόν ὀφθαλμόν ἀεί τῆς σῆς διανοίας ἔκπλυνε καί καθαρόν εἶναι περιποιοῦ καί ἀθόλωτον, δι᾽ οὗ καί τήν καρδίαν ἔσῃ βλέπων τήν σήν, καί τά τῶν ἐγχειρισθέντων σοι προβάτων, μᾶλλον δέ πατέρων καί ἀδελφῶν, διαγινώσκειν καλῶς καί πρεπόντως οἰκονομεῖν. Σῶμα γάρ, ὡς ἀκούεις, ἡ ἐκκλησία ἐστί καί κεφαλή ταύτης ὑπάρχει ὁ προεστώς· καθάπερ τά μέν ἄλλα μέλη τοῦ σώματος ἕν καθ᾽ ἕν μίαν ἔχει ἐνέργειαν, οἷον ὁ ποῦς εἰς τό περιπατεῖν, ἡ χείρ εἰς τό κρατεῖν καί ἐργάζεσθαι, ἡ δέ κεφαλή τοῦ ὅλου σώματός ἐστιν ἡ σύστασις, ὡς καί πάσας ἔχουσα ἐν ἑαυτῇ τάς αἰσθήσεις καί τόν νοῦν καί τόν λόγον αὐτόν· οὕτω καί οἱ ἐν τῇ μονῇ ἀδελφοί οὐ πάντες πάσας, ἄλλος δέ ἄλλο τι ἐνεργεῖν καί διακονεῖν πέφυκεν. Ὅθεν καί μόλις μίαν ἤ δύο τῶν ἀρετῶν ἐν ταὐτῷ εὑρήσεις ἐν ὑπηκόῳ ἑνί - καί οὐδέν θαυμαστόν· μέλη γάρ ἐκ μέρους εἰσί -, ὁ δέ γε προεστώς πάσας ἀπαιτεῖται τάς ἀρετάς ἔχειν ἐν ἑαυτῷ, καί οὐ μόνον τάς ψυχικάς ἀλλά δή καί αὐτάς τάς σωματικάς, μᾶλλον δέ σύν ταῖς ἀρεταῖς καί αὐτά τά μυστικά καί μεγάλα χαρίσματα. Ὥσπερ γάρ ἡ τοῦ ἀνδρός κεφαλή ἔχει μέν ἀπό τῆς ἔξωθεν διαπλάσεως καί εὐπρεπείας τό περικαλλές καί τό τίμιον, ἀχρεῖος δέ ὑπάρχει καί ἄτιμος πᾶσιν, ἐάν μή καί τόν νοῦν καί τάς αἰσθήσεις σώας καί ἀκεραίας ἔχῃ, οὕτω δή καί ὁ προεστώς· οὐ μόνον γάρ ἀπό τῶν ψυχικῶν καί σωματικῶν ἀρετῶν ὀφείλει κατακοσμεῖσθαί τε καί φαιδρύνεσθαι, ἀλλά καί ἀπό τῶν πνευματικῶν χαρισμάτων πλειόνως ἐγκαλλωπίζεσθαι, ἐπειδή ἄλλο ἀρετή καί ἕτερον χάρισμα. Αἱ μέν γάρ ἀρεταί ἐξ ἡμετέρας κατορθοῦνται σπουδῆς καί ἐξ οἰκείων πόνων συνάγονται, τά δέ πνευματικά χαρίσματα δῶρά εἰσιν ἐκ Θεοῦ τοῖς ἀγωνιζομένοις διδόμενα.

Οἷόν τι λέγω; Ἡ νηστεία καί ἡ ἐγκράτεια ἀρετή ἐστι· μαραίνει γάρ τάς ἡδονάς καί τάς πυρώσεις συστέλλει τοῦ σώματος. Ταῦτα δέ τῆς ἡμετέρας εἰσί προαιρέσεως ἔργον· τό δέ ἀθλίπτως καί ἀπόνως ταύτας μετέρχεσθαι καί εἰς ἁγνείαν φθάσαι καί τελείαν ἀπάθειαν, τοῦτο δῶρον Θεοῦ καί χάρισμα ὑψηλότατον. Πάλιν, τό κρατεῖν ὀργῆς καί θυμοῦ ἀγῶνός ἐστι θαυμαστοῦ καί πόνου σφοδροῦ, τό δέ εἰς ἀκινησίαν τούτων ἐλθεῖν καί γαλήνην κτήσασθαι καρδίας καί τελείαν πραότητα, Θεοῦ μόνου ἐστίν ἐνέργεια καί τῆς ἐκείνου χειρός μεταποίησις. Καί πάλιν, τό διασκορπίσαι καί διαδοῦνται τά ὑπάρχοντα πάντα τοῖς πένησι καί γενέσθαι πτωχόν ζητοῦντα ἐλεημοσύνην τῆς ἡμετέρας ὑπάρχει θελήσεως, τό δέ μή ἐπιθυμεῖν τινος ἀλλά μετά χαρᾶς καί εὐφροσύνης ὑποφέρειν τῆς πτωχείας τήν κάμινον, μυστική τις ὑπάρχει καί θεία ἐνέργεια. Οὕτω πᾶσα πρᾶξις καλή τε καί ἀγαθή κατά τήν τοῦ Κυρίου ἐντολήν γινομένη ἀρετή γίνεται· ἀλλά καθάπερ ὁ γεωργός κοπιᾷ μόνον ἀροτριῶν καί σκάπτων καί καταβάλλων εἰς γῆν τά σπέρματα, Θεοῦ δέ δῶρον τό καί φυῆναι ταῦτα καί δοῦναι καρπόν ὄψιμόν τε καί πρώϊμον, οὕτω καί ἐπί τῶν πνευματικῶν εὑρήσεις ἐν ἀληθείᾳ γινόμενον. Ἡμέτερον μέν γάρ ἐστι τό πᾶσαν πρᾶξιν μετελθεῖν καί μετά πόνου καί κόπου σφοδροῦ τά σπέρματα τῶν ἀρετῶν καταβαλεῖν, Θεοῦ δέ μόνου δῶρον καί ἔλεος τό καί βρέξαι ὑετόν τῆς αὐτοῦ φιλανθρωπίας καί χάριτος καί καρποφόρον ἀποτελέσαι τήν ἄκαρπον τῶν καρδιῶν ἡμῶν γῆν, ὡς ἄν ὁ

καταπεσών τοῦ λόγου κόκκος ἐν ταῖς ἡμετέραις ψυχαῖς νοτίδα θείας μεταλάβῃ χρηστότητος καί φυείς αὐξηθῇ καί εἰς δένδρον μέγα φθάσῃ, γενέσθαι εἰς ἀνδρικήν δηλαδή τελειότητα τοῦ μέτρου τῆς ἡλικίας τοῦ πληρώματος τοῦ Χριστοῦ.

Χρή οὖν σέ, τόν ποιμένα τῶν προβάτων Χριστοῦ, πᾶσαν, ὡς εἴρηται, κεκτῆσθαι σωματικήν τε καί πνευματικήν ἀρετήν, ὡς κεφαλήν τοῦ λοιποῦ σώματος τῆς ὑπό σέ Ἰσραηλιτικῆς ἐκκλησίας, ἵνα ὡς εἰς ἀρχέτυπον καλόν πρός σέ οἱ ἀδελφοί ἀποβλέποντες, καλούς καί αὐτοί τούς χαρακτῆρας καί βασιλικούς ὅτι μάλιστα ἐν ἑαυτοῖς ἐγχαράξωσι. Μή δή οὖν ἡ ἐν σοί σάλπιγξ ἠχεῖν ἡσυχάσῃ ποτέ, ἀλλά τοῖς μέν τήν ἐρχομένην ῥομφαίαν ἐπί τούς ἀπειθεῖς καί ἀτεράμονας πρόλεγε, ἵνα κἄν τήν σήν παρακουόμενος ῥύσην ψυχῆς τῆς φοβερᾶς ὀργῆς τοῦ Θεοῦ, τούς δέ νουθέτει, δίδασκε, παρακάλει, ἐσθ' ὅτε καί δεομένους ἐλέγχων καί ἐπιπλήξεων εὐκαίρως ἀκαίρως ἐπίστηθι, ἐπιπλήσσων, ἐπιτιμῶν καί ἀνακόπτων τάς ἐπί κακῷ ἐγχειρήσεις αὐτῶν, καθό σοι ἐντέλλεται ὁ θεῖος ἀπόστολος. Ἄνοιξόν σου τά σπλάγχνα ἐπί πάντας ἐπίσης τούς σούς ἀδελφούς, καί τήν μέν ἀγάπην ἴσης ἕξεις ἐπί πάσῃ τῇ ἐν σοί ἀδελφότητι, τήν δέ τιμήν ἑνί ἑκάστῳ κατά τήν ἀξίαν καί τό μέγεθος τῆς ἀρετῆς ἀπονέμεις ἀξίως, μή προτιμῶν τοῦ πνευματικοῦ καί ἐναρέτου μηδέ αὐτόν ὅν ἔχεις πρῶτον ἐν ταῖς διακονίαις τῆς ποίμνης σου. Οἱ μέν γάρ διακονοῦντες τήν ἀξίαν ἐπιφέρονται τῶν ἐν ταῖς Ἀποστολικαῖς Πράξεσιν ἀναγραφομένων ἑπτά διακόνων, οἵ καί ὡς πνεύματά εἰσι λειτουργικά εἰς διακονίαν ἀποστελλόμενα, καί τόν μισθόν εἰκότως, ἀδόλως ὡς ἐκεῖνοι καί πιστῶς διακονοῦντες, δίχα πάσης αἰσχροκερδίας, μέγαν ἔνθεν τε κἀκεῖσε κομίσονται. Οἱ δέ τῇ προσευχῇ καί τῇ ἡσυχίᾳ καί τῇ διακονίᾳ προσκαρτεροῦντες τοῦ λόγου ἐν ὑπομονῇ ἔργων ἀρίστων ἀσκήσεως, αὐτῶν τῶν ἀποστόλων καί κορυφαίων τήν ἀξίαν σύν σοί ἐπιφέρονται, οὕς καί ὡς συνεργούς ἕξεις ἐν τῷ Εὐαγγελίῳ τῆς πνευματικῆς σου διδασκαλίας, ἀναδεχομένους τά βάρη τῶν ἀδελφῶν καί ἀνακουφίζοντάς σε τῶν πόνων, μέσον δηλαδή τῶν λοιπῶν κυλιομένους ὡς λίθους τιμίους.

Οὐκ ἔστι σοι ἀνάπαυσις σώματος ἐν τούτῳ τῷ ἔργῳ, ἀπόλαυσις οὐδεμία. Αἱ νύκτες ἴσα καί ἡμέραις δαπανηθήσονταί σοι εἰς τήν φροντίδα τῶν καταπιστευθεισῶν σοι ψυχῶν, ἵνα μή θηριάλωτος μία ἐξ αὐτῶν γένηται, ἤ τῇ ἄρκτῳ τῆς ἐπιθυμίας καταβρωθεῖσα ἤ τῷ δράκοντι τοῦ θυμοῦ καταποθεῖσα ἤ τοῖς γυψί τῶν λογισμῶν τῆς ἐπάρσεως διαμερισθεῖσα, καί πολλαί ἡ μία καί τοῦ ἑνός γένηται εἰς ἑτερότητα διαμερισθεῖσα, ἀλλ' ἵνα σῶον τό ποίμνιόν σου καί πολύτοκον ἀνασώσῃς τῷ ἀρχιποιμένι Χριστῷ τῷ Θεῷ, ὅλον καρποφόρον, ἀρετῶν πλῆρες, γνώσει πεφωτισμένον τῇ θείᾳ, μή ψωραλέον ἤ ὠτότμητον ἤ χωλόν ὅλως ἐπιφερόμενον. Οὕτω γάρ καί πολλούς σώσεις, τελείους ἐν τελείοις τοῖς ἔργοις ἀπεργαζόμενος, ἐν μηδενί μηδαμῶς λειπομένους, ὅλους ἁγνούς, καθαρούς ἀπό ῥυπαρῶν ἔργων τῷ Χριστῷ σου προσάγων, καί ἑαυτόν μεγάλων ἀξιώσεις τῶν ἄνωθεν ἀμοιβῶν, ὁμόσκηνος τῶν ἀποστόλων καί τῶν ποιμένων Χριστοῦ γενόμενος καί συμβασιλεύων αὐτῷ τῷ Υἱῷ τοῦ Θεοῦ εἰς ἀπεράντους αἰῶνας.

Κανών εὐθύς ὁ σός ἔστω βίος προκείμενος μέσον τῶν ἀδελφῶν καί πατέρων σου, ἵνα

τά τῶν ἄλλων σκαμβά ἐν αὐτῷ ἀπευθύνωνται, μή φιλόϋλος, μή φιλόδοξος, μή φιλήδονος, μή φιλοτράπεζος, μή φίλοινος, μή πέρπερος ἤ εὐτράπελος ἤ φιλάργυρος, μή θυμώδης, μή κενόδοξος, μή ὑβριστής, μή μνησίκακος καί κακόν ἀντί κακοῦ ἀποδιδούς. Ἀλλ᾽ ἔστω μᾶλλον ἀκτήμων, μισόδοξος, μισῶν ἡδονήν πᾶσαν τοῦ βίου καί εὐπάθειαν τῆς σαρκός, ταπεινός, εὐτελής, εὐκατάνυκτος, προσηνής, πρᾶος, ἀόργητος, ἀφιλάργυρος, ἀπράγμων, ἥσυχος, εὐσταλής, ὑπομονητικός, πιστός, ἐγκρατής, ἐμμέριμνος, ἄγρυπνος, σπουδαῖος, ζηλωτής, φροντίδα ποιούμενος τῶν καταπιστευθεισῶν σοι ψυχῶν ὡς οἰκείων μελῶν, εἰ δέοι δέ τιθείς καί τήν ψυχήν σου καθ᾽ ἑκάστην ὑπέρ αὐτῶν, μή προτιμώμενος ἕτερόν τι τῶν τοῦ κόσμου πραγμάτων τῆς ἀγάπης αὐτῶν. Καί γάρ ἐπεί τῶν λοιπῶν αὐτός προεκρίθης εἰς τό ποιμαίνειν τήν λογικήν ποίμνην τοῦ Δεσπότου σου καί Θεοῦ, δεῖ σε κατά τόν αὐτοῦ λόγον ἔσχατον πάντων εἶναι τῷ φρονήματι καί τῇ κατά Θεόν ταπεινώσει σου, ἵνα ὡς δυνατός μέν τά ἀσθενήματα βαστάζῃς τῶν ἀδυνάτων, ὡς δέ ἰατρός τά πάθη θεραπεύῃς καί τό νοσήματα τῶν νοσούντων κατά ψυχήν, ὡς δέ ποιμήν τό πλανώμενον ἐπιστρέφῃς καί τό καλῶς ἔχον πολύτοκον ἐργάζῃ ταῖς ἀρεταῖς, τό δέ ψώρας γέμον καί ἀνιάτως ἔχον τῆς ἀγέλης σου τέμνῃς τῆς λογικῆς, ἵνα μή καί τοῖς ὑγιέσι τῶν λογικῶν σου προβάτων μεταδῷ τοῦ νοσήματος.

Σπεῦδε οὖν ἐπαυξάνειν τό ποίμνιον τοῦ Δεσπότου σου. Μή πρός ἀνέσεις ἤ τρυφάς ἐκκλίνῃς τοῦ σώματος, μηδέ τό ἔριον καί τό στέαρ καταδαπανήσῃς κακῶς τῶν προβάτων Χριστοῦ, ἑαυτῷ μᾶλλον ἤ τοῖς ἀδελφοῖς σου τά τῆς μονῆς θησαυρίζων ἀπολαύσεως ἕνεκεν. Μή διά δόξαν ἀνθρωπίνην πράξῃς ἤ λέξῃς τι τῶν μή ἀνηκόντων τῇ μονῇ σου πραγμάτων, μή συνεχεῖς ἀγαπήσῃς τάς προόδους ποιεῖσθαι ἐν ἡμιόνοις πολυτιμήτοις καί τοῖς ἑπομένοις ὁμοῦ καί προάγουσιν. Ἀρκετόν γάρ σοι καί ἅπαξ τοῦ μηνός ἐξερχομένῳ τάς ἀναγκαιοτέρας ἐκτελεῖν διακονίας καί ὑποθέσεις τῆς ποίμνης σου, τάς δ᾽ ἄλλας οἱ διακονοῦντες ποιήσουσι, τό ἀπερίσπαστόν σοι διατηροῦντες ἐν τῇ διακονίᾳ τοῦ λόγου καί τῇ ἐπιμελείᾳ δηλονότι μετ᾽ εὐχῆς προσκαρτεροῦντι τῶν ἀδελφῶν. Μή ἑαυτῷ μέν τραπέζας ἑτοιμάζῃς πολυτελεῖς, τοῖς δέ γε τέκνοις ταπεινάς καί ἀναρτύτους καί καταπεφρονημένας, ἀλλά κοινή μέν ἡ τράπεζα ἄνευ τινός ἀρρωστίας καί ὑπαντῆς φίλων, τῶν τοῦ αὐτοῦ σοι καί φρονήματος καί βίου, σοί τε καί τοῖς τέκνοις ἔστω· εἴτε διά λαχάνων ἑφθῶν καί σπερμάτων, εἴτε καί διά ἰχθύων ἅπαξ τῆς ἑβδομάδος κατά Κυριακήν ἡμέραν καί Δεσποτικήν ἑορτήν παρά τοῦ κελλαρίτου κοινῶς ἑτοιμάζεται.

Οὐκ ἔσῃ θυμῷ καί ὀργῇ καί κραυγῇ κατά τῶν σῶν φερόμενος τέκνων καί ἀδελφῶν ἄνευ τινός πράγματος κίνδυνον προξενοῦντος ψυχῆς, ἀλλά ἠπίῳ λόγῳ καί φθέγματι διδάξεις αὐτούς πῶς δεῖ περιπατεῖν ἕκαστον καί μέσον τῆς ἀδελφότητος ἀναστρέφεσθαι. Τούς νέους καί ἀστηρίκτους διδάξεις φείδεσθαι ἑαυτῶν τε καί τῶν λοιπῶν ἀδελφῶν, ἵνα μή πρόξενοι τοῖς ὁρῶσι γίνωνται βλάβης διά τε τοῦ βαδίσματος καί τῆς ἀκαταστασίας τῶν ἠθῶν καί τῆς παρρησίας καί τῶν ἀτάκτων τῆς νεότητος ἐπιτηδευμάτων. Τούς ἐν τῇ ἀσκήσει χρονίσαντας ἐν λόγῳ διδάξεις συνέσεως τήν ὑπομονήν τῶν ἐπερχομένων πειρασμῶν ἀπό τοῦ ἐχθροῦ, τήν ταπείνωσιν, τήν συντριβήν τῆς καρδίας, τήν κατάνυξιν,

τά δάκρυα, τήν ἐπιμέλειαν καί παράστασιν τῆς εὐχῆς, τό μακάριον πένθος καί τοῦ εἶναι καί γίνεσθαι διά λόγου καί πράξεως τῶν λοιπῶν εἰς ὠφέλειαν. Τούς ἱερεῖς τήν εὐλάβειαν, τήν ἡσυχίαν, τήν μελέτην τῶν θείων Γραφῶν, τήν εἴδησιν ἀκριβῶς τῶν ἀποστολικῶν κανόνων καί παραδόσεων, τήν τῶν δογμάτων ὀρθότητα, τήν καθαρότητα τῆς καρδίας, τήν ἐπίμονον προσευχήν καί κατάνυξιν, τήν τοῦ θείου βήματος ἐν φόβῳ Θεοῦ καί τρόμῳ παράστασιν, τό τῆς ἱερουργίας μυστήριον, τήν ἀποκάλυψιν τῶν τοῦ Θεοῦ μυστηρίων, ἐπειδή αὐτοῖς δέδοται γνῶναι τά μυστήρια τῆς βασιλείας τῶν οὐρανῶν κατά τήν τοῦ Κυρίου φωνήν, ἵνα ὦσι πάσῃ ἀδελφότητι καί τοῖς ἔξω ἅλας θεῖον καί φῶς, λόγον ζωῆς ἐν ἑαυτοῖς ἔχοντες.

Εἰ δέ κατά τῶν ἀτάκτων δεῖ σέ ποτε ἐν ῥάβδῳ καί βακτηρίᾳ εὐλόγῳ κινηθῆναι θυμῷ πρός τό ἀνακοπήν τινα ποιήσασθαι τοῦ κακοῦ καί ἀναστεῖλαι λοιμώδη φθοράν ἐν αὐτοῖς, ἵνα μή ἐπί τό χεῖρον ἐπεκτανθῇ τά τῆς φαύλης ἐργασίας καί διαθέσεως, οὐδέ τοῦτο ἀπᾶδον ἐκρίθη τοῖς ἀποστόλοις ἐν ταῖς αὐτῶν διατάξεσι καί τοῖς θεοφόροις πατράσιν ἡμῶν. Πᾶσα γάρ κίνησις καί πᾶσα πρᾶξις ἡμῶν, ἡ κακίαν μέν ἀναστέλλουσα καί διώκουσα, δικαιοσύνῃ δέ βοηθοῦσα καί ἀρετῇ, ἐπαινετή τέ ἐστι καί θεάρεστος καί πᾶσιν εὐαπόδεκτος τοῖς δικαίοις. Καί μάρτυς Ἰησοῦς, φραγγελίῳ τύπτων τούς ἀτεράμονας Ἰουδαίους, ἐμπορίου οἶκον τόν οἶκον πεποιηκότας τῆς προσευχῆς, καί τάς τραπέζας τῶν κολλυβιστῶν ἀνατρέπων. Μή οὖν ἐν προσποιήσει πραότητος διά μόνον ἔπαινον τῶν ἀνθρώπων, μικροῦ τινος πράγματος παρ’ ἐντολήν Θεοῦ γενομένου ἐπί καταστροφῇ τῶν ἀποστολικῶν κανόνων καί διατάξεων καί ἐφ’ ὕβρει τοῦ εὐαγγελικοῦ βίου καί τῆς τῶν μοναχῶν καταστάσεως καταφρονήσῃς, ἀλλά τόν σόν μιμούμενος Ἰησοῦν καί Θεόν, ἐμβρινώμενος καί ἑαυτόν ἀπαθῶς ἐκταράσσων, ἐκδίκησιν ποιοῦ τῶν ἐντολῶν τοῦ Θεοῦ καί τῶν τεθέντων κανόνων ὑπό τῶν ἀποστόλων αὐτοῦ. Ἔστω σοι μετά πάντων καί ἐπί τῇ ἐξετάσει τῶν λογισμῶν ἑκάστου ἀκρίβεια, ὡς ἄν εἰδείης τίνες μέν αὐτῶν συστάσεως δέονται τῆς τῶν εὐχομένων καί κοινωνούντων, τίνες δέ ἀφορισμοῦ καί τῆς μετά δακρύων μετανοίας καί στάσεως τῶν μετανοούντων, ἵνα μή τήν ἐκκλησίαν Θεοῦ ἀντί ναοῦ ἁγίου σπήλαιον ληστῶν ἤ πορνεῖον ἐν ἀγνοίᾳ ἤ γνώσει ποιήσῃς κατά προσπάθειαν, καί οὐκ ἐκφεύξῃ τό φοβερόν ἐπί τούτῳ κρίμα τῆς ὀργῆς τοῦ Θεοῦ.

Ἴσθι γάρ ὅτι ἑκάστῳ τῶν τοιούτων κατάλληλον οἱ αὐτόπται τοῦ Λόγου καί μαθηταί τόν τόπον εἰκότως ἀπένειμον. Καί δεῖ σε τῆς ἀναγνώσεως μᾶλλον τῶν διατάξεων καί τῶν κανόνων αὐτῶν ἐπιμελῶς ἔχεσθαι, ἵνα εἰδώς ἔσῃ τίνα τά τῶν εἰς Χριστόν πιστευόντων εἰσί κεκρυμμένα μυστήρια, καί μή σφάλῃ ποιῶν τά μή τῇ θεοσεβείᾳ προσήκοντα. «*Εὐλαβεῖς ποιήσεις*» κατά τό γεγραμμένον «*τούς πνευματικούς σου υἱούς*» καί διδάξεις αὐτούς εὐλαβεῖσθαι ἀπό τῶν ἱερῶν τε καί θείων τόπων ὁμοῦ καί σκευῶν τοῦ ἡγιασμένου ναοῦ τοῦ Θεοῦ καί τῆς λειτουργίας αὐτοῦ, ἐπειδή γέγραπται· «*Μακάριος ἄνθρωπος ὁ πάντα δι’ εὐλάβειαν καταπτήσσων*». Μόνοις γάρ, ἴσθι, τοῖς ἱερωμένοις καί τοῖς ἐξ ἀγώνων καί μετανοίας διά δακρύων καθαρθεῖσι πολλῶν καί τῶν ἀχράντων μετέχουσι μυστηρίων Χριστοῦ ἡγιασμένοις καί εὐλαβεστάτοις τῶν μοναχῶν ἡ λειτουργία τῶν τοιούτων καί τό ἅπτεσθαι αὐτῶν παρά τῶν πατέρων καί ἀποστόλων

ἀφιερώθη. Οὐ συγχωρήσεις πᾶσι καί τοῖς βουλομένοις τήν τοῦ θείου βήματος εἴσοδον, ἀλλ’ ἤ μόνοις, ὡς εἴρηται, τοῖς ἱερωμένοις καί ἡγιασμένοις τῶν εὐλαβεστέρων ἀδελφῶν καί πατέρων σου, τοῖς δέ λοιποῖς καί ἀτάκτως περιπατοῦσι τῶν ἀδελφῶν - ὅρα τί σοί λέγεται - ἀποκλείσεις αὐτήν. Πολλοί γάρ, εὖ ἴσθι, ἐκ τῆς τῶν τοιούτων καταφρονήσεως τέμνονται τῆς παρούσης ζωῆς, καί πάντως παρορῶντός σου τοῦτο γίνεσθαι, τό αἷμα τῶν τεμνομένων διά τοῦτο τῆς ζωῆς ἐκ τῶν χειρῶν σου ἀπαιτηθήσεται.

Ταῦτα, ὦ ποιμήν τῶν προβάτων Χριστοῦ, καί τούτων ἔτι πλείονα, ἅ εἰδέναι ἀκριβῶς καί ποιεῖν σπουδαίως ὀφείλεις εἰς φυλακήν τοῦ ποιμνίου σου. Τοιγαροῦν καί εἰ σαυτόν ἔγνως εἰς τοσαύτην ἐλάσαντα ἱκανότητα καί τοιούτων εὐμοιρήσαντα χαρισμάτων, ὡς ἐκ μόνου τοῦ ἐκλάμποντος ἀπό σοῦ φωτός τῶν καλῶν ἔργων καί τῆς ἐνθέου σοφίας καί γνώσεως φωτίζεσθαι πάντας τούς πλησιάζοντάς σοι τῶν ἰδίων καί ἀλλοτρίων, ποίμαινε θαρρῶν τά πρόβατα Χριστοῦ τῷ ἐπιστήμονι λόγῳ τῆς δοθείσης σοι χάριτος ἐμπράκτως, κατά τόν ὅρον καί νόμον τόν προαποδοθέντα σοι ἄνωθεν, καί βόσκε τά ἀρνία αὐτοῦ εἰς νομάς σωτηρίους τῶν αὐτοῦ ἐντολῶν, ἕως οὗ αὐξηνθῶσι καί εἰς μέτρον ἡλικίας ἀναδράμωσι τοῦ πληρώματος τοῦ Χριστοῦ, καί ἕξεις πολύν ἐξ αὐτοῦ τόν μισθόν τοῦ γενέσθαι τῶν αὐτοῦ ἀποστόλων σύνθρονος καί ὁμόσκηνος· εἰ δ’ οὖν, ἀλλά συστάληθι πρός ἑαυτόν, εἴ τί μοι πείθῃ κηδομένῳ τῆς σωτηρίας σου, ἐπειδή ὁ Θεός ἡμῶν πῦρ καταναλίσκον ἐστί, ᾧ ἡ δόξα εἰς τούς αἰῶνας. Ἀμήν.

## Λόγος ΙΘ΄. Ὅτι οὐ χρή ἐπί μόνοις τοῖς λόγοις καί ταῖς ὑποσχέσεσι θαρρεῖν τῶν ἀνθρώπων, ἀλλ’ ἐκ τῶν ἔργων τό πιστόν βεβαιοῦσθαι τῶν λόγων αὐτῶν. Καί οἵα τίς ἐστιν ἡ τῶν ἀληθινῶν διδασκάλων διάθεσις καί ἀγάπη πρός τούς μαθητευομένους αὐτοῖς. Καί ὁποῖα τά σπλάγχνα καί ἡ φροντίς αὐτῶν. Καί ὅπως ὑπέρ αὐτῶν ἐντυγχάνουσι τῷ Θεῷ.

Ἀδελφοί καί πατέρες καί τέκνα, τήν ἀρχήν τῆς ὑμετέρας πρός με φιλίας γινώσκει ἕκαστος, ὅπως τε γέγονε καί δι’ οἵας προφάσεως· ὡσαύτως καί περί τοῦ μέτρου τῆς πρός Θεόν ὑμῶν ἀγάπης καί πίστεως ὑμεῖς οἴδατε. Ἐγώ γάρ ἀκριβῶς λέγειν περί ἀοράτου πράγματος οὐκ ἐπίσταμαι, ἀπό λόγων δέ μόνων περί τῶν τοιούτων πληροφορηθῆναι ἀμήχανον. Πολλάκις γάρ ὅ μή ἐπηγγείλατό τις ἐν λόγῳ, ἔργῳ τοῦτο πεποίηκεν αἴφνης καί ὁ μεθ’ ὅρκων συνέθετο, ἐν καιρῷ δέοντι μεταμεληθείς εἰσάπαν ἀπείπατο· καί τοῦτο εὕρῃς γινόμενον ἐν τοῖς πλείοσι. Σπάνιοι γάρ ὡς ἀληθῶς οἱ ταῖς τρικυμίαις τοῦ βίου μή σαλευόμενοι, μηδέ ταῖς ἀκάνθαις αὐτοῦ συμπνιγόμενοι, μηδέ ταῖς ἡδοναῖς δελεαζόμενοι καί δουλούμενοι χρήμασι, δι’ ἅ ψεῦδος ἅπαν ἐπιτηδεύεται. Διά τοῦτο λόγοις μόνοις ἐλπίζειν καί ὡς ἐπ’ ἔργοις βεβαίοις ἐπιστηρίζεσθαι ἐν τοῖς τοῦ Θεοῦ εἶναι μόνοις ἁρμόδιον, οἷς αὐτός ἡμῖν ἐπηγγείλατο. Ἔχει γάρ καί μόνος ἐκεῖνος τό ἄτρεπτον καί οὐδαμοῦ ἐφάνη διαψευδόμενος. Ἀνθρώπων δέ τῶν οὐχ ἱσταμένων, ἀλλά περί πολλά στρεφομένων καί πλανωμένων ὁ λόγοις μόνοις ἐπερειδόμενος, ἀνέμους ἕξει καί ματαίοις ὀνείροις χαρήσεται. Οὐδέν γάρ οὕτω τῶν ἄλλων ἁπάντων ὡς λογισμός ἀνθρώπου τό ἄστατον καί εὐμετάβολον ἔχει, τότε μόνον ἱστάμενος, ὅτε τά ῥέοντα πάντα καί κτιστά καί ὁρώμενα παρωσάμενος τό σκότος περάσει ὅ περιβέβληται, καί τοῖς ἀοράτοις καί ἑστῶσι καταμιγήσεται. Ἐπεί οὖν ταῦτα οὕτω λογίζομαι καί ὑμεῖς οἶδ’ ὅτι συμμαρτυρήσετέ μοι τῷ λόγῳ, ἀκούσατε καί τήν αἰτίαν, δι’ ἥν ταῦτα πρός ὑμᾶς λέγω, καί τό πάθος ὅ πέπονθα.

Ἤλθετε πρός ἡμᾶς μετ’ ἐμπύρου ἀγάπης καί πίστεως, ὡς ἐκ τῶν λόγων ὑμῶν ἐστοχασάμην καί τοῦ προσώπου, καί ὅτι οὐ βιασθέντες παρά τινος, ἀλλ’ οἴκοθεν ἐπί τοῦτο ὁρμήσαντες. Οὕτως οὖν ὑμᾶς θεασάμενος καί τοιαῦτα φιλόχριστα παρ’ ὑμῶν ἀκηκοώς ῥήματα, ἀπεδεξάμην καί τήν πίστιν καί τήν προαίρεσιν καί ὑπέρ ἅπαντας προσεπάθησα ἀπαθῶς εἰς ὑμᾶς καί, ὁμολογῶ, ἀγάπην προσελαβόμην πλείονα, κἄν πάντας ἀγαπᾶν ἐξ ἴσου προστέταγμαι. Ἐπεί δέ δέ ὁ τῆς ἀρχῆς αὐτῆς αἴτιος, ὁ κῦρις λέγω Θεοφύλακτος - πρός αὐτόν γάρ μοι λόγος - προσέθετο πάλιν ἐλθεῖν καί πολλάκις πρός τήν ἡμετέραν ταπείνωσιν μετά πλείονος τῆς προθυμίας καί θερμῆς ὅτι μάλιστα τῆς ἀγάπης - λαμπεί γάρ αὕτη τοῖς ὀρθῶς βλέπουσι καί κρυβῆναι οὐ δύναται -, ὅν καί ὡς ἀδελφόν ἐδεχόμην καί οὕτω τοῦτον ἠγάπησα ὡς μαυτόν, εἰ πιστεύει μοι λέγοντι, τῆς

ἐμῆς ψυχῆς φυσικῶς κινουμένης καί ἵν’ οὕτως εἴπω ἐκκαιομένης τῷ ἔρωτι, λόγους εἶπε καί συνταγήν τῷ Χριστῷ ἐποιήσατο, ἥν ἀκοῦσαι παρ’ αὐτοῦ οὐδέποτε προσεδόκησα, ῥήματα ἅ αὐτός ὁ Θεός ἀπεγράψατο καί τήν ἐμήν καρδίαν ὡς βέλος ἔτρωσαν, οὐ μόνον δέ, ἀλλά καί πῦρ γενόμενα ἐν αὐτῇ διαπαντός με καί δαπανῶσι καί καταφλέουσιν - οὐ μή γάρ κρύψω ἅ μηδέν ἠδικηκώς ὑμᾶς παρ’ ὑμῶν πέπονθα -, ταῦτά με ἡμέραν καί νύκτα ἴσον ἀλγεῖν πεποιήκασι, ταῦτα καί γλυκύτητα ὕπνου ἀποδιώκουσι καί τροφήν ἀποσείεσθαι ἀναγκάζουσι. Δίψα δέ μοι πέπαυται ὕδατος ἐν τῷ ἀεί διψᾶν τῶν ῥημάτων τήν ἔκβασιν, τό δέ φῶς τοῦ αἰσθητοῦ ἡλίου οὐδόλως καθορᾶν βούλομαι, ἐπιθυμῶ γάρ ἰδεῖν ποτε τόν ἐμόν ἀδελφόν τῷ νοητῷ ἡλίῳ θερμῶς προσερχόμενον. Δάκρυά μου καί αὐτά θερμότατα ῥέουσι καί Χριστῷ ὑπέρ τοῦ πεποθημένου προσφέρονται, ὅπως ἐκπλυθῇ διά τούτων καί νοερῶς ἀναβλέψας τόν ἑαυτοῦ Ποιητήν ἐπιγνώσεται. Στεναγμοί ἐκ βάθους μου τῆς καρδίας ἐκπέμπονται, ἵν’ ἐκ βυθοῦ τῶν κακῶν ἀνενέγκω ψυχήν ἥν ἠγάπησα. Ἐπί πρόσωπον κεῖμαι διαπαντός ὀλολύζων, ὅπως κάτω κείμενον ἀναστήσω τόν ἐμοί προσφιλέστατον. Τόν Παντοκράτορα Κύριον ἐπικαλούμενος ἀνακράζω, ἵνα τοῦ κοσμοκράτορος τῶν δεσμῶν ἐξαρπάσῃ τόν ἑκουσίως κρατούμενον. Ποιῶ δέ καί λέγω ἴσως καί ἕτερα, ἅ γράφειν οὐ δίκαιον, Θεῷ δέ μόνῳ γνωστά, πρός ὅν καί γίνονται. Καί εἰ ψεύδομαι ἤ ἁπλῶς καί ὡς ἔτυχε μέχρι καί μόνου ἑνός ῥήματος εἴρηκα καί οὐχί ἔργῳ ταῦτα ἐπλήρωσα, μή λογισθείην μετά τῶν πιστευόντων ἐπί τόν Κύριον, μηδέ τήν δόξαν τῶν ἁγίων θεάσαιμι, ἀλλά ἀποτύχω τῆς ἐλπίδος, δι’ ἥν τόν κόσμον κατέλιπον.

Ταῦτά εἰσιν ἅ παρ’ ὑμῶν πέπονθα καί ταῦτα ἅπερ ἠδίκημαι. Εἴπατε οὖν καί ὑμεῖς τίνι ἐκ ὑμῶν τοιαύτην λύπην προεξενήσαμεν; Ἀπόδοτε, ἀδελφοί, ἴσην καί ὑμεῖς τήν ἀγάπην ἐμοί τῷ ἐξ ἀγάπης τυραννουμένῳ. Βεβαιώσατε τους λόγους ὑμῶν ἔργοις, ἵνα μικράν ἀνάψυξιν εὕροιμι. Φανερώσατέ μοι, εἰ ἀληθῶς ἀγαπᾶτέ με, τάς βουλάς τῶν καρδιῶν ὑμῶν. Γνῶ κἀγώ μή μόνον τοῖς λόγοις, ἀλλά ταῖς πράξεσιν, ὅτι ὁ Θεός μεθ’ ὑμῶν γέγονε καί οὐκ εἰς κενόν ἐκοπίασα. Εἰ δέ μή βούλεσθε, τί μοι βάρος ἐλθόντες προεξενήσατε καί ὑποχωροῦντες πλέον καταβαρύνετε; Βάρος ὅ καί χαράν ἄφραστον καί λύπην ἄπειρον ἐν ἐμοί ἐπεργάζεται, τό παραδοξότατον· χαράν μέν ὅτι ὑπέρ ὑμῶν εὔχομαι καί εὐφραίνομαι ἐλπίζων ἀπολαβεῖν ὑμᾶς, λύπην δέ ὅτι φοβοῦμαι μή συμπνιγῆτε τῷ κόσμῳ καί ἀπατηθέντες Χριστῷ ψεύσησθε, ὅπερ φρίττω ἐννοῶν καί ἐξίσταμαι. Καί τοῦτό ἐστι τῆς ἐμῆς ψυχῆς ἡ δαπάνη καί οὐκ ἐᾶ με ἀναπαυθῆναι ἤ χαρῆναι. Καί πενθῶν διά τοῦτο καί σκυθρωπάζων ἐγώ ἐν ἀληθείᾳ πορεύομαι καί τήν ζωήν μου θρηνῶν ἀπολέγομαι, ὅτι οὐ κέρδος ἡγοῦμαι τόν μόνος σῴζεσθαι οὐδέ χωρίς ὑμῶν δοξάζειν θέλω τόν Θεόν. Εἰ μέν οὖν ἱκανά ταῦτα τό κατ’ ἐμέ, ἀπολογήσασθε καί ὑμεῖς εἴτι βούλεσθε, καί οἵῳ μέρει προστίθεσθε εἴπατε, καί ἔργῳ τόν λόγον κυρώσατε, ἵνα ἤ εὐφραινόμενος ἔσομαι ἤ πάλιν ὡσαύτως λυπούμενος. Ἐλπίζω δέ καί ἀοράτως βλέπων πρός Κύριον εὔχομαι ὅτι οὐ ψεύσεσθε οὐδέ ἄλλα ἀντ’ ἄλλων φθέγγεσθε, ἔργῳ δέ μᾶλλον ἐνδείξεσθε ἅ λόγοις προσεπηγγείλασθε. Μηδέν οὖν εἰς ταῦτα διστάσητε, μηδέ ἀπιστίας διαλογισμοί ἐν ταῖς καρδίαις ὑμῶν, ἀδελφοί μου, ἀνέλθωσιν, ἀλλά ἀκούσατέ μου τῶν μετ’ ὀδύνης ῥημάτων καί ἴδετε ὡς οὐδέν κενόν ἤ ἀπατηλόν λέξω.

Ἀναβλέψατε εἰς τόν οὐρανόν ἄνω καί εἰς τήν γῆ κάτω καί κατανοήσατε, ὁποῖα ἔργα καί ὅσα ὁ Θεός δι' ἡμᾶς πάντα πεποίηκεν. Ἴδετε καί ἀκριβῶς ἐξετάσατε ὡς οὐδέ ἕν τούτων ἁπάντων ὑπάρχει μόνιμον, ἀνθρώπου δέ ψυχήν ἐν πᾶσι τοῖς ὁρωμένοις μόνη ἀοράτως ὁρᾶται καί πιστεύεται εἶναι ἀθάνατος, ἥτις συνοῦσα μέν καί ἐνοικοῦσα τῷ σώματι πάντα βλέπει καί κατανοεῖ τά ὑλικά καί κτιστά καί ἐκ σωματικῶν συνιστάμενα, ἀποσπασθεῖσα δέ τούτου αὐτῇ τῇ ὥρᾳ ἐκτός πάσης καθίσταται γνώσεως, μόνοις δέ τοῖς ἀΰλοις καί νοουμένοις ἐγκαταλέγεται. Εἰ μέν οὖν τῷ φωτί τῶν ἐντολῶν τοῦ Χριστοῦ καταλάμπεται, καί ἐν φωτί γίνεται ἀπείρῳ τῆς αὐτοῦ εὐσπλάγχνου Θεότητος, ἄρρητον εὑροῦσα τήν εὐφροσύνην καί ἀτελεύτητον· εἰ δέ σκότει τῶν ἁμαρτιῶν περιέχεται, ἐν ἀτελευτήτῳ σκότει, φεῦ, ὁμοίως γίνεται, πυρί καυστικῷ ὄντι συμμίκτῳ. Τούτων οὖν οὕτως ἐχόντων, ὀρθῶς καί ὑμῶν ταῦτα ὁμολογούντων, τί βραδύνομεν καί τί τό πικρόν οὐ φεύγομεν σκότος; Τί δέ οὐαί λέγομεν τοῖς φιλοκόσμοις καί φιληδόνοις καί ἐν τούτοις ὄντες οὐκ αἰσθανόμεθα; Τί φθεγγόμεθα· «*Μακάριοι ὄντως οἱ ἐκζητοῦντες τόν Κύριον καί ἐπ' αὐτόν τάς ἐλπίδας τιθέμενοι*», τήν δέ ὑμετέραν οὐ κατανοεῖτε, ἀποφεύγοντες, ἀθλιότητα; Τί δέ Θεόν ὁμολογεῖν καί πιστεύειν νομίζετε, ὅν γνωρίζειν καί ᾧ δουλεύειν οὐ θέλετε; Ποῦ ἐλπίζετε τά ἐν χερσίν ὑμῶν ὄντα καταλιμπάνοντες ἀγαθά, τοῖς δέ ματαίοις καί ῥέουσι προστιθέμενοι;

Πῶς λέγεις, εἰπέ μοι, ἵνα καί πρός ἕκαστον τῶν ἀντεχομένων τῆς ματαιότητος τῶν παρόντων τρέψω τόν λόγον· «*Πάντα ἐπίσταμαι, καί ὅτι θνητός ἐγώ καί σκιά τά ὁρώμενα καί ὁ θάνατος ἄωρος καί ἡ δόξα τῶν δικαίων αἰώνιος καί ἡ αἰσχύνη τῶν ἁμαρτωλῶν τέλος οὐκ ἔχουσα*», αὐτός δέ σύ τῶν κακῶν οὐκ ἀφίστασαι; Εἰ γάρ βλέπεις, πῶς οἷα δή τυφλός προσκόπτων ὅλον τό σῶμα καί ὅλην τήν ψυχήν μεμελάνωσαι; Εἰ εἶδας τά κρείττονα, πῶς ὡς μηδέ αἴσθησιν ἔχων πράττεις τά χείρονα; Εἰ οἶδας ὅτι πάντα σκιά καί πάντα παρέρχονται τά ὁρώμενα, οὐκ αἰσχύνῃ σκιᾷ προσπαίζων καί θησαυρίζων τά ῥέοντα; Καθάπερ γάρ παῖς εἰς τετρημένον ἄγγος ἀντλῶν, οὐκ αἰσθάνῃ καί φρονεῖν δοκεῖς, προσφιλέστατε, ὡς λίαν δεινόν τό δοκεῖν καί τό οἴεσθαι - τό γάρ εἶναι τούτοις ἀφῄρηται;

Ἄνθρωπε, πιστεύεις ὅτι ἐστί Θεός ὁ Χριστός; Εἰ οὖν πιστεύεις, φοβοῦ καί τάς ἐντολάς αὐτοῦ φύλαττε. Εἰ δέ ἀπιστεῖς, κἄν τούς δαίμονας αὐτούς, οὕς τάχα καί ἀξιοπιστοτέρους ἡγῇ, ἐρώτησον. Μάθε παρ' ὧν δεδούλωσαι καί οἷς ἐξακολουθεῖς, ὅτι οὐκ ἔστι Θεός ἕτερος πλήν αὐτοῦ, ᾧ οὐδείς ἐξωμοίωται, οὐδέ ὁμοιωθῆναι δύναται. Πάντων γάρ ἐξουσιαστής αὐτός ἐστιν, πάντων κριτής, πάντων βασιλεύς, ποιητής φωτός καί ζωῆς Κύριος. Αὐτός φῶς τό ἄρρητον, τό ἀπρόσιτον, ὁ ὤν μόνος, αὐτός ἀφανιεῖ ἐν τῇ ἐπιφανείᾳ αὐτοῦ ἀπό προσώπου αὐτοῦ ἐχθρούς αὐτοῦ καί τούς μή ποιήσαντας τά προστάγματα αὐτοῦ, ὅν τρόπον ἀποδιώκει τόν ζόφον τῆς νυκτός ἀνατέλλων ὁ ἥλιος, καί ἔσται Κύριος ὁ Θεός ἡμῶν ἀχώρητος ἐν ἀχωρήτοις καί ἀκατάληπτος ἐν ἀκαταλήπτοις, μόνοις φαινόμενος τοῖς ἀξίοις κατά τό μέτρον τῆς εἰς αὐτόν πίστεως, οἱ δέ γε ἁμαρτωλοί ἔσονται ὡς ἐν φωτί καλυπτόμενοι σκότει, ἐν χαρᾷ αἰσχυνόμενοι καί ἐν εὐφροσύνῃ αὐτοί τηκόμενοι καί δεινῶς καιόμενοι καί διαφόροις εἴδεσι τῶν ἰδίων παθῶν κολαζόμενοι,

καθά δή καί οἱ δίκαιοι ταῖς διαφόροις ἀρεταῖς στεφανούμενοι.

Οὕτω τοίνυν καί σωματικῶς ταῦτα ἐν ταῖς θεοπνεύστοις εὗρον ἐγκείμενα Γραφαῖς καί πνευματικῶς ἐδιδάχθην παρά τοῦ Πνεύματος καί πρός πληροφορία ὑμῶν, ἐξ ἀγάπης πολλῆς μή ὑποστειλάμενος, ἔγραψα. Ἰδού οὖν πάντα ὑμῖν ἀνήγγειλα καί τό τάλαντον οὐκ ἔκρυψα καί τῇ σωτηρίᾳ ὑμῶν οὐκ ἐφθόνησα. Ἕκαστος ὑμῶν τοῦ λοιποῦ ὅ θέλει ἐκλέξεται. Ἐγώ γάρ ἤδη τοῦ περί ὑμῶν ἐγκλήματος ἀπολέλυμαι ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν. Ἀμήν.

## Λόγος Κ΄. Περί ἀποταγῆς καί ἐκκοπῆς θελήματος, πρός τούς αἰτήσαντας γράψαι αὐτοῖς πῶς ὀφείλει τις τόν ἀσκητικόν διανύσαι βίον. Καί ὅτι καλόν ἐπί τούτῳ καί ἐπωφελές ἐμπείρῳ χρήσασθαι ὁδηγῷ ἤγουν πνευματικῷ πατρί εἰς τό αμαθεῖν τά τῆς ἀρετῆς καί τῆς ἀσκητικῆς τέχνης τήν δυσκατόρθωτον ἐργασίαν. Καί περί πίστεως τῆς εἰς τούς πνευματικούς πατέρας καί θεωρίας φωτός, ὑφ' οὗ πᾶσα φωτιζομένη ψυχή προκόπτει εἰς ἀγάπην Θεοῦ.

Ἀγαπητοί μου και περιπόθητοι ἀδελφοί, πολλάκις ἠθελήσατε λόγον ὠφελείας ἀκοῦσαι παρά τῆς ἡμῶν μετριότητος, καί διά τό συντόμως ὑποχωρεῖν ὑμᾶς, λαλῆσαι ὑμῖν ἀπό στόματος τά δέοντα, ὡς πάρεργα, συμφερόντως οὐκ ἠβουλήθημεν. Διά τοῦτο καθάπερ ᾐττήσασθε γράψαι νῦν τῇ ἀγάπῃ ὑμῶν, εἰκότως προεθυμήθημεν· οὐ τά πρός νουθεσίαν (καί γάρ ἀνάξιοι), ἀλλά τά πρός συμβουλήν καί ὑπόμνησιν, ὡς ἀγαπῶντες λίαν ὑμᾶς, καί ὅσα γινώσκομεν ὠφελοῦντα καί συνεργοῦντα ψυχήν πρός τε τήν ἐκ τοῦ κόσμου φυγήν καί τήν τῶν παθῶν ἀλλοτρίωσιν καί Θεοῦ ἀγάπην καί τελείαν ἀπάθειαν.

Τοιγαροῦν καί οὐδαμόθεν ποθέν ἄλλοθεν δίκαιον ἡγησάμην τήν ἀρχήν πρός ἄνθρωπον διψῶντα τήν ψυχικήν σωτηρίαν ποιήσασθαι, εἰ μή ἐξ αὐτῆς τῆς ἀεννάου πηγῆς, τοῦ Σωτῆρος Χριστοῦ καί Θεοῦ ἡμῶν, δι' ὅν ἡμῖν ὁ λόγος καί ἅπαν ἐγχείρημα, καί πρός ὅν πᾶσα σπουδή μετ' ἐλπίδος χρηστῆς καί ἅπαν ἐνθύμιον. Οὗτος γάρ καί ἀρχομένοις θεμέλιος ἀρραγέστατος καί μεσάζουσιν ἐλπίς ἀκαταίσχυντος καί τελειοῦσιν ἀγάπη ἀκόρεστος καί ζωή ἀτελεύτητος. Τούτου ἐγώ τῆς ἁγίας φωνῆς ἤκουσα πρός ἅπαντας λεγούσης κοινῶς· «*Ὅστις οὐ καταλείψει πατέρα καί μητέρα καί ἀδελφούς καί πάντα τά ὑπάρχοντα αὐτῷ καί ἄρῃ τόν σταυρόν αὐτοῦ καί ἀκολουθήσει μοι, οὐκ ἔστι μου ἄξιος*». Δι' οὐδέν οὖν ἕτερον τόν σταυρόν ἐσχάτως τεθεῖναι καί παρά τῆς Γραφῆς ἐδιδάχθην καί δι' αὐτῆς τῆς πείρας μεμάθηκα, εἰ μή διά τήν τῶν θλίψεων καί πειρασμῶν ὑπομονήν καί τελευταῖον διά τόν θάνατον αὐτόν τόν ἑκούσιον, ὅνπερ καί τοῖς τότε καιροῖς, ἐπικρατουσῶν τῶν αἱρέσεων, πολλοί διά τοῦ μαρτυρίου καί τῶν ποικίλων βασάνων προείλοντο, νυνί δέ Χριστοῦ χάριτι ἐν καιρῷ βαθείας καί τελείας εἰρήνης οὐδέν ἕτερον ἐπληροφορήθημεν εἶναι σταυρόν καί θάνατον, εἰ μή τήν παντελῆ τοῦ ἰδίου θελήματος νέκρωσιν. Ὁ γάρ τό ἴδιον κἄν ὁπωσοῦν ἐκπληρῶν θέλημα, τό τοῦ Σωτῆρος Χριστοῦ πρόσταγμα φυλάξαι οὐ δυνήσεται πώποτε.

Ἵνα οὖν ὡς πρός ἕνα τόν λόγον ποιήσωμαι, ταυτά φημι πρός ὑμᾶς· Ἀδελφέ, ἐκτενῶς τόν Θεόν παρακάλεσον, ὅπως δείξῃ σοι ἄνθρωπον, τόν καλῶς ποιμᾶναί σε δυνάμενον, ᾧ

καί ὀφείλεις ὡς αὐτῷ τῷ Θεῷ ὑπακοῦσαι καί τά παρ᾽ αὐτοῦ σοι λεγόμενα ἀδιστάκτως ἐπιτελέσαι, εἰ καί ἐναντία σοι καί ἐπιβλαβῆ κατά τό δοκοῦν σοι τά προσταττόμενα φαίνονται. Καί εἰ μέν εἰς ὅν ἤδη ἔσχες πατέρα πνευματικόν περισσοτέρως πληροφορεῖται παρά τῆς χάριτος ἡ καρδία σου, ποίει ἅ σοι λέγει καί σῴζῃ· κρεῖσσον γάρ μαθητήν μαθητοῦ ὀνομάζεσθαι καί μή ἰδιορρύθμως βιοῦν καί τρυγᾶν ἀνωφελεῖς καρπούς τοῦ ἰδίου θελήματος. Εἰ δέ πρός ἄλλον τό Ἅγιον Πνεῦμα ἐκπέμψει σε, μή διστάσῃς τό σύνολον· ἀκούομεν γάρ καί Παῦλον φυτεύσαντα καί Ἀπολλῶ ἀρδεύσαντα καί Χριστόν αὐξάνοντα. Ποίησον οὖν, ἀδελφέ, καί σύ καθώς εἴπομεν, καί ἄπελθε πρός ἄνθρωπον, ὅν ὁ Θεός ἤ μυστικῶς δι᾽ ἑαυτοῦ ἤ φανερῶς διά δούλου αὐτοῦ ὑποδείξει σοι. Καί ὡς αὐτόν τόν Χριστόν καί ὁρῶν καί λαλῶν, οὕτω σεβάσθητι αὐτόν καί οὕτω διδάχθητι παρ᾽ αὐτοῦ τά συμφέροντα. Ἐάν γάρ ἀκούσῃς παρ᾽ αὐτοῦ· «*Ἔξελθε ἐκ τῆς γῆς τοῦ θελήματός σου καί ἐκ τῆς συγγενείας τοῦ φρονήματός σου*», μή διακριθῇς μηδέ ἐρυθριάσῃς ὑπό κενοδοξίας ἡττώμενος. Ἐάν εἴπῃ σοι· «*Δεῦρο εἰς γῆν ὑπακοῆς, ἥν ἄν σοι δείξω*», δράμε, ἀδελφέ μου, ὅση σοι δύναμις, μή δώσῃς ὕπνον σοῖς ὀφθαλμοῖς μηδέ κάμψῃς γόνυ, ὀκνηρίᾳ ἤ ῥαθυμίᾳ ἐκλυόμενος. Ἴσως γάρ ἐκεῖ ὀφθήσεταί σοι ὁ Θεός, ὁ πατέρα πολλῶν πνευματικῶν τέκνων ἀναδεῖξαί σε μέλλων καί τήν γῆν τῆς ἐπαγγελίας δωρήσασθαι, ἥν κληρονομοῦσι μόνοι οἱ δίκαιοι. Ἐάν εἰς τό ὄρος ἀνάγῃ σε, προθύμως ἄνελθε· καί γάρ θεάσῃ, εὖ οἶδα, Χριστόν μεταμορφούμενον καί πλειόνως ὑπέρ τόν ἥλιον λάμποντα τῷ φωτί τῆς Θεότητος, καί καταπέσῃς ἴσως μή φέρων ὁρᾶν ἅ οὐδέποτε τεθεάσαι, καί φωνῆς ἀκούσῃς πατρῴας ἄνωθεν, καί νεφέλην ἴδῃς σκιάζουσαν, καί προφήτας παρισταμένους καί βεβαιοῦντας ζώντων καί νεκρῶν αὐτόν Θεόν ὑπάρχειν καί Κύριον.

Ἐάν ἀκολουθεῖν προτρέψηται, περιέρχου τάς πόλεις μετ᾽ αὐτοῦ θαρσαλέως· καί γάρ ὠφεληθήσῃ τά μέγιστα, ἐάν εἰς αὐτόν ἀποβλέπῃς καί μόνον. Ἐάν ἴδῃς μετά πορνῶν καί τελωνῶν καί ἁμαρτωλῶν συνεσθίοντα, μηδέν λογίσῃ ἐμπαθές καί καί ἀνθρώπινον, ἀλλ᾽ ἀπαθῆ πάντα καί ἅγια καί τό «*Ἐγενόμην τοῖς πᾶσι τά πάντα, ἵνα τούς πάντας κερδήσω*» κατά νοῦν λογίζου, βλέπων αὐτόν τοῖς ἀνθρωπίνοις συγκαταβαίνοντα πάθεσιν. Ἀλλά μηδέ τοῖς ὀφθαλμοῖς βλέπων, τούτοις πιστεύσῃς τό σύνολον· πλανῶνται γάρ καί οὗτοι, ὡς ἔργῳ μεμάθηκα. Ἀκολουθῶν αὐτῷ καί τοῖς παρ᾽ αὐτοῦ λεγομένοις πειθαρχῶν, μή ἀποβλέπῃς πρός τούς συνόντας σοι μηδέ εἴπῃς περί τινος· «*Κύριε, οὗτος δέ τί;*» ἀλλά πάντοτε σεαυτῷ πρόσεχε καί πρό ὀφθαλμῶν ἔχε τόν θάνατον καί σκόπει λελογισμένως ἐν ποίῳ ἀρετῇ δοξάσεις τόν Θεόν. Μή ἐπαρθῇς διά τόν σόν διδάσκαλον παρά μείζωνος τιμώμενος, μηδέ διά τό ἐκείνου ὄνομα πολλούς ἔχων ὑπακούοντάς σου, χαῖρε δέ μᾶλλον ἐάν τό ὄνομά σου γραφῇ ἐν τῷ οὐρανῷ τῆς ταπεινώσεως. Ἐάν βλέπῃς καί τήν σκιάν σου τούς δαίμονας τρέμοντας, μή σεαυτῷ ἀλλά τῇ τοῦ πατρός σου πρεσβείᾳ τό ὅλον ἐπίγραψον, καί πλειόνως σε φοβηθήσονται.

Ἐάν ἐπί τραπέζης καθεσθῆναι προτρέψῃ σοι, εἰ μέν πλησίον, εὐγνωμόνως ἀπόδεξαι, καί σέβας καί τιμήν μετά σιωπῆς πρός αὐτόν φύλαξον, καί μή ἅψῃ τῶν προκειμένων τινός ἄνευ τῆς ἐκείνου εὐχῆς· ἀλλά μηδέ ἑτέρῳ δώσῃς ἤ προτιμήσασθαί τινα τολμήσῃς ἄνευ γνώμης ἐκείνου καί προστάξεως. Εἰ δέ ἐσχάτως πάντως καλέσει σε, μή εἴπῃς· «*Ἐκ*

*δεξιῶν ἤ ἀριστερῶν καθεσθήσομαι*», εἰδώς ὅτι τοῦτο ἄλλοις ἡτοίμασται καί ἀκηκοώς ὅτι «*Ὁ θέλων εἶναι πρῶτος πάντων, ἔστω ἔσχατος*», καί τό κάτω μέρος ὡς τοῦ ἄνω ἀπόδεξαι πρόξενον, καί ἀγάπησον τόν διδάσκαλον ὡς καλῶς σοι διά τῶν εὐτελῶν πραγματευόμενον τά μείζονα. Ἀλλά μή ἐξ αὐθαδείας μετ' αὐτοῦ πρῶτος ἐμβάψῃς τήν χεῖρα ἐν τῷ τριβλίῳ· τίνος γάρ οὐκ ἀγνοεῖς τοῦτο τό τόλμημα. Ἐάν θελήσῃς νίψαι τούς πόδας σου, αἰδέσθητι αὐτόν ὡς Κύριον καί διδάσκαλον καί ἀναβαλοῦ τό ἐγχείρημα. Ἐάν δέ ἀκούσῃς· «*Οὐκ ἔχεις μέρος μετ' ἐμοῦ, ἐάν μή τούς πόδας σου νίψω*», προθύμως καί ὅλον τό σῶμά σου παράσχου εἰς κάθαρσιν, ἵνα μάθῃς ἐκ τῶν εἰς σέ γενομένων τό πολύ ὕψος τῆς θεοποιοῦ ταπεινώσεως, καί πλεῖον μᾶλλον τηνικαῦτα ὠφεληθῇς, ἐάν, ἔχῃς συνείδησιν, ἤ ὅτε σύ τούς πόδας τοῦ πατρός σου νίψειας. Ἐάν εἴπῃ ἀναπεσών· «*Εἷς ἐξ ὑμῶν παραδώσει με ἤ σκανδαλίζει με*», μή κρύψῃς τόν δόλον, ἀλλ' εἰ συγγινώσκεις, ἐξομολόγησαι· εἰ δέ μή, ἐπί τούς αὐτοῦ πόδας ἐπί πρόσωπον πεσών, μετά δακρύων ἐρώτησον· «*Μή τι ἐγώ εἰμι, Δέσποτα;*». Καί γάρ πταίομεν πλεῖστα καί κατά ἄγνοιαν. Ἐπί τό στῆθος δέ πεσεῖν τοῦ πατρός σου οὐ συμφέρει σοι· εἰ γάρ καί Ἰωάννης ἐξ ἀγάπης πολλῆς πρός τόν Χριστόν ὡς πρός ἄνθρωπον ἐπαρρησιάσατο, ἀλλά μετά πάντων καί αὐτός, ὅτε πάντα ποιήσειεν, ἀχρεῖον δοῦλον ἑαυτόν ἀποκαλεῖν προσετέτακτο.

Ἐάν ἴδῃς τόν ὁδηγοῦντά σε θαυματουργοῦντα καί δοξαζόμενον, πίστευσον καί εὐφράνθητι καί τῷ Θεῷ εὐχαρίστησον ὅτι τοιούτου διδασκάλου τετύχηκας, μή σκανδαλισθῇς δέ παρά τῶν φθονούντων ὁρῶν ἀτιμαζόμενον αὐτόν, ἴσως καί ῥαπιζόμενον καί συρόμενον, ἀλλ' ὡς θερμός Πέτρος λάβε τήν μάχαιραν καί τήν χεῖρα ἐκτείνας, μή τό ὠτίον μόνον ἀλλά καί τήν χεῖρα καί τήν γλῶσσαν ἀπόκοψον τοῦ ἐπιχειροῦντος λέγειν κατά τοῦ σοῦ πατρός ἤ αὐτοῦ ἅπτεσθαι. Εἰ δέ καί ἐπιτιμηθῇς ὡς ἐκεῖνος, πάντως καί μειζόνως ἐπαινεθήσει τῆς πολλῆς ἀγάπης καί πίστεως ἕνεκα. Εἰ δέ καί ἐπιτιμηθῇς ὡς ἐκεῖνος, πάντως καί μειζόνως ἐπαινεθήσει τῆς πολλῆς ἀγάπης καί πίστεως ἕνεκα. Εἰ δέ καί ὡς ἄνθρωπος πτοηθείς εἴπῃς· «*Οὐκ οἶδα τόν ἄνθρωπον*», ἀλλά κλαῦσον πάλιν μετά ταῦτα πικρῶς ὑπέρ τούτου καί μή τῇ ἀπογνώσει καταποθῇς· καί πέπεισμαι ὅτι ἐκεῖνος πρῶτός σε πρός ἑαυτόν ἐφελκύσεται. Κἄν σταυρούμενον ἴδῃς αὐτόν ὡς κακοῦργον καί παρά κακούργων ἀνθρώπων πάσχοντα, εἰ δυνατόν συναπόθανον· εἰ δέ μή, μή προστεθῇς τοῖς κακοῖς ὡς κακός καί προδότης, μηδέ κοινωνήσῃς μετ' αὐτῶν ἀθώου αἵματος, ἀλλ' ὡς δειλός καί μικρόψυχος βραχύ τι τόν ποιμένα καταλιπών, τήν εἰς αὐτόν πίστιν φύλαξον. Ἐάν ἀφεθῇ τῶν δεσμῶν, πάλιν πρόσελθε καί ὡς μάρτυρα πλεῖον σεβάσθητι· εἰ δέ συναποθάνῃ τοῖς πειρασμοῖς, τό σῶμα αὐτοῦ παρρησιαζόμενος ζήτησον καί τίμησον περισσότερον μᾶλλον ἤ ὅτε ἐμψυχωμένῳ παρίστασο, καί μύροις ἀλείψας πολυτελῶς ἐνταφίασον. Εἰ γάρ καί μή τριήμερος, ἀλλ' ἔσχατος μετά πάντων ἐξαναστήσεται. Πίστευε δέ ὅτι μετά παρρησίας παρίσταται τῷ Θεῷ κἄν τῷ τάφῳ το σῶμα τούτου κατέθηκας καί ἀδιστάκτως ἐπικαλοῦ τήν πρεσβείαν αὐτοῦ· καί βοηθήσει σοι ἐνταῦθα καί ἐκ πάντων φυλάξει σε τῶν ἐναντίων, καί ὑποδέξεταί σε ἐν τῷ ἐκδημεῖν σε ἀπό τοῦ σώματος καί μόνην αἰωνίαν ἑτοιμάσει σοι.

Ἐάν μετά τά προειρημένα ἅπαντα κατ' ἰδίαν καλέσας σε, ἡσυχάσαι προτρέψηται καί

εἴπῃ· «*Καθέζου ὧδε ἀπρόϊτος ἕως οὗ ἐνδύσῃ δύναμιν ἐξ ὕψους*», μετ' ἐλπίδος βεβαίας καί χαρᾶς ἀπληρώτου ἐπάκουσον. Ἀψευδής, ἀδελφέ μου, καί ἀληθινός ὑπάρχει ὁ τοιοῦτος διδάσκαλος. Ἐπελεύσεται γάρ ἡ ἴση τοῦ Παναγίου Πνεύματος ἐπί σέ καί νῦν δύναμις, οὐκ ἐν εἴδει πυρός αἰσθητῶς φαινομένη οὐδέ μετά ἤχου πολλοῦ καί πνοῆς βιαίας - ταῦτα γάρ διά τούς ἀπίστους τότε γεγόνασιν -, ἀλλ' ἐν εἴδει φωτός νοητοῦ μετά πάσης γαλήνης καί θυμηδίας νοερῶς σοι ὀφθήσεται, ὅπερ προοίμιόν ἐστι τοῦ αἰωνίου καί πρώτου φωτός καί ἀπαύγασμα καί λαμπηδών ὑπάρχει τῆς ἀϊδίου μακαριότητος. Τούτου τοίνυν φανέντος πᾶς ἐμπαθής λογισμός ἀφανίζεται καί πᾶν πάθος ψυχικόν ἀπελαύνεται, πᾶσα νόσος σωματικήν τήν ἴασιν δέχεται. Τότε οἱ ὀφθαλμοί τῆς καρδίας καθαίρονται, καί ὁρῶσιν ὅπερ ἐν τοῖς μακαρισμοῖς γέγραπται. Τότε ὡς ἐν ἐσόπτρῳ βλέπουσα ἡ ψυχή καί τά μικρά ἑαυτῆς σφάλματα εἰς ἄβυσσον καταφέρεται ταπεινώσεως, καί τῆς δόξης κατανοοῦσα τό μέγεθος πάσης χαρᾶς καί εὐφροσύνης ἐμπίπλαται, καί τό παρ' ἐλπίδα τοῦ θαύματος ἐκπληττομένη πηγάς δακρύων ἀφίησι. Καί οὕτως ὅλως ἀλλοιοῦται ὁ ἄνθρωπος καί γινώσκει Θεόν καί ὑπ' αὐτοῦ γινώσκεται πρῶτον. Αὕτη γάρ μόνη πάντων ἐπιγείων καί οὐρανίων, ἐνεστώτων τε ὁμοῦ καί μελλόντων, θλιβερῶν τε καί χαροποιῶν, ποιεῖ καταφρονεῖν τόν ἄνθρωπον, ὅν καί φίλον ἅμα Θεῷ καί υἱόν Ὑψίστου καί Θεόν, ὅσον ἐφικτόν ἀνθρώποις, αὐτόν ἀπεργάζεται.

Ταῦτα τοιγαροῦν ἔγραψα τῇ ἀγάπῃ σου, ἵνα ἅπερ ἠξίους πρός ἅπαξ παρά τῆς ἐμῆς ἀθλιότητος, ταῦτα ἔχων ἐγγράφως ἀναγινώσκεις ὅτε θελήσειας. Ἐάν δέ καί πιστεύσῃς οἰκονομικῶς σοι καί συμφερόντως ταῦτα δι' ἡμῶν τό Πανάγιον Πνεῦμα ἐντέλλεσθαι, πάντα κατά ἀκολουθίαν γενήσονται καθώς περ ἔφημεν, καί ὅσα ἡμεῖς παρελίπομεν, καί γάρ πολλά εἰσιν, αὐτός σε δι' ἑαυτοῦ διδάξειεν ὁ Χριστός.

Εἰ δέ ἄπιστα καί οὐκ ἀρεστά σοι φανήσονται, σύγγνωθί μοι ἅπερ μεμάθηκα συμβουλεύοντι, καί σύ ἀκολούθει πᾶσιν οἷς ἐπίστασαι κρείττοσι· βλέπε δέ, ἀδελφέ μου, μήπως ἀβουλήτως ἀκολουθήσῃς καί χείροσι. Σπάνιοι γάρ ὡς ἀληθῶς καί μάλιστα ἄτρι οἱ καλῶς ποιμαίνειν καί ἰατρεύειν ψυχάς λογικάς ἐπιστάμενοι. Νηστείαν γάρ καί ἀγρυπνίαν καί σχῆμα εὐλαβείας πολλοί ἴσως προσεποιήσαντο ἤ καί ἔργῳ ἐκτήσαντο, καί τό πολλά ἀποστηθίζειν καί διά λόγων διδάσκειν οἱ πλείονες εὐχερῶς ἔχουσιν, εἰς δέ τό καλυθμῷ ἐκκόψαι τά πάθη καί τάς περιεκτικάς ἀρετάς ἀναφαιρέτους κτήσασθαι πάνυ ὀλίγοι εὑρίσκονται. Περιεκτικάς δέ ἀρετάς λέγομεν ταπείνωσιν, τήν τῶν παθῶν ἀναιρέτην καί πρόξενον τῆς οὐρανίου καί ἀγγελικῆς ἀπαθείας, καί ἀγάπην, τήν μηδέποτε ἱσταμένην μήτε πίπτουσαν, ἀλλά διαπαντός προστιθεμένην τοῖς ἔμπροσθεν, πόθῳ πόθον προσλαμβανομένην καί ἔρωτι ἔρωτα, ἐξ ἧς ἡ τελεία χορηγεῖται διάκρισις, ἡ καί ἑαυτήν καί τούς αὐτῇ ἑπομένους καλῶς ὁδηγοῦσα καί ἀπροσκόπτως τήν νοητήν διαβιβάζουσα θάλασσαν· ἥν καί σοί εὔχομαι παρά Θεοῦ δωρηθῆναι καί νῦν μάλιστα, ὅπως θεαρέστως τά κατά σέ διακρίνῃς καί οὕτω ποιήσῃς καί σπουδάσῃς ὥστε Χριστόν εὑρεῖν καί ἐν τῷ νῦν συνεργοῦντά σοι καί ἐν τῷ μέλλοντι πλουσίως τῆς παρ' αὐτοῦ ἐλλάμψεως τήν ἀπόλαυσίν σοι δωρούμενον, καί μήτε ὡς ποιμένι ἀκολουθήσῃς τῷ λύκῳ, μήτε νοσούσῃ ὑπεισέλθῃς ποίμνῃ, μήτε μόνος εὑρεθῇς κατ' ἰδίαν, ἵνα μή ἤ θηριάλωτος ὑπό τοῦ

ψυχοφθόρου λύκου ὀφθῇς γενόμενος, ἤ νόσον ἐπί νόσῳ νοσήσας ψυχικῶς τελευτήσῃς, ἤ μόνος τό οὐαί καταπεσών κερδανῇς. Ὁ γάρ ἀγαθῷ ἑαυτόν ἐκδούς διδασκάλῳ οὐδενός τούτων φροντιεῖ, ἀλλ' ἀμερίμνως βιώσας σωθήσεται ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα εἰς τούς αἰῶνας. Ἀμήν.

# Λόγος ΚΑ΄. Περί μνήμης θανάτου. Καί οἷον ἀγαθόν τέλος δέδωκεν ὁ τρισόλβιος αὐτοῦ ἀδελφός Ἀντώνιος. Καί πρός τῷ τέλει, ἐπιτάφιος πρός αὐτόν.

Ἀδελφοί καί πατέρες, εὔχομαι τῷ ἐλεήσαντί με Θεῷ τά ὑπέρ τῆς σωτηρίας πάντων οἰκονομηθῆναι καί τάς ψυχάς ἡμῶν διευθετηθῆναι πρός τόν ἐκεῖθε βίον καλῶς, ὅπου προλαβόντες ἡμᾶς ἀδελφοί καί γονεῖς ἀναμένουσιν, ὅπου ὁ τρισόλβιος καί μακάριος ἡμῶν ἀδελφός ὁ κῦρις μετῆλθεν Ἀντώνιος, καλῶς καί ὁσίως ἐνταῦθα πολετευσάμενος, μετανοήσας γνησίως, ἐξαγορεύσας ἐμπόνως ἅπερ ὀλίγοι τῶν μοναχῶν λογίζονται ἁμαρτήματα. Καθαρός γάρ τυγχάνων καί τήν καρδίαν καθαράν κεκτημένος ἀπό τῶν ἐμπαθῶν λογισμῶν, τά μικρά - ὡς δοκῶ καί παντελῶς - ἁμαρτήματα ὁ ἅγιος ἐκεῖνος ὡς ἁμαρτίας μεγάλας καί εἶχε καί ἐξηγόρευεν, ἐπεί Θεοῦ χάριτι σκεπόμενος παρθένος διῆλθε τόν βίον, τῷ σωματι καί τήν καρδίαν ἁγνός. Ἀφ' γάρ τόν τῆς μονῆς εἰσῆλθε πυλῶνα καί τῷ Χριστῷ συνετάξατο, τόν χιτῶνα τῆς σαρκός αὐτοῦ ἤ τῆς ψυχῆς αὐτοῦ οὐκ ἐμόλυνεν οὐ συνδυασμῷ ἐννοιῶν, οὐ συγκαταθέσει λογισμῶν, οὐ πράξει τινί, ὥσπερ μοι, πλησίον τῆς κλίνης αὐτοῦ καθεζομένῳ καί κλαίοντι, οὕτως ἐξεῖπε· «*Τί κλαίεις, φησίν, ἀδελφέ; Τῆς πρός Θεόν πίστεως οὐ γέγονας ἔξαρνος, ἀλλά ταύτην ὡς ἐκεῖνον, ἐλπίζω, ἐφύλαξα. Καί ἀφ' οὗ ἐν τῇ ἁγίᾳ παραγενόμην ταύτῃ μονῇ - οὐ καυχώμενος λέγω, ἀλλ' εἰς τόν Θεόν θαρρῶν καί εἰς τήν τοῦ ἁγίου πατρός ἡμῶν εὐχήν - σαρκικήν ἁμαρτίαν οὐκ ἔπραξα. Ἐσθίων δέ καί πίνων, ἐν ἀμελείᾳ διετέλεσα τάς ἡμέρας μου. Πλήν εἰς τήν φιλανθρωπίαν τοῦ τά πάντα εἰδότος Θεοῦ ἐμαυτόν ἀνατίθημι, καί ὡς ποιήσει μετά τῆς ἐμῆς ταπεινώσεως*».

Τί τοίνυν τῶν μεγάλων πατέρων τά τελευταῖα ῥήματα καί ἀποφθέγματα τοῦ ἡμετέρου πλείω τυγχάνουσι ἀδελφοῦ; Τήν γάρ ἁγνείαν αὐτοῦ καί παρθενίαν μετά παρρησίας ἡμῖν ἐγνώρισε καί τό τῆς ταπεινώσεως αὐτοῦ πάλιν ἄπτωτον τῇ ἑαυτοῦ ψυχῇ περιποιήσατο, φυλάττων κἀντούτῳ τήν Δεσποτικήν φωνήν ἤ μᾶλλον εἰπεῖν ἐντολήν, τήν λέγουσαν· «*Ὅταν πάντα ποιήσητε, τότε λέγετε ὅτι· Ἀχρεῖοι δοῦλοί ἐσμεν, ὅ ὀφείλομεν ποιῆσαι πεποιήκαμεν*».

Μετά δέ ταῦτα τῷ ἁγίῳ ἡμῶν ὑφηγήσατο αὐτῷ, ἅπερ καί αὐτόν τόν ἅγιον πατέρα καί ἡμᾶς αὐτούς ἐξέστησαν, οὐ μόνον δέ ἀλλά καί ἅπαντας τούς ἀκηκοότας μετά τήν τελευτήν ἐκείνου ταῦτα ἐξέπληξαν. Οὐδείς γάρ ἐξ ἡμῶν παρ' ἐκείνῳ τοιοῦτον θησαυρόν ἁγνείας καί παρθενίας ἤλπιζεν ἀποκρύπτεσθαι.

Ἀλλά γάρ εἶθ' οὕτω καί τό ἅγιον καί ἀγγελικόν μέγα σχῆμα ἐπενδυσάμενος, ἐν προθυμίᾳ μεγάλῃ, ἐν πολλαῖς δακρύων ἐκχύσεσιν, ἐν ἀρραγεῖ πίστει καί ἐπιγνώσει τελείᾳ, οὕτω τῇ ἑβδόμῃ ἡμέρᾳ ὁ νεοφώτιστος οὗτος καί στρατιώτης νεόλεκτος, ὁ ἔσχατος ἐν τῷ παρόντι βίῳ ὑπέρ ἡμᾶς εἰσελθών καί πρῶτος τήν ματαιότητα τοῦ κόσμου καταλιπών, πρός τόν ἑαυτοῦ Δεσπότην ἀνεκλαλήτῳ χαρᾷ ἐξεδήμησε, πένθος ἄπαυστον

καταλιπών τοῖς ταλαιπώροις ἡμῖν. Ὅταν γάρ ἐνθυμηθῶ, ἅπερ καί ὑμεῖς οἴδατε ὅτι ἐποίουν καί ἔλεγον πρός αὐτόν, τά πρός σωτηρίαν αὐτοῦ ψυχικήν σπουδάζων ἐγώ ὁ μάταιος, ὅλως ἐξίσταμαι καί νοῦν καί διάνοιαν καί τήν καρδίαν μου φλογίζομαι, πῶς ἔλαθον ἐμαυτόν, πῶς ἐματαιώθην παιδεύων ἄνδρα, παρ' οὗ μᾶλλον ἐγώ παιδεύεσθαι ὤφειλον· τάς γάρ ἀρετάς ἐκείνου ἐλαττώματα κρίνων ἐγώ σφόδρα ἤλγουν καί περί τῆς ψυχικῆς σωτηρίας τοῦ πεποθημένου μου ἀδελφοῦ ἐσφάδαζον - οὕτω γάρ πρέπον ἐστί μή ψεύσεσθαι- . Ἐν Χριστῷ καυχῶμαι, χαρᾷ δέ πάλιν ἀνεκλαλήτῳ συνέχομαι, ὅτι οὕτω τοῦ τῆδε βίου τόν ἐμόν προέπεμψα ἀδελφόν καί ἐν τοιούτοις ἔργοις καί πράξεσι κατηξιώθην ἰδεῖν αὐτόν πρός Χριστόν ἐκδημήσαντα. Οἶδε γάρ ὁ τῶν ἐννοιῶν ἡμῶν καί τῶν λογισμῶν ἐξεταστής Θεός, ὅτι περί τούτου πολλή σπουδή ἐξ ἀρχῆς καί μέριμνά μοι ἐγένετο, καί πολλάς δακρύων ἀφῆκα πηγάς τούτουγε ἕνεκα. Καί ὁ Θεός ὁ φιλάνθρωπος οὐ παρεῖδέ μου τοῦ ταλαιπώρου τήν δέησιν, ἀλλ' ἐν ἀγάπῃ, τῇ εἰς ἀλλήλους, καί ταπεινώσει καί πίστει, τῇ πρός ἡμᾶς, οὕτως ἀπέπτη πρός οὐρανόν, τό σῶμα μόνον καταλιπών ἐν ταῖς ἐμαῖς ἀθλίαις χερσί.

Θρηνοῦντός μου γάρ καί «*Μή ἐπιλάθῃ*» λέγοντος «*ἡμῶν, ἀδελφέ. Ἤδη γάρ ἐκλείπεις καί καταλιμπάνεις ἡμᾶς*», οὑτωσί γαληνῶς προσεφθέγξατο· «*Οὐχί, εἰς τόν Θεόν ἐλπίζω*». Καί τοῦτο τό ῥῆμα ὕστατον τοῖς καθαρωτάτοις αὐτοῦ χείλεσιν ἐξειπών, πρός Θεόν ἐξεδήμησεν, οὐχ ἅπαξ τοῦτο εἰπών, ἀλλά καί δίς. Πρότερον ἐμοῦ δηλονότι τό «*Μή ἐπιλάθῃ ἡμῶν*» αἰτησαμένου «*ἀδελφέ περιπόθητε*», αὐτός ἐκ δευτέρου μή ἐπιλαθέσθαι ἡμῶν προεπηγγείλατο. Καί τούς πόδας ἐξάρας καί τάς χεῖρας τυπώσας σταυροειδῶς ἐν ἀταράχῳ τῆς ψυχῆς καταστήματι καί κινήματι, οὕτω τόν γλυκύτατον ὕπνον ἐν εἰρήνῃ βαθείᾳ ἐκοιμήθη καί ὕπνωσεν ὕπνον τόν δικαίοις πρέποντα, πρός οὐδέν τῶν παρόντων προσπάθειαν ἐνδειξάμενος. Οὔτε γάρ συγγενῶν ἐμνήσθη, οὔτε φίλον ὠνόμασεν ἐν τούτῳ τῷ βίῳ τινά, οὐ περί φθαρτοῦ πράγματος διετάξατο, ἀλλ' ὡς κόπρον ἤ βόρβορον τά τῆδε πάντα μισήσας καί βδελυξάμενος, οὕτω γυμνός πάσης ἐπιθυμίας τῶν ὁρωμένων καί σχέσεως, πρός τά νοητά μετέβη βασίλεια, ἄξιος ὡς ἀληθῶς οἰκήτωρ καί κληρονόμος ἐκείνων γενόμενος. Καί εἰκότως· εἰ γάρ ἡμῖν ὁ Θεός ἐνετείλατο, γεγυμνωμένοις οὖσιν, ἐνδύειν τούς ἀδελφούς, πόσῳ μᾶλλον ἐκεῖνος ἱμάτιον καί σκέπη τῷ γλυκυτάτῳ μοι γενήσεται ἀδελφῷ, τῷ δι' ἐκεῖνον μέν τόν κόσμον πάντα καί τά τοῦ κόσμου ἀποδυσαμένῳ καί γυμνῷ πρός αὐτόν ἐκδημήσαντι;

Ἀλλά τόν βίον τοῦ ἀδελφοῦ πάντες ἡμεῖς ἀναθεωρήσαντες, μιμησώμεθα, παρακαλῶ, τήν αὐτοῦ πίστιν, τούς ἀγῶνας αὐτοῦ, τήν ἐξομολόγησιν, τήν μετάνοιαν, ἵνα καί ἡμεῖς πρός τήν ἐκ τοῦ σώματος ἔξοδον ἐρχόμενοι, ἀφόβως καί ἀταράχως ὡς ἐκεῖνος, τοῦ μέν σώματος ἐκδημήσωμεν, πρός δέ τόν Θεόν ἀπελθόντες, ἐν αὐτῷ μετ' ἐλπίδων χρηστῶν ἐνδημήσωμεν καί καταπαύσωμεν εἰς αἰωνίους σκηνάς, ἔνθα πάντων εὐφραινομένων ἡ κατοικία καί ὁ χορός τῶν μακαρίων καί ἁγίων πατέρων ἡμῶν ἐναυλίζεται.

Ἀλλ' ὦ φίλτατε καί Θεῷ φιλούμενε, τριπόθητε ἀδελφέ, μέμνησο τῆς ὑποσχέσεως καί μή ἐπιλάθῃ τῶν τελευταίων καί ἡδίστων ἐμοί ῥημάτων σου, πρεσβεύων ὑπέρ ἡμῶν τῶν

ἀδελφῶν σου καί παντός τοῦ γένους σου. Οἶδας γάρ ἐν οἵοις ἐσμέν κακοῖς, αὐτός ἐν καλοῖς γενόμενος καί πολλοῖς ἀγαθοῖς· ὁ γάρ τοῦ σκότους ἀπαλλαγείς ἀκριβῶς γινώσκει τῶν ἐν αὐτῷ κρατουμένων τήν ἀθλιότητα. Ἱκέτευσον οὖν, ἀξιοῦμεν, καί νῦν τόν Θεόν ὑπέρ πάσης σου τῆς ἐν Χριστῷ ἀδελφότητος, ὁ μηδέποτέ τινος ἐξαιτουμένου σε παρακούσας, μηδέ τῆς σῆς ἀναγκαίας τροφῆς τούς δεομένους ἀποστερήσας. Δεήθητι ὑπέρ ἀδελφῶν τῶν τῷ σῷ πόθῳ ἐκκρεμαμένων καί τόν χωρισμόν στέγειν ἀδυνατούντων καί τό πένθος ἐπισχεῖν μή καρτερούντων, ὅπως καί ἡμᾶς μετά σοῦ ἕξεις ὑποδεξάμενος, καί σύν σοί σκηνῶσαι τόν ὑπεράγαθον Θεόν ἐξιλέωσαι καί τόπον ἡμῖν προετοίμασον ἀναπαύσεως διά τῆς ἐντεῦθεν εὐπραξίας ἐξειργασμένον, ἵνα σύν σοί καί μετά σοῦ, ὡς καί ἐν τῷ παρόντι βίῳ, καί αὐτόθι συνδιάγωμεν καί συνευφραινώμεθα, καταξιούμενοι οἰκεῖν καί βλέπειν τήν ἄλυπον καί μακαρίαν ζωήν. Καί καθάπερ ἡμεῖς, ἀπό τοῦ κόσμου σοῦ προσδραμόντος εἰς τήν μοναχικήν πολιτείαν, μονήν καί οἰκίαν προηυτρεπίσαμεν, οὕτω νῦν καί σύ εἰς τήν ἄρρητον καί θείαν καί ἄϋλον διαγωγήν προοδεύσας, ἀσμένως ἡμᾶς ὑποδέξαι, μᾶλλον δέ προσλαβοῦ καί συνόδευσον καί συγκοπίασον, ὡς φιλάδελφος ἀδελφός, καί τῶν ἐπιχειρούντων παρεμποδίζειν καί κωλύειν ἡμῶν τήν πρός σέ ἄφιξιν ἐλευθέρωσον, μεμνημένος ὅτι καί ἡμεῖς τῇ σῇ ἐβοηθήσαμεν καί συνεκοπιάσαμεν ἐν τῷδε τῷ βίῳ ἀδελφότητι. Χρήζομεν γάρ σου μᾶλλον ἄρτι τῆς συνεργείας ἡμεῖς ἤ τότε σύ, ὅτε τῶν τοῦ κόσμου δικτύων ὑπεξελθεῖν ἐπεχείρησας.

Πολά γάρ τά ἡμέτερα ἄχθη, γλυκύτατε ἀδελφέ, ἅ τήν ταπεινήν ἡμῶν ψυχήν καί τό σῶμα βαρύνουσιν, ὧν τό πάντων δεινότατον ἡ μόνωσις καί ἡ πολλή τῶν μεθ' ἡμῶν ἀδελφῶν μέριμνα, περί ἥν με καί γινώσκεις ζηλωτήν μανικώτατον. Ἔγνως γάρ πάντως ἄρτι τά τῆς ἐμῆς πρός σέ διαθέσεως, καί ὡς οὐ μισῶν σέ ποτε ἤ βδελυσσόμενος ἐπέπληττον καί παντί τρόπῳ ταῖς νουθεσίαις ἠσφαλιζόμην, ἀλλά σφόδρα φιλῶν σε καί τῷ περί σέ πόθῳ ἀνενδότως φλεγόμενος. Βλέπεις γάρ ἄρτι, οἶδα καλῶς, ὑπεξελθών τόν γνόφον καί τήν ὀμίχλην τούτου τοῦ σώματος, καί γυμνήν ὁρᾷς τήν ἐμήν ψυχήν καί τήν γνώμην αὐτῆς, καθώς σύ ὑπάρχεις ἄρτι γυμνός τοῦ σώματος. Θεοειδής γάρ γενόμενος, θεοειδέστερον βλέπεις καί πάντα τά καθ' ἡμᾶς. Μή οὖν ψεύστης τῶν συνθηκῶν φανήσῃ τῶν πρός ἡμᾶς, μηδέ ἐπιλάθῃ ἀδελφοῦ τοῦ ὑπερβαλλόντως σε ἀγαπήσαντος καί, εἰ μή τολμηρόν εἰπεῖν, καί αὐτήν τήν ψυχήν ὑπέρ σοῦ τεθεικότος. Ἀλλά δός χεῖρα βοηθείας διά τῶν εὐπροσδέκτων σου προσευχῶν, ἵνα καταντῆσαι ἀξιωθῶμεν πρός σε καί συνοικῆσαί σοι ἐν αὐτῷ τῷ Κυρίῳ καί Θεῷ καί Σωτῆρι ἡμῶν Ἰησοῦ Χριστῷ, τήν κατοικίαν ποιούμενοι ἐν αὐτῷ, συναναστρεφόμενοι τῷ ἀφράστῳ φωτί ἐν τῇ ἀκηράτῳ ζωῇ, ἐν τῇ ἀνεκλαλήτῳ χαρᾷ, ἐν τῇ ἀνεκδιηγήτῷ δόξῃ τε καί λαμπρότητι, τῇ ἐν Πατρί καί Υἱῷ καί Ἁγίῳ Πνεύματι ὁρωμένῃ καί προσκυνουμένῃ εἰς τούς αἰῶνας. Ἀμήν.

# Λόγος ΚΒ΄. Περί πίστεως. Καί διδασκαλία περί τῶν λεγόντων μή εἶναι δυνατόν ἐν μέσῳ τῶν βιωτικῶν τό τέλειον φθάσαι τῶν ἀρετῶν. Καί διήγησις ἐκ προοιμίων ἐπωφελής.

Ἀδελφοί καί πατέρες, καλόν ἡμᾶς ἀνακηρύττειν εἰς πάντας τό ἔλεος τοῦ Θεοῦ καί γνωρίζειν τοῖς πλησίον ἡμῶν τήν πρός ἡμᾶς αὐτοῦ εὐσπλαγχνίαν καί ἄφατον ἀγαθότητα. «*Ἐγώ οὖν, ὡς ὁρᾶτε, οὐκ ἐνήστευσα, οὐκ ἠγρύπνησα, οὐκ ἐχαμεύνησα, ἐταπεινώθην δέ καί ἔσωσέ με συντόμως ὁ Κύριος*», φησίν ὁ θεῖος Δαβίδ. Πολλῷ δέ συντομώτερον εἰπεῖν· «*Μόνον ἐπίστευσα καί προσελάβετό με ὁ Κύριος*». Πολλά γάρ τά ἐμποδίζοντα ἡμᾶς πρός τό ταπείνωσιν κτήσασθαι, πίστιν δέ εὑρεῖν οὐδέν τό κωλῦόν ἐστιν. Εἰ γάρ ἀπό ψυχῆς θελήσομεν, καί ἡ πίστις εὐθέως ἐνήργησε, δῶρον γάρ ἐστι τοῦ Δεσπότου αὐτή καί φυσικόν πλεονέκτημα, εἰ καί τῷ αὐτεξουσίῳ τῆς ἡμῶν προαιρέσεως καί αὐτή ὑπόκειται, καί γάρ καί Σκύθαι καί βάρβαροι ἀλλήλων τοῖς λόγοις πιστεύουσιν. Ἀλλ' ἵνα πραγματικῶς δείξω ὑμῖν τῆς ἐνδιαθέτου πίστεως ἐνέργειαν, ἀκούσατε καί διήγησιν ὑμῖν διηγήσομαι πρός βεβαίωσιν τῶν εἰρημένων, ἥν ἐξ ἀληθινοῦ ἀκήκοα στόματος.

Γέωργιός τις τοὔνομα, νέος τήν ἡλικίαν ὑπάρχων καί αὐτός ὡσεί ἐτῶν εἴκοσιν, οἰκῶν ἐν Κωνσταντινουπόλει ἐν τοῖς καθ' ἡμᾶς χρόνοις, - ὡραῖος τῷ εἴδει καί φαντασιῶδες τό τε σχῆμα καί τό ἦθος καί τό βάδισμα κεκτημένος, ὡς ἐκ τούτων καί ὑπολήψεις πονηράς ἔχειν τινάς εἰς αὐτόν, τούς τό ἔξωθεν μόνον βλέποντας περικάλυμμα καί κακῶς κρίνοντας τά ἀλλότρια -, ἁγίῳ τινί μοναχῷ, ἐν ἑνί τῶν τῆς πόλεως μοναστηρίων διάγοντι, γνώριμος κατεστάθη. Καί τά τῆς ψυχῆς αὐτοῦ πρός αὐτόν ἀναθέμενος, ἐντολήν μικράν εἰς μόνην ὑπόμνησιν ἔλαβε παρ' αὐτοῦ. Ἐζήτησε καί βίβλον ὁ νέος λαβεῖν ἐξ αὐτοῦ, τά τῆς πολιτείας τῶν μοναχῶν καί τά τῆς πρακτικῆς αὐτῶν ἀσκήσεως διηγήματα περιέχουσαν, καί δίδωσιν αὐτῷ ὁ γέρων τήν συγγραφήν τοῦ μοναχοῦ Μάρκου, τήν περί πνευματικοῦ νόμου διδάσκουσαν. Ταύτην δέ ὡς ἐξ αὐτοῦ τοῦ Θεοῦ σταλεῖσαν ὁ νέος δεξάμενος καί ὡς μέγα τι ἐξ αὐτῆς ἐλπίζων καρπώσασθαι, οὕτω μετά πόθου καί προσοχῆς διῆλθε πᾶσαν αὐτήν. Καί ἐκ πάντων ὠφεληθείς, τριά μόνα κεφάλαια, ἵν' εἴπω, ἐν τῇ αὐτοῦ καρδίᾳ ἐνέπηξε. Καί τό μέν ἕν ὑπάρχον τό οὕτως αὐταῖς ἐγκείμενον λέξεσι· «*Ζητῶν θεραπείαν, ἐπιμέλησαι τῆς συνειδήσεως καί ὅσα λέγει ποίησον καί εὑρήσεις ὠφέλειαν*». Τό δέ ἕτερον· «*Ὁ πρό τῆς ἐργασίας τῶν ἐντολῶν τάς ἐνεργείας τοῦ Ἁγίου Πνεύματος ἐπιζητῶν, ὅμοιός ἐστι δούλῳ ἀργυρωνήτῳ, ὅς ἅμα τῷ ἀγορασθῆναι σύν ταῖς ὠναῖς καί ἐλευθερίαν αὐτῷ γραφῆναι ἐπιζητεῖ*». Τό δέ τρίτον· «*Τυφλός ἐστι κράζων καί λέγων ' Υἱέ Δαβίδ, ἐλέησόν με', ὁ προσευχόμενος σωματικῶς καί μήπω ἔχων γνῶσιν πνευματικήν· ὁ ποτέ δέ τυφλός ἀναβλέψας καί ἰδών τόν Κύριον, οὐκέτι υἱόν Δαβίδ, ἀλλ' Υἱόν Θεοῦ ὁμολογήσας, προσεκύνησεν αὐτῷ*».

Ταῦτα τοίνυν ὁ νέος ἐκεῖνος ἐθαύμασε καί θαυμάσας ἐπίστευσεν ὅτι τῇ ἐπιμελείᾳ τῆς συνειδήσεως εὑρήσει ὠφέλειαν καί τῇ τῶν ἐντολῶν ἐργασίᾳ τήν ἐνέργειαν τοῦ Ἁγίου

Πνεύματος καί τῇ χάριτι τούτου νοερῶς ἀναβλέψει καί ἴδῃ τόν Κύριον. Τῇ οὖν ἀγάπῃ τούτου καί τῇ ἐπιθυμίᾳ τρωθείς, τό πρῶτον κάλλος δι' ἐλπίδος ἐζήτει καί μή φαινόμενον. Οὐδέν δέ ἕτερον ἔπραξεν, ὡς μεθ' ὅρκων με ἐβεβαίωσεν, εἰ μή τήν δοθεῖσαν αὐτῷ μικράν ἐντολήν παρά τοῦ ἁγίου ἐκείνου γέροντος ἑκάστῃ ἑσπέρᾳ ἐποίει καί οὕτως ἐπί τῆς κλίνης ἐκάθευδε. Τῆς συνειδήσεως οὖν λεγούσης αὐτῷ· «*Ποίησον πάντως καί ἑτέρας μετανοίας καί ἄλλους ψαλμούς πρόσθες, καί πλεῖον λέγειν τό ' Κύριε, ἐλέησον' , δύνασαι γάρ*», ταύτῃ προθύμως ὑπήκουε καί ἀδιστάκτως, ὡς ἐξ αὐτοῦ τοῦ Θεοῦ λεγόμενα, οὕτως ἅπαντα ἔπραττε. Καί οὐδέποτε ἔκτοτε ἐκοιμήθη ἐλεγχούσης αὐτόν τῆς συνειδήσεως καί λεγούσης· «*Τί τοῦτο οὐκ ἐποίησας;*» Ταύτῃ τοιγαροῦν ἐξακολουθῶν ἀπαραλείπτως κἀκείνης τό λέγειν προστιθείσης ὁσημέραι, εἰς ὀλίγας ἡμέρας πολλή προσετέθη ἡ τῆς ἑσπέρας ἀκολουθία. Τήν γάρ ἡμέραν οἴκου προΐστατο τῶν πατρικίων τινός καί ἐν τῷ παλατίῳ καθ' ἑκάστην προήρχετο, φροντίζων τῶν τῷ βίῳ ἁρμοζόντων, ὡς ἐκ τούτου μηδενί ἀνθρώπῳ γινώσκεσθαι τά πραττόμενα. Διό καί δάκρυα καθ' ἑσπέραν ἀπό τῶν ὀφθαλμῶν αὐτοῦ κατήρχοντο καί συχνότερον ἐπί τήν γῆν καί ἐπί πρόσωπον γονυκλισίας ἐποίει, κεκολλημένους ἔχων ἀλλήλοις καί ἀμετακινήτους τούς πόδας ἐν παραστάσει, εὐχαί τε παρ' αὐτοῦ πρός τήν Θεοτόκον ἀνεγινώσκοντο ἐμπόνως καί μετά στεναγμῶν καί δακρύων καί, ὡς παρόντος τοῦ Κυρίου σωματικῶς, οὕτω τοῖς ἀχράντοις ποσίν αὐτοῦ προσέπιπτεν καί ὡς τυφλός ἐλεηθῆναι καί ψυχικῶς ἀναβλέψαι ᾐτεῖτο. Ὡς δέ καθ' ἑσπέραν ἡ εὐχή προσετίθετο, διήρκει μέχρι μεσονυκτίου, μηδόλως ἐν τῷ καιρῷ τῆς προσευχῆς χαυνουμένου ἤ ῥᾳθυμοῦντος αὐτοῦ ἤ τινος μέλους τῶν τοῦ σώματος αὐτοῦ κινουμένου τό σύνολον μέχρι καί περιστροφῆς ὀφθαλμοῦ ἤ ἀναβλέψεως, ἀλλ' οὕτως ἵστατο ἀκίνητος, ὡς στήλη τις ἤ ὥσπερ τις ἀσώματος.

Ἱσταμένου οὖν αὐτοῦ ἐν μιᾷ καί τό «*Ὁ Θεός, ἱλάστητί μοι τῷ ἁμαρτωλῷ*» λαλοῦντος τῷ νοΐ μᾶλλον ἤ τῷ στόματι, ἔλλαμψις θεία πλουσίως αἴφνης ἐπέφανεν ἄνωθεν καί πάντα τόν τόπον ἐπλήρωσε. Τούτου δέ γεγονότος ἠγνόησεν ὁ νεανίας καί ἐπελάθετο εἰ ἐν οἴκῳ ἦν ἤ ὅτι ὑπό στέγην ὑπῆρχε. Φῶς γάρ μόνον ἔβλεπε πάντοθεν καί οὐδέ εἰ ἐπί γῆς ἐπάτει ἐγίνωσκεν. Οὐδέ φόβος ἦν ἐν αὐτῷ τοῦ μή πεσεῖν, οὐδέ κόσμου φροντίς, οὐδέ τι τῶν, οἷα τοῖς ἀνθρώποις καί σῶμα φοροῦσι προσβάλλουσι, τῷ λογισμῷ τότε προσέβαλλον, ἀλλ' ὅλως φωτί ἀΰλῳ συνών καί τῷ δοκεῖν αὐτός φῶς γενόμενος καί παντός κόσμου ἐπιλαθόμενος, δακρύων καί χαρᾶς ἀνεκφράστου καί ἀγαλλιάσεως ἔμπλεως ἐγένετο. Εἶτα εἰς οὐρανόν ἀνῆλθεν ὁ νοῦς αὐτοῦ καί ἄλλο φῶς ἐθεάσατο ὑπέρ τό πλησιάζον τρανότερον. Ἐφάνη αὐτῷ παραδόξως, πλησίον τοῦ φωτός ἐκείνου ἱστάμενος, ὁ ῥηθείς ἅγιος ἐκεῖνος καί ἰσάγγελος γέρων, ὁ τήν ἐντολήν αὐτῷ καί τήν βίβλον προχειρισάμενος.

Ὡς οὖν ἐγώ ταῦτα ἤκουσα, ἐλογισάμην καί τοῦ ἁγίου τούτου τήν πρεσβείαν πολά συνεργήσασαν αὐτῷ καί τοῦ Θεοῦ πάλιν δεῖξαι τῷ νέῳ οἰκονομήσαντος τό οἷον ὕψος ἀρετῆς ὁ ἅγιος οὗτος ἐκέκτητο.

Παρελθούσης δέ τῆς θεωρίας ταύτης καί εἰς ἑαυτόν πάλιν, ὡς ἔλεγεν, ὁ νεανίας

γενόμενος, χαρᾷ καί ἐκπλήξει συνείχετο καί ἀπό καρδίας ἐδάκρυε καί τοῖς δάκρυσιν ἡ γλυκύτης συνείπετο. Τέλος, ἐπί τῆς κλίνης ἀνέπεσε καί αὐτῇ τῇ ὥρᾳ ὁ ἀλέκτωρ ἐφώνησε καί τῆς νυκτός τό μέσον εἶναι ἐδήλωσε. Καί μετ᾽ ὀλίγον αἱ ἐκκλησίαι τόν ὄρθρον ἐσήμανον, καί αὐτός ἐξανέστη ψάλαι κατά τό σύνηθες, μηδέ ἔννοιαν ὕπνου κατ᾽ ἐκείνην τήν νύκτα λαβόμενος.

Ταῦτα ἐγένοντο ὡς ὁ Θεός οἶδεν, ὁ καί ποιήσας αὐτά ἐν οἷς ἐπίσταται κρίμασι, μηδέν πλέον τοῦ νέου ἐκείνου ἐργασαμένου, εἰ μή ἅπερ ἠκούσατε, μετ᾽ ὀρθῆς πίστεως καί ἀδιστάκτου ἐλπίδος. Μή οὖν εἴπῃ τις πρός δοκιμήν ταῦτα ἐκεῖνον ἐργάσασθαι· οὐδέ γάρ μέχρι λογισμοῦ τοῦτο ἤ εἶπεν ἤ ἐνενόησεν - ὁ γάρ δοκιμάζων καί ἐκπειράζων πίστιν οὐ κέκτηται -, ἀλλά πᾶσαν ἄλλην ὁ νεανίας ἐκεῖνος ἐμπαθῆ καί φιλήδονον ἀπορριψάμενος ἔννοιαν, οὕτως, ὡς ὤμνυε, τά παρά τῆς ἰδίας λεγόμενα ἐφρόντιζε συνειδήσεως, ὡς ἐν πᾶσι τοῖς ἄλλοις τοῦ βίου αἰσθητοῖς πράγμασιν ἀναισθήτως διακεῖσθαι καί μηδέ αὐτόν τήν βρῶσιν καί πόσιν ἐνηδόνως ἤ συχνοτέρως προσίεσθαι.

Ἠκούσατε, ἀδελφοί μου, ὅσα ἡ πίστις ἡ εἰς Θεόν δύναται, τοῖς ἔργοις βεβαιουμένη; Ἔγνωτε, ὡς οὔτε νεότης ἀπόβλητος οὔτε γῆρας ὠφέλιμον μή οὔσης συνέσεως καί φόβου Θεοῦ; Ἐμάθετε ὅτι οὔτε μέση πόλις ἐμποδίζει ἡμᾶς εἰς τό κατεργάζεσθαι τάς ἐντολάς τοῦ Θεοῦ, ἐάν σπουδαῖοι ὦμεν καί διεγηγερμένοι, οὔτε ἡσυχία ὠφελεῖ ἤ ἀναχώρησις κόσμου, ἐάν ῥᾳθυμῶμεν καί ἀμελῶμεν; Πάντως ἀκούομεν τόν Δαβίδ ἅπαντες καί θαυμάζομεν καί λέγομεν ὅτι εἷς Δαβίδ καί ἄλλος οὐ γέγονε, καί ἰδού ἐνταῦθα καί τοῦ Δαβίδ περισσότερον. Ἐκεῖνος γάρ παρά Θεοῦ τήν μαρτυρίαν εἴληφε καί προφήτης ἐχρίσθη καί βασιλεύς καί Πνεύματος Ἁγίου γέγονε μέτοχος καί πολλάς εἶχε τάς περί Θεοῦ ἀποδείξεις· ἁμαρτήσας οὖν καί στεερηθείς τήν χάριν τοῦ Πνεύματος καί τήν προφητείαν ἀφαιρεθείς καί τῆς συνήθους ὁμιλίας τοῦ Θεοῦ ἀλλοτριωθείς, εἰ ταῦτα πάλιν ἐζήτησε, μνησθείς τῆς χάριτος ἧς ἐξέπεσε, τί θαυμαστόν; Οὗτος δέ μηδέν τοιοῦτον ἐν νῷ λαβόμενός ποτε, ἀλλά μόνοις προσκείμενος τοῖς τοῦ κόσμου κάι μόνα βλέπων τά πρόσκαιρα καί διάνοιαν ἔχων μηδέν φαντασθεῖσαν τῶν γηΐνων ποτέ ὑψηλότερον, - ὤ τῶν κριμάτων σου, Κύριε - μόνον ἤκουσε περί τούτων καί εὐθέως ἐπίστευσε· καί τοσοῦτον, ὥστε καί ἔργα τῇ πίστει ἁρμόζοντα ἐπιδείξασθαι, δι᾽ ὧν ἡ ἐκείνου πτερωθεῖσα διάνοια εἰς οὐρανούς ἔφθασε καί τήν Μητέρα Χριστοῦ εἰς συμπάθειαν εἴκλυσε καί τῇ ταύτης πρεσβείᾳ τό Θεῖον ἐξιλεώσατο καί τήν χάριν τοῦ Πνεύματος ἕως οὐρανοῦ φθάσαι ἐνίσχυσε καί φῶς θεάσασθαι κατηξίωσεν, οὗ πάντες ἐφίενται καί ὀλίγοι λίαν ἐπιτυγχάνουσιν.

Οὗτος ὁ νέος, ὁ μήτε χρόνοις νηστεύσας πολλοῖς, μήτε ποτέ χαμευνήσας, μή ἐνδυσάμενος τρίχινα, μή κόμην ἀποκειράμενος, μή κόσμου ἐκστάς τῷ σώματι, πνεύματι δέ, ἀγρυπνήσας μόνον ὀλίγα, ὑπέρ τόν Λώτ ἐφάνη, τόν ἐν Σοδόμοις θρυλούμενον. Μᾶλλον δέ εἰπεῖν ἐν σώματι ἄγγελος, κρατητός καί ἀκράτητος, βλεπόμενος ἀλλ᾽ οὐ κατεχόμενος, ἄνθρωπος τό φαινόμενον καί ἄσαρκος τόν νοούμενον, τοῖς πᾶσι τά πάντα ὁρώμενος καί μόνος μόνῳ Θεῷ τῷ πάντα γινώσκοντι ὤν. Διό καί τῇ τοῦ αἰσθητοῦ ἡλίου

δύσει τοῦ νοητοῦ φωστῆρος τό γλυκύ τοῦτον διαδέχεται φῶς, προβεβαιοῦν καί πιστούμενον τό μέλλον αὐτόν ἀδιάλειπτον διαδέξασθαι φῶς. Καί εἰκότως· ἡ γάρ ἀγάπη τοῦ ζητουμένου ἐξέστησεν αὐτόν καί κόσμου καί φύσεως καί πραγμάτων ἁπάντων, καί ὅλον αὐτοῦ τοῦ Πνεύματος καί φῶς ἀπειργάσατο· καί ταῦτα μέσον πόλεως οἰκοῦντα καί οἴκου προνοούμενον δούλων τε καί ἐλευθέρων φροντίζοντα καί πάντα ποιοῦντα καί πράσσοντα ὅσα τῷ βίῳ ἁρμόζουσιν.

Ἀλλά ἀρκοῦσι ταῦτα καί τῷ νέῳ εἰς ἔπαινον καί ὑμᾶς κινῆσαι εἰς πόθον καί μίμησιν αὐτοῦ, ἤ ἔτι βούλεσθε· καί ἄλλα εἰπεῖν με μείζονα, ἅ οὐδέ ἡ ἀκοή ὑμῶν ἴσως δυνηθῇ παραδέξασθαι; Ὅμως τί τούτου μεῖζον εὑρήσεται ἤ τί τελειότερον; Πάντως οὐδέν ἐστι μεγαλώτερον ἄλλο, καθώς ὁ Θεολόγος ἔφη Γρηγόριος· «*Ἀρχή, φησί, σοφίας φόβος Κυρίου. Οὗ γάρ φόβος, ἐντολῶν τήρησις. Οὗ δέ ἐντολῶν τήρησις, σαρκός κάθαρσις, τοῦ ἐπιπροσθοῦντος τῇ ψυχῇ νέφους καί μή ἐῶντος καθαρῶς ἰδεῖν τήν θείαν ἀκτῖνα. Οὐ δέ κάθαρσις, ἔλλαμψις. Ἔλλαμψις δέ πόθου πλήρωσις τοῖς τῶν μεγίστων ἤ τοῦ μεγίστου ἤ ὑπέρ τό μέγα ἐφιεμένοις*». Ὥστε ταῦτα εἰπών, τέλος ἀτελές εἶναι πάσης ἀρετῆς τόν φωτισμόν ἐδήλωσε τόν τοῦ Πνεύματος, εἰς ὅν ὁ γενόμενος τέλος μέν καί πέρας τῶν αἰσθητῶν ἁπάντων κατείληφε, ἀρχήν δέ τῆς τῶν πνευματικῶν εὗρε γνώσεως.

Ταῦτα ἀδελφοί μου, Θεοῦ τά θαυμάσια. Διά τοῦτο κρυπτομένους φανεροῖ τούς ἁγίους αὐτοῦ ὁ Θεός, ἵνα οἱ μέν ζηλῶσι τούτους, οἱ δέ ἀναπολόγητοι γένωνται. Καί οἱ θέλοντες ἐν μέσῳ θορύβων εἶναι, ἐν κοινοβίοις τε καί ὄρεσι καί σπηλαίοις ἀξίως πολιτευόμενοι, σώζωνται καί μεγάλων παρά τοῦ Θεοῦ ὑπέρ μόνης τῆς εἰς αὐτόν πίστεως ἀξιοῦνται καλῶν, ὡς ἄν οἱ διά ῥαθυμίαν ἀποτυγχάνοντες μηδέν ἔχωσι λέγειν ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως. Ἀψευδής γάρ ἐστιν, ἀδελφοί μου, ὁ ἐπαγγειλάμενος σῴζειν ἐκ μόνης τῆς εἰς αὐτόν πίστεως. Ἐλεήσατε οὖν ἑαυτούς καί ἡμᾶς τούς ὑμᾶς ἀγαπῶντας καί πολλάκις ὑπέρ ὑμῶν θρηνοῦντας καί δάκρυα χέοντας - τοιούτους γάρ ἡμᾶς ὁ συμπαθής καί ἐλεήμων Θεός παρακελεύεται -, καί πιστεύσαντες ὁλοψύχως ἐπί τόν Κύριον, ἄφετε γῆν καί πάντα ὅσα παρέρχονται, καί προσέλθετε πρός αὐτόν καί κολλήθητε αὐτῷ, ὅτι μικρόν ἔτι καί ὁ οὐρανός καί ἡ γῆ παρελεύσεται, καί ἐκτός ἐκείνου οὐκ ἔστι στάσις, οὔτε πέρας, οὔτε κατάληψις τῆς τῶν ἁμαρτωλῶν πτώσεως. Ἀχώρητος γάρ ὁ Θεός ὑπάρχει καί ἀκατάληπτος· ποῖος οὖν ἔσται τόπος, εἰπέ, εἰ δύνασαι, τῶν ἐκπιπτόντων τῆς βασιλείας αὐτοῦ;

Ἐμοί θρηνεῖν ἐπέρχεται καί τήν καρδίαν μου δαπανῶμαι καί δι’ ἡμᾶς τήκομαι, ὅταν ἐννοήσω ὅτι τοιοῦτον Δεσπότην ἔχοντες μεγαλόδωρον καί φιλάνθρωπον ὡς διά μόνην τήν πρός αὐτόν πίστιν τοιαῦτα ἡμῖν χαριζόμενον ἅ καί νοῦν ὑπερβαίνει καί ἀκοήν καί διάνοιαν καί οὐδέ ἐπί καρδίαν ποτέ ἀνέβη ἀνθρώπου, ἡμεῖς ὥσπερ ἄλογα ζῷα προτιμῶμεν γῆν μόνην καί τά ἀπό γῆς ἡμῖν δια πολλήν εὐσπλαγχνίαν ἀναδιδόμενα εἰς αὐτάρκη χρείαν τοῦ σώματος, ἵνα ἐκ τούτων συμμέτρως τρεφόμενοι, καί ἡ ψυχή ἡμῶν ἀνεμποδίστως τήν πρός τά ἄνω ποιῆται πορείαν, τρεφομένη καί αὐτή δηλονότι τήν νοεράν τροφήν, τήν ἐκ Πνεύματος, κατά τό μέτρον τῆς καθάρσεως καί τῆς ἀναβάσεως.

Τοῦτο γάρ ἄνθρωπος καί εἰς τοῦτο ἐκτίσθημεν καί διά τοῦτο παρήχθημεν, ἵνα ἐνταῦθα μικρά εὐεργετηθέντες, διά τῆς εὐχαριστίας καί τῆς πρός Θεόν εὐνοίας ἐκεῖσε τά μείζονα καί αἰωνίζοντα ἀπολαύσωμεν. Ἀλλ' οἴμοι, ὅτι περί τῶν μελλόντων μηδόλως φροντίζοντες ἀχαριστοῦμεν καί περί τῶν ἐν χερσίν αὐτῶν καί ἴσοι δαιμόνων γινόμεθα ἤ καί χείρονες, εἰ δεῖ τήν ἀλήθειαν εἰπεῖν. Καί διά τοῦτο πλείονος καί τῆς τιμωρίας δεόμεθα, ὅσῳ καί πλεῖον εὐεργετήθημεν καί γνωρίζομεν Θεόν δι' ἡμᾶς γενόμενον ὡς ἡμεῖς, ἁμαρτίας μόνης ἐκτός, ἵνα τῆς πλάνης ἡμᾶς ἀπαλλάξῃ καί τῆς ἁμαρτίας ἐλευθερώσῃ. Ἀλλά τί δεῖ με εἰπεῖν; Πᾶσι τούτοις λόγῳ μόνῳ πιστεύομεν ἀληθῶς, τοῖς δέ ἔργοις ἀρνούμεθα. Οὐχί πανταχοῦ Χριστός ὀνομάζεται, ἐν πόλεσιν, ἐν κώμαις, ἐν κοινοβίοις καί ὄρεσι; Ζήτησον, εἰ δοκεῖ, καί ἐρεύνησον ἀκριβῶς, εἰ τηροῦσι τάς ἐντολάς αὐτοῦ· καί μόλις εὑρήσῃς ἐν χιλιάσιν, ὡς ἀληθῶς, καί μυριάσιν ἕνα, τόν ἔργῳ καί λόγῳ χριστιανόν ὄντα. Οὐχί διά τοῦ ἁγίου Εὐαγγελίου εἴρηκεν ὁ Κύριος ἡμῶν καί Θεός· «*Ὁ πιστεύσας εἰς ἐμέ, τά ἔργα ἅ ἐγώ ποιῶ, κἀκεῖνος ποιήσει καί μείζονα τούτων ποιήσει*»; Ποῖος οὖν ἐξ ἡμῶν τολμᾷ εἰπεῖν· « *Ἔργα Χριστοῦ ἐγώ ποιῶ καί πιστεύω ὀρθῶς εἰς Χριστόν;* ». Οὐχ ὁρᾶτε, ἐδελφοί, πῶς ἄπιστοι ἔχομεν εὑρεθῆναι ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως καί χείρονα τῶν μηδέ εἰδότων τόν Κύριον ὑποστησόμεθα κόλασιν; Ἀνάγκη γάρ ἤ ὡς ἀπίστους κατακριθῆναι ἡμᾶς ἤ Χριστόν ψεύστην ἀποδειχθῆναι, ὅπερ ἀδύνατον, ἀδελφοί μου, ἀδύνατον.

Ταῦτα δέ ἔγραψα οὐχί κωλύων τήν ἀναχώρησιν, τήν δέ ἐν μέσῳ μᾶλλον τοῦ βίου διαγωγήν προτρεπόμενος, ἀλλά πάντας πληροφορῶν τούς ἐντυγχάνοντας τῷδε τῷ διηγήματι ὅτι ὁ θέλων ποιεῖν τό ἀγαθόν ἐν παντί τόπῳ ἐκ Θεοῦ τό δύνασθαι ἔλαβεν. Ἄλλως δέ καί μᾶλλον ἡ ὑπόθεσις αὕτη προτρεπτική ὑπάρχει πρός ἀναχώρησιν. Εἰ γάρ ἐκεῖνος, ὁ ἐν μέσῳ τῷ βίῳ στρεφόμενος καί μηδέν περί ἀποταγῆς ἤ ἀκτημοσύνης ἤ ὑπακοῆς ποτε λογισάμενος, οὕτως ἠλεήθη, πιστεύσας ἀπό ψυχῆς και τόν Θεόν ἐπικαλεσάμενος, πόσων ἀγαθῶν ἐλπίζειν μᾶλλον τεύξεσθαι χρή τούς ἅπαντα τά τοῦ βίου καί πάντας ἅμα καταλιμπάνοντας καί αὐτάς αὐτῶν τάς ἰδίας ψυχάς ἐκδιδόντας διά τόν Θεόν εἰς θάνατον, καθώς αὐτός ὁ θεός ἐνετείλατο; Καί γάρ ὁ ἀρξάμενος τά καλά πράσσειν ἀδιστάκτῳ πίστει καί ὁλοψύχῳ προθέσει καί τήν ἐξ αὐτῶν ἐγγινομένην ὠφέλειαν ἐπαισθάνεσθαι, αὐτός ἀφ' ἑαυτοῦ γνώσεται ὅτι μέγα ἐμπόδιον τοῖς κατά Θεόν ζῆν ἑλομένοις ἡ φροντίς τοῦ κόσμου καί ἡ ἐν αὐτῷ διαγωγή. Ἡ γάρ ῥηθεῖσα περί τοῦ νέου τούτου ὑπόθεσις θαυμαστή τέ ἐστι καί παράδοξος καί οὐδέ εἰ ἐν ἄλλῳ τινί τοιοῦτόν τι γεγένηται ἠκούσαμεν. Εἰ δέ καί γέγονεν ἔν τισιν ἤ γενήσεται, εἰ μή ἐκ τοῦ κόσμου συντόμως ὑποχωρήσουσιν, ἐκπεσεῖν τοῦ τοιούτου καλοῦ γινωσκέτωσαν, ἐπειδή καί τοῦτο ἐξ ἐκείνου τοῦ νέου μεμάθηκα ἀκριβῶς.

Μοναχῷ γάρ γεγονότι ὕστερον ἐνέτυχον, τρίτον ἔτος ἤ καί τέταρτον ἐν τῇ μοναδικῇ πολιτείᾳ διατελοῦντι καί τόν τριακοστόν δεύτερον τῆς ἡλικίας τοῦ σώματος αὐτοῦ χρόνον ἄγοντι. Ἀκριβῶς γάρ αὐτόν ἐγίνωσκον, ὡς φίλον ὄντα καί συνανάτροφον, διό καί προσθείς ὑφηγήσατό μοι ταῦτα· «*Ὅτι μετά τήν θαυμαστήν ἐκείνην ἀλλοίωσιν καί τήν εἰς ἐμέ ὑπέρ ἄνθρωπον γενομένην ἀντίληψιν οὐ πολλαί, φησίν, ἡμέραι διεληλύθησαν*

*καί συνεχεῖς μοι τοῦ βίου ἐπέπεσον πειρασμοί, ὑφ' ὧν καί ἐμαυτόν ἑώρων πρός κρυπτάς ἐργασίας ἐμποδιζόμενον καί τοῦ καλοῦ κατά μικρόν ὑστερούμενον, καί ἐγλιχόμην ἔξω τοῦ κόσμου γενέσθαι παντός καί κατά μόνας ἐκζητεῖν τόν ὀφθέντα μοι - τούτου γάρ χάριν πέπεισμαι, ἀδελφέ, ὅτι ὅλως φανῆναί μοι εὐδόκησεν, ἵνα πρός ἑαυτόν με τόν ἀνάξιον ἐφελκύσηται καί παντός τοῦ κόσμου ἀποχωρίσῃ με - . Ἐπεί δέ τοῦτο ποιῆσαι συντόμως οὐκ ἴσχυσα, κατά μικρόν μικρόν πάντων τῶν προλεχθέντων ἐπιλαθόμενος, εἰς παντελῆ κατήντησα σκότωσιν, ὥστε μή μεμνῆσθαί μέ τινος μικροῦ ἤ μεγάλου μέχρι ψιλῆς ἐννοίας ποτέ, ἐξ ὧνπερ προείρηκα. Εἰς πλείονα δέ μᾶλλον κακά ὑπέρ τά συμβάντα μοι πρώην περιέπεσον καί οὕτω διεκείμην, ὡς μηδέ ἐννοήσας ποτέ ἤ ἀκούσας τά ἅγια ῥήματα τοῦ Χριστοῦ. Ἀλλά καί τόν ἅγιον ἐκεῖνον, τόν τότε με ἐλεήσαντα καί τήν μικράν μοι ἐντολήν δεδωκότα καί τήν ῥηθεῖσαν βίβλον ἐξαποστείλαντα, ὡς ἕνα τῶν τυχόντων ἀνθρώπων ἔβλεπον καί οὐδέ ψιλήν ἔννοιαν περί τῶν ὁραθέντων μοι δι' αὐτόν ἐλάμβανον. Ταῦτα δέ, φησί, λέγω σοι, ἵνα μάθῃς ἀκριβῶς εἰς οἷον ἀπωλείας βόθρον ἐκ ῥαθυμίας κατηνέχθην ἐγώ ὁ ἄθλιος καί τοῦ Θεοῦ θαυμάσῃς καί ἐκπλαγῇς τήν καί μετά ταῦτα εἰς ἐμέ γενομένην ἀγαθότητα ἄφατον.*

*Καί γάρ, οὐκ οἶδ' ὅπως εἴπω, ἀγνώστως οὕτως ἐν τῇ ταλαιπώρῳ καρδίᾳ μου ἡ πρός τόν ἅγιον γέροντα ἀγάπη καί πίστις διέμενε, δι' ἥν, ὡς οἶμαι, μετά τήν τοσούτων χρόνων παρέλευσιν ὁ Θεός ὁ φιλάνθρωπος ταῖς ἐκείνου εὐχαῖς ἐλεήσας με, δι' αὐτοῦ με πάλιν ἐκ τῆς πολλῆς πλάνης καί τοῦ βυθοῦ τῶν κακῶν ἐξαρπάσας ἐρρύσατο. Οὐ γάρ ἀπέστην τελείως ἐξ αὐτοῦ ὁ ἀνάξιος, ἀλλά καί τά γινόμενα ἐξηγόρευον καί εἰς τό κελλίον αὐτοῦ, ὅτε ἐν τῇ πόλει ἐτύγχανον, ἀπηρχόμην συχνότερον, εἰ καί τάς ἐντολάς αὐτοῦ ὁ ἀσυνείδητος οὐκ ἐφύλαττον. Νυνί δέ, καθάπερ ὁρᾷς, τά πολλά τῶν ἁμαρτημάτων μου πλήθη παριδών ὁ εὔσπλαχνος Κύριος καί μοναχόν με γενέσθαι παρ' αὐτοῦ τοῦ ἁγίου γέροντος ᾠκονόμησε καί μετ' αὐτοῦ συνεῖναί με διηνεκῶς, τόν ἐπ' ἀληθείας ἀνάξιον, κατηξίωσε. Κόπῳ τοίνυν πολλῷ καί πλείοσι δάκρυσι καί ἀκριβεῖ ξενιτείᾳ καί τελείᾳ ὑπακοῇ καί ἐκκοπῇ παντελεῖ τοῦ οἰκείου θελήματος καί πολλοῖς ἄλλοις σκηροτάτοις ἐπιτηδεύμασί τε καί πράξεσιν, ἀκατασχέτῳ καί ἀνενδότῳ δρόμῳ πορευομένυ μου, μικράν μέν καί ὀλίγην ἀμυδρῶς πως ἀκτῖνα τοῦ γλυκυτάτου καί θείου ἐκείνου φωτός ἰδεῖν καί αὖθις ἠξίωμαι, τοιαύτην δέ θεωρίαν, οἷα τότε ἑώρακα, οὐδέπω μέχρι τοῦ νῦν ἠξιώθην θεάσασθαι».*

Ταῦτα οὖν δακρύων ἐλάλει μοι καί τούτων ἕτερα πλείονα. Ἐγώ δέ ὁ ταλαίπωρος τῶν ἁγίων ἐκείνου ῥημάτων ἐπακροασάμενος καί ὅλον ὄντα τῆς θείας ἔμπλεων χάριτος στοχασάμενος καί ἀληθῆ σοφόν, εἰ καί μή λόγον εἶχε σοφίας τῆς ἔξωθεν, οὐ μόνον δέ, ἀλλά καί τῶν πραγμάτων αὐτῶν ἀκριβῆ κεκτημένον τήν εἴδησιν ἐκ πρακτικῆς γνώσεως, εἰπεῖν μοι αὐτόν παρεκάλεσα πῶς τοιαῦτα ἡ πίστις ἐνεργεῖν θαυμάσια πέφυκε, καί διδασκαλίας τρόπῳ ἐγγράφως ταῦτα ἐκθέσασθαί μοι. Ὁ δέ καί λέγειν ἀπήρξατο καί τά λεγόμενα γράφειν οὐκ ὤκνησεν, ἅ καί, ἵνα μή τόν λόγον μηκύνωμεν, ἐν ἄλλοις ἀνεταξάμεθα εἰς τράπεζαν εὐφροσύνης, τοῖς μετά πίστεως τῶν γεγραμμένων ἐπιβατεύουσι.

Διά τοῦτο παρακαλῶ ὑμᾶς, ἐν Χριστῷ ἀδελφοί, δράμωμεν ἐμπόνως καί ἡμεῖς τόν δρόμον τῶν ἐντολῶν τοῦ Χριστοῦ, καί τά πρόσωπα ἡμῶν οὐ μή καταισχυνθῇ. Ἀλλ' ὥσπερ παντί τῷ κρούοντι ἐπιμόνως ἀνοίγει τάς πύλας τῆς βασιλείας αὐτοῦ καί δίδωσι τῷ αἰτοῦντι Πνεῦμα εὐθές καί πανάγιον, καί οὐκ ἔστι τόν ὁλοψύχως ζητοῦντα μή εὑρεῖν καί πλουτῆσαι τόν πλοῦτον τῶν χαρισμάτων αὐτοῦ, οὕτω καί ὑμεῖς ἐντρυφήσετε τῶν ἀπορρήτων αὐτοῦ ἀγαθῶν, ὧν ἡτοίμασε τοῖς ἀγαπῶσιν αὐτόν, νῦν μέν ἐκ μέρους καί μετά σοφίας τῆς κρείττονος, ἐν δέ τῷ αἰῶνι τῷ μέλλοντι ὁλοκλήρως μετά πάντων τῶν ἀπ' αἰῶνος ἁγίων ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## Λόγος ΚΓ΄. Περί μετανοίας καί φόβου Θεοῦ. Καί ὁποῖον ἀγῶνα ἔχει ψυχῆς καί πόνον καρδίας ὁ μετά συντετριμμένου τοῦ πνεύματος μετανοῶν. Καί τίνα εἰσίν ἅ λέγει καί πρός τόν φιλάνθρωπον Κύριον εὔχεται.

Ἀκούσατέ μου τῶν λόγων, υἱοί μου ἔσχατοι, ἀγαπητοί μου, περιποίητοί μου, ἀκούσατέ μου, εἰ ἀληθῶς ὡς πατέρα ποθεῖτέ με καί ζητεῖτέ με. Ποῖος τῶν ἀνθρώπων, φαρμάκῳ πληγείς τήν καρδίαν αὐτοῦ καί ἀλγῶν καί κοπτόμενος πόνῳ σφοδρῷ τά ἐντός αὐτοῦ, τραυμάτων μικρῶν δέρματος σώματος αὐτοῦ φροντίσει ἤ μελετήσει αὐτῷ περί τούτων; Ὁ γάρ ἐν τῇ καρδίᾳ αὐτοῦ κρυπτός πόνος καλύψει πάντα πόνον ἤ κνησμονήν, γινομένην ἐπί δερματίδα σώματος αὐτοῦ, καί ἐκ συνοχῆς τῆς καρδίας αὐτοῦ οὐκ ἀφίεται διαβλέψαι καί ἰδεῖν τά ἐπί τῷ σώματι αὐτοῦ, ἀλλά πόνῳ καί ὀδύνῃ ἀφορήτῳ τῆς καρδίας αὐτοῦ ἐπιλανθάνεται τῶν πληγῶν, τῶν ἐν τῷ σώματι αὐτοῦ, καί τά ἱμάτια αὐτοῦ ταῖς χερσίν αὐτοῦ διαρρήξει καί τοῖς ὄνυξιν αὐτοῦ τῶν χειρῶν τά τραύματα τοῦ σώματος αὐτοῦ ἐπιξάνῃ. Ἐπιλάθηται δέ καί γονέων καί φίλων αὐτοῦ καί ἐπί πάντα ἄνθρωπον οὐκ ἀτενίσει τοῖς ὀφθαλμοῖς, οὐδέ ἐπιστραφήσεται αὐστηρῷ τῷ προσώπῳ ἐπί ἄνθρωπον καταρώμενον αὐτόν. Οὐ φροντίσει κτημάτων ἤ πραγμάτων αὐτοῦ, καταλείψει τόν πλοῦτον αὐτοῦ εἰς διαρπαγήν τοῖς βουλομένοις. Ἄρτον ἡδέως οὐ φάγεται, ἐμπέπλησται γάρ πικρίας. Οἶνον ἡδέως οὐ πίεται, πόνος γάρ ἐστιν εἰς κόρον αὐτῷ. Τοῖς καλοῦσιν εἰς δεῖπνον πότου μετ᾿ ὀργῆς μεγάλης ἀποκριθήσεται· «*Ἀπόστητε ἀπ᾿ ἐμοῦ, θάνατος γάρ συντρίβει μου τήν καρδίαν, καί τί οἶδα εἰ ἄρτι λάβῃ αὐτήν; Ζῆν γάρ ἐν βίῳ μισητόν μοι γέγονεν, ὅτι ἡ ζωή αὕτη θάνατος, ἐγώ δέ οὐκ ᾔδειν* ». Ἐπί κλίνην στρωμνῆς αὐτοῦ οὐκ ἀναβήσεται, ἀλλ᾿ ἔσται κυλινδούμενος καί ἀσπαίρων ἐπί τῆς γῆς, κράζων μεγάλα καί ὀδυρόμενος, φροντίδα μηδεμίαν ποιούμενος τῶν ὁρώντων αὐτόν ἀσχημονοῦντα ἤ τῶν ἀκουόντων τῆς κραυγῆς αὐτοῦ καί καταλοιδορούντων αὐτόν. Ἔσονται οἱ ὀφθαλμοί αὐτοῦ φλέβες, πηγῆς ὕδωρ μᾶλλον προχέοντες ἤ προφέροντες τό ὁρᾶν. Πάντα ἄνθρωπον ὡς ἄγγελον μακαρίσει ὁ ἄνθρωπος ἐκεῖνος, καί τούς ὄντας καί τούς παρελθόντας καί τούς μήπω τόν κόσμον γνωρίσαντας, καί πᾶν κτῆνος καί πᾶν ἑρπετόν ἕρπον ἐπί τῆς γῆς καί πᾶν ὅ ἔχει πνεῦμα ζωῆς μακαρίσει λέγων· «*Ὡς εὐλογημένα πάντα τά ὑπό τοῦ Θεοῦ ποιηθέντα, ἐν χαρᾷ ψυχῆς καί ζωῆς αὐτῶν ἀπόνως διάγοντα, ἐγώ δέ μόνος φορτίῳ βαροῦμαι ἁμαρτημάτων καί πυρί κρίσεως κρίνομαι καί ὀδυνῶμαι μόνος ἐπί τῆς γῆς!* ». Πᾶσαν ψυχήν μίαν λογίσεται καί ὡς ἁγίαν τῷ κυρίῳ σεβασθήσεται καί ὡς ἀκάθαρτος εὐλαβηθήσεται ἀπό πάντων. Δίκαιον ἀπό ἀδίκου οὐ διακρινεῖ, ἀλλ᾿ ἕξει τούς πάντας ἴσον, καθαρούς τε καί ἀκαθάρτους. Οὗτος μόνος χωρίζεται ἀπό πάσης τῆς κτίσεως τῆς ὑπό τόν οὐρανόν, καί ἐπί κοπρίας ἀμυθήτων κάθηται ἁμαρτιῶν καί σκότει ἀγνοίας καί λύπης περιέχεται, τέλος οὐκ ἔχοντι. Τόν δέ ἰχῶρα τῶν τραυμάτων αὐτοῦ ἀποξέσει οὐ μετά ὀστράκου ὡς ὁ Ἰώβ, ἀλλά τοῖς ὄνυξι τῶν χειρῶν αὐτοῦ διά τήν βίαν τοῦ πόνου τῆς καρδίας αὐτοῦ· Ἰώβ γάρ τήν σάρκα πληγείς εἶχε τήν ψυχήν ὑπό Θεοῦ σκεπομένην, οὗτος δέ τήν ψυχήν σύν τῷ σώματι ὑπό ἁμαρτιῶν ἔσχε πεφαρμαγμένην,

καί διά τοῦτο χείρων ἡ ὀδύνη τοῦ ἀνθρώπου ἐκείνου δεκαπλασίως ὑπέρ τήν πληγήν τοῦ Ἰώβ. Μετά ταῦτα δέ καταλείψουσιν αὐτόν συγγενεῖς κατά σάρκα καί πάντες γνωστοί καί φίλοι αὐτοῦ οἱ ἐν κόσμῳ· μικρόν γάρ συνακολουθήσαντες αὐτῷ καί συνδακρύσαντες τήν ἀπαρηγόρητον θλῖψιν αὐτοῦ καί τό ἀπαράκλητον τῆς ψυχῆς αὐτοῦ θεωρήσαντες, ὡς βδέλυγμα ἡγησάμενοι, εἰς τά ἴδια ὑποχωρήσουσιν ἕκαστος, καί μόνος καταλειφθείς καί τήν περιέχουσαν αὐτόν ἐρημίαν καί ἀπορίαν καί θλῖψιν καί ὀδύνην θεασάμενος, κλαύσει ἐν ὀδύνῃ ψυχῆς αὐτοῦ καί βοήσει ἐν ἀπογνώσει πρός τόν Παντοκράτορα Κύριον.

*«Ἰδού ὁρᾷς, Κύριε, καί ἔστιν οὐδέν ὅ οὐ βλέπεις, ἐγώ δέ σῶν χειρῶν ἔργον, ἔργα δέ σῶν προσταγμάτων οὐκ ἔπραξα, πᾶσαν δέ κακίαν μετῆλθον ἐν ἀφροσύνῃ. Σύ ἀγαθός, ἐγώ δέ οὐκ ἐγίνωσκόν σε, νυνί δέ ἀκήκοα περί σοῦ καί ἔφριξα καί τί ποιήσω οὐκ οἶδα. Ἡσθήθην τῆς κρίσεώς σου καί λόγος ἀπολογίας οὐχ εὑρέθη ἐν τῷ στόματί μου. Ἑνός γάρ λόγου ἀργοῦ στόματός μου ἀντάξιον οὐδέν διεπραξάμην ἐπί τῆς γῆς, ὅτι ἐάν πᾶσαν δικαιοσύνην ποιήσῃ ἄνθρωπος, ὡς δοῦλος καί ὡς ὀφειλέτης ποιήσει, ἀντάλλαγμα δέ ἁμαρτίας αὐτοῦ οὐδέν εὑρήσει, τό γάρ ἔλεος παρά σοί ἐστιν, - ἁμαρτία γάρ θάνατος, καί τίς ἔσται ὁ δι᾽ αὐτῆς ἀποθνῄσκων καί ἀφ᾽ ἑαυτοῦ ἀνιστάμενος; Πάντως οὐδείς. Σύ γάρ μόνος ἀποθανών ἀνέστης, ὅτι ἁμαρτίαν οὐκ ἐποίησας οὐδέ ἐν τῷ στόματί σου εὑρέθη δόλος. Τίς δέ ἀποθανεῖται ἐν ἁμαρτίαις καί οὐ μεταμεληθήσεται; Ἔσται δέ αὐτῷ οὐδέν ὄφελος. Οὕτως , Δέσποτα Παντοκράτορ, καί ἐγώ μετανοῶ μέν κακά διαπραξάμενος ἔργα, οὐκ ἔστι μοι δέ εἰς δικαίωμα ἡ μετάνοια· μετάνοια γάρ ἐπίγνωσίς ἐστιν ἁμαρτίας. Καί νῦν βλέπεις, παντεπόπτα Κύριε, ὅτι οὐδέν ἔχω πλήν τοῦ σώματος, ἀλλ᾽ οὐδέν μοι ὄφελος ἐξ τῆς τοῦ πλούτου στερήσεως. Ὅλος γάρ εἰμι τραῦμα ἕν καί οὐδαμοῦ μοι περιλέλειπται ἀφορμή σωτηρίας, ὅτι κατελείφθην μόνος καί ζῶντά με ᾅδης κατέπιε. Καί σύ, Κύριε, βλέπεις, μόνος δύνασαί με ἀναγαγεῖν καί τόν πόνον τῆς ἐμῆς καρδίας ἰάσασθαι, ὅτι δυνατή ἡ χείρ σου εἰς ἅπαντα καί τά τέλη φθάνουσα τῶν ἀβύσσων, ἐνεργοῦσα πάντα τῷ νεύματί σου. Εἰπεῖν, Ἐλέησόν με, οὐ τολμῶ, ἀνάξιος γάρ εἰμι· σύ δέ, Κύριε, βλέπεις».*

Ὁ οὖν εὔσπλαγχνος Θεός ταχέως εἰσακούσεται αὐτοῦ καί ἀνάπαυσιν ὀδύνης καί ἀπαλλαγήν πόνου καρδίας αὐτοῦ συντόμως παράσχῃ αὐτῷ. Φιλάνθρωπος γάρ ὤν, οὐ φέρει ἐν ἀνάγκῃ τοιαύτῃ καί ἀφορήτῳ ὀδύνῃ τό τῶν χειρῶν αὐτοῦ ποίημα καθορᾶν, καί ποιήσει μετά τοῦ ἀνθρώπου ἐκείνου, τοῦ τά προειρημένα ἅπαντα ἀπαραλείπτως ποιήσαντος, καί μετά τῶν ἐν πίστει ἀκουόντων καί μιμεῖσθαι μελλόντων τήν ἀληθῆ ταύτην τῆς μετανοίας εἰκόνα καί ἱστορίαν ἥν πρῶτον ἐξεπλήρωσε πρᾶξις καί τότε γραφῇ παραδέδωκε λόγος, τό πολύ καί ἄφατον ἔλεος αὐτοῦ, καί ἐκχέει τήν αὐτοῦ καί ἐπ᾽ αὐτόν ἀγαθότητα καί μεταβαλεῖ εἰς χαράν τόν πόνον αὐτοῦ καί τήν πικρίαν τῆς καρδίας αὐτοῦ εἰς γλυκύ γλεῦκος μεταποιήσει καί τόν κατεσθίοντα ἰόν τοῦ δράκοντος τά ἐντόσθια αὐτοῦ ἐξεμέσαι ποιήσει· καί οὐ μνησθήσεται ἔκτοτε τῶν πρώην πόνων αὐτοῦ, οὔτε πάντων ἐκείνων ὧν ὑπέστη κακῶν, ἀλλ᾽ οὐδέ χρήματα ἤ κτήματα ἤ πλοῦτον, ὅν κετέλιπεν ἐν τῷ καιρῷ τῆς πληγῆς τῆς μετανοίας αὐτοῦ, ἐπιστραφείς ζητήσει ἤ τινος ἑτέρου ἐπιθυμήσει. Ὁ γάρ ὕψιστος Θεός δώσει αὐτῷ ὑγείαν, ἥτις ἔσται ὑπέρ πάντας τούς

θησαυρούς τῆς γῆς, ἡ δέ ὑγεία χαράν ἐμποιήσει ἄφραστον ἐν τῇ καρδίᾳ αὐτοῦ, καί ἔσται ἡ χαρά ἐν τῇ καρδίᾳ αὐτοῦ δεκαπλασίως ὑπέρ τήν προτέραν θλῖψιν αὐτοῦ, καί αὕτη πάλιν ἡ χαρά πάντα πόνον τόν ἔξωθεν γινόμενον ἐν τῷ σώματι αὐτοῦ ἀποδιώξει, καί ἔσται γινώσκων ὁ ἄνθρωπος ἐκεῖνος ὅτι τραύματα σώματος αὐτοῦ οὐδέ ἔρχεται ἔκτοτε ἐπί καρδίαν αὐτοῦ, καί θλῖψις ἡ ἔξωθεν οὐ καθάψεται τῆς χαρᾶς τῆς οὔσης ἐν τῇ καρδίᾳ αὐτοῦ, καί αὕτη ἡ γνῶσις ἔσται πλεονασμός τῆς χαρᾶς τῆς ἐν τῇ καρδίᾳ αὐτοῦ.

Καί ἔσονται οἱ πλησίον αὐτοῦ, οἱ πρώην θεωροῦντες τάς ἔξωθεν θλίψεις αὐτοῦ, ἀγνοοῦντες δέ τήν μετά ταῦτα γεγονυῖαν κρυφίαν χαράν αὐτοῦ, στενάζοντες ἐπ᾽ αὐτῷ καί λέγοντες· «*Ἴδε ἄνθρωπος ὅς οὐκ οἶδεν εὐφροσύνην ἐν τῇ ζωῇ αὐτοῦ, καί ὁ βίος αὐτοῦ θλίψεως καί ὀδύνης πλήρης, καί αἱ ἡμέραι αὐτοῦ οὐδέν διαφέρουσι τῶν μαστιζομένων και τιμωρουμένων ἐπί ἁμαρτίαις*»· εἰδώς δέ μόνος ἐκεῖνος ὅτι πλήρης θυμηδίας καί ἀγαλλιάσεως ὁ χρόνος αὐτοῦ τῆς ζωῆς καί ἡ χαρά τῆς καρδίας αὐτοῦ θάνατον ἐμπαίζει καί ᾅδης οὐ κυριεύει αὐτῆς, ὅτι τέλος οὐκ οἶδε, χαίρει ὁ ἄνθρωπος ἐκεῖνος ἐπί τούτοις μυριοπλασίως ὑπέρ πάντας τούς βασιλεῖς τούς κρατοῦντας τῆς γῆς, καί ὑπέρ πάντας ἐφ᾽ οὕς ἡ ἡ ὑγεία καί ἡ εὐμορφία τοῦ σώματος, καί ὑπέρ πάντας ἐφ᾽ οὕς ὁ πλοῦτος καί ἡ πορφυρᾶ στολή καί ἡ βυσσίνη, καί ὑπέρ πάντας τούς μακαριζομένους ἐπί τῆς γῆς παρά στομάτων οὐκ ὀρθά λαλούντων. Οἶδε γάρ ὁ ἄνθρωπος ἐκεῖνος ὅτι κρείσσων πενία μετά χαρᾶς τοιαύτης ὑπέρ πάντα τόν κόσμον καί τῶν ἐν αὐτῷ πραγμάτων ἐστίν, ἐπειδή πάντα τά ἐπί τῷ σώματι αὐτοῦ καί τά ἐπί παντί τῷ βίῳ ὁ οὐρανός καλύψει καί ᾅδης φάγεται καί θάνατος κυριεύσει αὐτῶν, ἡ δέ χαρά, ἡ ἐκ τῆς ὑγείας περιποιηθεῖσα τῇ ψυχῇ αὐτοῦ, ὑπ᾽ οὐδενός τούτων δύναται κρατηθῆναι, ὅτι οὐκ ἔστιν ἐκ τοῦ κόσμου τούτου. Οὔτε γάρ ἀπό δόξης αὐτῷ γέγονεν αὕτη, οὐδέ ἀπό πολλοῦ πλούτου, οὔτε ἀπό ὑγείας σώματος αὐτοῦ, οὔτε ἀπό ἐπαίνου ἀνθρώπων, οὔτε ἀπό ἄλλου τινός πράγματος τῶν ὑπό τῶν οὐρανόν, ἀλλά ἀπό πόνου καί πικρίας ψυχῆς αὐτοῦ ἐσκεύασται καί ἀπό συναντήσεως Πνεύματος Θεοῦ, τοῦ ὑπεράνω τῶν οὐρανῶν. Διυλισθεῖσα γάρ δι᾽ αὐτοῦ καί ἐκπιεσθεῖσα ἡ καρδία αὐτοῦ ἄδολον καί ἀμιγῆ θλίψεως χαράν ἀπέτεκε. Καί διά τοῦτο θάνατος οὐ κυριεύσει αὐτῆς, ὅτι μῶμος οὐχ εὑρεθήσεται ἐν αὐτῇ, ἀλλ᾽ ἔσται ὡς διυλισμένος οἶνος ἀπέναντι ἡλίου, ἐκλάμπων μᾶλλον καί λαμπρυνόμενος καί καθαρωτέραν δεικνύων τήν αὐτοῦ χρόαν, εὐφραίνων καί ὑπεραστράπτων τῷ προσώπῳ τοῦ πίνοντος αὐτόν κατέναντι τοῦ ἡλίου.

Ἐπί δέ τούτοις ἕν μοι δυσνόητον· οὐ γάρ οἶδα ποῖον πλέον εὐφραίνει με, ἡ θέα καί ἡ τέρψις τῆς καθαρότητος τῶν τοῦ ἡλίου ἀκτίνων ἤ μᾶλλον ἡ πόσις καί ἡ γεῦσις τοῦ οἴνου τοῦ ἐν τῷ στόματί μου. Θέλω γάρ εἰπεῖν τοῦτο καί ἕλκει με ἐκεῖνο καί γλυκύτερον φαίνεται· καί ὅταν πρός ἐκεῖνο ἀπίδω, ὑπό τῆς γλυκύτητος τῆς γεύσεως περισσοτέρως μᾶλλον ἡδύνομαι, καί οὔτε τοῦ βλέπειν κορέννυμι οὔτε τοῦ πίνειν ἐμπίπλαμαι. Ὅταν γάρ τοῦ πίνειν χορτασθῆναι δοκήσω, τότε τό κάλλος τῶν ἐκπεμπομένων ἀκτίνων διψᾶν με σφόδρα ποιεῖ καί λιμώττων πάλιν εὑρίσκομαι· καί ὅσῳ πάλιν φιλονεικήσω τήν ἐμήν ἐμπλῆσαι γαστέρα, καίεται τό στόμα μου δεκαπλασίως καί τῇ δίψῃ καί ἐπιθυμίᾳ τοῦ διειδεστάτου πόματος ἐκπυρίζομαι.

Ταύτῃ οὖν τῇ καλῇ κρίσει πᾶς ὁ κρινόμενος ἑτέραν οὐ φοβηθήσεται τιμωρίαν ἤ βάσανον, οὐδέ πειρασμούς δειλιάσει τούς ἐπερχομένους αὐτῷ. Ἡ γάρ δίψα αὐτοῦ οὐ παυθήσεται εἰς τόν αἰῶνα καί τό ἡδύ καί λευκολαμπές αὐτοῦ πόμα οὐκ ἐκλείψει, καί ἡ ἐκ τοῦ ποτοῦ ἡδύτης καί ἡ ἐκ τοῦ ἡλίου ἐξερχομένη χαροποιός αἴγλη πᾶσαν λύπην ἐκ τῆς ψυχῆς αὐτοῦ ἐκδιώκει καί πάντοτε χαίρειν ποιεῖ τόν ἄνθρωπον ἐκεῖνον, καί οὐδείς βλάπτων κατισχύσει αὐτοῦ, οὐδέ ὁ κωλύσων αὐτόν ἔσται ἐκ τῆς πηγῆς τοῦ ποτηρίου μή ἐμφορηθῆναι. Ὁ γάρ κρατῶν τῇ κακίᾳ τῆς γῆς, ὁ ἄρχων τοῦ σκότου, ὁ βασιλεύων ἐπί πᾶν ὕδωρ θαλάσσης καί κόσμον ἐμπαίζων ὡς εἴ τις μικρόν στρουθίον κατέχων ἐν τῇ χειρί αὐτοῦ, μετά πάσης αὐτοῦ τῆς στρατιᾶς καί τῆς δυνάμεως οὐ προσεγγίσει πτέρναν ποδός αὐτοῦ, οὐδέ προσβλέψαι αὐτῷ μετά θάρσους τολμήσει. Ἡ γάρ στίλβα τοῦ οἴνου καί ἡ ἀκτίς τοῦ ἡλίου πρός τό πρόσωπον τοῦ πίνοντος φαιδρῶς ἀπαστράπτουσαι διέρχονται μέχρι τῶν ἐγκάτων αὐτοῦ καί μέχρι τῶν χειρῶν αὐτοῦ καί ποδῶν καί μέχρι τῶν ὀπισθίων αὐτοῦ καί, πῦρ ὅλον ποιοῦσαι τόν πίνοντα, φλέγειν καί τήκειν τούς προσερχομένους αὐτῷ ἐχθρούς ἐκ πάντων τῶν μερῶν ἐνισχύσουσι, καί γίνεται ἀγαπητός τῷ φωτί τοῦ ἡλίου καί τῷ ἡλίῳ φίλος καί τῷ λευκολαμπεῖ οἴνῳ τῶν ἐξ αὐτῶν προεχεομένων ἀκτίνων δίκην υἱός ἠγαπημένος· ἡ γάρ πόσις αὐτοῦ τροφή καί κάθαρσις ῥύπου σεσηπότων σαρκῶν αὐτοῦ, καί ἡ κάθαρσις ὑγεία ὁλόκληρος αὐτῷ, καί ἡ ὑγεία οὐκ ἐᾷ αὐτόν ἕτερόν τι νοσοποιόν βρῶμα τραφῆναι, ἀλλά ἄπειρον καί διακαῆ ἐπιθυμίαν παρέχει αὐτῷ πίνειν ἐκ τοῦ οἴνου καί ἑαυτόν καθαίρειν μᾶλλον καί ὑγείαν ποιεῖσθαι τήν πόσιν. Τό γάρ κάλλος τῆς ὑγείας καί ἡ τερπνότης τῆς ὡραιότητος, τῆς ἐκ τῆς ὑγείας προσγινομένης, κόρον οὐκ ἔχει.

Οὕτως οὖν ἔσται, τέκνα ἠγαπημένα, υἱοί μου, περιποίητοί μου, οἱ ἀκούοντές μου τούς λόγους, πᾶς ὁ ἔναντι Κυρίου Θεοῦ Παντοκράτορος ἁμαρτήσας καί φόβου κρίσεως καί ἀποστροφῆς αὐτοῦ αἴσθησιν ἐν καρδίᾳ λαμβάνων. Φόβος γάρ Κυρίου καί αἴσθησις ἀνταποδόσεως αὐτοῦ δικαίας οὕτω σάρκα ἐκτήκει καί ὀστᾶ συντρίβει, ὡς ἀπῃωρημένος λίθος ὑπό μηχανῆς τούς ἐν τῇ ληνῷ πατουμένους βότρυας ἐκθλίβει καί σφοδρῶς ἐκπιέζει. Τάς μέν γάρ σταφυλάς πρῶτον πατοῦντες οἱ ἄνθρωποι, ὕστερον αὐτάς πιέζουσιν ὑπό τοῦ λίθου καί πάσης ὑγρότητος αὐτάς χωρίς ἀποφαίνουσι, τόν δέ εἰσελθόντα ἄνθρωπον εἰς τόν φόβον τοῦ Θεοῦ αὐτός ὁ τοῦ Θεοῦ φόβος ποιεῖ αὐτόν γενέσθαι πᾶσιν ἀνθρώποις ἄλλοις εἰς καταπάτημα. Καί ὅτε καταλεάνῃ καί συντρίψει τελείως τό ὑπερήφανον καί κενόδοξον τῆς σαρκός αὐτοῦ φρόνημα, τότε ἡ ἁγία ταπείνωσις, ὁ νοητός λίθος ὁ ἐλαφρότατος καί χρηστός, ἐπιπεσών ἄνωθεν, πᾶσαν ὑγρότητα τῶν σαρκικῶν ἡδονῶν καί παθῶν ἐκπιέσασα, οὐκ ἄχρηστον τήν ἐκπιεσθεῖσαν ψυχήν ἀποδείκνυσιν, ἀλλά δάκρυα ποταμηδόν αὐτήν καταντλήσασα τό ζῶν ὕδωρ ἐκβλύζειν ποιεῖ καί τά ἐκ τῶν ἁμαρτημάτων τραύματα ἰᾶται καί τόν ἰχῶρα καί τά ἕλκη αὐτῶν ἀποπλύνει καί χιόνος λαμπρότερον ὅλον ἐκεῖνον ἀποδεικνύει τόν ἄνθρωπον.

Μακάριος οὖν ὁ ἄνθρωπος ἐκεῖνος, ὁ τούς λόγους τούτους ἀκούων καί δεχόμενος αὐτούς μετά πίστεως καί ποιῶν αὐτούς, ὅτι μεγάλα εὑρηκώς ἀγαθά, τά ὑπέρ νοῦν καί λόγον καί διάνοιαν ὄντα, μακαρίσει τήν ἀθλίαν μου χεῖρα, τήν ταῦτα γράψασαν, καί

δοξάσει τόν ἐλεήμονα καί πολυέλεον Κύριον, τόν διά ῥυπαρᾶς γλώσσης καί ἀκαθάρτου καί ῥυπαροῦ στόματος ταῦτα γραφῇ παραδόντα εἰς ἐπιστροφῆς καί μετανοίας ὑπόδειγμα καί εἰς ὁδόν ἀπλανῆ καί ἀληθεστάτην τῶν ἐξ ὅλης ψυχῆς θελόντων σωθῆναι καί μελλόντων κληρονομεῖν βασιλείαν, τήν ἐν αὐτῷ τῷ Θεῷ καί Σωτῆρι ἡμῶν, ᾧ ἡ δόξα εἰς τούς αἰῶνας. Ἀμήν.

# Λόγος ΚΔ΄. Περί γνώσεως πνευματικῆς. Καί ὅτι ὁ ἐγκεκρυμμένος τοῦ Πνεύματος θησαυρός ἐν τῷ γράμματι τῆς θείας Γραφῆς οὐ πᾶσιν εὔδηλός ἐστι καί τοῖς βουλομένοις, ἀλλά μόνοις τοῖς τόν διανοίγοντα τόν νοῦν κτησαμένοις εἰς τό συνιέναι τάς Γραφάς.

Ἀδελφοί καί πατέρες, ἔοικεν ἡ πνευματική γνῶσις οἰκίᾳ τινί μέσον τῆς κοσμικῆς καί ἑλληνικῆς γνώσεως κατεσκευασμένῃ ἐν ᾗ ὥσπερ κιβώτιον στερρόν καί κατησφαλισμένον ἡ γνῶσις τῶν θεοπνεύστων Γραφῶν καί ὁ ἐν αὐτῇ ἄφραστος πλοῦτος ἀποτεθησαυρισμένος ἀπόκειται, ὅν οὐκ ἄν ποτε οἱ ἐν τῷ οἴκῳ εἰσερχομένοι κατιδεῖν δυνηθῶσιν, εἰ μή τό κιβώτιον αὐτοῖς πάντως διανοιχθῇ. Οὐκ ἔστι δέ ὑπό ἀνθρωπίνης σοφίας ἀνοιχθῆναι τοῦτό ποτε, διό καί μένει ἄγνωστος πᾶσιν ἀνθρώποις τοῖς ἐν τῷ κόσμῳ ὁ ἐναποκείμενος ἐν αὐτῷ πλοῦτος τοῦ Πνεύματος. Καί καθάπερ κἄν αὐτό τό κιβώτιον ὅλον ἐπί τῶν ἑαυτοῦ ὤμων ἀναλαβών ἐπιφέρηται ἄνθρωπος, τόν ἐναποκείμενον ἐν αὐτῷ ἀγνοεῖ θησαυρόν, οὕτω κἄν πάσας ἀναγνῷ καί ἐκστηθίσηται ὁ ἄνθρωπος τάς Γραφάς καί ὡς ἕνα ψαλμόν περιφέρῃ αὐτάς, τήν ἐγκεκρυμμένην ἐν αὐταῖς τοῦ Ἁγίου Πνεύματος δωρεάν ἀγνοεῖ. Οὔτε γάρ διά τοῦ κιβωτίου τά ἐν τῷ κιβωτίῳ, οὔτε διά τῆς Γραφῆς τά ἐν τῇ Γραφῇ δῆλα καθίστανται. Καί πῶς, ἄκουσον.

Βλέπεις κιβώτιον μικρόν, κεκλεισμένον πάντοθεν ἀσφαλῶς καί, ὅσον ἀπό τοῦ βάρους καί τῆς ἔξωθεν εὐπρεπείας αὐτοῦ, ὑπολαμβάνεις ἤ καί ἴσως παρά τινων ἀκούων πιστεύεις ἔνδοθεν ἔχειν αὐτό θησαυρόν, ὅ καί ἄρας μετά σπουδῆς πορεύῃ· τί οὖν σοι ἔσται, εἰπέ μοι, τό ὄφελος, ἐάν ἐσφραγισμένον αὐτό καί κεκλεισμένον ἀεί περιφέρῃς καί οὐκ ἀνοίξῃς; Οὐ θεάσῃ ποτέ, ἔτι ζῶν, τόν ἐν αὐτῷ θησαυρόν, οὐκ ἴδῃς τῶν ἐν αὐτῷ λίθων τήν διαύγειαν, τῶν μαργαριτῶν τήν λαμπρότητα, τοῦ χρυσοῦ τήν ἀστράπτουσαν αἴγλην. Τί σοι τό ὄφελος, ἐάν ἐξ αὐτῶν οὐ καταξιωθήσῃ λαβεῖν κἄν ὀλίγον καί ὠνήσασθαί τι τῶν πρός διατροφήν ἤ ἔνδυσιν, ἀλλά περιφέρεις μέν, ὡς εἴπομεν, ἐσφραγισμένον τό κιβώτιον δι᾽ ὅλου, πολλοῦ καί πολυτίμου πεπλησμένον τοῦ θησαυροῦ, αὐτός δέ σύ λιμῷ καί δίψῃ καί γυμνότητι κατατρύχῃ; Πάντως οὐδέν.

Ταῦτά μοι καί ἐπί τῶν πνευματικῶν ὑπολάμβανε ἀδελφέ. Νόει μοι οὖν κιβώτιον τό Χριστοῦ Εὐαγγέλιον καί τάς λοιπάς θείας Γραφάς, ἐχούσας ἐν αὐταῖς ἐγκεκλεισμένην καί ἐσφραγισμένην τήν αἰώνιον ζωήν καί σύν αὐτῇ τά ἐν αὐτῇ ἄρρητα καί αἰσθητοῖς ὄμμασι μή καθορώμενα αἰώνια ἀγαθά κατά τήν τοῦ Κυρίου φωνήν· «*Ἐρευνᾶτε τάς Γραφάς, ὅτι ἐν αὐταῖς ἐστιν ἡ ζωή ἡ αἰώνιος*». Ἄνθρωπον δέ τόν ἄραντα τό κιβώτιον ὑπόθου μοι εἶναι τόν τάς Γραφάς πάσας ἀποστηθίσαντα καί ἐπί στόματος ἀεί ταύτας ἐπιφερόμενον. Ἐπιφέρεται οὖν αὐτάς ὡς ἐν κιβωτίῳ τῷ μνημονευτικῷ τῆς ψυχῆς, ἔχοντι τάς ἐντολάς τοῦ Θεοῦ ὡς λίθους τιμίους, ἐν αἷς ὑπάρχει ἡ ζωή ἡ αἰώνιος - οἱ γάρ τοῦ Χριστοῦ λόγοι φῶς εἰσι καί ζωή εἰσιν, ὡς αὐτός οὗτός φησιν· «*Ὁ ἀπειθῶν τῷ Υἱῷ οὐκ*

*ὄψεται τήν ζωήν*»-, σύν ταῖς ἐντολαῖς δέ ὡς μαργαρίτας τάς ἀρετάς. Ἀπό γάρ τῶν ἐντολῶν αἱ ἀρεταί, ἐκ δέ τούτων ἡ ἀποκάλυψις τῶν μυστηρίων, τῶν ἐν τῷ γράμματι ἀποκεκρυμμένων καί κεκαλυμμένων. Διά γάρ τῆς ἐκπληρώσεως τῶν ἐντολῶν ἡ ἐργασία τῶν ἀρετῶν, διά δέ τῆς πράξεως τῶν ἀρετῶν ἡ πλήρωσις τῶν ἐντολῶν γίνεται, καί οὕτω διά τούτων ἀνοίγεται ἡμῖν ἡ θύρα τῆς γνώσεως, μᾶλλον δέ οὐ διά τούτων, ἀλλά διά τοῦ εἰπόντος· «*Ὁ ἀγαπῶν με τάς ἐντολάς μου τηρήσει καί ὁ Πατήρ μου ἀγαπήσει αὐτόν καί ἐγώ ἐμφανίσω αὐτῷ ἐμαυτόν*». Ὅταν οὖν ἐνοικήσῃ καί ἐμπεριπατήσῃ ὁ Θεός ἐν ἡμῖν καί ἐμφανίσῃ αὐτός ἑαυτόν αἰσθητῶς ἡμῖν, τότε καί γνωστῶς καθορῶμεν τά ἐν τῷ κιβωτίῳ ἤγουν τά ἐν τῇ θείᾳ Γραφῇ ἐγκεκρυμμένα θεῖα μυστήρια. Ἄλλως δέ οὐκ ἔνι, μηδείς πλανάσθω, διανοιγῆναι τήν κιβωτόν τῆς γνώσεως καί τῶν ἐν αὐτῇ ἀγαθῶν ἀπολαῦσαι ἤ ἐν μετοχῇ καί θεωρίᾳ γενέσθαι αὐτῶν. Ποίων δέ καί τίνων φημί ἀγαθῶν; Ἀγάπης τελείας, τῆς πρός τόν Θεόν δηλονότι καί τόν πλησίον, καταφρονήσεως τῶν ὁρωμένων ἁπάντων, τό νεκρωθῆναι τήν σάρκα καί τά μέλη ταύτης τά ἐπί γῆς μέχρι καί ἐπιθυμίας κακῆς, ἵνα ὥσπερ ὁ νεκρός ὅλως οὐ λογίζεται οὐδέ αἰσθάνεταί τινος, οὕτω καί ἡμεῖς αὐτοί μηδεμίαν ἔννοιαν ἐπιθυμίας κακῆς ἤ ἐμπαθοῦς αἰσθήσεως ὅλως ἐννοῶμέν ποτε ἤ ἐπαισθανώμεθα τοῦ κακοῦ τῆς τυραννώδους ὀχλήσεως, μόνον δέ τῶν ἐντολῶν μνημονεύωμεν τοῦ Σωτῆρος Χριστοῦ· ἔτι δέ ἀθανασίας, ἀφθαρσίας, δόξης ἀϊδίου, ζωῆς αἰωνίου, βασιλείας οὐρανῶν, υἱοθεσίας διά τῆς ἀναγεννήσεως τοῦ Ἁγίου Πνεύματος καί τό γενέσθαι ἡμᾶς θεούς θέσει τε καί χάριτι, χρηματίσαι τε κληρονόμους Θεοῦ, συγκληρονόμους δέ Χριστοῦ, καί συνάμα τούτοις τόν νοῦν Χριστοῦ κτήσασθαι καί δι’ αὐτοῦ ἰδεῖν τόν Θεόν καί Χριστόν αὐτόν ἐνοικοῦντα κατά τήν Θεότητα και ἐμπεριπατοῦντα γνωστῶς ἐν ἡμῖν.

Τούτων οὖν ἁπάντων καί τῶν ὑπέρ τούτων ἀρρήτων καί ἀνεκφράστων οἱ τάς ἐντολάς ἀκούοντες τοῦ Θεοῦ καί ποιοῦντες αὐτάς, διά τῆς ἀνοίξεως ἧς ἔφαμεν κιβωτοῦ, ἤγουν διά τῆς ἀποκαλύψεως τῶν νοερῶν ὀφθαλμῶν καί τῆς θέας τῶν ἐν τῇ θείᾳ ἐγκεκρυμμένων Γραφῇ, ἀξιοῦνται καί πλουσίως ἐπαπολαύουσιν. Οἱ δ’ ἄλλοι, ἄγνοιαν ἔχοντες τῶν εἰρημένων ἁπάντων καί ἀπειρίαν, ἄγευστοί εἰσι τῆς τούτων γλυκύτητος, τῆς τούτων ἀθανάτου ζωῆς, ἐπερειδόμενοι τῇ μαθήσει μόνῃ τῶν Γραφῶν· οὕς καί καταδικάζουσα καί κατακρίνουσα μᾶλλον αὕτη ἐν τῇ ἐξόδῳ ἔσται ἤ τούς μηδόλως τῶν Γραφῶν ἀκηκοότας. Ἐκ γάρ τῶν τοιούτων τινές ἀπό ἀγνοίας πλανώμενοι πάσας στρεβλοῦσι τάς θείας Γραφάς, μεθερμηνεύοντες αὐτάς κατά τάς ἐμπαθεῖς ἐπιθυμίας αὐτῶν, συνιστάνειν θέλοντες ἑαυτούς, ὅτι δή καί δίχα τῆς ἀκριβοῦς τῶν ἐντολῶν τοῦ Χριστοῦ φυλακῆς σωθῆναι μέλλουσιν, ἀπαρνούμενοι τήν δύναμιν ὅλως τῶν ἁγίων Γραφῶν.

Καί εἰκότως· τά γάρ ἐσφραγισμένα καί κεκλεισμένα, τά πᾶσιν ἀνθρώποις ἀθέατά τε καί ἄγνωστα, διανοιγόμενα δέ ὑπό μόνου τοῦ Ἁγίου Πνεύματος καί οὕτως ἀποκαλυπτόμενα θεατά γινόμενα ἡμῖν καί γνωστά, πῶς ἄρα εἰδέναι ἤ γνῶναι ἤ κἄν ποσῶς ἐννοῆσαί ποτε ἐξισχύσουσιν, οἱ τήν παρουσίαν τοῦ Ἁγίου Πνεύματος, τήν ἔλλαμψιν, τόν φωτισμόν, τήν ἐνοίκησιν τής εἰς αὐτούς, μηδέποτε γνῶναι λέγοντες; Πῶς

ἐν καταλήψει γένωνται τῶν τοιούτων μυστηρίων, οἱ μηδόλως ποτέ ἐν ἑαυτοῖς ἐπεγνωκότες γενομένην τήν ὑπ’ αὐτοῦ ἀναχώνευσιν, τήν ἀνακαίνισιν, τήν ἀλλοίωσιν, τήν ἀνάπλασιν, τήν ἀναγέννησιν; Οἱ δέ μήπω βαπτισθέντες ἐν Πνεύματι ἁγίῳ, τήν ἀλλοίωσιν τῶν βαπτισθέντων ἐν τούτῳ πῶς εἰδέναι δύνανται; Οἱ μή γεννηθέντες ἄνωθεν, τῶν γεννηθέντων ἐκεῖθεν - καθώς εἶπεν ὁ Κύριος - τήν δόξαν πῶς ἴδωσι, τῶν ἐκ Θεοῦ γεννηθέντων καί τέκνων γενομένων Θεοῦ; Οἱ μή τοῦτο παθεῖν ἐθελήσαντες, ἀλλά δι’ ἀμελείας ταύτην προσαπολέσαντες - καί γάρ ἔλαβον ἐξουσίαν τοῦ γενέσθαι τοιοῦτοι - , ποίᾳ γνώσει δυνηθῶσιν, εἰπέ μοι, κατανοῆσαι ἤ κἄν ὁπωσοῦν ἐννοῆσαι ἰσχύσωσιν, οἷοι ἐκεῖνοι ἐχρημάτισαν;

Πνεῦμά ἐστιν ὁ Θεός ἀόρατον, ἀθάνατον, ἀπρόσιτον, ἀκατάληπτον, καί τοιούτους ποιεῖ τούς ἐξ αὐτοῦ γεννωμένους, ὁμοίους τῷ γεγενηκότι Πατρί, σώματι μόνῳ ληπτούς ὄντας καί ὁρατούς, τά δ’ ἄλλα μόνῳ Θεῷ γινωσκομένους καί Θεόν μόνον γινώσκοντας, μᾶλλον δέ μόνῳ Θεῷ βουλομένους γινώσκεσθαι, πρός ὅν καί βλέπειν ἀεί ἐφίενται καί ὑπ’ αὐτοῦ γλίχονται ὁρᾶσθαι. Ἄλλως δέ, καθάπερ οἱ ἄπειροι τῶν γραμμάτων ἴσον τοῖς ἐμπείροις τάς βίβλους ἀναγινώσκειν οὐ δύναται, οὕτως οὐδέ οἱ μή διά πράξεως τάς τοῦ Χριστοῦ ἐντολάς διελθεῖν ἐθελήσαντες, ἴσον τῶν εἰς αὐτάς ἐπαγρυπνησάντων καί πεπληρωκότων αὐτάς καί ὑπέρ αὐτῶν τό αἷμα κεκενωκότων τό ἴδιον, ἰσχύσουσιν, ὡς ἐκεῖνοι, τῆς τοῦ Ἁγίου Πνεύματος ἀποκαλύψεως ἀξιωθῆναί ποτε. Ὥσπερ γάρ ὁ βιβλίον ἐσφραγισμένον καί κεκλεισμένον λαβών ἄνθρωπος οὐ δύναται τά ἐν αὐτῷ γεγραμμένα ἰδεῖν ἤ ὁποῖά εἰσιν ἐννοῆσαι ἕως ἐσφραγισμένον ἐστί τό βιβλίον, κἄν πᾶσαν τήν σοφίαν τοῦ κόσμου μεμάθηκεν, οὕτως οὐδέ ὁ πάσας τάς θείας Γραφάς, ὡς εἴπομεν, ἐπί στόματος ἔχων δυνήσεταί ποτε τήν ἐν αὐταῖς ἐγκεκρυμμένην μυστικήν καί θείαν δόξαν ὁμοῦ καί δύναμιν γνῶναι καί κατιδεῖν, εἰ μή πάσας διέλθῃ τάς ἐντολάς τοῦ Θεοῦ καί τόν Παράκλητον λάβῃ μεθ’ ἑαυτοῦ, διανοίγοντα τούς λόγους αὐτῷ ὡς τό βιβλίον καί τήν ἐν αὐτοῖς ἐπιδεικνύοντα δόξαν μυστικῶς, οὐ μήν ἀλλά καί τά ἐν τούτοις ἀποκεκρυμμένα τοῦ Θεοῦ ἀγαθά σύν αὐτῇ τῇ ταῦτα βλυζούσῃ αἰωνίᾳ ζωῇ ἀποκαλύπτοντα, ἅ πᾶσι τοῖς καταφρονηταῖς καί ἀμελεστέροις κεκαλυμμένα ὑπάρχει καί ἀφανῆ τό καθόλου. Καί εἰκότως· ἐπειδή γάρ τάς αἰσθήσεις αὐτῶν πάσας εἰς τήν τοῦ κόσμου ματαιότητα προσήλωσαν καί τοῖς τερπνοῖς τοῦ βίου καί ταῖς ὡραιότησι τῶν σωμάτων προσπάσχουσι, σκοτεινόν τό τῆς ψυχῆς ὀπτικόν περιφέροντες, πρός τά νοητά κάλλη τῶν ἀπορρήτων τοῦ Θεοῦ ἀγαθῶν ἰδεῖν καί ἀναβλέψαι οὐ δύνανται.

Καί καθάπερ ὁ ἀσθενῶν τάς ὄψεις τοῦ σώματος οὐ δύναται κἄν ποσῶς εἰς ἡλιακήν ἀκτῖνα τρανότερον λάμπουσαν ἀποβλέψαι, ἀλλ’ εἰ καί πρός αὐτήν ἀτενίσει, τέλεον εὐθύς καί ὅπερ κέκτηται φῶς προσαπόλλυσιν, οὕτω δή καί ὁ τά τῆς ψυχῆς ὄμματα ἀσθενῆ καί τάς αἰσθήσεις αὐτάς ἐμπαθεῖς ἔχων, ἀπαθῶς καί βλάβης ἐκτός κάλλος ἤ ὡραιότητα σώματος καί κατανοῆσαι οὐ δύναται, ἀλλά καί ἥνπερ πρό τούτου εἰρήνην εἶχε τῶν λογισμῶν καί γαλήνην τῆς πονηρᾶς ἐπιθυμίας, καί αὐτήν χρονίζων ἐν τῇ μελέτῃ τοῦ πάθους ἀπόλλυσι. Τοιγαροῦν οὐδέ τήν ἑαυτοῦ ἀσθένειαν ὁ τοιοῦτος καταμαθεῖν ὅλως δύναται. Εἰ γάρ ἀσθενεῖν ἑαυτόν πεποίηκεν, ἐπίστευσεν ἄν ὅτι εἰσί τινες ὑγιαίνοντες

ἕτεροι, καί ἴσως ἐμέμψατο ἑαυτόν ποτε ὡς αἴτιον αὐτόν ἑαυτῷ χρηματίσαντα καί τά πρός ἀπαλλαγήν ταύτης ἐφρόντισε. Νυνί δέ τούς πάντας ἔχων ἐμπαθεῖς ὁ τοιοῦτος, αὐτοῖς ἑαυτόν ἐξισοῖ καί ἀδύνατον λέγει εἶναι τό ὑπέρ τούς πάντας γενέσθαι αὐτόν. Τί τοῦτο; Ἵνα συναποθάνῃ τῷ πάθει, μή θέλων τοῦ τοιούτου κακοῦ ἀπαλλαγῆναι ὁ ἄθλιος. Εἰ γάρ ἠβουλήθη, ἴσχυσεν ἄν, ὡς ἐκ Θεοῦ τό δύνασθαι εἰληφώς. Ὅσοι γάρ εἰς τό ὄνομα αὐτοῦ ἐβαπτίσθημεν, ἐξουσίαν ἐλάβομεν παρ’ αὐτοῦ τήν πρῴην δυσγένειαν τῆς φθορᾶς ὡς ἱμάτιον παλαιόν ἀποδύσασθαι καί υἱοί Θεοῦ χρηματίσαι καί τόν Χριστόν ἐπενδύσασθαι.

Ἀλλά μή γένοιτο ἡμᾶς, ἀδελφοί, ἐξομοιωθῆναι τοῖς οὕτω ἔχουσι καί τοιαῦτα φρονοῦσι, κεχερσωμένοις οὖσι καί χοϊκοῖς. Γένοιτο δέ ἐξακολουθῆσαι Χριστῷ, τῷ ὑπέρ ἡμῶν ἀποθανόντι καί ἐγερθέντι καί εἰς οὐρανούς ἡμᾶς ἀνυψώσαντι, καί αὐτοῦ τοῖς ἴχνεσιν ἀεί ἕπεσθαι, καθαιρομένους διά τῆς μετανοίας τοῦ σπίλου τῆς ἁμαρτίας καί ἐπενδυομένους τόν φωτεινόν χιτῶνα τῆς ἀφθαρσίας τοῦ Πνεύματος ἐν αὐτῷ Χριστῷ τῷ Θεῷ ἡμῶν, ᾧ πρέπει πᾶσα δόξα, τιμή καί προσκύνησις εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

# Λόγος ΚΕ΄. Περί ἀλλοιώσεως ψυχῆς τε καί σώματος, τῶν ἐξ ἀέρος, τῶν ἐκ στοιχείων, τῶν ἐκ βρωμάτων καί τῶν δαιμόνων ἐπιγινομένων ἡμῖν.

Ἀδελφοί καί πατέρες, ὀφείλει ὁ μοναχός μή μόνον τάς ἐν τῇ ψυχῇ γινομένας ἀλλοιώσεις καί μεταβολάς ἐπίστασθαι καί νοεῖν, ἀλλά καί τάς αἰτίας αὐτῶν, ὁποῖαί ποτ' ἄν ὦσι καί πόθεν ἐν αὐτῷ συμβαίνουσι γίνεσθαι. Ποτέ μέν γάρ αἰφνίδιος γίνεται χαρά τῇ ψυχῇ, ποτέ δέ λύπη ταύτῃ ὡσαύτως ἐπέρχεται καί βάρος σφοδρόν. Καί ποτέ μέν εὐκατάνυκτος γίνεται, ποτέ δέ σκληραίνεται ἡ αὐτή καί ὡς λίθος πεπώρωται. Ἄλλοτε πάλιν πραεῖα καί ταπεινή γίνεται καί μετά μικρόν μετέωρος καί θυμώδης καί λυσσῶσα πρός πάντας τούς ἀδελφούς. Καί ποτέ μέν χαύνη καί ῥᾴθυμος καί ἀπρόθυμος εἰς πᾶν ἔργον ἀγαθόν γίνεται, ποτέ δέ διεγηγερμένη καί γρηγοροῦσα καί πρόθυμος εἰς πᾶσαν ὑπακοήν, ὡς καί τούς συνόντας σκώπτειν καί διεγείρειν πρός τό καλόν. Καί ποτέ μέν συνεσταλμένη ὑπάρχει καί εὐλαβής, ποτέ δέ διακεχυμένη καί ἀναιδής. Καί ποτέ μέν τῶν ἀπόντων ἀγαπητικῶς μεμνημένη καί προσκαλουμένη πρός ἑαυτήν, ποτέ δέ οὐδέ ἐκείνους οὐδέ τούς συνόντας βούλεται καθορᾶν. Καί ποτέ μέν συμπνιγομένη ἐφ' ἑαυτήν γίνεται, ὡς καί τήν ζωήν αὐτῆς ἀπολέγεσθαι, ποτέ δέ ἐπί τοσοῦτον πλατυνομένη καί ἡ ἀγαλλίασις ἐν ταύτῃ πληθύνεται, ὡς μηδέ ἐπισχεῖν δυναμένη ἑαυτήν, εἰ καί τοῦτο βιάζεται.

Ταῦτα μέν οὖν πέφυκε γίνεσθαι περί τάς φυσικάς κινήσεις τῆς ψυχῆς καί τοῦ σώματος, ὁπόταν ἐναγωνίως ἔχωμεν περί τήν ἐργασίαν τῆς ἀρετῆς καί τῶν ἐντολῶν τήν ἐκπλήρωσιν. Ἀλλά καθάπερ οὕτως ἀλλοιοῦται τά τῆς ψυχῆς, τόν αὐτόν τρόπον καί τά τοῦ νοός ἀλλοιοῦται ἡμῶν καί οὕτω πως μεταβάλλεται. Ποτέ μέν γάρ ὀξύς εἰς τό νοῆσαί ἐστι καί ὀξύτερος εἰς τό τά νοούμενα ἤτοι βλεπόμενα παρ' αὐτοῦ διελθεῖν καί διακρῖναι συντόμως, ποτέ δέ ἀργός πρός τά ἀμφότερα γίνεται καί βραδύς. Καί ποτέ μέν ὁ αὐτός ἄνους οἱονεί καί ἄλαλος γίνεται καί κωφός, ποτέ δέ εὔνους τις καί εὔλαλος, ἀκουστικός τε ἅμα καί συνετός. Καί ποτέ μέν τυφλός, ποτέ δέ ὁρατικός, εἰς βάθος καί ὕψος θεωρίας ὑπέρ τό μέτρον τῆς ἀνθρωπίνης φύσεως εἰσελθεῖν βιαζόμενος. Καί ποτέ μέν ἁπλοῦς πρός πᾶσαν θεωρίαν ἐστί καί ἐλεύθερος, μή μεμνημένος ὅλως τῶν ἔμπροσθεν αὐτοῦ γεγονότων κακῶν μηδέ τι τούτων ἐννοῶν τό καθόλου, ποτέ δέ ποικίλος, οἱονεί τά μή γινόμενα ἐννοῶν καί ἐπινοῶν καί πονηρευόμενος· καί ὥσπερ φλόξ ἐν ὑγροῖς ξύλοις ὑπό καπνοῦ συμπνιγομένη γίνεται, πονηρευόμενος οὐκ εἰς τούς παρόντας μόνους, ἀλλά δή καί περί τινων ἀπόντων πολλάκις μάταια καί ψευδῆ ἀναπλάττει ἐν ἑαυτῷ ἐνθυμήματα· ἔνθεν τοι καί τῆς καρδίας πολλά λυπουμένης καί μή συντιθεμένης εἰς τά τοιαῦτα τῷ νῷ, οὐδέν οὐδαμῶς ὠφελῆσαι δύναται, οὐδέ ἀποστῆσαι αὐτόν τῶν ματαίων συλλογισμῶν.

Καί ταῦτα μέν περί τε τῶν ἀλλοιώσεων τοῦ νοός καί τῆς νοερᾶς ἡμῶν καί θείας ψυχῆς. Αἱ δέ γινόμεναι ἡμῖν περί τό σῶμα ἀνωμαλίαι, εἰ καί δοκοῦσιν εἶναι εὐδιάγνωστοι καί ῥᾳδίως ἡμῖν ἐπιγινωσκόμεναι, ἀλλ' οὐχ οὕτως ἔχει. Πολλή γάρ ἐν

τούτῳ μάλιστά ἐστιν ἡ ἐκ φύσεως ὡς ἐπί τό πλεῖστον μεταβολή. Ἡ μέν γάρ ψυχή ἄτρεπτος τῇ φύσει καί τῇ οὐσίᾳ ἐστίν, ὡσαύτως δέ καί ὁ νοῦς ταύτῃ συνάμα παρά τοῦ Κτίστου γεγένηται, μόνῃ δηλαδή τῇ προαιρέσει ἀγόμενα καί τῷ ἰδίῳ θελήματι ἀρετῆς ἤ κακίας ἐπιλαμβανόμενα, τουτέστι φωτός ἤ σκότους συγκοινωνοί αἰωνίως καί κληρονόμοι καθίστανται, ἡ ψυχή, φημί, καί ὁ νοῦς ἑνί τούτων προαιρέσει, ὡς εἴρηται, καί θελήματι ἑκουσίως κολλώμενα, εἴτε τῷ ἀγαθῷ τά ἀγαθά γίνονται, εἴτε τῷ πονηρῷ καί πονηρά χρηματίζουσι. Τό δέ γε σῶμα καί τῇ φύσει τρεπτόν, ὅτι καί σύνθετον, καί τῇ οὐσίᾳ ῥευστόν, ὅτι ἐξ ὕλης φθαρτῆς ἔκτισται καί ῥευστῆς, τήν σύγκρασιν ἔχον ἤτοι τήν σύστασιν ἐκ τῶν ἐναντίων πρός ἑαυτά. Ἐκ θερμοῦ γάρ καί ψυχροῦ, ὡς φασίν οἱ περί ταῦτα σοφοί καί ἡ ἀλήθεια ἔχει, ἐκ ξηροῦ τε καί ὑγροῦ ἡ οὐσία τούτου ἐστί. Πλήν αὐτό καθ’ ἑαυτό ἐστέρηται καί προαιρέσεως καί θελήσεως, εἰ χρή δέ εἰπεῖν καί κινήσεως, εἰ μή τι πάντως τήν τούτου ῥεῦσιν καί τό χωροῦν εἰς φθοράν κίνησίν τις εἴπῃ τῆς αὐτοῦ ὑποστάσεως φυσικήν, ἥτις ἐστίν ἄλογος· εἰ δέ ἄλογος αὕτη, δῆλον ὅτι καί ἀναμάρτητος καί παρά Θεοῦ ἀκατάκριτος. Καί εἰκότως· ὅς γάρ τῇ φύσει παρέπεται, τοῦτο καί καταδίκης ἐκτός. Πύρωσιν δέ καί ἐπιθυμίαν γάμου, συνουσίας μίξιν, ἡδονήν, γαστριμαργίαν, λαιμαργίαν, πολυυπνίαν, ἀργίαν, στολισμόν ἱματίων καί τἆλλα πάντα ἅπερ, ὡς οἱ πολλοί νομίζουσι, τό σῶμα ἐπιζητεῖ, οὐ τό σῶμα, ὡς οὐδέ ὅτε νεκρόν, ἀλλ’ ἡ ψυχή διά τούτου ταῦτα ἐπιζητεῖ ἡδυνομένην, ἅπαξ τῷ πηλῷ συγκραθεῖσα καί οἷα δή σῦς ἐν τῷ βορβόρῳ ταύτης ἐγκυλινδεῖσθαι θέλουσα τῶν ἡδονῶν πως, τῆς συγκραθείσης αὐτῇ γλιχομένη σαρκός. Μηδείς οὖν πρός ταῦτα ὑπό τοῦ ἰδίου σώματος συνωθεῖσθαι καί καταναγκάζεσθαι ὑπολάβοι· οὐκ ἔστι τοῦτο. Ἀλλά πῶς; ἄκουε συνετῶς.

«*Ἔπλασεν ὁ Θεός τόν ἄνθρωπον, χοῦν λαβών ἀπό τῆς γῆς*». Ἰδού ἐγώ ἔδειξά σοι τό σῶμα, δεῖξον οὖν μοι καί σύ ποῖα τά πάθη τά ἐν αὐτῷ· ἀλλ’ οὐδέν οὐκ ἔχεις ὅλως εἰπεῖν. Εἶτα τί; «*Καί ἐνεφύσησεν εἰς τό πρόσωπον αὐτοῦ Κύριος ὁ Θεός, καί ἐγένετο ἄνθρωπος εἰς ψυχήν ζῶσαν*» καί ἀνέστη ἀπό τῆς γῆς καί περιεπάτει, τοῦ ἐν αὐτῷ πνεύματος κινοῦντος δηλονότι τό σῶμα δεσποτικῶς τε καί ἐξουσιαστικῶς. Πύρωσις δέ ἤ κίνησις ἤ γαστρός ἄλογος μανία καί ὄρεξις οὐδαμοῦ ἔτι ἦν, ἀλλά ἦν αὐτῷ ζωή ἀστασίαστος καί ἄλυπος διαγωγή. Ἴδωμεν οὖν μήποτε, διά τό μή εἶναι θῆλυ ἤ διά τό μή εἶναι τά πρός ἐπιθυμίαν κινοῦντα βρώματα, τούτου γε ἕνεκα ὁ ἄνθρωπος οὔτε πρός συνουσίας ἐπιθυμίαν, οὔτε πρός γαστριμαργίαν κεκίνητο· τί οὖν φησίν; «*Ἐξανέτειλε ὁ Θεός πᾶν δένδρον ὡραῖον καί ἦν ὅ τε Ἀδάμ καί ἡ Εὔα ἐν τῷ παραδείσῳ γυμνοί καί οὐκ ᾐσχύνοντο*». Ὁρᾷς ὅτι οὔτε τό θήλειαν εἶναι τήν Εὔαν οὔτε τό γυμνούς ἀμφοτέρους τυγχάνειν πρός σωφροσύνην παρέβλαψέ τινα ἐξ αὐτῶν; Ἀλλά καί γυμνοί ἦσαν καί οὔτε ἀλλήλους ἐγίνωσκον, οὔτε ᾐσχύνοντο, οὔτε μήν ὑπό τῆς τοῦ σώματος φύσεως πρός μίξιν ἐνήγοντο, ἀλλά μετά τήν ἁμαρτίαν καί τήν παράβασιν καί μετά τό ἔξω γενέσθαι τοῦ παραδείσου καί τοῦ Θεοῦ γυμνωθῆναι καί τῆς αὐτοῦ θείας δόξης ἀποπεσεῖν, τότε, ὡς γέγραπται, «*ἔγνω Ἀδάμ τήν γυναῖκα αὐτοῦ καί συλλαβοῦσα ἔτεκε*».

Τοιγαροῦν, ἀγαπητέ, ἐάν τόν Θεόν ἀγαπήσῃς γνησίως καί σύ, καί ἐμμείνῃς ἐν τῇ ἀγάπῃ αὐτοῦ, οὐχ ὑπό τινος πάθους κυριευθήσῃ ποτέ, οὐδέ ὑπό τῆς ἀνάγκης

καταδυναστευθήσῃ τοῦ σώματος. Καθάπερ γάρ πρός οὐδέν τό σῶμα κινεῖσθαι δύναται δίχα ψυχῆς, οὕτως οὐδέ ἡ τῷ Θεῷ δι' ἀγάπης ἑνωθεῖσα ψυχή συναπάγεσθαι ἰσχύει πρός τάς τοῦ σώματος ἡδονάς καί ὀρέξεις, ἀλλ' οὐδέ πρός ἄλλας ἐπιθυμίας τινάς τῶν ὁρωμένων ἤ καί ἀοράτων πραγμάτων ὁμοῦ καί παθῶν. Δέδεται γάρ ὑπό τῆς γλυκείας ἀγάπης τοῦ Θεοῦ ἡ ὁρμή τῆς καρδίας αὐτῆς ἤ μᾶλλον εἰπεῖν πᾶσα ἡ ῥοπή τοῦ θελήματος αὐτῆς. Αὕτη οὖν συνδεθεῖσα τῷ ἑαυτῆς, ὥσπερ εἴρηται, Ποιητῇ, πῶς, εἰπέ, δύναται τῷ σώματι πυροῦσθαι ἤ ὅλως ἰδίας ἐπιθυμίας ἀποπληροῦν; Οὐδαμῶς.

Αἱ δέ φυσικῶς ἑπόμεναι καί γινόμεναι ἐν τῷ αὐτῷ σώματι μεταβολαί πρόδηλοι· συμβαίνουσι γάρ καί εἰς πάντας γίνονται τούς ἁγίους. Ποτέ μέν γάρ ὑγείαν ἄγειν λέγεται, ὅταν πρός ἑαυτάς αἱ ὗλαι μή στασιάζωσι, ποτέ δέ νόσῳ περιπίπτειν καταναγκάζεται, ὁπόταν ἕν ἀπό τῶν τεσσάρων στοιχείων ἤ πλεονάσῃ ἤ ἔλαττον ἑαυτοῦ γένηται, κατεξανιστάμενον δηλονότι τῶν ἄλλων ἤ ὑπ' ἐκείνων μᾶλλον ἐπικρατούμενον καί αὐτοτυραννούμενον, ἐξ ὧν γίνονται ῥεύματα, ἀκρωτηριασμοί καί ὅλου ἴσως τοῦ ζῴου διαφθορά, μηδέν ἐκ τούτων παραβλαπτομένην ἡμῶν τῆς ψυχῆς, ἐπειδή τά μέν πλεῖστα τούτων ἀπό ἀκρασίας βρωμάτων καί πομάτων ἐγγίνονται, τά δέ καί ἀπό τῆς τῶν ἀνέμων καί τοῦ ἀέρος ἐναλλαγῆς. Ψυχροῦ γάρ ὄντος αὐτοῦ, τά ψυχρᾶς εἶναι φύσεως λαχόντα σώματα βλάπτονται καί ἀσθενέστερα γίνονται, ὡς ἐπί πολύ ψυχραινόμενα, τά δέ θερμῆς ὄντα κράσεως εὐκρατότερα μᾶλλον καί ἰσχυρότερα γίνονται. Ὅταν δέ θερμός πάλιν γένηται ὁ ἀήρ, τά μέν ψυχρά θάλπονται οἱοενί καί ἀναζωοῦνται, ὡς ὑπό τοῦ ἡλίου αἱ μυῖαι καί τά λοιπά ζῳύφια λαμπόμενα ὑπό τῶν ἀκτίνων αὐτοῦ καί δυνατώτερα καί εἰκινητότερα γίνονται, τά δέ θερμοτέρας ὕλης μετέχοντα ὅλως ὑπερεμπίπρανται καί ἐκλύονται καί πρός πᾶσαν πρᾶξιν καί κίνησιν ὡσαύτως ἀσθενῆ καί ἀδρανῆ γίνονται. Καί ἁπλῶς ἕκαστον κατά ἀναλογίαν τῆς ἑαυτοῦ συγκράσεως ἐν τῇ τοῦ ἀέρος ἐναλλαγῇ καί τῶν ἀνέμων ἀναλόγως καί τήν μεταβολήν ἐπιδέχεται. Ἀλλά γάρ καί δίχα τούτων ὡσαύτως ἰδιαιτέρως ἐστίν ἡ ἐκ βρώσεως καί πόσεως περιττῆς καί ἡ ἐξ ἄκρας νηστείας μεταβολή, οὐ μόνον δέ ἀλλά καί ἐκ πολυυπνίας ἤ ἀγρυπνίας καί ἐκ κόπου ἤ ἀργίας σωματικῆς μεταβολή τις γίνεται ἐν ἡμῖν. Ἄλλη δέ πάλιν ἐστίν ἡ ἐξ αὐτῆς τῆς ἐνυπαρχούσης ὕλης τῷ σώματι καί τοῦ ἐν ἡμῖν κινουμένου φυσικοῦ θερμοῦ ἀναδιδομένη καπνώδης πυρά, ὡς ὑπό ὕδατος σβεσθείσης ἀνθρακιᾶς, καί ποτέ μέν πρός μόνην τήν κεφαλήν, ποτέ δέ ἐν ὅλῳ διαχεομένη τῷ σώματι.

Ἐπί δέ πᾶσι τούτοις ἄλλος πάλιν ἐστί παραχωρήσει τοῦ ἀγαθοῦ ἡμῶν Θεοῦ καί Δεσπότου ἐπιφερόμενος ἡμῖν ὑπό τῶν δαιμόνων κατ' οἰκονομικήν παίδευσιν πρός ταπείνωσιν πειρασμός. Ποῖος δή οὗτός ἐστιν; Αὐτό τό βάρος τοῦ σώματος, ὅ καί δίχα τινός ἑτέρας αἰτίας διά κενοδοξίαν μόνην ἤ ἔπαρσιν ἤ διά τό κατακρῖναι ἄλλον ἀμελῆ ἤ καί δι' ἑτέρας πλείστας αἰτίας τῷ δαίμονι τούτῳ παραδιδόμεθα εἰς ὄλεθρον μέν τῆς σαρκός καί συντριμμόν τῆς ψυχῆς, πεῖραν δέ καί γυμνασίαν περισσοτέραν αὐτῆς καί ἵνα τό περί ἡμᾶς συμπαθές τοῦ Θεοῦ καί εὔσπλαγχνον ἐπιγνόντες, ὅλην πρός αὐτόν μεταθῶμεν ἐκ διαθέσεως τήν ἀγάπην καί πρός ἐκεῖνον ὅλον τόν πόθον κτησώμεθα.

Τοιγαροῦν καί ταῦτα οὐ πάντες ἐπίστανται, ἀλλά τάς μέν ψυχικάς ἀλλοιώσεις καί τάς μεταβολάς τάς τοῦ σώματος, οἱ μέσως πως πρός τήν ἀρετήν ἔχοντες, ἕκαστος τούτων μερικῶς τι νοεῖ, ὅτε δ' ἄν καί συμβῇ ἐν αὐτῷ γενέσθαι τι τοιοῦτον, περί γάρ τῶν τελείως ἐσκοτισμένων οὐδείς ἡμῖν λόγος· τάς δέ γε γινομένας ἐν τῷ νοΐ μεταβολάς, ὡς εἴπομεν, καί στροφάς μόνοι οἱ ἀπαθεῖς καί τέλειοι, οἱ καθαροί τε καί ἐλεύθεροι τῇ ψυχῇ, ὡσαύτως καί τῷ νοΐ, γινώσκουσι. Καί οὐδ' αὐτοί· οὐ γάρ ἑαυτῶν, ἀλλ' οὗτινός εἰσιν, ἐξ ἐκείνου καί περί τούτων διδάσκονται. Ποτέ μέν γάρ, ἐκ τῶν ἀνωμαλιῶν τῶν ἐν τῷ νοΐ συμβαινουσῶν, ἡ ψυχή στενοῦται καί στυγνή γίνεται, ὑφελομένη τι τῆς προσούσης χαρᾶς, πλήν ὅμως ἀνδρισαμένη καί τόν νοῦν διανίστησι· ποτέ δέ ὁ νοῦς, ἐξ ὧν ἡ ψυχή πάσχει, συμπάσχει καί οὗτος καί ὑπό τήν νύκτα γενέσθαι καταναγκάζεται μέν, οὐ καταδέχεται δέ, βιάζεται δέ μένειν ἐν τῷ φωτί καί ἴσως διαυγάζει καί τήν ψυχήν. Ἄλλοτε ὑπό τῆς ἀνωμαλίας πάλιν τοῦ σώματος τά ἀμφότερα τυραννοῦνται σφοδρῶς, ποτέ μέν ἔξωθεν βαρούμενα καί τό μέν βάρος ἐπαισθανόμενα καί τήν εἰρηνικήν κατάστασιν σῶαν ἔχοντα, ποτέ δέ ἔσωθεν ταραττόμενα, ὡς μηδέ ἐλπίζειν τόν πάσχοντα εἰς τήν προτέραν ἐπανελθεῖν γαληνιαίαν κατάστασιν. Οὕτω τοίνυν ἡ μέν ψυχή καί ὁ νοῦς ἀπό τοῦ σώματος, ὁ δέ νοῦς ἀπό τῆς ψυχῆς πάλιν αὐτῆς καί ἡ ψυχή αὖθις ἀπό τοῦ νοός καί τοῦ σώματος πλημμελεῖ. Οὐ τά δύο δέ πάντοτε, ἡ ψυχή καί ὁ νοῦς, ἐκταράσσονται, ἀλλά καί ἐκ τούτων πάλιν ποτέ μέν ἡ ψυχή μόνη πάσχει, τοῦ νοός ἐρομένου αὐτήν· «*Τί, φησίν, ἔχεις;*» καί παραμυθουμένου αὐτήν, ποτέ δέ ὁ νοῦς ἐκτυφλοῦται καί συγκαλύπτεται καί ἡ ψυχή, ἐλευθέρα οὖσα, δυνάμει θείου πυρός ἐκδιώκει τόν ζόφον καί αἴρει τό κάλυμμα καί τόν νοῦν διαβλέπειν ποιεῖ.

Διά τοῦτο εἶπον, ὦ πατέρες καί ἀδελφοί, ὅτι οὐ χρή νοεῖν μόνον ἡμᾶς τάς τροπάς καί μεταβολάς καί τάς συμβαινούσας ἀλλοιώσεις ἡμῖν, ἀλλά καί εἰδέναι πόθεν αὗται καί πῶς καί ἀπό τίνων, ὁποῖοί τε πνέουσιν ἄνεμοι λογισμῶν καί ἐκ τίνων οἱ ποταμοί κατέρχονται ἤ ἐπέρχονται τῶν παθῶν τε καί πειρασμῶν, ἵνα καί τήν οἰκίαν στηρίξωμεν ἀσφαλῶς τῆς ψυχῆς καί τό πηδάλιον εὐθύνωμεν τοῦ πλοίου καλῶς καί μή ἀτεχνῶς ἤ ἀφυῶς αὐτό μεταχειρισώμεθα. Τούτων δέ τήν γνῶσιν βίος παρέχει μετά ἀκριβείας καί κανόνος ἀπαραλείπτως ἐπιτελούμενος. Θεῖναι γάρ ὅρον ἐν ἑαυτῷ χρεών καί τύπον τόν μοναχόν καί εἰδέναι αὐτόν, πῶς ἑκάστην ἡμέραν διέρχεσθαι δεῖ, ὡς ἄν εὔδρομος πρός ἐργασίαν τῆς ἀρετῆς ᾖ καί μή ἐμποδίζηται τῇ ἀπειρίᾳ πρός τόν δρόμον αὐτῆς. Οὕτω γάρ καί ἑαυτῷ τήν ὁδόν ἐξομαλίσει τήν τραχεῖαν ὁμοῦ καί ἐπίπονον, ταύτης ἐν ἕξει τοῦ καλοῦ καί συνηθείᾳ δηλονότι γενόμενος καί Θεῷ προκόπτων καί ἀναβάσεις τιθέμενος ἐν τῇ καρδίᾳ αὐτοῦ εὐαρεστήσει, ἐκ τῶν μικροτέρων ἐπί τά μείζω καί τελεώτερα ἀνατρέχων, καί τῶν εἰρημένων ἁπάντων ἐν γνώσει γενήσεται καί πολλῶν ἄλλων διδάσκαλος ἀρετῆς χρηματίσει, φωτίζων διά τοῦ λόγου καί τοῦ βίου τούς αὐτῷ ἐντυγχάνοντας, ἅτε δή ὡς φωτισθείς καί αὐτός ἄνωθεν, καί ἀνακαλύπτων βαθέα τοῖς μετά πόθου ζητοῦσι τά βάθη μαθεῖν τά τοῦ Πνεύματος, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα εἰς τούς αἰῶνας. Ἀμήν.

# Λόγος Κστ΄. Περί ἀρχῆς βίου λίαν ἐπωφελοῦς καί σωτηρίου, ἁρμοζούσης τοῖς ἄρτι τῷ κόσμῳ καί τοῖς ἐν κόσμῳ ἀποτασσομένοις καί πρός τόν μοναδικόν ἀποτρέχουσι βίον. Καί διδασκαλίας εἰς ἀρχαρίους λυσιτελεστάτη.

Ἀδελφοί καί πατέρες, πᾶς ἄνθρωπος ὁ ἄρτι τῷ κόσμῳ καί τοῖς ἐν κόσμῳ πᾶσιν ἀποταξάμενος, ἐπί δέ τόν βίον τοῦτον καί τό στάδιον τῶν μοναχῶν ἀποδραμών, εἴ γε διά Θεόν ἀπετάξατο καί τήν τέχνην τῶν τεχνῶν ταύτην μαθεῖν αἱρεῖται καί μή εἰς κενόν βούλεται γενέσθαι τήν ἀπό τοῦ κόσμου αὐτοῦ ἀναχώρησιν, ἐξ αὐτῆς ἀρχῆς μετά προθυμίας πάσης καί θερμοτάτης προθέσεως τά τῆς ἀρετῆς σπουδαίως ὀφείλει ποιεῖν. Καί ἵνα προπαίδειάν τινα τῶν στοιχείων τῆς ἐπιστήμης τῶν ἐπιστημῶν, λέγω δή τῆς ἡμετέρας ἀσκήσεως, τοῖς ἄρτι πρός ταύτην οἱονεί τήν σχολήν ἀπό τοῦ κόσμου παραγενομένοις ἔγγραφον παραδώσωμεν, τοιαῦτα ἐκ προοιμίων ὑποτιθέμεθα, ὡς ἐν τύπῳ, αὐτοῖς τε καί τοῖς μετ᾽ αὐτούς, καθώς καί αὐτοί ἀπό τῶν πατέρων ἡμῶν παρελάβομεν.

Ἰστέον οὖν ὅτι ὁ ἤδη τόν χοϊκόν ἄνθρωπον μετά τοῦ φρονήματος καί τόν ἐπουράνιον διά τοῦ μοναχικοῦ σχήματος ἐνδυσάμενος, μεσονύκτιον ὀφείλει ἀνίστασθαι πρό τοῦ ὄρθρου καί τετυπωμένην εὐχήν εὔχεσθαι, καί οὕτω μετά ταῦτα εἰς τήν δοξολογίαν μετά πάντων ἐγείρεσθαι καί νουνεχῶς καί ἐγρηγόρως πᾶσαν αὐτήν διεξέρχεσθαι, προσέχων τῇ ἀρχῇ τῆς ὑμνῳδίας μεγάλως, ἤτοι τῷ ἑξαψάλμῳ, τῇ στιχολογίᾳ, ταῖς ἀναγνώσεσιν, ἀόκνως, μή χαυνούμενος τό σῶμα καί πόδα παρά πόδα ἱστάμενος ἤ ἐπακουμβίζων τοίχοις καί κίοσιν, ἀλλά τάς μέν χεῖρας ἀσφαλῶς δεδεμένας ἔχειν ὀφείλει, τούς πόδας ἐπιστηριζομένους ἴσους τῇ γῇ, τήν δέ κεφαλήν ἀσάλευτον καί μή πρός τά ὧδε καί ἐκεῖ νεύουσαν· μή μετεωριζόμενον τόν νοῦν, ἀλλά μηδέ περιεργαζόμενον τό φρόνημα ἤ συναπαγόμενον τοῖς ἀμελεστέροις, ὁμιλοῦσιν ἀλλήλοις καί ψιθυρίζουσιν· ἀμετεώριστον δέ μᾶλλον ἔχειν τό ὄμμα καί τήν ψυχήν καί μόνῃ προσέχειν τῇ ψαλμῳδίᾳ καί τῇ ἀναγνώσει καί τῇ δυνάμει τῶν ψαλλομένων καί ἀναγινωσκομένων λόγων τῆς θείας Γραφῆς, ὅσον τό κατά δύναμιν, ἵνα μή λόγος ἐν αὐτῷ παρέλθῃ ἀργός, ἀλλ᾽ ἐκ πάντων αὐτῶν πιαινομένων αὐτοῦ ἡ ψυχή, εἰς κατάνυξιν καί ταπείνωσιν καί φωτισμόν ἔλθῃ θεῖον τοῦ Πνεύματος τοῦ Ἁγίου.

Παρακαλῶ οὖν ὡς ἕνα πάντας ὑμᾶς, πατέρες μου καί ἀδελφοί μου καί τέκνα, καί ταῦτα ὡς νόμον σωτήριον ὑποτίθημι, ἵνα σπουδάσητε ἕκαστος ὑμῶν βαλεῖν τοιαύτην ἀρχήν εἰς τό ἔργον τῆς ἀρετῆς ἤ μᾶλλον εἰπεῖν τοῦ Θεοῦ, δι᾽ οὗ καί τούς μισθούς ἀναλόγως τῶν πόνων ἡμῶν ἐξ αὐτοῦ φιλαγάθως λαμβάνομεν, ὥστε εἰ δυνατόν μή παρελθεῖν τινα ἐξ ὑμῶν ἄνευ δακρύων τήν ἀκολουθίαν καί τήν ἀνάγνωσιν. Εἰ γάρ οὕτω σεαυτόν ἐθίσεις, ὦ ἀδελφέ, εἰς τό ἔργον τοῦτο ποιεῖν, ἐν ὀλίγῳ προκόψεις καί

ἀναδράμῃς εἰς ἄνδρα τέλειον, εἰς μέτρον ἡλικίας τοῦ πληρώματος τοῦ Χριστοῦ. Βιαζόμενος γάρ ἑαυτόν ἵνα μή ἄνευ δακρύων παρατρέχῃς τήν τετυπωμένην ἀκολουθίαν τῆς ἐκκλησίας, γίνῃ τοῦ καλοῦ τούτου ἐν ἕξει καί, ἐν αὐτῇ τῇ στιχολογίᾳ καί ἐν τοῖς τροπαρίοις οἷς ψάλλεις, τρέφεταί σου ἡ ψυχή, ἀναδεχομένη τά τούτων θεῖα νοήματα πρός ἑαυτήν, καί ἀναβιβάζεταί σου ὁ νοῦς διά τῶν λεγομένων πρός τά νοητά, καί δακρύων ἡδέως, οὕτως ἐν τῇ ἐκκλησίᾳ διάγεις, ὡς ἐν αὐτῷ τῷ οὐρανῷ μετά τῶν ἄνω δυνάμεων.

Θές οὖν καί τοῦτο σεαυτῷ νόμον, ἵνα πρό τῆς ἐσχάτης εὐχῆς μή ἐξέλθῃς ποτέ τῆς συνάξεως ἄνευ ἀνάγκης μεγάλης ἤ χρείας τοῦ σώματος, ἀλλά μένε ὡς εἴπομεν προσκαρτερῶν ἐν τῇ στάσει σου, ἐπειδή «*ὁ ὑπομείνας εἰς τέλος*», κατά τό γεγραμμένον, «*σωθήσεται*»· οὐ μόνον δέ ἀλλά πρῶτον μέν βοήθειαν λήψεται ἀνεπαισθήτως, εἶτα καί ἐν αἰσθήσει, καί μετ' ὀλίγον ἐν φωτισμῷ ἀπό Θεοῦ Παντοκράτορος. Τελεσθείσης δέ τῆς ὀρθρινῆς δοξολογίας, εὐθύς ἐξερχόμενος μή ἄρξῃ λαλεῖν τούτῳ κἀκείνῳ καί μετεωρίζεσθαι καί ἀργολογεῖν, ἀλλ' ἔστω σοι, μετά τό εὔξασθαι καταμόνας ἐν τῷ κελλίῳ τήν τετυπωμένην σου εὐχήν ἐν δάκρυσι καί πολλῇ προσοχῇ, ἐργασία σωματική τις, καί εὐθύς ἀπότρεχε πρός αὐτήν, εἴτε διακονίαν εἰς τήν διακονίαν, εἴτε ἐργόχειρον εἰς τό ἐργόχειρον, εἴτε ἀνάγνωσις εἰς τήν ἀνάγνωσιν. Ἀργός δέ μή θελήσῃς ὅλως καθεσθῆναι ἐν τῷ κελλίῳ σου, ἵνα μή ἡ ἀργία διδάξῃ σε πᾶν κακόν, ὅ μή θέμις εἰπεῖν. Ἀλλά γάρ μηδέ περιέρχῃ τό μοναστήριον καί τούς ἐγαζομένους ἤ διακονοῦντας περιεργάζῃ, φύλαξον δέ τήν σιωπήν καί τό ἐκ πάντων ἀπέχεσθαι, ὅπερ ἀληθής ἐστι ξενιτεία. Πρόσεχε σεαυτῷ μόνῳ καί τῷ ἐργοχείρῳ σου, οἷον δ' ἄν ἐστι.

Καί μή εἰσέλθῃς εἰς κελλίον τινός ἄνευ τοῦ κατά Θεόν σου πατρός, εἰ μή ἀποσταλῇς ἤ παρά τοῦ προεστῶτος ἤ διακονητοῦ τῆς μονῆς. Καί ἀπελθόντος σου, σπούδασον μή εἰπεῖν ἤ ἀκοῦσαι λόγον ἔξω τῆς χρείας σου, δι' ἥν ἐπέμφθης· ἀλλά τήν ἀπόκρισιν ποιήσας, συντόμως ὑπόστρεψον. Εἰ δέ καί διερχόμενος ἴδῃς τινά ἀδελφόν μόνον, ἤ καί μετά ἑτέρων καθήμενον καί ὁμιλοῦντα παρά καιρόν, βαλών μετάνοιαν σιωπῇ πάρελθε. Μή ἀπελθών καθεσθῇς μετ' αὐτῶν, μνησθείς τοῦ ψαλμῳδοῦ λέγοντος· «*Μακάριος ἀνήρ ὅς οὐκ ἐπορεύθη ἐν βουλῇ ἀσεβῶν, καί ἐν ὁδῷ ἁμαρτωλῶν οὐκ ἔστη, καί ἐπί καθέδρᾳ λοιμῶν οὐκ ἐκάθισε*». Λοιμοί γάρ εἰσιν οἱ τοιοῦτοι, καθώς ὁ Παῦλός φησι· «*Φθείρουσιν ἤθη χρηστά ὁμιλίαι κακαί*»· εἴ τι οὖν ὁ λοιμός, τοῦτο καί ἡ φθορά. Μή τοίνυν συγκαθεσθῇς μετά ἀργολογούντων, ἀγαπητέ, μηδέ εἴπῃς· «*Ἀκούσομαι τί λαλεῖτε κἀγώ*», ἀλλ' ὡς εἴρηται, βαλών μετάνοιαν πάρελθε. Φύλαξον τήν σιωπήν τήν ξενιτείαν· καί τήν μέν σιωπήν ἐν τῷ λέγειν πρός ἑαυτόν· «*Τί γάρ ἔχω καί εἰπεῖν ἐγώ ἀγαθόν, ὅλος βόρβορος ὤν καί μωρός, οὐ μόνον δέ ἀλλά καί ξένος καί ἀνάξιος τοῦ λαλεῖν καί ἀκούειν ἤ συναριθμεῖσθαι μετά ἀνθρώπων;*»· τήν δέ ξενιτείαν καί τό ἀπέχεσθαι ἀπό πάντων ἐν τῷ λογίζεσθαι ταῦτα καί λέγειν πρός ἑαυτόν· «*Τίς εἰμι, φησίν, ἐγώ ὁ ἀπερριμένος καί εὐτελής, ὁ ἀγεννής καί πτωχός, ἵνα εἰς κελλίον εἰσέλθω τινός; οὐχί ὡς βδέλυγμα ὄντα με, ἰδών με ἀποστραφήσεται; ἆρα οὐ μή εἴπῃ· Τί δέ ὁ μιαρός οὗτος ἦλθε πρός με μιᾶναι τήν κέλλαν μου;*», προτιθείς πρό τῶν ὀφθαλμῶν σου τάς ἁμαρτίας σου,

καί μή ἄκροις χείλεσιν, ἀλλ’ ἀπό ψυχῆς λέγων αὐτά. Εἰ γάρ καί μή κατ’ ἀρχάς λέγειν ταῦτα ἰσχύσεις ἀπό ψυχῆς, ἀλλ’ ὅμως κατά μικρόν ἐλεύση καί εἰς τοῦτο, τῆς χάριτος συνεργούσης σοι. Μόνον ἄκουσόν μου τοῦ ταπεινοῦ, μόνον βάλε εἰς ταῦτα ἀρχήν, ἀδελφέ, μόνον ἄρξαι ποιεῖν καί πράττειν καί λέγειν ταῦτα, καί οὐκ ἐγκαταλείψει σε ὁ Θεός. Ἀγαπᾷ γάρ σε σφόδρα καί θέλει σε εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν καί σωθῆναι.

Οὕτω τοιγαροῦν τάς μέχρι τῆς λειτουργίας ὥρας διελθών, ἀδελφέ, εἴσελθε πάλιν εἰς τήν σύναξιν ἐν σπουδῇ καί ἐν προθυμίᾳ πολλῇ. Στῆθι καθώς ἐν τῇ ὀρθρινῇ σοι δοξολογίᾳ ὑπετυπώσαμεν, τοῦ πένθους μηδόλως λήθην ποιούμενος· στῆθι σύντρομος, ὡς τόν Υἱόν τοῦ Θεοῦ βλέπων θυόμενον διά σέ. Καί εἰ εἶ ἄξιος καί ἀπελύθης εἰς τοῦτο, πρόσελθε ἐν φόβῳ καί χαρᾷ τῶν ἀπορρήτων κοινωνήσων ἀγαθῶν. Καί μετά τήν ἐσχάτην εὐχήν ἐξελθών, εἴσελθε μετά πάντων ἐν τῇ τραπέζῃ, μή χωριζόμενος τῶν σῶν ἀδελφῶν. Καί εἰ μέν διακονεῖν ἐτάγης, παράστηθι ὡς τῷ Χριστῷ καί οὐκ ἀνθρώποις διακονῶν ἐξ εἰλικρινοῦς διαθέσεως καί ἀγάπης πᾶσιν ὡς ἁγίοις, μᾶλλον δέ ὡς αὐτῷ - καθώς εἴπομεν - διακονήσων τῷ Χριστῷ, ἕκαστον αὐτῶν περιπλεκόμενος οἱονεί τῇ ψυχῇ καί ὅλον σεαυτόν τῇ προθέσει διά τῆς ἀγάπης ἐμπαρέχων αὐτοῖς, ἐκ τοῦ διακονεῖν αὐτοῖς βεβαιούμενος καρποῦσθαι ἁγιασμόν.

Εἰ δέ καθεσθῇς ἐν αὐτῇ μετά πάντων καί σύ, ὅρα τί σοι ἐν Κυρίῳ ἐντέλλομαι, ὡς ἀγαπητῷ πατρί μου καί ἀδελφῷ, μή προπετῶς ἐκτείνῃς τήν χεῖρά σου ἐπί τοῖς παρακειμένοις βρώμασι τῇ τραπέζῃ πρό τοῦ ἐνάρξασθαι τούς παλαιοτέρους ἐσθίειν τῶν ἀδελφῶν σου, πρό τοῦ δοθῆναι τήν εὐλογίαν ἄνωθεν παρά τοῦ ἱερέως. Καί ἀρξάμενος συνεσθίειν τοῖς πατράσι καί ἀδελφοῖς σου, πρόσεχε σεαυτῷ καί μόνῳ ἐν συστολῇ πάσῃ καί σιωπῇ καθεζόμενος, μή ὁμιλῶν καθόλου τινί ἀλλά προσέχων τῇ ἀναγνώσει καί τρεφόμενος, ὥσπερ τό σῶμα, οὕτω καί τήν ψυχήν ἐκ τῶν θεοπνεύστων λογίων τοῦ Πνεύματος. Δεῖ γάρ σε διπλοῦν ὄντα, ἐκ ψυχῆς λέγω καί σώματος, δισσῶς καί καταλλήλως ἔχειν τήν τροφήν καί τήν τράπεζαν, καί τό μέν σῶμα αἰσθητόν ἔχοντα καί γήϊνον αἰσθητοῖς καί τοῖς ἀπό γῆς τρέφειν βρώμασι, τήν δέ ψυχήν νοεράν καί θείαν ἐπιφερόμενον νοητοῖς τρέφειν καί θείοις τῶν λόγων ἐδέσμασι.

Μή οὖν περιεργάζου τά παρατιθέμενά σοι μέρη ἐν τῇ τραπέζῃ, ποῖον τυχόν μεῖζον ἤ βραχύτατόν ἐστιν, ἀλλ’ οἷον δοθῇ σοι μετ’ εὐχαριστίας πάσης δεξάμενος φάγε, καί τοῦτο μετ’ ἐγκρατείας, φεύγων ἐν πᾶσιν τόν κόρον, ἀνάξιον ἑαυτόν δηλονότι λογιζόμενος τῆς κοινῆς τραπέζης τῶν ἀδελφῶν καί τοιαῦτα καθ’ ἑαυτόν ἐνθυμούμενος καί λέγων πρός ἑαυτόν· «*Τίς εἰμι ἐγώ, ὁ εὐτελής καί ἀνάξιος, ὅτι μετά τῶν ἁγίων τούτων συγκάθεδρος καί συνέστιος γέγονα;*» καί οὕτω ταῦτα λέγων ἐν ἑαυτῷ, ἔχε μόνον ἀπό ψυχῆς σεαυτόν ἁμαρτωλόν, καί καθάπερ πτωχός τις καί ῥακενδυτῶν, ἐάν μέσον ἀρχόντων καί πλουσίων λαμπράς καί πολυτελεῖς περιβεβλημένων στολάς εὑρεθῇ, αἰσχύνεται καί συστέλλεται καί οὐδέ προσεγγίσαι τινί αὐτῶν ἤ πλησιάσαι τολμᾷ, οὕτω καί σύ διάκεισο πρός πάντας αὐτούς, τόν ἔσχατον τόπον ἀεί ἐκλεγόμενος καί αἰσχυνόμενος ἐπάνω τινος αὐτῶν τῶν ὁραθῆναι καθήμενος, ὡς ἐκείνων μέν πάντων

πλουσίων ὄντων ταῖς ἀρεταῖς, σοῦ δέ πτωχοῦ καί γυμνοῦ ὑπάρχοντος καί ἀναξίου τοῦ καί ὅλως συνεῖναι καί βλέπειν αὐτούς. Ἀλλά γάρ μέλλων ἅψασθαι τῆς τροφῆς, αὖθις ταῦτα λογίζου μεμνημένος τάς ἁμαρτίας σου καί λέγε πρός ἑαυτόν· «*Ἆρα γε οὐκ εἰς κρίμα μου καί κατάκριμα γένηται, εἰ ἅψομαι τῶν προκειμένων τινός; Τόν γάρ πεποιηκότα ταῦτα Θεόν καί εἰς βρῶσιν παρασχόντα ἡμῖν, τοῦτον ἐγώ νηπιόθεν παρήκουσα καί τάς ἁγίας αὐτοῦ ἐντολάς οὐκ ἐφύλαξα· καί πῶς τῶν ἀγαθῶν αὐτοῦ, ὡς οἱ πατέρες οὗτοι οἱ ἅγιοι, κἀγώ ἀνάξιος καί κατάδικος ὢν μεταλάβω; Ποίῳ προσώπῳ, ἀπό ὄψεως ὤν τοῦ Δεσπότου μου, ὁ πονηρός δοῦλος ἐγώ καί ἀγνώμων καί ἀχάριστος, πρό τοῦ μετανοῆσαί με καί τήν συγχώρησιν παρά τοῦ φιλανθρώπου Θεοῦ τελείως λαβεῖν, ὡς οἱ μή ἁμαρτήσαντες ἤ καί ἡμαρτηκότες μέν, μετανοήσαντες δέ καί τήν συγχώρησιν ἐκεῖθεν λαβόντες, φάγωμαι καί αὐτός καί πίωμαι καί συνευφρανθήσομαι τοῖς ἁγίος; Οὐδαμῶς! Ἀλλά πρός τό ζῆν με μόνον καί φάγομαι καί πίομαι καί ἐμαυτόν ἐκτήξω καί λυπήσω καί κατακρινῶ, ἵνα ἐπιβλέψας ὁ θεός ἄνωθεν καί ἰδών τήν στενοχωρίαν καί τήν ἑκούσιόν μου θλῖψιν ἐλεήσῃ καί συγχωρήσῃ μοι τά πολλά μου κακά*». Ταῦτα τοιγαροῦν ἐνθυμοῦ, τούτων διηνεκῶς μέμνησο!

Πρός τούτοις τύπωσον καί ψωμόν τοσοῦτον ἐσθίειν, ὅσον τοῦ μή χορτάζεσθαί σε, ἀλλά κατά πολύ τῆς χρείας ἔλαττον καί ὅσον δύνασαι βαστάσαι· ὡσαύτως καί ἕν ἤ δύο πίνειν καυκάλια καί ταῦτα ἐν μιᾷ τεταγμένῃ τῆς ἡμέρας ὥρᾳ. Ἐσθίοντός σου δέ μή ὑπακούσῃς τῷ ὑποβάλλοντί σου λογισμῷ ἐκλέξασθαί τι τῶν προκειμένων κἀκείνου μεταλαβεῖν· ἀλλά φύλαξον μή φαγεῖν τι ὅπερ καλόν σοι ἐφάνη, μόνα δέ τά ἔμπροσθέν σου κείμενα ἔσθιε· ἀλλά καί ἐξ αὐτῶν ἐάν τύχῃ τυχόν ὀπώρα ἤ ἕτερά τινα τῶν ἐδωδίμων εἶναι καί ἀρεστόν φανῇ σοι ἕν ἐξ αὐτῶν καί εἴπῃ σοι ὁ λογισμός· «*Καλόν ἐστιν ἐκεῖνο, λαβών φάγε αὐτό*», σπούδασον μή ἡττηθῆναι μηδέ ἅψασθαι αὐτοῦ. Δι’ οὐδέν γάρ ἕτερον τοῦ παραδείσου ὁ Ἀδάμ ἐξεβλήθη, εἰ μή ὅτι ὡραῖος ἐφάνη καί καλός εἰς βρῶσιν ὁ καρπός τοῦ φυτοῦ, καί ἔφαγεν ἐξ αὐτοῦ· καί διά τοῦτο ἀπερρίφη καί ἐξεβλήθη καί θανάτῳ καί φθορᾷ κατεδικάσθη. Οἱ οὖν βουλόμενοι εἰς ἐκεῖνον τόν παράδεισον - μᾶλλον δέ εἰς τήν βασιλείαν τῶν οὐρανῶν - ἐπανελθεῖν, τήν ἐγκράτειαν δίχα παραβάσεως πάσης καί μέχρι τούτων φυλάττειν ὀφείλουσιν, ἵνα μή κατά μικρόν καί εἰς μείζονας ἐπιθυμίας καί βλαβεράς περιπέσωσιν. Ἐάν προτρέπωνταί σε οἱ συγκαθήμενοι ἀδελφοί τοῦ φαγεῖν ἤ πιεῖν περισσόν τι, μηδέν ἕτερον ἀποκριθῇς τινι, εἰ μή τάς χεῖράς σου δήσας καί μικρόν τι διεγερθείς καί κλίνας τήν κεφαλήν, πραείᾳ λέγε φωνῇ· «*Συγχώρησον*», καί ἐπί πᾶσιν οὕτω πάντοτε ἀποκρίνου καί μήτε προτιμήσῃ τινά ἐκ τῶν περισσευμάτων σου, μήτε λάβῃς ἀπό τινός τι. Μή πίνοντός σου οἶνον, μή ἐπιζητήσῃς ὅλως λαβεῖν αὐτόν, ἀλλά μηδέ ἑτέρῳ τινί ἐκ τῶν ἀδελφῶν ἐπιδώσῃς, εἰ μή που ἀπό ξένης ἐστί καί ἦλθε πρός σέ διά χρείαν τινά. Μή καταδέξῃ ποτέ μετά τινος προγεύσασθαι, μηδέ ἐν δείλῃ φαγεῖν ἤ πιεῖν ἤ ἐπιδειπνῆσαί ποτε· πάντα γάρ τά κακά ἐκ τούτων τίκτονται, καί ταῦτά εἰσι τά ἔνεδρα τοῦ διαβόλου καί αἱ παγίδες αὐτοῦ, αἵτινες καθορῶνται μέν ὡς καλαί, κεκρυμμένον δέ ἔχουσι τόν ἰόν τοῦ θανάτου ἐν αὐταῖς, ἅς ὁ πιστεύων ἡμῖν φεύξεται, καί ὁ φυλάσσων τούς λόγους ἡμῶν, τῇ συνεργείᾳ τῆς τοῦ Θεοῦ χάριτος, ἄτρωτος καί ἀβλαβής διαμένει ἐξ αὐτῶν, οἱ δέ γε λοιποί κοσμικόν βίον, ὡς οὐκ

ἴσασιν, ἐν μοναχικῷ τῷ σχήματι προαιροῦνται ζῆν, οἵ καί εἰς βάραθρα καί εἰς κρημνούς καταπίπτοντες οὐκ αἰσθάνονται.

Σύ οὖν, περιπόθητε ἀδελφέ, ταῦτα φυλάξαι θέλησον, εἰ κἄν δέῃ σε καί ἀποθανεῖν· ἄλλως γάρ τόν τῆς γαστριμαργίας δαίμονα ἐκφυγεῖν οὐκ ἰσχύσεις. Ἴσθι δέ ὅτι ταῦτα φυλάσσοντός σου, μή φέρων ὁ διάβολος ὁρᾶν σε, πάντας τούς ῥαθύμους ἐξεγερεῖ κατά σου, καί καταλοιδορήσουσί σε καί γελάσουσι και φθονήσουσι καί ἐμπαίξουσι καί μυρίας θλίψεις σοι ἐπενέγκωσιν, ὅπως σε τῆς ἀγαθῆς προθέσεως καί τῶν σωτηρίων πράξεων ἀποστήσωσιν· ἅπερ ἐάν ὑπομείνῃς, ἀγαπητέ, μεγάλην ἀπό τοῦ Θεοῦ καί Σωτῆρος ἡμῶν εὑρήσεις βοήθειαν καί παράκλησιν. Τοιγαροῦν καί ἑτέρων ἐν τῷ δείπνῳ καθημένων καί ἐσθιόντων, σοῦ δέ μή ἐσθίοντος ἀλλ’ εἴτε διακονοῦντος εἴτε καί μή, μή ἐπιλάθῃ καί ταῦτα λέγων πρός ἑαυτόν· «*Εἰ ἤμην πάντως μετανοήσας καί αὐτός καί τάς ἁμαρτίας μου συγχωρηθείς, ἔχαιρον ἄν κἀγώ καί μετά τῶν ἀδελφῶν μου συνήσθιον. Ἐπειδή δέ ἀνάξιον ἐμαυτόν δά τῶν αἰσχρῶν μου πράξεων, ὁ ἄθλιος, πεποίηκα, ἀπολάβω ἐνταῦθα κατά τά ἔργα μου*»! καί ταῦτα λέγων κράτει γαστρός, ὅση σοι δύναμις. Πρωτοκαθεδρίαν μήποτε ζητήσεις μήτε ἐπιθυμήσεις, ἀλλά μίσησον ταύτην ἀπό ψυχῆς ὡς ὑπερηφανίας αἰτίαν καί πρόξενον οὖσαν. Ἡ γάρ ταπείνωσίς σου ὑψώσει σε, καί τό ἔσχατον εἶναί σε πάντων πρῶτον σε ἀποκαταστήσει, ἐπειδή γέγραπται· «*Πᾶς ὁ ὑψῶν ἑαυτόν ταπεινωθήσεται, ὁ δέ ταπεινῶν ἑαυτόν ὑψωθήσεται*».

Μετά γοῦν τό συναναστῆναί σε πάσῃ τῇ ἀδελφότητι καί ἀποδοῦναι τήν εὐχαριστίαν Θεῷ καί παρά τοῦ ἱερέως ἀπολυθῆναι, ἀπότρεχε σιωπῶν ἐν τῇ κέλλῃ σου, καί κλείσας τήν θύραν ἐπιλαβοῦ τοῦ βιβλίου. Καί ἀναγνούς ὀλίγον, εἰ μέν ἡμέραι τοῦ θέρους εἰσίν, ἀνακλίθητι ἐπί τό ψιάθιόν σου καί βραχυτάτου μετάλαβε ὕπνου - ἀπεχόμενος γάρ τοῦ κόρου καί λιτῇ χρώμενος τῇ τραπέζῃ μετά ἄρτου καί μεμετρημένου ὕδατος καί λαχάνων ἤ ὀσπρίων, ἧττον ὑπνώσεις καί θᾶττον ἐξαναστήσῃ -, εἰ δέ τοῦ χειμῶνός εἰσι, μετά τό μικρόν ἀναγνῶναι ἐπιλαβοῦ τοῦ ἐργοχείρου σου καί προσκαρτέρησον ἐν αὐτῷ ἕως οὗ τό ξύλον τήν ὑμνῳδίαν σημάνῃ τοῦ λυχνικοῦ.

Εἶτα πάλιν εἰς τήν σύναξιν εἰσελθών, στῆθι ἐν φόβῳ καί προσοχῇ ἐνώπιον τοῦ Θεοῦ, ψάλλων αὐτῷ καί ἐξομολογούμενος καί μηδενί ὁμιλῶν τό παράπαν. Καί τελεσθέντος τοῦ λυχνικοῦ, εἰ μέν ἐγκρατεύσασθαι ἰσχύσεις τοῦ μή φαγεῖν ἤ πιεῖν τό καθόλου, ἅπαξ κεκρικώς τήν ἡμέραν ἐσθίειν, εὑρήσεις οὐ τήν τυχοῦσαν ὠφέλειαν ἐν τῇ παραστάσει τῆς ἑσπερινῆς σου ἀκολουθίας καί ἐν τῇ νυκτερινῇ δεήσει καί ἀγρυπνίᾳ· εἰ δ’ οὖν ἀλλ’ ἑνί παξαματίῳ ἀρκέσθητι καί ἑνί ποτηρίῳ ὕδατος ἄνευ ἀσθενείας καί ἀτονίας στομάχου σου. Καί μετά τό συνάμα τοῖς ἀδελφοῖς σου ἀποδοῦναι τάς ἑσπερινάς εὐχάς τῷ Θεῷ, βαλών μετάνοιαν εἰς τούς πόδας τοῦ προεστῶτος ὡς εἰς αὐτούς τούς πόδας τοῦ Χριστοῦ, καί εὐχήν ἐκεῖθεν λαβών καί ἀσπασάμενος τάς ἁγίας μορφάς τῶν ἁγίων, εἴσελθε σιωπῶν μηδενί μηδαμῶς ὁμιλῶν εἰς τό κελλίον σου, καί κλείσας τάς θύρας ἐπιλαβοῦ πρῶτον τοῦ βιβλίου, καί ἀναγνούς ὡσεί τρία φύλλα προσεχῶς ἐν αὐτῷ στῆθι εἰς προσευχήν, ἡσύχως ψάλλων καί προσευχόμενος τῷ Θεῷ ὡς παρά μηδενός ἀκουόμενος. Στῆθι δέ γενναίως

ἐπισυνάγων σου τούς λογισμούς καί μή ἐῶν ῥέμβεσθαι αὐτούς ἀλλαχοῦ, σφίγξον σου τάς χεῖρας, ἕνωσόν σου τούς πόδας ἐπίσης ἀσαλεύτους ἐν βάσει μιᾷ, καί τούς μέν ὀφθαλμούς μῦσον τοῦ μή πρός ἄλλο τι βλέπειν καί τόν νοῦν διασκίδνασθαι, τόν δέ νοῦν αὐτόν καί ὅλην τήν καρδίαν ἆρον εἰς οὐρανούς καί Θεόν, ἐκεῖθεν μετά δακρύων καί στεναγμῶν τόν ἔλεον ἐκκαλούμενος. Ἔστωσάν σοι δέ ψαλμοί τεταγμένοι παρά τοῦ πνευματικοῦ σου πατρός, ὅσοι ῥήματα μετανοίας καί κατανύξεως φέρουσι καί ὅσοι τῇ δυνάμει ἐξικανοῦσι καί τῇ προθέσει σου. Δεῖ γάρ σε μετρεῖν τῇ τε ἰσχύϊ και τῇ ἀνδρείᾳ σου τήν τε τῶν ψαλμῶν ὑμνῳδίαν καί τό πλῆθος τῆς γονυκλισίας καί τόν χρόνον τῆς στάσεως, ἵνα μή τήν συνείδησιν ἕξῃς εἰς ἔλεγχόν σου λέγουσαν· «*Ἔτι ἦν σοι δύναμις τοῦ στῆναι καί ὑμνῆσαι καί Θεῷ ἐξομολογήσασθαι*». Πρός τούτοις ἔστωσάν σοι καί εὐχαί καί αὗται τεταγμέναι πρωΐας καί ἑσπέρας, ἐξομολόγησιν ἔχουσαι πρός Θεόν. Καί τήν εὐχήν συντελέσας ἀνάγνωθι πάλιν μικρόν, εἶτα ἐπιλαβοῦ καί τοῦ ἐργοχείρου σου, καί ἕως πρώτης φυλακῆς, ἤγουν ἕως τρίτης ὥρας διανυκτέρευσον τῆς νυκτός. Εἶθ' οὕτως ἀναστάς καί ποιήσας τόν ἄμωμον, ἀνακλίθητι σφραγισάμενος ὅλον σου τό σῶμα ἐπί τό ψιάθιον, μεταλαβών δέ ὕπνου μέχρι τοῦ μεσονυκτίου καθεξῆς ποιήσεις, ὡς ὑπετυπώθη σοι ἄνωθεν.

Ἀλλά γάρ καί τούς λογισμούς τῆς καρδίας σου τῷ πνευματικῷ σου πατρί καθ' ὥραν, εἰ δυνατόν, ἐξαγόρευε· εἰ δέ μή, τέως ἑσπέραν μή παρέλθῃς, ἀγαπητέ, ἀλλά καί μετά τόν ὄρθρον τά συμβαίνοντά σοι πάντα, σεαυτόν ἀνακρίνων, ἐξαγόρευε. Καί πίστιν ἀδίδακτον ἔχε πρός αὐτόν, κἄν ὁ κόσμος ἅπας αὐτόν λοιδορῇ καί διασύρῃ, κἄν αὐτός σύ τοῦτον τοῖς ὀφθαλμοῖς σου θεάσῃ πορνεύοντα, μή σκανδαλισθῇς, μηδέ τήν πίστιν σου ἐλαττώσῃς τήν πρός αὐτόν, πειθαρχῶν τῷ εἰπόντι· «*Μή κρίνετε καί οὐ μή κριθῆτε*».

Οὕτω δέ ποιοῦντός σου καθ' ἑκάστην καί οὕτως ἀγωνιζομένου σου, οὐ βραδύνει ὁ Θεός τοῦ ἐπισκέψασθαί σε ἄνωθεν, ἀλλ' ἐξαποστελεῖ σοι βοήθειαν ἐξ ἁγίου αὐτοῦ κατοικητηρίου, καί ἡ χάρις τοῦ Παναγίου αὐτοῦ Πνεύματος ἐπισκιάσει σοι. Καί κατά βραχύ προκόπτων ἐπί τό ἔργον σου τήν πνευματικήν ἡλικίαν αὐξήσεις καί εἰς ἄνδρα τέλειον ἀναδράμῃς, εἰς μέτρον ἡλικίας τοῦ πληρώματος τοῦ Χριστοῦ, φωτιζόμενος καί φωτίζων φῶς γνώσεως, δίκην ἡλίου, πάντας τούς πλησιάζοντάς σοι καί ἐντυγχάνοντας, καί δοξάζων Θεόν καί βίῳ καί λόγῳ, τόν δόντα σοι τήν δωρεάν τοῦ Ἁγίου αὐτοῦ καί ζωοποιοῦ Πνεύματος, ᾧ πρέπει δόξα εἰς τούς αἰῶνας. Ἀμήν.

# Λόγος ΚΖ΄. Περί τοῦ μή ἀμελῶς ἔχειν περί τήν ἐργασίαν τῶν τοῦ Θεοῦ ἐντολῶν, μηδέ καταφρονεῖν μιᾶς καί μόνης αὐτῶν, ἀλλ’ ἀγωνίζεσθαι τηρεῖν ὁμοῦ πάσας, ἵνα μή ὡς καταφρονηταί ἔξω τοῦ νυμφῶνος ἀποκλεισθῶμεν. Καί περί τοῦ ὑπομένειν γενναίως τούς πειρασμούς.

Ἀδελφοί καί πατέρες, οὐκ ἀκούετε τοῦ Κυρίου καί τῶν ἀποστόλων αὐτοῦ βοώντων· «*Ἐάν τις, φησί, τόν νόμον ὅλον φυλάξῃ, πταίσῃ δέ ἐν ἑνί, γέγονε πάντων ἔνοχος*», καί πάλιν· «*Ὁ ἀγωνιζόμενος πάντα ἐγκρατεύεται*»; Καί ἵνα σαφέστερον ὅ λέγει ποιήσῃ, ἐπάγει λέγων· «*Ὧ γάρ τις ἥττηται, τούτῳ καί δεδούλωται*». Ὥστε, ἀδελφοί, ὁ ἑνί καί τῷ τυχόντι πάθει δουλούμενος, ὑπ’ αὐτοῦ καί δεσπόζεται καί ταῖς ἐντολαῖς τοῦ Κυρίου ὑπακούειν οὐ δύναται· πῶς γάρ, ὑπό ἀλλοτρίου δεσπότου κυριευόμενος; Διά τί δέ καί ἀφ’ ἑαυτῶν οὐ συνορῶμεν ἡμεῖς τῶν δεσποτικῶν καί ἀποστολικῶν ῥημάτων τήν ἀληθῆ δύναμιν, ἐκ τῶν ὁρωμένων ταύτην καλῶς στοχαζόμενοι;

Βλέπομεν γάρ ὅτι οἱ ἐν πελάγει πλέοντες οὐχί ἐάν τόσα ἤ τόσα στάδια πλεύσωσιν, εἶτα ἐγγύς που πρός τόν λιμένα γενόμενοι κινδύνῳ περιπέσωσι, ἀλλ’ οἱ τόν λιμένα φθάσαντες καί τῇ χέρσῳ ἀποδοθέντες σωθῆναι λέγονται· οὕτω καί οἱ ἐν ὁδῷ περιπατοῦντες καί πρός πόλιν τινά καταλαβεῖν σπεύδοντες, οὐχί ἐάν τόνδε τόν ποταμόν διαπεράσωσι καί τόδε τό ὄρος διέλθωσι κἀκείνους τούς ληστάς διαβάντες ἐκφύγωσι, μετά δέ ταῦτα ἑτέρῳ τινί ἀνδροφόνῳ ἤ θηρίῳ ἐντυχόντες παρ’ ἐκείνου ἀναλωθῶσιν ἤ καί βοθύνῳ τινί περιπεπτωκότες ἀποπνιγνῶσι, διασωθήσεσθαι καί τήν πόλιν ἐκείνην καταλαβεῖν ἐν ᾗ ἐπορεύοντο, λέγονται, ἀλλ’ οἱ πάντα πειρασμόν καί πᾶσαν θανατηφόρον ἐπιβουλήν Θεοῦ βοηθείᾳ διαφυγόντες. Καί οὐδέ οὗτοι! Εἰ γάρ μετά τό διαφυγεῖν πάντα τά ἐναντία ἀμελήσουσιν ἤ ῥᾳθυμήσουσι, καί νύξ αὐτούς καταλάβῃ καί αἱ πύλαι κλεισθῶσι τῆς πόλεως καί ἔξωθεν αὐτῆς εὑρεθῶσιν, οὐκ οἴδασι τί τέξεται ἡ ἐπιοῦσα ἡμέρα.

Νόει οὖν μοι πόλιν τήν βασιλείαν τῶν οὐρανῶν, νύκτα τόν ἑκάστου ἡμῶν θάνατον, ἐπιοῦσαν δέ ἡμέραν τήν τοῦ Κυρίου καί Θεοῦ παρουσίαν, ἥτις ἐστίν ἡ ἡμέρα τῆς κρίσεως. Ὁ τοίνυν μή φθάσαι σπουδάσας τοῦ ἐν αὐτῇ γενέσθαι τῇ βασιλείᾳ τῶν οὐρανῶν ἕως ἐν τῇ ἡμέρᾳ τοῦ τῇδε βίου ἐστίν, ἀλλ’ ἔξω ταύτης ἐν τῇ ἐξόδῳ τῆς ψυχῆς αὐτοῦ εὑρεθῇ, νύξ ἐπ’ αὐτῷ τοῦ θανάτου γίνεται, καί οὐκ οἶδεν ἐν τῇ ἐπιούσῃ ἡμέρᾳ τῆς κρίσως τί ἄρα αὐτῷ συμβήσεται, κἄν τε εἰσελθεῖν ἐν αὐτῇ συγχωρηθῇ κἄν τε μή. Ἀλλά καί ἡ δορκάς ἤ ἡ ἔλαφος ἤ ἕτερόν τι τούτων τῶν ζῴων, οὐχ ὅταν τούτου μέν ἤ ἐκείνου τοῦ θηρευτοῦ καί τοῦ κυνός διαφύγῃ ἤ τῆς παγίδος τῆσδε ἤ τῆσδε ἀνώτερον γένηται, ὑπό δέ ἑτέρου τινός κατασχεθέν εἰς τάς χεῖρας αὐτῶν ἐμπέσῃ, διαδρᾶναι καί σωθῆναι λέγεται, ἀλλά τό μήθ’ ὅλως ἀγριευθέν ἤ ὑπό τινος μηχανῆς κρατηθέν. Νόει οὖν μοι πάλιν θηρευτάς τούς πονηρούς δαίμονας, κύνας δέ τούς πλάνους καί ψευδοδισκάλους

ἀνθρώπους, οἵ διεστραμμένοι ὄντες καί πονηροί οὐχ ἑαυτούς διορθώσασθαι ἀλλά ἑτέρους διδάσκειν ἐπιχειροῦσιν, οὕς ὡς ὑλακτοῦντας κύνας λογίζεσθαι χρή καί φεύγειν τούς τοιούτους, ὡς διά τῶν λόγων δάκνοντας καί διασπαράσσοντας τά πρόβατα τοῦ Χριστοῦ καί ταῖς τῶν θηρευτῶν χερσί προδιδόντας αὐτά· ληστάς δέ τούς πονηρούς λογισμούς καί αἰσχρούς λογισμούς οἵτινες αἰφνιδίως ἐπιπίπτοντες τῷ ἀγωνιζομένῳ, ἤ φυγεῖν καί ἀπορραγῆναι τῆς συνοδίας αὐτόν παρασκευάζουσιν, ἑαυτόν οἰόμενον διασώσασθαι, ἤ κρατήσαντες τῷ συνδιασμῷ καί ταῖς συγκαταθέσεσι τοῦ λογισμοῦ συνδήσαντες ἀσφαλῶς καί περισφίγξαντες, τύπτουσιν αὐτόν οἱονεί τοῖς γαργαλισμοῖς καί ταῖς κινήσεσι τῆς σαρκός, καί διά τῆς ἀτόπου ἐπιθυμίας τοῦτον ἕλκοντες τῇ δυνάμει, τῷ βόθρῳ τῆς ἁμαρτίας καί τῷ κρημνῷ τῆς πράξεως ἀπορρίπτουσι.

Χρή οὖν πάσῃ δυνάμει τῶν μέν πονηρῶν πασῶν ἀπέχεσθαι πράξεων, τῶν δέ ἀγαθῶν ἔργων ἅμα πάντων ἀντέχεσθαι, καί τάς ἐντολάς τοῦ Θεοῦ ζέοντι πόθῳ καί προθυμίᾳ πάσῃ ποιεῖν καί μηδεμιᾶς καί τῆς τυχούσης ὡς ἐλαχίστης καταφρονεῖν. Ὁ γάρ λέγων· «*Εἴθε μή τόδε μοι πέπρακται τό κακόν, τόδε μή πέπραχα τό ἁμάρτημα, ἐπεί τόδε ἤ τόδε οὐδέν ἐστι*» φανερῶς ἁπάσας ὁμοῦ ἀνατρέπει τάς ἐντολάς τοῦ Θεοῦ καί ταύταις ἀνθίσταται. Ὑπονόει μοι, ἄνθρωπε, σκεῦος τίμιον ἐκ πασῶν γενόμενον τῶν ἐντολῶν τοῦ Θεοῦ, οἷον ἐκ πίστεως, ἐκ φόβου Θεοῦ, ἐκ ταπεινώσεως, ἐκ σιωπῆς τῆς ἀπό ἀργοῦ λόγου, ἐξ ὑπακοῆς μέχρι θανάτου, ἐκ τῆς ἐκκοπῆς τοῦ ἔνδοθεν τῆς καρδίας θελήματος καί κινήματος, ἐκ τῆς ἀδιαλείπτου μετανοίας καί κατανύξεως, ἐκ τῆς ἀεννάου εὐχῆς, ἐκ τῆς τῶν ὀφθαλμῶν ἀκριβείας, ἐκ τῆς πρός τόν πλησίον ἀπροσπαθείας καί τῆς πρός πάντας ἐξ ἴσου ἀγάπης, ἐκ τῆς ἀφιλαργυρίας καί σωφροσύνης, ἐκ τῆς πρός τόν Θεόν ἐλπίδος καί τελείας ἀγάπης, ἐκ πασῶν ἄλλων τῶν ταύταις συνεπομένων ταῖς ἀρεταῖς. Μία γάρ ἑκάστη τούτων, οἱονεί πέταλον οὖσα καθ' ἑαυτήν ἕν, ἡ μέν χρυσοῦν, ἡ δέ ἀργυροῦν, ἄλλη χαλκοῦν, ἑτέρα ἐκ λίθου τιμίου, καί καθεξῆς αἱ λοιπαί ἐξ ἑτέρων ἄλλων ὑλῶν, ἑνούμεναι διά τοῦ Πνεύματος καί ἀλλήλαις εἰς ἕν ἅπασαι συγκολλώμεναί τε καί συναρμολογούμεναι, εὔχρηστόν τι, ὡς εἴρηται, τόν ἄνθρωπον κατασκευάζουσι σκεῦος, ἐν ᾧ ἡ τοῦ Θεοῦ χάρις ὡς οἶνος νέος ἐμβάλλεται. Εἰπέ οὖν μοι, ἐάν μία ἐκ πασῶν τῶν εἰρημένων ἀρετῶν ἐπιλείψῃ, ἐξ ὧν καί δι' ὧν συνετέθη καί συνηρμόσθη τό σκεῦος, ἆρα ἀνέξεται ὁ Θεός ἐμβαλεῖν ἐν αὐτῷ ὅλως τι τῶν χαρισμάτων τοῦ Πνεύματος αὐτοῦ, εἰ καί δοκεῖ πάνυ μικρά ἡ τρυμαλιά εἶναι τοῦ ἐπιλείποντος δῆθεν πετάλου ἤτοι τοῦ τόπου τῆς ἀρετῆς; Οὐδαμῶς! Πάντως γάρ ἐκ τοῦ κατ' ὀλίγον διά τῆς μικρᾶς ἐκείνης ὀπῆς τό ἐμβληθέν ἀγνώστως ῥεῦσαν χυθήσεται.

Πῶς οὖν ἡμεῖς καί δίχα πολλῶν ἀρετῶν, ὧν τόν ἄφθαρτον καί ἀκένωτον οὐ κεκτήμεθα πλοῦτον ἐκ τῆς τῶν ἐντολῶν ἐργασίας, διά τῶν ὀλίγων κατορθωμάτων καί τούτων διεσπαρμένων ἀπ' ἀλλήλων ταῖς ἁμαρτίαις, ὡς σκεύη ἑαυτούς εἶναι νομίζομεν τέλεια καί ὁλόκληρα, καί τό Ἅγιον Πνεῦμα ὡς θησαυρόν ἔνδον ἐν ἡμῖν φέρειν οἰόμεθα; Ἀλλ' ὄντως κατά τόν εἰρηκότα «*ἐματαιώθημεν ἐν τοῖς διαλογισμοῖς ἡμῶν καί ἐσκοτίσθη ἡ ἀσύνετος ἡμῶν καρδία καί φάσκοντες εἶναι σοφοί ἐμωράνθημεν*». Εἰ γάρ καί Παῦλος ὁ θεῖος βοᾷ· «*Ὁ Θεός ὁ εἰπών ἐκ σκότους φῶς λάμψαι, ὅς ἔλαμψεν ἐν ταῖς καρδίαις ἡμῶν,*

*καί ἔχομεν τόν θησαυρόν τοῦτον ἐν ὀστρακίνοις σκεύεσιν*», ἀλλά «*σκεύη*» μέν τά ἡμετέρα σώματά φησι, καθά καί ἀλλαχοῦ λέγει· «*Οὐκ οἴδατε ὅτι τά σώματα ὑμῶν ναός εἰσι τοῦ ἐνοικοῦντος ἐν ὑμῖν Ἁγίου Πνεύματος καί οὐκ ἐστέ ἑαυτῶν*», «*ὀστράκινα*» δέ εἰπών τό τῆς φύσεως ἡμῶν ᾐνίξατο ἀσθενές. Ἄθραυστα τοίνυν καί ἀδιάρρηκτά εἰσι τά τοιαῦτα σώματα διά τήν τοῦ ἐν αὐτοῖς θησαυροῦ ἀκαταμάχητον δύναμιν. Διό καί ἐπιφέρων φησίν· «*Ἵνα τό πλεῖστον τῆς δυνάμεως μή ᾖ ἐξ ὑμῶν, ἀλλ᾽ ἐκ τοῦ Θεοῦ*». Καί ἵνα ὑμῖν αὐτό ἐκδηλότερον ἀπεργάσωμαι, τοιοῦτόν ἐστιν ὅ φησι· «*Μή νομίσῃς ὅτι ὑπό σοῦ, φησί, συνέχεται καί τηρεῖται ὁ ἐν σοί θησαυρός, ἀλλά ὑπό τοῦ ἐν σοί θησαυροῦ αὐτός σύ μᾶλλον τετήρησαι, ὑπό τῆς ἐν σοί χάριτος κατεσκευάσθης εἰς τό εἶναι σκεῦος εὔχρηστον τῷ Θεῷ. Τό δή θαυμαστόν, ὅτι καί ἐάν μή ὑφ᾽ ἡμῶν ἀλλ᾽ ὑφ᾽ ἑτέρων ἐχθρῶν τινων συντριβῇ τό σκεῦος, ὁ μέν θησαυρός μένει ἀκένωτος, τό δέ σκεῦος ἰσχυρότερόν τε καί ἀσφαλέστερον ὑπό τῆς τοῦ θησαυροῦ ἐνεργείας κατασκευάζεται· ὁ Θεός γάρ ἐστιν*». Ὅθεν περί τούτου ὁ αὐτός ἀπόστολος λέγει· «*Πάντα ἰσχύω ἐν τῷ ἐνδυναμοῦντί με Χριστῷ*».

Ἀλλ᾽ ὅρα μοι πῶς διά τῶν τοιούτων λόγων πανταχοῦ τήν Τριάδα ἀχώριστον εἶναί φησι καί ἐν ἡμῖν μένουσαν· «*Ὁ Θεός γάρ, φησίν, ὁ εἰπών ἐκ σκότους φῶς λάμψαι, ὅς ἔλαμψε - τό Ἅγιον Πνεῦμα δηλονότι - ἐν ταῖς καρδίαις ἡμῶν*» - οὕτω καί ὁ Κύριος ἔφη· «*Κἀγώ Παράκλητον ἄλλον πέμψω ὑμῖν, τό Πνεῦμα τῆς ἀληθείας*»-, καί πάλιν·«*Ἔχομεν δέ τόν θησαυρόν τοῦτον ἐν σκεύεσιν ὀστρακίνοις*» εἴτουν καρδίαις σαρκίναις. Βουλόμενος δέ δεῖξαί σοι τόν θησαυρόν, ὅτι οὐκ ἄλλος τίς ἐστι παρά τόν λάμψαντα, ἀλλά ὁμότιμος καί ὁμοούσιος αὐτοῦ ὑπάρχει, προσέθηκε λέγων· «*Ἵνα τό πλεῖστον τῆς δυνάμεως μή ᾖ ἐξ ἡμῶν ἀλλ᾽ ἐκ τοῦ Θεοῦ*», τοῦ ἐν ἡμῖν διά τῆς ἐλλάμψεως δηλονότι τοῦ Πνεύματος σκηνώσαντος. Τοῦτο γάρ ἐστιν ὁ θησαυρός, ἡ Ἁγία Τριάς, συνεχόμενος μέν ὑφ᾽ ἡμῶν διά τῆς τῶν ἐντολῶν, ὡς εἴρηται, πασῶν ἀκριβοῦς φυλακῆς, συνέχων δέ ὅλους ἡμᾶς διά τῆς αὐτοῦ φιλανθρωπίας τε καί δυνάμεως καί χάριτος, πάντοθεν ἀτρώτους καί ἀκλινεῖς καί ἀσαλεύτους συντηρῶν καί διαφυλάττων ἡμᾶς· οὕς καί ὡς ἀσθενοῦντας καί εὐολίσθους, μικρόν τι ἐλλείψαντας ἤ σφαλέντας, αὐτός εὐθύς ὁ θησαυρός συσφίγγει καί πρός ἑαυτόν ἑνοῖ τε καί συγκολλᾷ ἑαυτῷ καί ἀναπληροῖ τά ἡμῶν ὑστερήματα καί στερεοῖ καί παγιωτέρους ἡμᾶς ἀπεργάζεται.

Διά δή τοῦτο παρακαλῶ ὑμᾶς, ἐν Χριστῷ ἀδελφοί, παραστῆσαι ἑαυτούς ἀμέμπτους τῷ Κυρίῳ ἐκ πάσης ἁμαρτίας, ἐπιφερομένους μεθ᾽ ἑαυτῶν τήν φυλακήν πασῶν τῶν σωτηρίων αὐτοῦ ἐντολῶν. Οὕτω γάρ ταύτας ὁ τεχνίτης Θεός Λόγος λαβόμενος, ὡς ὕλην τινά διά χρυσοῦ καί ἀργύρου καί λίθων τιμίων συμπεφορημένην, αὐτός ὁμοῦ πάσας ἑνώσει καί εἰς εὔχρηστα διά τῶν τοιούτων σκεύη κατασκευάσει ἡμᾶς. Ἀλλά μή τάς μέν κομίσωμεν αὐτῷ, τάς δέ καταλείψωμεν, μηδέ ὅταν πάσας αὐτῷ προσενέγκωμεν, περί μίαν καί μόνην ἀμεληταί καί καταφρονηταί φανῶμεν τῷ Δεσπότῃ Χριστῷ τῷ Θεῷ, ἵνα μή ὀργισθείς προστρίψῃ κἀκείνας ἡμῖν καί ἐκβληθῆναι ἡμᾶς ἔξω τοῦ νυμφῶνος κελεύσῃ. Τοῦτο δέ παθόντες οὐδέν ἡμᾶς ὕστερον, εἰ καί πολλά κρούσαντες εἴπομεν· «*Κύριε, Κύριε, ἄνοιξον ἡμῖν*»!, ὠφελήσει. Ἐρεῖ γάρ· «*Ὑπάγετε ἀπ᾽ ἐμοῦ! Οὐδέ γάρ οἶδα*

*ὑμᾶς ὡς πιστούς, οὐδέ μέχρι θανάτου ὑπακούσαντας καί ἐκπληρώσαντάς μου τό πρόσταγμα. Διό ἀπέλθετε ἀπ᾽ ἐμοῦ*».

Ταῦτα μέν οὖν, οἶδα, πρῶτος ὁ ταπεινός ἐγώ καί πανάθλιος, ὡς μηδέ μίαν πεπληρωκώς ἐντολήν τοῦ Θεοῦ μου, ἀκούσομαι. Εἶτα καί ὅσοι κατ᾽ ἐμέ ἀνυπότακτοι καί παρήκοοι τῶν ἐντολῶν τοῦ Θεοῦ, οἱ λέγοντες ἄφρονι λογισμῷ· «*Εἴθε μή μεμοίχευκα! Τό γάρ ὀβολόν ἤ κλάσμα κεκλοφέναι ἄρτου, ποία ἁμαρτία ἐστίν;*» Εἶτα πάλιν· «*Μακάριος ἄν ἤμην, φησίν, ἐάν μή αἰσχροῖς καί βεβήλοις τῆς ἀρσενοφθορίας περιεπάρην κακοῖς. Τό γάρ λοιδορῆσαι ἤ φθονῆσαι, παῖξαί τε καί γελάσαι, ὁποία ἄρα ἐστίν ἁμαρτία;*» οἱ πάλιν ἑαυτούς ἡγούμενοι, διά τό ἐκ σαρκικῶν τῆς ἁμαρτίας πράξεων καθαρεύειν, ὡς ἀγγέλους Θεοῦ καί μεγάλα περί ἑαυτῶν ἀφρόνως οἰόμενοι, μή ποιούμενοι δέ λόγον τῶν ψυχικῶν ἀρετῶν καί παθῶν, ἀλλά καί τῶν ἄλλων ἁπασῶν ἐντολῶν τοῦ Κυρίου καταφρονοῦντες καί πρός τήν ἐκπλήρωσιν αὐτῶν μή βιαζόμενοι ἑαυτούς, παραιτούμενοι δέ καί ὑπέρ ἐντολῆς Θεοῦ πᾶσαν ἐπίπονον πρᾶξιν καί κακοπάθειαν, καί ἀμερίμνως διάγοντες.

Τί γάρ ὄφελος, ἀδελφοί, τό πορνείας μέν ἀπέχεσθαι καί ἄλλης ἀκαθαρσίας σωματικῆς, δόξης δέ ἀντιποιεῖσθαι καί χρημάτων ἐφίεσθαι; Ἡ μέν γάρ τό σῶμα, ἡ δέ τήν ψυχήν διαφθείρει. Οὐ μόνον δέ, ἀλλά καί ἀπίστους ἡμᾶς κατά τήν τοῦ Κυρίου φωνήν ἡ δόξα τῶν ἀνθρώπων καί τό ταύτης ἐρᾶν ἀπεργάζεται· «*Πῶς δύνασθε, φησί, πιστεύειν, δόξαν παρά ἀνθρώπων λαμβάνοντες καί τήν δόξαν τήν παρά τοῦ μόνου Θεοῦ ζητοῦντες;*». Τί δέ τό ἀρσενοφθορίας μέν καθαρεύειν, φθόνῳ δέ καί μίσει καί ζήλῳ κατά τοῦ πλησίον ἐκτήκεσθαι; Τό γάρ πρός τόν ἀδελφόν μῖσος φονέα τόν κεκτημένον ἀποτελεῖ· «*Ὁ γάρ μισῶν τόν ἀδελφόν αὐτοῦ, φησίν ὁ ἀπόστολος, ἄνθρωποκτόνος ἐστίν*». Ἀρσενοκοίτης δέ καί φονεύς ἑνί πάντως κατά τούς ἱερούς κανόνας καί τῷ αὐτῷ ἐπιτιμίῳ καθυποβάλλονται καί ὑπόδικοι κρίσεως αἰωνίου ἀμετανόητοι διαμένοντες γίνονται. Τί δέ ἐάν μή μεθύσκεταί τις οἴνῳ, λοιδορεῖ δέ τόν ἀδελφόν αὐτοῦ; Ἀμφότεροι γάρ κατά τόν θεῖον ἀπόστολον τῆς βασιλείας ἐξωθοῦνται τῶν οὐρανῶν· «*Μή πλανᾶσθε γάρ, φησίν, οὔτε πόρνοι, οὔτε ἀρσενοκοῖται*», καί ἐπιφέρει· «*οὐ μέθυσοι, οὐ λοίδοροι, οὐχ ἅρπαγες βασιλείαν Θεοῦ κληρονομήσουσι*». Τί δέ τῆς νηστείας ὄφελος, εἰπέ μοι, μή προσούσης πρᾳότητος; Τί δέ τῆς πρᾳότητος ὄφελος, ἐάν ἐπί ὀλέθρῳ ψυχῆς ἔστι καί παραβάσει μιᾶς καί τῆς αὐτῆς ἐντολῆς τοῦ Θεοῦ; Ὥσπερ γάρ ὁ τῷ τύπτοντι ἀντιπίπτων καί ἀντιτύπτων, αὐτόν τόν εἰπόντα Θεόν ἀτιμάζει - «*Τῷ τύπτοντί σου τήν σιαγόνα, φησί, στρέψον αὐτῷ καί τήν ἄλλην*»-, οὕτω καί ὁ τοῦ βλασφημοῦντος εἰς Θεόν μακροθύμως ἀνεχόμενος, εἰς τόν βλασφημούμενον ἁμαρτάνει ὡς συνηδόμενος τῷ βλασφημοῦντι καί συνευδοκῶν αὐτῷ διά τῆς νομιζομένης μακροθυμίας. Τί τῇ ὑπακοῇ θαρρεῖς, ἀδελφέ, γαστριμαργίᾳ δουλούμενος; «*Οὐδείς γάρ, φησί, δυσί κυρίοις δουλεύειν δύναται*»· γαστρός δοῦλον Θεοῦ δοῦλον γενέσθαι ἀμήχανον. Τί ἐγκαυχᾷ τῇ πολλῇ τῶν ψαλμῶν μελέτῃ, μετεωριζομένου μέν τοῦ νοός σου, μή ἐπισταμένου δέ τῶν λεγομένων τήν δύναμιν; Εἰ δέ καί διά τοῦτο τῶν ἐπιτασσομένων σοι διακονιῶν ἀμελεῖς καί τῶν παρά τοῦ προεστῶτος ἐπιταχθεισῶν σοι δουλειῶν τῆς μονῆς, ἐγώ μέν σιωπῶ, σύ δέ οἶδ᾽ ὅτι

ἀκήκοας τῆς θείας Γραφῆς λεγούσης· «*Ἐπικατάρατος πᾶς ὁ ποιῶν τά ἔργα τοῦ Κυρίου ἀμελῶς*». Τί ἐπερείδη τῶν ἐν τοῖς σωματικοῖς ἔργοις κόπῳ τῆς ἔνδοθεν ἀμελῶν ἐργασίας; Οὐκ ἀκούεις Παύλου λέγοντος· «*Ἡ μέν γάρ σωματική γυμνασία πρός ὀλίγον ἐστίν ὠφέλιμος, ἡ δέ εὐσέβεια πανταχοῦ ὠφέλιμός ἐστιν*»; Τί δέ, ἐάν καί τά ἀμφότερα κατορθώσῃ τις, τούς δέ συνόντας αὐτῷ ἤ καί τούς ἐν τῷ κόσμῳ ἀδελφούς κατακρίνῃ; «*Ὧ γάρ, φησί, κρίματι κρίνετε κριθήσεσθε, καί ἐν ᾧ μέτρῳ μετρεῖτε ἀντιμετρηθήσεται ὑμῖν*». Ὁ δέ καί πάντα τά εἰρημένα κατωρθωκώς καί μήτε ποιῶν τι τῶν ἀπηγορευμένων μήτε τούς ἀμελεῖς ἀδελφούς κατακρίνων, ἐν δέ καιρῷ πειρασμοῦ, ἐπελθόντων αὐτῷ ἐμπτυσμάτων καί ῥαπισμάτων καί ὕβρεων, ἐάν μή ὑπενέγκῃ ταῦτα ἀταράχως, ἤ ταραχθείς μέν τήν καρδίαν οὐ προφέρει δέ ῥῆμα ἀπρεπές, ἀλλά ὅλως ἐνδείξεται διά τοῦ ἔξωθεν σχήματος πρός ὀργήν κινηθεῖσαν αὐτοῦ τήν ὁρμήν τῆς ψυχῆς καί λόγον ὑβριστικόν ἀντιφθέγξεται ἤ ἕτερόν τι πρός ἄμυναν διαπράξεται, πῶς δοῦλον ἑαυτόν καί μιμητήν τοῦ ἰδίου Δεσπότου ὅλως εἰπεῖν ὁ τοιοῦτος τολμήσει καί οὐχί μᾶλλον ἀπεναντίας ἐχθρόν;

Οἱ φίλοι τοίνυν τοῦ Θεοῦ καί οἱ ἀγαπῶντες αὐτόν, ἐν ἑαυτοῖς αὐτόν ἔχοντες οἷα δή θησαυρόν τῶν ἀγαθῶν ἄσυλον, μετά χαρᾶς ἀφάτου καί θυμηδίας τάς τοιαύτας ὕβρεις καί ἐξουδενώσεις προσυποδέχονται, ὑπεραγαπῶντες ὡς εὐεργέτας ἐν εἰλικρινεῖ διαθέσει τούς ταῦτα εἰς αὐτούς ἐνδεικνυμένους καί πράσσοντας. Οἱ δέ γε λέγοντες ὅτι· «*Κατά μέν τόν τῆς φιλονεικίας καί μάχης καιρόν κινούμεθα ὡς ἄνθρωποι πρός ὀργήν καί θυμόν, καί ἔσθ' ὅτε καί ἀμυνόμεθα ἐν λόγοις καί αὐτοῖς ἔργοις τούς ἀδελφούς, ὕστερον δέ οὐκ ἔχομεν κατ' αὐτῶν ἔχθραν ἐν τῇ ψυχῇ, ἀλλά πάντα ἀφίεμεν καί μάλιστα ἐάν καί συγχώρησιν πρός ἀλλήλους ποιήσωμεν*», ἐοίκασί μοι ἀγράφῳ πυξίῳ ἐν ᾧ ὅταν λάβῃ καιρόν ὁ ἐχθρός καί πολέμιος τῶν ψυχῶν ἡμῶν ἐγγράφει δι' αὐτῶν ἐκείνων τά πονηρά καί μιαρά αὐτοῦ δόγματα καί ὑπάγει· αὐτοί δέ πάλιν τά ἅπερ ἔγραψαν ὑπό τοῦ πονηροῦ κινηθέντες ἐξαλείφοντες, οὐ προαιροῦνται ἐγγράψαι τά τοῦ Χριστοῦ ἀντ' αὐτῶν, ἵνα ἐλθών ὁ ὑπεναντίος εὑρήσῃ ἐγγεγραμμένας τάς πλάκας τῶν καρδιῶν αὐτῶν καί ἀποστραφῇ ἡττημένος καί κατῃσχυμένος, ἀλλ' ὀκνηρίᾳ καί ῥαθυμίᾳ ἀγράφους ἕκαστος αὐτῶν ἐῶν ταύτας, ὅταν ἀποστείλῃ ὁ Κύριος γράψαι τά ἑαυτοῦ δόγματα ἔν τινι τῶν τοιούτων, εὐθύς ἐκεῖνοι γράφουσι προθύμως τά τοῦ ἐχθροῦ· καί τά μέν πικρά καί θανατηφόρα προσίενται, τά δέ ζωοποιά καί ὑπέρ μέλι γλυκέα ἐξ ἑαυτῶν ἀπωθοῦνται.

Ὁ μηδέν οὖν ἐπταικώς Κύριος ὁ Ἰησοῦς καί Θεός ἡμῶν ἐτύφθη, ἵνα οἱ μιμούμενοι αὐτόν ἁμαρτωλοί μή μόνον ἄφεσιν τῶν ἡμαρτημένων λάβωσιν, ἀλλά καί τῆς Θεότητος αὐτοῦ συγκοινωνοί διά τήν ὑπακοήν αὐτῶν γένωνται· καί ὁ μή τοῦτο ἐν ταπεινώσει καρδίας καταδεχόμενος, ὡς ἐπαισχυνόμενος τά τοῦ Δεσπότου πάθη μιμήσασθαι, ἐπαισχυνθήσεται καί αὐτόν ὁ Χριστός ἐνώπιον τῶν ἀγγέλων καί τοῦ Πατρός αὐτοῦ τοῦ ἐν τοῖς οὐρανοῖς. Τό δέ λεγόμενον τοιοῦτόν ἐστι· Θεός ὤν ἐκεῖνος ἐγένετο δι' ἡμᾶς ἄνθρωπος. Ἐρραπίσθη, ἐνεπτύσθη καί ἐσταυρώθη, διδάσκων οἱονεί καί λέγων ἑκάστῳ ἡμῶν δι' ὧν πέπονθεν ὁ ἀπαθής τῇ Θεότητι· «*Ἐάν βούλῃ, φησίν, ἄνθρωπε, γενέσθαι Θεός καί ζωῆς ἐπιτυχεῖν αἰωνίου καί σύν ἐμοί εἶναι, οὗπερ ὁ σός πραπάτωρ ποτέ καλῶς*

*ἐπιθυμήσας οὐκ ἔτυχεν, οὕτω ταπεινώθητι, ὡς ἐταπεινώθην ἐγώ διά σέ· καί ἀποθέμενος τό ἀλαζονικόν τε καί ὑπερήφανον τοῦ δαιμονιώδους φρονήματος, δέξαι ῥαπίσματα, δέξαι ἐμπτύσματα, κολαφίσματα, καί ὑπόμεινον ταῦτα μέχρι θανάτου καί μή ἐπαισχυνθῇς. Εἰ δέ σύ παθεῖν αἰσχυνθῇς διά τάς ἐμάς ἐντολάς, ὡς ἐγώ ὁ Θεός ἔπαθον διά σέ, αἰσχύνην κἀγώ ἡγήσομαι τοῦ σύν ἐμοί εἶναί σε ἐν τῇ μετά δόξης ἐλεύσει μου καί ἐρῶ τοῖς ἀγγέλοις μου· Οὗτος ἐν τῇ ταπεινώσει μου ἐπῃσχύνθη με καί καταλιπεῖν τήν δόξαν τοῦ κόσμου καί ὁμοιωθῆναί μοι οὐ κατεδέξατο, νυνί δέ ὅτε τῆς δόξης μέν τῆς φθαρτῆς αὐτός ἐγυμνώθη, ἐγώ δέ ἐν τῇ τοῦ Πατρός μου ἀθανάτῳ δόξῃ δεδόξασμαι, καί τό ὅλως ὁρᾶν αὐτόν ἐπαισχύνομαι! Ἐκβληθήτω τοιγαροῦν ἔξω, ἀρθήτω ὡς οἱ ἀσεβεῖς ἵνα μή ἴδῃ τήν δόξαν Κυρίου!*». Ταῦτα τοίνυν ἀκούσονται οἱ πάσας μέν τάς ἐντολάς κατά τό δοκοῦν τηροῦντες, δι' αἰσχύνην δέ καί ἐντροπήν ἀνθρώπων μή καταδεχόμενοι τάς ἐξ αὐτῶν ἐπιφερομένας αὐτοῖς ὕβρεις καί ἀτιμίας ἤ λοιδορίας, μηδέ τούς ῥαπισμούς μηδέ τάς ἐξ αὐτῶν πληγάς ὑποφέροντες.

Φρίξατε, ἄνθρωποι, καί τρομάξατε, καί τάς ὕβρεις ἅς ὁ Θεός ὑπέστη διά τήν σωτηρίαν ἡμῶν, μετά χαρᾶς καί ὑμεῖς ὑπομείνατε! Ὁ Θεός ὑπό αἰσχίστου δούλου ῥαπίζεται ὑπόδειγμά σοι νίκης διδούς, καί σύ παρά τοῦ ὁμοιοπαθοῦς σου ἀνθρώπου οὐ καταδέχῃ τοῦτο παθεῖν; Θεοῦ μιμιτής αἰσχύνῃ γενέσθαι, καί πῶς συμβασιλεύσεις αὐτῷ καί συνδοξασθήσῃ ἐν τῇ τῶν οὐρανῶν βασιλείᾳ, μή ὑπομείνας αὐτόν; Εἰ γάρ κἀκεῖνος, ὅσον τό ἐπί σοί, ἄνθρωπος ἐπῃσχύνθη γενέσθαι διά σέ καί ἐν τῷ τῆς παραβάσεως πτώματι κείμενόν σε μέχρι τοῦ παρόντος κατέλιπεν, οὐχί μετά τῶν ἀπίστων καί ἀσεβῶν ἐν τοῖς τοῦ ᾅδου μυχοῖς ἐναπέμεινας, ἄθλιε; Πιστεύεις ὅτι Θεός ὁ Χριστός; «*Ναί*», φησίν. Εἰ οὖν πιστεύεις ὅτι ὁ Θεός ὁ ποιήσας τόν οὐρανόν καί τήν γῆν ἐστιν ὅς ἀκενώτως ἐκενώθη ἐκ τῶν κόλπων τῶν πατρικῶν, ὅς κατῆλθεν ἐπί τῆς γῆς ἐκ τοῦ ἀπείρου ὕψους τῆς Θεότητος καί τῆς ἀφράστου δόξης αὐτοῦ καί γέγονεν ἄνθρωπος εὐτελής καί πτωχός διά σέ, σύ πηλός ὤν καί τέφρα καί κόνις, οὐ καταδέχῃ τοῦ νομιζομένου ὑψηλοῦ σου θρόνου κατελθεῖν καί ταπεινωθῆναι τῷ ἀδελφῷ σου, τῷ κάτω μέν ἱσταμένῳ κατά γε τοῦτο δή τό ὁρώμενον, ἴσως δέ ταῖς ἀρεταῖς ὑπερκειμένῳ σου; Οὐκ ἀπορρίπτεις τήν στολήν τήν δοκοῦσαν εἶναι λαμπράν, ἐκείνου τό τρίχινον καί τήν ταπείνωσιν δυσωπούμενος; Οὐ παρορᾷς πάντα ἅ παίγνιον ὄντως ἐστί καί προσωπεῖον μᾶλλον ἀσχημοσύνης καί οὐ δόξα λαμπρότητος; Οὐχ ὅμοιος γίνῃ κατά πάντα τῷ σῷ πλαστουργῷ καί Θεῷ, τοῖς ἀδελφοῖς σου συνταπεινούμενος; Εἰ οὖν ὁμοιωθῆναι αὐτῷ οὐκ ἀνέχῃ, μείζονα σεαυτόν, ὡς οὐκ οἶδας, καί ἐνδοξότερον ἐκείνου κατασκευάζεις, ἄλλος ἡμῖν Ἄννας ἤ Καϊάφας ἤ Πιλᾶτος καί τύραννος δεικνύμενος, οὐ συγκάθεδρον ἀλλ' ὡς ἕνα τῶν κατακρίτων βουλόμενος παρεστάναι σοι τόν Ποιητήν τοῦ παντός.

Ταῦτα τοίνυν πρός τούς πλουσίους καί ἄρχοντας καί τῶν ἄλλων ὑπερκαθεζομένους καί τάς ὀφρῦς ἀνασπῶντας μεθ' ὑπεροπτικοῦ τοῦ φρονήματος. Τί δέ πρός τούς πάντα δῆθεν καταλιπόντας καί διά τήν τῶν οὐρανῶν βασιλείαν πτωχεύσαντας; Τί οὖν ἐροῦμεν; Ἰδού ἐπτώχευσας, ἀδελφέ, καί ἐμιμήσω τόν Δεσπότην σου Χριστόν καί Θεόν. Βλέπε τοιγαροῦν ἄρτι συνόντα σοι τοῦτον καί συναναστρεφόμενον μετά σοῦ, τόν ὑπεράνω

πάντων τῶν οὐρανῶν. Ἰδού ὁδεύετε οἱ δύο ὁμοῦ· συνήντησέ τις ὑμῖν ἐν τῇ τοῦ βίου ὁδῷ, δέδωκε τῷ Δεσπότῃ σου ῥάπισμα, δέδωκε ὁμοίως καί σοί. Ὁ Δεσπότης οὐκ ἀντιλέγει καί σύ ἀντιπίπτεις; - Ναί, φησίν, εἶπε γάρ τῷ ῥαπίσαντι· « *Ἐάν κακῶς ἐλάλησα, μαρτύρησον περί τοῦ κακοῦ· εἰ δέ καλῶς, τί με δέρεις;*» Τοῦτο οὐχ ὡς ἀντιλέγων εἶπεν, ὥσπερ ὑπέλαβες, ἀλλ' ἐπειδή ἐκεῖνος ἁμαρτίαν οὐκ ἐποίησεν, οὐδέ εὑρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ· ἄλλως τε δέ καί ἵνα μή νομισθῇ ὅτι ὡς ἁμαρτίαν πεποιηκότα δικαίως αὐτόν ἔτυψεν ὁ εἰπών αὐτῷ· «*Οὕτως ἀποκρίνῃ τῷ ἀρχιερεῖ*», τούτου χάριν ἀνεύθυνον ἑαυτόν ἀποφαίνων τοῦτο ἐφθέγξατο. Ἀλλ' οὐχί πάντως καί ἡμεῖς τοιοῦτοι οἱ πολλαῖς ἁμαρτίαις ὑπεύθυνοι. Καί γάρ ὕστερον πολλῷ χείρονα τούτου ὑποστάς οὐδέν οὐδαμῶς λαλήσας εὑρίσκεται, μᾶλλον μέν οὖν καί ὑπέρ τῶν σταυρωσάντων αὐτόν εὐχόμενος δείκνυται. Ἐκεῖνος παιζόμενος οὐκ ἀγανακτεῖ καί σύ δυσχεραίνεις; Ἐκεῖνος ἐμπτύσματα καί κολαφίσματα καί φραγγελώσεις ὑφίσταται καί σύ οὐδέ λόγον ἀνέχῃ σκληρόν καταδέξασθαι; Ἐκεῖνος σταυρόν καί θάνατον ἄτιμον καί τάς ἐκ τῶν ἥλων ὀδύνας δέχεται καί σύ τάς ἀτιμοτάτας διακονίας οὐ καταδέχῃ ποιεῖν; Καί πῶς τῆς δόξης αὐτοῦ συγκοινωνός γενέσθαι μή καταδεχόμενος; Ὄντως εἰς μάτην τόν πλοῦτον κατέλιπες, τόν σταυρόν ἆραι, ὡς ἐκεῖνος ἐκέλευσε, μετά τοῦ λόγου τῆς ἀληθείας μή βουληθείς· «*Πώλησόν σου τά ὑπάρχοντα καί δός πτωχοῖς*», τῷ νεανίσκῳ καί ἡμῖν ὁ Χριστός ἐνετείλατο σύν αὐτῷ, «*καί ἆρον τόν σταυρόν σου καί δεῦρο ἀκολούθει μοι!* ». Σύ δέ τόν πλοῦτον ἐσκόρπισας, ἆραι δέ τόν σταυρόν μή καταδεξάμενος, ὥσπερ εἴρηται, ὅπερ ἐστί τό τήν πάντων ὑπενεγκεῖν τῶν πειρασμῶν ἐκθύμως ἐπιφοράν, ἐναπειλείφθης ἐν τῇ τοῦ βίου ὁδῷ καί ἐχωρίσθης δυστυχῶς τοῦ γλυκυτάτου Δεσπότου σου καί Θεοῦ!

Ἀλλά παρακαλῶ, πατέρες καί ἀδελφοί, φυλάξωμεν πάσας τάς ἐντολάς τοῦ Χριστοῦ, ὑπομείνωμεν τούς ἐπερχομένους ἡμῖν πειρασμούς μέχρι θανάτου διά τόν πόθον τῆς βασιλείας τῶν οὐρανῶν, ἵνα καί τῆς δόξης τοῦ Ἰησοῦ κοινωνοί καί τῆς αἰωνίου ζωῆς μέτοχοι καί τῆς ἀπολαύσεως τῶν ἀπορρήτων ἀγαθῶν κληρονόμοι γενώμεθα ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα εἰς τούς αἰῶνας. Ἀμήν.

## Λόγος ΚΗ΄. Περί τῆς ἐκ τοῦ Πνεύματος ἐγγινομένης τοῖς ἀγωνιζομένοις καί πρό τοῦ θανάτου ζωοποιοῦ νεκρώσεως. Καί ὅτι οἱ ἐν τῇ χάριτι ὑπέρ τόν νόμον γενόμενοι τήν τοῦ θείου φωτός χάριν γνωστῶς ἐν ἑαυτοῖς λαμβάνουσιν· οἱ γάρ μή λαβόντες ἤδη τοῦτο τό φῶς κατά τήν παροῦσαν ζωήν, μηδέ καθορῶντες αὐτό, ἔτι ὑπό τήν σκιάν τοῦ νόμου εἰσί καί κριθήσονται ὑπ’ αὐτοῦ. Καί ὁποῖον δεῖ εἶναι τόν τε προηγούμενον καί τόν ἱερέα, τόν δεσμεῖν καί λύειν ἄνωθεν λαβόντα τήν ἐξουσίαν. Καί ὅτι τῷ ἀληθῶς ἱερουργοῦντι καί ὑπό τοῦ θείου καταλαμπομένῳ φωτός πάντες κατάδηλοι, αὐτοί τε οἱ Πνεύματι περιπατοῦντες Θεοῦ καί οἱ μήπω τόν χοϊκόν ἐκδυσάμενοι ἄνθρωπον.

Ἀδελφοί καί πατέρες, βλέπετε πῶς ἀκούετε. Φησί γάρ ὁ Χριστός καί Θεός· «*Ἐρευνᾶτε τάς Γραφάς*». - Ἵνα τί φησίν; Ἵνα ἐν πρώτοις μέν τήν ἐπί σωτηρίαν ἄγουσαν ὁδόν διδαχθῶμεν, ἔπειτα καί διά τῆς πράξεως τῶν ἐντολῶν ἀμεταστρέπτως βαδίσαντες, ἐπ’ αὐτην τήν σωτηρίαν τῶν ψυχῶν ἡμῶν καταντήσωμεν. Τίς οὖν ἐστιν ἡ σωτηρία ἡμῶν; Ἰησοῦς ὁ Χριστός, καθώς ὁ ἄγγελος ἐπιστάς τοῖς ποιμέσιν ἔλεγεν· «*Ἰδού εὐαγγελίζομαι ὑμῖν χαράν μεγάλην, ἥτις ἔσται παντί τῷ λαῷ, ὅτι ἐτέχθη ὑμῖν σήμερον Σωτήρ, ὅς ἐστι Χριστός Κύριος ἐν πόλει Δαυίδ*». Σπεύσωμεν οὖν ἕκαστος ἡμῶν, ἀγαπητοί, δράμωμεν εὐτόνως μηδέν φορτικόν ἤ βιωτικόν ἤ δυσβάστακτον ἐπιφερόμενοι, ἵνα μή σχολαιότερον βαδίζειν ἐκ τούτου ἀναγκαζόμενοι, οὐ δυνηθῶμεν φθάσαι καί εἰσελθεῖν ἐν τῇ πόλει Δαβίδ. Παρακαλῶ ὑμᾶς διά τῆς ἐνεργούσης ἐν ὑμῖν χάριτος μή ἀμελῆσαι τῆς σωτηρίας ὑμῶν, ἀλλά ἀναστάντες ὡς ἐξ ὕπνου τῆς πονηρᾶς οἰήσεως καί ἀμελείας, μή στῶμεν μηδέ καθίσωμεν ἕως ἄν ἔξω τοῦ κόσμου γενώμεθα καί τόν Σωτῆρα ἡμῶν καί Θεόν εὑρόντες καί κατιδόντες ἐκεῖ, προσκυνήσωμεν αὐτῷ καί προσπέσωμεν, καί μηδέ μέχρι τουτου στῶμεν, ἀλλ’ ἕως οὗ κἀκεῖνος πρός ἡμᾶς εἴπῃ· «*Ὑμεῖς οὐκ ἐστέ ἐκ τοῦ κόσμου, ἀλλ’ ἐγώ ἐξελεξάμην ὑμᾶς ἐκ τοῦ κόσμου*».

Πῶς δέ τις ἔρχεται εἰς τό μή εἶναι ἐκ τοῦ κόσμου; Ἐάν ἑαυτόν σταυρώσῃ τῷ κόσμῳ καί τόν κόσμον ἑαυτῷ, καθώς καί ὁ Παῦλός φησιν· «*Ἐμοί κόσμος ἐσταύρωται κἀγώ τῷ κόσμῳ*». Καί τί ταῦτα, φησί, πρός ἐκεῖνα συνᾴδει τά ῥήματα; - Τά μέν ῥήματα, φησίν, ἄλλα, ἡ δέ δύναμις τῶν ἀμφοτέρων μία καί ἡ αὐτή. Ὥσπερ γάρ ὁ ἔξω τῆς οἰκίας ὤν, τούς ἔνδοθεν ἐγκεκλεισμένους οὐ καθορᾷ, οὕτως οὐδέ ὁ ἐσταυρωμένος τῷ κόσμῳ ἤτοι νενεκρωμένος αἴσθησίν τινα πρός τά ἐν κόσμῳ πράγματα κέκτηται. Καί ὥσπερ πάλιν τό νεκρόν σῶμα οὔτε πρός τά ζῶντα οὔτε πρός τά σύν αὐτῷ νεκρά κείμενα σώματα τήν

οἱανοῦν αἴσθησιν ἔχει, οὕτως οὐδέ ὁ ἔξω τοῦ κόσμου ἐν Πνεύματι Θείῳ γεγονώς καί σύν Θεῷ ὤν δύναται πρός τόν κόσμον αἴσθησιν ἔχειν ἤ πρός τά τοῦ κόσμου πράγματα.

Οὕτω τοιγαροῦν, ἀδελφοί, καί πρό θανάτου θάνατος καί πρό τῆς ἀναστάσεως τῶν σωμάτων ψυχῶν ἀνάστασις γίνεται ἔργῳ καί δυνάμει καί πείρᾳ καί ἀληθείᾳ. Τοῦ θνητοῦ γάρ φρονήματος ὑπό τοῦ ἀθανάτου νοός ἐξαφανιζομένου καί τῆς νεκρότητος ὑπό τῆς ζωῆς διωκομένης ἡ ψυχή τότε, ὡς ἐκ νεκρῶν ἀναστᾶσα, ἑαυτήν ὁμολογουμένως ὁρᾷ, καθάπερ οἱ ἐξ ὕπνου ἀναστάντες ἑαυτούς βλέπουσι, καί τόν αὐτήν ἀναστήσαντα ἐπιγινώσκει Θεόν, ὅν κατανοοῦσα καί ᾧ εὐχαριστοῦσα, προσκυνεῖ καί δοξολογεῖ τήν ἄπειρον αὐτοῦ ἀγαθότητα. Τό δέ σῶμα οὐκ ἔχει πρός τάς ἰδίας ἐπιθυμίας τήν οἱανοῦν ἔμπνευσιν ἤ κίνησιν ἤ ἐνθύμησιν, ἀλλά νεκρόν ὅλον καί ἄπνουν ἐν τούτοις γίνεται.

Ἔστιν ὅτε καί αὐτῶν εἰπεῖν πολλάκις τῶν κατά φύσιν ὁ ἄνθρωπος ἐπιλανθάνεται τηνικαῦτα διά τό ἐν τοῖς ὑπέρ φύσιν ἀεί ἐνδιατρίβειν νοερῶς τήν ψυχήν. Καί εἰκότως· «*Πνεύματι γάρ, φησί, περιπατεῖτε καί ἐπιθυμίαν σαρκός οὐ μή τελέσητε*». Νεκρά γάρ ἡ σάρξ, ὥσπερ εἴρηται, διά τῆς ἐπιφοιτήσεως γινομένη τοῦ Πνεύματος, ἀνενοχλήτους ἡμᾶς τοῦ λοιποῦ ἐάσει καί ἀνεμποδίστως βιώσετε, ἐπειδή «*νόμος τῷ δικαίῳ οὐ κεῖται*», κατά τόν θεῖον ἀπόστολον, ὡς ὑπέρ νόμον δηλονότι πολιτευομένῳ. «*Ὅπου γάρ, φησί, Πνεῦμα Κυρίου, ἐκεῖ ἐλευθερία*», ἐλευθερία ἐκ τῆς τοῦ νόμου πάντως δουλείας. Ὁ γάρ νόμος ὁδηγός καί παιδαγωγός καί χειραγωγός καί διδάσκαλος δικαιοσύνης ἐστίν ἐν τῷ λέγειν· «*Ποιήσεις τό καί το*» καί αὖθις· «*Τό καί τό οὐ ποιήσεις*», ἡ δέ χάρις καί ἡ ἀλήθεια οὐχ οὕτως, ἀλλά πῶς; «*Καί ποιήσεις πάντα καί εἴπῃς κατά τήν δοθεῖσάν σοι χάριν καί λαλοῦσαν ἐν σοί*» καθά γέγραπται «*Καί ἔσονται πάντες διδακτοί Θεοῦ*», οὐ διά γραμμάτων καί χαραγμάτων τό καλόν ἐμανθάνοντες ἀλλ’ ἐν Ἁγίῳ Πνεύματι τοῦτο ἐκδιδασκόμενοι, οὐδέ ἐν λόγῳ μόνῳ ἀλλ’ ἐν φωτί λόγου καί ἐν λόγῳ φωτός μυστικῶς τά θεῖα μυούμενοι. «*Τηνικαῦτα γάρ καί ἑαυτοῖς καί τοῖς πλησίον, φησί, διδάσκαλοι ἔσεσθε, οὐ μήν ἀλλά καί φῶς τοῦ κόσμου καί ἅλας τῆς γῆς*».

Οἱ οὖν πρό τῆς χάριτος ὡς ὑπό νόμον ὄντες, καί ὑπό τήν αὐτοῦ σκιάν ὑπῆρχον καθήμενοι· οἱ δέ μετά τήν χάριν καί ἡμέραν γενόμενοι, τῆς σκιᾶς ἤτοι τῆς δουλείας τοῦ νόμου ἠλευθερώθησαν, ὑπεράνω δηλονότι γεγονότες αὐτοῦ, ὡς διά κλίμακός τινος, τῆς εὐαγγελικῆς πολιτείας, εἰς ὕψος ἀρθέντες καί τῷ νομοθέτῃ συμβιοτεύοντες, νομοθέται καί αὐτοί μᾶλλον ὄντες ἤ νόμου φύλακες.

Ἆρά γε ἐστίν ὅς ἔχει ὦτα ἀκούειν, ἵνα δυνηθῇ τῶν ὑπό τοῦ Πνεύματος λεγομένων ἐνωτισθῆναι τήν δύναμιν; Ἆρα καί νῦν ἐστιν ὁ νοῦν κεκτημένος Χριστοῦ, ἵνα νοήσῃ καλῶς καί θεοπρεπῶς τά ὑπό τούτου γραφόμενα; Ἆρα καί νῦν εὑρεθήσεταί τις ἔχων λαλοῦντα ἐν αὐτῷ τόν Χριστόν, ἵνα καλῶς ἰσχύσῃ διερμηνεῦσαι τά ἐγκεκρυμμένα τοῖς λόγοις μυστήρια; «*Σοφίαν γάρ λαλοῦμεν, φησίν, οὐ τοῦ αἰῶνος τούτου τήν καταργουμένην, ἀλλά σοφίαν ἐν μυστηρίῳ, τήν ἀποκεκρυμμένην*» μέν τοῖς πολλοῖς, ἡμῖν δέ καί λίαν ἀποκαλυπτομένην καί γινωσκομένην, τοῖς τῷ φόβῳ τοῦ Θεοῦ

στοιχειουμένοις καί ἀεί βλέπουσι πρός αὐτόν.Οὐ γάρ ὅ οὐκ οἴδαμεν λαλοῦμεν, ἀλλ᾽ ὅ εἴδαμεν μαρτυροῦμεν, ὅτι τό φῶς ἐν τῇ σκοτίᾳ ἤδη φαίνει καί ἐν νυκτί καί ἐν ἡμέρᾳ καί ἐντός καί ἐκτός, ἐντός μέν ἐν ταῖς καρδίαις ἡμῶν, ἐκτός δέ ἐν τῷ νοΐ περιλάμπον ἡμᾶς ἀνεσπέρως, ἀτρέπτως, ἀναλλοιώτως, ἀσχηματίστως, λαλοῦν, ἐνεργοῦν, ζῶν καί ζωοποιοῦν καί φῶς τούς λαμπομένους ἀπεργαζόμενον. Ἡμεῖς μαρτυροῦμεν ὅτι ὁ Θεός φῶς ἐστι, καί οἱ αὐτόν καταξιωθέντες ἰδεῖν πάντες ὡς φῶς ἐθεάσαντο, καί οἱ λαβόντες αὐτόν ὡς φῶς αὐτόν ἔλαβον, ὅτι προπορεύεται ἔμπροσθεν αὐτοῦ τό φῶς τῆς δόξης αὐτοῦ καί δίχα φωτός ἀμήχανόν ἐστι φανῆναι αὐτόν, καί οἱ μή ἰδόντες τό φῶς αὐτοῦ οὐδέ ἐκεῖνον εἶδον, ὅτι ἐκεῖνος φῶς ἐστι, καί οἱ μή λαβόντες τό φῶς οὔπω τήν χάριν ἔλαβον· οἱ γάρ τήν χάριν λαβόντες φῶς Θεοῦ καί Θεόν ἔλαβον, καθώς εἶπε τό φῶς, ὁ Χριστός· «*Ἐνοικήσω ἐν αὐτοῖς καί ἐμπεριπατήσω*».

Οἱ δέ μήπω τοῦτο παθόντες ἤ ἀξιωθέντες, πάντες οἱ τοιοῦτοι ὑπό τόν πρό τῆς χάριτος νόμον εἰσί, δοῦλοι καί μαθηταί δούλων καί ἀκροαταί νόμου καί τέκνα παιδίσκης καί υἱοί σκότους τυγχάνουσι, κἄν βασιλεῖς κἄν πατριάρχαι, κἄν ἀρχιερεῖς κἄν ἱερεῖς, κἄν ἄρχοντες κἄν ἀρχόμενοι, κἄν λαϊκοί κἄν μονάζοντες, κἄν ἀσκηταί κἄν ἡγούμενοι, κἄν πτωχοί κἄν πλούσιοι, κἄν ἀσθενεῖς κἄν ὑγιεῖς τῷ σώματι πέλωσι. Πάντες γάρ οἱ ἐν σκότει καθήμενοι υἱοί σκότους εἰσι καί μετανοῆσαι βούλονται. Ἡ γάρ μετάνοια θύρα ἐστίν ἐξάγουσα ἀπό τοῦ σκότους καί εἰσάγουσα εἰς τό φῶς. Ὁ οὖν πρός τό φῶς μή εἰσελθών οὐ διῆλθε τήν θύραν τῆς μετανοίας καλῶς· εἰ γάρ διῆλθεν, ἐγένετο ἄν ἐν φωτί. Ὁ δέ μή μετανοῶν ἁμαρτάνει, διότι οὐ μετανοεῖ· «*Τῷ γάρ εἰδότι καλόν ποιεῖν καί μή ποιοῦντι, φησίν, ἁμαρτία αὐτῷ ἐστιν*». Ὁ δέ ποιῶν τήν ἁμαρτίαν δοῦλός ἐστι τῆς ἁμαρτίας καί μισεῖ τό φῶς καί οὐκ ἔρχεται πρός τό φῶς, ἵνα μή φανερωθῇ αὐτοῦ τά ἔργα. Νῦν μέν γάρ ἑκουσίως καί αὐτοπροαιρέτως διά μετανοίας εἰσερχόμενοι πρός τό φῶς, ἐλεγχόμεθα μέν καί κρινόμεθα, ἀλλά μυστικῶς τοῦτο καί ἀποκεκρυμμένως ἐν τῷ ἐνδοτέρῳ ταμείῳ τῶν ψυχῶν ἡμῶν πρός καθαρισμόν μέν καί ἄφεσιν τῶν ἁμαρτημάτων ἡμῶν, ἐλέει καί φιλανθρωπίᾳ Θεοῦ, ὑφιστάμεθα, μόνου δηλαδή Θεοῦ - καί ἡμῶν - τά καθ᾽ ἡμᾶς ἐπισταμένου καί βλέποντος· τότε δέ, ἤγουν ἐν τῇ παρουσίᾳ τοῦ Κυρίου, πρός τούς μή θέλοντας νῦν ἐλθεῖν πρός τό φῶς, ἀλλά μισοῦντας αὐτό, τό ἄρτι κρυπτόμενον φῶς ἀποκαλυφθήσεται καί τά κρυπτά τούτουν πάντα φανερά γενησονται. Καί οἷοί ἐσμεν ἕκαστος ἡμῶν νυνί τῶν ἀνθρώπων, ἑαυτούς περικρύπτοντες καί διά μετανοίας φανερῶσαι τά ἑαυτῶν μή βουλόμενοι, τότε ὑπό τοῦ φωτός δῆλοι καί φανεροί Θεῷ καί τοῖς πᾶσι γενώμεθά τε καί γενησόμεθα.

Καί θέα μοι ἐνταῦθα τῆς αἰσχύνης τό μέγεθος. Ὥσπερ γάρ ἐν οἰκίᾳ ἔνδον τάς θύρας ἐχούσῃ συγκεκλεισμένας, ἐάν ἐξ ἡμῶν τις ὑπάρχων καί ὡς παρά τινος τῶν ἔξωθεν μή καθορώμενος, ἀφειδῶς ἁμαρτάνει, μοιχείας δῆθεν ποιῶν καί παιδοφθορίας ἤ ἕτερά τινα μυσαρά ἐργαζόμενος, εἶτα φανερωθείς αἴφνης τό πονηρόν ἐργαζόμενος, μεγάλην τήν αἰσχύνην ὑφίσταται· ἤ καί πάλιν ἄλλως, ἐάν κατά τοῦ βασιλέως τις μελετᾷ καί τά κατ᾽ αὐτοῦ ἐγγράφως ἐκτίθησιν ἤ ἐάν λέγῃ τι καί βουλεύηται τῶν μή δεόντων ἁπλῶς, ἔνδον, ὡς εἴρηται, κεκρυμμένος οἰκίας -, εἶτα τοῦ βασιλέως μετά τῆς συγκλήτου ἁπάσης καί τῆς

συνήθους ἄλλης δορυφορίας ἐπιστάντος καί τήν οἰκίαν περικυκλώσαντος, αἴφνης τοῦ οἰκήματος ἀρθέντος ὅλου, αὐτός φανερωθῇ καί πάντα αὐτοῦ τά βουλεύματα, μεγάλην τήν τιμωρίαν καί τήν καταδίκην καθυπομένει, οὕτω καί τότε τόν αὐτόν τρόπον εἰς πάντας τούς ἐν τῷ κόσμῳ γενήσεται· καί νύξ μέν ὡς ἡμέρα φωτισθήσεται, οἰκία δέ πᾶσα καί σπήλαιον καί οὐρανός αὐτός καί γῆ ἀρθήσονται, καί πάντες οἱ μή τόν Χριστόν ἐνδεδυμένοι, ἤγουν οἱ μή λαβόντες τό φῶς, ὡς προείπομεν, καί ἐν αὐτῷ προόντες καί φῶς ὄντες, γυμνοί φανήσονται καί πολλῆς τῆς αἰσχύνης πάντοθεν πληρωθήσονται. Οὐ μόνον δέ ἀλλά καί πᾶσα πρᾶξις ἑκάστου, καλή τε καί κακή, καί πᾶς λόγος καί πᾶσα ἔννοια καί ἐνθύμησις, ἡ ἀπ’ αὐτῆς δηλαδή τῆς γεννήσεως ἑκάστου ἡμῶν και μέχρις ἐσχάτης ἀναπνοῆς ἐν ἡμῖν γεννηθεῖσα, ἐκεῖ συνηγμένως τότε ἐν ἑκάστῳ τῶν ἀνθρώπων φανήσονται. Καί τίς ἄρα ἔσται ἡ σύγκρισις, ἀδελφοί, ταύτης καί μόνης τῆς αἰσχύνης τότε; Ἤ ποία τιμωρία μείζων τοῦ φόβου ἐκείνου καί τῆς ἐντροπῆς τοῖς τηνικαῦτα οὕτως εὑρισκομένοις, ὡς εἴρηται, σκοτεινοῖς καί δίχα τοῦ φωτίζοντος Πνεύματος; Ὁποῖον δέ τόν βίον, ὁποίαν τήν διαγωγήν ἕξει ὁ ἄνθρωπος, ὁ ἐν τῷ σκότει καθήμενος, ἵνα μή τῇ αἰφνιδίῳ τοῦ φωτός ἐπιλάμψει ῥύπος που διαλογισμοῦ ἤ πράξεώς τινος εὑρεθῇ ἐν αὐτῷ; Διό σπουδάσωμεν, ἀδελφοί μου, ἀπ’ ἐντεῦθεν ἤδη διά μετανοίας τήν στενήν πύλην εἰσελθεῖν καί τό ἔνδον ταύτης θεάσασθαι φῶς. Ναί, παρακαλῶ, μή ἐκκακήσωμεν τοῦ κρούειν καί τοῦ ζητεῖν καί τοῦ αἰτεῖσθαι πρό τοῦ ἀνοιγῆναι ἡμῖν καί δοθῆναι καί εἰσακουσθῆναι, ἔτι δέ καί μέχρις ἄν εἰσέλθωμεν καί λάβωμεν φῶς καί ἄσβεστον αὐτό σχῶμεν ἐν ταῖς καρδίαις ἡμῶν.

Ἀλλά μηδέ ἐξαπατῶμεν ἑαυτούς ἡμᾶς καί, ὀπίσω τῶν τῆς σαρκός ἡμῶν θελημάτων ἀκολουθοῦντες, ἐκπορνεύσωμεν ἐν τοῖς ἐπιτηδεύμασιν ἡμῶν, διδασκάλους ἡμᾶς ἑαυτούς καθιστῶντες, ἡγούμενοί τε καί ἀρχιερεῖς καί ἱερεῖς ἐν καταφρονήσει Θεοῦ καί τῆς ἑαυτῶν σωτηρίας δηλονότι γενόμενοι. Εἰ γάρ εἰπόντος Ἰησοῦ τῷ Νικοδήμῳ· «*Ἐάν μή τις γεννηθῇ ἄνωθεν, οὐ δύναται τήν βασιλείαν ἰδεῖν τοῦ Θεοῦ*», καί τοῦ Νικοδήμου ἀνταποκριθέντος αὐτῷ· «*Πῶς δύναται ἄνθρωπος γεννηθῆναι γέρων ὤν; Μή δύναται εἰς τήν κοιλίαν τῆς μητρός αὐτοῦ δεύτερον εἰσελθεῖν καί γεννηθῆναι;*» ἐμέμψατο αὐτόν ὁ Ἰησοῦς καί εἶπε· «*Σύ εἶ ὁ διδάσκαλος τοῦ Ἰσραήλ καί ταῦτα οὐ γινώσκεις;*» καίτοι μήπω μηδαμῶς πιστεύσαντος μηδέ τά τῆς χάριτος ἐπισταμένου, πόσης ἄρα κατακρίσεώς ἐσμεν ἡμεῖς ἄξιοι, οἱ μετά τήν χάριν ὄντες διδάσκαλοι καί μή τά μυστήρια τῆς χάριτος ἐπιστάμενοι, οἱ τοσαύτης ἀπολαύσαντες διδασκαλίας καί καθ’ ἑκάστην δι’ ἀποστόλων καί προφητῶν καί διδασκάλων καί αὐτοῦ τοῦ Κυρίου διδασκόμενοί τε καί προμαρτυρούμενοι;

Εἰ γάρ οὐκ οἴδαμεν πῶς δεῖ ἡμᾶς ἐν τῷδε τῷ βίῳ ἀναστρέφεσθαι, οὐδέ ὅπως ἐν ἔργοις πρότερον ἀγαθοῖς ἐντρέφεσθαι δεῖ καί παριστάνειν ἑαυτούς ἡμᾶς δούλους τῇ δικαιοσύνῃ, ὡς ἐνώπιον Κυρίου καί οὐκ ἀνθρώπων ἱσταμένους καί ἀμέμπτως Θεῷ δουλεύειν ζῶντι συνταξαμένους, οὐδέ ὁποῖοί τε καί ποταποί ὀφείλομεν πρῶτον γίνεσθαι καί οὕτω τῶν ἄλλων προΐστασθαι, πῶς εἰπέ μοι, τοῦ δεσποτικοῦ ποιμνίου τήν φυλακήν ἐγχειρισθῶμεν καί ἐπιμέλειαν; Πῶς ποιμάνωμεν αὐτό κατά τό θέλημα τοῦ ἀρχιποιμένος

Χριστοῦ καί ἐπί νομάς ἐξαγάγωμεν αὐτό ἀειζώους; Ἀλλ’ ὤ τῆς πωρώσεως ἡμῶν καί τῆς τοῦ Θεοῦ καί τῶν θείων καταφρονήσεως! Ὥσπερ γάρ ἀσπίς τά ὦτα βύσαντες, ὡσεί κωφοί τε καί ἄλαλοι γεγονότες δίκην νεκρῶν καί πεπηρωμένοι ὄντες τά τῆς ψυχῆς αἰσθητήρια, οὐδέ τῶν λαλουμένων λαμβάνομεν αἴσθησιν, οὐδ’ ὅτι ποτέ ἐστι χριστιανισμός ἐπιστάμεθα, ἀλλά καί τό τῆς οἰκονομίας μυστήριον ἀγνοοῦντες καί ἀκριβῶς τά τῶν χριστιανῶν μυστήρια μή εἰδότες, ἀλλ’ ὡς περί τοῦ φωτός τῆς γνώσεως, μᾶλλον δέ αὐτό τό τῆς γνώσεως φῶς δεικνύειν τοῖς πολλοῖς ἀναισχύντως ἐπιχειροῦμεν. Ἡ γνῶσις οὐκ ἔστι τό φῶς, ἀλλά τό φῶς ἡ γνῶσις ὑπάρχει, ἐπειδή ἐν αὐτῷ καί δι’ αὐτοῦ καί ἐξ αὐτοῦ τά πάντα· οὗ ἡμεῖς τήν ὅρασιν ἀπαρνούμενοι, δήλους ἑαυτούς ποιοῦμεν μήτε γεννηθέντας μήτε εἰς φῶς τό ἄνωθεν προελθόντας, ἀλλ’ ἔτι ἔμβρυα ὄντες ἤ ἐκτρώματα, εἰπεῖν ἀληθέστερον, τοῖς ἱερεῖς τόποις ἐπιπηδῶμεν καί τῶν ἀποστολικῶν ἐπιβατεύομεν θρόνων καί, τό δή χαλεπώτερον, χρήμασιν οἱ πλείους τήν ἱερωσύνην ἀφοβίᾳ Θεοῦ ἐξωνούμεθα καί τῆς βασιλικῆς ποίμνης ὡς ποιμένες, οἱ μηδέ ἄρνες ποτέ γεγονότες, ζητοῦμεν προΐστασθαι· καί ταῦτα πρός τό μόνον ἐμπλῆσαι δίκην θηρῶν τάς ἑαυτῶν γαστέρας καί τἆλλα πάντα τελέσαι ὅσαπερ ἡ ἔφεσις τοῦ χείρονος ἀπαιτεῖ καί ἡ πρός τά κάτω ἐπιθυμία καί ὄρεξις.

Οὕτως ὑπῆρχον ἐξ ἀρχῆς, ἀδελφοί, οἱ ἀπόστολοι; Οὕτως οἱ τῶν ἀποστόλων διάδοχοι; Οὕτως οἱ πατέρες ἡμῶν καί διδάσκαλοι; Βαβαί τῆς τόλμης τῶν τοιούτων τῆς φοβερᾶς, ὅτι οὐ μόνον εἰς τά χρήματα προδόται τά αἰσθητά καί ἱερόσυλοι γίνονται, οἱ πρός μόνον τό γλωσσόκομον ἀπονεύοντες, ἀλλα καί αὐτοῦ τοῦ θείου πλούτου κατατολμῶσιν ἐφάψασθαι, ὅθεν οὐδέ αἰσχύνονται λέγειν· «*Ἡμέτερόν ἐστι τό δεσμεῖν καί λύειν, καί τοῦτο κατά τήν παροῦσαν ἐλάβομεν ζωήν ἡμεῖς ἄνωθεν*». Ὦ τῆς ἀναισχυντίας, ἵνα μή λέγω τῆς ἐσχάτης παραπληξίας! Ἀπό τίνος, ὦ οὗτος, εἰπέ μοι, καί διατί τήν ἐξουσίαν ταύτην ἄνωθεν ἔλαβες; Ὅτι πάντα καταλιπών τῷ Χριστῷ ἠκολούθησας; Ὅτι τῆς ἐπιγείου δόξης καταπεφρόνηκας; Ὅτι ταπεινός τῷ πνεύματι γέγονας; Ὅτι πάντα πωλήσας τοῖς πένησι δέδωκας; Ὅτι τήν σεαυτοῦ ψυχήν ἀπώλεσας ἤτοι τῷ κόσμῳ ἐνέκρωσας καί ἐν οὐδενί σαρκός θελήματι ταύτην εὕρηκας; Ἤ καί σύ, ὥσπερ πάλαι οἱ μαθηταί τοῦ Χριστοῦ, ἤκουσας παρ’ αὐτοῦ, ἐμφυσήσαντός σοι δηλονότι καί εἰπόντος· «*Λάβε Πνεῦμα Ἅγιον! Ἄν τινων ἀφήσῃς τάς ἁμαρτίας, ἀφίενται αὐτοῖς· ἄν τινων κρατήσῃς, ἐπισχεθήσονται*»;

«*Ἀλλά τῶν ἱερέων ἡ ἐξουσία*» φησίν. Οἶδα κἀγώ· τοῦτο γάρ ἀληθές. Οὐ πάντων δέ καί τῶν ἁπλῶς ἱερέων, ἀλλά τῶν ἐν πνεύματι ταπεινώσεως ἱερουργούντων τό Εὐαγγέλιον καί ἐν ἀμέμπτῳ βίῳ πολιτευομένων, τῶν ἑαυτούς πρότερον τῷ Κυρίῳ παραστησάντων καί θυσίαν τελείαν, ἁγίαν, εὐάρεστον, τήν καθαράν αὐτῶν λατρείαν ἐν τῷ ναῷ τοῦ ἑαυτῶν σώματος ἔνδον πνευματικῶς ἐπιδειξαμένων καί προσδεχθέντων καί ἐμφανισθέντων εἰς τό ἄνω θυσιαστήριον καί παρά τοῦ ἀρχιερέως Χριστοῦ προσφορά τελεία τῷ Θεῷ καί Πατρί προσενεχθέντων καί δυνάμει Πνεύματος Ἁγίου μεταποιηθέντων καί ἀλλαγέντων καί εἰς Χριστόν, τόν δι’ ἡμᾶς ἀποθανόντα καί ἐν δόξῃ ἀναστάντα Θεότητος, μεταμορφωθέντων· τῶν ἐν ταπεινώσει τελείᾳ νυκτός καί ἡμέρας

μετανοούντων καί πενθούντων καί μετά δακρύων οὐχ ὑπερ ἑαυτῶν μόνων δεομένων, ἀλλά καί ὑπέρ τῆς ἐμπιστευθείσης αὐτοῖς ποίμνης καί ὑπέρ πασῶν τῶν ἐν τῷ κόσμῳ ἁγίων ἐκκλησιῶν τοῦ Θεοῦ· οὐ μόνον δέ, ἀλλά καί τῶν σφοδρῶς κλαιόντων ὑπέρ ἀλλοτρίων ἁμαρτημάτων ἐνώπιον τοῦ Θεοῦ, τῶν μηδέν πλέον τῆς ἀναγκαίας τροφῆς καταχρωμένων, μηδέ ἐν μηδενί θεραπείαν ἤ ἀπόλαυσιν ἐπιτηδευόντων τοῦ σώματος ἀλλά, καθώς γέγραπται, «*πνεύματι περιπατούντων καί ἐπιθυμίαν μή ἐπιτελούντων σαρκός*»· ἔτι δέ τῶν μήτε πτωχόν μήτε πλούσιον μήτε ἄρχοντα μήτε ἀρχόμενον μήτε αὐτόν ἐκεῖνον τόν τό διάδημα περικείμενον ἕνεκα τοῦ δικαίου καί τῆς ἐντολῆς τοῦ Θεοῦ προτιμωμένων, τῶν μή προφάσει ἐλέους ἤ δώρων δόσεως ἕνεκα ἤ φόβου ἤ ἀγάπης ἤ τινος ἑτέρου ὁρωμένου ἤ ἀοράτου πράγματος καταμαλακιζομένων καί παραβλεπόντων ἤ παραβαινόντων τήν ἐντολήν τοῦ ἐπί πάντων Θεοῦ.

Τῶν τοιούτων ἐστί τό δεσμεῖν καί λύειν καί ἱερουργεῖν καί διδάσκειν, οὐχί δέ τῶν ἐξ ἀνθρώπων τήν ψῆφον καί τήν χειροτονίαν μόνον λαμβανόντων· «*οὐ γάρ ἀφ᾽ ἑαυτοῦ, φησί, τις τήν τιμήν λαμβάνει, ἀλλ᾽ ὁ ὑπό τοῦ Κυρίου καλούμενος*». Οὐκ εἶπεν· ὁ ἐξ ἀνθρώπων τήν ψῆφον δεχόμενος, ἀλλ᾽ ὁ ἐκ Θεοῦ εἰς τοῦτο προορισθείς καί προχειρισθείς. Οἱ γάρ ἐξ ἀνθρώπων καί δι᾽ ἀνθρώπων κλέπται εἰσί καί λησταί, καθώς εἶπεν ὁ Κύριος· «*Ἐγώ εἰμι ἡ θύρα. Πάντες ὅσοι ἦλθον καί ἔρχονται οὐ δι᾽ ἐμοῦ, ἀλλά ἀλλαχόθεν ἐπιβαίνοντες, κλέπται εἰσί καί λησταί*».

Μή οὖν πλανᾶσθε, ἀαδελφοί, ὁ ἐν σκότει διάγων ἔξω τῆς θύρας ἐστίν, ὁ δέ δοκῶν εἰσελθεῖν καί οὐ διά τοῦ φωτός εἰσελθών, ἔξω καί αὐτός τῆς μάνδρας ἐστίν. Εἰ γάρ φῶς τοῦ κόσμου καί θύρα ὁ Χριστός, φωτοειδής πάντως θύρα ἐστί καί οὐχί θύρα μόνον ἁπλῶς, καί ὁ ἐν ταύτῃ γεγονώς ἐν τῷ τοῦ κόσμου φωτί γέγονε. Φῶς δέ τοῦ κόσμου ἐστίν οὐχ ὡς αἰσθητῶς ὁρώμενος, ἀλλ᾽ ὡς νοερῶς θεωρούμενος. Ὁ γάρ αἰσθητός ἥλιος μόνον φωτίζει τά σωματικά ὄμματα οὐκ ἀνθρώπων ἀλλά καί ἀλόγων ζῴων, τετραπόδων ἅμα καί πετεινῶν· ὁ δέ νοητός ἥλιος, ὁ ἐν τῷ κόσμῳ ἐπιφανείς, ψυχάς λογικάς μόνον. Ἀλλ᾽ οὐδέ ταύτας ἀκρίτως πάσας καί ἀναξίως φωτίζειν οἶδεν· οὐ γάρ ἄψυχος ἤ, μᾶλλον εἰπεῖν, οὐκ ἄζωός ἐστιν, ὥσπερ οὐδέ δοῦλος ἤ κτίσμα εἰς ὑπηρεσίαν ἄλλων ταχθείς, καθά δή ὁ αἰσθητός οὗτος ἥλιος ἀνατέλλων ἐπί δικαίους καί ἀδίκους καί ἐπί πονηρούς ἅμα καί ἀγαθούς. Ἀλλ᾽ εἰ καί φῶς καλεῖται καί ἥλιος ὀνομάζεται, ἀλλά καί ὑπέρ φῶς ἅπαν καί ὑπέρ ἥλιον, ὡς φωτός καί ἡλίου ποιητής καί Δεσπότης, ὑπάρχει ζωή καί ζωοποιός, ἀλήθεια, δικαιοσύνη ἁγιασμός, ἁπλοῦς, ἀσύνθετος, ἀγαθός καί πᾶν ἀγαθόν καί ὑπέρ πᾶν ἀγαθόν. Ὡς οὖν ἀλήθεια καί ὤν καί καλούμενος, τοῖς ἀληθῶς ἐπιστρέφουσιν ἀλήθεια γίνεται· ὡς δέ δικαιοσύνη ὑπάρχων, τοῖς πᾶσαν ἀδικίαν μισήσασι δικαιοσύνη ἐστίν· ὡς ἁγιασμός , τοῖς ἐκπλυθεῖσι καί καθαρθεῖσι διά δακρύων· ὡς ἁπλοῦς, τοῖς μηδεμίαν πονηρίαν ἤ κακίαν ἔνδοθεν ἐπιφέρουσιν· ὡς ἀσύνθετος, τοῖς μηδεμίαν διπλόην ἤ διψυχίαν ἤ δυσπιστίαν ψυχῆς ἔχουσιν· ὡς ἀγαθός, τοῖς τῆς μετανοίας πνευματικοῖς ἔργοις σωματικάς τινας ἤ βιωτικάς μερίμνας καί φροντίδας μή συνεπαγομένοις καί τούτοις ἀναμιγνύουσι καί ἀναφύρουσιν αὐτάς, ἀλλά γυμνοῖς τῇ γνώμῃ καί τῇ τῆς ψυχῆς προθέσει ἐν ἀκακίᾳ προσερχομένοις αὐτῷ, ὧν καί ἀποδεχόμενος τό ἀπερίεργον παντός

ἀγαθοῦ συντόμως τούτους ἐμπλίπλησι καί τῶν ὑπέρ νοῦν καί ὑπέρ ἔννοιαν ἀγαθῶν κοινωνούς εὐθύς τῷ ἀποκαλυφθῆναι καί φανῆναι ἀποκαθίστησι.

«*Καί τίς, φησί, τούς τοιούτους, εἰ ἄρα τοιοῦτοί εἰσι καί νῦν, ἐπιγνώσεται;*». Ὁ ἄνωθεν ὑπό τοῦ Πνεύματος ἐλλαμπόμενος. Ὁ δέ λέγων καί μή γινώσκων αὐτούς, τί καί μαρτυρίαν παρά ἄλλων καταδέχεται δέξασθαι; Οὐκ οἶδεν ὅτι, κἄν ἀγνοῶν εἰσαγάγῃ λύκον εἰς τά πρόβατα τοῦ Χριστοῦ, αὐτός τῶν προβάτων τό κρῖμα λήψεται; «*Καί τίς γινώσκει, φησίν· ἄνθρωπος ὑπάρχει καί ἀγνοεῖ τά ἐν καρδίᾳ*». Εἰ μή τυφλός ἐστιν, οὐκ ἄν ἀγνοήσῃ τόν τοιοῦτόν ποτε. Πῶς γάρ ὁ βλέπων οὐ διαχωρίσει πρόβατον καί λύκον, ληστήν καί ποιμένα; Εἰ δέ τυφλός ἐστι πρός ταῦτα, χειραγωγόν καί ὁδηγόν ἐπιζητησάτω, μᾶλλον καί τῆς τοιαύτης ἐργασίας καί διακρίσεως παυσάσθω, μήτε ὁδηγός ἄλλων γενόμενος μήτε ὁδηγόν ἑτέροις ἀποκαθιστῶν, κἄν ὅλον ἔχῃ τόν κόσμον συμμαρτυροῦντα αὐτῷ. Τοῦτο γάρ ἐγώ λέγω, ὅτι ὁ βλέπων πνευματικῶς καί ἀκούων ὡσαύτως, ὅν ἄν ἴδῃ καί συντύχῃ καί πολλάκις προσομιλήσῃ, αὐτήν αὐτοῦ βλέπει τήν ψυχήν, εἰ καί μή κατ’ οὐσίαν, ἀλλά κατ’ ἰδέαν, ὁποία ἐστί καί ποταπή. Τοίνυν, εἰ καί Πνεύματος Ἁγίου μεταλαβεῖν κατηξιώθῃ, ἐξ αὐτῆς αὐτοῦ τῆς ὄψεως τοῦτο γινώσκει· εἰ δέ ἔτι ἀτελής ὁ βλεπόμενος πρός τήν χάριν ἐστί καί οὔπω θεοειδής ἐχρημάτισε, διά τῶν λόγων αὐτοῦ μᾶλλον ὁ τοῦτον βλέπων καί ὁμιλῶν ἐπιγνώσεται - καθά δή καί αὐτός ὁ Δεσπότης ἡμῶν καί Θεός ἀπεφήνατο εἰπών· «*Ἐκ τῶν καρπῶν αὐτῶν ἐπιγνώσεσθε αὐτούς*», καί πάλιν· «*Ὥσπερ δένδρον ἐκ τοῦ καρποῦ, οὕτως ἄνθρωπος ἐκ τοῦ λόγου αὐτοῦ ὁποῖός ἐστι γινώσκεται*»-, πλήν καί οὗτος παρά τῶν ὑγιαινόντων τόν λόγον καί τά τῆς ψυχῆς αἰσθητήρια· οἱ γάρ λοιποί τῶν ἀνθρώπων καί πρός αὐτά τά ἔργα ἀναισθήτως καί ἀδιακρίτως διάκεινται.

Νηστεύοντα γάρ τινά μετά κενοδοξίας ὁρῶντες ἀποδέχονται, καί τόν ἐσθίοντα μετά ταπεινώσεως κατακρίνουσιν. Ἄλλον ἐν ταπεινώσει ἐγκρατευόμενον ὑποκριτήν εἶναι λογίζονται, τόν δέ μετά γαστριμαργίας ἐσθίοντα ὡς ἁπλοῦν ἡγοῦνται καί ἀνεπιτήδευτον, ᾧ καί συνεσθίειν συχνοτέρως ἡδύνονται, τά ἑαυτῶν πάθη παραμυθούμενοι. Ἀλλά γάρ καί τούς τόν σαλόν ὑποκρινομένους καί ἀστεῖα καί φλυαρίας λέγοντας ἀκαίρως, σχήματά τε ἀπρεπῆ διαπραττομένους καί τούς λοιπούς κινοῦντας πρός γέλωτα, ὡς τήν ἀρετήν αὐτῶν καί ἀπάθειαν διά τῶν τοιούτων δῆθεν ἐπιτηδευμάτων καί σχημάτων καί λόγων καλύπτειν σπουδάζοντας λογισάμενοι, ὡς ἀπαθεῖς καί ἁγίους τιμῶσι, τούς δέ ἐν εὐλαβείᾳ καί ἀρετῇ καί ἀφελότητι καρδίας διάγοντας καί ἁγίους τῷ ὄντι πέλοντας, ὡς οἷα δή τῶν ἄλλων ἀνθρώπων ἕνα παραλογίζονταί τε καί παρατρέχουσιν. Ἄλλοι πάλιν τόν λάλον καί ἐπιδεικτικόν διδακτικόν μᾶλλον καί πνευματικόν εἶναι λογίζονται, τόν δέ σιωπηλόν καί περί ἀργολογίαν ἀκριβαζόμενον ἄγροικον καί ἄφωνον ἀποφαίνονται. Ἕτεροι τόν ἐν Πνεύματι Ἁγίῳ φθεγγόμενον ὡς ὑψηλόφρονα καί ὑπερήφανον ἀποστρέφονται, τοῖς λόγοις αὐτοῦ πληττόμενοι μᾶλλον ἤ κατανυσσόμενοι, τόν δέ ἀπό κοιλίας ἤ ἐκ μαθημάτων τορνολογοῦντα καί τῆς αὐτῶν σωτηρίας καταψευδόμενον ὑπερεπαινοῦσι καί ἀποδέχονται. Καί οὕτως οὐδείς ἐν τοῖς τοιούτοις ἐστίν ὁ καλῶς καί ὡς ἔχει τό πρᾶγμα ἰδεῖν καί διακρῖναι δυνάμενος.

Ὁ γάρ ἅπαξ τυφλός πρός πάντα τυφλός ἐστιν, οὕτω καί ὁ κωφός ὤν πρός πάντα κωφός ἐστιν. Οὐ γάρ ὁ τυφλός τόν μέν ὁρᾷ, τόν δέ οὔ, οὐδέ ὁ κωφός τοῦ μέν ἀκούει τῆς φωνῆς, τοῦ δέ οὔ, ἀλλά καθόλου κἀκεῖνος καί οὗτος πηροί τάς αἰσθήσεις εἰσίν. Οὕτω τοιγαροῦν πᾶς ἀναίσθητος πρός τό ἕν πρός πάντα ἀναίσθητός ἐστιν, ὡς καί ὁ ἔχων αἴσθησιν πρός τό ἕν ἐν αἰσθήσει πάντων ἐστί καί τῆς αἰσθήσεως αὐτῶν ἐκτός ἐστιν. Ἐν τῇ αἰσθήσει τῶν πάντων ἐστί καί ὑπό τῆς αἰσθήσεως αὐτῶν οὐ καταλαμβάνεται. Ὁ κωφός πρός τόν λόγον κωφός πρός πᾶσαν φωνήν ἐστιν, ὡς καί ὁ ἀκούων τοῦ λόγου τῶν πάντων ἀκούει. Οὗτος κωφεύων ἐστί πρός πᾶσαν φωνή· πάντων ἀκούει καί οὐδενός, εἰ μή τῶν ἐν λόγῳ μόνων τούς λόγους ποιουμένων, καί οὐδ᾽ αὐτῶν ἀλλά τοῦ λόγου μόνου, τοῦ ἐν τῇ φωνῇ ἀφώνως φθεγγομένου. Ὁ τυφλός πρός τό ἕν τυφλός ὅλως πρός πάντα ἐστίν, ὁ δέ βλέπων ἐν τῷ ἑνί ἐν θεωρίᾳ τῶν πάντων ἐστί καί τῆς θεωρίας τῶν πάντων ἀπέχεται καί ἐν τῇ θεωρίᾳ τῶν πάντων γίνεται καί ἔξω τῶν θεωρουμένων ἐστίν. Ἐν τῷ ἑνί οὗτος ὤν τά πάντα ὁρᾷ, καί ἐν πᾶσιν ὤν οὐδέν τῶν πάντων ὁρᾷ. Οὕτως οὖν ὁ βλέπων ἐν τῷ ἑνί διά τοῦ ἑνός καί ἑαυτόν καί πάντας καί ἅπαντα καθορᾷ, καί κεκρυμμένος ὤν καί ἐν αὐτῷ οὐδέν τῶν πάντων ὁρᾷ. Ὁ τοίνυν ἀκούων καί βλέπων καί αἰσθανόμενος οἶδε τῶν λεγομένων τήν δύναμιν, ὁ δέ μή εἰδώς πρόδηλός ἐστιν ὅτι οὔτε τά αἰσθητήρια τῆς ψυχῆς τετρανωμένα καί ὑγιᾶ ἐπιφέρεται. Ὁ δέ οὕτως ἔχων οὔπω ἔγνω ὅτι «*προσκυνητής μικτός ἐστιν, ἐπίγειος καί οὐράνιος, πρόσκαιρος καί ἀθάνατος, βασιλεύων τῶν ἐπί γῆς, βασιλευόμενος ἄνωθεν, ἐπόπτης τῆς ὁρωμένης κτίσεως, μύστης τῆς νοουμένης*», ὥς πού τίς φησιν ἐν θεολογίᾳ βεβοημένος. Ἀλλ᾽ ἐν τιμῇ ὤν παρασυνεβλήθη τοῖς κτήνεσι τοῖς ἀνοήτοις καί ὡμοιώθη αὐτοῖς, καί ὁμοιωθείς μένει τοιοῦτος ἔτι, μή ἐπαναστραφείς, μή ἐπανακληθείς ἤ ἐπί τό πρῶτον ἀξίωμα ἀναχθείς κατά τήν τῆς οἰκονομίας δωρεάν τοῦ Δεσπότου καί Κυρίου Ἰησοῦ Χριστοῦ, τοῦ Υἱοῦ τοῦ Θεοῦ. Ἔτι δέ κτῆνος ὤν ἄλογον, ὥσπερ Δαυιτικῶς εἴρηται, ὄνος, τυχόν, ἤ βοῦς ἤ χοῖρος, οἷς οἱ μαργαρῖται τῆς ἀπορρήτου γνώσεως οὐ δίδονται πρός Θεοῦ, τήν εἰκόνα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τοῦ ἐπουρανίου ἀνθρώπου τε καί Θεοῦ, ἐν τῷ λογικῷ καί νοερῷ ἀνθρώπῳ οὐδαμῶς ἐνεδύσατο. Ταύτην δέ μή εὐαισθήτως καί γνωστῶς ἐνδυσάμενος, αἷμα μόνον ἐστί καί σάρξ, πνευματικῆς δόξης αἴσθησιν μή δυνάμενος διά τοῦ λόγου λαβεῖν, καθάπερ καί οἱ ἐκ γεννητῆς τυφλοί διά λόγου μόνου τό τοῦ ἡλίου φῶς ἰδεῖν οὐ δύνανται. Ἀλλά δεῦτε οἱ τό φῶς τό νοητόν ἐν ἑαυτοῖς ἔχοντες, δῶμεν δόξαν δι᾽ αὐτοῦ τῷ Πατρί καί τῷ Υἱῷ καί τῷ Ἁγίῳ Πνεύματι, νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

# Λόγος ΚΘ΄. Περί τοῦ μή δεῖν λέγειν, ὅτι ἀδύνατον νῦν εἰς ἄκρον ἐλθεῖν ἀρετῆς τόν βουλόμενον καί τοῖς πάλαι ἁμιλληθῆναι ἁγίοις. Καί ὅτι πᾶς ὁ τά ἐναντία διδάσκων τῶν θείων Γραφῶν νέαν αἵρεσιν τοῖς πειθομένοις αὐτῷ δογματίζει. Καί περί δακρύων, ὅτι ἐκ φύσεως ἡμῖν τά δάκρυα πρόσεστι.

Ἀδελφοί καί πατέρες, πολλοί καθ' ἑκάστην λέγουσιν - ὧν ἀκούομεν καί ἡμεῖς λεγόντων - · «*Εἰ ἦμεν ἐν ταῖς ἡμέραις τῶν ἀποστόλων καί τόν Χριστόν, ὡς ἐκεῖνοι, κατιδεῖν ἠξιώθημεν, ἅγιοι ἄν ἐγενόμεθα καί ἡμεῖς ὡς ἐκεῖνοι*»- ἀγνοοῦντες ὅτι αὐτός ἐκεῖνος ἐστιν, ὁ καί τότε καί νῦν ἐν ὅλῳ τῷ κόσμῳ λαλῶν. Εἰ γάρ μή ὁ πάλαι καί νῦν ἐστιν ὁ αὐτός, ὡσαύτως ὤν κατά πάντα Θεός κἄν ταῖς ἐνεργείαις κἄν τοῖς τελέσμασι, πῶς ἐν Υἱῷ λέγων ἀεί φαίνεται ὁ Πατήρ καί ὁ Υἱός ἐν τῷ Πατρί διά Πνεύματος ταῦτα· «*Ὁ πατήρ μου ἕως ἄρτι ἐργάζεται κἀγώ ἐργάζομαι*»;

Ἀλλ' ἴσως ἐρεῖ τις· «*Οὐκ ἔστιν ἴσον τό ἐκεῖνον αὐτόν τότε σωματικῶς ἰδέσθαι καί τό ἀκούειν νῦν μόνον τῶν λόγων αὐτοῦ καί τά περί ἐκείνου καί τῆς βασιλείας αὐτοῦ ἐκδιδάσκεσθαι*». Κἀγώ φημι μή εἶναι πάντως ἴσον τό νῦν καί τό τότε, ἀλλά κατά πολύ τό ἄρτι καί τό νῦν μεῖζον καί εὐκόλως μᾶλλον πρός πίστιν πλείονα καί πληροφορίαν ἄγον ἡμᾶς ὑπέρ τό τότε σωματικῶς καί ἰδεῖν καί ἀκοῦσαι αὐτοῦ. Τότε μέν γάρ ἄνθρωπος τοῖς ἀγνώμοσιν Ἰουδαίοις ἐφαίνετο εὐτελής, νῦν δέ Θεός κηρύττεται ἡμῖν ἀληθής. Τότε τοῖς τελώναις καί τοῖς ἁμαρτωλοῖς συνανεστρέφετο σωματικῶς καί συνήσθιε, νῦν δέ ἐκ δεξιῶν κάθηται τοῦ Θεοῦ καί Πατρός, ὁ μηδέποτε καί μηδαμοῦ χωρισθείς αὐτοῦ, καί τόν κόσμον ἅπαντα τρέφειν πιστεύεται, καί χωρίς αὐτοῦ οὐδέν γίνεσθαι λέγομεν - εἰ δέ καί πιστεύομεν -. Τότε καί ὑπό τῶν εὐτελεστάτων κατεφρονεῖτο λεγόντων· «*Οὐχί οὗτός ἐστιν ὁ υἱός τῆς Μαρίας καί τοῦ τέκτονος Ἰωσήφ; νυνί δέ ὑπό βασιλέων καί ἀρχόντων ὡς τοῦ ἀληθινοῦ Θεοῦ Υἱός καί ἀληθής Θεός προσκυνεῖται, καί ἐδόξασε καί δοξάζει τούς προσκυνοῦντας αὐτόν ἐν πνεύματι καί ἀληθείᾳ - εἰ καί παιδεύει πολλάκις αὐτούς ἁμαρτάνοντας - σιδηροῦς αὐτούς ὑπέρ πάντα τά ἔθνη, τά ὑπό τόν οὐρανόν, ἀντί ὀστρακίνων ποιήσας. Τότε ὡς εἷς τῶν λοιπῶν ἀνθρώπων φθαρτός καί θνητός ἐνομίζετο, καί μέγα ἦν ἐν ἀνθρωπίνῳ σώματι ἀναλλοιώτως καί ἀτρέπτως τόν ἄμορφον καί ἀόρατον, μορφωθέντα Θεόν καί ἄνθρωπον ὅλον βλεπόμενον, μηδέν πλέον τῶν ἄλλων ἀνθρώπων ἐν τοῖς ὁρωμένοις ἔχοντα, ἀλλ' ἐσθίοντα καί πίνοντα καί κοιμώμενον, ἱδροῦντά τε καί κοπιῶντα καί τά ἀνθρώπινα πάντα πλήν ἁμαρτίας ποιοῦντα, τόν τοιοῦτον ἐπιγνῶναι καί πιστεῦσαι εἶναι Θεόν, τόν τόν οὐρανόν αὐτόν καί τήν γῆν καί τά ἐν αὐτοῖς πάντα ποιήσαντα*».

Διά γάρ τοῦτο καί τόν Πέτρον εἰπόντα ὅτι· «*Σύ εἶ ὁ Υἱός τοῦ Θεοῦ τοῦ ζῶντος*» ἐμακάρισεν ὁ Δεσπότης εἰπών· «*Μακάριος εἶ, Σίμων βάρ Ἰωνᾶ, ὅτι σάρξ καί αἷμα οὐκ*

*ἀπεκάλυψέ σοι - ταῦτα δηλονότι ἰδεῖν καί εἰπεῖν -, ἀλλ’ ὁ Πατήρ μου ὁ ἐν τοῖς οὐρανοῖς*». Ὥστε ὁ νῦν ἀκούων αὐτοῦ διά τῶν ἁγίων Εὐαγγελίων καθ’ ἑκάστην βοῶντος καί τό τοῦ εὐλογημένου Πατρός αὐτοῦ θέλημα διαγγέλοντος, καί μή φόβῳ καί τρόμῳ ὑπακούων αὐτοῦ καί φυλάττων τά παρ’ αὐτοῦ προστασσόμενα, οὐδέ τότε, εἰ καί παρῆν καί ἐκεῖνον αὐτόν ἐθεάσατο καί διδάσκοντα ἤκουσε, πιστεῦσαι αὐτῷ ὅλως ἠνέσχετο ἄν· δέος μή καί παντάπασιν ἀπιστήσας, ὡς ἀντίθεον αὐτόν καί οὐ Θεόν ἀληθινόν λογισάμενος, ἐβλασφήμησε.

Καί ταῦτα μέν οἱ πάντη τῶν ἄλλων παχύτεροι. Τί δέ οἱ τούτων σεμνότεροι; «*Εἰ ἦμεν, φησίν, ἐν τοῖς χρόνοις τῶν ἁγίων πατέρων, ἠγωνισάμεθα ἄν καί ἡμεῖς. Βλέποντες γάρ τήν ἀγαθήν αὐτῶν πολιτείαν καί τούς ἀγῶνας αὐτῶν, ἐζηλώσαμεν ἄν αὐτούς. Νυνί δέ μετά ῥαθύμων καί ἀμελῶν συναναστρεφόμενοι, συναπαγόμεθα τούτοις καί ἀβουλήτως συναπολλύμεθα*», - ἀγνοοῦντες, ὡς εἰκός, καί αὐτοί ὅτι ἐν λιμένι μᾶλλον ἡμεῖς ὑπέρ ἐκείνους ἐσμέν. Ἐν τοῖς χρόνοις τῶν πατέρων ἡμῶν πολλαί - ἀκουέτωσαν καί οὗτοι! - αἱρέσεις ὑπῆρχον, πολλοί ψευδόχριστοι, πολλοί χριστοκάπηλοι, πολλοί ψευδαπόστολοι, πολλοί ἦσαν ψευδοδιδάσκαλοι, παρρησίᾳ τά τοῦ πονηροῦ ζιζάνια περιϊόντες καί σπείροντες καί πολλούς τοῖς ἑαυτῶν συνήρπασαν λόγοις, ἐξαπαντήσαντες αὐτούς, καί αὐτῶν τάς ψυχάς ἀπωλείᾳ παρέπεμψαν.

Καί τοῦτο ἐκ τῶν τοῦ ἁγίου πατρός ἡμῶν Εὐθυμίου καί Ἀντωνίου βίων ἀληθές εἶναι εὑρήσετε. Γέγραπται γάρ τόν Ἀντώνιον τότε λαμπροτέραν στολήν ὑπέρ τήν συνήθη ἐνδυσάμενον καί ἐπί τόπου ὑψηλοῦ ἀνελθόντα φανερῶσαι ἑαυτόν καί ἐπιδείξασθαι, ἵνα ἐμφανής γεγονώς πάντως ὑπό τῶν αἱρετικῶν κρατηθῇ καί ἀναιρεθῇ· εἰ οὖν μή ἦν διωγμός, οὐκ ἄν τοῦτο ἐποίησεν. Ἐπί δέ τῇ γεννήσει τοῦ ἁγίου πατρός ἡμῶν Εὐθυμίου, οὐ γέγραπται εὐθυμίαν τηνικαῦτα πρυτανευθῆναι ταῖς ἐκκλησίαις παρά Θεοῦ, τῶν διωγμῶν δηλονότι τότε καταπαυθέντων καί τῶν αἱρέσεων; Ἐπί δέ τῷ τέλει τοῦ ὁσίου πατρός ἡμῶν Σάβα οὐκ ἀκούετε ὅσα ὑπέρ τῶν ἐκκλησιῶν καί κατά τῶν τότε αἱρέσεων ἠγωνίσατο, καί ὅσοι τότε τῶν μοναχῶν τοῖς αἱρετικοῖς συναπήχθησαν; Τά δέ ἐπί τοῦ ἁγίου Στεφάνου τοῦ Νέου γεγονότα, τί οὐ διωγμοῦ βαρυτάτου καί χαλεποῦ ὑπῆρχον; Ἤ οὐκ ἐννοεῖτε τόν τότε γεγονότα χειμῶνα καί τόν ὑπερβάλλοντα σάλον τῶν μοναχῶν; Τί δέ πειρῶμαι τά πάντα διεξελθεῖν; Ὅταν γάρ πρό τούτων ἀναμνημονεύσω τῶν ἐπί τοῦ μεγάλου Βασιλείου γεγονότων, ὡς ὁ μέγας διηγεῖται Γρηγόριος, καί τῶν ἐπί τοῦ χρυσορρήμονος Ἰωάννου καί τῶν καθεξῆς πατέρων ἁγίων, αὐτός τε ἐγώ ἐμαυτόν ταλανίζω καί τούς ταῦτα μή ἀναλογιζομένους κατελεῶ. Οὐ γάρ ἀκριβῶς ἐπίστανται ὅτι ἅπας ὁ παρελθών χρόνος δεινότερος ἦν καί τῶν ζιζανίων τοῦ πονηροῦ πεπλησμένος ἀναφανδόν.

Ὅμως οὖν, εἰ καί δεινά τά παρεληλυθότα, ἀλλά καί νῦν ἔχει πολλούς ὁ βίος αἱρετικούς, πολλούς λύκους, ἀσπίδας καί ὄφεις συναναστρεφομένους ἡμῖν, πλήν οὐκ ἔχοντας ἐξουσίαν τινά καθ’ ἡμῶν, ἀλλ’ οἷον ὑπό νύκτα εἰσίν οἱ τοιοῦτοι τῆς πονηρίας αὐτῶν· καί τούς μέν συνερχομένους καί ὑπό τό σκότος γινομένους αὐτῶν ἁρπάζουσί τε

καί κατεσθίουσι, τοῖς δέ ἐν τῷ γωτί περιπατοῦσι τῶν θείων Γραφῶν καί τῇ ὁδῷ πορευομένοις τῶν ἐντολῶν τοῦ Θεοῦ οὐδέ προσυπαντῆσαι τολμῶσιν, ἀλλά καί διερχομένους ἰδόντες ἀπό τοῦ προσώπου αὐτῶν ὡς ἀπό πυρός φεύγουσι.

Τίνας οὖν ἄρα ὑπενοήσατε εἰπεῖν με αἱρετικούς; Μή τούς ἀρνουμένους τόν Υἱόν τοῦ Θεοῦ; Μή τούς βλασφημοῦντας εἰς τό ἅγιον Πνεῦμα καί λέγοντας μή εἶναι τοῦτο Θεόν; Μή τούς μείζονα λέγοντας τοῦ Υἱοῦ τόν Πατέρα; Μή τούς τήν Τριάδα εἰς ἑνάδα συγχέοντας ἤ τόν ἕνα Θεόν εἰς τρεῖς θεούς διατέμνοντας; Μή τούς Υἱόν μέν εἶναι τοῦ Θεοῦ τόν Χριστόν λέγοντας, ἐκ γυναικός δέ λαβεῖν τήν σάρκα τοῦτον μή πιστεύοντας; Μή τούς σάρκα μέν αὐτόν ἀναλαβεῖν, ἀλλά ἄψυχον φλυαροῦντας; Μή τούς ἔμψυχον μέν ταύτην, ὡς ὅλον ἄνθρωπον, οὐχ ἕνα δέ κατά τήν ὑπόστασιν τόν Υἱόν τοῦ Θεοῦ, τόν καί Υἱόν τῆς Θεοτόκου Μαρίας χρηματίσαντα, Θεόν εἶναι λέγοντας, ἀλλ' εἰς δύο υἱούς τόν ἕνα Χριστόν διατέμνοντας; Ἀλλά μή τούς τῷ ἀνάρχῳ Πατρί ἀρχήν περιγράφοντας καί τό «*Ἦν, ὅτε οὐκ ἦν*» λέγοντας; Ἤ τούς τόν Πατέρα μέν ἄναρχον, τόν δέ Υἱόν, ὡς ἐξ αὐτοῦ γεννηθέντα, ἀρχήν μετά τινα χρόνον λαβεῖν ὡς κτίσμα, κακῶς καί νοοῦντας καί δογματίζοντας;

Οὐκ ἦν γάρ ποτε, φησίν, ὁ Πατήρ μή συνόντος αὐτῷ τοῦ Υἱοῦ· καί πῶς Πατήρ ὁ ἄπαις ὀνομασθήσεται; - Ἀλλά μή τούς ἄλλον μέν τόν παθόντα, ἄλλον δέ εἶναι τόν ἀναστάντα κηρύττοντας; Ἄπαγε! Οὐδένα τούτων σοι τῶν ἀσεβῶν καί ἀθέων, οὐδέ τῶν ἄλλων αἱρέσεών τινα λέγω, τῶν ὡς σκότος μέν φανέντων, ὑπό δέ τῶν τότε λαμψάντων ἁγίων πατέρων ἐξαφανισθέντων. Ἐπί τοσοῦτον γάρ ἡ χάρις τοῦ Παναγίου Πνεύματος ἔλαμψε δι' αὐτῶν καί τῶν εἰρημένων αἱρέσεων τό σκότος ἐδίωξεν, ὅτι καί μέχρι τοῦ νῦν τά θεόπνευστα αὐτῶν συγγράμματα λάμπουσιν ὑπέρ ἡλίου αὐγάς, ὡς μηδέ τολμᾶν αὐτοῖς τινα ἀντιφθέγγεσθαι.

Ἀλλά περί ἐκείνων λέγω καί ἐκείνους ὀνομάζω αἱρετικούς, τούς λέγοντας μή εἶναί τινα ἐν τοῖς καθ' ἡμᾶς χρόνοις καί ἐν μέσῳ ἡμῶν τόν δυνάμενον φυλάξαι τάς εὐαγγελικάς ἐντολάς καί κατά τούς ἁγίους γενέσθαι πατέρας· πρῶτον μέν πάντων πιστόν καί πρακτικόν - διά γάρ τῶν ἔργων ἡ πίστις δείκνυται, ὡς διά τοῦ ἐσόπτρου ἡ τοῦ προσώπου ἐμφέρεια-, ἔπειτα θεωρητικώτατόν τε ὁμοῦ καί θεόπτην, ἐν τῷ φωτισθῆναι δηλαδή καί λαβεῖν Πνεῦμα Ἅγιον καί δι' αὐτοῦ τόν Υἱόν σύν τῷ Πατρί κατιδεῖν. Οἱ τοίνυν τοῦτο ἀδύνατον εἶναι λέγοντες οὐ μερικήν τινα αἵρεσιν κέκτηνται, ἀλλά πάσας, εἰ οἷόν τε εἰπεῖν, ὡς ταύτης πάσας ἐκείνας τῇ ἀσεβείᾳ καί τῇ τῆς βλασφημίας ὑπερβολῇ ὑπεραιρούσης καί καλυπτούσης. Ὁ τοῦτο λέγων ἀνατρέπει πάσας τάς θείας Γραφάς. Εἰς μάτην, οἶμαι, λέγει ὁ μάταιος τό ἅγιον ἄρτι λέγεσθαι Εὐαγγέλιον, εἰς μάτην τάς τοῦ Μεγάλου Βασιλείου καί τῶν λοιπῶν ἱερέων καί ὁσίων πατέρων ἡμῶν γραφάς ἀναγινώσκεσθαι ἤ καί γραφῆναι διαμαρτύρεται. Εἰ οὖν ἅ ὁ Θεός λέγει καί πάντες οἱ ἅγιοι πρῶτον μέν ἅπαντα ἔπραξαν, εἶτα καί γράψαντες εἰς νουθεσίαν ἡμῶν κατέλιπον, ἀδύνατον ἡμῖν ἔργῳ ταῦτα ποιῆσαι καί ἀπαραλείπτως φυλάξαι, τί ὅτι καί τότε ἐκεῖνοι κοπιάσαντες ἔγραψαν καί νῦν ἐπί ἐκκλησίας ἀναγινώσκονται; Οἱ ταῦτα λέγοντες τόν

οὐρανόν, ὅν ὁ Χριστός ἡμῖν ἤνοιξε, κλείουσι καί τήν πρός ἐκεῖνον ἄνοδον, ἥν αὐτός ἐκεῖνος ἡμῖν ἐνεκαίνισε, διακόπτουσιν. Ἄνωθεν γάρ ἐκείνου τοῦ ἐπί πάντων Θεοῦ πρός τῇ πύλῃ οἱονεί τοῦ οὐρανοῦ ἱσταμένου καί διακύπτοντος καί ὑπό τῶν πιστῶν ὁρωμένου καί διά τοῦ ἁγίου Εὐαγγελίου βοῶντος καί λέγοντος· «*Δεῦτε πρός με πάντες οἱ κοπιῶντες καί πεφορτισμένοι κἀγώ ἀναπαύσω ὑμᾶς*», οἱ ἀντίθεοι οὗτοι ἤ, μᾶλλον εἰπεῖν, ἀντίχριστοι λέγουσιν· «*Ἀδύνατον τοῦτο, ἀδύνατον!* ».

Πρός οὕς εἰκότως ὁ Δεσπότης μεγαλοφώνως φησίν· «*Οὐαί ὑμῖν, γραμματεῖς καί φαρισαῖοι ! Οὐαί ὑμῖν ὁδηγοί τυφλοί τυφλῶν, ὅτι ὑμεῖς εἰς τήν βασιλείαν οὐκ εἰσέρχεσθε καί τούς θέλοντας εἰσελθεῖν κωλύετε*». Ἐκείνου τούς νῦν πενθοῦντας ἀναφανδόν μακαρίζοντος, οὗτοι ἀδύνατον φασιν καθ' ἑκάστην πενθεῖν καί κλαίειν τινά. Ὦ τῆς ἀναισθησίας καί τοῦ ἀπυλώτου στόματος, μιαράς ἐκπέμποντος κατά τοῦ Θεοῦ τοῦ Ὑψίστου φωνάς καί τά τοῦ Χριστοῦ πρόβατα ποιοῦντος γίνεσθαι θηριάλωτα, ὑπέρ ὧν αὐτός ὁ Μονογενής Υἱός τοῦ Θεοοῦ τό αἷμα ἐκένωσεν. Ὄντως καλῶς περί τῶν τοιούτων ὁ θεοπάτωρ λέγει Δαυίδ· «*Υἱοί ἀνθρώπων, οἱ ὀδόντες αὐτῶν ὅπλα καί βέλη· καί ἡ γλῶσσα αὐτῶν μάχαιρα ὀξεῖα*».

Διατί γάρ, εἰπέ μοι, ἀδύνατον; Διά τίνος δέ ἄλλου οἱ ἅγιοι ἐπί τῆς γῆς ἔλαμψαν καί φωστῆρες ἐν κόσμῳ γεγόνασιν; Εἰ ἦν ἀδύνατον, οὐδ' ἄν ἐκεῖνοι ταῦτα κατορθῶσαί ποτε ἠδυνήθησαν. Ἄνθρωποι γάρ ὑπῆρχον κἀκεῖνοι, ὡς καί ἡμεῖς, καί οὐδέν πλέον ἡμῶν ἐκέκτηντο, εἰ μή προαίρεσιν εἰς τό ἀγαθόν, σπουδήν τε καί ὑπομονήν καί ταπείνωσιν καί ἀγάπην πρός τόν Θεόν. Ταῦτα τοιγαροῦν κτῆσαι καί αὐτός, καί γενήσεταί σοι πηγή δακρύων ἡ νυνί πετρώδης ὑπάρχουσα ψυχή. Εἰ δέ σύ μή θέλεις θλιβῆναι καί στενοχωρηθῆναι, κἄν τό πρᾶγμα μή λέγε εἶναι ἀδύνατον. Ὁ γάρ τοῦτο λέγων ἀπαρνεῖται τήν κάθαρσιν· χωρίς γάρ δακρύων οὐκ ἠκούσθη ἀπό τοῦ αἰῶνος καθαρθῆναι ψυχήν τοῦ ῥύπου τῆς ἁμαρτίας, τήν μετά τό βάπτισμα ἁμαρτήσασαν. Διά γάρ τοῦ βαπτίσματος ἀφεῖλεν ὁ Θεός πᾶν δάκρυον ἀπό προσώπου τῆς γῆς, ἐκχέας τό Πνεῦμα τό Ἅγιον αὐτοῦ πλουσίως. Ἀλλά, ὡς παρά τῆς θείας Γραφῆς ἀκήκοα, καί ἐν αὐτῷ τῷ βαπτίσματι ἡλικιῶταί τινες βαπτιζόμενοι, τῇ ἐπελεύσει κατανυγέντες τοῦ Πνεύματος, ἐδάκρυσαν· οὐχί ἐνώδυνα καί ἐπίπονα δάκρυα, ἀλλ' ἐνεργείᾳ τοῦ Ἁγίου Πνεύματος καί δωρεᾷ τῇ ἐκείνου γλυκέα ὑπέρ μέλι, ἀπονητί πως καί ἀψοφητί διά τῶν ὀφθαλμῶν ταῦτα κενώσαντες. Οἱ οὖν καταξιωθέντες ποτέ ἐν πείρᾳ τοιούτων δακρύων γενέσθαι τά εἰρημένα γνωρίσουσι καί ἀληθῆ ταῦτα εἶναι συμμαρτυρήσουσιν, ὥς μοι καί ἡ θεολόγος συμμαρτυρήσει φωνή. Φησί γάρ· «*Προσφερέτω τις, ὁ μέν τόδε, ὁ δέ τόδε*», καί πολλά ἐν μέσῳ ἀπαριθμησάμενος, ὕστερον πάντων ἐβόησε· «*Πάντες δάκρυα, πάντες κάθαρσιν, πάντες ἀνάβασιν καί τό τοῖς ἔμπροσθεν ἐπεκτείνεσθαι*».

Μή τι οὖν διεστείλατο ἤ διεχώρισεν ἐν τούτῳ τῶν ἄλλων τινάς, καί τοῖς μέν ὡς δυνατόν εἶναι τοῦτο ἔφησε, τοῖς δέ ὡς ἀδύνατον; Μή, ὡς ὑμεῖς φατε ἀσυνέτως - ἵνα καί ἀξίως καθάψωμαι ὑμῶν, ἀπερίτμητοι ταῖς καρδίαις καί τοῖς ὠσίν - , ὅτι τινές ἔλαχον φύσεως σκληρᾶς καί οὐκ ἄν ποτε δυνηθεῖεν κατανυγῆναι καί κλαῦσαι, τοῦτο καί ὁ μέγας

Γρηγόριος εἴρηκε; Μή γένοιτο! Οὔτε φύσις ἀνθρώπου ἐστί μή φυσικῶς ἔχουσα μᾶλλον τά δάκρυα καί τό κλαίειν καί τό πενθεῖν, οὔτε ὅ ἅγιος οὗτος, οὔτε ἕτερός τις τῶν ἁγίων, τοῦτο εἶπεν ἤ ἔγραψεν. Ὅτι δέ ἐκ φύσεως τό κλαίειν πᾶσιν ἡμῖν πρόσεστιν, αὐτά τά γεννώμενα βρέφη σε διδαξάτωσαν. Ἅμα γάρ τῷ προελθεῖν τῆς γαστρός καί πεσεῖν ἐπί τῆς γῆς κλαίουσι, καί τοῦτο σημεῖον ζωῆς ταῖς μαίαις καί ταῖς μητράσιν ἐνδείκνυται. Εἰ γάρ μή κλαύσει τό βρέφος, οὐδέ ζῆν λέγεται· κλαῦσαν δέ δείκνυσιν αὐτόθι ὅτι συνεπόμενον ἡ φύσις ἔχει ἀπό γεννήσεως τό πένθος ὁμοῦ καί τά δάκρυα. Ὡς δέ καί ὁ ἅγιος πατήρ ἡμῶν ἔλεγε Συμεών ὁ Στουδιώτης, ὅτι μετά τοῦ τοιούτου κλαυθμοῦ ὀφείλει καί ζῆσαι τόν παρόντα βίον ὁ ἄνθρωπος καί μετ’ αὐτοῦ συναποθανεῖν, εἰ ἄρα καί σωθῆναι βούλεται καί εἰς τήν μακαρίαν ζωήν εἰσελθεῖν, ἐπειδή τό τῆς γενήσεως δάκρυον δηλωτικόν ἐστι τῶν δακρύων τῆς παρούσης ἡμῶν ἐνταῦθα ζωῆς. Ὡς γάρ ἡ τροφή καί ἡ πόσις ἀναγκαία ἐστί τῷ σώματι, οὕτω καί τά δάκρυα τῇ ψυχῇ, ὥστε ὁ μή καθ’ ἑκάστην κλαίων - ὀκνῶ γάρ εἰπεῖν καθ’ ὥραν, ἵνα μή δόξω βαρύς - , λιμῷ τήν ψυχήν διαφθείρεται καί ἀπόλλυται.

Εἰ τοίνυν συνεπόμενόν ἐστι τό φύσει τό κλαίειν ὁμοῦ καί τά δάκρυα, καθώς ἀποδέδεικται, μηδείς τό τῆς φύσεως ἀγαθόν ἀπαρνήσηται, μηδείς ὄκνῳ καί ῥαθυμίᾳ τοῦ τοιούτου καλοῦ στερήσειεν ἑαυτόν, μηδείς κακίᾳ καί πονηρίᾳ καί ὑπερηφανίᾳ ψυχῆς ἀλαζών γένηται καί εἰς ἀντιτυπίαν λίθου παρά φύσιν μετενεχθῇ, ἀλλά σπουδῇ τῇ καλλίστῃ πρός τάς ἐντολάς χρησάμενος τοῦ Θεοῦ, φυλαξάτω τό μέγα τοῦτο δῶρον, παρακαλῶ, ἄσυλον ἐν τῇ ἑαυτοῦ καρδίᾳ, διατηρῶν αὐτό ἐν εὐτελείᾳ καί ταπεινώσει, ἐν ἀκακίᾳ ψυχῆς καί ἁπλότητι, ἐν ὑπομονῇ τῶν πειρασμῶν καί διηνεκεῖ μελέτῃ τῶν θείων Γραφῶν, μετανοῶν ἀεί καί διαπαντός τῶν οἰκείων μνημονεύων σφαλμάτων, καί μηδείς τῆς τοιαύτης ἐργασίας ἀμελείτω. Εἰ δέ τις ἀπεγνωκώς τῆς ἑαυτοῦ σωτηρίας ἐπί κλίνης ῥαθυμίας ἀνάκειται, κἄν μή λεγέτω καί τοῖς σπουδαίοις τοῦτο εἶναι ἀδύνατον. Ὁ γάρ τοῦτο λέγων αὐτήν ἡμῖν πᾶσιν ἀποκλείει τήν πύλην τῆς βασιλείας τῶν οὐρανῶν. Ἄνελε γάρ τά δάκρυα καί συνανεῖλες τούτοις τήν κάθαρσιν· καθάρσεως δέ δίχα οὐδείς ὁ σῳζόμενος, οὐδείς ὁ ὑπό τοῦ Κυρίου μακαριζόμενος, οὐδείς ὄψεται τόν Θεόν.

Εἰ δέ ταῦτα οὕτως ἐπακολουθεῖ τοῖς μή πενθοῦσι κατά τήν ἐντολήν τοῦ Κυρίου, πῶς οὐχ αἱρετικῶν πάντων, εἰπέ μοι, χείρων αὕτη ἡ αἵρεσις; Ἀλλά γάρ διά κενῆς, τό καθ’ ὑμᾶς, λοιπόν ἡ τοῦ Θεοῦ συγκατάβασις καί ἀνάβασις γέγονεν, ἤργησε τῶν ἀποστόλων τό κήρυγμα, ἤργησαν τῶν ἁγίων ἁπάντων αἱ κατηχήσεις, αἱ πρός τό πένθος ἡμᾶς ἀεί ἐκκαλούμεναι. Πᾶσα Γραφή θεόπνευστος ἀνωφελής εἰς ὑμᾶς τούς οὕτω ἔχοντας καί φρονοῦντας, ὡς ὁρῶ, γέγονεν. Ὡς γάρ ἀσπίς κωφή καί τά ὦτα βύσαντες καί ὑμεῖς, τῷ τριβωνίῳ μόνῳ καί τῷ κουκουλίῳ καί ἀναλάβῳ - οἱ δέ καί τῷ βαθυτάτῳ καί σεμνῷ πώγωνι - τήν σωτηρίαν τῶν ψυχῶν ὑμῶν, ὡς οἴομαι, ἐπιγράφεσθε καί τούτοις θαρροῦντες ἐγκαλλωπίζεσθε. Ἀλλά θαρσεῖτε, γυμνοί καί τετραχηλισμένοι - εἰ καί μή ἀκούειν ἐθέλοιτε καθ’ ἑκάστην ἐκβοώσης ὑμῖν μεγάλα τῆς θείας Γραφῆς - παραστησόμεθα τῷ βήματι τοῦ Χριστοῦ, ἵνα λήψηται ἕκαστος τά διά τοῦ σώματος πρός ἅ ἔπραξεν, εἴτε ἀγαθόν εἴτε πονηρόν.

Εἰ δέ ὅσον οὔπω εἰς πάντας τοῦτο γενήσεται, ποῦ ἔσται τότε ἡ τά σώματα ἡμῶν καλύπτουσα καί κοσμοῦσα στολή; Ποῦ οἱ ἀνάλαβοι οἱ περιφανεῖς; Ποῦ τά στίλβοντα παλλία καί διαφανῆ; Ποῦ τά εὐειδῆ σανδάλια καί στερρά; Ποῦ οἱ λῶροι, οἱ γυναικείαις ζώναις παρόμοιοι; Ποῦ τῶν ἀρχόντων ἡ ἀπαντή; Ποῦ τῶν ἀσπασμῶν ἡ προτίμησις; Ποῦ οἱ τῆς πρωτοκαθεδρίας ἀγῶνες; Ποῦ ἡ τῶν τραπεζῶν πολυτέλεια; Ποῦ - ἵνα καί τοῦτο εἴπω - τό προλαβεῖν τόν ἀδελφόν καί τῶν προκειμένων λαβεῖν τά πλείω καί τιμιώτερα, ὅπερ ἐγώ πρῶτος καί οἱ ὡς ἐγώ πάσχομεν μάταιοι; Ποῦ τότε ὁ τύφος καί ἡ ἀλαζονεία ἡμῶν καί τό ἄρχειν καί ἄρχεσθαι; Ποῦ αἱ εὐρύχωροι κέλλαι καί ὡς παστοί κεκελλωπισμέναι λαμπρῶς; Ποῦ τῶν διακονιῶν καί διακονητῶν ἡ προτίμησις, ἐν αἷς τῶν ἄλλων προτερεύειν νομίζομεν; Ποῦ ὁ ἀκρατής καί ἄσεμνος γέλως; Ποῦ τά δεῖπνα τά πολυτελῆ καί βραδέα τά ἄριστα καί αἱ ἐν τούτοις ἄκαιροι ὁμιλίαι; Ποῦ τά μεγάλα τότε ὀνόματα; Ποῦ ἡ ἁγιωσύνη ἥν ἔχειν νῦν νομιζόμεθα ἤ νομίζομεν; Ποῦ οἱ νῦν κόλακες καί ἐμπαῖκται οἱ ἁγίους ἡμᾶς ἀποκαλοῦντες καί τήν τρίβον τῶν ποδῶν ἡμῶν ἐκταράσσοντες; Ποῦ οἱ ἐπηρμένοι θρόνοι καί οἱ ἐκ τούτων δοκοῦντες εἶναι τῶν ἄλλων περιφανέστεροι; Ποῦ ἡ περιδρομή καί σπουδή τοῦ ἐν κατασχέσει γενέσθαι τινός ἤ τῆς μειζοτέρας ἀρχῆς; Ποῦ ἡ ἀντιλογία καί ἀνυποταξία καί τό μή θέλειν τινά τοῦ ἑτέρου φανῆναι δεύτερον; Ποῦ τῶν συγγενῶν ἡ προσπάθεια; Ποῦ τῶν πρός ἡμᾶς παραγενομένων κοσμικῶν καί ἀρχόντων ἡ περιφάνεια, δι᾽ ὧν οἴομαι καί δοκῶ πρῶτος ἐγώ ὁ ταλαίπωρος τῶν ἄλλων περιφανέστερος γίνεσθαι; Ποῦ ἡ δοκοῦσα φρόνησις τῶν περιφανῶν ἐν τῇ γνώσει καί τῇ σοφίᾳ τοῦ κόσμου; Ποῦ ἡ οἴησις καί τό δοκεῖν εἶναί τι, μηδέν ὄντων ἡμῶν; Ποῦ ἡ εὔστροφος τότε γλῶσσα καί τά ὡς ἀπό πηγῆς ῥητορεύματα; Ποῦ τότε, μᾶλλον δέ νῦν, σοφός, ποῦ γραμματεύς, ποῦ συζητητής τοῦ αἰῶνος τούτου, ἵνα ἐπανιών ἔλθῃ καί καθεσθῶμεν ἅμα καί περί τῆς φοβερᾶς ἡμέρας καί ὥρας ἐκείνης συμβουλευσώμεθα καί πάντα κάλων - τό δή λεγόμενον - ἐν ἑαυτοῖς ἡμῖν καί ἐν ταῖς θείας Γραφαῖς κινήσαντες καί ἀκριβῶς ἐρευνήσαντες, διδαχθῶμεν ἐκεῖθεν καί μάθωμεν τί ἐστιν, ὅ ἡμᾶς ὠφελῆσαι ἰσχύσει τότε, κἀκεῖνο πολλῇ τῇ σπουδῇ ἐκλεξώμεθα;

Ὄντως, ἀδελφοί μου ἀγαπητοί, ὡς πᾶσα Γραφή διαρρήδην βοᾷ, μεγάλη ἀνάγκη, μέγας φόβος καί τρόμος λήψεται ἐν τῇ ὥρᾳ ἐκείνῃ τούς κατ᾽ ἐμέ ῥᾳθύμους καί χαύνους καί ὀκνηρούς. Μακάριος δέ ἐστιν, ἀδελφοί, ὁ ὑποκάτω πάσης κτίσεως κείμενος νῦν, πενθῶν τε καί κλαίων νύκτα καί ἡμέραν ἐνώπιον τοῦ Θεοῦ, ὅτι ἐκ δεξιῶν αὐτοῦ ἐστολισμένος τότε σταθήσεται. Μακάριος ὁ ταῦτα ἀκούων καί μή μόνον στενάζων, μηδέ ἡμέραν ἐξ ἡμέρας ἀναβαλλόμενος παρατρέχει τόν χρόνον αὐτοῦ τῆς ζωῆς ἀνωφελῶς, ἀλλ᾽ ὁ ἅμα τῷ ἀκοῦσαι τοῦ Κυρίου λέγοντος, «*Μετανοεῖτε*»!, εὐθύς τοῦ ἔργου ἀρχόμενος. Ὁ τοιοῦτος γάρ ὡς ὑπήκοος καί εὐγνώμων δοῦλος ἐλεηθήσεται καί οὐχί μετά τῶν ἀνηκόων κατακριθήσεται, καί νῦν μέν ἐκ πάντων ἀπαλλαγήσεται τῶν παθῶν, πασῶν δέ τῶν ἀρετῶν ἐργάτης γενήσεται δόκιμος, ἐν δέ τῷ αἰῶνι τῷ μέλλοντι κατατρυφήσει τῶν ἀπορρήτων ἀγαθῶν τοῦ Θεοῦ μετά πάντων τῶν ἀπ᾽ αἰῶνος εὐαρεστησάντων αὐτῷ, ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν χάριτι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

# Λόγος Λ΄. Περί μετανοίας καί ἀρχῆς ἐπαινετοῦ βίου, ὅπως δεῖ τόν μετανοῦντα καθ’ ἑκάστην ποιεῖν. Ἐν ᾧ καί περί δακρύων ἅμα καί κατανύξεως.

Ἀδελφοί μου ἀγαπητοί, ἀκούσατέ μου τῶν λόγων τήν δύναμιν καί ὡς εἰς ἀγαθήν οὖσαν ὑμῖν συμβουλήν προσδέξασθε ἀσμένως αὐτήν καί ποιῆσαι προθυμήθητε εἰς κοινήν ἐμοῦ τε καί ὑμῶν ὠφέλειαν. Οὕτω γάρ κατά βραχύ διά τῶν δοκούντων μικρῶν βαδίζοντες, ἐπί τά τελεώτερα προκόπτοντες ἀνερχόμεθα καί ἄνδρες γινόμεθα τέλειοι ἐν Χριστῷ.

Ὁ δέ σκοπός τοῦ λόγου ἐστί τοιοῦτος· ἐξερχόμενοι τῆς ἐκκλησίας μή ἄρξησθε μετεωρίζεσθαι εἰς μάταια καί ἀνωφελῆ, ἵνα μή ἐλθών ὁ διάβολος καί ἐν τούτοις ἐνασχολουμένους εὑρίσκων ὑμᾶς, ὥσπερ τις εὐθύς κορώνη τόν κόκκον τοῦ σίτου ἐκ τοῦ πεδίου πρίν ἤ ὑπό τήν γῆν καλυφθῆναι αἴρουσα πέταται, οὕτω καί αὐτός ἄρῃ τήν μνήμην τῶν λόγων τούτων τῆς κατηχήσεως ἐκ τῆς καρδίας ὑμῶν καί πάλιν διαμείνητε κοῦφοι καί κενοί τῆς σωτηρίου διδασκαλίας· ἀλλά εἰ μέν τις ἐξ ὑμῶν ἐργόχειρον ἤ διακονίαν ἐπετράπη ποιεῖν καί ἐργάζεσθαι, ἀπελθέτω κάτω νεύων καί προσέχων ἑαυτῷ, ἐργαζόμενος δέ καί διακονῶν λεγέτω ἐν ἑαυτῷ·

*«Ὦ πόσας ἡμέρας παρῆλθον καί χρόνους τῆς ζωῆς μου μετεωριζόμενος ὁ ἄθλιος καί γελῶν! Ὦ πῶς ἐματαιώθην ἀκούων μέχρι τοῦ νῦν τάς θείας Γραφάς καί μή καθόλου γνούς τό ἐκ τούτων ὠφέλιμον! Τί με ὠφέλησεν ἡ παροῦσα ζωή; Ἰδού παρῆλθον ἔτη τῆς ζωῆς μου τόσα καί τόσα. Τίς οὖν οἶδεν, εἰ ζήσομαι ἕως τῆς αὔριον; Ἔφαγον ἐπί ἔτη πολλά, ἐνέπλησά μου τήν γαστέρα κρεῶν, οἴνου καί ἀδηφαγίας πολλῆς. Ἐκαλλωπίσθην ἱματίοις, ἔπαιξά τε ὁμοῦ καί ἐγέλασα κατ’ ἐμοῦ, ἐπερισσεύθην ἐν νομίσμασι τόσοις ἤ τόσοις καί ἐξοδιάσας αὐτά ἐπί ματαίοις ἀνάλωσα, μετά ταῦτα πάλιν ἐκτησάμην ἕτερα. Λοετροῖς ἐχρησάμην εἰς κόρον καί μύροις, ἵππους καί ἡμιόνους ἐπιβέβηκα, τραπεζῶν πολλῶν καί πολυτελῶν ἀπήλαυσα, τῷ πλησίον ἐφθόνησα, ἐλοιδόρησα, πεπόρνευκα, ἔκλεψα, ἐψευσάμην. Συνήθεσι καί φίλοις συνανεστράφην περιδόξοις καί πλουσίοις καί ἄρχουσι συνηυλίσθην. Ὄνομα ἐν τῷ βίῳ περιφανές ἐκτησάμην, ἐπί ἁπαλῶν στρωμνῶν ἀνεκλίθην, ἀνέπαυσα τό σῶμα τουτο τό γήϊνον, ὕπνον εἰς κόρον ὕπνωσα».*

*«Τί οὖν με τούτων ἁπάντων ὠφέλησε μέχρι τοῦ νῦν ἤ ἐν τῇ ἐξόδῳ τῆς ταλαιπώρου ψυχῆς μου ὠφελήσει με, εἰ αὔριον ὁ ἔχων ἐξουσίαν πάσης πνοῆς ἀπό τοῦ κόσμου τούτου κελεύσει ἀρθῆναί με; Ὄντως οὐδέν! Λοιπόν οὖν μή μάτην κἄν τάς ὑπολοίπους διάξω ἡμέρας τῆς ἐνταῦθα ζωῆς μου, ἀλλά βάλλω ἀπό τοῦ παρόντος ἀρχήν και πάντα καταλιπών ἐκεῖνα, τά ἐναντία τούτοις ὡς οἱ ἅγιοι πατέρες κἀγώ διαπράξομαι. Καί νηστεύσω μέν ἐπί τοσοῦτον ἀντί τῆς προλαβούσης ἀδηφαγίας μου, ἕως οὗ μηδέ τήν γλῶσσαν πρός συντυχίαν κινῆσαί με δύνασθαι, θλίψω δέ τήν γαστέρα ἐν πείνῃ καί δίψῃ, καί δαμασθήσεται πάντως ἡ ἀδάμαστος γλῶσσα μου, ἀλλά μήν καί εἰς στυγνότητα καί*

*ὠχρότητα καί λύπην ἅμα τούτοις ἐλεύσομαι καί τοῦ γαυριάματος τῶν λογισμῶν ἐλευθερωθήσομαι καί τοῦ μετεωρίζεσθαι καί παίζειν καί γελᾶν σύν τούτοις εὐκόλως παύσομαι. Περιβαλοῦμαι εὐτελῆ καί τά πολύτιμα δώσω τοῖς πένησι, σκορπίσω σύν αὐτοῖς καί ὅσον χρυσίον κέκτημαι εἰς χεῖρας τῶν δεομένων· τί γάρ μοι καί τό μεριμνᾶν περί τούτων ἀπό τοῦ νῦν, εἰ τῷ τά πάντα τρέφοντι ὅλον ἐμαυτόν ἀναθήσομαι; Ἵππους ἐπιβαίνειν καί ἡμιόνους ἀποτάξομαι, τούς συγγενεῖς καί φίλους καί συνήθεις ἅπαντας ἀρνήσομαι· ὁ γάρ πλέον τοῦ Θεοῦ πάντως τινά ἀγαπῶν οὐκ ἔστιν αὐτοῦ ἐκείνου, ὡς αὐτός λέγει, ἄξιος. Λοετροῦ οὐχ ἅψομαι, ἐπί κλίνης στρωμνῆς μου οὐκ ἀναβήσομαι, ἀλλά χαμευνίᾳ καί ξηροκοιτίᾳ ἐμαυτόν προθύμως ἐκδῶ, ἵνα ὀλίγον ὑπνώσω καί μή βουλόμενος, ὑπό τῆς ξηρασίας στενοχωρούμενος. Τί γάρ, ἐάν καί ἀποθάνοιμι, ἆρα δέ ζῆν εἰμι ἄξιος*»;

«*Οὕτω γάρ ποιῶν, ἐγειρόμενος μεσονύκτιον, προσπέσω καί κλαύσω ἐν θλίψει τῆς ἁμαρτησάσης ψυχῆς μου καί πρός τόν Θεόν ἐν στεναγμοῖς καί δάκρυσιν εἴποιμι· Δέσποτα, Κύριε τοῦ οὐρανοῦ καί τῆς γῆς, οἶδα ὅτι ἥμαρτον ὑπέρ πᾶσαν φύσιν ἀνθρώπων καί αὐτῶν τῶν ἀλόγων ζῴων καί ἑρπετῶν ἐνώπιόν σου, τοῦ φοβεροῦ καί ἀπροσίτου Θεοῦ μου, καί οὐκ εἰμί ἄξιος ἐλέους τυχεῖν ὅλως ποτέ παρά σοῦ. Διά γάρ τοῦτο οὐδέ ἐτόλμων προσελθεῖν ἤ προσπεσεῖν σοι, φιλάνθρωπε βασιλεῦ, εἰ μή ἤκουσα τῆς ἁγίας φωνῆς σου λεγούσης*»· «*Οὐ θελήσει θέλω τόν θάνατον τοῦ ἁμαρτωλοῦ, ὡς τό ἐπιστρέψαι καί ζῆν αὐτόν*», καί πάλιν ὅτι «*χαρά γίνεται ἐν τῷ οὐρανῷ ἐπί ἑνί ἁμαρτωλῷ μετανοοῦντι*». «*Ἀλλά γάρ μνησθείς καί τῆς περί τοῦ ἀσώτου υἱοῦ παραβολῆς ἥνπερ εἴρηκας, Δέσποτα, - ὅπως ἐρχομένου αὐτοῦ, πρό τοῦ πλησίον σου γενέσθαι αὐτόν, σύ ὁ εὔσπλαχνος προσελθών ἐπέπεσας τῷ τραχήλῳ αὐτοῦ καί κατεφίλησας αὐτόν - , θαρρήσας εἰς τό πέλαγος τῆς σῆς ἀγαθότητος προσῆλθόν σοι ἐν ὀδύνῃ καί λύπῃ καί στυγνότητι τῆς καρδίας μου, πεπωρωμένος ὤν καί τετραυματισμένος δεινῶς καί εἰς πέταυρον ᾅδου τῶν ἐμῶν ἀνομιῶν χαλεπῶς κείμενος. Πλήν ἀπό τοῦ νῦν λόγον σοι δίδωμι, Κύριε, ὅτι ἕως κελεύσεις εἶναί με ἐν τῷ βίῳ καί τούτῳ τῷ σώματι, οὐκ ἐγκαταλείψω σε, οὐδέ εἰς τά ὀπίσω στραφήσομαι, οὐκέτι ἅψομαι τῶν ματαίων καί πονηρῶν. Σύ δέ, ὁ Θεός μου, ἐπιγινώσκεις μου τήν ἀσθένειαν, τήν ταλαιπωρίαν, τήν ὀλιγοψυχίαν μου καί τάς μελλούσας με τυραννεῖν καί ἐκθλίβειν προλήψεις. Βοήθησόν μοι, προσπίπτω σοι, καί μή ἐγκαταλίπῃς με, μηδέ ἐπί πολύ καταγελᾶσθαί με ἐάσῃς καί καταπαίζεσθαι ὑπό τοῦ ἐχθροῦ, τόν ἀπό τοῦ παρόντος δοῦλον σόν, ἀγαθέ*».

Ταῦτα τοίνυν δι’ ὅλης τῆς ἡμέρας διαλογίζεσθαι καί βούλεσθαι ὀφείλει ἐν ἑαυτῷ ὁ ἄρτι τόν κόσμον ἀποφυγών καί μετανοῆσαι προθυμηθείς, ἀδελφοί, ὁ μαθεῖν βουληθείς τήν τέχνην ταύτην τῶν τεχνῶν τῆς ἐναγωνίου ζωῆς καί ἀσκήσεως, καί διά τοῦτο πρός τό στάδιον τῆς ἀθλήσεως αὐτῆς εἰσελθών. Διό καί πρός τοιοῦτον ποιήσομαι τήν παραίνεσιν, εἴπου καί μέσον ἡμῶν ἕστηκε καί τά ἐπιπονώτερα παρ’ ἡμῶν ἀκοῦσαι διψᾷ καί τοῦ ἔργου ἐπείγεται τῆς ἀληθινῆς μετανοίας ἀπάρξασθαι.

Πρός γοῦν τοῖς εἰρημένοις, ἀγαπητέ, μηδέ τροφῆς μεταλάβῃς ἕως ἑσπέρας. Ἑσπέρας

δέ εἰσελθών ἐν τῷ κελλίῳ, κάθισον ἐπί τῆς κλίνης σου καί ἅπαντα τά εἰρημένα ἐν σεαυτῷ ἀναλογισάμενος εὐχαρίστησον ἐν πρώτοις ὅτι φθάσαι κατηξιώθης τό τέλος τῆς ἡμέρας καί τήν ἀρχήν τῆς νυκτός. Εἶτα κατανόησον σεαυτόν καί ἐνθυμήθητι ὅσα ἥμαρτες τῷ ποιήσαντί σε Θεῷ καί πόσα ἔτη ἐμακροθύμησεν ἐπί σοί, ἐάσας σε ζῆν καί χαρισάμενός σοι ἅπαντα τά πρός ἀπόλαυσιν τοῦ σώματος, τροφήν λέγω καί πόσιν, ἐνδύματα καί σκεπάσματα καί αὐτήν τήν κέλλαν καθίσαι, καί οὐκ ὠργίσθη, οὐκ ἀπεστράφη σε διά τάς ἁμαρτίας σου, οὐδέ τῷ θανάτῳ ἤ τοῖς δαίμοσιν παραδέδωκε τοῦ ὀλέσαι σε. Τούτων οὖν ἁπάντων ἀναμνημονεύσας καλῶς, ἀνάστα καί τό ψιάθιον θείς ἐπί γῆς καί μικρόν τινα λίθον εἰς προσκεφάλαιον, προευτρέπισον τήν κοίτην ἐν ᾗ μέλλεις ἀνακλιθῆναι.

Καί ἄκουσον! Ὑποτίθητί σοι καί ἕτερον τρόπον θερμῆς ὡς ἀληθῶς μετανοίας, πρόξενόν σοι γενόμενον διά τάχους δακρύων καί κατανύξεως, καί μάλιστα εἰ λιθώδης τις εἶ τῇ καρδίᾳ καί πρός πένθος βραδύς καί ἀκατάνυκτος. Ἀλλά μή παράδοξόν σοι καί ἀσύνηθες τοῖς πσιτοῖς, ὅ μέλλω σοι συμβουλεύσασθαι, ἀβασανίστως καταφανῇ.

Ὁ μέν γάρ ἑαυτόν φυλάξας μετά τό βάπτισμα ἄσπιλον τῷ Θεῷ καί τό κατ᾽ εἰκόνα διατηρήσας τῷ ποιήσαντι καί πλάσαντι ἄχραντον, οὐδενός ἑτέρου πρός ἀνάκλησιν ἐπιδεηθῇ τῶν ἱσταμένων, τυγχάνων ἐν τῷ Θεῷ. Ὁ δέ μολύνας ἑαυτόν μετά τοῦτο πράξεσιν ἀτόποις καί ἀνομίαις καί τόν ναόν τοῦ σώματος αὐτοῦ, τόν οἶκόν φημι τοῦ Θεοῦ, οἶκον ἡδονῶν καί παθῶν καί δαιμόνων ἀσώτως ἀπεργασάμενος, οὐ μόνον οὗ μέλλω εἰπεῖν σοι καί συμβουλεύσασθαι τρόπου πρός μετάνοιαν χρῄζει, ἀλλά καί ἑτέρων μεθόδων πολλῶν καί ἐπινοῶν μετανοίας εἰς τό ἐξιλεώσασθαι τόν Θεόν καί ἀνακαλέσασθαι πρός ἑαυτόν, ὅπερ διά τῆς ἐφαμάρτου ζωῆς ἀπώλεσε, θεῖον ἀξίωμα. Καί πειθέτω σε τοιαῦτα πολλά περιέχων ὁ «*Περί μετανοίας*» λόγος τῆς Κλίμακος Ἰωάννου, τοῦ θείου πατρός.

Τίς δέ ἐστιν ὁ τρόπος, ὅν σοι πατρικῶς συμβουλεύων ὑποτίθημι, τῆς μετανοίας, ἄκουσον ἀσκανδαλίστως καί συνετῶς, ἀδελφέ. Μετά γοῦν τό προευτρεπίσαι, ὥσπερ εἴρηται, τό τῆς κοίτης ψιάθιον ἐν ᾗ μέλλεις ἀνακλιθῆναι, στῆθι εἰς προσευχήν ὡς κατάκριτος. Ποίησον ἐν πρώτοις Τρισάγιον, εἶτα εἶπον τό Πάτερ ἡμῶν· καί τοῦτο λέγων μνήσθητι τίς ὤν ὁποῖον καί τίνα πατέρα καλεῖς. Ὅτε δέ εἰπεῖν ἔλθῃς τό Κύριε ἐλέησον καί ἐκτεῖναι θελήσῃς τάς χεῖράς σου εἰς τό ὕψος τοῦ οὐρανοῦ, πρός αὐτόν ἐμβλέψας τοῖς αἰσθητοῖς ὀφθαλμοῖς καί προσχών αὐταῖς καί τῇ διανοίᾳ ἑαυτόν ἐπισυνάξας, μνήσθητι τῶν φαύλων σου ἔργων, καί ὅσα ἥμαρτες δι΄ αὐτῶν καί ὁποίων ποτέ ἥψω ἔργων ἴσως αἰσχρῶν δι᾽ αὐτῶν, καί φοβήθητι λέγων ἐν σεαυτῷ· «*Οὐαί μοι τῷ ἀκαθάρτῳ καί μιαρῷ! Μήποτε ἰδών με ὁ Θεός τάς χεῖράς μου ἁπλοῦντα ἀναιδῶς ἔμπροσθεν αὐτοῦ μνησθῇ μου τῶν ἀνομιῶν, ὧν ἔπραξα δι᾽ αὐτῶν, καί πῦρ ἐκπέμψει κατ᾽ ἐμοῦ καί ἐκλείξει με*». Στρέψας οὖν αὐτάς εἰς τά ὀπίσω καί συνδήσας, ὡς ἐπί θάνατον ἀγόμενος, ἐκ βάθους στενάξας ψυχῆς εἶπον ἐλεεινῇ τῇ φωνῇ· «*Ἐλέησόν με τόν ἁμαρτωλόν καί ἀνάξιον τοῦ ζῆν, ἄξιον δέ πάσης ὄντως κολάσεως*» καί ἄλλα ὅσα ἡ τοῦ Θεοῦ χάρις δῴη σοι τοῦ

εἰπεῖν. Ἀναμνημονεύων δέ τῶν ἐφαμάρτων σου πράξεων, τύπτε σφοδρῶς καί ἀφειδῶς σεαυτόν λέγων· «*Πῶς τά καί τά, πονηρέ καί ἄθλιε, πέπραχας;*» καί πάλιν στρέψον τάς χεῖρας καί ἵστασο δεόμενος τοῦ Θεοῦ. Εἶτα ῥάπιζε πάλιν τό πρώσωπόν σου, τίλλε τάς τρίχας σου, σύρων αὐτάς, ὡς ξένου τινός καί ἐπιβούλου σοι γεγονότος ἐχθροῦ, καί εἰπέ· «*Διατί τά καί τά πεπεοίηκας;*» καί οὕτω μαστίξας σεαυτόν ἱκανῶς, δῆσον τότε τάς χεῖράς σου ἔμπροσθεν καί στῆθι ἐν ἱλαρᾷ τῇ ψυχῇ. Ποιήσας δέ ψαλμούς δύο ἤ τρεῖς νουνεχῶς καί προσκυνήσεις, ὅσας νοήσεις σεαυτόν δύνασθαι, στῆθι πάλιν σύννους καί τά προειρημένα ἀναλογίζου ἐν σεαυτῷ, εἴποτε καί δῴη ὁ Θεός ἐλθεῖν ἐπί σέ δάκρυα καί κατάνυξιν. Καί εἰ μέν τοῦτο γένηται, μή ὑποχωρήσῃς ἕως ἄν παρέλθωσιν· εἰ δ’ οὖν, μή θλιβῇς, ἀλλ’ εἰπέ ταῦτα πρός ἑαυτόν· «*Ἡ κατάνυξις καί τά δάκρυα τῶν ἀξίων καί πρός ταῦτα ηὐπρεπισμένων εἰσί. Σύ δέ πόσα ἔτη παρεκάλεσας τόν Θεόν ἤ ἐδούλευσας αὐτῷ; Διά ποίων σου ἔργων ηὐτρέπισας πρός ὑποδοχήν αὐτῶν σεαυτόν; Οὐκ ἀρκεῖ σοι ὅτι καί ζῇς;*». Ταῦτα εἰπών καί εὐχαριστήσας κατασφραγισάμενος πρόσωπόν τε καί στῆθος καί ὅλον τό σῶμά σου τῷ σημείῳ τοῦ τιμίου σταυροῦ, ἐπί τοῦ ψιαθίου σου πεσών ἀνακλίθητι.

Ὅτε δέ ἔξυπνος γένῃ, μή στραφῇς ἐπί τό ἕτερον μέρος, ἀλλ’ εὐθύς ἀναστάς πάλιν εὖξαι τῷ προειρημένῳ τρόπῳ καί μηκέτι ὑπνώσῃς, ἀλλά εὐχῇ καί ἀναγνώσει καρτέρησον, ἕως οὗ τό ξύλον κρούσει, καί τότε μετά πάντων εἰς τήν σύναξιν ἄπελθε καί στῆθι ἐν τῷ ναῷ, ὡς μετά ἀγγέλων ἐν τῷ οὐρανῷ, σύντρομος, ἀνάξιον ἑαυτόν ἡγούμενος καί τῆς ἐκεῖσε μετά τῶν ἀδελφῶν παραστάσεως. Ἱστάμενος δέ πρόσεχε σεαυτῷ, τοῦ μή βλέπειν ὧδε κἀκεῖσε καί περιεργάζεσθαι τούς ἀδελφούς, πῶς ἕκαστος ἵσταται ἤ πῶς ψάλλει, ἀλλά σεαυτῷ μόνῳ καί τῇ ψαλμωδίᾳ καί ταῖς ἁμαρτίαις σου πρόσεχε. Μιμνήσκου δέ καί τῆς ἐν τῷ κελλίῳ εὐχῆς, μή συντύχῃς ὅλως ἐν τῇ συνάξει τινί λόγον ἀργόν, μή ἐξέλθῃς ἐκεῖθεν πρό τῆς ἐσχάτης εὐχῆς. Εἰ δυνατόν, μηδέ εἰς ἀνάγνωσιν καθίσῃς, ἀλλ’ ἐν τόπῳ κρυπτῷ ὑποχώρει καί ἵστασο ἀκούων, ὡς ἐκείνου αὐτοῦ σοι λαλοῦντος διά τοῦ ἀναγνώστου, τοῦ ἐπί πάντων Θεοῦ. Εἰ δέ καί αὐτός προτραπῇς εἰς ἀνάγνωσιν, ὡς ἀνάξιος ὤν τοῦ ἐκδιηγεῖσθαι διά τοῦ στόματός σου τάς θεοπνεύστους τοῖς ἀδελφοῖς σου Γραφάς, οὕτω διάκεισο, καί τελειώσας τήν θείαν ἀνάγνωσιν καί τήν συνήθη μέλλων εἰς ἀμφοτέρους τούς χορούς βαλεῖν μετάνοιαν, μή καταφρονητικῶς μηδέ ῥαθύμως, ἀλλ’ ὡς υἱούς Θεοῦ καί ἁγίους ἅπαντας λογιζόμενος, προσπεσών καί τῷ ἐδάφει προσεγγίσας τήν κεφαλήν σου, λέγε μυστικῶς ἐν τῇ καρδίᾳ σου πρός πάντας αὐτούς· «*Εὔξασθε καί συγχωρήσατέ μοι, τῷ ἁμαρτωλῷ καί ἀναξίῳ τοῦ οὐρανοῦ καί τῆς γῆς, ἅγιοι τοῦ Θεοῦ*». Ἐάν δέ καί κανοναρχῆσαι προσταχθῇς, μή ῥαθύμως μηδέ ἐκλυομένως τοῦτο ποιῇς, ἀλλά νουνεχῶς καί νηφόντως ὡς ἐνώπιον τοῦ ἐπί πάντων βασιλέως Χριστοῦ τά θεῖα λόγια διά τῆς σῆς φωνῆς ὡς διά χειρός τοῖς ἀδελφοῖς διανέμων, καί φοβοῦ μή τινι καταφρονητικῶς παραλείψῃς δοῦναι τόν ζωοποιόν ἄρτον ἤτοι τόν λόγον, ὡς εἴρηται, τοῦ Θεοῦ καί ἐκβληθήσῃ ἔξω ὡς καταφρονητής, οὐ λέγω σοι ταύτης ἔξω τῆς ἐκκλησίας, ἀλλά τῆς βασιλείας τῶν οὐρανῶν. Ἐξελθών οὖν μετά τήν ἀπόλυσιν, μνήσθητι ὅπως τήν χθές ἡμέραν διηνύσας καί, εἰ ἐσφάλης ἔν τινι, διόρθωσαι σήμερον.

Ταῦτα τοιγαροῦν εἰ ἐμμείνῃς ποιῶν, οὐ βραδύνει Κύριος τοῦ ποιῆσαι ἔλεος αὐτοῦ μετά σοῦ, ἐγώ τοῦ εὐσπλάχνου ἐγγυητής, ἐγώ τοῦ φιλανθρώπου, εἰ καί τολμηρόν εἰπεῖν, ἐμαυτόν ὑποτίθημι ἀντιφωνητήν! Ἀποθανοῦμαι ἐγώ, ἐάν ὑπερίδῃ σε. Ἀντί σοῦ τῷ πυρί τῷ αἰωνίῳ παραδοθήσομαι, ἐάν ἐγκαταλείψῃ σε. Μόνον μή ἐν δισταγμῷ καρδίας, μηδέ ἐν διψυχίᾳ ταῦτα ποιῇς!

Τί δέ ἐστι τό ἐν δισταγμῷ καί διψυχίᾳ; Πρόσεχε, ἀγαπητέ! Δισταγμός καρδίας ἐστί τό λογίζεσθαι ἤ ὅλως ἐνθυμεῖσθαι ἐν ἑαυτῷ ὅτι «*Ἤ ἐλεήσει με ὁ Θεός ἤ οὔ;*». Τό «*οὔ*» τοῦτο ἀπιστίας ἐστίν. Εἰ δέ μή πιστεύεις ὅτι ἐλεῆσαί σε θέλει μᾶλλον ἐκεῖνος πλέον ἤ ὅσον προσδοκᾷς σύ, τί καί προσέρχῃ παρακαλῶν αὐτόν; Διψυχία δέ ἐστι τό μή εἰς θάνατον τελείως ἑαυτόν ἐκδοῦναι ὑπέρ τῆς βασιλείας τῶν οὐρανῶν, ἀλλά μεριμνᾶν ὅλως τι εἰς ζωήν τῆς σαρκός αὐτοῦ. Τοῦτο μόνον, εὖ ἴσθι, ὀφείλει φυλάξασθαι ὁ ἐμπόνως μετανοῶν, ἵνα μή ἑαυτόν διά τινος μηχανῆς ἀποκτείνῃ καί αὐτοφονευτής γένηται, οἷον ἤ κρημνῷ ῥίψας ἑαυτόν ἤ ἀγχόνῃ χρησάμενος ἤ ἕτερόν τι ἐναντίον διαπραξάμενος. Τῶν δέ λοιπῶν, δι’ ὧν οἶδε τρέφεσθαι τό σῶμα καί ζῆν, μηδεμίαν φροντίδα προείτω κατά τό λόγιον· «*Ζητεῖτε πρῶτον τήν βασιλείαν τοῦ Θεοῦ καί τήν δικαιοσύνην αὐτοῦ καί ταῦτα πάντα, τά εἰς χρείαν δηλονότι τοῦ σώματος ὑμῶν ἐπιτήδεια, προστεθήσεται ὑμῖν*». Δύναται γάρ ὁ ἐναγώνιον ἔχων τόν βίον καί ζῶν κατά τό Εὐαγγέλιον, μετά μόνου ἄρτου καί ὕδατος ἀποτρέφεσθαι καθ’ ἑκάστην καί ζῆν, καί μᾶλλον ἐκεῖνος εὐεκτεῖ ἤ οἱ τῶν ἁβροτέρων τραπεζῶν ἀπολαύοντες. Διό τοῦτο καί ὁ Παῦλος εἰδώς ἔλεγε καί ἀεί λέγει· «*Ἔχοντες διατροφάς καί σκεπάσματα, τούτοις ἀρκεσθησόμεθα*», καί πάλιν· «*Ἵνα ἐν ἑαυτοῖς τό ἀπόκριμα τοῦ θανάτου ἔχοντες, μή ὦμεν πεποιθότες ἐφ’ ἑαυτοῖς, ἀλλ’ ἐπί τῷ Θεῷ τῷ ἐγείροντι τούς νεκρούς*».

Ἰδού τοιγαροῦν εἴπομέν σοι, ἀγαπητέ ἀδελφέ, ὅπως προσελθεῖν σε δεῖ τῷ Θεῷ καί ὁποίαν αὐτῷ ἐπιδείξασθαι τήν μετάνοιαν. Μή οὖν ἀποστῇς ἕως τῆς ἐσχάτης σου ἀναπνοῆς, μηδέ ἐπιλάθῃ τῆς καλῆς συμβουλῆς ἐμοῦ τοῦ ἁμαρτωλοῦ· οὐ γάρ ἔπραξα ταῦτα καί ἀπό πράξεως ἐμῆς εἶπόν σοι, ἀλλά ἡ χάρις τοῦ Θεοῦ διά σέ καί τήν σήν σωτηρίαν δέδωκέ μοι ταῦτα εἰπεῖν. Εἰ οὖν ταῦτα Θεοῦ συνεργοῦντός σοι ποιήσειας, ἐγχρονίζοντός σου εἰς τό ἔργον τοῦτο τῆς μετανοίας, κατ’ ὀλίγον αὐτός σύ νοήσειας ἔτι μείζοντα ἄλλα μυστήρια, ὑπό τῆς ἄνωθεν χάριτος αὐτά διδασκόμενος, καί χαρισθήσεταί σοι οὐ μόνον δακρύων πηγή, ἀλλά καί πάντων παθῶν διά τῶν τοιούτων πράξεων ἀλλοτρίωσις. Τό γάρ ζητεῖν ἀεί μετάνοιαν καί κατάνυξιν, ἐρευνᾶν τε τίνα τά βοηθοῦντα καί συνεργοῦντα εἰς τό πενθεῖν καί κλαίειν καί κατανύσσεσθαι καί μετά σπουδῆς αὐτά διαπράττεσθαι, ἀλλά μηδέ προτιμᾶς ἐν μηδενί ἑαυτόν ἤ τό τῆς σαρκός ὅλως ποιεῖν θέλημα, συντόμως εἰς προκοπήν φέρει τόν ἄνθρωπον καί εἰς κάθαρσιν καί ἀπάθειαν, καί Πνεύματος Ἁγίου κοινωνόν αὐτόν ἀπεργάζεται, οὐ μόνον δέ ἀλλά καί Ἀντωνίου, Σάβα καί Εὐθυμίου, τῶν μεγάλων πατέρων, ἴσον ἀποκαθίστησι.

Καί ταῦτα μέν, ἐάν ἀκούσῃς μου καί ἀγαπήσῃς τήν μετάνοιαν καί κατάνυξιν· εἰ δέ μή θελήσῃς ἀκοῦσαί μου καί τά εἰρημένα ἔργον ἀδιάλειπτον κτήσασθαι, μήτε σύ μήτε

ἕτερος βλασφημείτω καί λεγέτω τοῦτο ἀδύνατον, μηδέ ὅτι· «*Ἐξηγόρευσα, ἔχω τόσους χρόνους ἤ τόσους*», μηδέ ἀπαριθμείτω μοι διάδοσιν καί διασκόρπισιν πλούτου καί χρυσίου, μηδέ λεγέτω· «*Τόσους ἤ τόσους ἀπό τῶν ἐμοί ὑπαρχόντων χρυσίων ἐνέδυσα γυμνούς, πεινῶντας ἔθρεψα, διψῶντας ἐπότισα, πάντα μου διεσκόρπισα, ἀφικόμην εἰς τόδε τό ὄρος, εἰσῆλθον εἰς τόδε τό σπήλαιον, τόν τοῦ Κυρίου τάφον κατέλαβον, εἰς τό ὄρος ἀνῆλθον τῶν Ἐλαιῶν, καί νῦν εἰσῆλθον εἰς τόδε τό μοναστήριον καί ἀπεκάρην ἤ καί προαποκαθαρθείς κάθημαι ἐν ἑνί κελλίῳ, ποιῶν τόσας ἤ τόσας εὐχάς· καί μετά τούτων σωθήσομαι καί ἀρκετόν μοί ἐστι!* ». Μή τοίνυν ἀπάτα σεαυτόν, ἀδελφέ, ὅστις εἶ, μηδέ παραμυθοῦ σεαυτόν διακένοις ἐννοίαις, ἀφρόνως τοῦτο ποιῶν. Ταῦτα γάρ πάντα καλά καί λίαν καλά, ἀλλά σπόρος εἰσίν, εὖ ἴσθι, ἀγαπητέ. Ἴδε οὖν, ὡς ἐν ὑποδείγματι λέγω, τήν χώραν ἐνέωσας καί ἐδιβόλησας, ἐτριβόλησας, ἔσπειρας. Ἔγνως ἆρα τόν σπόρον προκύψαντα ἐκ τῶν λαγόνων τῆς γῆς; Ἔγνως αὐξήσαντα; Ἔγνως στάχυας φθάσαντας; Ἔγνως λευκά σου τῆς ψυχικῆς γῆς τά λήϊα καί πρός θερισμόν ἕτοιμα; Ἔτιλλας στάχυας ἐξ αὐτῶν, ἔψωχες ταῖς χερσίν, ἵνα γυμνόν ἴδῃς τόν καρπόν τῶν πόνων σου; Ἰδών δέ τοῦτον, ἐτράφης ἆρα εἰς κόρον καί δύναμιν ἔλαβες; Εἰ οὖν ταῦτα οἶδας, προσκυνῶ σου τούς πόδας καί κατασπάζομαι καί τά ἴχνη τούτων καταφιλῶ· οὐ γάρ εἰμι ἄξιος τό πρόσωπόν σου ἀσπάσασθαι. Καί χαῖρε καί ἀγαλλία, μετά χαρᾶς συλλέγων ἅ κόπῳ καί πόνῳ πολλῷ ἔσπειρας.

Εἰ δέ ἀγνοεῖς καί αὐτά τά παρ' ἐμοῦ σοι λεγόμενα καί οὐδέ εἰ ἐσπάρη ἐν τῇ γῇ σού τι τῶν κρειττόνων καρπῶν - λέγω δή ἐν τῷ χωρίῳ τῆς καρδίας σου - ἔγνωκας, τί ὠφέλησας, εἰπέ μοι, περικυκλεύσας τά πέρατα καί εἰς τά ἔσχατα τῆς θαλάσσης γενόμενος; Πάντως οὐδέν! Ἄν γάρ ἐλεήσω τόν κόσμον ἅπαντα ἐκ τῶν οὐκ ἐμῶν - ὅμως ἔστω ἐμῶν -, ἐμαυτόν δέ περιΐδω γυμνόν καί πένητα καί εἰς τά ἔσχατα τῆς πενίας γενόμενον καί οὕτω μέλλοντα ἐν πενίᾳ τῶν ἀγαθῶν ἀποθανεῖν καί τῷ βήματι τοῦ Χριστοῦ παραστῆναι τῷ φοβερῷ, τί μοι τό ὄφελος; Ἐνδεδυμένους ἡμᾶς δεῖ καί ἐστολισμένους τοῦ βίου τούτου καί τοῦ σώματος ἐξελθεῖν, εἴ γε καί βουλοίμεθα ἐν τῷ γάμῳ τῷ βασιλικῷ συνανακλιθῆναι τοῖς φίλοις τοῦ βασιλέως. Τί δέ ἐστιν ὅ ἐγώ καί πάντες ὀφείλομεν ἐπενδύσασθαι, ἵνα μή γυμνοί τότε εὑρεθῶμεν; Ὁ Χριστός, ἀδελφοί, καί Θεός! Ἐάν δέ πᾶσαν αὖθις τήν ὑπό τόν οὐρανόν γῆν περιέλθω ὡς μίαν οἰκίαν καί οὐδεμίαν καταλίπω χώραν ἤ πόλιν ἤ ἐκκλησίαν, ἐν ᾗ οὐκ εἰσέλθω καί προσκυνήσω καί εὔξομαι καί τά ἐν αὐτοῖς καλῶς ἱστορήσω καί ἀκριβῶς, τῆς δέ βασιλείας ἀποπέσω τῶν οὐρανῶν, οὐκ ἦν μοι κρεῖσσον μή γεννηθῆναι μηδέ πεσεῖν ἐπί γῆς, ἤ ἀναπνεῦσαι τοῦτον δή τόν ἀέρα καί τόν ἥλιον ὀφθαλμοῖς κατιδεῖν; Ναί ὄντως, κρεῖσσόν μοι κατά πολύ ἦν!

Τί οὖν ποιήσω, ἵνα μή ταύτης ἐκπέσω; Ἄν τά προειρημένα ἅπαντα διαπραξάμενος, Πνεῦμα Ἅγιον λήψωμαι· τοῦτο γάρ ἐστιν ὁ σπόρος Χριστοῦ, δι' οὗ συγγενεῖς αὐτοῦ γινόμεθα οἱ πένητες ἡμεῖς καί βροτοί, ὅς ἐάν πέσῃ εἰς τήν γῆν τήν καλήν καρποφορεῖ ἐν τριάκοντα καί ἐν ἑξήκοντα καί ἐν ἑκατόν, καί τοῦτο αὐτό ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν, τά δ' ἄλλα ἅπαντα τούτου χωρίς οὐδέν ὠφελοῦσιν. Ἐάν γάρ μή ἑαυτούς εὑρήσωμεν τάς ψυχάς ἡμῶν κεκαθαρμένας καί πλήρεις φωτός, οὐδέν ἡμᾶς ὠφελήσει τῶν ἄλλων

ἁπάντων ἡ ἐργασία, καθώς φησιν ὁ Κύριος ἡμῶν καί Θεός· «*Τί ὠφελήσει ἄνθρωπος, ἐάν τόν κόσμον ὅλον κερδήσῃ, τήν δέ ψυχήν αὐτοῦ ζημιωθῇ; Ἤ τί δώσει ἄνθρωπος ἀντάλλαγμα τῆς ψυχῆς αὐτοῦ;*» καί πάλιν· «*Ὁ ἀπολέσας τήν ψυχήν αὐτοῦ ἕνεκεν ἐμοῦ εὑρήσει αὐτήν, ὁ δέ εὑρών αὐτήν ἀπολέσει αὐτήν* ». Εἰ οὖν ἐγώ μή ἀπολέσω τήν ψυχήν μου τῷ προτέρῳ τρόπῳ, ὡς εἴρηκα, εἰς θάνατον ἐμαυτόν ἐκδεδωκώς διά τόν Χριστόν, καί πάλιν εὕρω αὐτήν ζήσασαν τήν ζωήν τήν αἰώνιον, τί μοι τό ὄφελος τῶν λοιπῶν ἁπάντων, ὦ φίλοι καί ἀδελφοί; Οὐδέν ὄντως, οὐδέν ἡμᾶς οὐ μή ὠφελήσει, ἠγαπημένοι δοῦλοι Χριστοῦ, οὐδέ τοῦ αἰωνίου πυρός ἐξελεῖται, ἐάν μή πάντα καί πάντας ἀφέντες ἑαυτούς ἡμᾶς μόνους ἐπισκεψώμεθα.

Τί δέ ἐστι τό ἑαυτούς ἐπισκέψασθαι; Ἐν ἑτέρᾳ τοῦτο, ὦ ἀδελφοί, κατηχήσει ταμιευσόμεθα, τήν συμμετρίαν τοῦ λόγου πραγματευόμενοι. Αὐτός δέ ὁ Θεός, ἡ ἀληθινή Σοφία, ὁ καταξιώσας γενέσθαι διδάσκαλος ἡμῶν τῶν ἁμαρτωλῶν, αὐτόν δίδαξόν με εἰπεῖν ἐμαυτῷ τε καί τοῖς συνδούλοις καί ἀδελφοῖς μου τά πρός σωτηρίαν ψυχῆς. Σύ γάρ εἶ ὁ ὁδηγός καί φωτισμός τῶν ψυχῶν ἡμῶν, ὁ διδούς λόγον ἡμῖν ἐν ἀνοίξει τοῦ στόματος καί ῥῆμα τοῖς εὐαγγελιζομένοις δυνάμει πολλῇ, καί σοί τήν δόξαν ἀναπέμπομεν νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

# Λόγος ΛΑ΄. Περί τοῦ πῶς δεῖ ἕκαστον ἐπισκέπτεσθαι καί τά καθ’ ἑαυτόν ἐπιμελῶς ἐρευνᾷν. Καί πῶς τά ἑαυτοῦ ἀντιπαρατιθέναι χρή ταῖς ἐντολαῖς τοῦ Χριστοῦ.

Ἀδελφοί καί πατέρες, ἐν τῇ προλαβούσῃ κατηχήσει, διά τό μή τόν λόγον μηκύνειν ἐπί πολύ, τά κατηχηθέντα τότε ἐλλιπῆ κατελίπομεν, εἰπεῖν ἐπειγόμενοι τί ἐστι τό ἑαυτόν ἐπισκέψασθαι· νυνί δέ διά τῆς παρούσης κατηχήσεως ἀποδοῦναι ἥκομεν τό χρέος ὑμῖν τοῦ λόγου, ὡς ἐπί τοῦτο τεθέντες καί ἀεί χρεωστοῦντες διδόναι τῇ ἀγάπῃ ὑμῶν τοῦ λόγου τό σιτομέτριον.

Τί οὖν ἐστιν, ὡς τηνικαῦτα προείπομεν, τό προσχεῖν καί ἑαυτόν ἐπισκέψασθαι; Τό προσχεῖν ἕκαστον ἑαυτῷ τοῦτό ἐστι, τό καθ’ ἑαυτόν εἰπεῖν· «*Μή τί γε ἄρα τό οἱονοῦν πάθος κατέχῃ με; Καί γάρ ὡς ἐν ταῖς θείαις ἀκούω Γραφαῖς, ὅτι ὁ ἔχων ἕν μόνον πάθος εἰς τήν βασιλείαν τῶν οὐρανῶν οὐκ εἰσέρχεται, γέγραπται γάρ· Ἐάν τις τόν νόμον ὅλον τηρήσῃ, πταίσῃ δέ ἐν ἑνί, γέγονεν πάντων ἔνοχος*». Ὁμοίως δέ καί τό ἑαυτόν ἐπισκέπτεσθαι τοιοῦτόν ἐστιν, ἐν τῷ λέγειν καθ’ ἑαυτόν· «*Μήποτε τήνδε ἤ τήνδε τήν ἐντολήν παρημέλησα, ἤ ἀμελῶ καί καταφρονῶ αὐτῆς καί ταύτην οὐ διαπράττομαι*»; λέγει γάρ ὁ Χριστός καί Θεός· «*Ἰῶτα ἕν ἤ μία κεραία ἀπό τοῦ νόμου τῶν ἐντολῶν μου οὐ μή παρέλθῃ, ἕως ἄν πάντα γένηται*», καί πάλιν· «*Ὁ λύσας μίαν τῶν ἐντολῶν τούτων τῶν ἐλαχίστων καί διδάξας οὕτω ποιεῖν τούς ἀνθρώπους, ἐλάχιστος κληθήσεται ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν*».

Ἀλλά γάρ προσέχειν δεῖ καί ταῖς θείαις Γραφαῖς, κἀκείνων ἀναγινωσκομένων βλέπειν ὀφείλει ὁ ἄνθρωπος ἑαυτόν, κατανοεῖν τε καί καταμανθάνειν ὡς ἐν ἐσόπτρῳ τήν ἑαυτοῦ ψυχήν, ἐν ποίοις ἐστίν. Οἷόν τι λέγω; Ἀκούει λέγοντος τοῦ Κυρίου· «*Μετανοεῖτε, ἤγγικε γάρ ἡ βασιλεία τῶν οὐρανῶν*». Μνησθῆναι οὖν ὀφείλει ὅπως διέρχεται τάς ἡμέρας αὐτοῦ. Καί ἐάν καλῶς μετανοῇ, ἐπαυξήσῃ καί ἐπιτείνῃ τήν ἐργασίαν αὐτοῦ· εἰ δέ ἀμελῶς, διορθώσηται.

Πάλιν ἀκούει λέγοντος· «*Μακάριοι οἱ πτωχοί τῷ πνεύματι, ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν*». Ὀφείλει τοίνυν ἐξετάζειν καί δοκιμάζειν ἀεί ἑαυτόν εἰς πᾶν συνάντημα εὐτελές, ὕβρεώς φημι, ἀτιμίας καί ἐξουδενώσεως, καί οὕτω βλέπειν εἰς ἑαυτόν, εἰ ἄρα καί ἔστιν ἡ ἀρετή αὕτη ἐν αὐτῷ τῆς ταπεινώσεως ἤ οὔ· ὁ γάρ ταύτην κεκτημένος φέρει πάντα ἀλύπως καί ἀβαρῶς, μή κεντούμενος ἔν τινι τῶν γινομένων τήν καρδίαν αὐτοῦ. Εἰ δέ καί μικρόν κεντηθῇ, ἀλλ’ οὐ τελείως ταράσσεται· ὑπέρ δέ τοῦ κεντήματος μᾶλλον ἐκείνου τῆς καρδίας αὐτοῦ, ὅτι ὅλως μικρόν ἐλυπήθη καί οὐχί μετά χαρᾶς μᾶλλον τά συμβάντα ἐδέξατο, μαστίζει ἑαυτόν καί εὐτελίζει, λυπεῖται καί κλαίει, εἰσερχόμενος ἐν τῷ ταμιείῳ τῆς ψυχῆς ἤ τῆς κέλλης αὐτοῦ, καί οὕτω προσπίπτων τῷ Θεῷ ἐξομολογεῖται αὐτῷ, ὡς πᾶσαν ἀπολέσας τήν ἑαυτοῦ ζωήν.

Εἶτα πάλιν ἀκούει· «*Μακάροι οἱ πενθοῦντες*». Καί σκόπει πῶς οὐ λέγει οἱ πενθήσαντες, ἀλλ' οἱ ἀεί πενθοῦντες· σκοπεῖν οὖν καί ἐνταῦθα ὀφείλομεν, εἰ καθ' ἡμέραν πενθοῦμεν. Ἐάν γάρ ταπεινοί ἀπό τῆς μετανοίας γενώμεθα, εὔδηλον ὅτι οὐ μή παρέλθῃ ἡμῖν ἡμέρα ἤ μία νύξ ἄνευ δακρύων καί πένθους καί κατανύξεως.

Καί πάλιν· «*Μακάριοι οἱ πραεῖς*». Τίς δέ καθ' ἑκάστην πενθῶν ὀργίλως ζῶν διαμείνῃ καί μή πραΰς γένηται; Ὥσπερ γάρ φλόξ πυρός ὑπό ὕδατος, οὕτως ὑπό τοῦ πένθους καί τῶν δακρύων ὁ θυμός τῆς ψυχῆς σβέννυται· καί τοσοῦτον ὡς χρονίσαντά τινα ἐν τούτῳ, εἰς ἀκινησίαν μετατεθῆναι καί ἐλθεῖν τό θυμικόν τῆς ψυχῆς αὐτοῦ. Διό βλέπειν ὀφείλει τις καί ἐν τούτῳ ἑαυτόν, εἰ πρᾶος ὄντως ἐστίν - ὁ γάρ τοιοῦτος ἐν οὐδενί ἀνέχεται παράβασιν ἰδεῖν τῆς ἐντολῆς τοῦ Θεοῦ, ἀλλ' ὡς ἐκεῖνος ἁμαρτάνων ὑπέρ τῶν ἁμαρτανόντων ἀδιαλείπτως θρηνεῖ - · εἶθ' οὕτως, εἰ τήν δικαιοσύνην πεινᾷ καί διψᾷ τοῦ Θεοῦ· ἔστι γάρ καί δικαιοσύνην τινά μετιόντα εὑρεῖν, μή πεινῶντα μηδέ διψῶντα αὐτήν· δικαιοσύνη γάρ ὁ Θεός ἐστιν, ὥσπερ ἥλιον αὐτόν δικαιοσύνης ἀκούεις καλούμενον. Ὁ γοῦν πεινῶν αὐτόν καί διψῶν, τόν κόσμον ὅλον καί τά ἐν κόσμῳ ἡγεῖται σκύβαλα, τιμάς δέ ἀρχόντων ὡς αἰσχύνην ταῦτα λογίζεται ἤ οὐδόλως τῶν ἀνθρωπίνων τιμῶν ἐπαισθάνεται.

Καί αὖθις· «*Μακάριοι οἱ ἐλεήμονες*». Ἄρα τίνες εἰσίν οἱ ἐλεήμονες; Οἱ τά χρήματα διδόντες καί διατρέφοντες πένητας; οὔ! Ἀλλά τίνες; Οἱ πτωχεύσαντες διά τόν πτωχεύσαντα δι' ἡμᾶς καί μηδέν ἔχοντες δοῦναι, τῶν δέ πτωχῶν καί χηρῶν καί ὀρφανῶν καί τῶν ἐν ἀσθενείᾳ νοερῶς ἀεί μεμνημένοι, πολλάκις δέ καί ὁρῶντες καί συμπαθοῦντες τούτοις καί ὑπέρ αὐτῶν θερμῶς κλαίοντες, οἷος ἦν ὁ Ἰώβ λέγων· «*Ἐγώ δέ ἔκλαυσα ἐπί παντί ἀδυνάτῳ*», οἵτινες καί ὅταν ἔχωσιν ἐλεοῦσι τούτους ἐν ἱλαρότητι καί τά πρός σωτηρίαν ψυχῆς πάντας ἀφθόνως ὑπομιμνήσκοντες, τῷ εἰρηκότι πειθόμενοι· «*Ἀδόλως τε ἔμαθον ἀφθόνως τε μεταδίδωμι*». Οὗτοί εἰσιν οἱ ὑπό Κυρίου μακαριζόμενοι, οἱ ἀληθεῖς ἐλεήμονες· διό καί ἐκ τῆς τοιαύτης ἐλεημοσύνης, ὡς διά βαθμίδος τινός, εἰς τήν τῆς ψυχῆς τελείαν ἀνιόντες φθάνουσι καθαρότητα.

Ἔνθεν τοι καί ἀπό ταύτης ὁ Θεός τούς καθαρούς ἐμακάρισε τήν καρδίαν, οὕτως εἰπών· «*Μακάριοι οἱ καθαροί τῇ καρδίᾳ, ὅτι αὐτοί τόν Θεόν ὄψονται*», εἰδώς ὡς ἅτε Θεός καί νομοθέτης ἡμῶν, ὅτι εἰ μή εἰς τοιαύτην ἔλθῃ διάθεσιν ἡ ψυχή ἡμῶν, οὔτε ἀεννάως πενθεῖ, οὔτε πραεῖα τελείως γίνεται, οὔτε διψᾷ τόν Θεόν, οὔτε τῶν παθῶν καθαίρεται, οὔτε ὡς ἔσοπτρον καθαρόν γίνεται. Εἰ δέ μή ταῦτα γένηται, οὐδέ καθαρῶς τό πρόσωπον ἐν ἑαυτῇ ποτε τοῦ Δεσπότου θεάσεται· ἡ δέ γενομένη τοιαύτη ὁρᾷ τόν Θεόν ἐκ παντός καί καταλάσσεται αὐτῷ, καί γίνεται εἰρήνη ἀναμεταξύ τοῦ Ποιητοῦ ἡμῶν καί Θεοῦ καί τῆς πρῴην ἐχθρᾶς οὔσης αὐτῷ ψυχῆς, καί τηνικαῦτα ὡς εἰρηνοποιός παρά τοῦ Θεοῦ μακαρίζεται· «*Μακάριοι γάρ, φησίν, οἱ εἰρηνοποιοί, ὅτι αὐτοί υἱοί Θεοῦ κληθήσονται*», οἱ τῷ ἐλθόντι δοῦναι εἰρήνην τοῖς ἐγγύς καί τοῖς μακράν ἑαυτούς γνωστῶς καταλλάξαντες, τῷ καταλλάξαι ἡμᾶς ἐχθρούς ὄντας τῷ ἰδίῳ Πατρί καί ἑνῶσαι ἐλθόντι τά διεστῶτα εἰς ἕν, τουτέστι μεταδοῦναι ἡμῖν Πνεύματος Ἁγίου καί λαβεῖν αὐτόν

σάρκα τήν ἡμετέραν. Οἱ τοίνυν ἰδόντες αὐτόν, εὔδηλον ὅτι καί αὐτῷ ἀληθῶς κατηλλάγησαν, τήν ζητουμένην εἰρήνην ἀποτελέσαντες καί υἱοί Θεοῦ γεγονότες. «*Θεός δέ ὁ δικαιῶν, τίς ὁ κατακρίνων; Εἰ δέ τόν ἀδελφόν σου σύ, οὐκ ἀγαπᾷς, τόν Θεόν, ὅν οὐχ ἑώρακας, πῶς δύνασι ἀγαπᾶν; Εἰ δέ ἀγαπᾶν αὐτόν οὐ δυνάμεθα ἤ μᾶλλον εἰπεῖν οὐ βουλόμεθα, δῆλον ὅτι οὐδέ κατηλλάγημεν αὐτῷ. Ἀλλά σπουδάσωμεν ἰδεῖν καί καταλλαγῆναι καί ἀγαπῆσαι αὐτόν, ἀδελφοί, ὡς αὐτός ἐνετείλατο, ἐξ ὅλης ψυχῆς*».

Εἶτα πάλιν ἀκούει λέγοντος· «*Μακάριοι οἱ δεδιωγμένοι ἕνεκεν δικαιοσύνης*», καί καταστοχάζεται ἐρευνῶν ἑαυτόν, εἰ ἕνεκεν ἐντολῆς ἐδιώχθη Θεοῦ, ἐπειδή «*πάντες ὅσοι ἐν Χριστῷ θέλουσι ζῆν διωχθήσονται*», καθώς φησιν ὁ ἀπόστολος. Διό καί ἐπιφέρων φησί· «*Μακάριοί ἐστε, ὅταν ὀνειδίσωσιν ὑμᾶς καί διώξωσι καί εἴπωσι πᾶν πονηρόν ῥῆμα καθ' ὑμῶν ψευδόμενοι ἕνεκεν ἐμοῦ. Χαίρετε καί ἀγαλλιᾶσθε, ὅτι ὁ μισθός ὑμῶν πολύς ἐν τοῖς οὐρανοῖς*». Τίνος οὖν ἕνεκεν ἔσχατον τέθηκε τούς δεδιωγμένους καί ὀνειδιζομένους, καί προστάσσει μετ' ἐξουσίας ἐπιφωνῶν αὐτοῖς τό «*Χαίρετε καί ἀγαλλιᾶσθε*»; Ἐπειδή ὁ μετάνοιαν ἀξίαν τῶν ἑαυτοῦ πλημμελημάτων ἐπιδειξάμενος καί ταπεινός ἐντεῦθεν γενόμενος - ἵνα σοι πάλιν δευτερῶν τά αὐτά εἴποιμι -, καί πενθεῖν καθ' ἑκάστην ἀξιοῦται καί πρᾶος γίνεται καί τόν ἥλιον τῆς δικαιοσύνης ἀπό ψυχῆς πεινᾷ καί διψᾷ καί ἐλεήμων ἀποτελεῖται καί συμπαθής, ὡς τά πάθη πάντων καί τάς θλίψεις καί τάς ἀσθενείας ἑαυτῷ οἰκειούμενος, κλαίων τε καί καθαιρόμενος βλέπει τόν Θεόν καί αὐτῷ καταλλάσεται καί γίνεται τῷ ὄντι εἰρηνοποιός καί υἱός αὐτοῦ τοῦ Θεοῦ κληθῆναι καταξιοῦται. Ὁ γοῦν τοιοῦτος δύναται καί διωκόμενος καί τυπτόμενος καί ὀνειδιζόμενος, λοιδορούμενός τε καί ὑβριζόμενος καί πᾶν πονηρόν ῥῆμα κατ' αὐτοῦ λεγόμενον ἀκούων, ὑπομένειν μετά χαρᾶς καί ἀφράστου ἀγαλλιάσεως, καί τοῦτο εἰδώς ὁ Δεσπότης Θεός μετά ἀποφάσεως εἴρηκε· «*Χαίρετε καί ἀγαλλιᾶσθε*». Ὁ δέ μή τοιοῦτος γεγονώς μηδέ τήν ἐνυπόστατον χαράν ἐντός αὐτοῦ πλουσίως κτησάμενος, πῶς ἀμνησικάκως ἄρα ταῦτα πάντα ὑπενεγκεῖν δυνήσεται; Οὐδαμῶς!

Διό οὖν, πατέρες καί ἀδελφοί μου, πάσῃ σπουδῇ ἑαυτούς ἡμᾶς καθ' ἡμέραν καί καθ' ὥραν, εἰ οἷόν τε, ἀνακρίνειν καί διερευνᾶσθαι μηδέποτε παυσώμεθα, ἀλλά πάσας, ὡς εἴπομεν, τάς ἐντολάς διερχόμενοι καί ἐν μιᾷ ἑκάστῃ αὐτῶν ἑαυτούς ἡμᾶς ἐξετάζοντες καί κατασκοποῦντες ὁρῶμεν. καί εἰ μέν εὑρεθῶμεν αὐτήν ἐκπληρώσαντες, εὐχαριστήσωμεν τῷ Δεσπότῃ Θεῷ καί εἰς τό ἑξῆς ἀσφαλῶς ταύτην φυλάξωμεν· εἰ δέ μήπω ταύτης ἐμνήσθημεν ἤ αὐτήν πεποιήκαμεν, δράμωμεν, παρακαλῶ, ἕως ταύτης δραξώμεθα καί γενώμεθα αὐτῆς ἐγκρατεῖς, ἵνα μή καταφρονήσαντες αὐτῆς, ἐλάχιστοι κληθῶμεν ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν. Οὕτω γάρ μίαν μίαν κατά μικρόν ὡς βαθμίδα κλίμακος ἀνερχόμενοι, εὖ οἶδα, φθάσομεν εἰς αὐτήν τήν πόλιν τοῦ οὐρανοῦ, ἐν ᾗ, ὡς προειρήκαμεν ἄνωθεν, ἵσταται διακύπτων ὁ Δεσπότης ἡμῶν λέγων πᾶσιν ἡμῖν· «*Δεῦτε πρός με πάντες οἱ κοπιῶντες καί πεφορτισμένοι, κἀγώ ἀναπαύσω ὑμᾶς*», κἀκεῖσε γενόμενοι καί αὐτόν ὡς δυνατόν ἀνθρώπῳ ἰδόντες καί τήν βασιλείαν παρ' ἐκείνου λαβόντες τῶν οὐρανῶν, ἥτις ἐστί τό Πνεῦμα τό Ἅγιον, ἐντός ἡμῶν ταύτην ἀεί ἕξομεν, ὡς αὐτός ὁ Δεσπότης διαρρήδην βοᾷ, καί οὕτω διάξομεν ὡς ἄγγελοι ἐπί τῆς γῆς, μᾶλλον δέ

ὡς υἱοί Θεοῦ ἅγιοι καί ἐν πᾶσι μιμηταί τοῦ ἰδίου Πατρός καί Θεοῦ· οὗ γένοιτο πάντας ἡμᾶς τῆς γλυκυτάτης θέας ἀναπολαῦσαι νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

# Λόγος ΛΒ΄. Περί βλασφημίας. Καί ὅτι ὁ λέγων μή δύνασθαί τινα τήν παροῦσαν γενεάν ἐν μετοχῇ τοῦ Ἁγίου γενέσθαι Πνεύματος, ἀλλά καί ὁ διαβάλλων τάς ἐνεργείας τοῦ Πνεύματος καί τῷ ἐναντίῳ ταύτας ἐπιφημίζων, αἵρεσιν νέαν εἰς τήν τοῦ Θεοῦ ἐκκλησίαν ἀνακαινίζει.

Ἀδελφοί καί πατέρες, «*πᾶσα ἁμαρτία*», φησί τό ἱερώτατον λόγιον τοῦ Σωτῆρος, «*ἀφεθήσεται τοῖς ἀνθρώποις, τῷ δέ εἰς τό Πνεῦμα τό Ἅγιον βλασφημήσαντι οὐκ ἀφεθήσεται οὔτε ἐν τῷ νῦν αἰῶνι, οὔτε ἐν τῷ μέλλοντι*». Ζητήσωμεν οὖν τίς ἐστιν ἡ εἰς τό Πνεῦμα τό Ἅγιον βλασφημία. Βλασφημία ἐστίν εἰς τό Πνεῦμα τό Ἅγιον τό ἐπιφημίζειν τάς ἐνεργείας αὐτοῦ τῷ πνεύματι τῷ ἐναντίῳ, καθά φησιν ὁ μέγας Βασίλειος. Πῶς δέ τις τοῦτο ποιεῖ; Ὁπόταν ἤ γινόμενα θαύματα τῷ Ἁγίῳ Πνεύματι ἤ ἕτερόν τις ὁρῶν θεῖον χάρισμα εἰς ἕνα τῶν αὐτοῦ ἀδελφῶν -, φημί δή κατάνυξιν ἤ δάκρυα ἤ ταπείνωσιν ἤ γνῶσιν θείαν ἤ λόγον σοφίας τῆς ἄνωθεν ἤ ἄλλο τι χαριζόμενον ὑπό τοῦ θείου Πνεύματος τοῖς τόν Θεόν ἀγαπῶσι -, λέγει εἶναι τοῦτο ἀπό τῆς ἀπάτης τοῦ διαβόλου· ἀλλά καί ὁ τούς ὑπό θείου Πνεύματος ἀγομένους ὡς υἱούς Θεοῦ, τούς τά προστάγματα ποιοῦντας τοῦ Πατρός αὐτῶν καί Θεοῦ, λέγων ὑπό δαιμόνων πλανᾶσθαι, καί αὐτός εἰς τό Πνεῦμα τό Ἅγιον βλασφημεῖ τό ἐνεργοῦν ἐν αὐτοῖς, καθά δή καί Ἰουδαῖοί ποτε εἰς τόν Υἱόν τοῦ Θεοῦ· ἐκεῖνοι γάρ ἔβλεπον δαίμονας ἀπελαυνομένους ὑπό Χριστοῦ καί κατά τοῦ Ἁγίου Πνεύματος ἐβλασφήμουν καί ἀναιδῶς οἱ ἀναιδεῖς ἔλεγον· «*Ἐν Βεελζεβούλ, ἄρχοντι τῶν δαιμονίων, ἐκβάλλει τά δαιμόνια*». Ἀλλά ταῦτα ἀκούοντές τινες οὐκ ἀκούουσι καί βλέποντες οὐ βλέπουσι, πάντα δέ τά ὑπό τῆς θείας Γραφῆς μαρτυρούμενα ἔργα ἐκ Πνεύματος Ἁγίου καί ἐνεργείας θείας γίνεσθαι, ὥσπερ ἑαυτῶν ἔξω γενόμενοι καί πᾶσαν θείαν Γραφήν ἀπό τῶν ψυχῶν αὐτῶν ἀποπτύσαντες καί τήν ἐξ αὐτῶν ἐγγινομένην γνῶσιν τῶν διανοιῶν αὐτῶν ἐξωθήσαντες, ἐκ μέθης καί δαιμονικῆς ἐργασίας ταῦτα γίνεσθαι λέγειν οὐ φρίττουσι.

Καθάπερ γάρ ἄπιστοι καί παντελῶς τῶν θείων μυστηρίων ὄντες ἀμύητοι, κἄν περί ἐλλάμψεως θείας ἀκούσωσι, κἄν περί φωτισμοῦ ψυχῆς καί νοός, κἄν περί θεωρίας καί ἀπαθείας, κἄν περί ταπεινώσεως καί δακρύων τῶν ἐξ ἐνεργείας καί χάριτος τοῦ Ἁγίου Πνεύματος ἐκχεομένων, εὐθύς, ὥσπερ μή φέροντες τήν ὑπερβάλλουσαν αἴγλην τῶν λόγων καί δύναμιν, σκοτιζόμενοι τούς ὀφθαλμούς τῆς καρδίας μᾶλλον ἤ αὐγαζόμενοι, ἐκ πλάνης δαιμόνων εἶναι ταῦτα τολμηρῶς ἀποφαίνονται καί οὔτε τό τοῦ Θεοῦ κρίμα, οὔτε τήν τῶν ἀκουόντων αὐτούς βλάβην φρίττουσι, πᾶσι δέ ἀναίδην οἱ τολμητίαι διαμαρτύρονται μηδέν τοιοῦτον νῦν ἔν τινι τῶν πιστῶν παρά Θεοῦ γίνεσθαι, ὅπερ ἀσέβειά ἐστι μᾶλλον ἤ αἵρεσις. Αἵρεσις μέν γάρ ἐστι τό ἔν τινι παρεκκλῖναι τῶν κειμένων ἡμῖν δογμάτων περί τῆς ὀρθῆς ἡμῶν πίστεως· τό δέ λέγειν μή εἶναι ἀρτίως τινάς τούς τόν Θεόν ἀγαπῶντας, μηδέ Πνεύματος Ἁγίου τούτους καταξιοῦσθαι καί ὑπ᾽ αὐτοῦ βαπτιζομένους υἱούς Θεοῦ καί θεούς ἐν γνώσει καί πείρᾳ καί θεωρίᾳ γίνεσθαι, πᾶσαν

ἀνατρέπει τοῦ Θεοῦ καί Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ τήν οἰκονομίαν καί φανερῶς ἀπαρνεῖται τήν ἀνακαίνισιν τῆς φθαρείσης εἰκόνος καί θανατωθείσης, τήν ἐπί ἀφθαρσίαν αὐτῆς γενομένην καί ἀθανασίαν ἀνάκλησιν.

Ὡς γάρ οὐκ ἔστι τόν μή βαπτισθέντα δι' ὕδατος καί Πνεύματος σωθῆναί ποτε, οὕτως οὐδέ τόν μετά τό βάπτισμα ἁμαρτήσαντα, ἐάν μή βαπτισθῇ ἄνωθεν καί ἀναγεννηθῇ, καθώς ὁ Κύριος τοῦτο βεβαιῶν πρός τόν Νικόδημον ἔφη· «*Ἐάν μή τις γεννηθῇ ἄνωθεν, οὐ μή εἰσέλθῃ εἰς τήν βασιλείαν τῶν οὐρανῶν*», καί πρός τούς ἀποστόλους αὖθις· «*Ἰωάννης μέν ἐβάπτισεν ὕδατι, ὑμεῖς δέ βαπτισθήσεσθε ἐν Πνεύματι Ἁγίῳ*». Ὁ οὖν ἀγνοῶν καί ὅπερ νήπιος ἐβαπτίσατο βάπτισμα καί μηδέ ὅτι ἐβαπτίσατο ἐπιστάμενος, ἀλλά πίστει μόνῃ τοῦτο ἀποσμηξάμενος, τό δεύτερόν τε - τό διά Πνεύματος λέγω, ἄνωθεν φιλανθρωπίᾳ Θεοῦ διδόμενον τοῖς διά μετανοίας αὐτό ἐκζητοῦσιν - ἀπαρνούμενος, πῶς ποτε ἄλλως σωτηρίας τυχεῖν δυνήσεται; Οὐδαμῶς.

Διά τοῦτο οὖν διαμαρτύρομαι πᾶσιν ὑμῖν καί λέγω καί λέγων οὐ παύσομαι, ὅσοι τό πρῶτον βάπτισμα διά παραβάσεως τῶν ἐντολῶν τοῦ Θεοῦ ἐμολύνατε, τήν τοῦ Δαβίδ μετάνοιαν καί τῶν λοιπῶν ἁγίων μιμήσασθε καί πάσῃ σπουδῇ διά παντοίων ἔργων καί λόγων ἀξίαν μετάνοιαν ἐπιδείξασθε, ἵνα τήν τοῦ Παναγίου Πνεύματος χάριν ἐφ' ἑαυτοῖς ἐπισπάσησθε. Τοῦτο γάρ τό Πνεῦμα, κατελθόν ἐφ' ὑμᾶς, κολυμβήθρα φωτοειδής ὑμῖν γένηται, καί ἐγκολπωσάμενος ὑμᾶς, ἀρρήτως ὅλους ἐν ἑαυτῷ, ἐκ φθαρτῶν ἀφθάρτους, ἐκ θνητῶν ἀθανάτους καί ἀντί υἱῶν ἀνθρώπων Θεοῦ υἱούς καί θεούς θέσει καί χάριτι, ἀναγεννῆσαν ὑμᾶς ἀπεργάσηται - εἰ ἄρα καί βούλεσθε τῶν ἁγίων συγγενεῖς καί συγκληρονόμοι φανήσεσθαι καί μετά πάντων αὐτῶν εἰς τήν βασιλείαν τῶν οὐρανῶν εἰσελθεῖν- · οἷον νῦν καί τόν ἅγιον πατέρα ἡμῶν ἔγνωμεν τόν Στουδιώτην, ἐν τῇ καθ' ἡμᾶς γενόμενον γενεᾷ, καί οὐ μόνον αὐτόν, ἀλλά καί τινάς ἄλλους τῶν αὐτοῦ μαθητῶν, διά τῶν αὐτοῦ δεήσεων καί εὐχῶν, ἀφάτῳ φιλανθρωπίᾳ τοῦ ὑπεραγάθου Θεοῦ τοῦ τοιούτου καταξιωθέντας, ὡς ἔφην, καλοῦ. Λέγω δέ τοῦτο οὐκ ἐν τῇ ἐκείνων δυνάμει καυχώμενος, ἀλλά τῇ ἀγαθότητι εὐχαριστῶν τοῦ Θεοῦ καί κηρύττων ταύτην πᾶσιν ὑμῖν, ἵνα καί ὑμεῖς αὐτοί σπουδάσητε τοῦ τοιούτου καταξιωθῆναι καλοῦ. Τοῦτο γάρ ἐστι τό γνώρισμα τῆς κατά Θεόν ἀγάπης, ἵνα μή μόνον ἑαυτῷ τις τήν κτῆσιν περιποιῆται τοῦ καλοῦ, ἀλλά καί τοῖς πλησίον αὐτοῦ ἀδελφοῖς γνωρίζῃ τόν πλοῦτον αὐτοῦ καί προτρέπηται αὐτοῖς ζητῆσαι καί εὑρεῖν καί πλουτῆσαι αὐτόν.

Διά τοῦτο τοιγαροῦν, ὡς ὁρᾶτε, βοῶ πρός ὑμᾶς, τάς προφητικάς ἀναλαμβάνων φωνάς· «*Προσέλθετε πρός αὐτόν καί φωτίσθητε καί τά πρόσωπα τῶν συνείδησεων ὑμῶν οὐ μή καταισχυνθῇ* ». Τί γάρ; Τῇ ῥαθυμίᾳ καί ἀμελείᾳ καί ταῖς ἐπιθυμίαις καί ἡδοναῖς τῆς σαρκός ἐκδότους ἑαυτούς ποιήσαντες, ἀδύνατον εἶναι ὑμῖν διά μετανοίας ἐκκαθαρθῆναι καί Θεῷ προσεγγίσαι λέγετε· καί οὐ τοῦτον μόνον, ἀλλ' οὐδέ τήν τοῦ Πνεύματος αὐτοῦ χάριν λαβεῖν δυνατόν καί δι' αὐτῆς ἀναγεννηθῆναι καί υἱοθετηθῆναι καί ἐξομοιωθῆναι αὐτῷ; Οὐκ ἔστι τοῦτο ἀδύνατον, οὐκ ἔστιν. Ἀδύνατον μέν γάρ ἦν πρό τῆς αὐτοῦ ἐπί γῆς παρουσίας· ἀφ' οὗ δέ εὐδόκησεν ἄνθρωπος γενέσθαι καί κατά πάντα χωρίς ἁμαρτίας

ἐξομοιωθῆναι ἡμῖν ὁ Δεσπότης τῶν ἁπάντων Θεός, δυνατά ἡμῖν ταῦτα καί ῥᾴδια ἀπειργάσατο, δεδωκώς ἡμῖν ἐξουσίαν υἱούς γενέσθαι Θεοῦ καί συγκληρονόμους αὐτοῦ, ᾧ πρέπει πᾶσα δόξα, τιμή καί προσκύνησις εἰς τούς αἰῶνας. Ἀμήν.

# Λόγος ΛΓ΄. Περί μετοχῆς Πνεύματος Ἁγίου. Καί ὅτι ἀδύνατον ἄλλως βεβαιωθῆναι τά ἔργα τῆς ἀρετῆς, εἰ μή δι’ ἐπιδημίας τοῦ Πνεύματος, οὗ χωρίς οὐδείς πρός ἀρετήν κατευθύνεται, οὐδέ ἄλλους ὠφελεῖν δύναται ἤ ἀλλοτρίους δέχεσθαι λογισμούς. Καί περί τό ἴσον κατά πάντα καί ὡσαύτως ὄν τῆς Τρισυποστάτου Θεότητος.

Ἀδελφοί καί πατέρες, πῦρ ἐστιν ὁ Θεός καί τοῦτο παρά πάσης θεοπνεύστου Γραφῆς ὀνομάζεται, ἡ δέ ψυχή ἑκάστου ἡμῶν λυχνία. Ὥσπερ οὖν ἡ λυχνία, κἄν ἐλαίου πεπλήρωται κἄν στυππείου κἄν ἄλλην ὕλην ἔχῃ εὐάναπτον, πρό τοῦ μετασχεῖν τοῦ πυρός καί ἀναφθῆναι ὅλη ἐσκοτισμένη ἐστίν, οὕτω καί ἡ ψυχή, κἄν πάσαις τό δοκεῖν κοσμῆται ταῖς ἀρεταῖς, τοῦ δέ πυρός οὐ μετέσχεν, εἴτ’ οὖν οὐσίας θείας καί φωτός οὐ μετέλαβεν, ἔστιν ἔτι ἐσβεσμένη καί ἐσκοτισμένη καί τά ἔργα αὐτῆς ἀβέβαια. Πάντα γάρ ὑπό τοῦ φωτός ἐλεγχθῆναι δεῖ καί φανερωθεῖναι.

Ὁ οὖν οὕτως ἔχων ἔτι τήν λυχνίαν τῆς ψυχῆς αὐτοῦ - ἀμέτοχον δηλονότι τοῦ θείου πυρός -, ὁδηγοῦ δέεται μᾶλλον καί λύχνου φαίνοντος ἅμα καί διακρίνοντος τάς πράξεις αὐτοῦ καί τά δι’ ἐξαγορεύσεως συμπαθοῦντος αὐτῷ σφάλματα καί τά στρεβλῶς ὑπ’ αὐτοῦ καθ’ ὥραν διαπραττόμενα ἐπανορθοῦντος. Ὡς γάρ οὐκ ἐνδέχεται μή προσκόπτειν τόν περιπατοῦντα νυκτός, οὕτως οὐκ ἐνδέχεται μή πταίειν τόν μήπω καθορῶντα τό θεῖον φῶς, καθώς φησιν ὁ Χριστός· «*Ἐάν τις περιπατῇ ἐν τῇ ἡμέρᾳ, οὐ προσκόπτει, ὅτι τό φῶς τοῦτο βλέπει. Ἐάν δέ τις περιπατῇ ἐν τῇ νυκτί, προσκόπτει, ὅτι τό φῶς οὐκ ἔχει ἐν ἑαυτῷ*». - «*Ἐν ἑαυτῷ*» δέ εἰπών, τό θεῖον ἐδήλωσε καί ἄϋλον φῶς· ἐν ἑαυτῷ γάρ τό αἰσθητόν οὐδείς δύναται κτήσασθαι.

Ὥσπερ οὖν οὐδέν ὠφελεῖται ὁ ἐν σκότει περιπατῶν, ἐάν λαμπάδας κατέχῃ ἐσβεσμένας πολλάς καί περικαλλεῖς - οὔτε γάρ ἑαυτόν οὔτε ἕτερόν τινα ὡς ἐκ τούτων ὁρᾷ - , οὕτως οὐδέ ὁ τάς ἀρετάς πάσας, εἰ οἷόν τε, δοκῶν ἐν ἑαυτῷ ἔχειν, μή ἔχων τό φῶς ἐν ἑαυτῷ τοῦ Ἁγίου Πνεύματος, οὐδέ τάς αὐτοῦ πράξεις καλῶς ἰδεῖν, οὐδέ εἰ πρός ἀρέσκειαν Θεοῦ εἰσι, τελείως πεπληροφόρηται. Ἀλλ’ οὐδέ ἄλλους ὁδηγῆσαι ἤ τό θέλημα τοῦ Θεοῦ διδάξαι δύναται, οὐδέ λογισμούς ἀλλοτρίους ἐστίν ἀναδέχεσθαι ἄξιος, εἰ καί πατριάρχης ἐξ ἀνθρώπων γενήσεται, ἕως ἄν τό φῶς ἐν ἑαυτῷ φαῖνον κτήσηται. Φησί γάρ ὁ Χριστός· «*Περιπατεῖτε ἕως τό φῶς ἔχετε, ἵνα μή σκοτία ὑμᾶς καταλάβῃ, καί ὁ περιπατῶν ἐν τῇ σκοτίᾳ οὐκ οἶδε ποῦ ὑπάγει*». Εἰ οὖν ἐκεῖνος οἶδε ποῦ ὑπάγει, πῶς τήν ὁδόν ἄλλοις ὑποδείξει; Τί οὖν ὄφελος, ἐάν λύχνον ἐσβεσμένον ἐπί ἑτέρᾳ λυχνίᾳ τις ἐπιθείη, πυρός καιομένου ἐστερημένῃ καί φαίνοντος. Οὐ γάρ οὕτω δεῖ ποιεῖν! Ἀλλά πῶς; Ὡς αὐτός ὁ ἐπί πάντων Θεός διωρίσατο, φησί γάρ· «*Οὐδείς λύχνον ἅψας εἰς κρύπτην τίθησιν, οὐδέ ὑπό τόν μόδιον, ἀλλ’ ἐπί τήν λυχνίαν, ἵνα οἱ εἰσπορευόμενοι τό φέγγος βλέπωσι*». Τοῦτο οὖν εἰπών προστίθησι καί τά γνωρίσματα τοῦ ὁδηγουμένου λύχνου καί ἔχοντος μεθ’

ἑαυτοῦ τό φῶς, οὕτω λέγων· «*Ὁ λύχνος τοῦ σώματός ἐστι ὁ ὀφθαλμός*». Τίνα τοίνυν λέγει διά τούτου τόν ὀφθαλμόν ἤ πάντως τόν νοῦν, ὅς οὐδέποτε ἄν γένηται ἁπλοῦς, εἰ μή ὅτε τό ἁπλοῦν θεάσηται φῶς; Φῶς δέ ἁπλοῦν ὁ Χριστός. Ὁ γοῦν ἀεί ἔχων τό φῶς αὐτοῦ λάμπον ἐν διανοίᾳ, νοῦν Χριστοῦ ἔχειν λέγεται. Ὅταν οὖν ὁ ὀφθαλμός σου οὕτως ἁπλοῦς ᾖ, καί ὅλον τό ἀσώματον σῶμά σου τῆς ψυχῆς φωτεινόν ἔσται· ἐπάν δέ πονηρός ᾖ ὁ νοῦς, τουτέστιν ἐσκοτισμένος καί ἐσβεσμένος, καί τό σῶμά σου τοῦτο σκοτεινόν ἔσται. Σκόπει οὖν μή τό φῶς τό ἐν σοί σκότος ἐστί· «*Βλέπε, φησί, μή δοκεῖς ἔχειν ὅπερ οὐ κέκτησαι*». Ὁρᾶτε πῶς καί αὐτός ὁ Δεσπότης ἴσως ἡμῖν τοῖς αὐτοῦ δούλοις πρός ὑμᾶς διαλέγεται, «*Σκόπει*» λέγων, «*μή λάθῃς σεαυτόν καί ἐν σοί φῶς εἶναι οἰομένου σου, αὐτό οὐκ ἔστι φῶς ἀλλά σκότος*». Ὁρᾶτε ὅτι τά αὐτά καί ἡμεῖς τῷ Δεσπότῃ πρός τούς ὁμοδούλους ὑμᾶς φθεγγόμεθα καί οὐδέν διεστραμμένον ἤ φαῦλον λέγομεν.

Λέγομεν γάρ· βλέπετε, ἀδελφοί, μήποτε δοκοῦντες εἶναι ἐν τῷ Θεῷ καί κοινωνίαν ἔχειν οἰόμενοι μετ’ αὐτοῦ, ἔξω εὑρεθείητε τούτου καί κεχωρισμένοι διά τό μή θεωρεῖν ὑμᾶς ἤδη τό φῶς αὐτοῦ. Εἰ γάρ ἥψατο τῶν λαμπάδων ὑμῶν - ἤγουν τῶν ψυχῶν -, ἔλαμψεν ἄν τρανῶς ἐν ὑμῖν, καθώς αὐτός ὁ Θεός καί Κύριος ἡμῶν Ἰησοῦς Χριστός ἔφη· «*Εἰ οὖν τό σῶμά σου ὅλον φωτεινόν, μέρος τι μή ἔχον σκοτεινόν, ἔσται φωτεινόν ὅλον, ὡς ὅταν ὁ λύχνος τῇ ἀστραπῇ φωτίζει σε*». Ποίαν οὖν μαρτυρίαν ἄλλην μείζονα τούτου πρός πληροφορίαν σοι παρεισάξομεν; εἰ δέ τῷ Δεσπότῃ διαπιστήσεις, πῶς, εἰπέ μοι, τῷ συνδούλῳ πιστεύσεις;

Ἀλλά τί εἴπω πρός τούς ἀγαπῶντας ὀνομαστούς εἶναι καί ἱερεῖς καί ἀρχιερεῖς καί ἡγουμένους καθίστασθαι, καί λογισμούς ἀλλοτρίους ἀναδέχεσθαι θέλοντας, καί ἑαυτούς εἶναι λέγοντας ἀξίους τῆς τοῦ δεσμεῖν καί λύειν ἐγχειρήσεως; Ὅταν μηδέν τῶν ἀναγκαίων καί θείων πραγμάτων αὐτούς ἐπισταμένους ὁρῶ, μήτε ταῦτα ἑτέρους διδάσκοντας ἤ εἰς φῶς ἐνάγοντας γνώσεως, τί ἕτερον ἤ ὅ φησι Χριστός τοῖς φαρισαίοις καί νομικοῖς· «*Οὐαί ὑμῖν τοῖς νομικοῖς, ὅτι ἤρατε τήν κλεῖδα τῆς γνώσεως. Αὐτοί οὐκ εἰσήλθετε καί τούς εἰσελθεῖν βουλομένους ἐκωλύσατε*». Τί γάρ ἄλλο ἡ κλείς ἐστι τῆς γνώσεως, εἰ μή ἡ διά πίστεως διδομένη χάρις τοῦ Ἁγίου Πνεύματος, ἡ τήν γνῶσιν ὡς ἀληθῶς καί ἐπίγνωσιν διά φωτισμοῦ ἐμποιοῦσα καί διανοίγουσα τόν κεκλεισμένον καί κεκαλυμμένον ἡμῶν νοῦν, καθώς πολλάκις διά πολλῶν παραβολῶν καί αἰνιγμάτων, ἔτι δέ καί φανερῶν ἀποδείξεων, εἶπον ὑμῖν καί πάλιν ἐρῶ· ἡ θύρα ὁ Υἱός - «*Ἐγώ εἰμι, φησίν, ἡ θύρα*»-, ἡ κλείς δέ τῆς θύρας τό Πνεῦμα τό Ἅγιόν ἐστι - «*Λάβετε, φησί, Πνεῦμα Ἅγιον· ἄν τινων ἀφῆτε τάς ἁμαρτίας, ἀφίενται αὐτοῖς· ἄν τινων κρατῆτε, κεκράτηνται*»-, οἰκία δέ ὁ Πατήρ - «*Ἐν γάρ τῇ οἰκίᾳ τοῦ Πατρός μου πολλαί μοναί εἰσι*»- . Πρόσεχε οὖν ἀκριβῶς τῇ θεωρίᾳ τοῦ λόγου. Εἰ μή οὖν ἡ κλείς ἀνοίξει - «*Τούτῳ γάρ, φησίν, ὁ θυρωρός ἀνοίγει*» -, ἡ θύρα οὐκ ἀνοίγεται· ἄν δέ μή ἡ θύρα διανοιχθῇ, οὐδείς εἰς τήν οἰκίαν εἰσέρχεται τοῦ Πατρός, καθώς φησιν ὁ Χριστός· «*Οὐδείς ἔρχεται πρός τόν Πατέρα, εἰ μή δι’ ἐμοῦ*».

Ὅτι δέ τό Πνεῦμα τό Ἅγιον πρότερον διανοίγει τόν νοῦν ἡμῶν καί διδάσκει ἡμᾶς τά

περί τοῦ Πατρός καί τοῦ Υἱοῦ, αὐτός πάλιν ἔφη· «*Ὅταν δέ ἔλθῃ ἐκεῖνος, τό Πνεῦμα τῆς ἀληθείας, ὅ παρά τοῦ Πατρός ἐκπορεύεται, ἐκεῖνος μαρτυρήσει περί ἐμοῦ καί ὁδηγήσει ὑμᾶς εἰς πᾶσαν τήν ἀλήθειαν*», - ὁρᾷς πῶς διά τοῦ Πνεύματος, μᾶλλον δέ ἐν τῷ Πνεύματι, ὁ Πατήρ καί ὁ Υἱός ἀχωρίστως ἐπιγινώσκονται; - καί πάλιν· «*Ἐάν γάρ ἐγώ μή ἀπέλθω, ὁ Παράκλητος, φησίν, οὐκ ἐλεύσεται πρός ὑμᾶς. Ὅταν δέ ἔλθῃ ἐκεῖνος, ἀναμνήσει ὑμᾶς πάντα*» καί πάλιν· «*Ἐάν ἀγαπᾶτέ με, τάς ἐντολάς τάς ἐμάς τηρήσετε, καί ἐγώ ἐρωτήσω τόν Πατέρα καί ἄλλον Παράκλητον δώσει ὑμῖν, ἵνα μένῃ μεθ' ὑμῶν εἰς τόν αἰῶνα, τό Πνεῦμα τῆς ἀληθείας*» καί μετ' ὀλίγον· «*Ἐν ἐκείνῃ τῇ ἡμέρᾳ - ὅτε δηλονότι τό Ἅγιον Πνεῦμα ἐλεύσεται πρός ὑμᾶς - γνώσεσθε ὑμεῖς ὅτι ἐγώ ἐν τῷ Πατρί μου καί ὑμεῖς ἐν ἐμοί κἀγώ ἐν ὑμῖν*» καί πάλιν· «*Ἰωάννης μέν ἐβάπτισεν ὕδατι, ὑμεῖς δέ βαπτισθήσεσθε ἐν Πνεύματι Ἁγίῳ*», καί εἰκότως· εἰ μή γάρ ἐν Ἁγίῳ βαπτισθῇ τις Πνεύματι, οὔτε υἱός Θεοῦ οὔτε συγκληρονόμος Χριστοῦ γίνεται. Ἀλλά καί τῷ Πέτρῳ φησί· «*Σοί δώσω τάς κλείς τῆς βασιλείας τῶν οὐρανῶν*», οὐ κλεῖς πάντως χαλκᾶς ἤ σιδηρᾶς, ἀλλά κλεῖς ἀξίας τῆς οἰκίας ἐκείνης. Ποταπή δέ ἐστιν ἡ οἰκία ἐκείνη, ἄκουε Παύλου λέγοντος ἐν τῇ πρός Τιμόθεον ἐπιστολῇ· «*Παραγγέλλω σοι ἐνώπιον τοῦ Θεοῦ, τοῦ ζωοποιοῦντος τά πάντα, καί Χριστοῦ Ἰησοῦ*», καί μετ' ὀλίγα· «*Ὁ μακάριος καί μόνος δυνάστης, ὁ βασιλεύς τῶν βασιλευόντων καί Κύριος τῶν κυριευόντων, ὁ μόνος ἔχων ἀθανασίαν, φῶς οἰκῶν ἀπρόσιτον*». Εἰ γάρ ὁ οἶκος, φησίν, ἐστίν ἀπρόσιτος, δηλονότι καί ἡ τοῦ οἴκου θύρα φῶς καί αὕτη καί ἀπρόσιτός ἐστιν. Εἰ δέ τό μέν προσιτόν εἴπῃς, τό δέ ἀπρόσιτον, τό προσιτόν ὑπό τοῦ ἀπροσίτου ἀναλωθήσεται καί οὐκ ἄν ποτε ἡ κλείς ἀνοῖξαι ἰσχύσει, εἰ μή καί αὐτή ἀπρόσιτος ᾖ καί τῆς αὐτῆς φύσεως, ἀλλ' ὑπό τῆς θύρας κατακαήσεται ἤ καί ἡ θύρα ὑπό τοῦ οἴκου, καί ἴσως τοῖς πᾶσι γενήσεται ἄβατος. Μᾶλλον δέ καί ἡ πίστις ἡμῶν καταλυθήσεται, τῆς Ἁγίας Τριάδος διαιρουμένης εἰς προσιτόν καί ἀπρόσιτον καί μεῖζον καί ἔλασσον.

Ὁρᾶτε δέ μή ταῦτα ὑμεῖς ἀκούοντες, ἀπό τῶν αἰσθητῶν οἰκιῶν ὁμοῦ καί θυρῶν τάς εἰκόνας λαμβάνοντες, σωματικόν τι σχῆμα τῷ νοΐ ὑμῶν προεντυπωθῇ, καί εἰς ἀμφιβολίαν καί βλασφημίαν περιπέσῃ ὑμῶν ἡ ψυχή. Ἀλλά θεοπρεπῶς ἅπαντα καί καλῶς, εἴγε δύνασθε, κατά τόν τῆς θεωρίας λόγον καί νόμον ἐν ἑαυτοῖς ἀναλογιζόμενοι, εὑρήσετε ὀρθῶς ἅπαντα διερμηνευόμενα. Εἰ δέ μή δύνασθε ταῦτα θεοπρεπῶς οὕτω νοεῖν, πίστει ταῦτα δέχεσθε μόνῃ καί μή πολυπραγμονεῖν ὅλως θελήσητε. Κλείς μέν γάρ τό Ἅγιον Πνεῦμα λέγεται, ὅτι δι' αὐτοῦ καί ἐν αὐτῷ πρῶτον τόν νοῦν ἐλλαμπόμεθα καί καθαιρόμενοι φωτιζόμεθα φῶς γνώσεως, βαπτιζόμεθά τε ἄνωθεν καί ἀναγεννώμεθα καί τέκνα Θεοῦ χρηματίζομεν, καθώς ὁ Παῦλός φησιν· «*Αὐτό τό Πνεῦμα ἐντυγχάνει ὑπέρ ἡμῶν στεναγμοῖς ἀλαλήτοις*», καί πάλιν· «*Ἔδωκεν ὁ Θεός τό Πνεῦμα αὐτοῦ ἐν ταῖς καρδίαις ἡμῶν κρᾶζον· Ἀββᾶ ὁ Πατήρ*». Τοῦτο τοιγαροῦν δεικνύει τήν θύραν ἡμῖν ὅτι ἐστί φῶς, ἡ δέ θύρα διδάσκει ἡμᾶς ὅτι ὁ ἐνοικῶν τῇ οἰκίᾳ καί αὐτός φῶς ἀπρόσιτον ἐστιν. Οὐκ ἄλλος δέ ὁ οἰκῶν Θεός καί ἕτερον φῶς ἡ οἰκία αὐτοῦ, ὥσπερ οὐδέ ἄλλο φῶς τό τῆς Θεότητος καί ἄλλο Θεός. Ἀλλ' ὁ αὐτός εἷς ἐστιν, οἰκία καί ἔνοικος, καθώς καί φῶς ἐστιν ὁ αὐτός καί Θεός. Θεολογικῶς δέ οἰκία καί ὁ Υἱός καλεῖται, ὥσπερ καί ὁ Πατήρ - φησί γάρ· «*Σύ, Πάτερ, ἐν ἐμοί κἀγώ ἐν αὐτοῖς καί αὐτοί ἐν ἐμοί κἀγώ, Πάτερ ἐν*

*σοί, ἵνα ἕν ὦμεν*», καί τό Πνεῦμα ὡσαύτως· «*Ἐνοικήσω, φησίν, ἐν αὐτοῖς καί ἐμπεριπατήσω. Ἐγώ καί ὁ Πατήρ ἐλευσόμεθα καί μονήν παρ' αὐτῷ ποιήσομεν*», διά τοῦ Πνεύματος δηλονότι, ὡς ὁ Παῦλος φησι· «*Τό γάρ Πνεῦμα ὁ Κύριος ἐστιν*». Εἰ οὖν ὁ Κύριος τό Πνεῦμα ἐστι καί ὁ Πατήρ ἐν αὐτῷ καί αὐτό ἐν ἡμῖν, ὡσαύτως δέ πάλιν ἡμεῖς ἐν αὐτῷ, καί αὐτό μετά Θεοῦ καί Πατρός καί ὁ Θεός ἐν αὐτῷ.

Καί εἰ χρή ἀκριβέστερόν τι εἰπεῖν, ὅπερ τό ἕν ἐστι, τοῦτο καί τά δύο. Τά τρία γάρ ἐν τῷ αὐτῷ εἰσι καί εἰς μίαν νοοῦνται οὐσίαν καί φύσιν καί βασιλείαν. Εἴ τι οὖν τό ἕν ὀνομάζεται, τοῦτο κατά φύσιν καί εἰς τά λοιπά θεωρεῖται, χωρίς τοῦ «*Πατήρ*» δηλαδή καί «*Υἱός*» καί «*Ἅγιον Πνεῦμα*», ἤτοι τοῦ «*γεννᾶν*» ἐκτός καί «*γεννᾶσθαι*» καί «*ἐκπορεύεσθαι*»· μόνα γάρ ταῦτα τῇ Ἁγίᾳ Τριάδι φυσικῶς τε καί κατ' ἰδιότητα ἀναντιρρήτως παρέπεται. Ἀλλοίωσιν δέ ἤ ἀναποδισμόν ἤ τήν τῶν ὀνομάτων ἐναλλαγήν ἐν τούτοις οὐκ ἔστιν ἐννοῆσαι ἡμᾶς ἤ εἰπεῖν. Διά τούτων γάρ τά τρία πρόσωπα γνώριμα καθεστήκασι καί οὐδέ τόν Υἱόν ἐν τούτῳ προτάξαι τοῦ Πατρός ἐστι δυνατόν, οὐδέ τοῦ Υἱοῦ τό Ἅγιον Πνεῦμα, ἀλλά ἅμα οὕτως εἰπεῖν· «*Πατήρ, Υἱός καί Ἅγιον Πνεῦμα*», μή διακοπῆς τινος ἐν τούτοις ἀπό χρόνου ἤ στιγμῆς τό λεπτότατον γινομένης, ἀλλά σύν τῷ Πατρί ἅμα καί ὁ Υἱός ἐστι γεγεννημένος καί τό Πνεῦμα ἐκπορευόμενον· ἐν δέ τοῖς ἄλλοις πᾶσι τό ἕν ὄνομα ἤ παράδειγμα καί καθ' ἕν ἀναθεωρεῖται καί ἐν τρισίν· οἷον «*φῶς*» ἐάν εἴπῃς, καί καθ' ἕκαστον τούτων φῶς καί τά τρία ἕν φῶς ἐστι· «*ζωή αἰώνιος*», καί καθ' ἕν ὡσαύτως τούτων ὁ Υἱός ἐστι καί τό Πνεῦμα καί ὁ Πατήρ καί τό Πνεῦμα καί ὁ Πατήρ, τά τρία μία ζωή. Πνεῦμα οὖν ὁ Θεός καί Πατήρ καί τό Πνεῦμα ὁ Κύριος ἐστι καί Θεός τό Πνεῦμα τό Ἅγιον· Θεός ταῦτα καθ' ἕν καί ἅμα τά τρία Θεός· εἷς Κύριος ἕκαστον καί τά τρία Κύριος· εἷς ὁ ἐπί πάντων Θεός, Κτίστης τῶν ἁπάντων, καθ' ἕν, καί εἷς ταῦτα Δημιουργός τῶν ὅλων Θεός. Φησί δέ καί τό παλαιόν· «*Ἐν ἀρχῇ ἐποίησε ὁ Θεός τόν οὐρανόν καί τήν γῆν, καί εἶπεν ὁ Θεός· ' Γενηθήτω φῶς' καί ἐγένετο φῶς*», τοῦτο περί τοῦ Πατρός ὁ λόγος ἐννοεῖν δίδωσι, καί ὁ Δαυίδ· «*Τῷ Λόγῳ Κυρίου οἱ οὐρανοί ἐστερεώθησαν*», τοῦτο περί τοῦ Υἱοῦ δηλούμενον ἔγνωμεν, «*καί τῷ Πνεύματι τοῦ στόματος αὐτοῦ πᾶσα ἡ δύναμις αὐτῶν*», περί τοῦ Ἁγίου Πνεύματος καί τοῦτο ὑπολαμβανόμενον. Ἀλλά καί Ἰωάννης, ὁ υἱός τῆς βροντῆς, ἐν Εὐαγγελίοις φησίν· «*Ἐν ἀρχῇ ἦν ὁ Λόγος, καί ὁ Λόγος ἦν πρός τόν Θεόν*» τόν Πατέρα δηλαδή, «*καί Θεός ἦν ὁ Λόγος*» ὁ Υἱός δηλονότι. « *Πάντα δι' αὐτοῦ ἐγένετο, καί χωρίς αὐτοῦ ἐγένετο οὐδέν ὅ γέγονεν*».

Μάθετε οὖν ταῦτα, οἱ τέκνα ἐπονομαζόμενοι τοῦ Θεοῦ, ἀξιῶ, καί οἱ δοκοῦντες εἶναι χριστιανοί, οἱ διδάσκοντες ἄλλους διακενῆς λόγους καί οἱ ἄρχειν οἰόμενοι - πλήν ψευδῶς - ἱερεῖς καί μονάζοντες! Ἐρωτήσατε τούς πρεσβυτέρους καί ἀρχιερεῖς ὑμῶν, συναθροίσθητε ἅμα ἐν ἀγάπῃ Θεοῦ· καί πρῶτον ζητήσατε ἔργῳ ταῦτα μαθεῖν καί παθεῖν, ἔτι δέ καί ἰδεῖν ποτε βουλήθητε καί τῇ πείρᾳ θεοειδεῖς γενέσθαι. Ἀλλά μή τῇ σκηνῇ μόνῃ καί τῇ περιβολῇ προθυμήθητε καί τηνικαῦτα τῶν ἀποστολικῶν ἀξιωμάτων ἐπιβῆτε, ἵνα μή ἀκούσητε, οἱ πρό τῆς γνώσεως τῶν τοῦ Θεοῦ μυστηρίων ἀτελῶς ἐπιτρέχοντες ταῖς τῶν ἄλλων ἀρχαῖς· «*Οὐαί οἱ φρόνιμοι παρ' ἑαυτοῖς καί ἐνώπιον αὐτῶν ἐπιστήμονες!*

*Οὐαί οἱ τιθέντες τό φῶς σκότος καί τό σκότος φῶς».*

Παρακαλῶ οὖν πάντας ὑμᾶς, ἐν Χριστῷ ἀδελφοί, θεῖναι πρῶτον θεμέλιον ἐν τῇ οἰκοδομῇ τῶν ἀρετῶν ἀγαθόν ταπεινώσεως· εἶτα δι' ἀγώνων εὐσεβείας ἐγεῖραι τόν οἶκον τῆς γνώσεως τῶν μυστηρίων τοῦ Θεοῦ καί ὑπό τοῦ θείου καταλαμφθῆναι φωτός καί ἰδεῖν ὄμματι καρδίας κεκαθαρμένῳ Θεόν, ὡς δυνατόν ἡμῖν ἀνθρώποις οὖσι, κἀκεῖθεν μυσταγωγηθῆναι τά τελεώτερα τῶν μυστηρίων τῆς βασιλείας τῶν οὐρανῶν καί οὕτως ἀπό τῆς γνώσεως ταύτης, τῆς ἄνωθεν διδομένης παρά τοῦ Πατρός τῶν φώτων, ἐπί τόν λόγον τῆς διδασκαλίας ἐλθεῖν καί διδάξαι τούς πλησίον ἡμῶν, τί τό θέλημα τοῦ Θεοῦ τό ἀγαθόν καί τέλειον καί εὐάρεστον, καί διά τῆς διδασκαλίας ἡμῶν προσάξαι τῷ Θεῷ λαόν περιούσιον, τῷ διά τοῦ Πνεύματος αὐτοῦ τοῦ Ἁγίου εἰς διδασκάλους προχειρισαμένῳ ἡμᾶς τῆς ἐκκλησίας αὐτοῦ, ἵνα μή ὡς καταφρονηταί καί γυμνοί τοῦ ἐνδύματος τοῦ γάμου ἔξω ῥιφῶμεν τοῦ νυμφῶνος Χριστοῦ, ἀλλ' ὡς φρόνιμοι μᾶλλον οἰκονόμοι, καλῶς τά τοῦ λόγου τῆς διδασκαλίας οἰκονομήσαντες ἐν τοῖς συνδούλοις ἡμῶν καί πρό γε τούτου τά τοῦ βίου ἡμῶν, εἰσέλθωμεν εἰς αὐτόν ἀκωλύτως ἐν λαμπρότητι βίου καί γνώσεως οὐρανίου, φωτοειδεῖς καί Πνεύματος Ἁγίου πεπληρωμένοι, καί συμβασιλεύσωμεν Χριστῷ, τά τῆς βασιλείας τοῦ Θεοῦ καί Πατρός συγκληρονομοῦντες αὐτῷ ἐν Ἁγίῳ Πνεύματι, τῇ ἀειζώῳ καί ἀθανάτῳ πηγῇ καί ζωῇ, ᾧ πρέπει πᾶσα δόξα τιμή καί προσκύνησις νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## Λόγος ΛΔ΄. Ὅτι οὐκ ἀκίνδυνον τό διδόμενον ἡμῖν παρά Θεοῦ τάλαντον κατορύττειν· χρή γάρ δημοσιεύειν αὐτό καί τοῖς πᾶσιν ὑποδεικνύειν καί τάς εὐεργεσίας Θεοῦ εὐγνωμόνως ἀνακηρύττειν εἰς τήν τῶν ἀκουόντων ὠφέλειαν, κἄν τινες ἀπαρέσκωνται.

Ἀδελφοί καί πατέρες καί τέκνα ἐν Χριστῷ τῷ Θεῷ, τί πρός τά κατηχηθέντα παρ᾽ ἡμῶν ἐν διαφόροις πολλάκις λόγοις ὑπενοήσατε; Τί κατά τοῦ ταῦτα παρρησίᾳ λαλήσαντος ἐν ἑαυτοῖς ἀπεφήνασθε; Μή τι τῶν θείων ἔξω Γραφῶν εἰπεῖν ἡμᾶς ὑπελάβετε; Μή τι λεληθότως ἡμᾶς κατεμέμψασθε, ὡς ὑπέρογκα λελεχότας; Μή τι κατεκρίνατε, ὡς μεγαλορρημονοῦντας ἡμᾶς; Εἰ οὖν οὕτω πρός τά ῥηθέντα διετέθητε, ἵλεως ὑμῖν γένοιτο ὁ Χριστός, ἐγώ δέ παρακαλῶ τήν ἀγάπην ὑμῶν ἵνα μηδείς τῷ τοιούτῳ κρίματι ἐπιμείνῃ. Οὐ γάρ ἐνδείξεως χάριν ταῦτα γεγράφαμεν, μή τοῦτο συγχωρήσῃ ὁ ἐλεήσας καί ἀγαγών ἡμᾶς εἰς ταῦτα Θεός, ἀλλά μεμνημένοι τῶν δωρεῶν τοῦ Θεοῦ, ὧν ἀπ᾽ ἀρχῆς βίου καί μέχρι τοῦ παρόντος πεποίηκε μεθ᾽ ἡμῶν τῶν ἀναξίων, εὐχαριστοῦντες ἀνυμνοῦμεν αὐτόν, ὡς εὔσπλαχνον Δεσπότην καί εὐεργέτην ἡμῶν Κύριον, καί τό ἐπιδοθέν ἡμῖν παρ᾽ αὐτοῦ τάλαντον εὐγνωμόνως πᾶσιν ὑμῖν καταβάλλομεν. Ποῦ γάρ καί δυνάμεθα τό τοσοῦτον μέγεθος τῶν εὐεργεσιῶν αὐτοῦ σιωπᾶν ἤ ἀγνωμόνως ὡς ἀμνήμονες καί κακοί δοῦλοι κατορύττειν τό δοθέν ἡμῖν τάλαντον; Τοῦτο γάρ ποιεῖν μή δυνάμενοι, ἀνακηρύττομεν τόν αὐτοῦ ἔλεον, ὁμολογοῦμεν τήν χάριν, πᾶσι δεικνύομεν τήν πρός ἡμᾶς αὐτοῦ ἀγαθότητα καί παρακαλοῦμεν καί ὑμᾶς διά τῆς διδασκαλίας τοῦ λόγου ἀγωνίσασθαι μετασχεῖν τῶν αὐτοῦ δωρεῶν καί ἀπολαῦσαι, ὧν καί ἡμεῖς οἱ ἀνάξιοι διά τῆς ἀφάτου αὐτοῦ ἀγαθότητος ἀπηλαύσαμεν. Οὐδέν γάρ ὑμᾶς ἐν τούτῳ ἀδικοῦμεν ἤ ἠδικήσαμεν, ἀλλά μεταδοῦναι ποθοῦμεν ἐξ ὧν εἰλήφαμεν τοῖς συνδούλοις ἡμῶν, οἵτινές ἐστε ὑμεῖς, οἱ Χριστοῦ λαός καί ποίμνιον ἱερόν καί βασίλειον ἱεράτευμα ἀκούειν καί καλεῖσθαι ἠξιωμένοι.

Ὥσπερ γάρ πτωχός τις φιλάδελφος παρά τινος φιλοχρίστου καί ἐλεήμονος αἰτήσας καί λαβών νομίσματα, ἀποτρέχει πρός τούς συμπένητας αὐτοῦ ἐν χαρᾷ καί καταμηνύει λέγων ἐν μυστηρίῳ αὐτοῖς· «*Δράμετε σπουδῇ καί ὑμεῖς, ἵνα λάβητε*», δακτυλοδεικτῶν καί ὑποδεικνύων αὐτοῖς τόν τό νόμισμα αὐτῷ ἐπιδόντα, εἰ δέ καί διαπιστοῦσιν, ἐπί τῆς παλάμης ἀπογυμνώσας δείκνυσι καί αὐτό, ἵνα πιστεύσαντες σπουδῇ χρήσωνται καί τόν ἐλεήμονα ἐκεῖνον ἄνδρα ταχύ καταλάβωσιν, οὕτω δή καί ὁ ταπεινός ἐγώ, ὁ πτωχός καί γυμνός ἀγαθοῦ καί δοῦλος τῆς ἁγιωσύνης πάντων ὑμῶν, πεῖραν τῆς τοῦ Θεοῦ φιλανθρωπίας καί συμπαθείας λαβών, ὡς διά μετανοίας αὐτῷ προσελθών καί διά τῆς τοῦ ἁγίου Συμεών μεσιτείας, τοῦ πατρός μου καί πατρός ὑμῶν, τήν χάριν ἀπειληφώς ὁ ἀνάξιος πάσης χάριτος, οὐ φέρω μόνος ταύτην κρύπτειν ἐν κόλπῳ ψυχῆς, ἀλλά πᾶσι τοῖς ἀδελφοῖς ὑμῖν λέγω καί πατράσι μου τάς δωρεάς τοῦ Θεοῦ καί ὁποῖόν ἐστι τό δοθέν μοι τάλαντον, ὅσον τό ἐπ᾽ ἐμοί, φανερῷ ὑμῖν καί διά τοῦ λόγου ὡς ἐπί παλάμης ἀπογυμνῶ

τοῦτο, καί λέγω οὐχ ὡς ἐν παραβύστῳ καί μυστηρίῳ, ἀλλά μεγάλῃ βοῶν τῇ φωνῇ· «*Δράμετε, ἀδελφοί, δράμετε*», καί οὐ βοῶ μόνον, ἀλλά καί ὑποδεικνύω τόν διδόντα Δεσπότην, τόν λόγον πάλιν ἀντί δακτύλου ὑμῖν προβαλλόμενος. Ἄνθρωπος μέν γάρ ἐάν ὀβολόν πτωχῷ τινι δῷ, εἶτα ἐκεῖνος πρός τό καί ἑτέροις δοῦναι τοῦτον καταμηνύσειεν, ὀργίζεται καί πρός τό δοῦναι μᾶλλον σκληρύνεται, ὁ δέ Θεός οὐχ οὕτως, ἀλλά τοὐναντίον ἅπαν ποιεῖ. Ἐάν γάρ τινι δῷ πνευματικόν χάρισμα ἤγουν τάλαντον καί οὐ κηρύξῃ τοῖς πᾶσι καί δημοσιεύσῃ αὐτό, «*Προσέλθετε*», λέγων, «*πρός τόν ἁπλῶς διδόντα Δεσπότην καί μηδένα κενόν ἀποστρέφοντα*», ἀλλά λαβών κρύψειε κατορύξας αὐτό, τότε μᾶλλον ὀργίζεται κατά τοῦ λαβόντος ὡς φθονεροῦ καί μή θέλοντος τούς ἑαυτοῦ ἀδελφούς λαβεῖν, ὡς αὐτός ἔλαβε.

Διά τοῦτο οὖν, ἅ εἶδον καί ἅ ἔργῳ καί πείρᾳ Θεοῦ θαυμάσια ἔγνωκα, μή λαλεῖν οὐκ ἀνέχομαι, ἀλλά καί τοῖς λοιποῖς ἅπασιν ὡς ἐνώπιον Θεοῦ προμαρτύρομαι, λέγων μεγάλῃ τῇ φωνῇ· «*Δράμετε πάντες πρό τοῦ κλεισθῆναι διά θανάτου τήν τῆς μετανοίας θύραν ὑμῖν, δράμετε ἵνα πρό τῆς ἐξόδου καταλάβητε, σπεύσατε ἵνα λάβητε, κρούσατε ἵνα πρό τῆς τελευτῆς τάς τοῦ παραδείσου πύλας ὁ Δεσπότης ὑμῖν ἀνοίξειε καί ἑαυτόν ὑμῖν ἐμφανίσειε, σπουδάσατε τήν τῶν οὐρανῶν βασιλείαν ἐντός ὑμῶν καί γνωστῶς κτήσασθαι καί μή κενοί ταύτης ἐντεῦθεν ἀποδημήσητε, καί μάλιστα οἱ ταύτην ἀγνώστως ἔχειν ἐν ἑαυτοῖς οἰόμενοι, μηδέν δέ διά τήν οἴησιν ἔχοντες*».

Πῶς οὖν, εἰπέ μοι, τόν τοῦ Χριστοῦ Πατέρα θεάσηται, ὁ νοῦν Χριστοῦ μή κτησάμενος; Ὁ δέ ἐκεῖνον μή βλέπων λαλοῦντα ἐντός αὐτοῦ, διά τίνος ἤ πῶς εἴπῃ· «*Ἀββᾶ ὁ Πατήρ*»; Ὁ μή ἐντός αὐτοῦ τήν βασιλείαν τῶν οὐρανῶν γνωστῶς κτησάμενος, πῶς ἐν αὐτῇ μετά θάνατον εἰσελεύσεται; Ὁ μή μένοντα ἐν αὐτῷ διά τοῦ Πνεύματος τόν Υἱόν σύν τῷ Πατρί θεασάμενος, πῶς μετ᾿ αὐτῶν ἐν τῷ μέλλοντι ἔσεται, καθώς ὁ Κύριος εἶπε· «*Πάτερ, οὕς δέδωκάς μοι, θέλω ἵνα ὅπου εἰμί ἐγώ, κἀκεῖνοι ὦσι μετ᾿ ἐμοῦ*», καί πάλιν· «*Οὐ περί τούτων δέ ἐρωτῶ μόνον, ἀλλά καί περί πάντων τῶν πιστευόντων διά τοῦ λόγου αὐτῶν εἰς ἐμέ, ἵνα πάντες ἕν ὦσι, καθώς σύ, Πάτερ, ἐν ἐμοί κἀγώ ἐν σοί καί αὐτοί ἐν ἡμῖν ἕν ὦσι. Κἀγώ τήν δόξαν ἥν δέδωκάς μοι δέδωκα αὐτοῖς, ἵνα ὦσιν ἕν, καθώς ἡμεῖς ἕν ἐσμεν, ἐγώ ἐν αὐτοῖς καί σύ ἐν ἐμοί, ἵνα ὦσι τετελειωμένοι εἰς ἕν καί ἵνα γινώσκῃ ὁ κόσμος ὅτι σύ μέ ἀπέστειλας καί ἠγάπησας αὐτούς καθώς ἐμέ ἠγάπησας*».

Οὗτος τοίνυν ὁ τρόπος, ἀδελφοί, τῆς ἐμῆς, ὥς τινες οἴονται, μεγαλορρημοσύνης. Οὕτω με ἡ ἀγάπη τοῦ Θεοῦ κινεῖ πρός ὑμᾶς τούς ἐμούς πατέρας καί ἀδελφούς ἀποκαλύψαι τήν ἄφατον πρός ἡμᾶς τοῦ Θεοῦ ἀγαθότητα καί ἀγάπην, δι᾿ ἥν οὕτω καί ἐν τηλικούτοις δοξάζει τούς εἰς αὐτόν ἠλπικότας ἀνεπιφθόνως.

Ἀλλ᾿ ἐρωτῶντι ἀποκρίθητέ μοι, παρακαλῶ· «*Τί οὖν; Ὁ Πατήρ ἀγνώστως ἀγαπᾷ τόν Υἱόν καί ὁ Υἱός ἀγνώστως καί ἀοράτως σύνεστι τῷ Πατρί;*» - «*Οὔ*», πάντως εἴποιτε. Εἰ γάρ τοῦτο δῶμεν καί ἀγνοεῖν ἀλλήλους τόν Πατέρα καί τόν Υἱόν δογματίσομεν, οἴχεται ἡ πίστις ἡμῶν καί ἀπόλωλεν· ἀγνοούντων γάρ ἐκείνων ἀλλήλους ἀνάγκη πᾶσα καί ἡμᾶς

παντελῶς ἀγνοεῖν αὐτούς· εἰ δέ τοῦτο, ἄρα ἄθεοί ἐσμεν, Θεοῦ γνῶσιν μή ἐσχηκότες. Εἰ δέ «*καθώς ἐκεῖνος γινώσκει, φησίν, ὁ Πατήρ τόν Υἱόν, καί ὁ Υἱός γινώσκει τόν Πατέρα*» καί ὡς Θεός σύνεστι τῷ Θεῷ καί Πατρί καί ὁ Πατήρ ὁμοίως σύνεστι τῷ Υἱῷ, ὡς ὅταν λέγῃ· «*Καθώς σύ, Πάτερ, ἐν ἐμοί κἀγώ ἐν σοί, οὕτω καί αὐτοί ἐν ἐμοί ὦσι κἀγώ ἐν αὐτοῖς*», τό ἴσον πάντως δηλοῖ τῆς μετ' ἀλλήλων ἑνώσεως. Πλήν τοῦ μέν Υἱοῦ πρός τόν Πατέρα ἡ ἕνωσις φυσική ἐστι καί συνάναρχος, ἡ δέ ἡμετέρα πρός τόν Υἱόν θέσει καί χάριτι, ὅμως εἰς τό αὐτό οἱ πάντες ἐσμέν ἡνωμένοι Θεῷ καί ἀχώριστοι, ὡς αὐτός πάλιν φησίν· «*Ἐγώ ἐν αὐτοῖς καί σύ ἐν ἐμοί, ἵνα ὦσι τετελειωμένοι εἰς ἕν, - διατί; ἵνα γινώσκῃ ὁ κόσμος ὅτι σύ με ἀπέστειλας καί ἠγάπησας αὐτούς, καθώς ἐμέ ἠγάπησας*», καί ὁ Παῦλος· «*Ὅπου οὐκ ἔνι Ἕλλην καί Ἰουδαῖος, βάρβαρος, Σκύθης, δοῦλος, ἐλεύθερος, ἀλλά τά πάντα καί ἐν πᾶσι Χριστός*».

Ταῦτα τοιγαροῦν ἀκούσατε οἱ δοκοῦντες εἶναι πνευματικοί καί τῷ λαλοῦντι πιστεύσατε, ἐμέ δέ τόν λέγοντα ὑμῖν ἐν τῷ λόγῳ τῆς χάριτος τάς δωρεάς, ἅς λαμβάνουσι ἀπό Θεοῦ οἱ ἐν πίστει θερμῇ προστρέχοντες αὐτῷ καί ποιοῦντες αὐτοῦ τάς ἐντολάς, λειτουργοῦντα τῷ ἄνωθεν ἐνηχοῦντι Πνεύματι, πάσης ἀπολύσατε μέμψεως. Τίς δέ ὁ λαλῶν, αὐτοῦ τοῦ Κυρίου ἀκούσατε λέγοντος· «*Οὐ γάρ ὑμεῖς ἐστε οἱ λαλοῦντες, ἀλλά τό Πνεῦμα τοῦ Θεοῦ λαλοῦν ἐν ὑμῖν*». Ὁρᾶτε ὡς οὐκ ἐγώ τά ὑπερφυῆ καί μεγάλα πρός τήν ὑμετέραν ἀγάπην λαλῶ, ἀλλά τό Πνεῦμα τοῦ Θεοῦ τό λαλοῦν ἐν ἡμῖν. Τοῦτο δέ καί Πέτρος ὁ κορυφαῖος ἐπιμαρτυρεῖ λέγων· «*Οὐ γάρ θελήματι ἀνθρώπου ἠνέχθη ποτέ προφητεία, ἀλλ' ὑπό Πνεύματος Ἁγίου φερόμενοι ἐλάλησαν ἅγιοι Θεοῦ ἄνθρωποι*»· Εἰ δέ ἡμεῖς εὐτελεῖς ὄντες καί ἀνάξιοι μακράν ἐσμεν πάσης ἁγιωσύνης καί τῶν ἁγίων τοῦ Θεοῦ ἀνθρώπων, ἀλλ' οὐ δυνάμεθα ἀρνήσασθαι τήν δωρεάν τήν δοθεῖσαν ἡμῖν ἀπό Θεοῦ, ὡς δέ ὑπόχρεοι τῆς αὐτοῦ χάριτος διακονοῦμεν ὑμῖν τά λόγια τοῦ Θεοῦ καί ἀνακαλύπτομεν τό τάλαντον ὅ ἐδόθη ἡμῖν καί τό χάρισμα διά προφητείας μετά ἐπιθέσεως τῶν χειρῶν τοῦ ἀρχιερέως, τοῦ εἰς τήν ἱερωσύνην ἡμᾶς τελειώσαντος, καθώς αὐτός οὗτος ὁ κορυφαιότατος ἡμῖν τῶν ἀποστόλων ἐντέλλεται, φησί γάρ· «*Ἕκαστος καθώς ἔλαβε χάρισμα, εἰς ἑαυτούς αὐτό διακονοῦντες ὡς καλοί οἰκονόμοι ποικίλης χάριτος Θεοῦ. Εἴ τις λαλεῖ, ὡς λόγια Θεοῦ, εἴ τις διακονεῖ, ὡς ἐξ ἰσχύος ὡς χορηγεῖ ὁ Θεός*».

Τοιγαροῦν τό Πνεῦμα ἐστι τό λαλοῦν, ἀδελφοί, οὐκ ἐγώ, ὡς ὁ Κύριος καί ὁ τούτου πιστός μαθητής ἡμᾶς ἐβεβαίωσαν. Εἰ δέ ψεύδομαι, ποῦ φεύξομαι τό τῆς δίκης ἄφυκτον, τό τούς ψευδομένους εἰς ἀπώλειαν παραπέμπον; «*Ἀπολεῖς γάρ, φησί, πάντας τούς λαλοῦντας τό ψεῦδος*». Ὥσπερ δέ ὁ τῷ λαλοῦντι διά τοῦ Πνεύματος ἀπιστῶν, εἰς τό Πνεῦμα τό λαλοῦν ἐξαμαρτάνει καί βλασφημεῖ, οὕτω πάλιν ὁ τῆς ἄνωθεν χάριτος ἐστερημένος τοῦ Πνεύματος, ἐάν τολμήσῃ εἰπεῖν ὅτι «*Ἐν Ἁγίῳ φθέγγομαι Πνεύματι*», ὡς Σίμων ὁ Μάγος καί οἱ ἐκείνου σύμφρονες ἔσται ἀλλότριος τοῦ Θεοῦ καί ἀντίθετος. Ὁ γάρ τοῖς λόγοις ἀντιπίπτων τοῦ Πνεύματος πάντως ἀντίθεος. Θεός γάρ ἀχώριστος ἐστι καί ἀδιαίρετος· τό γάρ Ἅγιον Πνεῦμα τῆς τοῦ Πατρός καί τοῦ Υἱοῦ ἀϊδιότητός τε καί βασιλείας ἀχώριστον.

Μή οὖν θεομάχοι καί ἀντίθεοι γενέσθαι θελήσητε, ἀδελφοί, ἀλλά δεῦτε προσκυνήσατε καί προσπέσατε σύν ἡμῖν καί μή ἀναστῆτε ἐκεῖθεν μέχρις ἄν λάβητε τήν δωρεάν τοῦ Θεοῦ, ὡς καί ἡμεῖς ἐλάβομεν οἱ ἀνάξιοι ταύτην τῇ αὐτοῦ χάριτι. Οὐδέν ἐναντίον λέγομεν πρός ὑμᾶς, ἀδελφοί, ἀλλά τήν ἀγάπην ἡμῶν δεικνύομεν πλουσίαν πρός πάντας ὑμᾶς. Εἰ οὖν ἐλέγομεν ὅτι ἡμεῖς μέν ἐλάβομεν χάριν δωρεάν παρά τοῦ Πατρός τῶν φώτων ὅθεν πᾶν δώρημα τέλειον, ὑμᾶς δέ λαβεῖν οὐ βουλόμεθα, δικαίως ἄν καί ἐκ Θεοῦ καί ἐξ ὑμῶν αὐτῶν ἐμισούμεθα· νυνί δέ τήν ἀλήθειαν ἀπό τῆς θείας Γραφῆς καί ἀπό τῆς πείρας αὐτῆς παριστῶντες καί τήν βασιλικήν ὑποδεικνύοντες ὑμῖν ὁδόν, τί ὑμᾶς ἀδικοῦμεν; Εἰ δέ ὡς ἀνώνυμόν με καί ἀφανῆ καί ἐλάχιστον λογιζόμενι οὐ καταδέχεσθε παρ’ ἐμοῦ ἐκδιδάσκεσθαι, γνῶτε καί μάθετε ὅτι τά μωρά τοῦ κόσμου ὁ Θεός ἐξελέξατο, ἵνα καταισχύνῃ τούς σοφούς καί τά ἀσθενῆ καί ἀπερριμένα, ἵνα καταισχύνῃ τά ἔνδοξα καί ἰσχυρά.

Ἀλλ’ ἴσως παρελθών τις εἰς μέσον εἴποι· «*Μεγάλα καί ὑπερβολικά καί ὑπέρ ἀνθρωπίνην δύναμιν τά λεγόμενα*». Κἀγώ σοι λέγω· «*Μεγάλα τῷ ὄντι καί ὑπέρ φύσιν εἰσί, Θεοῦ γάρ εἰσι λόγοι, καθώς εἴρηται*»- «*Καί πῶς οὐδείς, φησί, τῶν μεγάλων πατέρων οὕτως ἀναφανδόν περί ἑαυτοῦ ἀπεφήνατο ἤ τοιούτους λόγους λελάληκεν, οἵους λαλεῖς σύ, περί ἑαυτοῦ;*»- «*Λέληθας σεαυτόν, ὦ ἄνθρωπε. Μᾶλλον μέν οὖν οἱ ἀπόστολοι καί οἱ πατέρες συνᾴδοντά μου τοῖς λόγοις καί ὑπερβαίνοντα λελαλήκασιν, ἀλλά τό ἀξιόπιστον τῶν λεγόντων εὐπαράδεκτα καί πιστά ποιεῖ τά λεγόμενα, ἡ δέ ἡμετέρα εὐτέλεια καί τά πᾶσιν ὡμολογημένα ὡς ψευδῆ καί βδελυκτά ὑμῖν ποιεῖ καταφαίνεσθαι*».

Ὅμως ἔχω καί ἄλλην αἰτίαν εἰπεῖν, δι’ ἥν ταῦτα καί μή βουλόμενος ἐξεκάλυψα. Τίς δέ αὕτη ἐστίν; Ἡ τῶν λεγόντων μή εἶναι τά νῦν τοιοῦτον ἐπί τῆς γῆς καί ἐν μέσῳ ἡμῶν ἄρτι ἄνθρωπον ψευδής καί παράλογος ἄνοια καί ὑπόληψις. Καί ὅρα μοι τήν κακίαν, ὅπως ἐστί πολυμήχανος. Μή φανερῶς γάρ λεγόντων ἡμῶν, ἀλλ’ ὑποκρύβειν σπευδόντων τό χάρισμα, ἀληθεύειν ἐκεῖνοι νομίζουσιν· ἐάν δέ ἡμεῖς ἐκκαλύψαντες τήν ἀλήθειαν εἴπωμεν, ὡς ὑπερηφάνων ἡμῶν αὐτίκα καταγινώσκουσιν, ἀγνοοῦντες τάς τῶν ἁγίων ἀποστόλων φωνάς. Ποίας δή ταύτας, τό «*Ἡμεῖς νοῦν Χριστοῦ ἔχομεν*». Ἆρα ὑπερβολήν κρίνετε, πρός αὐτούς ἄν εἴποιμι, τοῦτο ὑπερηφανίας; τό «*Ἐκ τούτου γινώσκομεν ὅτι ἐν ἡμῖν ἐστιν, ἐκ τοῦ Πνεύματος οὐ δέδωκεν ἡμῖν*»; Τοῦτο δέ πῶς ἐκλάβοιτε κατά τοῦ λέγοντος; Ἀλλά καί τό «*Ἤ δοκιμήν ζητεῖτε τοῦ ἐν ἐμοί λαλοῦντος Χριστοῦ*», καί τό «*Δοκῶ Πνεῦμα Θεοῦ ἔχειν*», καί τό «*Ἡμεῖς δέ οὐκ ἐλάβομεν πνεῦμα δουλείας πάλιν εἰς φόβον, ἀλλά Πνεῦμα υἱοθεσίας, ἐν ᾧ κράζομεν· Ἀββᾶ ὁ Πατήρ*», καί τό «*Ὁ Θεός ὁ εἰπών ἐκ σκότους φῶς λάμψαι, ὅς ἔλαμψεν ἐν ταῖς καρδίαις ἡμῶν*»; Ταῦτα οὖν πάντα ὑπερηφανίας ὑμῖν λογισθήσονται ῥήματα; Ὦ τῆς εὐηθείας!

Εἰ δέ καί τόν τῆς ἐλλάμψεως τρόπον βούλῃ μαθεῖν, τόν ἐγγινόμενον τοῖς ἀγαπῶσι τόν Κύριον, ἄκουε αὐτοῦ τοῦ Παύλου λέγοντος· «*Ἔχομεν δέ τόν θησαυρόν τοῦτον ἐν ὀστρακίνοις σκεύεσιν*», εἴτ’ οὖν σώμασιν. «*Εἰ δέ μή ἔστι, φησί, τοιοῦτος τά νῦν, τί;*». Διατί οὐκ ἔστιν, εἰπέ; «*Ὅτι καί θέλοντά τινα, φησί, μή δύνασθαι οἴομαι γενέσθαι*

*τοιοῦτον τά νῦν, ὡς καί μή θέλοντα, μηδέ γίνεσθαι*». Εἰ τοίνυν καί θέλοντα λέγεις μή δύνασθαι, ποῦ θήσομεν τό «*Ὅσοι δέ ἔλαβον αὐτόν ἔδωκεν αὐτοῖς ἐξουσίαν τέκνα Θεοῦ γενέσθαι*», καί το «*Εἰ θέλετε, θεοί ἐστε καί υἱοί Ὑψίστου πάντες*», καί τό «*Γίνεσθε ἅγιοι, ὅτι ἐγώ ἅγιός εἰμι*»; Εἰ δέ καί μή θέλοντα μηδέ γίνεσθαι, ἴδε ὅτι σύ σεαυτόν κατεδίκασας, μή θέλων μηδέ προαιρούμενος γενέσθαι· εἰ γάρ θέλεις γενέσθαι, δύνασαι.

Εἰ δέ σύ μή τοιοῦτος, ἀλλ' ἕτεροι πλεῖστοι, Θεοῦ βουλομένου, οὕς αὐτός ἀγνοεῖς. Εἰ γάρ ἐπί τοῦ Ἠλιοῦ ἑπτακισχιλίους εἶχεν ὁ Θεός τούς μή κάμψαντας γόνυ τῇ Βαάλ, πολλῷ μᾶλλον νῦν, ὅτε τό Πνεῦμα αὐτοῦ τό Ἅγιον πλουσίως ἐξέχεεν ἐφ' ἡμᾶς. Εἰ δέ μή ἀποδύεταί τις πάντα καί γυμνός προσέρχεται καί ζητεῖ τοῦ λαβεῖν, τοῦ μή βουλομένου τό αἴτιον, οὐ τοῦ Θεοῦ. Ὥσπερ γάρ τό πῦρ προθύμως τῆς ὕλης, ἵν' εἴπω, καί φυσικῶς ταύτης ἐπιλαμβάνεται, οὕτω και ἡ χάρις τοῦ Παναγίου καί προσκυνητοῦ Πνεύματος τῶν ἡμετέρων ψυχῶν ζητεῖ ἅψασθαι, ἵνα καί τοῖς ἐν τῷ κόσμῳ λάμψῃ καί κατευθύνῃ δι' ὧν λάμπει τά τῶν πολλῶν δαβήματα, ὡς ἄν καλῶς ὁδεύοντες καί αὐτοί πλησιάσωσι τῷ πυρί καί εἷς καθ' εἷς ἤ καί πάντες, εἰ οἷόν τε, ὁμοῦ, ἀναφθῶσι καί ὡς θεοί λάμψωσιν ἐν μέσῳ ἡμῶν, ἵνα ἐπευλογῆται καί πληθύνηται τό σπέρμα τοῦ Θεοῦ Ἰακώβ καί μή ἐκλείψῃ θεοειδής ἄνθρωπος, λάμπων ὡς φῶς ἐπί γῆς.

Ἐγώ μέν οὖν οὕτως οἴομαι τήν ἀλήθειαν ἔχειν καί εἶναι τό βούλημα τοῦ Θεοῦ εἰς ἡμᾶς, οὕς αὐτός ἔπλασε καί ἐτίμησε καί ἐδόξασε πάλαι τῇ δόξῃ τῆς εἰκόνος αὐτοῦ· ὑμεῖς δέ ἴδετε καί δοκιμάσατε τά λεγόμενα παρ' ἡμῶν. Καί εἰ μή τά αὐτά τοῖς ἀποστόλοις καί τοῖς ἁγίοις καί θεοφόροις πατράσι φρονοῦμεν καί λέγομεν κατά τά εἰρημένα, καί τά τῶν ἁγίων Εὐαγγελίων ῥηθέντα παρά τοῦ Θεοῦ καί ἡμεῖς δευτεροῦμεν, εἰ μή τήν ἐν αὐτοῖς οὖσαν, κακῶς δέ ἀποσβεσθεῖσαν ὑπό συλλογισμῶν ἀσυνέτων, ὅσον τό ἐπ' αὐτοῖς, ζωοποιόν ἐνέργειάν τε καί δωρεάν διά ἀποδείξεων ἐν πᾶσι τρανῶς ἀνάπτομεν καί τό φῶς ἤδη λάμπον ὑποδεικνύομεν, ἐξ αὐτῶν δηλονότι τῶν ἁγίων Γραφῶν πάντα καί συνιστῶντες καί λέγοντες, ἔστω μέν ἐμοί ἀνάθεμα ἀπό Κυρίου Θεοῦ καί Ἰησοῦ Χριστοῦ διά Πνεύματος Ἁγίου, ὡς διδάσκοντι παρ' ὅ οἱ θεῖοι ἀπόστολοι ἐδίδαξαν καί εὐηγγελίσαντο, ὑμεῖς δέ μή μόνον τά ὦτα πρός τήν ἀκρόασιν ἀποφράξητε, ἀλλά κἀμέ λίθοις βαλόντες ὡς ἀσεβῆ καί ἄθεον ἀποκτείνατε. Εἰ δέ τά Δεσποτικά καί ἀποστολικά δόγματα, διαστρεφόμενα παρά τινων, ἀνορθοῦμεν, ἐξ αὐτῶν τῶν θείων πάλιν Γραφῶν τά ὑποστηρίζοντα καί διορθοῦντα τήν ἐκείνων καί τῶν πειθομένων αὐτοῖς διάνοιαν συλλεγόμενοι, τήν ἀνάστασίν τε καί τήν ἄφθαρσίαν καί τήν ζωήν καί τήν βασιλείαν τῶν οὐρανῶν καί αὐτά τά αἰώνια ἀγαθά μή ἐν ἐλπίσιν αὐτοῖς ἅπαντα προσδοκᾶν παραινοῦμεν, ἀλλά τά μέν προκείμενα καί ἀποκαλυπτόμενα, φαινόμενά τε καί ὁρώμενα καί ὡς ἀρραβῶνας τοῖς ἐκλεκτοῖς καί σωθῆναι μέλλουσιν ἀπεντεῦθεν ἤδη διδόμενα ἐκδιδάσκομεν, τά δέ μετά θάνατον καί τήν ἀνάστασιν εἰς αὐτούς προτιθέμενα ἀποδεῖξαι καί βεβαιῶσαι προτεθυμήμεθα, οὐχί μᾶλλον ἀποδεκτοί αὐτοῖς καί πᾶσιν εἶναι ὀφείλομεν καί λίαν ἀγαπητοί, ὡς τῆς τελείας ἀγάπης ἔργον ἐπιδεικνύμενοι;

Ὥσπερ γάρ ὁ κεκρυμμένον εὑρών θησαυρόν καί ἑαυτῷ μόνῳ τηρήσας αὐτόν, ψεκτός

παρά πάντων καί ὡς φιλάργυρος κατακρίνεται, ὁ δέ μή ἑαυτῷ κρύπτων, ἀλλά τοῖς πᾶσιν ὑποκεικνύων καί φανερῶν καί ἀφιείς ἕκαστον λαβεῖν ὅσον βούλεται, πάντως ἐπαινετός καί Θεῷ καί ἀνθρώποις ἀποδεκτέος, οὕτω κἀγώ ἐν τοῖς πνευματικοῖς ἔσομαι παραφρονῶν, λαλῶν Θεοῦ χάριτι. Καί γάρ θησαυρόν ἀποκεκρυμμένον ὑπό τῶν θείων Γραφῶν ὄντα, μηνυθέντα μοι ὑπό ἁγίου ἀνδρός ἐν τόπῳ τινί, οὐ κατώκνησα διεγερθῆναι καί τοῦτον ἐρευνῆσαι καί ἰδεῖν, ἀλλά κἀκεῖνόν μοι βοηθόν γενέσθαι ἐξαιτησάμενον καί συνεργόν καί λαβών, πᾶσαν ἄλλην ἐργασίαν καί πρᾶξιν τοῦ βίου καταλιπών καί τῷ τόπῳ, ἐν ᾧ μοι εἶναι τόν θησαυρόν ὁ ἀγαθός ἐκεῖνος ἀνήρ διά γραμμάτων ἐδήλωσεν, ἐπιστάς, κόπῳ πολλῷ καί μόχθῳ νυκτός καί ἡμέρας ὀρρύσειν, σκάπτειν, τόν χοῦν ἔξω βάλλειν καί εἰς βάθος ποιεῖν οὐκ ἐπαυσάμην τό ὄρυγμα, ἕως ὁ θησαυρός διαυγάζειν σύν τῷ χοΐ ἄνωθεν ἤρξατο. Ἐπί πολύ οὖν κοπιάσας ἐξορύττων καί τόν χοῦν ἀπορρίπτων, ὅλον τόν κάτω που κείμενον θησαυρόν ἔνωθεν, ὡς οἴομαι, πάσης τῆς γῆς καί ἀμιγῆ καί παντός ῥύπου καθαρόν ἐφηπλωμένον τεθέαμαι, καί ὁρῶν ἀεί κράζω καί οὕτω τοῖς διαπιστοῦσι καί κοπιᾶν καί ὀρύσσειν μή θέλουσιν ἐκβοῶ· «*Δεῦτε ἴδετε πάντες οἱ τάς θείας διαπιστοῦντες Γραφάς*». Τοῦτο δέ ποιῶ τῷ Σολομῶντι πάντως πειθόμενος λέγοντι· «*Ἀδόλως τε ἔμαθον, ἀφθόνως τε μεταδίδωμι*», διό δή τοῦτο οὕτω βοῶ τοῖς πᾶσιν, ὡς εἴρηται· «*Δεῦτε μάθετε ὅτι οὐκ ἐν τῷ μέλλοντι μόνον, ἀλλ' ἤδη που πρόκειται πρό τῶν ὀφθαλμῶν καί χειρῶν καί ποδῶν ὑμῶν ὁ ὑπεράνω πάσης ἀρχῆς καί ἐξουσίας ἀνεκλάλητος θησαυρός. Δεῦτε πιστώθητε ὅτι τό φῶς τοῦ κόσμου ὁ θησαυρός οὗτος, ὅν ὑμῖν λέγω, ἐστί*».

Καί οὐκ ἐγώ ἀπ' ἐμαυτοῦ τοῦτο λαλῶ, ἀλλ' αὐτός εἶπε καί λέγει ὁ θησαυρός· «*Ἐγώ εἰμι ἡ ἀνάστασις καί ἡ ζωή, ἐγώ εἰμι ὁ κόκκος τοῦ σινάπεως ὁ κατακρυπτόμενος ἐν τῇ γῇ, ἐγώ εἰμι ὁ μαργαρίτης ὁ ὠνούμενος, ὑπό τῶν πιστῶν, ἐγώ εἰμι ἡ βασιλεία τῶν οὐρανῶν ἡ ἐν μέσῳ ὑμῶν κρυπτομένη, καί καθώς ὁρῶμαι ὑπό τῶν ζητησάντων καί εὑρόντων με νῦν, οὕτω λάμψω καί ἐν αὐτοῖς καί ἐπάνω πάντων αὐτῶν, ὡς νῦν εἰμι λάμπων - ἀποκεκρυμμένος ὤν - ὑπεράνω πάντων τῶν οὐρανῶν. Ἐγώ καί ἐνταῦθα, ὁ ἀχώρητος κατά φύσιν, ἐν ὑμῖν κατά χάριν γίνομαι χωρητός καί ὁ ἀόρατος ὁρατός, οὐχ ὅσος εἰμί δεικνύμενος, εἰ καί ὅλος μένω ὁρώμενος, ἀλλ' ὅσον ἡ τῶν ὁρώντων με φύσις καί δύναμις ἐπιδέχεται. Ἐγώ εἰ μι ἡ ζύμη, ἥν λαβοῦσα ψυχή καί βάλουσα ἐν τῷ τριμερεῖ αὑτῆς, ἀναζυμοῦται καί ὅλη ἐμοί ὁμοία καθίσταται· οἵα γάρ ἡ ζύμη, τοιοῦτος γίνεται καί ὁ ταύτῃ ἀναφυρόμενος σύν τῷ ὕδατι καί τῷ ἅλατι ἄλευρος· σύν ἐμοί γάρ, φησί, τῷ Υἱῷ ὑπάρχων ὁ ὁμοφυής μου Πατήρ καί ὁ τούτου Παράκλητος, αὐτοί ἀντί ὕδατος καί ἁλός πεφύκασι γίνεσθαι. Ἐγώ εἰμι ὁ ἀντί τοῦ αἰσθητοῦ παραδείσου νοητός τοῖς ἐμοῖς δούλοις παράδεισος γεγονώς, ἐν ᾧ τιθῶ πάντας τούς πιστεύοντας εἰς ἐμέ καί ἀναγεννωμένους διά τοῦ Πνεύματος, οἵ οὐκέτι δύνανται ἁμαρτάνειν, οὐδέ ὁ τοῦ κόσμου ἄρχων ἰσχύει τι κατ' αὐτῶν· ἐγώ εἰμι ἐν αὐτοῖς καί αὐτοί ἐν ἐμοί καί νικῶσι τόν κόσμον, διά τό εἶναι αὐτούς ἔξω τοῦ κόσμου καί τόν ἰσχυρότερον πάντων ἐμέ μεθ' ἑαυτῶν ἔχειν. Ἐγώ εἰμι ἡ φωτοειδής πηγή τοῦ ἀθανάτου ῥείθρου καί ποταμοῦ, ἐν ᾗ οὐ μετά θάνατον, ἀλλά καθ' ὥραν οἱ ἐμέ φιλοῦντες ἀπό ψυχῆς λούονται τῷ ἀπορρέοντι ὕδατι ἐξ ἐμοῦ καί παντός ῥύπου καθαίρονται τό σῶμα καί τήν ψυχήν καί ἀπαστράπτουσιν ὅλοι, ὥσπερ λαμπάς καί*

*ὡς εἶδος ἀκτῖνος ἡλιακῆς. Ἐγώ εἰμι ὁ ἀντανίσχων καθ' ὥραν ἐν τούτοις ὡς ἐν πρωΐ καί ὁρώμενος ἥλιος νοερῶς, καθώς καί πρῴην ἐν τοῖς προφήταις ἐνεφάνιζον ἐμαυτόν καί αὐτοί ὁρῶντες ἀνύμνουν, ἐπικαλούμενοί με ἀεί*»· «*Τό πρωΐ γάρ, φησίν ὁ Δαυίδ, εἰσάκουσόν μου, τό πρωΐ παραστήσομαί σοι καί ἐπόψει με*», καί ἕτερος· «*Τότε ῥαγήσεται πρώϊμον τό φῶς σου καί τά ἰάματά σου ταχύ ἀνατελεῖ*», ὅτε δηλονότι καί σύ τάς ἐντολάς μου τηρήσεις.

Καί τί πάντα λέγειν πρός τήν ὑμετέραν ἀγάπην οὕτω καταναγκάζομαι, ὅσα ὁ Θεός διψῶν τήν σωτηρίαν ἡμῶν πρός ἡμᾶς φθέγγεται, ἀλλ' ἤ πάντως, ἵνα διά πάντων μαθόντες πεισθήσησθε ὅτι οἱ καθήμενοι ἐν σκότει τό μέγα φῶς λάμπον βλέπειν ὀφείλουσιν, εἴπερ ὅλως ἐμβλέπουσι, καί ἵνα μή τινες ἐξ ὑμῶν λογίζωνται ὅτι ἔλαμψε μέν, ἀδύνατον δέ τούς ἔτι ὄντας ἀνθρώπους ἐν σώματι καθορᾶν αὐτό. Εἰ γάρ μή ἦν δυνατόν, τί καί ἔλαμψε καί λάμπει μή καθορώμενον ὑπ' αὐτῶν; Μᾶλλον δέ τό μέν φῶς ἀεί ἦν καί ἀεί ἔλαμπε καί λάμπει ἐν τοῖς κεκαθαρμένοις, καί ἐν τῷ σκότει ἔφαινε καί ἡ σκοτία αὐτό οὐ κατέλαβε, καί νῦν λάμπει καί ἡ σκοτία αὐτό οὐ καταλαμβάνει εἴτ' οὖν οὐχ ἅπτεται αὐτοῦ. Τό δέ ῾νῦν' εἰπεῖν, ὅτι ἀνέτειλε τῷ ἐν σκότει καθημένῳ λαῷ, τό ἄρτι εὐδοκῆσαι ἀποκαλυφθῆναί ἐστιν εἰς οὕς καί ἐμφανίζεται· οἱ γάρ ἄλλοι ἐν τῇ σκοτίᾳ ὄντες οὐ καταλαμβάνουσιν αὐτό. Ὁ γάρ ἀόρατος ὤφθη, τό μέν διά τοῦ σώματος τοῖς αἰσθητοῖς ὀφθαλμοῖς πᾶσι τοῖς θεασαμένοις αὐτόν ἀπίστοις τε καί πιστοῖς, ἐγνώσθη δέ καί τό φῶς αὐτοῦ τῆς Θεότητος ἀπεκαλύφθη μόνοις ἐκείνοις τοῖς διά τῶν ἔργων πιστοῖς, οἵτινες καί ἔλεγον πρός αὐτόν· «*Ἰδού ἡμεῖς, Κύριε, ἀφήκαμεν πάντα καί ἠκολουθήσαμέν σοι*»· τῷ δέ εἰπεῖν ῾πάντα' συνέκλεισε τά τε κτήματα καί χρήματα καί θελήματα καί τό καταφρονῆσαι καί αὐτῆς τῆς προσκαίρου ζωῆς καί βδελύξασθαι ταύτην διά τό γεύσασθαι αὐτῆς ἐκείνης τῆς ἐνυποστάτου καί αἰωνίου ζωῆς, τό γάρ ἡδύτερόν ἐστι πάντως καί προτιμότερον, ὅπερ ἐστίν αὐτός ὁ Θεός.

Ἀλλά παρακαλῶ πάντας ὑμᾶς, ὦ πατέρες καί ἀδελφοί, σπουδάσαι μετασχεῖν τῆς τοιαύτης ζωῆς ἥτις τό φῶς ἐστι τοῦ Θεοῦ, αὐτό τό Πνεῦμα τό Ἅγιον, τό τούς μετέχοντας αὐτοῦ ἁγιάζον καί θεούς τῇ θέσει ἀπεργαζόμενον. Καί τῶν τοσούτων λόγων, ὧν λελάληκα πρός ὑμᾶς, μή ἐπιλάθησθε, ἀλλά πρῶτον μέν αὐτοί μάθετε πράσσειν ἀεί τό καλόν καί οὕτω διδάξατε ἄλλους τοῦτο ποιεῖν, ἵνα ὅ λόγος τῆς διδασκαλίας ὑμῶν ἔμπρακτος ὑπάρχῃ καί εὐπαράδεκτος τοῖς ἀκούουσιν. Εἰ δ' οὖν, ἐγώ ἀθῷος ἐκ πάντων ὑμῶν εἰμι, οὐ γάρ ὑπεστειλάμην τοῦ μή ἀναγγεῖλαι ὑμῖν τά λαληθέντα μοι καί γνωρισθέντα καί προσταχθέντα ὑπό τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ διά τοῦ προσκυνητοῦ καί ἁγίου αὐτοῦ Πνεύματος περί τῶν ὑψηλῶν δωρεῶν καί χαρισμάτων τοῦ συνανάρχου Θεοῦ καί Πατρός αὐτοῦ, ὧν τοῖς ἐμπόνως ζητοῦσι τήν μέθεξιν διά πίστεως δίδωσιν ἀεί καί μέχρι τοῦ νῦν ὁ αὐτός ἀγαθός καί εὐεργέτης Θεός ἡμῶν, ᾧ πρέπει πᾶσα δόξα, τιμή καί προσκύνησις νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## Λόγος ΛΕ΄. Τοῦ αὐτοῦ. Εὐχαριστία πρός Θεόν ὑπέρ ὧν ἠξίωται δωρεῶν. Καί εἰσήγησις ὅπως τοῖς κεκαθαρμένοις τῇ καρδίᾳ Θεός ἀεί ἐπιφαίνεται, καί ἐν ποίοις τοῖς πράγμασι καί γνωρίσμασι.

Εὐχαριστῶ καί προσκυνῶ καί προσπίπτω σοι, Κύριε τοῦ παντός καί πανάγιε Βασιλεῦ, ὅτι ἐλέησας ἀνάξιον ὄντα με καί ἐτίμησας καί ἐδάξασας, ὡς αὐτός ἠθέλησας ἄνωθεν, ἐπειδή καί πρό τοῦ τόν κόσμον γενέσθαι παρά σοῦ, ὅλον ἔχων με ἐν ἑαυτῷ, λόγῳ καί εἰκόνι με τῇ σῇ δοξάσας ἐτίμησας. Οὐδέ γάρ δι᾽ ἄλλο τι ἤ δι᾽ ἐμέ τόν κατ᾽ εἰκόνα σύν καί καθ᾽ ὁμοίωσιν πάντα ἐξ οὐκ ὄντων παρήγαγες, βασιλέα με τῶν ἐπιγείων πάντων πεποιηκώς εἰς δόξαν τῆς σῆς μεγαλουργίας καί ἀγαθότητος. Εὐχαριστῶ σοι, ὅτι πᾶσάν μου τήν αἴτησιν καί ἐπιθυμίαν εἰς ἀγαθόν ἐξεπλήρωσας κατά τάς πρός ἡμᾶς τούς δούλους σου ὑποσχέσεις, καί ὑπέρ ἅ ἤλπιζον καί ἐπεθύμουν ἐχαρίσω μᾶλλον τῷ ἀναξίῳ τοῦ οὐρανοῦ καί τῆς γῆς. Εἶπας γάρ· «*Πᾶν ὅ ἐάν αἰτήσητε ἐν τῷ ὀνόματί μου πιστεύοντες λήψεσθε*». Εὐχαριστῶ σοι, ὅτι ἕνα τῶν ἁγίων σου ἐπιποθήσαντά με ἰδεῖν καί δι᾽ αὐτοῦ πιστεύσαντα εὑρεῖν ἔλεος παρά σοι, αὐτός οὐ μόνον τοῦτο πεποίηκας, ἀγαθέ, καί δοῦλόν σου γνήσιον, τόν μακάριον λέγω καί ἅγιον Συμεών, καθυπέδειξας καί παρ᾽ ἐκείνου με ἀγαπηθῆναι ηὐδόκησας, ἀλλά καί μυρία ἄλλα, ἅ οὐκ ἤλπιζον, ἐδωρήσω μοι ἀγαθά.

Πόθεν γάρ που ἐγίνωσκον ὁ τάλας ἐγώ ὅτι τοιοῦτος ὑπάρχεις ὁ καλός Δεσπότης ἡμῶν, ἵνα ἐπιθυμίαν λάβω τήν περί σοῦ; Πόθεν που ᾔδειν ὅτι φανεροῖς σεαυτόν τοῖς ἐρχομένοις πρός σέ ἐν τῷ κόσμῳ ἔτι διάγουσιν, ἵνα καί θεάσασθαί σε ἐξεζήτησα; Πόθεν που ἐγίνωσκον ὅτι χαρᾶς τοιαύτης καί ἀνέσεως καταξιοῦνται οἱ τῆς χάριτός σου τό φῶς ἐν ἑαυτοῖς εἰσδεχόμενοι; Πόθεν δέ ἤ πῶς ὁ τάλας ἐγίνωσκον ὅτι τό Πνεῦμά σου τό Ἅγιον οἱ σέ πεπιστευκότες λαμβάνουσι; Πιστεύειν γάρ τελείως εἰς σέ ἐνόμιζον καί πάντα ἔχειν ἐδόκουν ὅσα χαρίζῃ τοῖς φοβουμένοις σε, μηδέν ὅλως ἔχων, ὡς ὕστερον ἔργῳ τοῦτο μεμάθηκα. Πόθεν που ἐγίνωσκον, Δέσποτα, ὅτι σύ ἀόρατος ὤν καί ἀχώρητος, ὁρᾶσαι καί χωρῆσαι ἐντός ἡμῶν; Πόθεν που εἶχόν ποτε λογίσασθαι ὅτι ὁ κτίσας Δεσπότης τά σύμπαντα ἀνθρώποις ἑνοῦσαι, οὕς αὐτός ἔπλασας, καί θεοφόρους τούτους ἐργάζῃ καί υἱούς σου ποιεῖς, ἵνα καί εἰς πόθον τούτων ἦλθον καί ταῦτα λαβεῖν ἐζήτησα παρά σοί; Πόθεν δέ ᾔδειν, Κύριε, ὅτι τοιοῦτον ἔχω Θεόν, τοιοῦτον Δεσπότην, τοιοῦτον προστάτην, πατέρα καί ἀδελφόν καί βασιλέα, σέ τόν πτωχεύσαντα δι᾽ ἐμέ καί μορφήν δούλου λαβόντα;

Ὄντως, Δέσποτά μου φιλάνθρωπε, οὐδέν οὐδαμῶς τούτων ἁπάντων ἐγίνωσκον. Εἰ γάρ καί ἐν ταῖς θείαις Γραφαῖς, ἅς οἱ ἅγιοί σου ἐξέθεντο, ἐγκύψας ἀνέγνων περί τούτων ποτέ, ἀλλ᾽ ὡς περί ἄλλων τινῶν ἤ πρός τινας ἄλλους λεγομένων ἤκουον καί ἀναισθήτως πρός πάντα διεκείμην τά γεγραμμένα, μηδέ ἔννοιάν ποτε περί τούτων δυνηθείς λαβεῖν. Ἀκούων γάρ τοῦ κήρυκός σου Παύλου βοῶντος καί λέγοντος· «*Ἅ ὀφθαλμός οὐκ εἶδε καί οὖς οὐκ ἤκουσε καί ἐπί καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, ἅ ἡτοίμασεν ὁ Θεός τοῖς*

*ἀγαπῶσιν αὐτον*», ἀδύνατον εἶναι ἐπειθόμην τοῦ ἐν σαρκί ὄντα τινά ἐκείνων ἐν θεωρίᾳ γενέσθαι. Ἐνόμιζον δέ ὅτι ἐκείνῳ μόνῳ κατά φιλοτιμίαν ταῦτα ὑπέδειξας καί οὐκ ᾔδειν ὁ ἄθλιος ὅτι καί ἐπί πάντας τούς ἀγαπῶντάς σε τοῦτο γίνεται παρά σοῦ. Πόθεν δέ ἤ πῶς ἠδυνάμην εἰδέναι ὅτι πᾶς ὁ πιστεύων εἰς σέ μέλος σόν γίνεται, χάριτι ἀπαστράπτων Θεότητα - τίς δέ τοῦτο πιστεύσει; - καί μακάριος γένηται, μακαρίου Θεοῦ μακάριον μέλος γενόμενος; Πόθεν που ἐγίνωσκον ὅτι σύ ἀντί τροφῆς αἰσθητῆς ἀθάνατος καί ἄφθαρτος ἄρτος τοῖς διά σέ πεινῶσιν ἀκόρεστος γίνῃ καί πηγή τοῖς διψῶσιν ἀθάνατος καί χιτών ἀπαστράπτων τοῖς εὐτελῆ διά σέ περιβεβλημένοις ἱμάτια; Ταῦτα γάρ ἀκούων διά τῶν σῶν κηρύκων λεγόμενα, ἐν τῷ μέλλοντι αἰῶνι καί μετά τήν ἀνάστασιν μόνον ὑπελάμβανον γίνεσθαι καί οὐκ ᾔδειν ὅτι καί νῦν μᾶλλον ἐπιτελοῦνται, ὅτε καί τούτων ἐν χρείᾳ πλείονι καθεστήκαμεν.

Ταῦτα οὔτε ᾔδειν, πανάγιε Βασιλεῦ, οὔτε ἐν ἐπιθυμίᾳ τούτων ποτέ γέγονα, οὔτε ᾐτησάμην τι ἐκ τούτων λαβεῖν παρά σοῦ, ἀλλ' ἤ τῶν ἁμαρτιῶν μου μιμνησκόμενος, τήν ἐκείνων συγχώρησιν μόνον ἐζήτουν μεσίτην καί πρεσβευτήν εὑρεῖν, ὡς ἄνωθεν εἶπον, Δέσποτα, ἐπεθύμησα, ἵνα διά τῆς ἐκείνου ἐντεύξεως καί τῆς πρός ἐκεῖνόν μου δουλώσεως κἄν ἐν τῷ μέλλοντι εὕροιμι τῶν πολλῶν μου ἁμαρτημάτων τήν ἄφεσιν. Ὡς δέ ἤκουον ὁμοθυμαδόν ἅπαντας λέγοντας μή εἶναι τοιοῦτον ἐπί τῆς ἄρτι ἅγιον, εἰς πλείονα λύπην ἔπιπτον. Πλήν ὅμως οὐδέποτε τοῦτο ἐπίστευσα, ἀλλά πρός τούς τοιούτους ἀπεκρινάμην, Δέσποτα Χριστέ, καθώς οἶδας, καί ἔλεγον· «*Κύριέ μου, ἐλέησον. Καί τοσοῦτον ὁ διάβολος τοῦ Δεσπότου Θεοῦ ἐγένετο δυνατώτερος, ἵνα πάντας ἐφελκύσῃ πρός ἑαυτόν καί εἰς τήν αὐτοῦ μερίδα ποιήσηται, ὥστε μή καταληφθῆναί τινα εἰς τό μέρος τοῦ Θεοῦ;*».

Διά τοῦτο, ὡς οἶμαι, φιλάνθρωπε βασιλεῦ, ἐν τῷ τοῦ βίου σκότει καί ἐν μέσῳ τῶν κακῶν καθημένῳ μοι τό φῶς σου τό ἅγιον ἔλαμψας καί ἐν αὐτῷ τόν σόν μοι καθυπέδειξας ἅγιον. Καί ὅν τρόπον ἐπί τοῦ δούλου σου Παύλου ἐποίησας, διώκοντά σε καλέσας αὐτόν διά τῆς θεϊκῆς ἐμφανείας σου - καί γάρ ἐκείνου θεασαμένου σε καί εἰπόντος· «*Τίς εἶ;*» οὐκ εἶπας· «*Ἐγώ εἰμι ὁ ποιήσας τόν οὐρανόν καί τήν γῆν. Ἐγώ εἰμι ὁ ἐκ τοῦ μή ὄντος εἰς τό εἶναι τά πάντα παραγαγών*», οὐδέ εἶπας· «*Ἐγώ εἰμι ὁ ὤν, ἤ· ὁ Θεός Σαβαώθ, ἤ· ὁ Θεός τῶν πατέρων σου*», οὐδέ ἕτερόν τι ἐκ τῶν τῆς δόξης σου προσηγοριῶν, ἀλλ' ἤ τοῦτο μόνον πρός αὐτόν εἴρηκας· «*Ἐγώ εἰμι Ἰησοῦς ὁ Ναζωραῖος, ὅν σύ διώκεις*», ἵνα γνῷ σαφῶς ὅτι σύ ὑπάρχεις ὁ σαρκωθείς Θεός δι' ἡμᾶς, ὅν ἐκεῖνος ἐδίωκεν -, οὕτω καί ἐπ' ἐμοί ἐποίησας, Δέσποτα, ὅτε μοι τόν ἅγιόν σου Συμεών καθυποδεῖξαι εὐδόκησας.

Τοῦ φωτός σου γάρ τοῦ θεϊκοῦ τά πάντα κἀμέ τόν τάλανα καταφωτίσαντος καί τήν νύκτα ὡς ἡμέραν φαεινοτάτην ποιήσαντος, ἐν αὐτῷ με τῷ ὕψει τῆς σῆς Θεότητος ὡς ἐν οὐρανῷ φρικτῶς ἰδεῖν αὐτόν κατηξίωσας, τῆς θεϊκῆς σου δόξης πλησίον ἱστάμενον, οὐ στεφάνῳ τινί, οὐκ ἐνδύματι φαεινῷ, οὐκ ἐνηλλαγμένῃ θεωρίᾳ κοσμήσας αὐτόν, ἀλλ' οἷος ἦν συνδιάγων ἡμῖν καί ὁρώμενος καθ' ἑκάστην ἐπί τῆς γῆς, τοιοῦτόν μοι αὐτόν

καθυπέδειξας ἐν τῷ οὐρανῷ. Τίνα τρόπον; Ἵνα μή ἕτερον εἶναι τοῦτον, τόν σύν ἡμῖν, καί ἄλλον τόν ἐκεῖ μοι ὀφθέντα λογίσωμαι καί ἀποπλανηθείς τοῦ καλοῦ ποιμένος ἀστοχήσω, τό ἀπολωλός ἐγώ πρόβατον.

Ἀλλά γάρ οὐδέ ἐν τούτῳ τῷ γεγονότι θαύματι συνῆκα ὁ ἄθλιος, ῥαθυμίᾳ δέ καί ὀλιγωρίᾳ κατ' ὀλίγον κλαπείς, τοῖς προτέροις κακοῖς ἤ καί χείροσι περιέπεσον. Σύ δέ, Βασιλεῦ εὔσπλαχνε καί μακρόθυμε, οὐδέ οὕτω με ἀπεστράφης, ἀλλά δι' αὐτοῦ με τοῦ ἁγίου ἐπέστρεψας καί εἰς τούς ἁγίους αὐτοῦ προσπεσεῖν πόδας με κατηξίωσας, τῇ κραταιᾷ σου χειρί καί τῷ βραχίονί σου τῷ ὑψηλῷ ἐξάξας ἀπό τοῦ πλάνου κόσμου καί τῶν τοῦ κόσμου πραγμάτων καί ἡδονῶν καί ἀποχωρήσας με πάντων σωματικῶς τε ἅμα καί ψυχικῶς, ὤ τοῦ θαύματος, ὤ τῆς πρός ἡμᾶς ἀγάπης καί συμπαθείας σου τοῦ φιλανθρώπου Θεοῦ, ἔστησας ἐν τῇ τάξει τῶν δουλευόντων σοι. Μετά ταῦτα οὖν, Δέσποτα, οὐ μόνον τῶν ἀμυθήτων μου κακῶν τήν συγχώρησιν, ἀλλά καί τά προειρημένα ἅπαντα ἀγαθά ταῖς τοῦ ἁγίου σου πρεσβείαις μοι δέδωκας, μᾶλλον δέ αὐτός πάντα μοι γέγονας.

Προσκηνώσαντός σου γάρ ἐν ἐκείνῳ καί τῷ φωτί τῆς θεϊκῆς δόξης ἐκλάμποντος, πλησιάσας αὐτῷ ἐν μετανοίᾳ καί πίστει τούς ἐκείνου πόδας κρατήσας, ἐγώ εὐθύς θείας ᾐσθόμην θερμότητος, εἶτα μικρᾶς αὐγαζούσης λαμπρότητος, εἶτα θείου ἀπό τῶν ἐκείνου λόγων ἐμφυσήματος, εἶτα πυρός ἐκ τούτου ἐγκαρδίου διά δακρύων βλύζοντος ῥεῖθρα ἀένναα, εἶτα ἀκτῖνος ἐν τῷ νοΐ μου λεπτῆς ταχύτερον ἀστραπῆς διελθούσης, εἶτα ὡς φῶς ἐν νυκτί καί ὡς νεφέλη ἐφάνη μοι μικρά καί φλογοειδής ἐπί τῆς κεφαλῆς μου καθίσασα, κειμένου μου ἐπί πρόσωπον καί ποιουμένου τήν δέησιν. Εἶτα ἀπέπτη καί μετ' οὐ πολύ ὤφθη μοι ἐν τῷ οὐρανῷ.

Εἶτα ἀναλογιζόμενος τό ὁρώμενον εἶναι, ἕτερόν τι ὑπέρ ταῦτα πάντα παραδοξότερον γίνεται. Κατά τούς ὕπνους γάρ ὑπό τῶν πονηρῶν δαιμόνων πειραζομένου μου καί πρός πάθος ῥεύσεως διά μηχανῆς ἑλκομένου μου καί ἀνθισταμένου μου εἰς βοήθειαν, ἔξυπνος γέγονα, τῶν πειραζόντων τάς χεῖρας ἀβλαβής ἐκφυγών. Ὡς δέ καθ' ἑαυτόν τήν ἔνστασιν καί τήν ἀνδρείαν, μᾶλλον δέ τήν ἀκινησίαν μου πρός τό πάθος ἐθαύμαζον, καί «*Πόθεν τοῦτο ἀσυνήθως μοῦ λογιζομένου, τό τρόπαιον γέγονεν, ἵνα καί κοιμώμενος ἀντιμάχωμαι καί ἰσχυρότερος τῶν ἀντιπάλων καί ἐχθρῶν μου γίνωμαι καί κατά κράτος αὐτούς νίκην νικῶ παραδόξως διά Χριστοῦ; - ὤ τοῦ θαύματος, εὐθύς ὅν ἐν τῷ οὐρανῷ εἶναι ἐνόμιζον ἐντός μου τοῦτον εἶδον, σέ λέγω τόν ἐμόν Δημιουργόν καί Βασιλέα Χριστόν, καί τότε ἔγνων εἶναι σήν τήν νίκην, ἥν με νενικηκέναι ἐποίησας τόν διάβολον.*

*Ἀλλ' ὅμως οὔπω ἐγίνωσκον, Δέσποτα, ὅτι σύ ἦς, ὁ ἀπό πηλοῦ πλάσας με, ταῦτά μοι πάντα χαρισάμενος τά καλά. Οὔπω ἔγνων ὅτι αὐτός σύ ὑπῆρχες ὁ ἀνυπερήφανος Θεός μου καί Κύριος. Οὔπω γάρ φωνῆς σου ἠξιώθην ἀκοῦσαι, ἵνα γνωρίσω σε, οὔπω ἦς εἰπών μοι μυστικῶς ὅτι Ἐγώ εἰμι*». Ἀνάξιος γάρ ἐτύγχανον καί ἀκάθαρτος, ἔτι τά ὦτα τῆς ψυχῆς ἐμπεφραγμένα τῷ τῆς ἁμαρτίας ἔχων πηλῷ καί τούς ὀφθαλμούς μου

κεκρατημένους ὑπό ἀπιστίας καί ἀγνοίας καί τῆς τῶν παθῶν αἰσθήσεως καί ἀχλύος. Καί σέ μέν οὕτω τόν Θεόν μου ἑώρων· μή εἰδώς δέ μηδέ προπεπιστευκώς ὅτι Θεός, καθ' ὅσον οἷόν τε ὁρᾶσθαι, ὁρᾶταί τινι, οὐκ ἐνενόουν ὅτι Θεός ἤ Θεοῦ δόξα ἐστί τό ποτέ μεν οὕτω μοι ποτέ δέ ἄλλως δεικνύμενον, ἀλλά τό μέν ἀσύνηθες κατέπληττέ με τοῦ θαύματος, χαρᾶς δέ ὅλην μου τήν ψυχήν ἐπλήρου καί τήν καρδίαν, ὡς καί αὐτό μου οἴεσθαί με τό σῶμα μεταλαμβάνειν τῆς χάριτος τῆς ἀφάτου ἐκείνης. Οὔπω δέ τό τίς ᾗς ὁ ὁρώμενος τρανῶς τότε ἐγίνωσκον. Τέως ἑώρων συχνότερον φῶς, ποτέ μέν ἔνδον, ὅτε γαλήνης καί εἰρήνης ἡ ψυχή μου ἀπήλαυε, ποτέ δέ ἔξω που μακράν ἐφαίνετο ἤ καί τελείως ἐκρύπτετο καί κρυπτόμενον θλῖψίν μοι ἐνεποίει ἀφόρητον, λογιζομένου μου ὡς οὐκέτι πάντως φανήσεται. Ἀλλά μοι πάλιν θρηνοῦντι καί κλαίοντι καί πᾶσαν ἐνδεικνυμένῳ ξενιτείαν καί ὑπακοήν καί ταπείνωσιν ἐπεφαίνετο ὥσπερ ὁ ἥλιος, τό πάχος τοῦ νέφους διατέμνων καί κατά μικρόν προσηνής καί σφαιροειδής ἐνδεικνύμενος. Οὕτως οὖν ὁ ἄφραστος σύ, ὁ ἀόρατος, ὁ ἀναφής, ὁ ἀκίνητος, ὁ πανταχοῦ ἀεί καί ἐν πᾶσι παρών καί τά πάντα πληρῶν, καθ' ὥραν, ἵν' εἴπω, ἐν ἡμέρᾳ τε καί νυκτί ὁρώμενος καί κρυπτόμενος, ἀπιών καί ἐρχόμενος, γινόμενος ἀφανής καί αἴφνης φαινόμενος, κατά μικρόν μικρόν τό σκότος ἐν ἐμοί ἀπεδίωξας, τό νέφος ἀπήλασας, τό πάχος ἐλέπτυνας, τήν λήμην τῶν νοερῶν ὀφθαλμῶν ἀπεκάθηρας, τά ὦτα τῆς διανοίας ἀπέφραξας καί διήνοιξας, τῆς ἀναισθησίας περιῆρας τό κάλυμμα, σύν τούτοις πᾶν πάθος και πᾶσαν σαρκικήν ἡδονήν κατεκοίμησας καί τέλεον ἀπ' ἐμοῦ ἐξώρισας. Τοιγαροῦν καί τοιοῦτόν με ἀπεργασάμενος, τόν οὐρανόν παντός νέφους ἐκάθηρας· οὐρανόν δέ λέγω τήν καθαρθεῖσαν ψυχήν ἐν ᾗ ἀοράτως, οὐκ οἶδ' ὅπως ἤ πόθεν ἐρχόμενος, ὁ πανταχοῦ παρών αἴφνης εὑρίσκῃ καί ὡς ἄλλος ἥλιος ἀναδείκνυσαι. Βαβαί τῆς ἀφράστου συγκαταβάσεως!

Ταῦτα πρός ἡμᾶς τοῦ Θεοῦ τά θαυμάσια, ἀδελφοί! Ἀνερχομένων δέ ἡμῶν ἐπί τό τελεώτερον, οὐκέτι ὡς τό πρότερον ἄμορφος ἤ ἀνείδεος ὁ ἄμορφος καί ἀνείδεος ἔρχεται ἤ τήν παρουσίαν καί ἄφιξιν τοῦ φωτός αὐτοῦ σιωπῇ πρός ἡμᾶς ἀπεργάζεται. Ἀλλά πῶς; Ἐν μορφῇ τινι, πλήν Θεοῦ· Θεός δέ οὐκ ἐν σχήματι ἤ ἐκτυπώματι, ἀλλ' ἐν ἀκατανοήτῳ καί ἀμηχάνῳ καί ἀμόρφῳ μεμορφωμένος φωτί ἁπλοῦς δείκνυται - οὐδέν γάρ πλέον εἰπεῖν ἤ ἐκφράσαι δυνάμεθα -, τέως ἐμφανῶς δείκνυται καί γνωρίζεται πάνυ γνωστῶς καί λίαν ὁρᾶται τρανῶς ὁ ἀόρατος, ἀοράτως λαλεῖ καί ἀκούει καί, ὡς εἴ τις φίλος πρός φίλον ἐνώπιος ἐνωπίῳ, προσομιλεῖ ὁ φύσει Θεός τοῖς κατά χάριν ἐξ αὐτοῦ γεννηθεῖσι θεοῖς, καί ὡς πατήρ ἀγαπᾷ καί παρά τῶν υἱῶν φιλεῖται ἄγαν θερμῶς καί γίνεται τούτοις ξένον θέαμα καί φρικτότερον ἄκουσμα, μήτε λαλεῖσθαι παρ' αὐτῶν ἀξίως δυνάμενον, μήτε σιωπῇ συγκαλύπτεσθαι ἀνεχόμενον· οὗ τῷ πόθῳ ἀεί ἀναπτόμενοι καί μυστικῶς παρ' αὐτοῦ ἐνηχούμενοι, ποτέ μέν περί τῶν ἀλλοτρίων παθῶν ἀποδυρόμενοι γράφουσι, ποτέ δέ τά ἑαυτῶν θριαμβεύουσι πταίσματα. Καί ποτέ μέν, τάς εἰς αὐτούς γενομένας εὐεργεσίας καί ἐνεργείας τῆς χάριτος εὐχαρίστως ἐκδιηγούμενοι, θεολογικῶς ἀνυμνοῦσι τόν θεουργικῶς αὐτούς ἀλλοιώσαντα· ποτέ δέ, εἴ τι ἐναντίως καί ἐσφαλμένως λεγόμενον περί τῆς ψυχικῆς σωτηρίας ἡμῶν ἀκούσωσι, κατά τό δοθέν αὐτοῖς μέτρον τῆς γνώσεως διορθούμενοι, τοῦτο γράφουσι, τάς μαρτυρίας ἀπό τῶν θείων παριστῶντες Γραφῶν καί ἠρεμεῖν ὅλως ἤ κόρον τῆς διηγήσεως λαβεῖν οὐκ ἰσχύουσι. Τίνα τρόπον; Ἐπειδή οὐκέτι

ἑαυτῶν, ἀλλά τοῦ ἐν αὐτοῖς εἰσι Πνεύματος, οὕς καί κινεῖ καί ὑπ᾽ αὐτῶν πάλιν κινεῖται αὐτό, καί γίνεται ἐν αὐτοῖς πάντα ὅσα ἐν ταῖς θείαις ἀκούεις Γραφαῖς περί τῆς βασιλείας τῶν οὐρανῶν λεγόμενα, μαργαρίτης, κόκκος σινάπεως, ζύμη, ὕδωρ, πῦρ, ἄρτος, πόμα ζωῆς, πηγή ζῶσά τε καί ἁλλομένη, ποταμούς ῥέουσα λόγων πνευματικῶν, λόγων θείας ζωῆς, - λαμπάς, κλίνη, παστάς, νυμφῶν,νυμφίος, φίλος, ἀδελφός καί πατήρ. Καί τί πολλά λέγων πειρῶμαι τά πάντα διεξελθεῖν καί ἰδού εἰσιν ἀναρίθμητα; Ἅ γάρ ὀφθαλμός οὐκ εἶδε καί οὖς οὐκ ἤκουσε καί ἐπί καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, πῶς γλῶσσα μετρήσασα ταῦτα λόγῳ ἐκδιηγήσεται; Ὄντως οὐδαμῶς. Εἰ γάρ καί ἐντός ἡμῶν πάντα διά τό τόν πάροχον τούτων Θεόν περιφέρειν κεκτήμεθα, ἀλλ᾽ οὔτε νοΐ ἐκμετρῆσαι, οὔτε λόγῳ ἐξηγήσασθαι ταῦτα ὅλως δυνάμεθα.

Ταῦτα τοίνυν ἐγράψαμεν, ὦ πατέρες καί ἀδελφοί, οὐκ ἐνδείξεως χάριν, μή γένοιτο - τί γάρ καί ἔχομεν ἡμέτερον ἐνδείξασθαι, εἰ μή ἐκ κοιλίας μητρός ἡμῶν ἁμαρτίας καί ἀκαθαρσίας καί ἀνομίας πολλάς, αἷς ὡς οἶμαι οὐδέ ἡ θαλαττία ψάμμος τῷ πλήθει συνεξισάζεται; - ἀλλά τοῦ Θεοῦ τά θαυμάσια φανεροῦμεν καί παρατιθέμεθα ὑμῖν, εἰ καί μή ἀξίως, ἀλλ᾽ οὖν κατά γε τήν ἡμετέραν δύναμιν· πρός τούτοις καί ἵνα τούς οἰομένους Πνεῦμα Ἅγιον ἀγνώστως ἔχειν ἀπό τοῦ θείου βαπτίσματος διά ταύτης τῆς ἐξηγήσεως ὠφελήσωμεν. Διδάσκει γάρ ὁ λόγος ἡμᾶς τήν ἐνοῦσαν ἐν πρώτοις ἡμῖν παντελῆ σκότωσίν τε καί ζόφωσιν ἤγουν τήν ἀλλοτρίωσιν τοῦ θείου φωτός, ὅτε δηλαδή καί τήν περί Θεοῦ ἄγνοιαν σαφῶς διεξέρχεται, ἔπειτα τόν ἐκ τῆς συνειδήσεως γινόμενον ἔλεγχον, εἶτα τό φόβον, εἶτα τήν ἐπιθυμίαν τῆς ἀφέσεως τῶν χρεῶν - ὅτε καί μεσίτην ὁ ἄνθρωπος ἐπιζητεῖ πρός τοῦτο καί βοηθόν, ὡς μή δυνάμενος δηλονότι μόνος ἀναιδῶς προσελθεῖν διά τό καταβαρεῖσθαι αὐτόν ὑπό πολλῶν τῆς αἰσχύνης ἁμαρτιῶν -, εἶτα τήν ἐπιτυχίαν τοῦ μεσίτου καί ποιμένος καί πρεσβευτοῦ· καί πῶς τῇ νοερᾷ ἐλλάμψει τοῦ Πνεύματος καί τοῦτον τεθέαται, ὅ καί ἀρχήν γενομένην ἐλλάμψεως δείκνυσιν, ἧς πρῴην ὑπῆρχεν ἀμύητος, πῶς τε μετά τό γενέσθαι τήν ἀποκάλυψιν πάλιν ἡ θεωρία παρῆλθε τοῦ Πνεύματος καί, στερηθείς ταύτης, πάλιν ἐν σκότει ἁμαρτιῶν πολλῶν περιέπεσε. Μετά δέ ταῦτα καί τήν διά τοῦ ποιμένος δευτέραν κλῆσιν ἐδήλωσεν, εἶτα τήν ὑπακοήν, τήν πίστιν, τήν ταπείνωσιν, τήν ὑποταγήν, ἐκ δέ τούτων τήν κατά μικρόν ἐν γνώσει καί θεωρίᾳ γινομένην ἐν ἡμῖν ἐναργεστάτην ἀλλοίωσιν, ἥν ὁ μή ἐπεγνωκώς ἐν ἑαυτῷ γενομένην κατά τήν τοῦ λόγου ἐξήγησιν, οὐ δυνατόν ἔχειν Πνεῦμα Ἅγιον τόν τοιοῦτον κατοικοῦν ἐν αὐτῷ. Ἀλλά ταῦτα μέν ὁ λόγος, καθώς μοι ἄνωθεν εἴρηται, διεξοδικώτερον διερχόμενος, οὐ καυχωμένους ἡμᾶς ἀποδεικνύει, ἀλλά διηγουμένους τά θαυμάσια τοῦ Θεοῦ, ἅ ἐν τοῖς ἐκζητοῦσιν αὐτόν ἐξ ὅλης ψυχῆς καί καρδίας φιλαγάθως ἐργάζεται, ὡς ἄν πᾶσα πρόφασις καί παρακοήν ἔνδικον ἀπολήψεται τήν μισθαποδοσίαν ἐν ἡμέρᾳ ᾗ κρινεῖ ὁ Θεός τό γένος τῶν ἀνθρώπων, ᾧ πρέπει πᾶσα δόξα, τιμή καί προσκύνησις νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

# Λόγος Λστ΄. Τοῦ ἁγίου καί μεγάλου πατρός ἡμῶν Συμεών τοῦ Νέου. Εὐχαριστία πρός Θεόν περί τῶν γεγονότων εὐεργεσιῶν εἰς αὐτόν παρ’ αὐτοῦ. Ἐν ᾗ καί περί εὐχῆς πνευματικῆς καί τῆς ἐν ταύτῃ προκοπῆς. Καί περί ἐλλάμψεως θείας θεωρίας τε ἀπλανοῦς καί ἀγάπης τῆς πρός Θεόν.

Εὐχαριστῶ σοι, Δέσποτα, Κύριε οὐρανοῦ καί γῆς, ὁ ἐκ μή ὄντος εἰς τό εἶναι πρό καταβολῆς κόσμου γενέσθαι με προορίσας. Εὐχαριστῶ σοι, ὅτι πρό τοῦ φθάσαι τήν ἡμέραν καί ὥραν, ἐν ᾗ ἐκέλευσας παραχθῆναί με, αὐτός ὁ μόνος ἀθάνατος, ὁ μόνος παντοδύναμος, ὁ μόνος ἀγαθός καί φιλάνθρωπος, κετελθών ἐξ ὕψους ἁγίου σου, τῶν κόλπων τῶν πατρικῶν μή ἐκστάς καί ἐκ τῆς ἁγίας Παρθένου Μαρίας σαρκωθείς καί γεννηθείς, προανέπλασας καί προεζώωσας καί τοῦ προπατορικοῦ με πτώματος ἠλευθέρωσας καί τήν εἰς οὐρανούς ἄνοδον προηυτρέπισας. Εἶτα καί παραχθέντα με καί κατά μικρόν αὐξάνοντα, αὐτός καί τῷ τῆς ἀναπλάσεως ἁγίῳ βαπτίσματί σου ἐξανεκαίνισας, καί τῷ Ἁγίῳ Πνεύματι κατεκόσμησας, καί ἄγγελον φωτός φύλακά μοι κατέστησας, καί ἀπό τῶν ἐναντίων ἔργων καί τῶν τοῦ ἐχθροῦ παγίδων μέχρι τελείας ἡλικίας με ἄτρωτον διεφύλαξας.

Ἐπεί δέ οὐ βίᾳ ἡμᾶς, ἀλλ’ αὐτοπροαιρέτῳ γνώμῃ σῴζεσθαι ἐδικαίωσας, εἴασας κἀμέ τῷ αὐτεξουσίῳ τιμᾶσθαι καί τήν πρός σέ ἀγάπην ἐκ τῆς τῶν ἐντολῶν σου φυλακῆς αὐτοπροαίρετον ἐπιδείκνυσθαι, ἐγώ δέ ὁ ἀγνώμων καί καταφρονητής, ὥσπερ ἵππος ἀπολυθείς ἐκ δεσμῶν, οὕτω τήν ἀξίαν τῆς αὐτεξουσιότητος λογισάμενος, εἰς κρημνόν ἐμαυτόν, τῆς σῆς δεσποτείας ἀποσκιρτήσας, ἀπέρριψα. Κἀκεῖ με κείμενον καί ἀναισθήτως ἐγκυλιόμενον καί ἐπί πλεῖον συντριβόμενον, οὐκ ἀπεστράφης, οὐκ εἴασας κεῖσθαι καί τῷ βορβόρῳ μολύνεσθαι, ἀλλά διά σπλάγχνα ἐλέους σου ἐξαπέστειλας κἀκεῖθέν με ἀνήγαγες καί λαμπρότερον ἐτίμησας, καί ἀπό βασιλέων καί ἀρχόντων, ὡς σκεῦος ἄτιμον βουληθέντων μοι χρήσασθαι εἰς λειτουργίαν τῶν θελημάτων αὐτῶν, ἀρρήτοις σου κρίμασιν ἀπελύτρωσας· δῶρα χρυσίου καί ἀργυρίου, καίτοι φιλαργύρου μου ὄντος, λαβεῖν με οὐκ εἴασας, δόξαν καί περιφάνειαν βίου, διδομένην μοι εἰς ἀπεμπόλησιν τοῦ ἁγιασμοῦ σου, ὡς βδέλυγμα ταύτην λογίσασθαι ἐδωρήσω μοι. Ἀλλά ταῦτα πάντα, ἐξομολογοῦμαί σοι, Κύριε ὁ Θεός τοῦ οὐρανοῦ καί τῆς γῆς, εἰς οὐδέν πάλιν θέμενος, εἰς λάκκον καί ἰλύν βυθοῦ αἰσχρῶν ἐννοιῶν τε καί πράξεων ἐμαυτόν ὁ ἄθλιος ἐναπέρριψα, κἀκεῖ κατελθών τοῖς ἐγκεκρυμμένοις ἐν τῷ σκότει περιέπεσον, ἐξ ὧν οὐκ ἐμαυτόν ἐγώ μόνον, ἀλλ’ οὐδέ ὁ σύμπας κόσμος εἰς ἕν ἀθροισθείς ἐκεῖθεν ἀναγαγεῖν με καί τῶν χειρῶν αὐτῶν ἐξελέσθαι ἠδύνατο.

Ὅμως ἐκεῖσε κρατούμενόν με ἐλεεινῶς καί ἀθλίως περισυρόμενον καί συμπνιγόμενον καί καταπαιζόμενον παρ’ αὐτῶν, ὁ εὔσπλαχνος σύ καί φιλάνθρωπος Δεσπότης, οὐ

παρεῖδές με, οὐκ ἐμνησικάκησας, οὐκ ἀπεστράφης μου τήν ἀγνώμονα γνώμην, οὐκ ἐπί πολύ ἀφῆκας ὑπό τῶν ληστῶν ἐθελοντί τυραννεῖσθαί με. Ἀλλ' εἰ καί ἐγώ ἀναισθήτως συναπαγόμενος αὐτοῖς ἔχαιρον, σύ ἀσχημόνως ὁρᾶν με περιαγόμενον καί συρόμενον οὐκ ἔφερες, Δέσποτα, ἀλλ' ἐσπλαχνίσθης, ἀλλά ἠλέησας καί οὐκ ἄγγελον, οὐδέ ἄνθρωπον πρός μέ τόν ἁμαρτωλόν καί ἄθλιον ἐξαπέστειλας, ἀλλ' αὐτός σύ ὑπό τῶν τῆς ἀγαθότητός σου σπλάγχνων κινούμενος, τῷ βαθυτάτῳ λάκκῳ ἐκείνῳ ἐπικλιθείς καί ἐν τῷ βάθει τοῦ βορβόρου κάτω που συγκεχωσμένῳ καί καθημένῳ τήν ἄχραντόν σου ὑφηπλώσας χεῖρα, κἀμοῦ μή ὁρῶντός σε - ποῦ γάρ καί εἶχον ἤ πῶς ἀναβλέψαι ὅλως ἴσχυσα ἄν, ὑπό τοῦ βορβόρου συγκεκαλυμμένος καί συμπνιγόμενος; - τῶν τριχῶν τῆς κεφαλῆς μου ἐκράτησας κἀκθεῖθέν με βιαίως σύρων ἀνέσπασας, ἐμοῦ τῶν μέν πόνων καί τῆς πρός τά ἄνω ἀθρόας φορᾶς αἰσθανομένου καί ὅπως ἀνέρχομαι, ἀγνοοῦντος δέ ὑπό τίνος ὅλως ἀνάγομαι ἤ τίς ποτέ ἐστιν ὁ κρατῶν καί ἀνάγων με. Ἀλλ΄ ἀναγαγών καί στήσας με ἐπί τήν γῆν, δούλῳ σου καί μαθητῇ παραδέδωκας, ὅλον ὄντα με ῥυπαρόν καί ὑπό τοῦ βορβόρου τούς ὀφθαλμούς, τά ὦτα καί τό στόμα ἐμπεφραγμένον, καί μηδέ οὕτω βλέποντα ὅστις εἶ, εἰ μή μόνον γνόντα ὁποῖός τίς ποτε ἀγαθός καί φιλάνθρωπος ὑπάρχεις, τοῦ βαθυτάτου με λάκκου ἐκείνου καί βορβόρου ἐξήγαγες. Εἰπών οὖν μοι· «*Κράτησον καί τῷ ἀνθρώπῳ τούτῳ κολληθείς ἀκολούθησον· οὗτος γάρ σε ἀπαγαγών ἀπολούσειε*», πίστιν τε βεβαίαν εἰς τοῦτόν μοι χαρισάμενος, ὑπεχώρησας. Ποῦ οὖν γεγονώς ᾖς, ἀγνοῶ.

Τῷ γοῦν ὑποδειχθέντι μοι παρά σοῦ, πανάγιε Δέσποτα, κατά τό πρόσταγμά σου ἀμεταστρεπτί ἠκολούθησα, κἀκείνου πρός τάς βρύσεις καί τάς πηγάς κόπῳ πολλῷ ἀγαγόντος με, τυφλόν ὄντα καί ὄπισθεν ἐφελκόμενον ἐκείνου τῇ παρά σοῦ μοι δοθείσῃ χειρί τῆς πίστεως καί ἀκολουθεῖν ἀναγκαζόμενον, ἔνθα βλέπων ἐκεῖνος καλῶς τούς πόδας ἀνελάμβανε καί διά τῶν λίθων καί βοθύνων καί σκανδάλων διήρχετο ἁπάντων ὑπεραλλόμενος, ἐμέ εἰς ταῦτα προσκρούειν καί ἐμπίπτειν συνέβαινε, καί πολλούς πόνους καί πολλάς κακώσεις καί θλίψεις ὑπέμεινα. Ἀλλά γάρ ἐκεῖνος μέν ἐν πάσῃ πηγῇ καί βρύσει ἀφ' ἑαυτοῦ καθ' ὥραν ἐνίπτετο καί ἐλούετο, ἐγώ δέ μή βλέπων παρηρχόμην τάς πλείω. Εἰ μή γάρ ἐκεῖνος τῆς χειρός ἐκράτησέ μου καί πρός τῇ πηγῇ ἔστησε καί τάς χεῖρας ὡδήγησέ μου τοῦ νοός, οὐδ' ὅπου ποτέ οὖσαν ἠδυνάμην εὑρεῖν τήν βρύσιν τοῦ ὕδατος. Ὑποδείξαντος δέ καί πολλάκις ἐάσαντός με τοῦ νίψασθαι, σύν τῷ καθαρῷ ὕδατι καί πηλόν που προσπαρακείμενον τῇ πηγῇ καί βόρβορον ἴσως ἐν ταῖς παλάμαις συνανελάμβανον καί τό πρόσωπόν μου ἐμόλυνον, ἀλλά καί τήν βρύσιν πολλάκις ψηλαφῶν τοῦ ὕδατος εὑρεῖν συγκατέσπων τόν χοῦν καί τόν βόρβορον ἀνετάρασσον καί μή βλέπων ὅλως, μολύνων τῷ βορβόρῳ τό πρόσωπον ὥσπερ ἐν ὕδατι, καθαρῶς ἐνόμιζον ἀποπλύνεσθαι.

Πῶς δέ τήν ἐκ τούτου πάλιν ἀνάγκην καί βίαν ἐκδιηγήσομαι; Οὐ μόνον δέ ἀλλά καί τῶν πολλάκις διαμαρτυρουμένων καί ὑποτιθεμένων καί καθ' ἑκάστην λεγόντων μοι· «*Τί ματαιοπονεῖς, ἀφρόνως ποιῶν, καί τῷ ἐμπαίκτῃ τούτῳ καί πλάνῳ ἀκολουθεῖς, ἀναβλέψαι ματαίως καί ἀνωφελῶς προσδοκῶν; Οὐδέ γάρ νῦν δυνατόν. Τί καί τούς*

*πόδας προσκρούων καί αἱμάσσων ἀκολουθεῖς; Τί δέ μή μᾶλλον ἐλεήμοσι προσέρχῃ, παρακαλοῦσι τοῦ ἀναπαύειν καί διατρέφειν καί καλῶς θεραπεύειν σε; Οὐ γάρ ἐνδέχεταί σε τῆς λέπρας ἀπαλλαγῆναι τῆς ψυχικῆς, οὐδέ νῦν ἀναβλέψαι ποτέ. Πόθεν γάρ ὁ ἐμπαίκτης αὐτός ἀνεφάνη ἄρτι θαυματουργός, ὑπισχνούμενός σοι τά παρά πᾶσιν ἀνθρώποις τῆς νῦν γενεᾶς ὄντα ἀδύνατα; Οὐαί σοι, ὅτι καί τήν διδομένην σοι θεραπείαν παρά τῶν φιλοχρίστων καί φιλαδέλφων καί συμπαθῶν ἀνδρῶν ἀπολέσεις καί τάς κακώσεις καί θλίψεις, ἅς ὑφίστασαι ἐπί ματαίαις ἐλπίσιν, ὑπομενεῖς καί τῶν ἐπαγγελλομένων σοι ὑπό τοῦ ἀπατεῶνος καί πλάνου αὐτοῦ ἐπ᾽ ἀληθείας ἐκπέσῃς. Τί γάρ καί ἰσχύει ὅλως; Καί ἡμῶν δίχα σύ οὐ συλλογίζῃ ἐν σεαυτῷ, οὐδέ φρονεῖς; Τί δαί; Οὐχί καί ἡμεῖς πάντες βλέπομεν; Ἤ τυφλοί, ὡς ὁ πεπλανημένος αὐτός σοι λέγει, ὑπάρχομεν; Ὄντως βλέπομεν ἅπαντες, καί οὐκ ἔστιν ἄλλη μείζων ταύτης, μή ἀπατῶ, ἀνάβλεψις».* Ἀλλά τούτων με πάντων, σύ ὁ ἐλεήμων καί εὔσπλαχνος, τῶν ὄντως ἀπατεώνων καί πλάνων, τῶν ἀνατροπήν θολεράν τόν πλησίον ποτιζόντων, ἐρρύσω με διά τῆς χαρισθείσης μοι παρά σοῦ πίστεως καί ἐλπίδος, δι᾽ ἧς καί τά ῥηθέντα καί ἄλλα πλείονα ἐνίσχυσας, ὑπομεῖναί με.

Ἀλλά γάρ ἐν ἅπασι τούτοις καρτερήσαντι καί μή ἀφισταμένῳ μοι, οὕτω πως τεθολωμένους καί ψηλαφητῶς καθ᾽ ἑκάστην ἀπονιπτομένῳ καί τῷ δοκεῖν ἀπολουομένῳ, ὡς ὁ ἀπόστολός σου καί μαθητής με ἐδίδασκε, ποτέ περιπατοῦντι καί πρός τήν πηγήν τρέχοντι, αὐτός σύ πάλιν, ὁ καί πρῴην ἐκ τοῦ βορβόρου ἐκσπάσας με, ἐν τῇ ὁδῷ προσυπήντησας. Καί τότε πρῶτον τῇ τοῦ προσώπου σου ἀχράντῳ αἴγλῃ τά ἀσθενῆ μου περιήστραψας ὄμματα, καί ὅ ἔχειν ἐδόκουν φῶς κἀκεῖνο ἀπώλεσα, γνωρίσαι σε μή δυνηθείς. Καί πῶς ἀν ἠδυνήθην, οὗτινος οὐδέ τήν τοῦ προσώπου αἴγλην ἰδεῖν, οὐδέ καταμαθεῖν ἤ κατανοῆσαι ἐξίσχυσα, σέ αὐτόν ἰδεῖν ἤ γνῶναι, ὅστις ποτέ ᾖς; Ἔκτοτε οὖν συχνοτέρως καί πρός αὐτῇ τῇ πηγῇ ἱσταμένου μου, ὁ ἀνυπερήφανος οὐκ ἀπηξίους κατέρχεσθαι, ἀλλά παραγινόμενος καί κρατῶν μου πρῶτον τήν κεφαλήν, ἐνέβαπτες αὐτήν ἐν τοῖς ὕδασι καί καθαρώτερον ἐποίεις ὁρᾶν με τό φῶς τοῦ προσώπου σου. Εὐθύς δέ ἀφίπτασο, μή διδούς ἐννοεῖν με ὅστις αὐτός ᾖς, ὁ ταῦτα ποιῶν, ἤ ὅθεν τε ἦλθες ἤ ποῦ ἀφίκεσαι, οὐδέ γάρ ἔτι τοῦτο ἐδίδως μοι. Οὕτω δέ ἐρχομένου ἐπί χρόνον και ἀπιόντος σου, κατ᾽ ὀλίγον ἐφαίνου πλέον καί πλέον κἀμέ περιήντλεις τοῖς ὕδασι καί καθαρώτερον ὁρᾶν καί πλέον φῶς ἐχαρίζω μοι.

Τοῦτο δέ ἐγχρονίσας ποιῶν, φρικτόν με πρᾶγμα καί μυστήριον ἰδεῖν κατηξίωσας. Σοῦ γάρ παραγινομένου καί τῷ δοκεῖν με τοῖς ὕδασι πλύνοντος καί περιαντλοῦντος καί ἐν αὐτοῖς πολλάκις ἐμβάπτοντος, τάς ἀστραπάς τάς περιλαμπούσας με καί τάς ἀκτῖνας τοῦ προσώπου σου ἀναμιγείσας ἐθεασάμην τοῖς ὕδασι καί ἐξέστην, ὁρῶν φωτοειδεῖ με ὕδατι ἐκπλυνόμενον. Καί ποῦ ποθεν ἦν τίς ὁ τούτου πάροχος, οὐκ ἐγίνωσκον, μόνον δέ λουόμενος ἔχαιρον τῇ πίστει αὐξάνων, τῇ ἐλπίδι πτερούμενος καί ἕως οὐρανοῦ ἀνερχόμενος, τούς δέ πλάνους ἐκείνους, τούς τά ῥήματα τῆς ἀπάτης καί τοῦ ψεύδους ὑποτιθεμένους μοι, σφόδρα μισῶν καί τῆς πλάνης κατελεῶν, οὐδέ πρός συντυχίαν ἤ ὁμιλίαν ὅλως αὐτοῖς συνηρχόμην, ἀλλά καί τῆς θέας αὐτῶν τήν βλάβην ἐξέφευγον, τόν

δέ συνεργόν καί βοηθόν μου, τόν ἅγιόν σου λέγω μαθητήν καί ἀπόστολον, ὡς αὐτόν σέ τόν ἐμέ πλάσαντα, ἐσεβόμην, ἐτίμων, ἠγάπων ἀπό ψυχῆς, προσπίπτων αὐτοῦ τοῖς ποσί νυκτός καί ἡμέρας καί «*Εἴ τι δύνασαι, βοήθει μοι*» αὐτόν ἐξαιτούμενος, πληροφορίας ἔχων ὅτι ὅσα καί βούλεται, δύναται παρά σοί.

Οὕτως οὖν ἐφ᾽ ἱκανόν χρόνον τῇ χάριτί σου διατελῶν, ἄλλο πάλιν εἶδον φρικτόν μυστήριον. Λαβόμενος γάρ με, εἰς οὐρανούς ἀνελθών, συνανήγαγες, εἴτε ἐν σώματι, οὐκ οἶδα, εἴτε ἐκτός τοῦ σώματος, σύ μόνον οἶδας, ὁ καί τοῦτο ποιήσας. Ἀλλά γάρ ὥραν ἐκεῖσε μετά σοῦ με ποιήσαντα, καί τῆς δόξης - τίνος δέ ἀγνοῶ καί οὗτινος - τό μέγεθος, ἐκπλαγείς καί τῷ ἀμετρήτῳ ὕψει ἐκθαμβηθείς, ὅλος ἔφριξα. Πάλιν δέ με μόνον ἀφῆκας ἐν γῇ, ἐν ᾗ καί ἱστάμην τό πρότερον, καί εὑρέθην θρηνῶν καί τήν παλαιπωρίαν μου ἐκθαμβούμενος. Εἶτα κάτω μετ᾽ οὐ πολύ ὄντος μου, ἄνω εἰς οὐρανούς, διανοιχθέντων αὐτῶν, τό πρόσωπόν σου, ὡς ἥλιον ἄμορφον, κατηξιώσας ὑποδεῖξαί μοι. Καί ὅστις ποτέ ᾗς, οὐδ᾽ οὕτω μοι γνῶναι δέδωκας - πῶς γάρ, μή λαλήσας μοι; - ἀλλ᾽ ἐκρύβης εὐθύς κἀγώ περιῄν ζητῶν σε, ὅν οὐκ ἐγίνωσκον, καί μορφήν σου ἰδεῖν καί γνωστῶς γνῶναι ὅστις ᾗς ἐπεπόθουν. Διό καί ἀπό τῆς πολλῆς βίας καί τοῦ πυρός τῆς ἀγάπης σου διαπαντός ἔκλαιον, μή εἰδώς αὐτόν σέ ὅστις εἶ, τόν ἐκ τοῦ μή ὄντος εἰς τό εἶναι παραγαγόντα με καί ἐκ τοῦ βορβόρου ἐξαγαγόντα καί τά εἰρημένα ἅπαντα γεγονότα μοι.

Ὡς οὖν οὕτω πάλιν πολλάκις ὤφθης καί πολλάκις πάλιν μή λαλήσας ἐκρύβης μοι μηδόλως ὁρώμενος, τάς ἀστραπάς δέ καί τήν αἴγλην τήν τοῦ προσώπου σου ὁρῶν, ὥσπερ πρότερον ἐν τοῖς ὕδασι, πάλιν καί πολλάκις περικυκλούσας με, κρατεῖν δέ ταύτας ὅλως ἀμηχανῶν, ἐμιμνησκόμην ὅπου ποτέ ἄνω εἶδόν σε, καί ἄλλον εἶναι ἀφρόνως ὑπονοούμενος πάλιν ἐζήτουν μετά δακρύων ἰδέσθαι σε. Οὕτως οὖν ἐν πολλῇ λύπῃ καί θλίψει καί στενοχωρίᾳ ἐμαυτόν ἐκπιέζων καί ἐμαυτοῦ ἐπιλανθανόμενος καί ὅλου ὅλως τοῦ κόσμου καί τῶν ἐν κόσμῳ, καί μηδέ σκιάν, μηδέ ὁτιοῦν ἤ ὅτι ἐστί τί ποτε τό ὁρώμενον ἐννοῶν, αὐτός ὁ πάσιν ἀόρατος, ὁ ἀναφής καί ἄληπτος, ἔφανας καί ἐδόκεις μοι τόν ἐμόν νοῦν καθαίρων καί πλατύνων τό τῆς ψυχῆς ὀπτικόν καί ἐπί πλεῖον παρέχων ὁρᾶν τήν δόξαν σου, καί ὅτι μᾶλλον αὐξάνεις αὐτός καί λάμπων πλέον πλατύνῃ, καί τῇ τοῦ σκότους ὑποχωρήσει αὐτόν σε πλησιάζοντα καί ἐρχόμενον κατεμάνθανον, καθά πολλάκις καί ἐν τοῖς αἰσθητοῖς πάσχομεν. Σελήνης γάρ φαινούσης καί περιπατούντων οἱονεί τῶν νεφῶν, ἡ σελήνη ὁρᾶται καί δοκεῖ τρέχειν ταχύτατα, μηδέν τῷ συνήθει προστιθεῖσα δρόμῳ ἤ τήν ἐξ ἀρχῆς ὑπαλλάσσουσα πορείαν. Οὕτως οὖν, Δέσποτα, ἐδόκεις ἔρχεσθαι ὁ ἀκίνητος καί ὁ ἀναλλοίωτος μεγεθύνεσθαι καί μορφοῦσθαι ὁ ἄμορφος.

Ὥσπερ γάρ ἐπί τυφλοῦ κατά μικρόν ἀναβλέποντος καί τόν χαρακτῆρα τοῦ ἀνθρώπου κατανοοῦντος καί οἷός ἐστιν ἐκ τοῦ κατ᾽ ὀλίγον ἀνιστοροῦντος, οὐχ ὁ χαρακτήρ πρός τήν ὅρασιν μεταποιεῖται ἤ μεταπλάττεται, ἀλλά τό ὀπτικόν μᾶλλον τῶν ὀφθαλμῶν αὐτοῦ ἀποκαθαιρόμενον, τόν χαρακτῆρα, οἷός ἐστιν, ὁρᾷ, ἐντυπουμένης οἱονεί τῆς ἐμφερείας αὐτοῦ ὅλης τῷ ὀπτικῷ καί διά τούτου διϊκνουμένης καί ἀπομασσομένης καί ὡς ἐν πίνακι

ἐγχαραττομένης τῷ νοερῷ τε καί μνημονευτικῷ τῆς ψυχῆς, οὕτω καί αὐτός ὡράθης, τῷ φωτί τρανῶς τοῦ Ἁγίου Πνεύματος ἐκκαθάρας μου τόν νοῦν ὁλικῶς. Κἀκείνου τρανότερον καί καθαρώτερον βλέποντος, αὐτός μοί ποθεν ἐδόκεις ἐξέρχεσθαι καί λαμπρότερος φαίνεσθαι, καί χαρακτῆρα μορφῆς ἀμόρφου ὁρᾷν ἐμπαρεῖχές μοι, καί ἔξω με τοῦ κόσμου τότε πεποίηκας - δοκῶ εἰπεῖν καί τοῦ σώματος, τοῦτο γάρ ἀκριβῶς γνῶναι οὐκ ἔδωκας - , ὑπερηύγασας δ᾽ οὖν καί τῷ δοκεῖν ὅλως ὅλῳ καλῶς βέποντι ὤφθης μοι, καί «*Ὦ Δέσποτα*» λέγοντά με, «*τίς ποτε ἦς;*», τότε φωνῆς με πρῶτον τόν ἄσωτον κατηξίωσας καί οὑτωσί προσηνῶς προσεφθέγξω μοι, ἐξανισταμένῳ καί θαμβουμένῳ καί τρέμοντι καί ἐν ἐμαυτῷ ποσῶς ἐννοοῦντι καί λέγοντι· «*Τί ποτε ἄρα ἡ δόξα αὕτη καί τό τῆς λαμπρότητος ταύτης μέγεθος βούλεται; Πῶς δέ ἤ πόθεν ἐγώ τοιούτων ἀγαθῶν κατηξίωμαι;*» - «*Ἐγώ, φησίν, εἰμί ὁ Θεός ὁ διά σέ γεγονώς ἄνθρωπος, καί ὅτι με ἐξ ὅλης ψυχῆς ἐπεζήτησας, ἰδού ὑπάρξεις ἀπό τοῦ νῦν ἀδελφός μου καί συγκληρονόμος μου καί φίλος μου*». Ἐπί τούτοις οὖν καταπλαγέντος μου καί τῇ ψυχῇ ἐκχυθέντος καί τήν ἰσχύν διασκορπισθέντος καί «*Τίς εἰμι ἀνταποκριθέντος ἐγώ ἤ τί πεποιήκα ὁ ἄθλιος, Δέσποτα, καί ταλαίπωρος, ἵνα με τοιούτων ἀγαθῶν ἄξιον καταστήσῃς καί τοιαύτης δόξης συμμέτοχον καί συγκληρονόμον ποιήσῃς;*» - λογισαμένου μου δέ ταύτην ὑπέρ νοῦν εἶναι τήν δόξαν καί τήν χαράν, ὁ Δεσπότης πάλιν σύ, οἱονεί φίλος φίλῳ διαλεγόμενος διά τοῦ ἐν ἐμοί λαλοῦντος σου Πνεύματος, εἶπάς μοι· «*Ταῦτα διά μόνην τήν πρόθεσιν καί προαίρεσιν καί πίστιν σου ἐδωρησάμην σοι καί ἔτι δωρήσομαι. Τί γάρ ἔχεις ἄλλο ἤ ἔσχες ποτέ σόν, γυμνός παρ᾽ ἐμοῦ παραχθείς, ἵνα ἐκεῖνο λαβών ἀντ᾽ ἐκείνου ταῦτά σοι δώσοιμι; Ἐάν γάρ μή λυθῇς τῆς σαρκός, τό τέλειον οὐ θεάσῃ, οὐδέ ἐπαπολαῦσαι ὅλου αὐτοῦ ἰσχύσεις καλῶς*». Ἐμοῦ δέ εἰπόντος· «*Καί τί τούτου μεῖζον εἴτε λαμπρότερον; Ἐμοί τέως ἀρκεῖ τό οὕτως εἶναι καί μετά θάνατον*» - «*Ὡς λίαν εἶ σύ μικρόψυχος, εἶπας, τοῖς τοιούτοις ἀρκούμενος. Ταῦτα γάρ πρός τά μέλλοντα ἴσον εἰσίν ἱστορηθέντος ἐν χάρτῃ οὐρανοῦ καί ταῖς χερσί κρατουμένου· ὅσῳ γάρ οὗτος τοῦ ἀληθινοῦ οὐρανοῦ ἀπολείπεται, τοσούτῳ πλέον ἀσυγκρίτως ἡ μέλλουσα δόξα ὑπέρ τήν νῦν ὁρωμένην σοι ἀποκαλυφθήσεται*».

Ταῦτα εἰπών ἐσιώπησας καί μικρόν μικρόν ὁ γλυκύς καί καλός Δεσπότης ἐκρύβης ἐξ ὀφθαλμῶν μου, εἴτε ἐμοῦ μακρύναντος ἀπό σοῦ, εἴτε σοῦ ἀπ᾽ ἐμοῦ ἀπελθόντος, οὐκ οἶδα. Τέως δ᾽ οὖν ἐγενόμην πάλιν ὅλος ἐν ἐμαυτῷ, ποθέν νομίσας ἐλθεῖν, καί εἰσῆλθον ἐν τῷ πρώτῳ σκηνώματι. Ὅθεν μιμνησκόμενος τοῦ κάλλους τῆς δόξης καί τῶν ῥημάτων σου, περιπατῶν, καθεζόμενος, ἐσθίων, πίνων καί προσευχόμενος, ἔκλαιον καί ἐν χαρᾷ διῆγον ἀνεκφράστῳ γνωρίσας σε, τόν Ποιητήν τῶν ἁπάντων. Πῶς γάρ καί μή ἔχαιρον; Ἀλλά γάρ πάλιν λυπούμενος καί οὕτως αὖθις ἰδεῖν σε ἐπιποθῶν, ὡς ἀπῆλθόν ποτε πρός τό τήν ἄχραντον εἰκόνα τῆς σέ Τεκούσης ἀσπάσασθαι καί ταύτῃ προσέπεσα, αὐτός πρό τοῦ ἀναστῆναί με, ἐντός τῆς ταλαιπώρου καρδίας μου, ὡς φῶς ἀποτελέσας αὐτήν, ὡράθης μοι, καί τότε ἔγνων ὅτι ἐν ἐμοί σε γνωστῶς ἔχω. Ἀπό οὖν τότε οὐχί μνημονεύων σου καί τῶν περί σέ ἠγάπων σε ἀπό τῆς τῶν τοιούτων μνήμης, ἀλλ᾽ ἐν ἐμοί σέ, τήν ἐνυπόστατον ἀγάπην, ἔχειν ἐπ᾽ ἀληθείας ἐπίστευσα. Ἡ γάρ ὄντως ἀγάπη σύ εἶ, ὁ Θεός.

Τῇ οὖν πίστει ἡ ἐλπίς ἐμφυτευθεῖσα καί ἐν αὐτῇ ὑπό τῆς μετανοίας καί τῶν δακρύων ποτισθεῖσα, ἔπειτα καί ὑπό τοῦ σοῦ φωτός ἐλλαμφθεῖσα, ἐρριζώθη καί ηὐξήθη καλῶς. Εἶτα σύ αὐτός, ὁ καλός τεχνίτης καί δημιουργός, παραγεγονώς διά τῆς τῶν πειρασμῶν μαχαίρας, φημί δή τῆς ταπεινώσεως, τούς εἰς πολύ ὕψος ἀναχθέντας περιττούς κλῶνας τῶν λογισμῶν ἀφελών, τῇ ἐλπίδι μόνῃ, ὡς ἐν μιᾷ ῥίζῃ δένδρου, τήν σήν ἁγίαν ἀγάπην ἐνεκέντρισας. Ταύτην οὖν ὁρῶν ὁσημέραι αὐξάνουσαν καί ἀεί ὁμιλοῦσάν μοι, μᾶλλον δέ διά ταύτης σύ καί διδάσκων καί περιλάμπων με, ὡς ἤδη ὑπέρ πᾶσαν πίστιν γεγονώς καί ἐλπίδα, οὕτω χαίρων διάκειμαι, καθά καί Παῦλος βοᾷ λέγων· «*Ὅ γάρ τις βλέπει, τί καί ἐλπίζει;*». Εἰ οὖν ἐγώ σέ ἔχω, τί πλέον ἐλπίσω; «*Ἄκουσον τι*» πάλιν ἔφησας, Δέσποτα· «*ὥσπερ τόν ἥλιον ὁρᾷς ἐν τοῖς ὕδασιν, ἐκεῖνον δέ αὐτόν οὐδόλως τότε μᾶλλον κάτω νεύων ὁρᾷς, οὕτω καί τό ἐν σοί γινόμενον νόει μοι καί ἀσφαλίζου σεαυτόν καί σπούδαζε ἀεί ἐντός σοῦ καθαρῶς καί τρανῶς, ὡς τόν ἥλιον ἐν τοῖς καθαροῖς ὕδασι, καθορᾶν με· καί εἶθ' οὕτως ἰδεῖν με, ὥσπερ εἶπόν σοι, καταξιωθήσῃ καί μετά θάνατον. Εἰ δέ μή, ὁ κύκλος ὅλος τῶν ἔργων καί κόπων καί λόγων σου τούτων ὠφελήσουσί σε οὐδέν, μᾶλλον μέν οὖν καί μειζόνως κατακρινοῦσι καί πλείονα θλῖψίν σοι προξενήσουσιν, ἐπειδήπερ, ὡς ἀκούεις, δυνατοί δυνατῶς ἐτασθήσονται*». Καί γάρ οὐχ οὕτω πένητι ἐκ γενετῆς αἰσχύνης αἰτία γίνεται ἡ πενία, οὐδέ ἡ ἐκ ταύτης λύπη ἐπί τοσοῦτον λυπεῖ, ὡς τῷ πλουτήσαντι καί δοξασθέντι καί ὑψωθέντι καί τῷ ἐπί γῆς βασιλεῖ οἰκειωθέντι, εἶτα πάντων ἐκπεσόντι ἐκείνων καί εἰς παντελῆ πτωχείαν κατενεχθέντι, καίτοι μή οὐχ οὕτως ὄντων τῶν πραγμάτων ἐν τοῖς ἐπιγείοις καί ὁρωμένοις καί ἐν αὐτοῖς τοῖς πνευματικοῖς πράγμασι καί ἀοράτοις. Τοῖς μέν γάρ ἐκπεσοῦσι τῆς φιλίας καί δουλείας τοῦ ἐπιγείου βασιλέως ἔκ τινος αἰτίας, τῶν ὑπαρχόντων αὐτοῖς κυρίους εἶναι καί ἐπαπολαύειν αὐτῶν καί ζῆν ἔξεστιν, ἐμοῦ δέ τῆς ἀγάπης καί φιλίας εἰ ἐκπέσειέ τις, ζῆν ὅλως οὐ δύναται - ἡ ζωή γάρ αὐτοῦ ἐγώ εἰμι -, ἀλλ' εὐθύς ἁπάντων γυμνοῦται καί τοῖς ἐχθροῖς ἐμοῦ τε καί αὐτοῦ αἰχμάλωτος παραδίδοται, ὅν ἐκεῖνοι λαβόντες ὑπέρ τῆς προτέρας αὐτοῦ εὐνοίας καί ἀγάπης, ἧς πρός μέ ἐκέκτητο, μανιωδέστερον αὐτῷ ἐπεμβαίνουσι, τιμωροῦντες, καταγελῶντες καί καταπαίζοντες.

Ναί ὄντως, πανάγιε Βασιλεῦ, οὕτως εἶναι κἀγώ πιστεύω σοι τῷ Θεῷ μου καί προσπίπτων καθικετεύτω σε, φύλαξόν με τόν ἁμαρτωλόν καί ἀνάξιον ὅν ἠλέησας, καί τό φυτόν τῆς ἀγάπης σου, ὅπερ ἐνεκέντρισας ἐν τῷ δένδρῳ τῆς ἐλπίδος μου, τῇ δυνάμει σου στήριξον. Μή ὑπό ἀνέμων σεισθῇ, μή ὑπό καταιγίδος θραυσθῇ, μή ὑπό ἐχθροῦ τινος ἐκσπασθῇ, μή ὑπό ἀμελείας καύσωνος φλεχθῇ, μή ὑπό ῥᾳθυμίας καί μετεωρισμῶν ξηρανθῇ, μή ὑπό φιλοδοξίας τέλεον ἐξαφανισθῇ. Σύ γάρ οἶδας, ὁ τοῦτο καί χαρισάμενος καί κατεργασάμενος ἐν ἐμοί, ὅτι ἕνεκεν τούτου ἀπό παντός ἀνθρώπου εἰμί ἀβοήθητος, τόν γάρ συνεργόν μου καί βοηθόν, σόν δέ ἀπόστολον, ὡς αὐτός ἠβουλήθης ἀπ' ἐμοῦ σωματικῶς ἀπεχώρισας. Σύ γινώσκεις μου τήν ἀσθένειαν, σύ ἐπίστασαι τήν ταλαιπωρίαν καί τήν εἰς ἅπαν ἀδυναμίαν μου. Τοιγαροῦν διά τοῦτο σπλαγχνίθητι ἐπί πλεῖον ἀπό τοῦ νῦν ἐπ' ἐμοί ὁ πολυεύσπλαγχνος Κύριος. Προσπίπτω σοι ἀπό καρδίας, ἵνα μή ἐάσῃς με εἰς τό θέλημά μου, ὁ ποιήσας τοσαῦτα καλά μετ' ἐμοῦ, ἀλλά ἐν τῇ σῇ ἀγάπῃ ἵδρυσόν μου τήν ψυχήν καί ἐν ταύτῃ ῥιζῶσαι τήν σήν ἀγάπην ποίησον ἀσφαλῶς, ἵνα κατά τήν

ἄχραντον καί ἁγίαν καί ἀψευδῆ σου ἐπαγγελίαν σύ ᾗς ἐν ἐμοί κἀγώ ὑπάρχω ἐν σοί, καί σκέπομαι ὑπ’ αὐτῆς κἀγώ σκέπω καί φυλάττω αὐτήν ἐν ἐμοί, καί σύ μέν βλέπεις με, Δέσποτα, ἐν αὐτῇ κἀγώ δέ ὁρᾶν σε καταξιοῦμαι δι’ αὐτῆς, νῦν μέν ὡς ἐν ἐσόπτρῳ, καθώς εἶπας, καί ἐν αἰνίγματι, τότε δέ ἐν ὅλῃ τῇ ἀγάπῃ ὅλον σε, τόν ἀγάπην ὄντα καί οὕτω καλεῖσθαι καταξιώσαντα, ὅτι σοί πρέπει πᾶσα εὐχαριστία, κράτος, τιμή καί προσκύνησις, τῷ Πατρί καί τῷ Υἱῷ καί τῷ Ἁγίῳ Πνεύματι νῦν καί ἀεί καί εἰς τούς ἀτελευτήτους αἰῶνας τῶν αἰώνων. Ἀμήν.

# ΤΟΜΟΣ ΔΕΥΤΕΡΟΣ ΒΙΒΛΟΣ ΤΩΝ ΘΕΟΛΟΓΙΚΩΝ

## ΘΕΟΛΟΓΙΚΟΣ ΠΡΩΤΟΣ. Καί κατά τῶν τιθεμένων τό πρῶτον ἐπί τοῦ Πατρός.

Τό περί Θεοῦ λέγειν ἤ φθέγγεσθαι καί τά κατ’ αὐτόν ἐρευνᾶν καί τά ἀνέκφορα ποιεῖν ἔκφορα καί τά πᾶσιν ἀκατάληπτα ὡς καταληπτά ὑπεμφαίνειν τολμηρᾶς ἄν εἴη καί αὐθαδοῦς ψυχῆς ἔνδειγμα. Καί τοῦτο πάσχουσιν οὐχ ὅσοι ἀφ’ ἑαυτῶν τι λέγειν τολμῶσι μόνον περί Θεοῦ, ἀλλά καί ὅσοι τά πρός αἱρετικούς πάλαι λαληθέντα παρά τῶν θεσπεσίων θεολόγων καί γραφῇ παραδοθέντα ἀποστηθίζουσί τε καί πολυπραγμονοῦσιν, οὐχ ἵνα πνευματικήν τινά ὠφέλειαν καρπώσωνται, ἀλλ’ ἵνα θαυμάζωνται παρά τῶν ἀκουόντων ἐν πότοις καί συνεδρίοις καί θεολόγοι ἐπιφημίζωνται· ὅ καί μᾶλλον λυπεῖ με καί ἐν ἀδημονίᾳ ποιεῖ, ἐννοοῦντα τό φρικτόν τοῦ ἐγχειρήματος καί τό τοῖς τολμητίαις ἀποκείμενον κρῖμα. Οἷα δέ φασι τῶν θείων κατατολμῶντες! Κατά τοῦτο, φησί, μόνον μείζων ὁ Πατήρ τοῦ Υἱοῦ, καθ’ ὅ αἴτιός ἐστι τῆς ὑπάρξεως τοῦ Υἱοῦ. Καί ἡ ἀνθυποφορά· μείζονα τοῦ Υἱοῦ τόν Πατέρα πῶς φῄς; Ὅτι δή, φησί, μείζων ὁ Πατήρ τοῦ Υἱοῦ - λέγω δέ ἀντί τοῦ πρῶτος -· ἐκ τοῦ Πατρός γάρ. Ταῦτα τῆς καινῆς κενοφωνίας αὐτῶν καί ἀσυνέτου θεολογίας, τήν αἰτίαν δι’ ἥν ταῦτα πρός τῶν θεολόγων ἐλέχθησαν πρός αἱρετικούς ἀγνοούντων· τήν γάρ δύναμιν τῶν γεγραμμένων νοῆσαι μή ἱκανῶς ἔχοντες, κενεμβατοῦσιν καί ἅ λέγουσιν ὡς βέβαια καί ἀληθῆ καί οὕτως ἔχοντα διαβεβαιοῦνται. Πρός οὕς εἰκότως οὐκ ἀφ’ ἑαυτῶν, ἀλλ’ ἐκ τοῦ διδάσκοντος ἄνθρωπον γνῶσιν μυσταγωγούμενοι, τῷ ὑπηχοῦντι ἄνωθεν πειθόμενοι Πνεύματι, εἴπωμεν ὧδε.

Εἰ ἀδιαίρετος ἦν, ὦ οὗτοι, καί ἔστι καί ἔσται ἀεί ἡ παναγία Τριάς, ἡ τό πᾶν ἐκ τοῦ μή ὄντος παραγαγοῦσα, τίς ἐδίδαξε, τίς ἐνενόησε μέτρα καί βαθμούς, πρῶτον καί δεύτερον, μεῖζον καί ἔλαττον ἐν αὐτῇ; Τίς τοῖς ἀθεάτοις καί ἀγνώστοις καί πάντῃ ἀνερμηνεύτοις καί ἀκατανοήτοις ταῦτα ἐξέθετο; Τά γάρ ἀεί ἡνωμένα καί ἀεί ὡσαύτως ὄντα, ἀλλήλων πρῶτα εἶναι οὐ δύνανται. Εἰ δέ πρῶτον βούλει σύ τόν Πατέρα εἰπεῖν τοῦ Υἱοῦ, ὡς ἐξ αὐτοῦ γεννηθέντος, καί κατά τοῦτο μᾶλλον καί μείζονα, λέγω σοι κἀγώ πρῶτον εἶναι τοῦ Πατρός τόν Υἱόν· εἰ μή γάρ οὗτος ἐγεννήθη, οὐκ ἄν πατήρ ὁ Πατήρ ὠνομάζετο. Εἰ δέ προτάσσεις ὅλως τοῦ Υἱοῦ τόν Πατέρα καί πρῶτον αὐτόν ὡς αἴτιον τῆς τοῦ Υἱοῦ γεννήσεως ὀνομάζεις, καί τό εἶναι τοῦ Υἱοῦ αἴτιον ἀποβάλλομαι.

Ὑπόνοιαν γάρ παρέχεις ὅτι οὐκ ἦν ὁ Υἱός πρό τοῦ γεννηθῆναι, καί θέλων ἐγεννήθη ἤ μή θέλων, καί θέλοντος τοῦ Πατρός ἤ μή θέλοντος, καί ἔγνω ὅτι ἐγεννήθη καί πῶς ἤ οὐδαμῶς.

Ὁρᾷς εἰς ὅσας ἀτοπίας, ἵνα μή λέγω βλασφημίας, ἐκ τῶν τοιούτων ἐμπίπτομεν συζητήσεων. Ἤ τοίνυν τό πρῶτον λέγειν τοῦ Υἱοῦ τόν Πατέρα ἀπόδραθι, καί τηνικαῦτα τό αἴτιον λέγειν σε τόν Πατέρα δεξόμεθα, ἤ τουτό σου λέγοντος, τόν λόγον οἰκονομοῦντες ἐν κρίσει, τό γε νῦν ἔχον καί αὐτό παραιτούμεθα· τά γάρ ἀεί, ὥσπερ εἴρηται, ἡνωμένα καί ἀεί ὡσαύτως ὄντα ἀλλήλων αἴτια εἶναι οὐ δύνανται. Μή δή ἐννοήσῃς προϋπάρξαι ποτέ τοῦ Υἱοῦ τόν Πατέρα καί οὔτε πρῶτον οὔτε μείζονα καλέσεις

αὐτόν τοῦ Υἱοῦ· τό γάρ προϋπάρξαν πρῶτον ἄν κληθήσεται τοῦ ἐξ αὐτοῦ γεννηθέντος ἤ προελθόντος ἤ ποιηθέντος, ὁ δέ μήτε προών, μήτε ποτέ γεγονώς ἤ γενόμενος πρῶτος τοῦ συναϊδίου καί συνανάρχου Υἱοῦ, ἀλλ' ὅλος ὤν ἐν ὅλῳ τῷ ὁμοτίμῳ Υἱῷ, ὡς καί ὁ Υἱός ἐν ὅλῳ τῷ ὁμοουσίῳ Πατρί, πῶς πρῶτος τοῦ συναϊδίου κληθήσεται; Εἰ δέ αἴτιον λέγεις τοῦ Υἱοῦ τόν Πατέρα, φημί κἀγώ, εἰ μή που ὑπόνοιαν ἐμποιεῖς ὅτι ἦν ποτε ὁ Θεός μόνος, ὅτε οὐκ ἦν Υἱός, καί ὅτι ἐγέννησεν αὐτόν ὕστερον αἴτιος γενόμενος τῆς αὐτοῦ ὑπάρξεως, ὅπερ σε πόρρω τοῦ Θεοῦ καί τῆς ἀληθείας ἀπάγει, ὡς ἀσεβοῦντα, καί μετά τῶν λεγόντων ἀσεβῶν τόν Υἱόν ὑπό τοῦ Πατρός γεγενῆσθαι ποιεῖ· τοῦτο γάρ καί τό μόνον ἐννοῆσαι πάσης ἀθεότητος καί ἀσεβείας ἐστίν.

Αἴτιον γάρ τοῦ γεννωμένου υἱοῦ τόν πατέρα εἶναι ἐπί τῆς σωματικῆς γεννήσεως λέγομεν· ἐπί δέ τῆς θείας καί ἀνυπάρκτου ὑπάρξεως καί ἀγεννήτου γεννήσεως καί ἀνυποστάτου ὑποστάσεως καί ὑπερουσίου οὐσιώσεως, ἤ τί ἕτερον εἴπω οὐκ οἶδα, ὁ πρῶτον λέγων ἀνάγκη καί δεύτερον ὀνομάσαι καί τρίτον, ὅπερ ἐν τῇ παναγίᾳ Τριάδι ἔμφασιν ὅλως οὐκ ἔχει λέγεσθαι. Τό γάρ μετρεῖν τά ἀμέτρητα καί τά ἄρρητα λέγειν καί τά ἄφθεγκτα φθέγγεσθαι ἐπισφαλές ὑπάρχει καί ἐπικίνδυνον. Τοιγαροῦν καί ἐπί τῆς ἀρρήτου καί θείας τοῦ Θεοῦ Λόγου γεννήσεως αἴτιον μέν τοῦ Υἱοῦ λέγομεν τόν Πατέρα, ὡς νοῦν λόγου καί πηγήν ῥεύματος καί ῥίζαν τῶν κλάδων αὐτῆς, πρῶτον δέ οὐδαμῶς, ἵνα μή τόν ἀριθμόν πλεονάσωμεν, εἰς τρεῖς θεούς τήν ἀδιαίρετον καί μίαν θεότητα διαιροῦντες. Οὔτε γάρ πρῶτον, οὔτε δεύτερον, οὔτε τρίτον, οὐ μεῖζον, οὐκ ἔλασσον, ἔστιν ἐννοῆσαι ἤ εἰπεῖν ἐν τῇ ἀδιαιρέτῳ καί ἀσυγχύτῳ Τριάδι· ἄφθεγκτα γάρ πάντῃ καί ἄρρητα καί ἀκατανόητα τά τῆς θείας καί ὑπερουσίου φύσεως καί ἀνθρωπίνῳ νοΐ ἀκατάληπτα. Εἰ βούλει δέ καί ἄλλως γυμνάσαι τόν λόγον καί μαθεῖν ὡς ἀκατάληπτός ἐστιν ὁ ἐκ τοῦ μή ὄντος τό πᾶν οὐσιώσας Θεός, κἄν τό Πνεῦμα προτάξῃς, εἴ γε καί οὕτως θεολογεῖν ἔξεστι, τοῦ Υἱοῦ καί τοῦ Πατρός, ὅλην ἐν αὐτῷ εὑρήσεις καί τῶν συναϊδίων ὡς ὁμοουσίων τήν συμφυΐαν. Καί ὅρα ὡς ἀκατάληπτα τά τῆς θείας φύσεως τοῖς ἀνθρώποις ἡμῖν. «*Πνεῦμα, φησίν, ὁ Θεός*» καί πάλιν· «*Τό δέ πνεῦμα ὁ Κύριός ἐστιν*». Εἰ οὖν πνεῦμα «*Θεός καί τό πνεῦμα ὁ Κύριός ἐστι*», ποῦ ἡ πατρότης ἐνταῦθα καί ἡ υἱότης, ἵνα καί πρῶτον καί μεῖζόν μοι ἐν τῇ θείᾳ καί ἀκαταλήπτῳ φύσει, ὦ σύ, καινέ θεολόγε, διδῷς καί λέγῃς καί ἀριθμῇς.

Ἰωάννης «*Ἐν ἀρχῇ ἦν ὁ Λόγος*» ἔφη θεολογῶν, καί οὐχ ὁ Πατήρ. Σύ δέ, καί τούτου βαθύτερα ὑπό τῆς αὐτοσοφίας, Ἰησοῦ, μυσταγωγηθείς, δίδως ἡμῖν καί τῷ κόσμῳ παντί τό πρῶτον ἐν τῷ Πατρί, ἵνα καί δεύτερον τούτου τόν Υἱόν ἀποδείξῃς καί τρίτον αὖθις τό Πνεῦμα τό Ἅγιον, κηρύσσων ἡμῖν ὡς ἄλλος τις θεολόγος τοῦ πρώην βαθύτερός τε καί τῷ Υἱῷ τοῦ Θεοῦ οἰκειότερος ἕτερον εὐαγγέλιον; Τῆς βλασφημίας! Πῶς, εἰπέ, ὁ τήν τριθεΐαν ἡμῖν δογματίζων ὑπούλως, οὐκ εἶπεν ἡ θεολόγος φωνή, ὁ ἐπιστήθιος τοῦ Χριστοῦ· «*Ἐν ἀρχῇ ἦν ὁ Πατήρ*», ἀλλ' «*Ἐν ἀρχῇ ἦν ὁ Λόγος*»; Διά τί δέ οὐκ εἶπεν ὁ Υἱός, ἀλλ' ὁ Λόγος, ἤ ἵνα διδάξῃ ἡμᾶς ὅτι οὔτε Υἱός ἀπό τινος ἐγνωρίζετο πρό τοῦ κατελθεῖν καί σαρκωθῆναι τόν Θεόν Λόγον, οὔτε Πατήρ ὁ Θεός; Οὐχ ὅτι οὐκ ἦν ἡ τά πάντα παραγαγοῦσα τρισυπόστατος θεότης, ἀλλ' ὅτι οὔπω ἦν γνωρισθέν τό τῆς

οἰκονομίας μυστήριον. Μετά γάρ τήν ἐνανθρώπησιν τοῦ Θεοῦ Λόγου καί Πατήρ ὁ Θεός καί Πατήρ ἐγνωρίσθη ἡμῖν τοῖς πιστοῖς καί Υἱός Θεοῦ ὁ σαρκωθείς δι' ἡμᾶς Θεός Λόγος κατά τό ὑπό τοῦ Πατρός ἄνωθεν εἰρημένον· φησί γάρ· «*Οὗτός ἐστιν ὁ Υἱός μου ὁ ἀγαπητός· αὐτοῦ ἀκούετε*». Καί ὁ Υἱός· «*Πάτερ δίκαιε, καί ὁ κόσμος σε οὐκ ἔγνω, ἐγώ δέ σε ἔγνων*» καί αὖθις· «*Ἐγνώρισά σου τό ὄνομα τοῖς ἀνθρώποις*» καί πάλιν· «*Πάτερ, δόξασόν σου τόν Υἱόν, ἵνα καί ὁ Υἱός σου δοξάσῃ σε*» καί· «*Ἐγώ καί ὁ Πατήρ ἕν ἐσμεν*». Εἰ τοίνυν καί μετά τήν σάρκωσιν τοῦ Θεοῦ Λόγου ἕν ὁ Υἱός καί ὁ Πατήρ εἰσι, πολλῷ μᾶλλον πρό τῆς σαρκώσεως.

Καί σκόπει μοι συνετῶς τῶν ῥημάτων τήν δύναμιν. Λέγει γάρ· «*Ἐγώ καί ὁ Πατήρ ἕν ἐσμεν*» καί προέταξεν ἑαυτόν τοῦ Πατρός. Τί τοῦτο; Ἵνα δείξῃ τό ἐν πᾶσιν ἰσότιμον καί ὁμόδοξον ἑαυτοῦ μετά τοῦ Πατρός καί ὅτι οὔτε Πατήρ πρῶτος, κἄν αἴτιος τοῦ Υἱοῦ, οὔτε δεύτερος ὁ Υἱός, κἄν ἐκ τοῦ Πατρός, οὔτε τρίτον τό Πνεῦμα τό Ἅγιον, κἄν ἐκ τοῦ Πατρός ἐκπορεύηται. Εἰ γάρ ἕν ἐξ ἀρχῆς ἡ Τριάς καί τοῦτο καλεῖται κατά τάς ὑποστάσεις Τριάς, ἄρα τό ἕν οὔτε ἑαυτοῦ πρῶτον δύναται εἶναι, οὔτε τῶν σύν αὐτῷ ὑποστάσεων· οὐδέ γάρ προϋπέστη τοῦ ἑτέρου τό ἕτερον, ἵνα τό προϋποστάν πρῶτον τοῦ ἐξ αὐτοῦ λάμψαντος γένηται. Μία γάρ θεότης ἡ μία Τριάς καί τοῦτο διά τά πρόσωπα, ὥσπερ εἴρηται, καί τάς ὑποστάσεις καλεῖται· ἐπεί δέ μερίζεται μέν ἀμερίστως, ἥνωται δέ ἀσυγχύτως, μία καλεῖται Τριάς ὁ Θεός, μή προϋπάρξαντος τούτων ἑνός οὐδαμῶς πως, ἤ τοῦ Πατρός αὐτοῦ τοῦ Υἱοῦ, ἤ τοῦ Υἱοῦ αὐτοῦ τοῦ Πατρός, ἤ τῶν ἀμφοτέρων τοῦ Πνεύματος, ἵνα καί πρῶτον τοῦ ἑτέρου τό ἕτερον γένηται· σύνδρομον γάρ τήν ἄναρχον ἔσχον ἀρχήν καί συναΐδιον.

Τοιγαροῦν εἷς Θεός ἡ Τριάς, ἄφραστος, ἄναρχος, ἄκτιστος, ἀκατάληπτος, ἀμέριστος, μήτε νοηθῆναι παρ' ἡμῶν μήτε ῥηθῆναι δυναμένη. Ἵνα δέ μή τῇ μακρᾷ σιωπῇ λήθην Θεοῦ παντελῆ νοσήσωμεν καί ὡς ἄθεοί τινες ἐν τῷ κόσμῳ διάξωμεν, συνεχωρήθη ἡμῖν κατά τό ἐγχωροῦν τῇ ἀνθρωπίνῃ φύσει λαλεῖν τά περί Θεοῦ καί τῶν θείων καθώς ἀπό τῶν θείων ἀποστόλων καί τῶν θεοπνεύστων πατέρων ἡμῶν ἐδιδάχθημεν, ὡς ἄν συνεχῆ τήν περί αὐτοῦ μνήμην ἀναλαμβάνοντες δοξάζωμεν τήν αὐτοῦ ἀγαθότητα καί τήν περί ἡμᾶς φιλάνθρωπον οἰκονομίαν αὐτοῦ. Ἡμεῖς δέ, οἱ γῆ καί σποδός, ὥσπερ ἑαυτούς οἱονεί ἀγνοήσαντες εἰς ἀμετρίαν ἐπεκτεινόμενοι, τά ἀγγέλοις καί πάσαις ταῖς οὐρανίαις δυνάμεσιν ἀκατάληπτα καί ἀνέκφορα ἐξερευνᾶν καί πολυπραγμονεῖν, νοεῖν τε καί ἐπινοεῖν καί ἀναπλάττειν οὐ φρίττομεν, ἀλλ' ὡς ἄπιστοί τινες καί πάντῃ τῶν τοῦ Χριστοῦ μυστηρίων ἀμύητοι οὕτω καί φρονοῦμεν καί ἀφειδῶς λαλοῦμεν ἀναισχύντῳ ψυχῇ τά περί Θεοῦ.

Εἰπέ οὖν μοι, ὦ οὗτος, ὁ τά τῆς θείας φύσεως μή φειδόμενος ἐρευνᾶν· πιστεύεις ὅτι ἐστί Θεός τρισυπόστατος, ἄναρχος, ἄκτιστος, ἀκατάληπτος, ἀνεξιχνίαστος, ἀόρατος, μήτε νῷ καταληπτός, μήτε λόγῳ ῥητός, καί ὅτι ἦν ἀεί ὁ αὐτός, μήτε ἀρχήν ἡμερῶν, μήτε χρόνων ἤ αἰώνων ποτέ ἐσχηκώς, ἀλλά ἀεί ὤν; Ναί, φησίν. Εἰ οὖν τοῦτο πιστεύεις ὅτι ἦν, ὥσπερ καί ἦν, μόνος Θεός ἡ Ἁγία Τριάς, ὅτε δέ ἠβουλήθη, τόν οὐρανόν καί τήν γῆν καί

πάντα τά ἐν αὐτοῖς ἐκ τοῦ μή ὄντος εἰς τό εἶναι παρήγαγε καί τάς οὐρανίους πάσας δυνάμεις ἐποίησεν, εἶτα καί τόν ἄνθρωπον τούτων ἁπάντων ἐποίησεν ἔσχατον, καί οὐδέν ἐστιν ἤ τῶν ἐν τῷ οὐρανῷ ἤ τῶν ἐπί τῆς γῆς ἤ τῶν ἐν τοῖς καταχθονίοις ὅ μή παρήχθη καί γέγονεν ἐξ οὐκ ὄντων, μόνος δέ ὁ τούτων ποιητής καί κτίστης Θεός ἄκτιστος, ἄναρχος, καί ἀεί ὤν καί πρό πάντων ὤν, τί καί αὐτός οὐ σιωπῇ καί φόβῳ τόν δημιουργόν προσκυνεῖς, καθά πᾶσαι τῶν οὐρανῶν αἱ δυνάμεις, ἀλλά τό ἑαυτόν ἀφείς ἐπισκέπτεσθαι, τήν ἀκατάληπτον αὐτοῦ φύσιν τολμηρᾷ καί αὐθάδει περιεργάζῃ ψυχῇ; Οὐ φρίττεις μή που σκηπτός ἄνωθεν κατελθών παρανάλωμά σε ποιήσει πυρός; Εἰ γάρ ἄκτιστος, ἄναρχος, καί ἀεί καί πρό πάντων ἦν ἡ τρισυπόστατος μονάς ὁ Θεός, πάντα δέ, εἴτε ὁρατά, εἴτε ἀόρατα, εἴτε ἐνσώματα, εἴτε ἀσώματα, εἴτε γινωσκόμενα παρ’ ἡμῶν, εἴτε ἀγνοούμενα, διά τῆς ὁμοουσίου καί ἀδιαιρέτου Τριάδος τῆς μιᾶς παρήχθη θεότητος, πῶ, εἰπέ, τά παραχθέντα τόν παραγαγόντα καί τά γεγονότα τόν ἀεί ὄντα, τά κτιστά τόν ἄκτιστον, καί τόν ἄναρχον τά ὕστερον παρ’ ἐκείνου λαβόντα τήν ὕπαρξιν, ἐπιγνῶναι τό οἷος καί ὅσος καί ὅπως ἐγεννήθη ὅλως δυνήσονται; Οὐδαμῶς, εἰ μή ὅσον πάντως ὁ ποιητής αὐτός τῶν ποιηθέντων ἑκάστῳ, ὥσπερ δή πνοήν καί ζωήν, ψυχήν τε καί νοῦν καί λόγον χαρίζεται, οὕτω καί τήν περί αὐτοῦ γνῶσιν φιλανθρώπως καί καθ’ ὅσον συμφέρει δωρήσεται.

Ἄλλως δέ πῶς εἴποις ἄρα τό ποιηθέν ἐκ Θεοῦ τόν ἑαυτοῦ ποιητήν ἐπιγνῶναι; Ἀμήχανον ἑτέρως τοῦτο γενέσθαι πᾶσι πάντῃ ἀδύνατον. Ἀλλά γάρ καί τό μέτρον τῆς γνώσεως κατά τό μέτρον τῆς πίστεως ἡμῖν τοῖς πιστεύουσιν εἰς αὐτόν δέδωκεν, ὡς ἄν ἡ γνῶσις τήν δίχα γνώσεως πίστιν ἐπιβεβαιώσῃ καί βεβαιωθῇ διά τῆς γνώσεως ὁ τόν λόγον κατηχηθείς καί πιστεύσας ὅτι ἐστί Θεός, εἰς ὅν διά τοῦ λόγου τῆς διδασκαλίας ἐπίστευσεν. Ταύτην οὖν διά ποικίλων καί πολυτρόπων σημείων λαμβάνουσιν οἱ πιστοί, δι’ αἰνιγμάτων, δι’ ἐσόπτρων, διά μυστικῶν καί ἀνεκφράστων ἐνεργειῶν, διά θείων ἀποκαλύψεων, δι’ ἐλλάμψεων ἀμυδρῶν, διά θεωρίας τῶν λόγων τῆς κτίσεως, καί ἑτέρων πολλῶν ἐξ ὧν καθ’ ἑκάστην αὔξει ἡ πίστις τῶν τοιούτων καί εἰς ἀγάπην Θεοῦ ἄνεισιν. Οὐ μόνον δέ· ἀλλά γάρ καί πληροφορεῖ αὐτούς ὁ Θεός, ὥσπερ τούς ἀποστόλους, διά τῆς ἀποστολῆς καί παρουσίας τοῦ Ἁγίου Πνεύματος· καί φωτίζονται τελεώτερον καί διδάσκονται διά τοῦ φωτός, ὡς ἄρρητος καί ἀνέκφραστος, ἄκτιστος καί αἰώνιος καί ἀΐδιος καί ἀκατάληπτός ἐστιν ὁ Θεός. Πᾶσαν γάρ γνῶσιν καί ἐπίγνωσιν καί πάντα λόγον σοφίας καί λόγον γνώσεως μυστικωτέρας, πρός δέ καί θαυμάτων ἐνέργειαν καί προφητείας χάριν καί γένη γλωσσῶν καί ἑρμηνείαν γλωσσῶν, ἀντιλήψεις τε καί κυβερνήσεις πόλεων καί λαοῦ, καί ἐπίγνωσιν τῶν μελλόντων ἀγαθῶν, καί τῆς βασιλείας τῶν οὐρανῶν ἐπίτευξιν, υἱοθεσίαν τε καί αὐτό τό ἐνδεδύσθαι Χριστόν καί τό εἰδέναι τά μυστήρια Χριστοῦ καί τό γνῶναι τό περί ἡμᾶς τῆς οἰκονομίας αὐτοῦ μυστήριον καί ἁπαξαπλῶς πάντα, ὅσα μέν οἱ ἄπιστοι ἀγνοοῦσιν, ἡμεῖς δέ, οἱ καταξιωθέντες εἶναι πιστοί, εἰδέναι καί φρονεῖν καί λέγειν δυνάμεθα, διά μόνου τοῦ Πνεύματος ἐκδιδάσκονται.

Ἐκ τούτων οὖν καί τῶν τοιούτων πληροφορούμεθα καί βεβαιούμεθα ὅτι αὐτός ἐστιν ὁ

τά πάντα ποιήσας Θεός, ὁ καί παραγαγών ἡμᾶς χοῦν λαβών ἀπό τῆς γῆς, ὁ νοῦν καί λόγον καί ψυχήν νοεράν ἡμῖν χαρισάμενος, ὁ κατ' εἰκόνα καί καθ' ὁμοίωσιν αὐτοῦ ποιήσας ἡμᾶς καί τό σκότος τῆς ἀγνωσίας ἀποδιώξας ἡμῶν· καί αὐτός ἐστιν ὁ τά ὑπέρ ἡμᾶς ἐκ τῶν καθ' ἡμᾶς ἀμυδρῶς πως καταξιώσας ὡς ἐν σκιᾷ ὑποδεῖξαι ἡμῖν ἀφ' ὧν καί ἐμάθομεν, δι' ὧν καί ὁρῶμεν, παρ' ὧν καί πιστεύομεν, ὅτι ὥσπερ τόν νοῦν τόν ἡμέτερον καί τήν ψυχήν καί αὐτόν ἡμῶν τόν ἐνδιάθετον λόγον ἐν τῇ πλάσει τοῦ σώματος ἡμῶν ἅμα παρήγαγε, - τό γάρ εἰπεῖν ὅτι «*ἔπλασεν ὁ Θεός τόν ἄνθρωπον, χοῦν λαβών ἀπό τῆς γῆς, καί ἐνεφύσησεν εἰς τό πρόσωπον αὐτοῦ πνεῦμα ζωῆς καί ἐγένετο αὐτῷ εἰς ψυχήν ζῶσαν*» δείκνυσιν ὅτι συνυπῆρχε τῇ ψυχῇ ὁ νοῦς ἡμῶν καί ὁ λόγος, μή προϋπάρξαντος ἑνός ἐξ αὐτῶν μηδέ προϋποστάντος, ὡς ἕν ὄντων ἅμα τῶν τριῶν καί εἰς ἕν πνεῦμα ζωῆς δοθέντων ἡμῖν - ὥσπερ οὖν ἐν τούτοις οὐ προϋπῆρξεν ἕν οὐδέ προϋπέστη τοῦ ἑτέρου τό ἕτερον, μιᾶς οὐσίας ὄντων καί φύσεως, οὕτως οὐδέ ἐν τῇ ἁγίᾳ καί ὁμοουσίῳ καί ὁμοτίμῳ Τριάδι προϋπῆρξε τοῦ ἑτέρου τό ἕτερον. Οὐδέ γάρ ἔσχε ποτέ ὁ ποιητής τῆς εἰκόνος Θεός, τρισυπόστατος ὤν, προϋποστάν τῶν τριῶν ἕν, ἀλλ' ἅμα τά τρία ἕν, ὁ Θεός, καί τό ἕν ὡσαύτως ἀεί τρία.

Τοῦτο τοιγαροῦν ὁμολογοῦντες πιστεύομεν και πᾶσιν ἄλλοις οἷς οὐ τολμηρόν τά περί Θεοῦ λέγειν καί ἐρευνᾶν διαμαρτυρόμεθα ὅτι ἐστί Θεός τρισυπόστατος, Πατήρ, Υἱός καί Ἅγιον Πνεῦμα, ἡ Ἁγία Τριάς, εἰς ἥν βεβαπτίσμεθα· ὅ ἐκ τῶν εἰς ἡμᾶς γεγενημένων ἐνεργειῶν καί χαρισμάτων τοῦ Πνεύματος καί ἐξ αὐτῶν τῶν ἱερῶν θεσμῶν τε καί εὐαγγελίων ἐβεβαιώθημεν. Πῶς δέ Τριάς ἤ πότε ἤ ὁποία καί ποδαπή, ἡ οὖσα κτίστις τῶν ὅλων, οἱ κτισθέντες οὐκ ἴσμεν ἡμεῖς. Εἰ δέ οὐκ ἴσμεν, ὥσπερ οὐδέ οἴδαμεν, πόσων ἐσμέν σκηπτῶν ἄξιοι, περί ὧν οὐκ οἴδαμεν λέγοντες; Τό γάρ μή ὅν τῶν γεγενημένων ἁπάντων μηδέν, μήτε τῶν ὁρωμένων, μήτε τῶν ἀοράτων, πῶς εἰδέναι δυνάμεθα, ἡμεῖς οἱ ὁρατοί καί κτιστοί, οἱ φθαρτοί, οἱ αἰσθητοί, οἱ τυφλοί καί ἀφώτιστοι; Καί ταῦτα, ὥσπερ τεῖχος μέσον ἡμῶν καί Θεοῦ τῶν ἁμαρτιῶν ἡμῶν προκειμένων καί διειργόντων ἡμᾶς ἀπ' αὐτοῦ, ὅ εἰ μή διά μετανοίας ἀνέλωμεν ἤ καί ὑπερβῶμεν, οὐ μόνον οὐ γνῶναι Θεόν δυνηθῶμεν, ἀλλ' οὐδ' ὅτι ἄνθρωποί ἐσμεν εἰσόμεθα. Τοῦ γάρ φραγμοῦ ἱσταμένου καί χωρίζοντος ἡμᾶς ἀπό τοῦ φωτός, πῶς ἐν σκότει διάγοντες ἑαυτούς καταμαθεῖν ἰσχύσομεν, ἤ ὁποῖοί ἐσμεν καί ποδαποί, ἤ ποῦ καί πόθεν φερόμεθα, ἤ ποῦ ἀπαγόμεθα καί τίνες ἐσμέν ἐν ἀληθείᾳ ἐπιγνωσόμεθα; Εἰ δέ ἡμᾶς αὐτούς ἀγνοοῦμεν, πολλῷ μᾶλλον τόν ὄντα ἀσυγκρίτως ὑπέρ ἡμᾶς. Εἰ γάρ μή ἑαυτούς ἠγνοοῦμεν, οὐκ ἄν τολμηρῶς περί Θεοῦ ἐφθεγγόμεθα· τό γάρ περί Θεοῦ καί τῶν θείων λέγειν ἀφωτίστους ὄντας ἡμᾶς καί κενούς Πνεύματος Ἁγίου, ἄγνοιαν ἡμῶν ἑαυτῶν ἐμφανίζει. Καί εἰκότως· εἰ γάρ ἑαυτούς ἀκριβῶς ἐγινώσκομεν, οὐδέ εἰς οὐρανόν ἀτενίσαι, οὐδέ τό φῶς τοῦ κόσμου τούτου βλέπειν, οὐδέ πατεῖν τήν γῆν αὐτήν ἀξίους ἄν ἡμᾶς ἑαυτούς ἐλογισάμεθα πώποτε, ἀλλ' ὑπό γῆν κατορύξαι προεθυμήθημεν ἄν.

Τί γάρ ἀκαθαρτότερον, εἰπέ μοι, τοῦ μετά οἰήσεως καί ὑπερηφανίας διδάσκειν ἐπιχειροῦντος τά τοῦ Πνεύματος ἄνευ Πνεύματος; Τί μιαρώτερον τοῦ μή μετανοήσαντος καί προκαθάραντος ἑαυτόν, ἀλλά τοῦτο μέν ἀφέντος, διά μόνης δέ τῆς ψευδωνύμου

γνώσεως καί τῆς ἔξω σοφίας βουλομένου θεολογεῖν και περί τῶν ὄντων καί ἀεί ὡσαύτως ὄντων τολμηρῶς διαλέγεσθαι; Εἰ γάρ καί μηδέν ἕτερον ἁμαρτήσας ἐστίν, ὅπερ ἀδύνατον, τοῦτο δέ αὐτό μόνον ὑπόδικον κρίσεως αἰωνίου καθίστησι τόν τοιοῦτον, ἐπειδή «*ἀκάθαρτος παρά Κυρίῳ πᾶς ὑψηλοκάρδιος*». Εἰς τοσοῦτον γάρ ἀνοίας ἐξώκειλαν τῶν τοιούτων τινές, ὥστε μηδέ λέγειν μηδέ νομίζειν ἡμαρτηκέναι αὐτούς. Τῆς μανίας! Οὐδείς ἀναμάρτητος, εἰ μή εἷς ὁ Θεός· «*Πάντες γάρ*» φησίν «*ἥμαρτον*» ὁ θεῖος Ἀπόστολος, «*καί ὑστεροῦνται τῆς δόξης τοῦ Θεοῦ, δικαιούμενοι δωρεάν τῇ αὐτοῦ χάριτι*». Εἰ δέ, κατά τό ὅσιον λόγιον, οὐδείς ἀναμάρτητος εἰ μή εἷς ὁ Θεός καί πάντες ἥμαρτον καί ὑστεροῦνται τῆς δόξης τοῦ Θεοῦ, ὁ λέγων μή ἡμαρτηκέναι, ὡς εἰπόντι· «*Θήσω τόν θρόνον μου ἐπί τῶν νεφελῶν καί ἔσομαι ὅμοιος τῷ Ὑψίστῳ*». Εἰ δέ ἡμαρτηκέναι ὁμολογεῖς, δεῖξόν μοι τήν γνησίαν ὑπέρ τῶν ἡμαρτημένων ἐξομολόγησιν, τήν πρός τόν ἀναδεξάμενόν σου τούς λογισμούς πνευματικόν πατέρα πίστιν εἰλικρινῆ, τήν ὑποταγήν, τήν ἐν τοῖς εὐτελέσιν ἔργοις ὑπακοήν, τήν ἐν τοῖς ὑποδεεστέροις τῶν ἀδελφῶν ὑπηρεσίαν, τήν ἐν τοῖς ἀσθενοῦσι διακονίαν, ἔτι δέ τήν ἀπό ψυχῆς ταπείνωσιν, τό ἀσχημάτιστον, τό ἄπλαστον καί ἀνυπόκριτον ἦθος. Καί εἰ ἐνδιαθέτῳ γνώμῃ ψυχῆς ὑποκάτω πάντων ἑαυτόν ἔσχες, ὅθεν ἡ διηνεκής κατάνυξις καί τά χαροποιά δάκρυα τίκτονται, ἀφ’ ὧν καί δι’ ὧν ἡ κάθαρσις ἐπιγίνεται τῆς ψυχῆς τῷ σπουδαίῳ καί ἡ τῶν τοῦ Θεοῦ μυστηρίων ἐπίγνωσις, καί τότε λάλει περί θείων καί ἀνθρωπίνων πραγμάτων, κἀγώ σου τῶν λόγων γνωρίσω τήν δύναμιν.

Ὁ γάρ καρπός καί τό ἔργον τῆς μετανοίας ταῦτά εἰσιν, ἅ τήν μέν ἄγνοιαν ἀποδιώκουσι, τήν δέ γνῶσιν ὁμοῦ προστιθέασι· γνῶσιν δέ λέγω τήν περί ἡμᾶς πρῶτον καί τῶν καθ’ ἡμᾶς, ἔπειτα τῶν ὑπέρ ἡμᾶς καί τῶν θείων τῶν τοῖς ἀμετανοήτοις ἀθεάτων καί ἀγνώστων μυστηρίων, φημί δή τῆς καθ’ ἡμᾶς πίστεως, ἥν οὐδείς ἄν πλουτήσῃ πρό τῆς ἐργασίας τῶν εἰρημένων, εἰ καί πᾶσαν ἐγκύκλιον διέλθοι φιλοσοφίαν· εἰ δέ μή ταύτης ἐν μετοχῇ γένηται πλουσίᾳ ἐν σκότει βαθυτάτῳ διάξει τῆς ἀγνωσίας τόν τῆς ζωῆς αὐτοῦ χρόνον. Εἰ γάρ καί ἐν γράμμασι κεῖνται καί παρά πάντων τά θεῖα καί περί τῶν θείων πᾶσιν ἀναγινώσκονται, ἀλλά μόνοις ἐκείνοις ταῦτα ἀποκαλύπτονται τοῖς θερμῶς μετανοήσασι καί διά τῆς εἰλικρινοῦς μετανίας καλῶς καθαρθεῖσι, καί τοσοῦτον, καθ’ ὅσον ἡ ἀναλογία καί τό μέτρον ὑπάρχει τῆς αὐτῶν μετανοίας ὁμοῦ καί καθάρσεως· οἷς καί φανεροῦνται τά βάθη τοῦ Πνεύματος καί ἀφ’ ὧν ὁ λόγος πηγάζει τῆς τοῦ Θεοῦ σοφίας καί γνώσεως, ὡς ποταμός πολύρρους κατακλύζων τάς φρένας τῶν ἐναντίων. Τοῖς δέ γε ἄλλοις ἅπασιν ἄγνωστα καί κεκρυμμένα ὑπάρχει καί μηδόλως ἀναπτυσσόμενα ὑπό τοῦ διανοίγοντος τόν νοῦν τῶν πιστῶν εἰς τό συνιέναι τάς γραφάς. Καί εἰκότως· «*Τό γάρ μυστήριόν μου, φησίν, ἐμοί καί τοῖς ἐμοῖς*». Τοίνυν καί δοκοῦσι βλέπειν μή βλέποντες οἱ τοιοῦτοι καί ἀκούειν μηδόλως ἀκούοντες καί συνιέναι ἀσύνετοι ὄντες, αἴσθησιν τῶν ἀναγινωσκομένων λαβεῖν μή δυνάμενοι. Καί καθάπερ ἕκαστος τῶν ἀπίστων φρονεῖν οἴεται μή φρονῶν, καί εἰδέναι τι δοκεῖ μηδέν ὅλως εἰδώς, - εἴ τι γάρ καί οἶδε, κακῶς οἶδεν, ὅ καί χεῖρον πάσης ἀγνωσίας ἐστίν - οὕτως, οἶμαι, καί οὗτοι. Δοκοῦντες γάρ εἶναι σοφοί, μωροί τῷ ὄντι γεγόνασιν, ὥσπερ ἐξεστηκότες καί ἔκφρονες τάς ἑαυτῶν ἡμέρας οἱ δυστυχεῖς διερχόμενοι καί μηδέν τῶν τοῦ Χριστοῦ μυστηρίων

εἰδότες, ὡς δεῖ· ὧν τῆς οἰήσεως καί ὑπερηφανίας ῥύσαιτο ἡμᾶς ὁ Θεός Ἰσραήλ καί μιμητάς γενέσθαι τῆς αὐτοῦ ταπεινώσεως ἀξιώσοι.

Ταύτης οὖν τῆς ὁδοῦ, φημί δή τῆς μακαρίας ταπεινοφροσύνης, ὁ παρεκλίνων καί ἔξω που, δεξιά τυχόν ἤ ἀριστερά, βαδίζων καί προευόμενος καί τοῖς ἴχνεσι τοῦ Ἰησοῦ καί Θεοῦ μή καταδεχόμενος ἕπεσθαι, πῶς εἰς τόν νυμφῶνα αὐτοῦ σύν αὐτῷ εἰσελεύσεται; Μή θεασάμενος δέ ταύτην, πῶς τά κατ' αὐτήν ἤ τά περί αὐτήν ἄλλοις ἐκδιηγήσεται; Πῶς περί ὧν οὐκ οἶδε καί οὐκ ἐθεάσατο πώποτε εἰπεῖν καθόλου τολμήσειεν; Εἰ δ' ἐπιχειρήσειε περί τοιούτων καί τηλικούτων διδάσκειν, ἆρα τοῦ τοιούτου ἀνθρώπου ἔστιν ἐπί τῆς γῆς ἀφρονέστερος; Ἆρα οὐχί καί αὐτῶν τῶν τετραπόδων κτηνῶν ἀλογώτερος ἔσται καί παντάπασι κτηνωδέστερος; Πάντα γάρ, ὡς ὁρᾶται, τά ἄλογα ζῷα τήν ἑαυτῶν φυλάττει καί φύσιν καί τάξιν, καί τούς ἰδίους ὅρους ἕκαστον αὐτῶν οὐχ ὑπερβαίνει ποτέ. Οὗτος δέ ὁ χειρί Θεοῦ πλασθείς, ὁ λόγῳ καί αὐτεξουσιότητι παρ' αὐτοῦ τιμηθείς, οὐκ εἰς δέον ἐχρήσατο τῇ ἀξίᾳ, οὐδέ τήν ἰδίαν ἐπέγνω ἀσθένειαν, οὐδέ ἐνέμεινεν ἐν τοῖς ὑπό τοῦ Θεοῦ ἐντεθεῖσι τῇ φύσει αὐτοῦ ἀγαθοῖς, οὐδέ ἐντός τῶν ἰδίων ὅρων ἔστη ἤ τά ἑαυτοῦ συνῆκεν· ἀλλ' ὡς ὁ Ἑωσφόρος ἤ καί ὁ Ἀδάμ ὕστερον, ὁ μέν ἄγγελος ὤν, ὁ δέ ἄνθρωπος, κατεπαρθέντες τοῦ ποιητοῦ, θεοί γενέσθαι προεθυμήθησαν, οὕτως οἶμοι καί οὗτος, τούς ὅρους τῆς ἰδίας φύσεως ὑπερβάς καί τῶν ὑπέρ αὐτόν ἐπιθυμήσας καί φαντασθείς, οὐ διά ταπεινώσεως καί χριστομιμήτου πολιτείας πρός ὕψος πνευματικῆς γνώσεως ἀνελθεῖν ἠβουλήθη, ἀλλά διά ὑπερηφανίας καί ἐπάρσεως· οἱονεί πλίνθους τῆς ψευδωνύμου γνώσεως ἄλλοθεν ἄλλους συλλέξας καί δι' ἐπιμόνου μελέτης ἐξοπτήσας αὐτούς, διά φιλοδοξίας τε καί ἀνθρωπαρεσκείας μετά οἰήσεως οἰκοδομήσας αὐτούς, πύργον θεολογίας καί πνευματικῆς γνώσεως κτήσασθαι προσεδόκησε· πρός δέ, καί εἰς οὐρανούς ἤ καί ὑπέρ τούς οὐρανούς εἶναι οἰόμενος καί ὑπεράνω αὐτῶν ἵστασθαι φανταζόμενος, περί τοῦ ποιήσαντος τόν οὐρανόν καί τήν γῆν καί πάντα τά ἐν αὐτοῖς διαλέγεται. Τόν τοιοῦτον οὖν τίς ἄρα καλέσειεν ἄνθρωπον, ἤ τῶν κτηνῶν αὐτῶν ἴσον ἤ ὅλως αἴσθησιν ἔχοντα; Εἰ γάρ ὁ κατ' εἰκόνα Θεοῦ πλασθείς ἄνθρωπος καί καταξιωθείς ἰσαγγέλου καί ἀθανάτου ζωῆς, διά μιᾶς ἐντολῆς Θεοῦ παράβασιν οὐ μόνον τῆς ἀγγελικῆς ἐκείνης διαγωγῆς, ἀλλά καί τῆς αἰωνίου ζωῆς, δικαίως ἀπεστερήθη, θανάτῳ καί φθορᾷ καί κατάρᾳ καταδικασθείς, τί πείσονται ἄρα οἱ ἐξ αὐτοῦ γεννώμενοι ἅπαντες καί ἔτι τοῦ χοϊκοῦ τήν εἰκόνα φοροῦντες καί θεολογεῖν ἀνάγνως ἐπιχειροῦντες;

Ἀλλά γάρ εἰπέ μοι, πᾶς τις ὁ περί Θεοῦ και τῶν θείων μή διδάσκεσθαι, ἀλλά διδάσκειν ἐπιχειρῶν, εἰ ἐκ τοῦ ᾅδου πρῶτον ἀνῆλθες καί πρός τῇ γῇ γέγονας, καί πῶς τοῦτό σοι παθεῖν ἐξεγένετο, καί διά ποίων τῶν ἐπιστηριγμάτων καί ἐπιβάσεων, διά τίνων δέ καί ὁποίων τῶν συνεργησάντων καί βοηθησάντων πρός τήν ἀνάβασιν. Ἀνελθών δέ ὀδωδώς καί βρύων φθοράν, μᾶλλον δέ ὑπό τοῦ θανάτου κρατούμενος καί νεκρός ὤν ἔτι, πῶς ἔζησας καί ἰσχυρότερος γέγονας τοῦ θανάτου καί τάς ἐκείνου χεῖρας διαδρᾶναι ἐξίσχυσας; Φράσον οὖν ἡμῖν καί εἶθ' οὕτως ἐρεῖς πάντως καί πῶς μετά τό ἀνελθεῖν ἐκ τοῦ ᾅδου καί ἐπιβῆναι τῇ γῇ τῆς τε φθορᾶς ἀπηλλάγης καί τῆς κατάρας ἠλευθερώθης. Εἶτα διδάξεις ἡμᾶς πῶς πάλιν ἀνήχθης ἀπό τῆς γῆς, ποίαις χρησάμενος βαθμίσι, ποίοις

πτεροῖς πετασθείς ὑψώθης πρός οὐρανούς, ποίου ἅρματος ἐπιβάς, ἐν σώματι ὤν χωρίς σώματος, ὑπερέβης αὐτούς, ποία σε νεφέλη ὑπέλαβε. Δεῖξον ἡμῖν ταῦτα καί δίδαξον ὑπέρ τῶν τοιούτων ἡμᾶς καί τότε δεξόμεθά σε περί Θεοῦ μετρίως πως καί μετά φόβου καί τρόμου λέγοντα. Εἰ δέ χωρίς τῶν εἰρημένων τούτων, τῶν ἀεί μυστικῶς γινομένων ἐν τοῖς εἰς ἄνδρα τέλειον εἰς μέτρον ἡλικίας τοῦ πληρώματος ἀναδεδραμηκόσι Χριστοῦ, και πρό τῆς πράξεως τῶν ἐντεταλμένων ὑπό Θεοῦ φθέγξασθαι τολμηρῶς ἐπιχειρήσεις, ὡς μαινόμενον καί ἔκφρονα καί δαιμονῶντά σε ἀποστραφησόμεθα, ἐπειδή οὔτε Ἠλίας ἄνευ τοῦ φλογεροῦ ἅρματος ἐκείνου σωματικῶς πρός οὐρανόν ἤρθη, οὔτε ὁ Δεσπότης ἡμῶν καί Θεός ἄνευ τῆς ὑπολαβούσης αὐτόν νεφέλης τοῦ Πνεύματος.

Καίτοι καί τόν Ἠλίαν αὐτόν δίχα τοῦ ὀφθέντος ἅρματος, ὥσπερ τόν Ἐνώχ, μεταθεῖναι ἀπό τῆς γῆς εἰς οὐρανόν ἴσχυε καί αὐτός πάλιν ὁ Δεσπότης ἄνευ νεφέλης καί τῶν συνεπομένων ἀγγέλων εἰς οὐρανούς ἀνελθεῖν ἠδύνατο, ἀλλά τοῦτο οὐ ποιεῖ. Τί τοῦτο; Ἵνα διδάξῃ ἡμᾶς ὅτι καί ὁ νοῦς ἡμῶν δέεταί τινος πάντως τοῦ ἀναφέροντος αὐτόν εἰς τόν οὐρανόν καί τά ἐκεῖσε θεάματα ὑποδεικνύοντος αὐτῷ καί τά μυστήρια τοῦ Θεοῦ ἐκκαλύπτοντος· ὡς γάρ οὐκ ἐνδέχεται ἄνευ πτερύγων εἰς ὕψος πετασθῆναι πτηνόν, οὕτως οὐδέ νοῦν ἀνθρώπου ἀναβῆναι πρός τά ἐξ ὧν ἐξέπεσεν, εἰ μή τόν προάγοντα καί ἀναφέροντα αὐτόν σχῇ. Ἄλλως δέ καί ἵνα δι' αὐτῶν τῶν ἔργων πιστώσηται τήν τοῦ δούλου καί τήν ἰδίαν ὁ Δεσπότης ἀνάληψιν καί εἰς οὐρανούς ἄνοδον καί διδάξῃ ἡμᾶς μή λόγοις μόνοις ἐξαπατᾶσθαι καί πάντα ἄνθρωπον πιστεύειν πνευματικόν ἑαυτόν εἶναι λέγοντα, ἀλλά ἀπό τοῦ βίου καί τῶν πράξεων αὐτοῦ πρότερον βεβαιουμένους, καί μάλιστα ἐάν ταῖς τοῦ Κυρίου καί τῶν ἀποστόλων καί τῶν ἁγίων πατέρων διδασκαλίαις συνᾴδωσιν οἱ λόγοι αὐτοῦ καί αἱ πράξεις, καί τηνικαῦτα προσδέχεσθαι καί ἀκούειν τούς λόγους αὐτοῦ ὡς λόγους Χριστοῦ· εἰ δ' οὖν, ἀλλ' εἰ καί νεκρούς ἀνιστᾷ, κἄν μυρία ἄλλα θαύματα ἐπιδείκνυται, ὡς δαίμονα αὐτόν ἀποστρέφεσθαι καί μισεῖν, καί μάλιστα ὅταν νουθετούμενον μή καταδεχόμενον ὁρῶμεν μεταθεῖναι τό ἴδιον φρόνημα, ἐλλ' ἔτι ἐμμένοντα τῇ πεπλανημένῃ γνώσει αὐτοῦ καί εἰς οὐρανούς οἰόμενον τό πολίτευμα καί τήν διαγωγήν ἔχειν.

Οὕτω γάρ ἄνωθεν ὑπό τῶν ἀποστόλων Χριστοῦ καί τῶν θεσπεσίων πατέρων ἡμῶν τῆς θεοπνεύστου μυσταγωγηθέντες διδασκαλίας, ἀποτρεπόμεθα τάς διακένους τῶν εἰς μηδέν ἕτερον εὐκαιρούντων, ἤ εἰς τό περιεργάζεσθαι καί πολυπραγμονεῖν τά καί ἀγγέλοις ἀνέφικτα, κενοφωνίας· κρατοῦμεν δέ τήν ὁμολογίαν ἡμῶν τῆς πίστεως ἀσινῆ καί ἀκράδαντον, ἥν ἄνωθεν παρ' αὐτῶν παρελάβομεν, τήν ἐν Πατρί καί Υἱῷ καί Ἁγίῳ Πνεύματι τῆς μιᾶς θεότητος καί ἀσυγχύτου καί ἀδιαιρέτου Τριάδος, ἐν ᾗ βεβαπτίσμεθα, δι' ἧς καί ζῶμεν κάι γινώσκομεν καί νοοῦμεν, ὑφ' ἥν καί ἐσμεν καί εἰς αἰῶνας αἰώνων ἐσόμεθα, ὡς ἐξ αὐτῆς ἐσχηκότες τό εἶναι καί τό εὖ εἶναι τῆς τό πᾶν ἐξ οὐκ ὄντων παραγαγούσης σοφίᾳ, μεθ' ἧς καί μετασταίημεν τῶν ἐνταῦθα εἰς γαληνούς λιμένας ζωῆς ἀκηράτου, ἔνθα πάντων εὐφραινομένων ἡ κατοικία καί ὁ χῶρος τῶν ἑορταζόντων ἐν Πνεύματι, ᾗ πρέπει πᾶσα δόξα, τιμή καί προσκύνησις, νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων· ἀμήν.

## ΘΕΟΛΟΓΙΚΟΣ ΔΕΥΤΕΡΟΣ. Καί κατά τῶν ἐπιχειρούντων θεολογεῖν ἄνευ Πνεύματος.

Ὁ ἄνωθεν εἰληφώς τήν τοῦ Θεοῦ αἴνεσιν ἐν τῷ στόματι διά παντός περιφέρειν, ὁ ἀνοίγων τό στόμα αὐτοῦ καί ἑλκύων πνεῦμα ζωῆς, εὐρυχωρότερον σπουδάζει τοῦτο καθ' ὥραν ποιεῖν εἰς ἀφθονωτέραν ὑποδοχήν τοῦ λόγου τῆς ζωῆς, ὅς ἐστιν ὁ ἄρτος ὁ ἐκ τοῦ οὐρανοῦ καταβαίνων, περί οὗ εἴρηται· «*Πλάτυνον τό στόμα σου καί πληρώσω αὐτό*». Τοίνυν καί ὁ γενέσθαι τοιοῦτος ἀξιωθείς ἀπό τοῦ Θεοῦ δύναται ἐντετυπωμένην ἅπαξ καί οἱονεί ἐσφραγισμένην τῷ ἡγεμονικῷ τῆς ψυχῆς τήν περί Θεοῦ ἔννοιαν ἔχειν διά παντός ἐνυπάρχουσαν τῇ ψυχῇ, δύναται δέ καί κατά τήν ἀποστολικήν ὑποθήκην πάντοτε χαίρειν, ἀδιαλείπτως προσεύχεσθαι, ἐν παντί εὐχαριστεῖν, πάντα εἰς δόξαν Θεοῦ ποιεῖν, κἄν εἴτε ἐσθίῃ, κἄν εἴτε πίνῃ, ὑπό τοῦ ἄρτου δηλαδή τῆς ζωῆς διηνεκῶς τρεφόμενός τε καί δυναμούμενος. Τοῦ τοιούτου καθεύδοντος ἡ καρδία ἐγρήγορε καί ἐγρηγορότος οὐδέποτε τοῦ Θεοῦ καθ' οἱονδήποτε τρόπον χωρίζεται· καί τοῦτο δηλῶν ὁ Ἀπόστολος λέγει· «*Ὁ κολλώμενος τῇ γυναικί ἕν σῶμά ἐστι καί ὁ κολλώμενος τῷ Κυρίῳ ἕν πνεῦμά ἐστι*». «*Πνεῦμα γάρ ὁ Θεός καί τούς προσκυνοῦντας αὐτόν ἐν πνεύματι καί ἀληθείᾳ δεῖ προσκυνεῖν*». Τοιγαροῦν καί ὁ οὕτω συναφθείς πενυματικῶς τῷ Θεῷ, ὥστε ἕν πνεῦμα γενέσθαι μετ' αὐτοῦ, ἁμαρτάνειν οὐ δύναται· φησί γάρ ἡ θεολόγος φωνή· «*Εἰς τοῦτο ἐφανερώθη ὁ Υἱός τοῦ Θεοῦ, ἵνα τάς ἁμαρτίας ἡμῶν ἄρῃ καί ἁμαρτία ἐν αὐτῷ οὐκ ἔστι· πᾶς ὁ ἐν αὐτῷ μένων οὐχ ἁμαρτάνει, πᾶς ὁ ἁμαρτάνων οὐχ ἑώρακεν αὐτόν οὐδέ ἔγνωκεν αὐτόν*». Καί πάλιν· «*Πᾶς ὁ γεγενημένος ἐκ τοῦ Θεοῦ ἁμαρτίαν οὐ ποιεῖ, ὅτι σπέρμα αὐτοῦ ἐν αὐτῷ μένει, καί οὐ δύναται ἁμαρτάνειν ὅτι ἐκ Θεοῦ γεγέννηται*».

Εἰ οὖν πᾶς ὁ ἁμαρτάνων τόν Θεόν οὐχ ἑώρακεν οὐδέ ἔγνωκεν αὐτόν, ὁ δέ γεγεννημένος ἐκ τοῦ Θεοῦ ἁμαρτίαν οὐ ποιεῖ, τέκνον χρηματίζων αὐτοῦ, θαυμάζειν μοι ἔπεισιν ἐπί τούς πολλούς τῶν ἀνθρώπων, οἵ πρό τοῦ γεννηθῆναι ἐκ τοῦ Θεοῦ καί τέκνα χρηματίσαι αὐτοῦ θεολογεῖν καί περί Θεοῦ λέγειν οὐ φρίττουσι. Διά δή τοῦτο καί ὅταν περί θείων καί ἀνεφίκτων πραγμάτων ἀκούω τούτων τινάς φιλοσοφοῦντας καί ἀνάγνως θεολογοῦντας καί τά περί Θεοῦ καί τά κατ' αὐτόν ἐξηγουμένους ἄνευ τοῦ συνετίζοντος Πνεύματος, φρίττει μου τό πνεῦμα καί οἱονεί ἔξω ἐμαυτοῦ γίνομαι, ἀναλογιζόμενος καί σκοπῶν τό πᾶσιν ἀκατάληπτον τῆς θεότητος καί ὅπως, τά ἐν ποσίν ἀγνοοῦντες καί αὐτούς ἡμᾶς, περί τῶν ἀνεφίκτων ἡμῖν ἀφοβίᾳ Θεοῦ καί τόλμῃ φιλοσοφεῖν προθυμούμεθα, καί ταῦτα κενοί Πνεύματος ὄντες τοῦ ταῦτα φωτίζοντος ἤ καί ἀναπτύσσοντος καί αὐτό τοῦτο τό περί Θεοῦ λέγειν τι ἁμαρτάνοντες. Εἰ γάρ τό γνῶναι μόνον ἕκαστον ἑαυτόν χαλεπόν καί κομιδῇ ὀλίγοις φιλοσοφούμενον, μικροῦ δέ οὐδ' ὀλίγοις ἐν τῷ καιρῷ τούτῳ καί τῇ γενεᾷ ταύτῃ, ἡνίκα καί ὁ τῆς φιλοσοφίας ἔρως ἐσβέσθη τῇ βιαίᾳ φορᾷ καί ἀντιπνεύσει τῆς κατασχούσης ἡμᾶς ἀμελείας καί τῶν πραγμάτων τοῦ βίου, ἀνταλλαττομένοις τῶν αἰωνίων τά μηδενός ἄξια καί μηκέτ' ὄντα ἤ οὐδαμῶς ὄντα, ἄλλοτε ἄλλως μετατυπούμενα καί ὅρον μή ἔχοντα στάσεως, πολλῷ μᾶλλον τό γνῶναι Θεόν χαλεπώτερον καί προσέτι πάντῃ ἄλογον καί ἀσύνετον καί φύσιν

Θεοῦ καί οὐσίαν ἐξερευνᾶν. Ἀλλά τί τά ἑαυτῶν ἀφέντες, ὦ οὗτοι, καλῶς διατίθεσθαι, τά περί Θεοῦ καί τῶν θείων ἐξερευνᾶτε; Μεταβῆναι δεῖ πρῶτον ἡμᾶς ἐκ τοῦ θανάτου εἰς τήν ζωήν, εἶθ' οὕτω δέξασθαι σπέρμα ἐν ἑαυτοῖς ἄνωθεν τοῦ ζῶντος Θεοῦ καί γεννηθῆναι ὑπ' αὐτοῦ, ὡς χρηματίσαι τέκνα αὐτοῦ, καί ἑλκύσαι Πνεῦμα ἐν τοῖς ἐγκάτοις καί οὕτως ἐλλαμπομένους τά περί Θεοῦ φθέγγεσθαι, καθόσον οἷόν τε καί ἀπό Θεοῦ ἐλλαμπόμεθα.

Τό δέ νῦν ἔχον πίστευέ μοι εἰς ἕνα Θεόν, ὁ καί οὕτω θεολογεῖν ἐφιέμενος, τόν μή παρ' ἑτέρου γεγονότα τινός (οὐδέ γάρ ἦν πρό αὐτοῦ τι πρεσβύτερον οὔτε γέγονε), μήτε πεποιηκότα ἑαυτόν, ὥς τινες τῶν λίαν ἀνοήτων ὑπέλαβον (αὐτομάτως γάρ τό μή ὄν γενέσθαι ἀδύνατον), τόν ἀεί ὄντα καί προόντα καί ἀϊδίως ἐσόμενον ἕνα Θεόν ἐν τρισίν ὑποστάσεσιν. Οὐδέ γάρ ἀνυπόστατον τόν ἐνυπόστατον καί τρισυπόστατον φαίη τις ἄν, πρεσβεύων ὀρθῶς τήν ἀλήθειαν, ἀλλ' ἐκ τῶν κατ' αὐτόν τά ὑπέρ αὐτόν διδασκόμενος ἐν τρισίν ὁμοουσίοις προσώποις προσκυνεῖ τήν μίαν θεότητα. Εἰ γάρ τό κατ' εἰκόνα τοῖς πάθεσι μή συνέχεέ τε καί συνεζόφωσε, πρῶτον μέν ἐπιγνούς ἐπίσταται ἑαυτόν ὅτι δή ψυχήν ζῶσαν καί ἐνυπόστατον παρά τοῦ κτίσαντος εἴληφεν, αὕτη δέ τριμερής ἐστι, νοῦν καί λόγον τά συνεπόμενα ἔχουσα· καί οὕτως ἐκ τῶν κατ' αὐτόν τά περί Θεοῦ νῷ σοφωτάτῳ καί λαμπροτάτῳ νοεῖ. Κινεῖται γάρ νοεῖν ἀπό τοῦ κινοῦντος ἄνωθεν Πνεύματος ὅτι δή ὁ Θεός καί Πατήρ, ὁ τό πᾶν ἐξ οὐκ ὄντων τῷ ἑαυτοῦ Λόγῳ ὑποστησάμενος καί δυνάμει τοῦ Πνεύματος αὐτοῦ συνέχων αὐτό καί διακρατῶν, γεννᾷ τόν ὁμοούσιον ἀχρόνως καί ἀϊδίως Υἱόν μηδαμῶς ἐξ αὐτοῦ χωριζόμενον, μεθ' οὗ καί τό θεῖον Πνεῦμα συνεκπορεύεται, ὁμούσιον ὄν τῷ Υἱῷ, ἐξ ὁμοουσίου Πατρός. Οὕτω δέ καλῶς περί Θεοῦ νοῶν καί ἅμα ὁμολογῶν, κατ' εἰκόνα τοῦ κτίσαντος ἑαυτόν ἀποδείκνυσι ψυχήν λογικήν τε καί νοεράν καί ἀθάνατον περιφέροντα, νῷ καί λόγῳ τοῖς ὁμοουσίοις καί ἐνυποστάτοις δεδημιουργημένην· εἰ δ' οὖν, ἀλλ' ἄνουν πάντως καί ἄλογον κατηγορεῖ ἑαυτόν. Πόθεν γάρ ἄν ἄλλοθεν καί ἐκ ποίων ἄρα τῶν χαρακτήρων κατ' εἰκόνα τοῦ κτίσαντος ἔσται, τῶν θείων ἐμπίπτων ἰδιωμάτων; Εἰ δέ ταῦτα μέν τις ἑαυτῷ προσμαρτυρεῖ καί ὀρθῶς ἐπιγράφεται, τόν δέ ποιητήν ἑαυτοῦ καί Θεόν ἀλόγως τῶν εἰρημένων ἀποστερεῖ τό γε ἐφ' ἑαυτόν, οὐδέν μοι τῶν ἐθνικῶν διενήνοχε ὁ τοιοῦτος· ὀκνῶ γάρ εἰπεῖν κτηνῶν ἤ ἑρπετῶν καί θηρίων.

Ἔγωγε οὖν πιστεύω ὅτι, ὥσπερ οὐ προϋπέστη ἤ προϋφίσταται ἡ ψυχή τοῦ νοός ἤ ὁ νοῦς τοῦ ἐξ αὐτοῦ γεννωμένου λόγου, ἀλλ' ἅμα μέν ἔχουσι τό εἶναι ὑπό Θεοῦ, ὁ δέ νοῦς τόν λόγον ἀπογεννᾷ καί ἐξάγει δι' αὐτοῦ τήν βούλησιν τῆς ψυχῆς, οὕτως οὐδέ ὁ Πατήρ καί Θεός, ἤ τοῦ Υἱοῦ, ἤ τοῦ Πνεύματος προϋπέστη, ἀλλ' ὡς ὁ νοῦς ὑπάρχει ἐν τῇ ψυχῇ τόν δέ λόγον ἔχει παρ' ἑαυτῷ, τῷ ὁμοίῳ τρόπῳ ὁ Θεός καί Πατήρ ἐν ὅλῳ ὑπάρχει Πνεύματι τῷ Ἁγίῳ καί τόν Θεόν Λόγον γεγεννημένον ἔχει ὅλον ἐν ἑαυτῷ· καί καθάπερ ἀδύνατον δίχα ψυχῆς λόγον ἤ νοῦν εἶναι, οὕτως ἀμήχανον Υἱόν σύν Πατρί ἄνευ Ἁγίου λέγεσθαι Πνεύματος. Πῶς γάρ τόν ζῶντα Θεόν δίχα ζωῆς ὑπάρξαι ποτέ; Ζωή γάρ καί ζωοποιόν τό Πνεῦμα τό Ἅγιον. Τοιγαροῦν ὁμολόγει μοι τόν Πατέρα οὐ προόντα γεννῶντα, τόν Υἱόν οὐχ ὕστερον γεννηθέντα ἤ γεγονότα, τό Πνεῦμα τό Ἅγιον ἐκπορευτόν μέν, συναΐδιον δέ καί ὁμοούσιον αὐτῷ σύν Υἱῷ τῷ Πατρί· προσκύνει ὅλον

τό Ἅγιον Πνεῦμα ἐν ὅλῳ καί μόνῳ τῷ συνανάρχῳ Πατρί, καί ὅλον τόν Πατέρα ἐν ὅλῳ καί μόνῳ τῷ συναϊδίῳ Υἱῷ καί ὅλον τόν Υἱόν ἐν ὅλῳ καί μόνῳ τῷ Πατρί καί τῷ Πνεύματι, τήν μίαν τρισυπόστατον καί συναΐδιον καί ὁμοούσιον, ἀδιαίρετόν τε καί ἀσύγχυτον οὐσίαν καί φύσιν, ὡς μίαν τῶν ὅλων ἀρχήν καί ἕνα Θεόν τόν δημιουργόν τοῦ παντός, ἐπειδή καί ἐν ὅλῳ τῷ ἐνυπάρχοντί σοι νῷ, ἵν’ ἐκ τῶν κατά σέ τά ὑπέρ σέ μυσταγωγούμενος τῆς εἰκόνος μή ἐπιλάθῃ, ἧς πρός αὐτοῦ ἠξιώθης, ὅλος ὁ λόγος ἐστί καί τό πνεῦμα ἐν τοῖς δυσίν ἡ ψυχή ἀδιαιρέτως, ἀσυγχύτως. Τοῦτο γάρ ἡ εἰκών καί τοῦτο πεπλουτήκαμεν ἄνωθεν τό ἀφομοιωθῆναι Θεῷ τῷ Πατρί καί τήν εἰκόνα φέρειν τοῦ γεγεννηκότος καί κτίσαντος· ταύτῃ γάρ καί ἄνθρωπον προσκυνοῦντες μίαν αὐτῷ προσάγομεν τήν τιμήν, ὡς νοῦν ἔχοντι καί ἐμψύχῳ καί λογικῷ, οὐ διαιροῦντες ἤ προτιμῶντες τούτων ἕν τῶν τριῶν, ἀλλ’ ὡς ἀδιαίρετα ἔχοντι τά τρία ἐν ἑαυτῷ καί ἀσύγχυτα· καί οὐχ ὡς τρία ὄντα, ἀλλ’ ὡς ἄνθρωπον ἕνα, προσκυνοῦμεν καί τιμῶμεν αὐτόν διά τήν κοινήν εἰκόνα τοῦ κτίσαντος.

Οὕτω μοι ἐκ τῶν θείων ἰδιωμάτων ὧν ἐπιφέρῃ νοῶν καί τά περί Θεοῦ τοῦ ταῦτά σοι δωρησαμένου, ὡς ἕνα Θεόν εὐσεβῶς τήν ἁγίαν καί ὁμοούσιον καί συνάναρχον προσκύνει Τριάδα καί ὅρα οἵοις σε τετίμηκεν ὁ Θεός ἀγαθοῖς, δημιουργήσας σε κατ’ εἰκόνα αὐτοῦ καί τοῖς αὐτοῦ συνδοξάσας σε ἰδιώμασιν. Ἰσότιμον ὁμολογοῦμεν καί ὁμοούσιον καί ὁμοδύναμον τόν Πατέρα σύν Υἱῷ καί τῷ Πνεύματι, τήν Ἁγίαν Τριάδα, ὡς μίαν ἀρχήν καί ἐξουσίαν καί κυριότητα· ἰσότιμον ἴσθι καί ὁμότιμον καί ὁμοούσιον τόν ἐν σοί νοῦν σύν τῷ λόγῳ καί τῇ ψυχῇ, ὡς μιᾶς ὄντα οὐσίας καί φύσεως. Τοῦτο γάρ ἡ τιμή καί τό εἶναι ἀπό Θεοῦ, ἵν’ ὡς πατέρα καί δημιουργόν οἱ ἐξ αὐτοῦ γεννηθέντες καί γεγονότες γνωρίζωμεν καί σεβώμεθα τόν Θεόν. Τοίνυν καί εἰ ἑνός λείπετε τούτων ὁ ἄνθρωπος τῶν τριῶν, ἄνθρωπος εἶναι οὐ δύναται· κἄν γάρ τόν νοῦν συστείλῃς, συνέστειλες αὐτῷ καί τόν λόγον καί ἔσται ἄνους καί ἄλογος· κἄν τήν ψυχήν, συνανεῖλες ταύτῃ τόν νοῦν καί τόν λόγον· κἄν μόνον ἐνδιάθετον λόγον, ἀνενέργητον τό ὅλον ζῷον πεποίηκας. Νοῦς γάρ μή προϊέμενος λόγον οὐδέ λόγον ἑτέρου εἰσδέξεται· πῶς γάρ, ὁ ἅπαξ κωφευθείς καί τῆς οἰκείας παρακινηθείς φύσεως; Καθάπερ γάρ τό ἀναπνεῖν ἡμεῖς φυσικῶς ἔχομεν καί τό πνεῦμα ἐν ἡμῖν αὐτοῖς, καί ἐάν μή, ἀλλ’ ἐκλείπομεν ἅμα, οὕτω καί ὁ νοῦς τό λογιστικόν φυσικῶς ἔχειν ἐν ἑαυτῷ, οὐ μήν ἀλλά γάρ καί τό τόν λόγον ἀπογεννᾶν· ἐάν οὖν τοῦ φυσικῶς ἀπογεννᾶν στερηθῇ, οἱονεί τεμνόμενος καί διχοτομούμενος τοῦ συνόντος αὐτῷ λόγου, νεκροῦται καί εἰς οὐδέν ἐστι χρήσιμος. Καί ἵνα σαφέστερον, ὅ λέγω, ἐκ τῶν σωματικῶς ἐπισυμβαινόντων ποιήσωμαι, εἰκόνα τοῦ λόγου τήν ὠδίνουσαν τεκεῖν λήψομαι. Καθάπερ οὖν ἡ συλλαβοῦσα τό βρέφος γυνή, ἐάν μή εἰς τόν ἐπιτήδειον φυσικῶς τέκῃ καιρόν, σύν αὐτῶ < τῷ > ἐμβρύῳ ἀπόλλυται, οὕτω δή καί ὁ ἡμέτερος νοῦς τό γεννᾶν ἀεί τόν λόγον φυσικῶς λαβών ἐκ Θεοῦ, ὅν ἀδιαίρετον ἔχει καί συνουσιωμένον ἐν ἑαυτῷ, ἐάν τοῦτον ἀνέλῃς, συνανεῖλες καί τόν τούτου γεννήτορα.

Μετάβηθι τοιγαροῦν, εἰ δοκεῖ, τῇ διανοίᾳ πρός τά πρωτότυπα καί μάθε ἀκριβῶς ὅτι ὁ τόν Υἱόν τοῦ Θεοῦ ἀπαρνούμενος καί αὐτόν ἀπαρνεῖται τόν τούτου γεννήτορα. Ὁ δέ τόν

Πατέρα καί τόν Υἱόν ἀπαρνούμενος, πῶς οὐχί καί τοῦ Ἁγίου Πνεύματος ἀρνητήν ἑαυτόν καί μή βουλόμενος ἀποδείκνυσιν; Ὁ τοίνυν ἤ μείζονα ἤ ἐλάττονα ἕνα τούτων τῶν ἄλλων προσώπων ἀποκαλῶν, οὔπω τοῦ βυθοῦ τῶν παθῶν τήν κεφαλήν τοῦ νοός ἀνενήξατο, ἵνα δυνηθῇ βλέψαι τοῖς νοεροῖς ὀφθαλμοῖς καί ἐπιγνῶναι καλῶς ἑαυτόν κἀκεῖθεν μαθεῖν ὅτι, ὡς οὐκ ἔστι μείζων ὁ νοῦς τῆς ψυχῆς, οὐδέ ἡ ψυχή τοῦ νοός, οὐδέ ὁ λόγος τῶν ἀμφοτέρων μείζων ἤ ἔλαττων, οὕτως οὐδέ ὁ Πατήρ τοῦ Υἱοῦ, ἤ ὁ Υἱός τοῦ Πατρός, ἤ τό Πνεῦμα τό Ἅγιον τούτων δή τῶν συνανάρχων καί ὁμοτίμων μεῖζον ἤ ἔλαττόν ἐστιν· ὅλως γάρ ταῦτα ἐν τῇ ἁγίᾳ καί ὁμοτίμῳ Τριάδι οὐ χρή ἐννοεῖν. Ἐννόει μοι, ἄνθρωπε, τά ὑπέρ σέ ἐκ τῶν κατά σέ καί ἀφ’ ὧν εἰκών ἐδείχθης Θεοῦ· τῶν ἄλλων ἁπάντων κτισμάτων ὑπερτιμηθείς τῇ τοῦ λόγου ἀξίᾳ, δι’ οὗ καί ἄρχεις καί βασιλεύεις αὐτῶν, ἴσθι ὅτι, ὥσπερ ὁ νοῦς ὁ ἀνθρώπινος διά τοῦ λόγου - καλόν γάρ ἀεί καί διά παντός τοῦ λόγου ἐν τοῖς αὐτοῖς διατρίβειν, ὡς ἄν δυνηθῇς τρανωθῆναι τά αἰσθητήρια καί γνῶναι καλῶς τά ἐν σοί κεκρυμμένα τῆς βασιλείας μυστήρια - καί ἡ ψυχή διά τῶν δύο τούτων γνωρίζεται, οὕτω καί ὁ Θεός καί Πατήρ διά τοῦ μονογενοῦς Υἱοῦ καί Λόγου αὐτοῦ, καί τό Πνεῦμα τό Ἅγιον διά τῶν συναϊδίων Πατρός καί Υἱοῦ ἐγνωρίσθη ἡμῖν τοῖς πιστοῖς καί γνωρίζεται.

Καί καθάπερ τοῦ νοῦ τόν λόγον γεννῶντος, τό τῆς ψυχῆς θέλημα, ὡς κοινόν ἀμφοτέρων, τοῖς ἀκούουσι γνώριμον γίνεται ἤ διά ζώσης φωνῆς ἤ διά γραμμάτων, μή συγχεομένων αὐτῶν δηλαδή ἤ διαιρουμένων εἰς τρία, ἀλλ’ ἐν ἑνί ἑκάστῳ ἅμα τῶν τριῶν νοουμένων ἤ ὁρωμένων ἐν μιᾷ τῇ οὐσίᾳ καί ἐν ἑνί τῷ θελήματι, οὕτω μοι νόει καί εὐσεβῶς ὁμολόγει καί ἐπί τῆς ἁγίας καί ὁμοουσίου καί ἀδιαιρέτου Τριάδος τόν μέν Πατέρα γεννᾶν ἀφράστως τόν Θεόν Λόγον, ὅν ἐν ἀρχῇ ἔσχεν ἐν ἑαυτῷ καί ἔχει γεγεννημένον ἀχωρίστως καί ὑπέρ λόγον, τόν δέ Υἱόν γεννᾶσθαι τόν ἀεί ἀδιαιρέτως πρός τόν γεννῶντα Πατέρα ὄντα συναϊδίως καί μηδαμῶς ἐξ αὐτοῦ χωριζόμενον, τό δέ Ἅγιον Πνεῦμα ἐκ τοῦ Πατρός ἐκπορεύεσθαι συμφυές ὄν καί συνηνωμένον τοῖς ὁμοουσίοις Πατρί τε καί Υἱῷ, ὡς συμπροσκυνούμενον καί συνδοξαζόμενον αὐτοῖς παρά πάσης πνοῆς. Τούτων ἕν καί τό αὐτό θέλημα γνώριζε, ἐπειδή οὕτω πᾶσι τοῖς ἐλλαμπομένοις ἄνωθεν καί ἡμῖν τοῖς ταπεινοῖς γνωριζόμενόν τε καί ἀποκαλυπτόμενόν ἐστιν ἐν Ἁγίῳ Πνεύματι εὐδοκίᾳ τοῦ Πατρός δι’ Υἱοῦ. Τούτων τήν ὑπερούσιον οὐσίαν τῆς μιᾶς θεότητός τε καί βασιλείας - ἵνα πάλιν ἐπί τοῖς αὐτοῖς γένωμαι, τῇ μνήμῃ καί τῷ λόγῳ ἁγιαζόμενος - τρισυπόστατον πίστευε καί πιστεύων συνομολόγει μοι τρανῶς καί ἀνυποστόλως, ὡς μήτε εἰς ἕν συγχεομένων τῶν τριῶν ὑποστάσεων, μήτε διαιρουμένων εἰς τρία τῶν φυσικῶς ἡνωμένων· ἐν γάρ ἑνί τούτων ἑκάστῳ τά συναμφότερα νοούμενα καθορῶνται, ἐν μιᾷ τῇ οὐσίᾳ καί φύσει καί δόξῃ καί ἑνί θελήματι. Ταῦτα ἕνα Θεόν πίστευε, πάντων ποιητήν καί δημιουργόν ὁρατῶν τε καί ἀοράτων.

Ὁ γάρ πιστεύων ὅτι ὁ Θεός πάντων ἐστί ποιητής καί ὅτι τά πάντα ἐξ οὐκ ὄντων παρήγαγε, τά τε ἐν οὐρανῷ, τά τε ἐπί τῆς γῆς καί τά ἐν τοῖς καταχθονίοις, ὑπό Θεοῦ κτισθείς, μένει τῶν ἰδίων ὅρων ἐντός, τόν πεποιηκότα γινώσκων· καί πρός αὐτόν τόν γενεσιουργόν ἀπό τῆς καλλονῆς ἀναγόμενος τῶν κτισμάτων, ἀνυμνεῖ καί δοξάζει αὐτόν

ὡς δημιουργόν τῶν ἁπάντων καί οὐδαμῶς τήν ἀκατάληπτον αὐτοῦ φύσιν περιεργάζεται. Οἶδε γάρ κτίσμα ἑαυτόν ἐκείνου καί τἆλλα πάντα, ὡς εἴρηται, αὐτόν δέ τόν τοῦ παντός ποιητήν, ἄκτιστον, ἄναρχον, ἀκατάληπτον, ἀνερμήνευτον, ἀνεξιχνίαστον, ἀεί ὄντα καί προόντα. Οὐ γάρ ἦν χρόνος ποτέ, ὅτε οὐκ ἦν ὁ Θεός, - τούς γάρ αἰῶνας αὐτός ἐποίησε καί πρό πάσης ἀρχῆς αὐτός ἦν, ὡς μήτε ἀρχήν περί αὐτόν ἐννοεῖσθαι μήτε τέλος εὑρίσκεσθαι - ἀλλ' ἦν μέν ἄναρχος, ἔστι δέ τῶν ὅλων ἀρχή καί ἔσται ἀϊδίως εἰς ἀπείρους καί ἀτελευτήτους αἰῶνας ὁ ἀπρόσιτος, ὁ ἀόρατος, ὁ ἀνεκδιήγητος, ὁ ἄφραστος, ὁ πᾶσιν ἀκατανόητος τοῖς ὑπ' αὐτοῦ γενομένοις, ὅς καί ἠγνοήθη ἡμῖν περί πολλούς πρότερον θεούς πλανωμένοις καί λατρεύουσι τῇ κτίσει καί προσκυνοῦσιν εἰδώλοις, γηΐνοις οὖσιν ἔτι καί ταπεινοῖς, ὅς καί κατελεήσας ἡμῶν τήν ἄγνοιαν, τοσοῦτον συγκατέβη τῇ ἀσθενείᾳ ἡμῶν, ὅσον ἵνα γνῶμεν ὅτι ἐστί Θεός τελεία Τριάς, ἐν Πατρί καί Υἱῷ καί Ἁγίῳ Πνεύματι εὐσεβῶς ὀφείλουσι προσκυνεῖσθαι. Ὁποία δέ ἐστι τῇ οὐσίᾳ, ἤ ποδαπή τῇ ἰδέᾳ, ἤ ποῦ, ἤ πόση τῷ μεγέθει, ἤ πῶς τῇ συνουσίᾳ ἤ τῇ ἑνώσει, οὐ μόνον οὐκ ἀνθρώποις ἐννοῆσαι γέγονέ ποτε, ἀλλ' οὐδέ ταῖς ἄνω δυνάμεσι καταληπτόν ἐξεγένετο τό τῆς ὑπερουσίου φύσεως ἀκατάληπτον.

Καί μή μοι τάς ἀπό τῆς θείας Γραφῆς λέγειν ἐπιχειρήσῃς θεολογίας· πρός γάρ τάς βλασφήμους ἐκεῖναι τῶν αἱρετικῶν ἀντιθέσεις πρός τῶν θεολόγων ἐρρέθησαν. Ἀλλ' ἐκεῖνο ἐννόει μοι, ὅτι ἀπρόσιτος οὖσα ἡ θεία φύσις καί ἀκατανόητος δηλονότι, τό δέ ἀκατανόητον πάντῃ καί ἄφραστον· αὐτό γάρ πολλάκις, ὅ κατανοοῦμεν τοῦ εἰπεῖν, ἐκφράσαι ὅλως οὐκ ἐφικνούμεθα. Τόν οὖν ἀόρατον καί ἀκατανόητον καί τοῦτο παρά πάσης μαρτυρούμενον τῆς θεοπνεύστου Γραφῆς τίς ἀνθρώπων ἤ ἀγγέλων ἑρμηνεῦσαι ἰσχύσει; Οὐδείς οὐδαμῶς· οὐ γάρ δύναταί ποτε τό μηδέν ὄν ὑπό ἀνθρωπίνης ἐννοίας ἐννοηθῆναι καί ἐνσημανθῆναι ὀνόματι. Παρίστησι δέ πᾶσα θεία Γραφή διά πασῶν τῶν περί Θεοῦ λεγομένων ἐννοιῶν καί λέξεων ὅτι ἔστιν, οὐχ οἷος δέ ἐστι, προσμαρτυροῦσα μόνον αὐτῷ τό ἀεί εἶναι καί τό ὁ ὤν, Θεός ὁ ἀεί ὤν, τρισυπόστατος, παντοδύναμος, παντοκράτωρ, παντεπόπτης, κτίστης καί δημιουργός τῶν ἁπάντων, ἀνενδεής, ὑπερφυής, τοσοῦτον παρ' ἡμῶν γινωσκόμενος, ὅσον τις πέλαγος ἀόριστον ὑδάτων θαλάσσης, ἐν νυκτί παρά τῶν αἰγιαλόν ἱστάμενος καί λαμπάδα φαίνουσαν κρατῶν, καθορᾷ. Τοῦ γάρ ὅλου τῶν ἀπείρων ἐκείνων θαλασσῶν πόσον οἴει ὁρᾶν τόν τοιοῦτον; Πάντως μικρόν ἤ οὐδέν. Πλήν ὅμως ἀκριβῶς βλέπει τό ὕδωρ ὁποῖον καί ἀπλανῶς, εἰ καί μή ἐφικνεῖται εἰπεῖν ποταπόν. Καί οἶδε μέν ὅτι θάλασσα τό ὁρώμενον καί ὅτι πέλαγος ἀχανές καί ὅτι θεαθῆναι ὅλον ὑπ' αὐτοῦ τῶν οὐκ ἐνδεχομένων ἐστί· τό δέ ὅλον, εἰ καί μή ὁρᾷ, ἀλλά δοκεῖ πως καθορᾶν ἀπό τοῦ μέρους καί τό ἄπειρον τῶν ὑδάτων τεκμαίρεσθαι.

Εἰ δοκεῖ δέ, καί παραδείγματι ἀμυδρῷ τῷ σκοπῷ τοῦ λόγου χρησόμεθα. Ἐάν οὖν ἄνθρωπός τις πηρός τάς ὄψεις μή θεασάμενός ποτε πηγήν ὕδατος εὑρεθῇ, ἤ τοῦτο αὐτό τό ὕδωρ ὁποῖόν ἐστι μή εἰδώς, ἦν δέ ἄπειρος τούτου καί ἄγευστος· αὐτός δέ ἐξηγοῦ τούτῳ τά περί τῆς φύσεως τῶν ὑδάτων καί ὅτι, φησί, καλόν τό ὕδωρ, λίμνας καί φρέατα καί θαλάσσας ποταμῶν ὑποτιθέμενος· ὁ δέ ἤρετο μαθεῖν τήν φύσιν, τήν ἰδέαν, τήν ποιότητα, αὐτήν αὐτοῦ τήν ποσότητα καί πῶς κινεῖται καί πόθεν τήν ἀρχήν ἔχει και πῶς

διά παντός ἐκχεῖται καί οὐκ ἐκλείπει. Τί πρός ταῦτα ἄν τῷ πυνθανομένῳ σου ἀπεκρίθης; Ἔγωγε οὖν οἶμαι, κἄν εἰ λίαν διαβατικώτατος ἦσθα καί θεωρητικώτατος τήν διάνοιαν, οὐδαμῶς παραστῆσαι τῷ λόγῳ ἴσχυσας τήν τούτου ἀρχήν καί οὐσίαν καί κίνησιν, οὐδ’ ὁποῖόν ἐστι τῇ ποσότητι καί ποιότητι διδάξαι τόν ἀπείρως περί τήν μέθεξιν καί θεωρίαν ἔχοντα τοῦ τοιούτου κἄν ποσῶς ἠδυνήθης. Εἰ δέ περί ῥεούσης καί ὁρωμένης καί κρατουμένης οὐσίας οὕτως οὐκ ἐφικνούμεθά τι εἰπεῖν ἤ διερμηνεῦσαι τῷ λόγῳ τοῖς πυνθανομένοις ἡμῶν, τίς ἐστιν ἡ φύσις αὐτῆς καί πόθεν ἤ ἐκ ποίων εἰδῶν τήν σύστασιν ἔχει, πῶς ἄν τις τῶν ἀγγέλων ἤ τῶν ἁπάντων ἁγίων τούς ἀγνοοῦντας τά περί Θεοῦ καί τά κατ’ αὐτόν διδάξαι, οἷός ἐστιν ὁ τό πᾶν οὐσιώσας καί τίνα τά τῆς οὐσίας καί δόξης αὐτοῦ, ἰσχύσει κἄν ὅλως ποτέ; Οὐδείς ἄν οὐδαμῶς. Ὁ δέ γε ἰδεῖν κἄν ποσῶς ἀξιωθείς τόν Θεόν ἐν τῇ ἀπροσίτῳ δόξῃ τοῦ ἀπείρου καί θείου φωτός αὐτοῦ τῷ τρόπῳ ᾧ προειρήκαμεν, διδασκαλίας ἑτέρου οὐ δεηθήσεται· ἔχει γάρ αὐτόν ὅλον ἐν ἑαυτῷ μένοντα καί κινούμενον καί λαλοῦντα καί μυσταγωγοῦντα αὐτόν τά κεκρυμμένα τούτου μυστήρια κατά τό ὑπ’ αὐτοῦ εἰρημένον ὁσιώτατον λόγιον· «*Τό μυστήριόν μου, φησίν, ἐμοί καί τοῖς ἐμοῖς*».

Ἄλλως δέ θεάσασθαι τοῦτον ἀμήχανον εἰ μή διά τῆς τῶν ἐντολῶν αὐτοῦ ἀκριβοῦς φυλακῆς, μή παραφθειρομένης δηλονότι τῇ ἀμελείᾳ καί καταφρονήσει τῆς ἐργασίας αὐτῶν ἐν μηδενί μηδαμῶς, ἀλλά διατηρουμένης καί ἐργαζομένης ἐμμελῶς καί σπουδαίως. Τοιγαροῦν «*καί ὅσοι τῷ κανόνι τούτῳ στοιχήσουσιν*» «*οὐ μακράν εὑρεθήσονται τῆς βασιλείας τῶν οὐρανῶν*» ἀλλά κατά ἀναλογίαν τῆς σπουδῆς καί τῆς μετά προθυμίας καί ἐν χαρᾷ ἐργασίας αὐτῶν, ἤ συντομώτερον ἤ βραδύτερον, πλεῖον ἤ ἔλαττον, τόν μισθόν τῆς θεοπτίας κομίσονται καί κοινωνοί θείας γενήσονται φύσεως καί θεοί καί θέσει καί υἱοί Θεοῦ χρηματίσουσιν ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καί τό κράτος σύν τῷ Πατρί καί τῷ παναγίῳ Πνεύματι, νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων· ἀμήν.

## ΘΕΟΛΟΓΙΚΟΣ ΤΡΙΤΟΣ. Καί ὅτι, εἴ τι ὁ Πατήρ, τοῦτο καί ὁ Υἱός, καί εἴ τι ὁ Υἱός, τοῦτο καί τό Πνεῦμα τό Ἅγιον, καί ὅτι ἕν ταῦτα πνεῦμα ὁμότιμον, ὁμοούσιον καί ὁμόθρονον.

Ἀεί μέν ὁ Θεός ὑμνούμενός τε καί παρ' ἡμῶν δοξαζόμενος ὁ ἄναρχος Πατήρ, ὁ συνάναρχος Υἱός τοῦ Πατρός, τό συναΐδιον καί ὁμοούσιον τοῦ Πατρός καί τοῦ Υἱοῦ πανάγιον Πνεῦμα, ἡ μία ταῦτα φύσις καί δόξα καί συμφυΐα, ἡ ὁμοούσιος Τριάς, ἡ μία θεότης, ἡ ὁμότιμος οὐσία καί τρισυπόστατος, ἡ τῶν ὅλων ἀρχή καί ὑποστατική καί δημιουργός δύναμις, ἡ ὁμόθρονος, ἡ ὁμόδοξος, ἡ μία ἐξουσία καί παντοκρατορική κυριότης καί βασιλεία, εἷς Θεός καί ἔστι καί λέγεται, ὅς ποτέ μέν μονάς θεωρούμενός τε καί πιστευόμενος μοναδικῶς παρ' ἡμῶν καί λατρεύεται, ποτέ δέ τριάς ὁμολογούμενος τριαδικῶς ἀνυμνεῖται ἐν διῃρημέναις ταῖς ὑποστάσεσιν, ὡς παρ' αὐτοῦ τοῦ ἑνός τῆς τρισυποστάτου θεότητος Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μεμυσταγωγήμεθα, βαπτίζειν προτρεπομένου εἰς ὄνομα Πατρός καί Υἱοῦ καί Ἁγίου Πνεύματος καί πάλιν οὕτω λέγοντος· «*Ὁ Πατήρ μου μείζων μού ἐστιν*» ἕτερον ἑαυτόν παρά τόν Πατέρα δεικνύντος, καί «*Ἐγώ ἀπ' ἐμαυτοῦ ποιῶ οὐδέν*» καί πάλιν· «*Ἐρωτήσω τόν Πατέρα καί ἄλλον παράκλητον πέμψει ὑμῖν τό Πνεῦμα τῆς ἀληθείας ὅ παρά τοῦ Πατρός ἐκπορεύεται*», ἄλλον πάλιν παράκλητον ὀνομάζων τό Πνεῦμα.

Ἐντεῦθεν οὖν ἡμῖν ἡ χάρις ἐννοεῖν δίδωσι τό ἕν κατά πάντα τῆς τρισυποστάτου καί ὁμοουσίου θεότητός τε καί βασιλείας καί τό ταὐτόν καί ὡσαύτως ὄν τῶν αὐτῆς ὑποστάσεων τῆς ἀϊδίου δόξης καί ἀχωρίστου ἑνότητος, ὡς εἰδέναι ὅλον ἐκεῖσε εἶναι τόν Πατέρα μετά τοῦ Πνεύματος, ἔνθα ὅλος ὁΥἱός καί Θεός ὀνομάζεται, καί ὅλον ἐκεῖσε εἶναι τόν Υἱόν διά τοῦ Πνεύματος ἐν οἷς ὅλος ὁ Θεός καί Πατήρ ἀνυμνεῖται, καί ὅλον ἐκεῖσε εἶναι τό Πνεῦμα τό Ἅγιον, ἔνθα ὅλος ὁ Πατήρ τῷ Υἱῷ συνομολογεῖται καί συνδοξάζεται. Οὕτω δέ μυσταγωγηθέντες παρά τοῦ Πνεύματος ταῦτα οὕτως ἔχειν ὁμοουσίως καί ὁμοτίμως τά πρόσωπα, εἴτ' οὖν ἀσυγχύτους εἶναι τάς ὑποστάσεις αὐτῶν καί ἀδιαιρέτους ἅμα ἐν τῇ μιᾷ τούτων καί θείᾳ τῶν ὅλων ὑποστατικῇ φύσει τε καί αἰτίᾳ, ὁπόταν πρός τόν Πατέρα καί Θεόν ἀναγώμεθα τῷ συναναφέροντι Πνεύματι διά τοῦ Λόγου καί τάς χεῖρας ἐκτείνωμεν πρός αὐτόν καί τά ὄμματα, «*Πάτερ ἡμῶν*» λέγομεν «*ὁ ἐν τοῖς οὐρανοῖς*». Ὁπηνίκα δέ τῷ μονογενεῖ τοῦ Πατρός Υἱῷ ἐν τῷ συνετίζοντι Πνεύματι προσερχόμεθα τάς εὐχάς ἀποδοῦναι, «*Ὁ μονογενής Υἱός*» λέγομεν «*ὁ συναΐδιος Λόγος τοῦ Θεοῦ καί Πατρός, ὁ μόνος ἐκ μόνου, ὁ ἐκ Θεοῦ Θεός, ὁ ἄναρχος ἐξ ἀνάρχου, ὁ ἐξ ἀϊδίου ἀΐδιος, ὁ ἐξ αἰωνίου αἰώνιος, τό ἐκ τοῦ φωτός φῶς, ἡ ἐκ τῆς ζωῆς ζωή, ὁ ἐκ τοῦ ἀπροσίτου ἀπρόσιτος, ὁ ἀκατάληπτος ἐξ ἀκαταλήπτου, ὁ ἄφραστος ἐξ ἀφράστου, ὁ ἀναλλοίωτος ἐξ ἀναλλοιώτου, ὁ ἀκατανόητος ἐξ ἀκατανοήτου, ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν*». Οὕτω δέ καί τό Πνεῦμα τό Ἅγιον ἐπικαλούμενοι λέγομεν· «*Τό Πνεῦμα τό Ἅγιον τό ἐκ τοῦ Πατρός ἀφράστως ἐκπορευόμενον καί δι' Υἱοῦ ἡμῖν*

*ἐπιφοιτῶν τοῖς πιστοῖς, Πνεῦμα ζωῆς καί συνέσεως, Πνεῦμα ἁγιωσύνης καί τελειότητος, Πνεῦμα τό ἀγαθόν, τό σοφόν, τό φιλάνθρωπον, τό ἡδύ, τό ἔνδοξον, τό τρέφον ὁμοῦ καί ποτίζον, τό ἐλεοῦν, τό φωτίζον, τό δυναμοῦν, Πνεῦμα θεῖον ὑπομονῆς, Πνεῦμα χαρᾶς μεταδοτικόν, εὐφροσύνης, σωφροσύνης, σοφίας, γνώσεως, πρᾳότητος, ἀμνησικακίας, ἀμεριμνίας τῶν κάτω, θεωρίας τῶν ἄνω, διωκτήριον ἀκηδίας, ἀμελείας ἀπελατήριον, περιεργίας καί πονηρίας φυγαδευτήριον, Πνεῦμα μυστηρίων δηλωτικόν, ἀρραβών οὐρανῶν βασιλείας, προφητείας πηγή, διδασκαλίας κρατήρ, ἁμαρτίας ἀναιρετικόν, μετανοίας θύρα, τήν εἴσοδον τοῖς ἀγωνιζομένοις ὑποδεικνύον οἷα δή θυρωρός, Πνεῦμα ἀγάπης, εἰρήνης, πίστεως, ἐγκρατείας, Πνεῦμα πόθου καί πόθον ἐμποιοῦν, ἐλθέ καί ἐνσκήνωσον καί μεῖνον ἐν ἡμῖν ἀχωρίστως, ἀδιαιρέτως, ἁγιάζον καί μεταποιοῦν καί φωτίζον ἡμῶν τάς καρδίας, ὡς ὁμοούσιον καί ὁμότιμον τῷ Υἱῷ καί τῷ Πατρί καί ὡς θεούς τούς ὑποδεχομένους σε ἐργαζόμενον καί πᾶσαν μέν ἁμαρτίαν ἐξαφανίζον, πᾶσαν δέ ἀρετήν συνεισφέρον τῇ εἰσόδῳ σου, οὐκ ἔξωθεν ταῦτα συνεπαγόμενον, ἀλλ' αὐτό ἐκεῖνο ὑπάρχον πᾶν ὁτιοῦν καί ἔστιν ἀγαθόν· ἐν οἷς γάρ ἐγκατοικήσεις, ἔχουσιν οὐσιωδῶς ἐν ἑαυτοῖς τό πᾶν ἀγαθόν*».

Τοιγαροῦν καί οὐχ ὡς διαιροῦντες τό ἄτμητον τῆς ὁλικῆς ἑνάδος, τρισί θεοῖς καί οὐχ ἑνί τόν ὕμνον προσφέρομεν, ἀλλ' ὡς ἐν τῷ Πατρί τόν Υἱόν καί τό Πνεῦμα, ἐν δέ τῷ Υἱῷ τό Πνεῦμα καί τόν Πατέρα, ἐν δέ τῷ Πνεύματι τόν Πατέρα προσκυνοῦντες καί τόν Υἱόν· ἅ καί μίαν φύσιν δοξάζομεν μιᾶς τρισυποτάτου θεότητος, ὁμοούσιον, ὁμοδύναμον, αὐτοδύναμον, παντοδύναμον, αὐτοθέλητον, συναΐδιον, συνάναρχον, ὑπερούσιον, ἀσύγχυτόν τε καί ἀδιαίρετον. Οὐ γάρ ἄλλο καί ἄλλο καί ἄλλο ἑτέρας καί ἑτέρας φύσεως, τήν μή τεμνομένην ἑνάδα τε καί θεότητα διαιροῦντες, φρονοῦμεν, εἰς ἐκφύλους ἀλλοτριότητας ἀσυνέτως ἐκκλίνοντες, ἀλλ' ἕνα ταῦτα Θεόν ἀδιαιρέτως ταῖς ὑποστάσεσι διαιρούμενον καί ἀσυγχύτως τῇ ἑνότητι τῆς μιᾶς οὐσίας ἑνούμενον ἔγνωμεν, ὅλον ἐν ταῖς ὑποστάσεσιν ἑνιζόμενον καί ὅλον ἐν τῇ ὑπερουσίῳ ἑνάδι τρισσούμενον· τόν αὐτόν τρία τοῖς προσώποις καί ἕν τῇ ἑνότητι τῆς οὐσίας εἴτε φύσεως χρή λέγειν.

Οὕτω γάρ καί ὁ μονογενής αὐτός Υἱός τοῦ Πατρός τό κατά πάντα ὁμότιμον καί ὁμοούσιον καί ὁμόθρονον ἑαυτοῦ μεθ' ἅμα τῶν ὁμοουσίων Πατρός καί Πνεύματος πᾶσιν ἡμῖν διετράνωσεν οὕτως εἰπών· «*Ἐγώ καί ὁ Πατήρ ἕν ἐσμεν*». Καί πάλιν ἑτέρωθι περί τοῦ Πνεύματος, τό ἐκ τῆς οὐσίας ἐκείνης ἀπαραλλάκτως εἶναι δηλῶν, οὕτω φησί· «*Τό Πνεῦμα τῆς ἀληθείας, ὅ παρά τοῦ Πατρός ἐκπορεύεται*». Ὡς γάρ ἐξ ὀφθαλμοῦ, ἤτοι πηγῆς ὕδατος, ὕδωρ ὁ ποταμός ἐκπορεύεται, οὕτως ἐκ Θεοῦ τοῦ Πατρός Θεός ἐκπορεύεται τό Πνεῦμα, διό καί φησι· «*Πνεῦμα ὁ Θεός καί τούς προσκυνοῦντας αὐτόν ἐν πνεύματι καί ἀληθείᾳ δεῖ προσκυνεῖν*». Εἰ οὖν ὁ Πατήρ πνεῦμά ἐστι, καί ὁ ἐξ αὐτοῦ γεννηθείς Υἱός πνεῦμα δηλονότι ἐστί· καί τοῦτο δηλῶν ὁ Παῦλος ἔλεγε· «*Τό δέ πνεῦμα ὁ Κύριος ἐστιν*». Εἰ γάρ καί σάρκα ἀνέλαβεν, ἀλλά καί ταύτην θεώσας πνευματικήν ἀπειργάσατο. Πνεῦμα τό Πνεῦμα τό Ἅγιον, ὅτι ἐκ τοῦ Πατρός ἐκπορεύεται καί διά τοῦ Υἱοῦ δίδοται τοῖς ἀναξίοις ἡμῖν, οὐχ ὡς μή θέλον πεμπόμενον ἤ διανεμόμενον, ἀλλ' ὡς δι' ἑνός τῆς Τριάδος, αὐτοῦ τοῦ Υἱοῦ, τά τῷ Πατρί δοκοῦντα ὡς οἰκεῖα θελήματα

ἐκπληροῦν. Τῇ γάρ φύσει καί τῇ οὐσίᾳ καί τῇ θελήσει ἀμέριστος ἡ Ἁγία Τριάς, ταῖς δέ ὑποστάσεσι προσωπικῶς ὀνομάζεται Πατήρ, Υἱός καί Ἅγιον Πνεῦμα, εἷς ὤν ταῦτα Θεός, ὄνομα δέ αὐτοῦ Τριάς, ὅς ὑπεράνω παντός ὀνόματος ὀνομαζομένου καί λόγου καί ῥήματος ὤν ὑπέρκειται καί πάσης διανοίας κατάληψιν ὑπερεκπίπτει, μηδέν ὤν.

Ἀλλά σύνες ἐντεῦθεν πῶς ἕν τά τρία ἡ ἁγία λέγει Γραφή. Καλόν γάρ πάλιν τά αὐτά ἐν τοῖς αὐτοῖς ἀναλαβεῖν καί εἰπεῖν, ἐπειδή καί τό ἐντρυφᾶν τοῖς τοιούτοις ἀεί ἡδονήν ἐμποιεῖ τῷ τά τοιαῦτα θεοπρεπῶς εἰδότι τρυφᾶν καί τάς ψυχικάς αἰσθήσεις αὐτοῦ ὁ λόγος θεῖος καθαγιάζει. «*Πνεῦμα*» φησίν «*ὁ Θεός*», τοῦτο δέ καί ὁ Υἱός, ὥσπερ εἴρηται. Εἰ οὖν «*ὁ Θεός πνεῦμά ἐστι*» καί τό «*πνεῦμα ὁ Κύριος*» καί ὁ Κύριος πνεῦμα παρά τῆς θείας καλεῖται Γραφῆς, ἕν πνεῦμά ἐστιν ἐν τρισί προσώποις εἴτ᾽ οὖν ὑποστάσεσι γνωριζόμενον ὁ Θεός (καθώς ἔφη τοῦτο παραδηλῶν ὁ Υἱός «*ἕν*»), ἰσοδύναμον, ὁμόθρονον, ὁμοφυές, ὁμοούσιον. Ταῦτα διά τοῦτο οὕτως εἴρηται πνεῦμα ἕν, ἵνα μηδεμίαν ἀνισότητα ὑπεροχῆς ἤ ὑφέσεως ὑπολάβῃς ἐν τοῖς τρισί τῆς Τριάδος προσώποις, μήτε μήν ὅλως καθ᾽ οἱονδήποτε τρόπον ἐν αὐτοῖς χωρισμόν· οὐ γάρ διά τοῦτο, ἀλλ᾽ ὅπως διά μόνων τῶν ὀνομάτων τά πρόσωπα, αὐτάς δή τάς ὑποστάσεις, ἐκδιδαχθῇς, εἴρηνται. Οὕτω ταῦτα μαθών καί οὕτω καλῶς τά περί Θεοῦ μυσταγωγηθείς, μηδέν περαιτέρω πολυπραγμονῶν ἐκζητήσῃς, πίστει δέ μόνῃ ταῦτα παραδεξάμενος μέχρι τούτου στῆθι, ἀκατάληπτα πάντῃ τά ὑπέρ ταῦτα καί πληροφορούμενος καί ὁμολογῶν.

Ἵνα δέ εἰδῇς καί τά τῆς θείας φύσεως ἴδια, πῶς ὁ Θεός καί τά περί Θεόν καί τά ἀπό Θεοῦ καί τά ἐν τῷ Θεῷ πάντα ἕν φῶς ἐστιν, ἐν ἑκάστῃ τῶν ὑποστάσεων προσκυνούμενον καί ἐν πᾶσι τοῖς ἰδιώμασιν αὐτοῦ καί χαρίσμασι καθορώμενον, καί οὕτω σε ταῦτα μυσταγωγήσομεν. «*Ὁ Θεός φῶς ἐστί*» καί φῶς ἄπειρόν τε καί ἀκατάληπτον· τά γάρ περί αὐτόν φῶς εἰσιν ἑνούμενά τε καί διαιρούμενα τοῖς προσώποις ἀδιαιρέτως καί - ἵνα καθ᾽ ἕν σοι τά ἀδιαίρεται διαιρῶν εἴπω - ὁ Πατήρ φῶς ἐστιν, ὁ Υἱός φῶς ἐστι, τό Πνεῦμα τό Ἅγιον φῶς· ἕν ταῦτα φῶς ἁπλοῦν, ἀσύνθετον, ἄχρονον, συναΐδιον, ὁμότιμον καί ὁμόδοξον. Πρός τούτοις καί τά ἐξ αὐτοῦ πάντα φῶς εἰσιν ὡς ἐκ φωτός ἡμῖν χορηγούμενα· ἡ ζωή φῶς, ἡ ἀθανασία φῶς, ἡ πηγή τῆς ζωῆς φῶς, τό ὕδωρ τό ζῶν φῶς, ἡ ἀγάπη, ἡ εἰρήνη, ἡ ἀλήθεια, ἡ θύρα τῆς βασιλείας τῶν οὐρανῶν, αὐτή φῶς ἡ βασιλεία τῶν οὐρανῶν· ὁ νυμφών φῶς, ἡ παστάς, ὁ παράδεισος, ἡ τοῦ παραδείσου τρυφή, ἡ γῆ τῶν πραέων, οἱ στέφανοι τῆς ζωῆς, αὐτά τά τῶν ἁγίων ἐνδύματα φῶς· ὁ Χριστός ὁ Ἰησοῦς, ὁ σωτήρ καί βασιλεύς τοῦ παντός, φῶς· ὁ ἄρτος τῆς ἀχράντου σαρκός αὐτοῦ φῶς, τό ποτήριον τοῦ τιμίου αὐτοῦ αἵματος φῶς, ἡ ἀνάστασις αὐτοῦ φῶς, τό πρόσωπον αὐτοῦ φῶς· ἡ χείρ, ὁ δάκτυλος, τό στόμα αὐτοῦ φῶς, οἱ ὀφθαλμοί αὐτοῦ φῶς· ὁ Κύριος φῶς, ἡ φωνή αὐτοῦ ὡς ἐκ φωτός φῶς, ὁ Παράκλητος φῶς· ὁ μαργαρίτης, ὁ κόκκος τοῦ σινάπεως, ἡ ἄμπελος ἡ ἀληθινή, ἡ ζύμη, ἡ ἐλπίς, ἡ πίστις φῶς.

Ταῦτα τοιγαροῦν καί ἕτερα τούτων, ὅσα ἄν διά προφητῶν καί ἀποστόλων ἀκούεις λεγόμενα περί τῆς ἀνεκφράστου καί ὑπερουσίου θεότητος, αὐτήν οὐσιωδῶς τά πάντα

εἶναί μοι νόει τήν μίαν ὑπεράρχιον ἀρχήν, τήν ἐν μονάδι τριαδικοῦ προσκυνουμένην φωτός. Εἷς γάρ Θεός ἐν Πατρί καί Υἱῷ καί Ἁγίῳ Πνεύματι, φῶς ὤν ἀπρόσιτόν τε καί προαιώνιον, ὅ καί πολυώνυμον ὑπάρχον καλεῖται πάντα τά εἰρημένα καί τούτων ἕτερα πλείονα· καί οὐ μόνον ταῦτα καλεῖται, ἀλλά καί ἐνεργεῖ, ὡς παρά τῶν ἐξ αὐτῆς τῆς πείρας διδαχθέντων καί τῇ θεωρίᾳ πιστωθέντων καί βεβαιωθέντων περί τῶν προσόντων καλῶν τῷ ὑπεραγάθῳ Θεῷ ἔμαθον. Καί ἵνα πρός τοῖς εἰρημένοις καί ἕτερά σοι φῶτα Θεοῦ παραδηλώσω τινά, ἡ ἀγαθότης αὐτοῦ φῶς, τό ἔλεος αὐτοῦ, ἡ εὐσπλαγχνία, ὁ ἀσπασμός αὐτοῦ φῶς, ἡ χρηστότης αὐτοῦ φῶς, ἡ ῥάβδος, ἡ βακτηρία καί ἡ παράκλησις αὐτοῦ φῶς.

Εἰ δέ καί ἐν ἡμῖν τά πλείονα τούτων ἤ καί πάντα προσεῖναι λέγονται, ἀλλ᾽ ἡμῖν μέν ὡς ἀνθρώποις, ἐκείνῳ δέ ταῦτα πρόσεστιν ὡς Θεῷ. Καί ἵνα μή κατοκνήσω καθ᾽ ἕν σοι ταῦτα πάλιν εἰπεῖν, Πατήρ ὀνομάζεται ὁ Θεός, πατέρες καλοῦνται καί τῶν ἀνθρώπων οἱ πλείονες· Υἱός Θεοῦ ὁ Χριστός καί Θεός, υἱοί πάλιν ἀνθρώπων ἡμεῖς· Πνεῦμα Θεοῦ τό πανάγιον Πνεῦμα, πνεύματα λέγονται καί ἡμῶν αἱ ψυχαί· ζωή ὁ Θεός, ζῆν λεγόμεθα καί ἡμεῖς· ἀγάπη ὁ Θεός, ἀγάπην ἔχουσιν εἰς ἀλλήλους καί οἱ λίαν ἁμαρτωλοί. Τί οὖν; Τήν τῶν ἀνθρώπων ἀγάπην καλέσεις Θεόν; Ἄπαγε τῆς βλασφημίας! Ἀλλ᾽ εἰρήνην τήν εἰς ἀλλήλους ἐν τῷ μή διαμάχεσθαι ἤ ἀμφιβάλλειν περί τινος, τοῦτο εἴποις εἶναι «*εἰρήνην τήν ὑπερέχουσαν πάντα νοῦν*»; Οὔμενουν. Ἀλλά ἀλήθειαν Θεοῦ τό μή εἰπεῖν σε λόγον ψευδῆ πρός τινα; Οὐδαμῶς. Ὥσπερ γάρ λόγοι μέν ἀνθρώπων ῥευστοί καί διακενῆς, ὁ δέ τοῦ Θεοῦ Λόγος ζῶν τέ ἐστι καί ἐνυπόστατος καί ἐνεργής, Θεός ἀληθής, οὕτω δή καί ἡ ἀλήθεια, ὁ Θεός, ὑπέρ ἔννοιαν καί ὑπέρ λόγον ἀνθρώπων ἐστίν· ἄτρεπτος, ἄρρευστος, ἐνυπόστατός τε ὑπάρχει καί ζῶν. Οὕτω τοιγαροῦν οὔτε τό ὕδωρ τό παρ᾽ ἡμῖν ὡς τό ὕδωρ ἐκεῖνο τό ζῶν, οὔτε ὁ ἄρτος ὁ παρ᾽ ἡμῖν ὡς ἐκεῖνος ὁ ἄρτος ἐστίν, ἀλλά καθάπερ ἄνωθεν εἴρηται, ἅπαντα φῶς ἐκεῖνα καί φῶς ἕν ὁ Θεός, οὗ μετασχών τις τῇ μετοχῇ ἐκείνου μέτοχος ἀμφοῖν γίνεται πάντων ὧν εἴπομεν ἀγαθῶν. Γίνεται δέ καί πρᾶος καί ταπεινός· ταῦτα δέ πάλιν φῶς σύν τοῖς εἰρημένοις εἰσί, μᾶλλον δέ σύν τῷ φωτί ἔχει καί ταῦτα ὁ ἔχων ἐκεῖνο τό φῶς.

Ἀλλά γάρ συνάμα τούτοις καί ἐγρήγορσις λέγεται ὁ Θεός, ὡς διεγείρων πρός τά καλά τήν ψυχήν τοῦ ἀνθρώπου ἐφ᾽ ἥν κατοικεῖ, ὅς αὐτῇ γίνεται πᾶν ἀγαθόν· καί οὐχ ὑστερεῖται, ἔνοικον ἔχουσα τόν Θεόν ἡ τοιαύτη, παντός ἀγαθοῦ, ἀλλ᾽ ἐμπίπλαται καί περισσεύει ἀεί ἐν πᾶσι τοῖς ἀπορρήτοις ἐκείνοις ἀγαθοῖς τοῦ Θεοῦ, συνδιαιτωμένη καί συνευφραινομένη ταῖς τάξεσι τῶν οὐρανίων δυνάμεων, ὧν γένοιτο καί πάντας ἡμᾶς ἐπιτυχεῖν καί ἐν ἀπολαύσει τούτων πλουσίᾳ γενέσθαι, χάριτι καί φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καί τό κράτος σύν τῷ Πατρί καί τῷ Ἁγίῳ Πνεύματι, νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων· ἀμήν.

# ΒΙΒΛΟΣ ΤΩΝ ΗΘΙΚΩΝ

# ΛΟΓΟΣ Α΄.

Ἅ μέν οὖν ἀπολογήσασθαι καί εἰπεῖν ἔδει πρός τούς ἀντιδιατιθεμένους ἡμῖν καί τάς πικράς γλωσσαλγίας αὐτῶν αἷς τό προσπεσόν ἅπαν ὁμοῦ κατασύρεται, κἄν εἴ τι τῶν τιμιωτέρων ἐστίν, ἱκανῶς ἔχει καί ὡς ὁ Λόγος τόν λόγον εὐώδωσεν, ἵνα μή ἐξ ἡμῶν ᾖ τά τῆς εὐδρομίας τοῦ λόγου καί τῶν εὐστόχων βολίδων αὐτοῦ, ἀλλ’ ἤ ἄνωθεν καί ἀπό τῆς τοῦ Πνεύματος συμμαχίας, παρ’ οὗ πᾶσιν εὐοδοῦται τό κατορθούμενον. Χρεών δέ ἄρτι τῆς πρός ἐκείνουτς λήξαντας στάσεως ἰδεῖν καί κατασκοπῆσαι καί σκέψασθαι τίνα τά ὑπό Θεοῦ χαρισθέντα ἡμῖν, Παύλῳ τῷ θείῳ πειθομένους, τίς ὁ πλοῦτος τῆς πρός ἡμᾶς αὐτοῦ ἀγαθότητος, ὅν ἡμῖν ἀπ’ ἀρχῆς ἐχαρίσατο κτίσεως, τίς ἡ πλάσις ἡμῶν καί πῶς παρέβημεν τήν δοθεῖσαν ἄνωθεν ἐντολήν καί τῶν ἀθανάτων ἐκείνων ἀγαθῶν ἐξεπέσομεν, τίς δέ ὁ νῦν βίος καί τίς ὁ κόσμος οὗτος ὑφ’ ὅν καί μεθ’ ὅν τό πᾶν ὁρᾶται κινούμενον, καί τίνα τά μετά ταῦτα διαδεξόμενα τούς προσκυνητάς τῆς Τριάδος ἡμᾶς. Ἄρξομαι δέ ἐντεῦθεν, ἀρχήν τοῦ λόγου ποιούμενος τόν Θεόν.

## α΄. Μερική τις φυσιολογία περί τῆς τοῦ κόσμου κτίσεως καί τῆς πλάσεως τοῦ Ἀδάμ.

Ὁ Θεός οὐχί τόν παράδεισον μόνον, ὡς ἄν τινες οἴονται, τοῖς πρωτοπλάστοις δέδωκεν ἐξ αὐτῆς ἀρχῆς, οὔτε ἄφθαρτον μόνον ἐκεῖνον ἐδημιούργησεν, ἀλλά πολλῷ μᾶλλον πρό ἐκείνου τήν ἅπασαν γῆν, ταύτην δή ἥν ἡμεῖς κατοικοῦμεν, καί τά ἐν τῇ γῇ ἅπαντα, οὐ μήν ἀλλά καί τόν οὐρανόν καί τά ἐν αὐτῷ ἐν πέντε ἡμέραις παραγαγών, τῇ ἕκτῃ ἡμέρα ἔπλασε τόν Ἀδάμ καί πάσης τῆς ὁρωμένης κτίσεως κύριον αὐτόν καί βασιλέα κατέστησε. Καί οὔτε ἡ Εὕα παραχθεῖσα ἦν τότε οὔτε μήν ὁ παράδεισος, ἀλλ' οὗτος ὁ κόσμος ὥσπερ τις παράδεισος ὑπό τοῦ Θεοῦ γέγονεν εἷς, ἄφθαροτος μέν, ὑλικός δέ καί αἰσθητός παραχθείς· τοῦτον, ὡς εἴρηται, τῷ Ἀδάμ καί τοῖς ἐξ αὐτοῦ εἰς ἀπόλαυσιν δέδωκεν. Ἀλλά μή φανῇ σοι τοῦτο παράδοξον, ἀνάμεινον δέ τόν λόγον καί ἐξ αὐτῆς τῆς θείας Γραφῆς ἀποδείξει τοῦτο σαφέστατα. Γέγραπται γάρ· «*Ἐν ἀρχῇ ἐποίησεν ὁ Θεός τόν οὐρανόν καί τήν γῆν· ἡ δέ γῆ ἦν ἀόρατος καί ἀκατασκεύαστος*». Καθεξῆς δέ τά λοιπά ἅπαντα ἔργα τῆς τοῦ Θεοῦ δημιουργίας ἀκριβῶς ἐξηγούμενος, μετά τό εἰπεῖν· «*Καί ἐγένετο ἑσπέρα καί ἐγένετο πρωΐ, ἡμέρα πέμπτη*», ἐπήγαγε· «*Καί εἶπεν ὁ Θεός· ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καί καθ' ὁμοίωσιν καί ἀρχέτωσαν τῶν ἰχθύων τῆς θαλάσσης καί τῶν πετεινῶν τοῦ οὐρανοῦ καί τῶν κτηνῶν καί πάσης τῆς γῆς καί πάντων τῶν ἑρπετῶν τῶν ἑρπόντων ἐπί τῆς γῆς. Καί ἐποίησεν ὁ Θεός τόν ἄνθρωπον, κατ' εἰκόνα Θεοῦ ἐποίησεν αὐτόν, ἄρσεν καί θῆλυ ἐποίησεν αὐτους*». Ἄρσεν δέ καί θῆλυ λέγει οὐχ ὡς τῆς Εὔας ἤδη γενομένης, ἀλλ' ὡς ἐν τῇ τοῦ Ἀδάμ πλευρᾷ οὔσης καί αὐτῷ συνούσης· καί τοῦτο μετά ταῦτα σαφέστερον γνώσεσθε. «*Καί εὐλόγησεν αὐτούς ὁ Θεός λέγων· αὐξάνεσθε καί πληθύνεσθε καί πληρώσατε τήν γῆν καί κατακυριεύσατε αὐτῆς καί ἄρχετε τῶν ἰχθύων τῆς θαλάσσης καί τῶν πετεινῶν τοῦ οὐρανοῦ καί πάντων τῶν κτηνῶν καί πάσης τῆς γῆς καί πάντων τῶν ἑρπετῶν τῶν ἑρπόντων ἐπί τῆς γῆς*».

Ὁρᾷς πῶς τοῦτον ὅλον τόν κόσμον, ὡς ἕνα παράδεισον, τῷ ἀνθρώπῳ ἐξ ἀρχῆς δέδωκεν ὁ Θεός; Ποίαν γάρ ἄλλην γῆν λέγει, εἰ μή ταύτην ἐν ᾗ καί νῦν, ὡς εἴρηται κατοικοῦμεν ἡμεῖς, ἑτέραν δέ οὐδαμῶς; Διό καί ἐπιφέρων φησί· «*Καί εἶπεν ὁ Θεός· Ἰδού δέδωκα ὑμῖν πάντα χόρτον σπόριμον σπεῖρον σπέρμα ὅ ἐστιν ἐπάνω τῆς γῆς· καί πᾶν ξύλον ὅ ἔχει ἐν ἑαυτῷ καρπόν σπέρματος σπορίμου ὑμῖν ἔσται εἰς βρῶσιν καί πᾶσι τοῖς θηρίοις τῆς γῆς καί πᾶσι τοῖς πετεινοῖς τοῦ οὐρανοῦ καί παντί ἑρπετῷ ἕρποντι ἐπι τῆς γῆς*». Εἶδες πῶς τά ὁρώμενα ἅπαντα, τά τε ἐν τῇ καί τά ἐν τῇ θαλάσσῃ, τῷ Ἀδάμ καί ἡμῖν τοῖς ἐξ αὐτοῦ δέδωκεν εἰς ἀπόλαυσιν καί οὐχί τόν παράδεισον μόνον αὐτῷ ἐχαρίσατο; Ὅσα γάρ τῷ Ἀδάμ εἶπεν, ὡς πρός πάντας ἡμᾶς ταῦτα ἔλεγε, καθώς καί πρός τούς ἀποστόλους ὕστερον ὁ αὐτός διά τοῦ ζῶντος Λόγου ἔφη· «*Ἅ δέ λέγω ὑμῖν, πᾶσι λέγω*», ὡς εἰδώς ὅτι εἰς ἄπειρα πλήθη καί ἀναρίθμητα ἔμελλε τό γένος ἡμῖν πληθυνθῆναι ἐπί τῆς γῆς. Εἰ γάρ καί παραβάντες τήν ἐντολήν αὐτοῦ καί βιοῦν καί ἀποθνῄσκειν κατακριθέντες εἰς τοσοῦτον πλῆθος οἱ ἄνθρωποι ἐγενόμεθα, ἐννόει μοι ὅσοι ἔμελλον εἶναι οἱ ἀπό κτίσεως κόσμου γεννηθέντες, εἰ μή ἀπέθανον, ὁποίαν δέ ζωήν καί διαγωγήν ἔχειν ἐν ἀφθάρτῳ κόσμῳ ἄφθαρτοι διατηρούμενοι καί ἀθάνατοι, ἀναμάρτητον δηλονότι καί

ἄλυπον, ἀμέριμνόν τε καί ἄμοχθον διανύοντες βίον, ὅπως τε κατά προκοπήν τῆς φυλακῆς τῶν ἐντολῶν τοῦ Θεοῦ καί τῆς ἐργασίας τῶν ἀγαθῶν ἐννοιῶν εἰς τελειοτέραν ἔμελλον ἀνάγεσθαι κατά καιρόν δόξαν τε καί ἀλλοίωσιν, πλησιάζοντες τῷ Θεῷ καί τάς πηγαζούσαις αὐγαῖς τῆς θεότητος, τήν μέν ψυχήν λαμπροτέραν ἑκάστου γίνεσθαι, τό δέ αἰσθητόν καί ὑλῶδς σῶμα εἰς ἄυλον καί πνευματικόν ὑπέρ αἴσθησιν πᾶσαν μεταποιεῖσθαί τε καί μεταβάλλεσθαι· ὁπόση δέ καί ἡ ἐκ τῆς μετ᾽ ἀλλήλων διαγωγῆς εὐφροσύνη καί ἀγαλλίασις ἡμῖν προσγίνεσθαι ἔμελλεν, ἄρρητος πάντως τῷ ὄντι καί λογισμοῖς ἀνεπίβατος.

Ἀλλ᾽ ἐπί τό προκείμενον ἐπανέλθωμεν. Ὥσπερ οὖν χώραν μίαν ἤ ἀγρόν ἕνα, ἵνα τά αὐτά πάλιν εἴπω, οὕτω τόν κόσμον ἅπαντα τῷ Ἀδάμ, ὡς εἴρηται, ἐχαρίσατο. Ταῦτα δέ ἐν ταῖς ἕξ ἡμέραις συνετέλεσεν ὁ Θεός· καί ἄκουε τῆς θείας Γραφῆς τοῦτο δηλούσης σαφέστατα. Μετά γάρ τό εἰπεῖν· «*Καί ἐποίησεν ὁ Θεός τόν ἄνθρωπον, κατ᾽ εἰκόνα Θεοῦ ἐποίησεν αὐτόν· ἄρσεν καί θῆλυ ἐποίησεν αὐτούς καί εὐλόγησεν αὐτούς*» καί τά λοιπά καθεξῆς, τότε ἐπήγαγεν οὕτως εἰπών· «*Καί εἶδεν ὁ Θεός πάντα ὅσα ἐποίησεν καί ἰδού καλά λίαν· καί ἐγένετο ἑσπέρα καί ἐγένετο πρωΐ, ἡμέρα ἕκτη· καί συνετέλεσεν ὁ Θεός ἐν τῇ ἡμέρᾳ τῇ ἕκτῃ τά ἔργα αὐτοῦ ἅ ἐποίησε, καί κατέπαυσεν ὁ Θεός ἐν τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ ἀπό πάντων τῶν ἔργων αὐτοῦ ὧν ἤρξατο ὁ Θεός ποιῆσαι*». Εἶτα βουλόμενος διδάξαι ἡμᾶς ὅπως ἐποίησε τόν ἄνθρωπον ὁ Θεός καί πόθεν, ἀνακεφαλαιωσάμενος τόν λόγον, οὕτω πως πάλιν φησίν· «*Αὕτη ἡ βίβλος γενέσεως οὐρανοῦ τε καί γῆς, ὅτε ἐγένετο*»· καί μετ᾽ ὀλίγα· «*Καί ἔπλασεν ὁ Θεός τόν ἄνθρωπον χοῦν ἀπό τῆς γῆς*», ὅπερ χρή ἐννοεῖν οὕτως· ἐποίησε δέ ὁ Θεός τόν ἄνθρωπον χοῦν λαβών ἀπό τῆς γῆς, «*καί ἐνεφύσησεν εἰς τό πρόσωπον αὐτοῦ πνοήν ζωῆς καί ἐγένετο ὁ ἄνθρωπος εἰς ψυχήν ζῶσαν*».

Τόν οὖν τρόπον τῆς δημιουργίας δῆλον ποιήσας ἡμῖν, τότε καθάπερ ἄνθρωπός τις βασιλεύς ἤ ἄρχων καί πλούσιος τήν ὑπ᾽ αὐτοῦ δεσποζομένην χώραν καί γῆν οὔτε πόλιν πᾶσαν περιτειχίσας μόνον ποιεῖ, οὔτε οἶκον ἕνα περιφράξας ὅλην ἀποτελεῖ, ἀλλά εἰς πολλά τήν μίαν διαχωρίσας, τήν μέν σπόριμην εἶναι ἐᾷ, τήν δέ εἰς ἀμπελῶνα ἀφορίζει, ἑτέραν χέρσον εἶναι ἀφίησιν, ἐν ἑνί δέ μέρει καί τόπῳ τερπνῷ τε καί περικαλλεῖ τάς κατασκηνώσεις ποιεῖται, ἔνθα καί παλάτια οἰκοδομεῖ καί οἴκους κατασκευάζει, λουτρά τε κτίζει καί παραδείσους φυτεύει καί παντοίας ἐκεῖσε ἀπολαύσεις ἐπινοεῖ καί φραγμόν ἔξωθεν τούτων ἁπάντων περιτιθεῖ, κλεῖς τε καί πύλας ἀνοιγομένας καί κλειομένας ποιεῖ· οὐ μόνον δέ, ἀλλά καί φύλακας, εἰ καί μηδένα πτοεῖται, ἀποκαθιστᾷ, ὡς ἄν τό αὐτοῦ οἰκητήριον περιφανέστατον καί ἐνηλλαγμένον ᾖ διά πάντων καί ἵνα τοῖς μέν ἀγνώμοσι φίλοις καί πονηροῖς καί αὐτοῖς τοῖς προσκεκρουκόσι τῶν ὑπό χεῖρα καί δούλων, εἴ ποτέ τινες τοιοῦτοι φανῶσιν, ἄβατος ἔσται, τοῖς δέ γνησίοις καί πιστοῖς φίλοις καί αὐτοῖς τοῖς εὐγνώμοσι δούλοις ἀκώλυτος ἡ πρός αὐτόν ὑπάρχῃ εἴσοδός τε καί ἔξοδος· οὕτω δή καί ὁ Θεός τῷ πρωτοπλάστῳ ἐποίησε. Μετά γάρ τό κτίσαι πάντα ἐξ οὐκ ὄντων καί αὐτόν πλάσαι τόν ἄνθρωπον καί καταπαῦσαι αὐτόν τῇ ἑβδόμῃ ἡμέρᾳ ἀπό πάντων τῶν ἔργων αὐτοῦ ὧν ἤρξατο ποιεῖν, τότε ἐφύτευσε τόν παράδεισον ἐν Ἐδέμ κατά ἀνατολάς, ὥσπερ τινά βασίλεια ἐν ἑνί μέρει τοῦ κόσμου τοῦτον φυτεύσας, καί ἔθετο ἐκεῖ τόν ἄνθρωπον ὅν

ἐποίησε.

Διατί οὖν ἐν τῇ ἑβδόμῃ ἡμέρᾳ οὐκ ἐποίησε τόν παράδεισον μέλλοντα γενέσθαι, ἀλλά μετά τήν παραγωγήν πάσης ἅμα τῆς κτίσεως κατά ἀνατολάς τοῦτον ἐφύτευσεν; Ἐπειδή ὁ Θεός, ὡς προειδώς τά πάντα, τάξει καί καταστάσει εὐκόσμῳ τήν κτίσιν ἐδημιούργησε καί τάς μέν ἑπτά ἡμέρας εἰς τύπον τῶν ἑπτά αἰώνων τῶν ὕστερον μελλόντων διελθεῖν ἔταξε, τόν δέ παράδεισον ἐφύτευσε μετά ταῦτα, ὡς τοῦ μέλλοντος αἰῶνος ὄντα σημαντικόν. Τίνος οὖν ἕνεκεν τήν ἡμέραν, ἥτις ἐστίν ἡ ὀγδόη, ταῖς προλαβούσαις ἑπτά οὐ συνῆψε τό Πνεῦμα τό Ἅγιον; Ἐπειδήπερ τῷ κύκλῳ τούτων τῶν ἡμερῶν συναριθμεῖσθαι ταύτων οὐχ ἥρμοζεν, ἐν ᾧ πρώτη καί δευτέρα καθεξῆς αἱ ἑπτά ἀνακυκλοῦσαι τάς ἑβδομάδας ἀποτελοῦσι, πολλάς ἐν τούτῳ τάς πρώτας καί τοσαύτας τάς ἑβδόμους ἀπεργαζομένας ἡμέρας, ἀλλ᾽ ἔξωθεν τούτων ἐκείνην εἶναι ἐχρῆν ὡς ἀρχήν ἤ τέλος μή ἔχουσαν. Οὐδέ γάρ νῦν μέν οὐκ ἔστι, μέλλει δέ γενέσθαι καί ἀρχήν λήψεσθαι· ἀλλά καί ἦν πρό τῶν αἰώνων καί ἔστι νῦν καί ἔσται εἰς αἰῶνας αἰώνων, ἀρχήν δέ λαβεῖν λέγεται, ὅτε πάντως ἐλεύσεται καί ἡμῖν ἐσχάτως ἀποκαλυφθῇ ἀνέσπερος μία ἡμέρα καί ἀτελεύτητος ἐν τῷ καθ᾽ἡμᾶς γινομένη.

Ὅρα δέ ὅτι οὐδέ γέγραπται· «*Ἐποίησεν ὁ Θεός τόν παράδεισον*», οὐδέ ὅτι «*Εἶπε· Γενηθήτω, καί ἐγένετο*», ἀλλ᾽ ὅτι «*ἐφύτευσεν αὐτόν καί ἐξανέτειλεν ἔτι ἐκ τῆς γῆς ὁ Θεός πᾶν ξύλον ὡραῖον εἰς ὅρασιν καί καλόν εἰς βρῶσιν*», καρπούς παντοδαπεῖς καί ποικίλους ἔχον μήτε φθειρομένους κἄν ὅλως μήτε ἐκλείποντας, ἀλλά νεαρούς ἀεί καί μάλα δή τό ἡδῦνον ἔχοντα καί ἄφραστον τήν ἡδονήν τοῖς πρωτοπλάστοις καί τήν τρυφήν ἐμποιοῦντας. Ἔπρεπε καί γάρ τοῖς ἀφθάρτοις αὐτῶν σώμασιν ἄφθαρτον καί τήν τροφήν ἐπιχορηγεῖσθαι· ὅθεν καί ἄμοχθος ἦν αὐτῶν ἡ διαγωγή καί ἀκάματος ἡ ζωή, ἐν μέσῳ δηλονότι τοῦ παραδείσου, ὅν περιτειχίσας οἱονεί πως ὁ τούτου δημιουργός εἴσοδον ἔθετο αὐτοῖς δι᾽ ἧς εἰσῄεσαν καί ἐξῄεσαν.

## β΄. Περί τῆς παραβάσεως καί τῆς ἐξορίας τοῦ Ἀδάμ.

Τοιγαροῦν καί ἐπλάσθη σῶμα μέν ἔχων ὁ Ἀδάμ ἄφθαρτον, ὑλικόν μέντοιγε καί ὅλον οὔπω πνευματικόν, καί ὡς βασιλεύς ἀθάνατος ἐν ἀφθάρτῳ κόσμῳ, οὐ λέγω μόνῳ τῷ παραδείσῳ, ἀλλ᾽ ἐν πάσῃ τῇ ὑπ᾽ οὐρανόν, κατέστη ὑπό τοῦ δημιουργοῦ Θεοῦ. Ἐπεί δέ καί νόμον αὐτοῖς δέδωκεν ἐντειλάμενος μή φαγεῖν ἐκ μόνου τοῦ ξύλου ἐκείνου, καταφρονήσας δέ ἠπίστευσε τῷ πλαστουργῷ καί δεσπότῃ οὕτως εἰπόντι αὐτῷ· «*Ἧ δ᾽ ἄν ἡμέρᾳ φάγησθε ἀπ᾽ αὐτοῦ, θανάτῳ ἀποθανεῖσθε*», πιστότερον τόν σκολιόν ἡγησάμενος ὄφιν οὕτως εἰπόντα· «*Οὐχί θανάτῳ ἀποθανεῖσθε, ἀλλ᾽ ᾗ δ᾽ ἄν ἡμέρᾳ φάγητε, ἔσεσθε ὡς θεοί γινώσκοντες καλόν καί πονηρόν· καί ἔφαγεν ἀπ᾽ αὐτοῦ*», εὐθύς ἐγυμνώθη τῆς ἀφθάρτου καταστολῆς καί δόξης καί τῆς φθορᾶς γυμνότητα ἐνεδύσατο. Ἰδών οὖν ἑαυτόν γυμνόν ὁ Ἀδάμ ἐκρύβη καί φύλλα συκῆς ῥάψας περιεζώσατο, τήν ἀσχημοσύνην αὐτοῦ καλύψαι πειρώμενος. Ὅθεν καί τοῦ Θεοῦ εἰπόντος αὐτῷ· «*Ἀδάμ, ποῦ εἶ;*», «*Τῆς φωνῆς σου*» φησίν «*ἤκουσα καί τήν γύμνωσίν μου κατανοήσας, φοβηθείς ἐκρύβην*». Πρός μετάνοιαν δέ αὐτόν ἐκκαλούμενος ὁ Θεός φησι πρός αὐτον· «*Καί τίς ἀνήγγειλέ σοι ὅτι γυμνός εἶ, εἰ μή ἀπό τοῦ ξύλου οὗ ἐνετειλάμην σοι τούτου μόνου μή φαγεῖν, ἀπ᾽ αὐτοῦ ἔφαγες;*». Ἐπεί δέ εἰπεῖν ἐκεῖνος τό ἥμαρτον οὐκ ἠθέλησε, τοὐναντίον μᾶλλον μέν οὖν καί αἰτίαν προσῆψε τῷ πάντα καλά λίαν πεποιηκότι Θεῷ ἐν τῷ εἰπεῖν· «*Ἡ γυνή ἥν δέδωκάς μοι, αὕτη ἔδωκέ μοι καί ἔφαγον*», κἀκείνη πάλιν τῷ ὄφει τήν αἰτίαν ἐπεγράψατο καί μετανοῆσαι καί προσπεσεῖν τῷ Δεσπότῃ ἤ συγχώρησιν ἐξαιτήσασθαι οὐδαμῶς ἠβουλήθησαν, τότε αὐτούς, ὥσπερ ἐκ παλατίων βασιλικῶν καί οἴκων πανευπρεπῶν, αὐτοῦ δή λέγω τοῦ παραδείσου, ἐξωθεῖ καί ἐκβάλλει, ἵνα ἐν ταύτῃ τῇ γῇ ὡς ἐξόριστοι διατελῶσι καί ὑπερόριοι.

«*Καί εὐθύς ἔταξε τήν φλογίνην ῥομφαίαν τοῦ φυλάττειν τήν εἴσοδον τοῦ ξύλου τῆς ζωῆς*», οὐχ ὡς ἐν αὐτῷ μελλόντων πάλιν τῷ αἰσθητῷ τε καί ὑλικῷ παραδείσῳ μετά τήν ἀνάκλησιν ἐπανάγεσθαι· οὐδέ γάρ διά τοῦτο μέχρι τοῦ νῦν ἐτηρήθη, οὐδέ τούτου χάριν οὐ κατηράσατο αὐτόν ὁ Θεός, ἀλλά διά τό τύπον αὐτόν ἐπέχειν τῆς μελλούσης ἀκαταλύτου ζωῆς καί εἰκόνα τυγχάνειν τῆς ἀϊδίου βασιλείας τῶν οὐρανῶν· εἰ γάρ μή τοῦτο ἦν, ἐκεῖνον ἔδει καταραθῆναι μᾶλλον, ὡς ἐν αὐτῷ καί τῆς παραβάσεως γενομένης. Ἀλλά τοῦτο μέν οὐ ποιεῖ, τήν δέ λοιπήν ἅπασαν γῆν, ἐπεί, ὡς ἔφαμεν, ἄφθαρτος ἦν καθώς καί ὁ παράδεισος, πάντα αὐτομάτως προσφέρουσα, ἵν μή κἀκεῖθεν ἐξερχόμενος ὁ Ἀδάμ ἄμοχθον ἔχῃ καί αὖθις βίον, κόπων καί ἱδρώτων ἀπηλλαγμένον, προκατηράσατο αὐτήν οὕτως εἰπών· «*Ἐπικατάρατος ἡ γῆ ἐν τοῖς ἔργοις σου· ἐν λύπαις φαγῇ αὐτήν πάσας τάς ἡμέρας τῆς ζωῆς σου· ἀκάνθας καί τριβόλους ἀνατελεῖ σοι καί φαγῇ τόν χόρτον τοῦ ἀγροῦ τόν τοῖς θηρίοις καί τοῖς ἀλόγοις ζῴοις ἀφωρισμένον· ἐν ἱδρῶτι τοῦ προσώπου σου φαγῇ τόν ἄρτον σου, ἕως τοῦ ἐπιστρέψαι σε εἰς τήν γῆν ἐξ ἧς ἐλήφθης, ὅτι γῆ εἶ καί εἰς γῆν ἀπελεύσῃ* ».

Εἰκότως οὖν ἔδει τῷ εἰς φθοράν καί θάνατον κατενεχθέντι διά τῆς παραβάσεως ῥευστήν καί φθαρτήν ὡσαύτως γῆν κατοικεῖν καί τοιαύτης ἀξίως μετέχειν τροφῆς.

Ἐπειδή γάρ ἡ ἄφθονος τρυφή, ἡ ἄφθαρτος καί ἀκάματος διαγωγή, εἰς λήθην τῶν παρά Θεοῦ γεγονότων ἀγαθῶν καί εἰς καταφρόνησιν αὐτόν τῆς δοθείσης ἤγαγεν ἐντολῆς, ἐν κόπῳ κατεδικάσθη δικαίως καί ἱδρῶτι τήν γῆν ἐργάζεσθαι καί οὕτω κατ' ὀλίγον ἐξ αὐτῆς ὡς ὑπό οἰκονόμου τινός κομίζεσθαι τάς τροφάς. Εἶδες πῶς καταραθεῖσα ἡ γῆ πρότερον καί τῆς προτέρας αὐτομάτου βλαστήσεως στερηθεῖσα, οὕτως τόν παραβάτην ἐδέξατο; Οὗ χάριν καί διατί; Ἵνα ἐργαζομένη μέν παρ' αὐτοῦ ἐν ἱδρῶτι καί κόπῳ παρέχῃ τά ἐξ αὐτῆς συμμέτρως φυόμενα εἰς αὐτάρκη χρείαν αὐτῷ, μή ἐργαζομένη δέ μένῃ ἄκαρπος, ἀκάνθας καί τριβόλους μόνον προσφέρουσα. Τοιγαροῦν καί ἐξελθόντα τοῦ παραδείσου αὐτόν πᾶσα ἡ κτίσις, ἡ ὑπό Θεοῦ παραχθεῖσα ἐκ τοῦ μή ὄντος, θεασαμένη, οὐκέτι ὑποταγῆναι τῷ παραβάντι ἐβούλετο· ὁ ἥλιος λάμψαι οὐκ ἤθελεν, ἡ σελήνη φᾶναι οὐκ ἔφερε, τά ἄστρα ὀφθῆναι τούτῳ οὐχ εἵλοντο, αἱ πηγαί βρύειν οὐκ ἔμελλον· οὐκ ἐβούλοντο ῥέειν οἱ ποταμοί, ἐφ' ἑαυτόν ἐμελέτα ὁ ἀήρ συσταλῆναι καί μή δοῦναι τῷ προσκεκρουκότι ἀναπνοήν· τά θηρία καί πάντα τά ζῷα τῆς γῆς, γυμνωθέντα τοῦτον τῆς πρώην θεασάμενα δόξης, καταφρονήσαντα αὐτοῦ, ἐτραχύνθησαν ἅπαντα εὐθύς κατ' αὐτοῦ· ὁ οὐρανός καταπεσεῖν δικαίως ἐπ' αὐτόν οἱονεί πως κεκίνητο καί ἡ γῆ ἐπί τοῦ νώτου φέρειν τοῦτον οὐκ ἔστεγε.

Τί οὖν; Ὁ δημιουργήσας τά πάντα καί πλάσας τοῦτον Θεός, παραβῆναι μέλλοντα πρό καταβολῆς κόσμου γινώσκων τήν ἐντολήν τόν Ἀδάμ καί τήν ἐκ παλιγγενεσίας αὐτοῦ ζωήν καί ἀνάπλασιν διά τῆς ἐνσάρκου γεννήσεως τοῦ μονογενοῦς αὐτοῦ Υἱοῦ καί Θεοῦ προορίσας, τί ποιεῖ; Συγκρατεῖ πάντα τῇ οἰκείᾳ δυνάμει καί εὐσπλαγχνίᾳ καί ἀγαθότητι, ἀναστέλλει τήν ὁρμήν τῶν κτισμάτων ἁπάντων, εὐθύς καί τούτῳ τά πάντα ὡσαύτως καθυποτάττει, ἵνα τῷ δι' οὗ γέγονεν ἀνθρώπῳ δυλεύσασα, φθαρτῷ φθαρτή γεγονυῖα, ὅτε πάλιν ἐκεῖνος ἀνακαινισθῇ καί πνευματικός, ἄφθαρτος καί ἀθάνατος γένηται, τότε καί αὐτήν ἐλευθερωθεῖσα τῆς δουλείας ἡ κτίσις ἡ ὑπό τοῦ Θεοῦ τῷ προσκεκρουκότι ὑποταγεῖσα καί αὐτῷ ἐκδουλεύσασα συνανακαινισθῇ αὐτῷ καί ἀφθαρτωθῇ καί πνευματική ὅλη γένηται· τοῦτο γάρ πρό καταβολῆς κόσμου ὁ πολυεύσπλαχνος Θεός καί Κύριος προωρίσατο.

Ἀλλά τούτων οὕτω σοφῶς ἐκ Θεοῦ γεγονότων, τοῦ παραδείσου ἐκβληθείς ὁ Ἀδάμ ἐτέκνωσεν, ἐβίωσε καί ἀπέθανεν· οὕτω δέ ὁμοίως καί οἱ ἐξ αὐτοῦ. Τοίνυν καί νεαράν τήν μνήμην ἔχοντες οἱ τότε ἄνθρωποι τῆς ἐκπτώσεως, ὑπό τοῦ Ἀδάμ καί τῆς Εὔας ταύτην ἐκδιδασκόμενοι, ἐσέβοντο τόν Θεόν καί ὡς δεσπότην ἐτίμων αὐτόν. Διά δή τοῦτο καί ὁ Ἄβελ σύν τῷ Κάϊν θυσίας ἐκ τῶν ὑπαρχόντων αὐτοῖς αὐτῷ προσέφερον· ὅθεν καί ἐπί μέν τοῦ Ἄβελ τῇ προσφορᾷ καί θυσίᾳ προσεσχηκέναι τόν Θεόν γέγραπται, ἐπί δέ τοῦ Κάϊν οὐκέτι· καί τοῦτο γνόντα τόν Κάϊν λυπηθῆναι λέγεται ἕως θανάτου καί ἐντεῦθεν πρός φθόνον καί φόνον τοῦ ἀδελφοῦ προχωρῆσαι. Ἀλλ' Ἐνώχ μέν μετά ταῦτα εὐαρεστήσας Θεῷ ὑπ' αὐτοῦ μετετέθη, Ἠλίας δέ ἐν ἅρματι ἀνελήφθη πυρός, τοῦ Θεοῦ δεικνύντος ἐκ τούτων ὅτι, εἰ μετά τήν ἀπόφασιν τήν κατά τοῦ Ἀδάμ καί τοῦ σπέρματος αὐτοῦ ἐξενεχθεῖσαν, εἰ μετά τό ἐξόριστον αὐτόν παρ' αὐτοῦ γενέσθαι τούς εὐαρεστήσαντας αὐτοῦ υἱούς οὕτως τῇ μεταθέσει καί μακροζωΐα ἐτίμησε καί τῆς

φθορᾶς, ἤτοι τῆς εἰς γῆν ἀποστροφῆς καί τῆς ἐν τῷ ᾅδη καταβάσεως, αὐτούς ἠλευθέρωσεν ὕστερον τεθνήξεσθαι ἤ, ἀληθέστερον εἰπεῖν, ἀλλαγήσεσθαι μέλλοντας, πόσης ἄν αὐτόν ἐκεῖνον, εἰ μή παρέβη τήν ἐντολήν, ἤ καί μετά τό παραβῆναι εἰ μετενόησε, δόξης καί τιμῆς καί συμπαθείας ἠξίωσεν ἔνδον ἐάσας εἶναι τοῦ παραδείσου αὐτόν;

Οὕτως οὖν ἐπί χρόνους τά περί Θεοῦ κατά διαδοχήν διδασκόμενοι ὑπ᾽ ἀλλήλων τόν ποιητήν αὐτῶν οἱ παλαιοί ἐπεγίνωσκον. Ὕστερον δέ πληθυνθέντων τῶν ἀνθρώπων καί τήν ἑαυτῶν διάνοιαν ἐκ νεότητος ἐπί τά πονηρά ἐκδεδωκότων, εἰς λήθην καί ἄγνοιαν τοῦ πεποιηκότος αὐτούς Θεοῦ κατηνέχθησαν καί οὐ μόνον εἴδωλα καί δαίμονας ὡς θεούς ἐσεβάσθησαν, ἀλλά καί αὐτήν τήν κτίσιν τήν εἰς ὑπηρεσίαν αὐτῶν ὑπό τοῦ Θεοῦ δοθεῖσαν αὐτοῖς θεοποιήσαντες, ταύτῃ ἐλάτρευσαν, εἰς πᾶσάν τε ἀσέλγειαν καί ἀκάθαρτον πρᾶξιν ἑαυτούς ἐκδεδώκασι καταμιάναντες τήν γῆν, τόν ἀέρα, τόν οὐρανόν καί τά ὑπ᾽ αὐτόν ἅπαντα ταῖς πράξεσι ταῖς ἀτόποις αὐτῶν. Οὐδέν γάρ ἕτερον τῶν ἄλλων ἁπάντων οὕτω μιαίνει καί ἀκάθαρτον τό καθαρόν ἔργον ἀπεργάζεται τοῦ Θεοῦ, ὡς τό θεοποιηθῆναι αὐτό τοῦτο καί λατρευθῆναι ἴσα καί θεῷ παρά τόν πεποιηκότα καί κτίσαντα. Τοιγαροῦν καί πᾶσα ἡ κτίσις παρά τῶν ἀνθρώπων θεοποιηθεῖσα καί προσκυνηθεῖσα κατερρυπώθη καί εἰς τελείαν κατήχθη φθοράν· ὅτε δέ ὁ κολοφών ἐπληρώθη τῆς ἄγαν κακίας καί εἰς ἀπείθειαν ἅπαντες συνεκλείσθησαν, κατά τόν θεῖον Ἀπόστολον, τότε κατῆλθεν ἐπί γῆς ὁ Υἱός τοῦ Θεοῦ καί Θεός ἀναπλάσαι τόν συντριβέντα, ζωοποιῆσαι τόν τεθανατωμένον καί τό ἑαυτοῦ πλάσμα ἐκ τῆς πλάνης ἀνακαλέσασθαι.

Ἀλλά προσέχετε, παρακαλῶ, τῇ ἀκριβείᾳ τοῦ λόγου· ἔσται γάρ ἡμῖν τε ὠφέλιμος ὁ λόγος καί ταῖς μετέπειτα γενεαῖς. Χρεών δέ ἐξ εἰκόνος τινός τήν τοῦ Λόγου σάρκωσιν καί τήν ἐκ τῆς ἀειπαρθένου Μαρίας ἀπόρρητον γέννησιν αὐτοῦ θεωρῆσαι καί γνῶναι καλῶς τό τῆς οἰκονομίας ἐκεῖθεν μυστήριον τό ἀποκεκρυμμένον πρό τῶν αἰώνων εἰς σωτηρίαν τοῦ γένους ἡμῶν.

## γ΄. Περί τῆς τοῦ Λόγου σαρκώσεως καί κατά τίνα τρόπον δι' ἡμᾶς ἐσαρκώθη.

Καθάπερ οὖν ἐν τῇ πλάσει πάλαι τῆς προμήτορος Εὔας τήν τοῦ Ἀδάμ πλευράν ἐψυχωμένην ἔλαβεν ὁ Θεός καί εἰς γυναῖκα ταύτην ἀνῳκοδόμησε - διά τοῦτο γάρ οὐδέ ἐνεφύσησεν εἰς αὐτήν ὡς εἰς τόν Ἀδάμ πνοήν ζωῆς, ἀλλά τό μέρος, ὅ ἐκ τῆς σαρκός αὐτοῦ εἴληφεν, εἰς σῶμα γυναικός ὁλόκληρον ἀπετέλεσε· καί τήν ἀπαρχήν τοῦ πνεύματος, ἥν σύν τῇ ἐμψυχωμένῃ σαρκί εἴληφεν, εἰς ψυχήν ζῶσαν τελείαν πεποίηκε, τά ἀμφότερα ἄνθρωπον ἐργασάμενος ἅμα - , τόν αὐτόν δή τρόπον καί ἐκ τῆς ἁγίας θεοτόκου καί ἀειπαρθένου Μαρίας ἐψυχωμένην σάρκα λαβών ζύμην οἱονεί καί μικράν ἀπαρχήν ἐκ τοῦ φυράματος τῆς φύσεως ἡμῶν, ἤτοι ἐκ τῆς ψυχῆς ὁμοῦ καί τοῦ σώματος, ὁ πλαστουργός καί κτίστης Θεός ἥνωσε τῇ ἑαυτοῦ ἀκαταλήπτῳ καί ἀπροσίτῳ θεότητι, μᾶλλον δέ τῇ ἡμετέρᾳ οὐσίᾳ ὅλην τῆς θεότητος αὐτοῦ τήν ὑπόστασιν ἑνώσας οὐσιωδῶς, ἀμίκτως τε μίξας αὐτήν ἐκείνῃ, τήν ἀνθρωπίνην τῇ ἑαυτοῦ, ᾠκοδόμησε ταύτην εἰς ναόν ἅγιον ἑαυτῷ καί ἀναλλιώτως καί ἀτρέπτως αὐτός ὁ τοῦ Ἀδάμ ποιητής τέλειος ἐγένετο ἄνθρωπος.

Ὥσπερ γάρ ἐκ τῆς ἐκείνου πλευρᾶς τήν γυναῖκα ἐποίησε, καθά πρόσθεν εἰρήκαμεν, οὕτως ἐκ τῆς αὐτοῦ θυγατρός Μαρίας τῆς ἀειπαρθένου καί θεοτόκου σάρκα δανεισάμενος καί ἀναλαβών ἄνευ σπορᾶς ὁμοίως ἐγεννήθη τῷ πρωτοπλάστῳ, ἵνα καθάπερ ἐκεῖνος διά τῆς παραβάσεως ἀρχή τῆς ἐν φθορᾷ καί θανάτῳ γενέσεως ἡμῶν ἐχρημάτισεν, οὕτως ὁ Χριστός καί Θεός διά τῆς ἐκπληρώσεως ἁπάσης δικαιοσύνης ἀπαρχή τῆς ἐν ἀφθαρσίᾳ ἀναπλάσεως καί ἀθανασίας ἡμῶν γένηται. Τοῦτο γάρ βούλεται καί Παῦλος οὕτω λέγων ὁ θεῖος· «*Ὁ πρῶτος ἄνθρωπος ἐκ γῆς χοϊκός, ὁ δεύτερος ἄνθρωπος ὁ Κύριος ἐξ οὐρανοῦ· οἷος ὁ χοϊκός, τοιοῦτοι καί οἱ χοϊκοί· καί οἷος ὁ ἐπουράνιος, τοιοῦτοι καί οἱ ἐπουράνιοι*». Καί πάλιν· «*Ἀπαρχή Χριστός, ἔπειτα οἱ τοῦ Χριστοῦ*». Ἐπειδή γάρ ψυχῇ καί σώματι τέλειος ἐχρημάτισεν ἄνθρωπος ὅμοιος ἡμῶν κατά πάντα πλήν ἁμαρτίας, διά τῆς εἰς αὐτόν πίστεως μεταδιδούς ἡμῖν ἐκ τῆς αὐτοῦ θεότητος, συγγενεῖς καί ἡμᾶς αὐτοῦ κατά τήν τῆς θεότητος αὐτοῦ φύσιν καί οὐσίαν ἐργάζεται. Καί ὅρα μοι τοῦ μυστηρίου τό καινόν καί παράδοξον. Ἔλαβεν ὁ Θεός Λόγος ἥν κατά φύσιν οὐκ εἶχε σάρκα καί ἐγένετο ἄνθρωπος, ὅπερ οὐκ ἦν· μεταδίδωσι τοῖς πιστεύουσιν εἰς αὐτόν τῆς αὐτοῦ θεότητος, ἥν οὐδείς οὐδέπω ἀγγέλων ἤ ἀνθρώπων ἐκτήσατο, καί γίνονται θεοί, ὅπερ οὐκ ἦσαν, θέσει καί χάριτι· οὕτω γάρ χαρίζεται αὐτοῖς ἐξουσίαν τοῦ υἱούς Θεοῦ γίνεσθαι, διό καί ἐγένοντο καί ἀεί ὡσαύτως γίνονται καί οὐδέποτε τοῦ μή γίνεσθαι λήξουσι. Καί ἄκουε Παύλου τοῦτο παραινοῦντος τοῦ θείου· «*Καί καθώς ἐφορέσαμεν τήν εἰκόνα τοῦ χοϊκοῦ, φορέσομεν καί τήν εἰκόνα τοῦ ἐπουρανίου*». Καί ταῦτα μέν περί τούτων· ἐχέσθω δέ καί αὖθις τῆς ἀκολουθίας ὁ λόγος.

Ἐπειδή γάρ διά τῆς σωματικῆς παρουσίας αὐτοῦ ὁ ἐπί πάντων Θεός τοῦ ἀναπλάσαι καί ἀνακαινίσαι τόν ἄνθρωπον ἐλήλυθεν ἐπί γῆς καί τήν δι' αὐτόν καταραθεῖσαν ἅπασαν κτίσιν ἐπευλογῆσαι, ἄκουε νουνεχῶς! Πρῶτον μέν τήν ψυχήν ἥν ἀνέλαβεν ἐζώωσε καί

ἀφθαρτώσας ἐθεοποίησε, τό δέ ἄχραντον αὐτοῦ καί θεῖον σῶμα, εἰ καί ἐθέωσεν, ἀλλ' ἔτι φθαρτόν αὐτό καί ὑλικόν περιέφερε. Τό γάρ ἐσθίον καί πῖνον, τό κοπιοῦν καί ἱδρῶτας φέρον, τό δεσμούμενον καί τυπτόμενον, ἐπί σταυροῦ τε ἀναρτώμενον καί καθηλούμενον, φθαρτόν ἐστι δηλονότι καί ὑλικόν· ταῦτα γάρ ἅπαντα φθαρτοῦ σώματος ἰδιώματα καθεστήκασιν, ὅθεν καί ἀπέθανεν καί ἐν μνημείῳ κατετέθη νεκρός. Μετά δέ τό ἀναστῆναι ἄφθαρτον, καί αὐτό τό σῶμα πνευματικόν, θεῖον πάντῃ και ἄϋλον, συνανέστησεν· ἔνθεν τοι οὐδέ τάς σφραγῖδας τοῦ μνήματος ἔλυσεν ἐξελθών, ἀλλά καί τῶν θυρῶν κεκλεισμένων ἀκωλύτως εἰσήρχετο καί ἐξήρχετο. Διατί δέ οὐκ εὐθύς σύν τῇ ψυχῇ καί τό σῶμα ὅπερ ἀνέλαβε πνευματικόν καί ἄφθαρτον ἀπειργάσατο; Ἐπειδή φαγών καί ὁ Ἀδάμ ἐκ τοῦ ξύλου, οὗ ἐνετείλατο αὐτῷ ὁ Θεός μή φαγεῖν, εὐθύς μέν τόν τῆς ψυχῆς παραβάς ἀπέθανε θάνατον, τόν δέ τοῦ σώματος μετά πολλούς ὕστερον ἐνιαυτούς, καί διά τοῦτο τήν τό ἐπιτίμιον δεξαμένην ψυχήν τῆς τοῦ θανάτου τιμωρίας πρῶτον ἀνέστησέ τε καί ἐζώωσε καί ἐθέωσεν, εἶθ' οὕτως τό σῶμα, κατά τήν πάλαι ἐξενεχθεῖσαν ἀπόφασιν ἀποστρέφειν διά τοῦ θανάτου εἰς γῆν, τήν ἀφθαρσίαν διά τῆς ἀναστάσεως ἀπολαβεῖν ᾠκονόμησεν· οὐ μόνον δέ, ἀλλά κατελθών ἐν τῷ ᾅδῃ, τῶν μέν ἐκεῖσε κατεχομένων ἁγίων τάς ψυχάς τῶν αἰωνίων ἐλευθερώσας δεσμῶν ἐξανέστησε καί εἰς τόπον ἀναπαύσεως καί φωτός ἀνεσπέρου κατέταξε, τά δέ σώματα αὐτῶν οὐκέτι, ἀλλ' εἴασεν αὐτά ἐν σοροῖς μέχρι τῆς κοινῆς ἀναστάσεως.

Τό γοῦν μυστήριον τοῦτο οὐ μόνον τῷ ῥηθέντι τρόπῳ γέγονεν ἀπ' ἀρχῆς Χριστοῦ ἐν ὅλῳ τῷ κόσμῳ, ἀλλά καί ἐφ' ἑνί ἑκάστῳ τῶν πάλαι ἁγίων ἐγένετο καί μέχρι τοῦ νῦν ἀεί γίνεται. Λαμβάνοντες γάρ τό τοῦ Δεσπότου ἡμῶν καί Θεοῦ Πνεῦμα, συμμέτοχοι αὐτοῦ τῆς θεότητος καί τῆς οὐσίας γινόμεθα· ἐσθίοντες δέ τήν παναμώμητον αὐτοῦ σάρκα, τά θεῖα λέγω μυστήρια, σύσσωμοι αὐτοῦ καί συγγενεῖς ἐν ἀληθείᾳ ὁλοκλήρως γινόμεθα, καθώς καί αὐτός ὁ θεῖος Παῦλός φησιν ὅτι «*ὀστοῦν ἐσμεν ἐκ τῶν ὀστέων αὐτοῦ καί σάρξ ἐκ τῆς σαρκός αὐτοῦ*» καί πάλιν, ὅτι «*ἐκ τοῦ πληρώματος αὐτοῦ τῆς θεότητος, ἡμεῖς, δηλονότι πάντες, ἐλάβομεν καί χάριν ἀντί χάριτος*». Τοῦτο δέ γινόμενοι, ὅμοιοι αὐτῷ τῷ φιλανθρώπῳ Θεῷ καί Δεσπότῃ ἡμῶν κατά χάριν γινόμεθα, ἀνακαινιζόμενοι καί ἀνανεούμενοι τήν ψυχήν, ἀφθαρτοποιούμενοί τε καί ὡς ἐκ νεκρῶν ζῶντες ἐξανιστάμενοι, αὐτόν δηλαδή τόν ὅμοιον ἡμῖν γενέσθαι καταξιώσαντα βλέποντες καί βλεπόμενοι ὑπ' αὐτοῦ οἱ ἀξιωθέντες ὅμοιοι γενέσθαι αὐτῷ, ὡς εἴ τις ἀπό μακρόθεν πρόσωπον φίλου αὐτοῦ καθορᾷ καί διαλέγεται αὐτῷ καί προσομιλεῖ καί φωνῆς ἀκούει αὐτοῦ.

Οὕτω τοιγαροῦν οἱ ἀπ' αἰῶνος ἅγιοι, οἱ πάλαι τε καί νῦν πνευματικῶς βλέποντες, οὐ σχῆμα ἤ εἶδος ἤ ἐκτύπωμα βλέπουσιν, ἀλλά φῶς ἀσχημάτιστον, ὡς καί αὐτοί φῶς ἐκ τοῦ φωτός Πνεύματος χρηματίζοντες. Τοιοῦτος δέ ἕκαστος τῶν ἁγίων γινόμενος, οὐχί καί τό σῶμα αὐτοῦ εὐθύς ἄφθαρτον καί πνευματικόν γίνεται, ἀλλά καθάπερ σίδηρος ὑπό τοῦ πυρός ἐκπυρούμενος τῆς λαμπρότητος μέν αὐτοῦ μεταλαμβάνει καί τήν μελανίαν εὐθύς ἀποβάλλεται, χωριζόμενος δέ πάλιν τοῦ πυρός ψυχρός καί μέλας καθορᾶται καί γίνεται, οὕτω δή καί τά σώματα τῶν ἁγίων ὑπό τῆς ἑνωθείσης τῇ ψυχῇ αὐτῶν χάριτος, ἤτοι τοῦ

θείου πυρός μταλαμβάνοντα, ἁγιάζονται καί ἐκπυρούμενα διαυγῆ καί αὐτά γίνονται καί πολύ τῶν ἄλλων σωμάτων διαφορώτερα καί τιμιώτερα ἀποκαθίστανται. Ἐπειδάν δέ ἡ ψυχή ἐξέλθῃ καί τοῦ σώματος χωρισθῇ, εὐθύς καί αὐτά τῇ φθορᾷ παραδίδονται καί ἐκ τοῦ κατά μικρόν διαλύονται· τά δέ καί ἐπί πολλούς χρόνους διαμένουσι, μήτε ἄφθαρτα μένοντα παντελῶς, μήτε πάλιν τελείως φθειρόμενα, ἀλλά καί τῆς ἀφθαρσίας καί τῆς φθορᾶς τά γνωρίσματα ἐν ἑαυτοῖς διασῴζουσιν, εἰς τήν τελευταίαν ἐξανάστασιν ἀφθαρτωθῆναι τελείως καί καί ἀνακαινισθῆναι τηρούμενα.

Τίνος οὖν ἕνεκεν καί διά τι; Ὅτι οὐκ ἔπρεπε πρό τῆς τῶν κτισμάτων ἀνακαινίσεως τά τῶν ἀνθρώπων ἀναστήσεσθαι καί ἀφθαρτωθήσεσθαι σώματα, ἀλλ’ ὥσπερ αὕτη παρήχθη πρῶτον ἄφθαρτος, ἔπειτα ὁ ἄνθρωπος, ὕστερον, οὕτω πάλιν πρῶτον τήν κτίσιν ἀπό τῆς φθορᾶς εἰς τήν ἀφθαρσίαν χρή μεταποιηθῆναι, εἴτ’ οὖν ἀλλαγῆναι, καί οὕτω σύν αὐτῇ καί ἅμα αὐτῇ καί τά φθαρέντα σώματα τῶν ἀνθρώπων ἀνακαινισθῆναι, ἵνα καί αὖθις πνευματικός καί ἀθάνατος ὁ ἄνθρωπος γεγονώς ἐν ἀφθάρτῳ χωρίῳ καί ἀϊδίῳ καί πνευματικῷ κατοικῇ. Καί ὅτι τοῦτό ἐστιν ἀληθές, ἄκουε Πέτρου λέγοντος τοῦ ἀποστόλου· «*Ἥξει δέ ἡ ἡμέρα Κυρίου ὡς κλέπτης ἐν νυκτί, ἐν ᾗ οὐρανοί πυρούμενοι λυθήσονται καί στιχεῖα καυσούμενα τήκεται*», οὐχ ὡς ἀπολλυμένων τούτων, ἀλλ’ ὡς ἀναχωνευομένων δηλονότι καί ἀναστοιχειουμένων εἰς κρείττονά τε καί ἀΐδιον λῆξιν. Πόθεν τοῦτο δῆλον; Ἐξ αὐτῶν πάλιν τῶν ῥημάτων τοῦ ἀποστόλου, δι’ ὧν ἐπιφέρει λέγων· «*Καινούς δέ οὐρανούς καί καινήν γῆν κατά τό ἐπάγγελμα αὐτοῦ προσδοκῶμεν*». Κατά ποῖον καί τίνος ἐπάγγελμα; Κατά τό τοῦ Χριστοῦ πάντως καί Θεοῦ ἡμῶν εἰπόντος· «*Ὁ οὐρανός καί ἡ γῆ παρελεύσεται, οἱ δέ λόγοι μου οὐ μή παρέλθωσιν*». Παρέλευσιν τοῦ οὐρανοῦ τήν ἐναλλαγήν αὐτοῦ εἰρηκώς, κἄν γάρ ὁ οὐρανός, φησίν, ἀλλαγήσεται, ἀλλ’ οἱ ἐμοί λόγοι τό ἀναλλοίωτον καί πάγιον ἕξουσι. Τοῦτο γάρ καί ὁ προφήτης Δαυίδ προανακέκραγε οὕτως εἰπών· «*Καί ὡσεί περιβόλαιον ἐλίξεις αὐτούς καί ἀλλαγήσονται· σύ δέ ὁ αὐτός εἶ καί τά ἔτη σου οὐκ ἐκλείψουσι*». Τί τοίνυν τῶν λόγων τούτων σαφέστερον γένοιτ’ ἄν;

Ἀλλά σκοπήσωμεν πῶς ἡ κτίσις ἀνακαινισθήσεται καί εἰς τό ἀρχαῖον ἀποκατασταθήσεται κάλλος.

## δ΄. Πῶς αὖθις ἡ κτίσις μέλλει πᾶσα ἀνακαινισθῆναι καί γενέσθαι καινούς οὐρανούς καί καινήν γῆν κατά τόν θεῖον Ἀπόστολον.

Καινούς τοιγαροῦν οὐρανούς καί καινήν γῆν ἐπαγγειλαμένου αὐτοῦ, οὐδείς ἀντερεῖ τῶν πιστῶν· οὐδέ μήν ἄρα τῷ Κυρίῳ ταῦτα λέγοντι ἀπιστήσει. Καθάπερ γάρ τά ἡμέτερα λυόμενα σώματα οὐκ εἰς τό μηδαμῇ μηδαμῶς εἶναι χωρεῖ, ἀλλά πάλιν διά τῆς ἀναστάσεως ἀνακαινίζεται, οὕτω δή καί ὁ οὐρανός καί ἡ γῆ καί τά ἐν αὐτῇ πάντα, ἤγουν πᾶσα ἡ κτίσις, ἀνακαινισθήσεται καί ἐλευθερωθήσεται ἀπό τῆς δουλείας τῆς φθορᾶς καί· καί συμμεθέξει τά στοιχεῖα ταῦτα μεθ' ἡμῶν τῆς ἐκεῖθεν λαμπρότητος καί ὅν τρόπον ἅπαντας ἡμᾶς τό πῦρ δοκιμάσει, κατά τόν θεῖον ἀπόστολον, οὕτως καί ἡ κτίσις πᾶσα διά πυρός ἀνακαινισθήσεται. Καί τοῦτο, δι' ὧν ὁ ἀπόστολος Πέτρος γράφει, μαθεῖν ἐστιν· «*Ἥξει γάρ, φησίν, ἡ ἡμέρα Κυρίου ὡς κλέπτης ἐν νυκτί, ἐν ᾗ οὐρανοί ῥοιζηδόν παρελεύσονται, στοιχεῖα δέ καυσούμενα λυθήσονται καί γῆ καί τά ἐν αὐτῇ ἔργα κατακαήσεται*». Ὁρᾷς πῶς διά πυρός λέγει τά πάντα ἀναχωνευθήσεσθαι καί ἀλλοιωθήσεσθαι; Διό καί ἐπιφέρων φησί· «*Τούτων οὖν πάντων λυομένων, ποταπούς δεῖ ὑπάρχειν ἡμᾶς ἐν ἁγίαις ἀναστροφαῖς καί εὐσεβείαις*»; Λυθήσονται δέ ἄρα πῶς; Ὥσπερ σκεῦος χαλκοῦν πεπαλαιωμένον, ῥυπωθέν καί ἀχρειωθέν ὑπό ἰοῦ, τῷ πυρί παραδίδοται ὑπό τοῦ τεχνίτου καί οὕτως ἀναχωνευόμενον καινόν ὑπ' αὐτοῦ πάλιν κατασκευάζεται, τόν αὐτόν τρόπον καί ἡ κτίσις, ἐπεί ἐπαλαιώθη καί ὑπό τῶν ἁμαρτιῶν ἡμῶν ἐρρυπώθη, ὑπό τοῦ δημιουργοῦ τῶν ὅλων διά πυρός λυθήσεται, εἶτ' οὖν ἀναχωνευθήσεται καί ἀναστοιχειωθήσεται καί λαμπρά καί καινοτέρα ἀσυγκρίτως τῆς νυνί ὁρωμένης γενήσεται.

Οὕτως δέ περί τούτων τοῦ ἀποστόλου γράψαντος Πέτρου, μετ' ὀλίγα πάλιν φησί· «*Διό, ἀγαπητοί, ταῦτα προσδοκῶντες σπουδάσατε ἄσπιλοι εὑρεθῆναι ἐν εἰρήνῃ καί τήν τοῦ Κυρίου ἡμῶν μακροθυμίαν σωτηρίαν ἡγεῖσθε, καθώς καί ὁ ἀγαπητός ἡμῶν ἀδελφός Παῦλος κατά τήν αὐτῷ δοθεῖσαν σοφίαν ἔγραψεν ὑμῖν, ὡς καί ἐν πάσαις ταῖς ἐπιστολαῖς λαλῶν ἐν αὐταῖς περί τούτων, ἐν οἷς ἐστι δυσνόητά τινα, ἅ οἱ ἀμαθεῖς καί ἀστήρικτοι στρεβλοῦσιν ὡς καί τάς λοιπάς γραφάς πρός τήν ἰδίαν αὐτῶν ἀπώλειαν*»· Τοῦτο δέ οὐχ οἱ τότε μόνον, ἀλλά καί νῦν οἱ πλεῖστοι ἤ καί οἱ πάντες σχεδόν εἰπεῖν πάσχομεν ἐξ ἀγνοίας, πάντα συγχέοντες, πάντα τά τῆς θείας Γραφῆς πρός τήν ἀπώλειαν ἡμῶν στρεβλοῦντες ἤγουν παρερμηνεύοντες, συνηγόρους οἱονεί τῶν ἰδίων παθῶν καί ἐπιθυμιῶν καί τῆς ἀπωλείας ἡμῶν σπουδάζοντες ἔχειν καί ποιεῖν τάς θείας Γραφάς.

Ἀλλ' ἴδωμεν τί καί Παῦλος ὁ θεῖός φησι περί τῆς κτίσεως καί τοῦ ταύτης ἀνακαινισμοῦ· εἰπών τοίνυν· «*Λογίζομαι ὅτι οὐκ ἄξια τά παθήματα τοῦ νῦν καιροῦ πρός τήν μέλλουσαν δόξαν ἀποκαλυφθῆναι εἰς ἡμᾶς*», ἐπήγαγεν· «*Ἡ γάρ ἀποκαραδοκία τῆς κτίσεως τήν ἀποκάλυψιν τῶν υἱῶν τοῦ Θεοῦ ἀπεκδέχεται*». Ἀποκαραδοκίαν τήν προσδοκίαν, τήν σφοδράν ἐπιθυμίαν φησίν, ἀποκάλυψιν δέ τήν ἐν τῇ ἀναστάσει φανέρωσιν· ἐν ταύτῃ γάρ διά τῆς τοῦ Χριστοῦ καί Θεοῦ παρουσίας φανερωθῆναι δεῖ τούς υἱούς τοῦ Θεοῦ καί φανῆναι τό κάλλος αὐτῶν καί αὐτούς ὅλους οἷοί εἰσι, καθώς

γέγραπται· «*Τότε λάμψουσιν οἱ δίκαιοι ὡς ὁ ἥλιος*», οἱ τοῦ δικαίου Θεοῦ υἱοί δηλονότι. Ἵνα δέ μή ὑπολάβῃς ἑτέραν τινά κτίσιν τόν θεῖον λέγειν ἀπόστολον, ἐπιφέρων φησί· «*Τῇ γάρ ματαιότητι ἡ κτίσις ὑπετάγη, οὐχ ἑκοῦσα, ἀλλά διά τόν ὑποτάξαντα, ἐπ᾽ ἐλπίδι*».

Ὁρᾷς ὅπως οὐκ ἀπό σκοποῦ ἔφθην εἰπών ὅτι οὐκέτι δουλεῦσαι τῷ παραβάντι Ἀδάμ ἡ κτίσις ἐβούλετο, τοῦτον ἰδοῦσα ἐκπεπτωκότα τῆς θείας δόξης ὡς προσκεκρουκότα Θεῷ τῷ αὐτοῦ ποιητῇ; Διά δή τοῦτο, πρό καταβολῆς κόσμου τήν ἐκ παλιγγενεσίας αὐτοῦ σωτηρίαν ὁ Θεός προορίσας, ὑπέταξεν αὐτῷ τήν κτίσιν, καταρασάμενος ταύτην ἵνα, φθαρτῷ γενομένῳ τῷ δι᾽ ὅν παρήχθη ἀνθρώπῳ, φθαρτή καί αὐτή γένηται, ὡς ἄν φθαρτήν αὐτῷ τήν τροφήν ἐτησίως παρέχῃ· ὁπόταν δέ ἀνακαινίσῃ τόν ἄνθρωπον καί ἄφθαρτον καί ἀθάνατον καί πνευματικόν αὐτόν ἀπεργάσηται, τηνικαῦτα καί αὐτήν ὅλην τήν κτίσιν, φημί, σύν αὐτῷ ἀλλιώσει καί ἀΐδιον ταύτην ἀποτελέσει· τοῦτο γάρ δι᾽ ὧν εἶπεν ἐδήλωσεν· «*Τῇ γάρ ματαιότητι, φησίν, ἡ κτίσις ὑπετάγη, οὐχ ἑκοῦσα, ἀλλά διά τόν ὑποτάξαντα, ἐπ᾽ ἐλπίδι*». Οἷον, οὐκ ἀφ᾽ ἑαυτῆς, φησί, τῇ ἀνθρωπότητι ὑπετάγη, οὐχ ἑκοῦσα εἰς φθοράν μετήχθη καί φθαρτούς προφέρει καρπούς καί βλαστάνει ἀκάνθας ὁμοῦ καί τριβόλους, ἀλλά τῇ τοῦ Θεοῦ πειθαρχοῦσα προστάξει τοῦ ἐπ᾽ἐλπίδι πάλιν ἀνακαινίσεως ταῦτα διορισαμένου. Τοῦτο δέ ποιῆσαι σαφέστερον βουληθείς ἔφη· «*Καί γάρ καί αὐτή ἡ κτίσις ἐλευθερωθήσεται ἀπό τῆς δουλείας τῆς φθορᾶς εἰς τήν ἐλευθερίαν τῆς δόξης τῶν τέκνων τοῦ Θεοῦ*».

Εἶδες πῶς οὐκ ἀπεικός εἴπομεν ὅτι καί ἡ κτίσις αὕτη ἄφθαρτος πᾶσα τό κατ᾽ ἀρχάς καί εἰς παραδείσου τάξιν παρήχθη παρά Θεοῦ, καταραθεῖσα δέ εἰς φθοράν καί δουλείαν μετήχθη, τῇ ματαιότητι τῶν ἀνθρώπων ὑποταγεῖσα. Ὅρα δέ καί οἵα ἔσται ἡ ἐσχάτη λαμπρότης αὐτῆς.

## ε΄. Ὁποία ἔσται καί ἡ ἐσχάτη λαμπρότης τῆς κτίσεως.

Τοιγαροῦν καί ἀνακαινιζομένη, οὐχί οἷα ἐξ ἀρχῆς παρήχθη τοιαύτη καί αὖθις γενήσεται. Μή γένοιτο! Ἀλλά, καθάπερ σπείρεται σῶμα ψυχικόν, ὡς τό λόγιον, καί ἐγείρεται σῶμα οὐχ οἷον τό τοῦ πρωτοπλάστου πρό τῆς παραβάσεως ἦν, ὑλικόν δηλαδή καί αἰσθητόν καί τρεπτόν, δεόμενον τροφῆς αἰσθητῆς, ἀλλά ἐγείρεται σῶμα πνευματικόν ὅλον καί ἄτρεπτον, οἷον τό τοῦ Δεσπότου ἡμῶν καί Θεοῦ μετά τήν ἀνάστασιν ἦν, τοῦ δευτέρου Ἀδάμ δηλονότι καί πρωτοτόκου ἡμῶν γενομένου ἐκ τῶν νεκρῶν, κατά πολύ διαφέρον ἐκείνου, τόν αὐτόν δή τρόπον καί ἡ κτίσις ἅπασα θείῳ γενήσεται νεύματι οὐχ οἵα παρήχθη, ὑλική τε καί αἰσθητή, ἀλλ' εἰς ἄϋλον καί πνευματικόν ὑπέρ πᾶσαν αἴσθησιν ἐν τῇ παλιγγενεσίᾳ μεταποιηθήσεται οἰκηκήριον. Ἄλλως τε δέ καί καθώς ὁ θεῖος Παῦλός φησιν ὅτι «*πάντες μέν οὐ κοιμηθησόμεθα, πάντες δέ ἀλλαγησόμεθα ἐν ἀτόμῳ, ἐν ῥιπῇ ὀφθαλμοῦ*» οὕτω καί ἡ κτίσις ὑπό τοῦ θείου φλεχθεῖσα πυρός ἀλλοιωθήσεται, ὡς ἄν καί τό προφητικόν πληρωθήσεται λόγιον τό οὕτω φάσκον· «*Δίκαιοι δέ κληρονομήσουσι γῆν*», οὐκ αἰσθητήν πάντως, - πῶς γάρ, οἱ πνευματικοί χρηματίζοντες; - ἀλλά πνευματικήν πᾶσαν καί ἄϋλον, ἵνα οἱ ἀσώματα κεκτημένοι τά σώματα καί ὑπέρ αἴσθησιν ἐν αἰσθήσει γενόμενοι, καί ἀπερίγραπτοι ἐν ἀπεριγράπτοις ὄντες οἱ περιγραπτοί, ἄξιον ἔχωσι τῆς ἑαυτῶν δόξης κατοικητήριον.

Τοιγαροῦν καί νόει μοι ἄρτι κόσμον πνευματικόν καί ὑπέρ τήν ἡμῶν αἴσθησιν πέλοντα. Τό οὖν ὑπέρ αἴσθησιν ὄν καί πνευματικόν χρηματίσαν ἄληπτόν ἐστι πάντως τό καθ' ἡμᾶς καί ἀόρατον· τό δέ μήτε ὁρώμενον, μήτε ὅλως κρατούμενον, πῶς κἄν ὅλως ἔσται περιοριστόν παρ' ἡμῖν, ἤ τίς εὖ φρονῶν τοῦτο εἴποιεν; Οὐδείς οὐδαμῶς. Τοιοῦτος τοίνυν ἐστίν ἡμῖν καί ὁ περί τῶν ἀγγέλων λόγος. Καί γάρ καί αὐτοί οἱονεί σωματοί πώς εἰσι καί περιγραπτοί τῇ ἀΰλῳ καί ἀσωμάτῳ φύσει συγκρινόμενοι τῆς θεότητος, καθώς γέγραπται· «*σώματα ἐπουράνια καί σώματα ἐπίγεια*», ὑλικά μέν ταῦτα, ἄϋλα δέ τά ὑπέρ ἡμᾶς· καί ἀλλαχοῦ· «*Ὁ ποιῶν τούς ἀγγέλους αὐτοῦ πνεύματα καί τούς λειτουργούς αὐτοῦ πυρός φλόγα*». Ἐπεί οὖν λειτουργικά εἰσι πνεύματα καί οἱ νόες οἱ ἐπουράνιοι εἰς διακονίαν ἀποστελλόμενα, ὡς δοκεῖ τῇ ἀληθείᾳ καί Παύλῳ τῷ μυσταγωγῷ τῶν τοιούτων, ὅτε πάντως ἄγγελος θεῖος ἄνωθεν καταπεμφθῇ ἐκ Θεοῦ τῷ θείῳ λειτουργήσων προστάγματι ἐπί τῆς γῆς, τάς μέν οὐρανίους χοροστασίας καταλιμπάνει, πρός δέ τά ἐγκόσμια καί ἡμᾶς ὁμολογουμένως γίνεται. Εἰ δέ τοῦτο οὕτως δοκεῖ τῇ καταλήψει τῆς ἀληθείας, περιγραπτός ἐν τούτῳ ὤν δείκνυται καί περιοριστός· πρός γάρ ἐκείνην τήν θείαν καί ἄκτιστον φύσιν, τήν ἀσώματον πάντῃ καί ἀπερίγραπτον, κτιστοί καί περιγραπτοί πέλουσι, πρός δέ τήν ἡμετέραν καί πάντῃ ἀσώματοι, ἄληπτοι καί ἀόρατοι.

Τοιοῦτος καί ὁ περί ψυχῆς ἡμῖν λόγος. Θεῷ γάρ τῷ φύσει ἀσωμάτῳ καί ἀγγέλοις συγκρινομένη, σωματή πως οἱονεί ἐστι καί περιγραπτή, ἀλλά μόνῳ τῷ δεσμεῖν δυναμένῳ ταύτην καί ἐξουσίαν ἔχοντι σύν τῷ σώματι εἰς γέενναν ἐμβαλεῖν πυρός, αἰσθήσει δέ καί ὄψει βροτείᾳ πάντῃ ἀσώματός τε καί ἀκατάληπτος, μή δυναμένη

περιγραφῆναι τόποις ἤ χωρίοις αἰσθητοῖς τό καθόλου. Καί θαυμάσῃ μηδείς ταῦτα ἀκούων, ἐννοούμενος ὅπως καί τῶν θυρῶν κεκλεισμένων ἀοράτως εἰσέρχεσθαι καί ἐξέρχεσθαι γίνεται τούς ἀσωμάτους ἀγγέλους, τῷ αὐτῷ δέ τρόπῳ καί τάς ψυχάς λαμβάνειν αὐτούς τῶν ἀνθρώπων, ἀλλ’ ἀκουέτω τοῦ Κυρίου λέγοντος· «*Ἐν τῇ ἀναστάσει, φησί, τῶν δικαίων, οὔτε γαμοῦσιν, οὔτε ἐκγαμίζονται, ἀλλ’ εἰσίν ὡς ἄγγελοι Θεοῦ*», καί Παύλου· «*Σπείρεται*» λέγοντος «*σῶμα ψυχικόν, ἐγείρεται σῶμα πνευματικόν*», κἀκεῖθεν ἀκριβῶς μανθανέτω, ὅτι τά σώματα ἡμῶν πνευματικά καί οἷον εἰπεῖν τῶν ἀγγέλων παρόμοια μέλλουσι γενέσθαι, ἀνισταμένων ἀπό νεκρῶν. Εἰ γάρ ψυχικά σπείρονται καί πνευματικά ταῦτα ἐγείρονται, ὡς τό λόγιον, καί εἶναι ἐν τῷ αἰῶνι τῷ μέλλοντι ὀφείλομεν ὡς Θεοῦ ἄγγελοι, καθά καί ὁ Κύριος εἴρηκε, δηλονότι ὅμοιοι αὐτοῖς, εἰ καί μή τῇ φύσει, ἀλλά τῇ ἀξίᾳ ἐσόμεθα. Σωματούς δέ αὐτούς ὡς πρός Θεόν φημι, ὡς δέ πρός ἡμᾶς ἀΰλους καί ἀοράτους· εἰ δέ τοῦτο, πολλῷ μᾶλλον αἱ ψυχαί κατά τόν ἀποδοθέντα ὅρον καί νόμον τῆς εἰρημένης συγκρίσεως.

Τοιούτων τοίνυν γινομένων ἡμῶν ἐν τῇ ἀναστάσει, ὡς ὁ λόγος ἀπέδειξε, ποία τοῦ λοιποῦ χρεία τοῖς οὕτω πνευματικοῖς γενομένοις καί ὑπέρ πᾶσαν αἴσθησιν τήν ἐνταῦθα, τοῖς ὡς ἀγγέλοις οὖσι Θεοῦ, εἰ καί μή κατά τήν ἀξίαν αὐτῶν, αἰσθητῆς ὅλως γαίας καί κατοικίας. Ἀξία δέ ἀγγέλων Θεοῦ καί στάσις καί ἔφεσις τό ἐλλάμπεσθαι ἀπό τοῦ πρώτου καί θείου φωτός ὡς φῶτα δεύτερα, τό βλέπειν τήν δόξαν καί λαμπρότητα αὐτοῦ τοῦ ἀπροσίτου καί ἀπείρου φωτός καί ἀπολαύειν τῆς ἀφράστου καί τρισυποστάτου θεότητος. Ἡ γάρ ἅπασα κτίσις, ὡς εἴρηταί μοι πολλάκις, ἀνακαινισθεῖσα, σύν αὐτῷ παραδείσῳ ὅλη γενομένη πνευματική, εἰς ἄϋλον καί ἄφθαρτον, ἄτρεπτόν τε καί ἀΐδιον καί νοερόν μετασκευασθήσεται οἰκητήριον. Καί οὐρανός μέν ἀσυγκρίτως λαμπρότερος ἔσται, οἷα δή καινός ἄλλος καί τοῦ ὁρωμένου φωτοειδέστερος. Γῆ δέ ἄφραστον καί καινόν ἀναλήψεται κάλλος καί χλόης εἶδος ἀμάραντον, ἄνθεσι δηλαδή φωτοειδέσι καί ποικιλίᾳ πνευματικῇ ὡραϊζομένη, ἐν οἷς δικαιοσύνη, κατά τό ὅσιον λόγιον, κατοικεῖ. Λάμψει δέ ἑπταπλασίως ὁ ἥλιος τῆς δικαιοσύνης, ἡ δέ σελήνη τοῦ νυνί λάμποντος ἡλίου διπλότερον ἐξαστράψει· τά δέ γε ἄστρα ἔσονται τῷ ἡλίῳ τούτῳ παρόμοια, εἴ τινα ταῦτά ἐστι καί οἷστισιν ἀναθεωροῦνται τοῖς λόγοις τοῖς ὑψηλοῖς τήν διάνοιαν. Πάντα δέ ὑπέρ λόγον, ὡς πᾶσαν διάνοιαν ὑπερβαίνοντα, πλήν ὅμως πνευματικά ὄντα καί θεῖα, ἑνοῦνται τοῖς νοητοῖς καί γίνονται παράδεισος νοερός ἄλλος καί Ἱερουσαλήμ ἐπουράνιος, ἐξομοιωθεῖσα τοῖς ἐπουρανίοις καί ἑνωθεῖσα, καί κλῆρος ἄσυλος τῶν υἱῶν τοῦ Θεοῦ, ἧς κληρονόμος οὐδείς οὐδαμῶς τῶν ἐπί γῆς ἐχρημάτισεν, ἀλλ’ οὐδέ κατῴκησεν ἐν ταύτῃ, οὐδέ βήματος ποδός κύριος γέγονε· πάντες γάρ πάροικοι ἐγενόμεθα καί ἐσμέν καί ἐσόμεθα ἐν αὐτῇ, καθώς πᾶσα θεία ὑπαγορεύει Γραφή.

Ὁπόταν οὖν ὁλοκλήρως πάντα τοῖς ἐπουρανίοις ἑνωθῇ τά ἐπίγεια, τηνικαῦτα καί οἱ δίκαιοι τήν ἀνακαινισθεῖσαν ταύτην κληρονομήσουσι γῆν, ἥν οἱ μακαριζόμενοι πραεῖς παρά τοῦ κυρίου κληρονομοῦσι. Νῦν μέν γάρ τά μέν ἡνώθη τοῖς οὐρανίοις, τά δέ μέλλει· αἱ μέν γάρ ψυχαί τῶν ἁγίων, καθά πρόσθεν εἰρήκαμεν, διά τῆς δωρεᾶς καί ἑνώσεως τοῦ Ἁγίου Πνεύματος, ἔτι αὐτῶν ὄντων ἐν σώματι, κολλῶνται Θεῷ καί ἀνακαινιζόμεναι

ἀλλοιοῦνται καί ἐκ τοῦ θανάτου ἀνίστανται καί ἐν ἀνεσπέρῳ φωτί ἐν δόξῃ ἀποκαθίστανται μετά κοίμησιν· τά δέ γε σώματα αὐτῶν οὐκέτι, ἀλλ᾽ ἐν σοροῖς καί φθορᾷ ἀφίενται, ἄφθαρτα καί αὐτά γενήσεσθαι μέλλοντα ἐν τῇ κοιονῇ ἀναστάσει, ὅτε καί πᾶσα δηλονότι ἡ ἐπίγειος κτίσις, ἡ ὁρωμένη αὕτη καί αἰσθητή, ἀλλοιωθήσεται καί τοῖς ἐπουρανίοις ἤγουν τοῖς ἀοράτοις καί ὑπέρ αἴσθησιν ἑνωθήσεται.

Τοῦτο τοιγαροῦν πληρωθῆναι δεῖ πρῶτον καί τηνικαῦτα ἐλεύσεται μετά δόξης πολλῆς καί δυνάμεως ὁ περιπόθητος ἡμῶν καί γλυκύτατος βασιλεύς Ἰησοῦς ὁ Χριστός καί Θεός κρῖναι κόσμον καί ἀποδοῦναι ἑκάστῳ κατά τά ἔργα αὐτοῦ. Εἶθ᾽ οὕτως, καθάπερ ἐν οἴκῳ μεγάλῳ ἤ βασιλείοις πολλάς ἔχουσι τάς ἀναπαύσεις καί τάς κατασκηνώσεις καί τήν διαφοράν πολλήν αὖθις ἐν ἀμφοτέραις ὁμοῦ καί θειοτάταις μοναῖς, οὕτως ἐν αὐτῇ τῇ καινῇ κτίσει τάς διαιρέσεις ποιήσει, ἀπονέμων ἑκάστῳ τήν κληρουχίαν κατά τήν αὐτοῦ ἀξίαν καί τήν ἐκ τῶν ἀρετῶν καί ἔργων προσοῦσαν αὐτῷ λαμπρότητά τε καί περιφάνειαν. Πνευματικῶν δέ ὄντων αὐτῶν καί διαφανῶν καί συνημμένων ἐκείναις ταῖς θείαις μοναῖς τε καί ἀνακλίσεσιν, ὡς μία τις ὅλη καθόλου ἐστίν, ὥσπερ οὖν καί ἔστιν, ἑστία ἡ βασιλεία τῶν οὐρανῶν καί τοῦτο τοῖς πᾶσι φανήσεται δικαίοις, μόνον τόν βασιλέα ἔχουσα τοῦ παντός πανταχοῦ ὁρώμενον αὐτοῖς, συμπαρόντα ἑκάστῳ καί συνόντα ἕκαστον αὐτῷ καί ἐν ἑκάστῳ ἐκλάμποντα καί ἕκαστον λάμποντα ἐν αὐτῷ. Ἀλλ᾽ οὐαί τοῖς ἔξωθεν τότε τοῦ οἴκου ἐκείνου εὑρισκομένοις.

Ἀρκούντως οὖν καί ἱκανῶς περί τούτων εἰπόντες καί τούς μή κατ᾽ ἔριν ἀντιλέγειν τι πειρωμένους πληροφορήσαντες, φέρε καί περί τοῦ πῶς ἑνοῦνται τῷ Χριστῷ καί ἕν γίνονται μετ᾽ αὐτοῦ πάντες οἱ ἅγιοι, ὡς δυνατόν, ὑμᾶς βεβαιώσωμεν.

## στ΄. Πῶς ἑνοῦνται τῷ Χριστῷ καί Θεῷ καί ἕν γίνονται μετ' αὐτοῦ πάντες οἱ ἅγιοι.

Ἐπειδήπερ μέλη Χριστοῦ τοῦ ἐπί πάντων Θεοῦ ὄντως οἱ ἅγιοι χρηματίζουσι πάντες καί, ὡς εἴρηται, ἐν αὐτῷ εἶναι κεκολλημένοι καί συνημμένοι ὀφείλουσι τῷ σώματι αὐτοῦ, ἵνα ἐκεῖνος μέν ᾖ ἐν αὐτοῖς κεφαλή, οἱ ἀπ' αἰῶνος δέ καί μέχρις ἐσχάτης ἡμέρας ἅγιοι ὦσι μέλη αὐτοῦ, ὅπως γένωνται οἱ πολλοί ἕν σῶμα Χριστοῦ, οἷα δή ἄνθρωπος εἷς, οἱ μέν τήν εἰς χειρῶν τάξιν ἀποπληροῦσιν ἐργαζόμενοι ἕως ἄρτι καί ποιοῦντες αὐτοῦ τό πανάγιον θέλημα, ἀξίους ἐξ ἀναξίων ἀναπλάττοντες καί αὐτῷ ἀνασῴζοντες· οἱ δέ, τῶν ὤμων, ἀλλήλων τά βάρη βαστάζοντες ἤ καί τό ἀπολωλός αὐτό ἄρτι αὐτοῖς εὑρεθέν, τό πάλαι εἰς ὄρη καί βουνούς καί τόπους οὕς οὐκ ἐπισκοπεῖ Κύριος περιπλανώμενον, καί πληροῦντες τόν νόμον αὐτοῦ· οἱ δέ, τοῦ στήθους, πηγάζοντες τοῖς διψῶσι καί πεινῶσι τήν δικαιοσύνην τοῦ Θεοῦ, τό διεισδέστατον νᾶμα τοῦ λόγου τῆς ἀπορρήτου σοφίας καί γνώσεως, καί χορηγοῦντες αὐτοῖς τόν ἄρτον,ὅν ἐσθίουσιν αἱ ἄνω δυνάμεις τῶν οὐρανῶν, ὡς ἐπιστήθιοι καί φιλούμενοι ὑπ' αὐτοῦ· οἱ δέ, κοιλίας, πάντας ἐγκολπούμενοι διά τῆς ἀγάπης καί ἐν τοῖς ἐγκάτοις Πνεῦμα σωτηρίας ἐγκυμονοῦντες καί χωρητικήν ἔχοντες διάθεσιν τῶν ἀπορρήτων καί κεκρυμμένων μυστηρίων αὐτοῦ· ἄλλοι, μηρῶν, τό γόνιμον ἐν ἑαυτοῖς φέροντες τῶν θεοπρεπῶν νοημάτων τῆς μυστικῆς θεολογίας καί γεννῶντες Πνεῦμα σωτηρίας ἐπί τῆς γῆς, ἤγουν τόν καρπόν τοῦ Πνεύματος καί τόν σπόρον ἐν ταῖς τῶν ἀνθρώπων καρδίαις διά τοῦ λόγου τῆς διδασκαλίας αὐτῶν· οἱ δέ, σκελῶν καί ποδῶν, τήν ἀνδρείαν ἐν τοῖς πειρασμοῖς καί τήν ὑπομονήν ἐνδεικνύμενοι κατά τόν Ἰώβ καί μηδοπωσοῦν σαλευόμενοι ἀπό τῆς ἐπί τά καλά στάσεως ἤ ἀτονοῦντες, ἀλλά τά βάρη τῶν αὐτοῦ χαρισμάτων βαστάζοντες.

Οὕτως οὖν τό σῶμα τῆς Ἐκκλησίας Χριστοῦ, συναρμολογούμενον διά τῶν ἀπ' αἰῶνος ἁγίων αὐτοῦ, ἄρτιον ὑπάρχει καί ὁλόκληρον εἰς ἕνωσιν τῶν υἱῶν τοῦ Θεοῦ τῶν πρωτοτόκων τῶν ἀπογεγραμμένων ἐν οὐρανοῖς, πρός οὕς «*Μή χαίρετε*» λέγει καί νῦν ὁ Θεός, «*ὅτι τά δαιμόνια ὑμῖν ὑποτάσσεται*», ὅπερ ἐν τοῖς κουφοτέροις τῦφον μᾶλλον καί οἴησιν ἐμποιεῖ, «*χαίρετε δέ ὅτι τά ὀνόματα ὑμῶν ἐγράφη ἐν τοῖς οὐρανοῖς*». Ὅτι δέ οἱ ἅγιοι πάντες μέλη ὄντες Χριστοῦ εἰς ἕν γίνονται σῶμα αὐτοῦ, ἀλλά καί μέλλουσιν εἰσέτι γενέσθαι, πειράσομαι τοῦτο καί ἀπό τῆς θείας ἀποδεῖξαι Γραφῆς. Καί ἐν πρώτοις ἄκουσον αὐτοῦ τοῦ Σωτῆρος ἡμῶν καί Θεοῦ, ὅπως τήν μετ' αὐτοῦ ἕνωσιν ἀδιάσπαστον ἐμφαίνει καί ἀχώριστον ἐν τῷ λέγειν πρός τούς αὐτοῦ ἀποστόλους· «*Ἐγώ ἐν τῷ Πατρί καί ὁ Πατήρ ἐν ἐμοί· καί ὑμεῖς ἐν ἐμοί κἀγώ ἐν ὑμῖν*», καί πάλιν· «*Οὐ περί τούτων δέ ἐρωτῶ μόνον, ἀλλά καί περί πάντων τῶν πιστευόντων διά τοῦ λόγου αὐτῶν εἰς ἐμέ, ἵνα πάντες ἕν ὦσι*». Βουλόμενος δέ τόν τρόπον πιστώσασθαι τῆς ἑνώσεως, ἐπαναλαμβάνων τόν λόγον φησί· «*Καθώς σύ, πάτερ, ἐν ἐμοί, κἀγώ ἐν σοί, ἵνα καί αὐτοί ἕν ὦσι*». Σαφέστερον δέ τοῦτο ποιῶν, ἐπιφέρει· «*Καί ἐγώ τήν δόξαν, ἥν δέδωκάς μοι, δέδωκα αὐτοῖς, ἵνα ὦσιν ἕν, καθώς ἡμεῖς ἕν ἐσμέν· ἐγώ ἐν αὐτοῖς καί σύ ἐν ἐμοί, ἵνα ὦσι τετελειωμένοι εἰς ἕν*», καί μετ' ὀλίγ· «*Πάτερ, οὕς δέδωκάς μοι θέλω ἵνα, ὅπου εἰμί ἐγώ, κἀκεῖνοι ὦσι μετ' ἐμοῦ, ἵνα θεωρῶσι τήν δόξαν τήν ἐμήν, ἥν δέδωκάς μοι*», καί πάλιν·

«*Ἵνα ἡ ἀγάπη, ἥν ἠγάπησάς με, ἐν αὐτοῖς ᾖ κἀγώ ἐν αὐτοῖς*». Εἶδες μυστηρίων βάθος; Ἔγνως ὑπερβαλλούσης δόξης ὑπεράπειρον ὑπερβολήν; κατενόησας ἑνώσεως τρόπον ὑπέρ νοῦν ὄντα καί ὑπέρ ἅπασαν ἔννοιαν;

Ὢ τοῦ θαύματος, ἀδελφοί, ὤ τῆς ἀφράστου συγκαταβάσεως τῆς πρός ἡμᾶς ἀγάπης τοῦ φιλανθρώπου Θεοῦ, ὅτι οἵαν τήν πρός τόν Πατέρα αὐτοῦ ἔχει ἕνωσιν φυσικῶς, τοιαύτην καί αὐτός ἔχειν ἐν χάριτι πρός ἡμᾶς, ἐάν θέλωμεν, ἐπαγγέλλεται, καί ἡμεῖς πρός ἐκεῖνον ὁμοίως ἕξομεν τάς αὐτοῦ ἐντολάς ἐργαζόμενοι· ὅ γάρ ἐκεῖνος φυσικῶς ἔχει πρός τόν Πατέρα, τοῦτο ἡμῖν πρός αὐτόν τῇ θέσει δίδωσι καί τῇ χάριτι. Ὢ ἐπαγγελίας φρικτῆς, ὅτι τήν δόξαν ἥν δέδωκεν ὁ Πατήρ τῷ υἱῷ καί ὁ Υἱός δίδωσιν ἡμῖν θείᾳ χάριτι· καί τό δή μεῖζον, ὅτι ὥσπερ ἐκεῖνος ἐν τῷ Πατρί καί ὁ Πατήρ ἐν αὐτῷ, οὕτως ὁ Υἱός τοῦ Θεοῦ ἐν ἡμῖν καί ἡμεῖς ἐν αὐτῷ ἐσόμεθα τῷ Υἱῷ, εἰ βουλόμεθα, τῇ χάριτι. Ὢ χάριτος ἀνυπερβλήτου, ὅτι τήν ἀγάπην ἥν ἠγάπησεν ὁ Θεός καί Πατήρ τόν μονογενῆ αὐτοῦ Υἱόν καί Θεόν ἡμῶν, αὐτήν ἐν ἡμῖν λέγει ἔσεσθαι καί αὐτόν ἐκεῖνον τόν Υἱόν τοῦ Θεοῦ ἐν ἡμῖν. Καί εἰκότως· συγγενής γάρ ἅπαξ ἡμῶν γεγονώς τῇ σαρκί καί συμμετόχους αὐτοῦ τῆς θεότητος ἡμᾶς ἐργασάμενος, συγγενεῖς αὐτοῦ πάντας τούς τοιούτους πεποίηκεν. Ἄλλως δέ καί τῆς μεταδοθείσης ἡμῖν διά τῆς κοινωνίας θεότητος ἀτμήτου οὔσης καί ἀχωρίστου, ἀνάγκη πᾶσα καί ἡμᾶς τούς ἐν ἐληθείᾳ ταύτης μετεσχηκότας ἀχωρίστους ἐν ἑνί Πνεύματι ἕν σῶμα μετά Χριστοῦ εἶναι.

Καί ὅτι ταῦτα οὕτως ἔχει, ἄκουε Παύλου λέγοντος· «*Ἐν γάρ Χριστῷ Ἰησοῦ οὐκ ἔστι δοῦλος οὐδέ ἐλεύθερος, οὐκ Ἰουδαῖος, οὐχ Ἕλλην, οὐ Σκύθης, οὐ βάρβαρος, ἀλλά τά πάντα καί ἐν πᾶσι Χριστός*». Ὁρᾷς ὅπως οὐκ εἶπεν «*ἀλλ᾽ οἱ πάντες χριστιανοί*», ἀλλά «*Χριστός*» εἷς, ὡς ἐκ μελῶν πολλῶν σῶμα ἕν. Καί ἄκουε πάλιν αὐτοῦ τοῦτο δηλοῦντος ἑτέρωθι. Εἰπόντος γάρ πρῶτον· «*Ἑκάστῳ δίδοται ἡ φανέρωσις τοῦ Πνεύματος πρός τό συμφέρον*» καί τάς διαφοράς τῶν χαρισμάτων ἀπαριθμησαμένου, ὕστερον πάλιν ὁ αὐτός ἐπήγαγε· «*Πάντα δέ ταῦτα ἐνεργεῖ τό ἕν καί τό αὐτό Πνεῦμα διαιροῦν ἰδίᾳ ἑκάστῳ καθώς βούλεται*». Τάς διδομένας δέ διά τοῦ Πνεύματος ἐνεργείας αὐτοῖς τοῖς ἁγίοις μέλεσι τοῦ Χριστοῦ γνωρίσας ἡμῖν ἐπιφέρει καί φησι· «*Καθάπερ γάρ τό σῶμα ἕν ἐστι καί μέλη ἔχει πολλά, πάντα δέ τά μέλη τοῦ σώματος τοῦ ἑνός πολλά ὄντα ἕν ἐστι σῶμα, οὕτως καί ὁ Χριστός· καί γάρ ἐν ἑνί πνεύματι ἡμεῖς πάντες εἰς ἕν σῶμα ἐβαπτίσθημεν, εἴτε Ἰουδαῖοι, εἴτε Ἕλληνες, εἴτε δοῦλοι, εἴτε ἐλεύθεροι, καί πάντες εἰς ἕν πόμα ἐποτίσθημεν· καί γάρ τό σῶμα οὐκ ἔστιν ἕν μέλος ἀλλά πολλά*». Καθάπερ δέ πάλιν ἑκάστῳ, ὡς προείπομεν, κατ᾽ ἀξίαν ὑπό τοῦ Θεοῦ ἐν ταῖς ἀκηράτοις μοναῖς ἡ ἀποκλήρωσις δίδοται, οὕτως καί ἐν τῷ σώματι τῆς Ἐκκλησίας ἕκαστος ἐν ᾧ ἐστιν ἄξιος καταριθμηθήσεται μέρει τοῦ Χριστοῦ. Καί τοῦτο αὐτός μετ᾽ ὀλίγα δηλοῖ ἐν ταύτῃ αὐτοῦ τῇ ἐπιστολῇ λέγων· «*Νῦν δέ ὁ Θεός ἔθετο τά μέλη ἕν ἕκαστον αὐτῶν ἐν τῷ σώματι καθώς ἠθέλησε· πολλά μέν οὖν μέλη, ἕν δέ σῶμα*». Ἵνα δέ καί τάς διαφοράς τῶν μελῶν καί τίνα ταῦτα και τίνες εἰσίν ἀποδείξῃ, ἔφη· «*Ὑμεῖς δέ ἐστε σῶμα Χριστοῦ καί μέλη ἐκ μέρους· καί οὕς ἔθετο ὁ Θεός ἐν τῇ ἐκκλησίᾳ πρῶτον ἀποστόλους, δεύτερον προφήτας, τρίτον διδασκάλους, ἔπειτα δυνάμεις, εἶτα χαρίσματα ἰαμάτων, ἀντιλήψεις, κυβερνήσεις,*

*γένη γλωσσῶν*». Εἶδες τάς διαφοράς τῶν μελῶν τοῦ Χριστοῦ; Ἔμαθες τίνες εἰσί μέλη αὐτοῦ; Ἄκουε καί τήν ἕνωσιν τῶν μελῶν ἀκολούθως τῷ Δεσπότῃ καί τοῦτον δηλοῦντα.

Ἐκεῖνος μέν γάρ οἵαν πρός τόν ἑαυτοῦ Πατέρα ἕνωσιν ἔχει, καί ἡμᾶς πρός αὐτόν τοιαύτην ἔχειν ὁμοίως ἐδίδαξεν, ὁ δέ γε τούτου μαθητής καί ἀπόστολος, οἵαν ὁ ἀνήρ ἔχει πρός τήν γυναῖκα αὐτοῦ καί ἡ γυνή πρός τόν ἄνδρα· διό καί φησιν· «*Αἱ γυναῖκες τοῖς ἰδίοις ἀνδράσιν ὑποτάσσεσθε ὡς τῷ Κυρίῳ, ὅτι ἀνήρ ἐστι κεφαλή τῆς γυναικός, ὡς καί ὁ Χριστός κεφαλή τῆς ἐκκλησίας καί αὐτός ἐστι σωτήρ τοῦ σώματος*», καί αὖθις· «*Οἱ ἄνδρες, ἀγαπᾶτε τάς γυναῖκας ἑαυτῶν, καθώς καί ὁ Χριστός ἠγάπησε τήν ἐκκλησίαν καί ἑαυτόν παρέδωκεν ὑπέρ αὐτῆς, ἵνα αὐτήν ἁγιάσῃ καί παραστήσῃ αὐτήν ἑαυτῷ ἔνδοξον τήν ἐκκλησίαν μή ἔχουσαν σπίλον ἤ ῥυτίδα ἤ τι τῶν τοιούτων, ἀλλ' ἵνα ᾖ ἁγία καί ἄμωμος*». Καί μετ' ὀλίγα· «*Ὁ ἀγαπῶν τήν ἑαυτοῦ γυναῖκα*» πρόσεχέ μοι τῷ βάθει τοῦ λόγου, παρακαλῶ! «*ἑαυτόν, φησίν, ἀγαπᾷ· οὐδείς γάρ ποτε τήν ἑαυτοῦ σάρκα ἐμίσησεν, ἀλλά τρέφει καί θάλπει αὐτήν, καθώς καί ὁ Κύριος τήν ἐκκλησίαν, ὅτι μέλη ἐσμέν τοῦ σώματος αὐτοῦ ἐκ τῆς σαρκός αὐτοῦ καί ἐκ τῶν ὀστέων αὐτοῦ*». Ὁρᾷς ὅπως ἔδειξεν ἡμῖν ὅτι, ὥσπερ ἡ Εὔα ἐκ τῆς σαρκός καί ἐκ τῶν ὀστέων ἐλήφθη τοῦ Ἀδάμ καί μία σάρξ οἱ δύο ὑπῆρχον, οὕτω καί ὁ Χριστός, μεταδιδούς ἡμῖν ἑαυτόν εἰς μετάληψιν ἐκ τῆς σαρκός αὐτοῦ καί ἐκ τῶν ὀστέων αὐτοῦ, ὧν ἔδειξε τοῖς ἀποστόλοις μετά τό ἀναστῆναι αὐτόν ἐκ νεκρῶν, οὕτως εἰπών· «*Ψηλαφήσατέ με καί ἴδετε ὅτι πνεῦμα σάρκα καί ὀστέα οὐκ ἔχει, καθώς ἐμέ θεωρεῖτε ἔχοντα*», ἐξ αὐτῶν ἐκείνων τρώγειν ἡμᾶς δίδωσι καί ἕν μετ' αὐτοῦ διά τῆς κοινωνίας ταύτης ποιεῖ καί ἡμᾶς. Ἔτι δέ καθ' ὑπερβολήν δεῖξαι θέλων τήν πρός Θεόν ἡμῶν συνάφειαν, ἐπάγει λέγων· «*Ἀντί τούτου καταλείψει ἄνθρωπος τόν πατέρα αὐτοῦ καί τήν μητέρα*», ἀντί τοῦ Χριστοῦ, φησί, καταλείψει αὐτούς, «*καί προσκολληθήσεται τῇ γυναικί αὐτοῦ*», ἤγουν τῇ Ἐκκλησίᾳ, «*καί ἔσονται οἱ δύο εἰς σάρκα μίαν*», τήν τοῦ Χριστοῦ καί Θεοῦ δηλονότι.

Καί ὅτι οὕτως ἔχεται τῆς διανοίας ὁ λόγος καί οὐκ ἀπό συλλογισμῶν ταῦτα φθεγγόμεθα, ἐπιφέρει καί φησιν ὁ αὐτός· «*Τό μυστήριον τοῦτο μέγα ἐστίν, ἐγώ δέ λέγω εἰς Χριστόν καί εἰς τήν Ἐκκλησίαν*». Ὄντως οὖν μέγα καί ὑπέρ τό μέγα ἐστί καί ἔσεται τό μυστήριον τοῦτο, ὅτι οἵαν κοινωνίαν καί ἕνωσιν, οἰκειότητά τε καί συγγένειαν ἔχει ἡ γυνή πρός τόν ἄνδρα καί ὁ ἀνήρ πρός τήν γυναῖκα, τοιαύτην θεοπρεπῶς καί ὑπέρ πᾶσαν ἔννοιαν καί λόγον ἔχει καί ὁ δεσπότης καί ποιητής τοῦ παντός μετά τῆς Ἐκκλησίας ἁπάσης, ὡς πρός μίαν γυναῖκα, ἀμωμήτως ταύτῃ καί ὑπεραρρήτως ἑνούμενος καί ἀδιασπάστως καί ἀχωρίστως ὤν καί συνών αὐτῇ, ὡς ἠγαπημένῃ καί πεφιλημένῃ αὐτῷ. Οὕτω δέ καί ἡ Ἐκκλησία τῷ αὐτῆς πεφιλημένῳ Θεῷ ἑνωθεῖσα κεκόλληται ὡς ὁλόκληρον σῶμα τῇ κεφαλῇ τῇ ἰδίᾳ αὐτοῦ. Καθάπερ γάρ οὐ δύναται σῶμα ἄνευ τῆς προσπεφυκυίας αὐτῷ κεφαλῆς τό καθόλου ζῆν, οὕτως οὐδέ ἡ τῶν πιστῶν Ἐκκλησία, τῶν υἱῶν, φημί, τοῦ Θεοῦ καί ἀπογεγραμμένων ἐν τοῖς οὐρανοῖς, δύναται εἶναι εἰς σῶμα ἄρτιον καί ὁλόκληρον τῷ Θεῷ ἄνευ τῆς κεφαλῆς, αὐτοῦ τοῦ Χριστοῦ καί Θεοῦ, ἤ ζῆν τήν ὄντως ζωήν καί ἀνώλεθρον, μή τρεφομένη ὑπ' αὐτοῦ καθ' ἑκάστην τόν ἐπιούσιον ἄρτον, παρ' οὗ τό ζῆν καί αὔξειν εἰς ἄνδρα τέλειον, εἰς μέτρον ἡλικίας τοῦ πληρώματος

αὐτοῦ πᾶσι τοῖς ἀγαπῶσιν αὐτόν ἐπιγίνεται.

Ἀλλά γάρ τούτων οὕτως ἀποδειχθέντων λαμπρῶς καί τρανωθέντος ὑπό τοῦ λόγου τοῦ ῥηθέντος ζητήματος, ὅπως οἱ ἀπ' αἰῶνος ἅγιοι οἱ μέχρι τοῦ νῦν καί ἕως τῆς συντελείας γινόμενοι ἕν σῶμα μέλλουσι γενέσθαι μετά Χριστοῦ καί ἐν τῷ Χριστῷ, ἄγε δή καί περί τοῦ πῶς πληρωθῆναι δεῖ τόν ἄνω κόσμον φιλοσοφήσωμεν. Ἀλλά διαπεράσατέ μοι τάς ἀκοάς καί τόν ἡγεμόνα νοῦν τοῖς ῥηθησομένοις προσέχειν ἐπιστήσατε, ἐπειδή περί θείων πραγμάτων ἡμῖν ὁ λόγος ἑκάστῳ ζητήματι.

## ζ΄. Πῶς δεῖ πληρωθῆναι τόν ἄνω κόσμον καί ὁποῖός τίς ἐστι καί τίνα πληρωθήσεται τρόπον.

Χρεών δέ ζητῆσαι πρῶτον τίνα καλεῖ κόσμον ὁ λόγος, ὅν δεῖ πληρωθῆναι καί οὐ μή πληρωθέντος οὐχ ἥξει τό τέλος, καί αὐτό τοῦτο τό τέλος ὅ λέγεται, τί ἐστιν. Ἐμοί δοκεῖ κόσμον ὡραϊσμένον εἶναι τήν Ἐκκλησίαν Χριστοῦ καί αὐτόν ὅλον τόν ἄνθρωπον, ἐν ᾧ κατοικεῖν λέγεται καί ἐμπεριπατεῖν τόν Θεόν καί τάς ἀκτῖνας τῶν χαρισμάτων αὐτοῦ φαιδράς, ὡς ἥλιος δικαιοσύνης ὤν, καταπέμπειν· ἥν καί σῶμα οἴδαμεν καλεῖσθαι Χριστοῦ καί νύμφην, ὡς Παῦλος ὁ ταύτης νυμφαγωγός ἀνακράζει· «*Ἡρμοσάμην ὑμᾶς ἑνί ἀνδρί παρθένον ἁγνήν παραστῆσαι τῷ Χριστῷ*», καί Δαβίδ ὁ θεῖος· «*Παρέστη ἡ βασίλισσα ἐκ δεξιῶν σου ἐν ἱματισμῷ διαχρύσῳ περιβεβλημένη, πεποικιλμένη*». Εἰ γάρ καί περί τῆς Θεοτόκου μόνης τοῦτό φασιν εἰρῆσθαι, ἀλλ᾽ οἰκείως μάλα δή ἔχει καί πρός τήν Ἐκκλησίαν τοῦ Υἱοῦ αὐτῆς καί Θεοῦ, ὡς δηλώσει τρανότερον τά ἑπόμενα· «*Ἀπενεχθήσονται, φησί, τῷ βασιλεῖ παρθένοι ψυχαί ὀπίσω αὐτῆς· αἱ πλησίον αὐτῆς ψυχαί ἀπενεχθήσονταί σοι· ἀπενεχθήσονται ἐν εὐφροσύνῃ καί ἀγαλλιάσει, ἀχθήσονται εἰς ναόν βασιλέως*». Τίνα οὖν τόν ναόν τοῦτον ὑπολαμβάνεις εἶναι; Ἆρα γε ἕτερόν τινα οἶκον ἐννοεῖς εἶναι τόν ναόν καί ἕτερον παρά τοῦτον τόν βασιλέα; Οὐδαμῶς δή. Ὥσπερ γάρ κεφαλή τῆς Ἐκκλησίας ὁ Χριστός ἐστι καί Θεός, οὕτω καί ναός αὐτός ταύτῃ γίνεται, καθά δή πάλιν καί ἡ Ἐκκλησία αὐτή ναός ἐκείνου καί κόσμος ὡραῖος καθέστηκεν, ὡς τά ἀνωτέρω εἰρημένα μοι διατρανοῖ, ἅ καί χρή πάλιν ἐπαναλαβεῖν καί εἰπεῖν εἰς περισσοτέραν ἀκριβείας ἀπόδειξιν.

Ποῖα δή ταῦτα; Ἅ Χριστός αὐτός ὁ Θεός πρός τόν ἑαυτοῦ Πατέρα περί τῶν πιστῶν καί αὐτῶν ἔφη τῶν ἀποστόλων αὐτοῦ· «*Οὐ περί τούτων δέ ἐρωτῶ μόνον, ἀλλά καί περί πάντων τῶν πιστευόντων διά τοῦ λόγου αὐτῶν εἰς ἐμέ, ἵνα πάντες ἕν ὦσι*». Πῶς ἕν; «*Καθώς σύ, πάτερ, ἐν ἐμοί, ἵνα καί αὐτοί ἐν ἡμῖν ἕν ὦσιν*». Εἶδες πῶς καί βασιλεύς καί ναός πάντων αὐτός τῶν σῳζομένων καθέστηκε; Μάθε τοιγαροῦν καί ὅπως πάλιν οἱ πιστοί πάντες, ἤτοι ἡ βασίλισσα Ἐκκλησία καί αἱ ὀπίσω αὐτῆς ἀκολουθήσασαι, ναός καί κόσμος τοῦ Θεοῦ καί βασιλέως γενήσονται. Καί τοῦτο πρῶτον ἐξ αὐτοῦ μαθήσῃ τοῦ βασιλέως Χριστοῦ· φησί γάρ· «*Ἐγώ ἐν αὐτοῖς καί σύ, πάτερ, ἐν ἐμοί, ἵνα ὦσι τετελειωμένοι εἰς ἕν*». Τί δέ ὁ Παῦλος ὁ αὐτοῦ μαθητής; «*Οὐκ οἴδατε ὅτι ναός Θεοῦ ἐστε καί τό Πνεῦμα αὐτοῦ τό Ἅγιον οἰκεῖ ἐν ὑμῖν;*» . Ὁρᾷς συνᾴδοντα τοῖς δεσποτικοῖς ῥήμασι μετά ἀκριβείας ἁπάσης τά τοῦ Ἀποστόλου ῥητά, ναόν τοῦ βασιλέως Θεοῦ καί πόλιν καί κόσμον τήν Ἐκκλησίαν ἀποδεικνύοντα; Γνῶθι ὅτι αὐτός ἦν ὁ ἐν προφήταις καί ἀποστόλοις, καί αὐτός ἐστιν ὁ ἐν ἀμφοτέροις τούτοις λαλῶν καί τά νῦν.

## η΄. Ὅτι εἰ μή πάντες οἱ προωρισμένοι κατά γενεάς καί γενεάς τεχθήσονται ἕως ἐσχάτης ἡμέρας καί πληρωθήσονται, ὁ ἄνω κόσμος οὐ πληρωθήσεται.

(

Ἐπεί δέ σῶμα Χριστοῦ καί νύμφη Χριστοῦ καί κόσμος ὁ ἄνω καί ναός Θεοῦ ἡ Ἐκκλησία ἐστί, τά δέ μέλη τοῦ σώματος αὐτοῦ οἱ ἅγιοι καθεστήκασι πάντες, οὔπω δέ οἱ πάντες παρήχθησαν ἤ εὐηρέστησαν, οὐδέ τό σῶμα δηλονότι ὁλόκληρόν ἐστι τοῦ Χριστοῦ, οὐδέ ὁ ἄνω κόσμος πεπλήρωται, αὐτός οὗτος τῆς τοῦ Θεοῦ Ἐκκλησίας φημί, ἀλλά πολλοί μέν εἰσιν ἐν τῷ κόσμῳ σήμερον ἄπιστοι οἵ καί πιστεύσουσι τῷ Χριστῷ, πολλοί ἁμαρτωλοί καί ἄσωτοι οἵ καί μεταμεληθήσονται μετανοήσαντες, πολλοί ἀπειθεῖς οἵ καί πεισθήσονται, πολλοί ἔτι καί ἀκμήν τεχθήσονται καί εὐαρεστήσουσιν ἕως τῆς ἐσχάτης σάλπιγγος τῷ Θεῷ, τεχθῆναι δεῖ πάντας τούς προεγνωσμένους καί παραχθῆναι καί πληρωθῆναι τόν ὑπεράνω τοῦ κόσμου κόσμον τῆς Ἐκκλησίας τῶν πρωτοτόκων Ἱερουσαλήμ ἐν τοῖς ἐπουρανίοις· καί τηνικαῦτα τό τέλος καί τό πλήρωμα τοῦ σώματος Χριστοῦ πληρωθήσεται ὑπό τῶν προωρισμένων Θεῷ εἰς τό συμμόρφους γενέσθαι τῆς εἰκόνος τοῦ Υἱοῦ αὐτοῦ· εἰσί δέ οἱ τοῦ φωτός υἱοί καί τῆς ἡμέρας αὐτοῦ.

Οὗτοι οὖν πάντες προωρισμένοι εἰσί καί ἀπογεγραμμένοι καί ἠριθμημένοι, οἵ καί προστεθῆναι καί κολληθῆναι μέλλουσι τῷ σώματι τοῦ Χριστοῦ· καί τηνικαῦτα ὁλόκληρον οἱονεί γενόμενον, μηδενός μέλους λειπόμενον, πληρωθήσεται ἤγουν τελειωθήσεται, καθά τῇ ἀληθείᾳ δοκεῖ καί Παύλῳ τῷ ἀποστόλῳ οὕτω λέγοντι· «*Μέχρις οὗ καταντήσωμεν οἱ πάντες εἰς ἄνδρα τέλειον, εἰς μέτρον ἡλικίας τοῦ πληρώματος τοῦ Χριστοῦ. Οὕς γάρ προέγνω, τούτους καί προώρισεν· οὕς δέ προώρισε, τούτους καί ἐκάλεσεν· οὕς δέ ἐκάλεσε, τούτους καί ἐδικαίωσε· οὕς δέ ἐδικαίωσε, τούτους καί ἐδόξασε συμμόρφους γενέσθαι τῆς εἰκόνος τοῦ Υἱοῦ αὐτοῦ*». Εἶδες πῶς προωρισμένοι εἰσί καί προεγνωσμένοι πάντες οἱ ἅγιοι; Γνῶθι οὖν πῶς καί ἀπογεγράφθαι λέγει αὐτούς. Εἰπών γάρ «*Προσεληθύθατε Σιών ὄρει καί πόλεις ζῶντος < Θεοῦ >, Ἱερουσαλήμ ἐπουρανίῳ καί μυριάσιν ἀγγέλων πανηγύρει*», ἐπήγαγε· «*καί ἐκκλησίᾳ πρωτοτόκων ἐν οὐρανοῖς ἀπογεγραμμένων*». Εἰ οὖν ἀπογεγραμμένοι, εὔδηλον ὅτι καί ἠριθμημένοι, καθώς γέγραπται· «*Ἔγνω Κύριος τούς αὐτοῦ*». Καί τό ὅσιον λόγιον· «*Ὑμῶν δέ, φησί, καί αἱ τρίχες ἡμῶν ἀριθμημέναι*» παρά τῷ τά πάντα εἰδότι Θεῷ, πόσῳ γε μᾶλλον ἡμεῖς; Τῶν οὖν ἁγίων πάντων προεγνωσμένων ὄντων Θεῷ, προωρισμένων τε ἅμα και ἠριθμημένων ὡς καί ἀπογεγραμμένων κατ᾽ ὄνομα ἐν τοῖς οὐρανοῖς, μέλη δέ ὄντων αὐτῶν ὁμοῦ τοῦ Χριστοῦ, εἰς σῶμα ἕν ὀφειλόντων γενέσθαι καί ἀποτελεσθῆναι αὐτοῦ, φανερῶς ἀποδέδεικται διά τοῦ λόγου ὅτι, ὁπόταν οὗτοι πάντες εἰς ἕν σῶμα ἀποσυναχθέντες γένωνται τοῦ Χριστοῦ, τότε καί ὁ ἄνω κόσμος, αὐτήν ἡ ἐπουράνιος Ἱερουσαλήμ ἥτις καί ἐκκλησία τῶν πρωτοτόκων ἐστί, πληρωθήσεται, ἤγουν ὁλόκληρον τό σῶμα τῆς βασιλείας τοῦ Θεοῦ Ἐκκλησίας, ὅ ἐστι Χριστοῦ τοῦ Θεοῦ, γενήσεται.

Ποῦ τοίνυν εἰσίν οἱ ἔξωθεν τῆς βασιλείας τῶν οὐρανῶν πολλάς μονάς ἀναπλάττοντες ἐν τῇ ματαιότητι τῶν διανοιῶν αὐτῶν πρός ἀπώλειαν ἑαυτῶν; Ποῦ εἰσιν οἱ λέγοντες ὅτι εἰς τήν βασιλείαν τῶν οὐρανῶν εἰσελθεῖν οὐ θέλομεν, πολύ γάρ τοῦτό ἐστιν, ἀλλ' ἐν τόπῳ ἀνέσεως εἶναι βουλόμεθα καί ἀρκεῖ ἡμῖν; Ἕν σῶμα πάντες εἶναι μετά Χριστοῦ ὀφείλουσιν οἱ ἀπ' αἰῶνος ἅγιοι. Καί ποῦ εἶναι ἀλλαχοῦ οἱ τοιοῦτοι ὑπονοοῦσιν, ἐάν τοῦ σώματος αὐτοῦ εὑρεθῶσιν ἀνάξιοι καί ἀποτμηθῶσιν ἐξ αὐτοῦ; Ἀνακαινιζομένου δέ τοῦ κόσμου παντός διά πυρός, ἐν ποίῳ τόπῳ ὑπολαμβάνουσί ποτε γενήσεσθαι ἑαυτούς, ἵνα μή πεῖραν ἐκείνου λάβωσι καί ὑπ' ἐκείνου δοκιμασθήσονται; Ὄντως «*ἐματαιώθησαν ἐν τοῖς διαλογισμοῖς αὐτῶν καί ἐσκοτίσθη ἡ ἀσύνετος αὐτῶν καρδία· φάσκοντες γάρ εἶναι σοφοί, ἐμωράνθησαν*».

Ἀλλ' ἄγωμεν καί τίς ἐστιν ὁ γάμος ὁ μυστικός τοῦ Θεοῦ ἐκζητήσωμεν καί οὕτως ἐφ' ἑτέραν ὑπόθεσιν τόν λόγον ἰθύνωμεν. Ποίαν δέ ταύτην; Ἥν ζητοῦσί τινες τῶν ἀμυήτων μαθεῖν. Φασί γάρ· «*Ἆρα ἐν τῷ μέλλοντι αἰῶνι γνωρίζουσιν ἀλλήλους οἱ ἅγιοι, ἡνίκα ἑκάστῳ ἀποδίδοται ἀπό τοῦ Θεοῦ κατά τά ἔργα αὐτοῦ, ἤ οὔ;*» Χρή οὖν ἀπό τῶν εὐαγγελικῶν ῥημάτων ἡμᾶς ἐνάρξασθαι πρῶτον καί οὕτως ὁδῷ προβαίνων ὁ λόγος καί περί τούτων δηλώσει.

## θ΄. Εἰς τό ῥητόν τοῦ Εὐαγγελίου· «*Ὡμοιώθη ἡ βασιλεία τῶν οὐρανῶν βασιλεῖ*». Καί τίς ἐστιν ὁ γάμος ὁ μυστικός τοῦ Θεοῦ.

«*Ὡμοιώθη*» φησίν «*ἡ βασιλεία τῶν οὐρανῶν βασιλεῖ ὅστις ἐποίησε γάμους τῷ Υἱῷ αὐτοῦ καί ἐκάλεσε πολλούς*» τίνα λέγων βασιλεία, εἰ μή αὐτόν ἐκεῖνον τόν ἑαυτοῦ Πατέρα καί Θεόν; Τίνι δέ ἑτέρῳ τούς γάμους πεποίηκεν, εἰ μή αὐτῷ τῷ μονογενεῖ αὐτοῦ Υἱῷ καί Θεῷ τῷ Κυρίῳ ἡμῶν Ἰησοῦ τῷ Χριστῷ; Μετά τίνος δέ ἄρα ἤ ποίου βασιλέως ὁ τῶν ἁπάντων δεσπότης καί κύριος τό τῆς μνηστείας κατεδέξατο ποιῆσαι συνάλλαγμα; Ἕκαστος γάρ ἡμῶν τῶν ἀνθρώπων νύμφην τῷ ἑαυτοῦ Υἱῷ ἀγαγέσθαι βουλόμενος σπεύδει περιφανεστέρου καί ἐνδοξοτέρου καί πλουσιωτέρου θυγατέρα νύμφην λαβεῖν. Ὁ οὖν Θεός τίνα κἄν ἴσον εὑρήσει ἑαυτοῦ, ἵνα νύμφην ἐξ αὐτοῦ ἀγάγοιτο ἑαυτῷ; Φησί γάρ περί αὐτοῦ ὁ προφήτης· «*Ὁ κατέχων ἐν τῇ χειρί αὐτοῦ τόν γῦρον τῆς γῆς καί τούς κατοικοῦντας ἐν αὐτῇ ὡς ἀκρίδας*». Καί ἄλλος· «*Ὁ Θεός ὁ αἰώνιος ὁ κατασκευάσας τά ἄκρα τῆς γῆς*» καί θεμελιώσας ἐπ᾽ οὐδενός τούς στύλους αὐτῆς. Καί ὁ Δαβίδ· «*Ὁ ἐπιβλέπων ἐπί τήν γῆν καί ποιῶν αὐτήν τρέμειν*». Ὁ γοῦν τοιοῦτος καί τηλικοῦτος τίνος ἄρα σκοπήσωμεν θυγατέρα νύμφην ἠγάγεο καί τῷ υἱῷ αὐτοῦ γάμους πεποίηκεν. Βούλεσθε μαθεῖν τίνος; Ἀλλ᾽ ἐξιστᾷ μου τόν λογισμόν τό τῆς συγκαταβάσεως μέγεθος καί βούλομαι μέν εἰπεῖν, φρίττω δε· εἰς δέ τήν αὐτοῦ θαρρήσαντες ἀγαθότητα ἐροῦμεν ὧδε. Θυγατέρα προσκεκρουκότος αὐτῷ καί μοιχείαν καί φόνον πεποιηκότος, οἷον εἰπεῖν μοιχοῦ φονέως, νύμφην ἠγάγετο ἑαυτῷ.

Εἶδες ἀσύγκριτον καί ἄφατον ἀγαθότητά τε καί συγκατάβασιν; Εἶδες φιλανθρωπίας ὑπερβολήν; Εἶδες ἀγάπης καί χρηστότητος μέγεθος; Μάθε μοι τοίνυν ἐντεῦθεν, πᾶς ὁ μεγάλα περί ἑαυτοῦ οἰόμενος, ταπεινοῦσθαι καί μετριοφρονεῖν καί μηδέποτέ τινος κατεπαίρεσθαι, κἄν βασιλέων πάντων βασιλικώτατος, κἄν ἀρχόντων περιφανέστερος, κἄν πλουσίων ἁπάντων πλουσιώτερος ᾖς, τόν δεσπότην βλέπων καί κύριον τῶν ἁπάντων, τόν ἅγιον τῶν ἁγίων, τόν μακάριον Θεόν καί μόνον δυνάστην, τόν ἐνοικοῦντα ἐν ἀπροσίτῳ καί ὑπεραρρήτῳ φωτί, οὕτω συγκαταβαίνοντα καί ἐκ προσκεκρουκότος νύμφην ἑαυτῷ ἀγόμενον εἰς τόν μονογενῆ αὐτοῦ Υἱόν, τόν ἀόρατον, τόν ἀκατάληπτον, τόν ἀνεξιχνίαστον, τόν ποιητήν καί δημιουργόν τῶν ἁπάντων, διά σέ καί τήν σήν σωτηρίαν. Τίς οὖν ἐστιν ὁ τόν φόνον καί τήν μοιχείαν πεποιηκώς, οὗ τήν θυγατέρα εἰς νύμφην ὁ Θεός ἑαυτῷ ἐξελέξατο; Δαβίδ ὁ τοῦ Ἰεσσαί, ὅς καί τόν Οὐρίαν ἀπέκτεινε καί τήν τούτου γυναῖκα ἐμοίχευσε. Τούτου τοιγαροῦν τήν θυγατέρα, Μαρίαν φημί τήν ὑπεράμωμον, τήν ὑπέραγνον καί ἁγνήν παρθένον, νύμφην ἠγάγετο. Ὑπεράγνον δέ λέγω καί ὑπεράμωμον ταύτην ὡς πρός ἡμᾶς καί τούς τότε ἀνθρώπους, συγκρίνων αὐτήν ἐκείνοις τε καί ἡμῖν τοῖς δούλοις αὐτῆς, ὡς δέ πρός τόν ἑαυτῆς νυμφίον καί τόν ἐκείνου Πατέρα, ἄνθρωπον μέν, ἁγίαν δέ καί ὑπεραγίαν καί ὑπέρ ἅπαντας ἀνθρώπους πασῶν τῶν γενεῶν καθαρωτάτην καί ἄχραντον. Ταύτην οὖν ἠγάγετο καί γάμους ἐποίησε τῷ υἱῷ αὐτοῦ. Τίνα τρόπον; Ἄκουε νουνεχῶς.

Ὁ Θεός καί Πατήρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἕνα τῶν αὐτοῦ δούλων, Γαβριήλ,

φημί, τόν ἀρχάγγελον, ἐξαποστείλας ἐξ ὕψους ἁγίου αὐτοῦ μηνύει τῇ Παρθένῳ τό χαῖρε· ὅς καί κατελθών διακονεῖ τό μυστήριον τῇ Παρθένῳ καί λέγει αὐτῇ· «*Χαῖρε, κεχαριτωμένη, ὁ Κύριος μετά σοῦ*». Καί σύν τῷ λόγῳ συνεισῆλθεν ὁ ἐνυπόστατος καί ὁμοούσιος καί συναΐδιος Λόγος τοῦ Θεοῦ καί Πατρός ὅλος ἐν τῇ τῆς κόρης γαστρί καί ἐπελεύσει καί συνεργείᾳ τοῦ ὁμοουσίου αὐτοῦ Πνεύματος ἀνελάβετο σάρκα ἔννουν καί ἐψυχωμένην ἐξ ἁγνῶν αἱμάτων αὐτῆς καί ἐγένετο ἄνθρωπος. Αὕτη τοιγαροῦν ἡ ἄφραστος συνουσία καί τοιοῦτος ὁ γάμος ὁ μυστικός τοῦ Θεοῦ καί οὕτω γέγονε τό συνάλλαγμα Θεοῦ πρός ἀνθρώπους, ἑνωθείς ἀσυγχύτως τῇ φθαρτῇ καί πτωχῇ ἡμῶν οὐσίᾳ καί φύσει ὁ ὑπέρ φύσιν καί ὑπερούσιος. Συνέλαβεν οὖν ἡ Παρθένος καί ἔτεκεν ἐκ δύο φύσεων παραδόξως, θεότητος, λέγω, καί ἀνθρωπότητος, ἕνα υἱόν, Θεόν τέλειον καί τέλειον ἄνθρωπον, τόν Κύριον ἡμῶν Ἰησοῦν τόν Χριστόν, μήτε τήν παρθενίαν αὐτῆς διαφθείραντα, μήτε τοῦ κόλπου χωρισθέντα τοῦ πατρικοῦ.

Ἀλλά γάρ ἐντεῦθεν ὅσον ἀπό τοῦ εὐαγγελικοῦ ῥήματος νοεῖν μοι καί ἕτερόν τι δίδωσιν ἡ χάρις καί εἰπεῖν κατεπείγει, ὅ μυστικῶς ἀεί γίνεται καί ἐν πᾶσι τοῖς υἱοῖς τοῦ φωτός. Διατί γάρ οὐκ εἶπεν· «*Ἐποίησε γάμον τῷ υἱῷ αὐτοῦ*», ἀλλά «*γάμους*»; Ἐνταῦθά μοι τό καινόν τοῦ νοήματος. Διά τί; Ἐπειδή ἐφ᾽ ἑνί ἑκάστῳ τῶν πιστῶν καί υἱῶν τῆς ἡμέρας ὁ αὐτός ἀεί γάμος παραπλησίως καί ἀπαραλλάκτως γίνεται. Πῶς καί τίνα τρόπον; Ἐν ὑπεραμώμῳ καί ὑπεράγνω γάμῳ ἑνούμενος ἡμῖν, ὁ Θεός ἐμποιεῖ τι μεῖζον ἡμῶν τῆς δυνάμεως. Τί οὖν ἐστι τοῦτο; Ἄκουε συνετῶς.

## ι΄. Ὅτι καί πάντες οἱ ἅγιοι τόν Λόγον τοῦ Θεοῦ ἐν ἑαυτοῖς συλλαμβάνουσι τῇ Θεοτόκῳ παραπλησίως καί γεννῶσιν αὐτόν καί γεννᾶται ἐν αὐτοῖς καί γεννῶνται ὑπ' αὐτοῦ, καί πῶς υἱοί καί ἀδελφοί καί μητέρες αὐτοῦ χρηματίζουσιν.

Ὁ Υἱός τοῦ Θεοῦ καί Θεός εἰσελθών ἐν τῇ γαστρί τῆς παναγίας Παρθένου καί σάρκα ἀναλαβόμενος ἐξ αὐτῆς καί γενόμενος ἄνθρωπος ἐτέχθη, ὡς εἴπομεν, ἄνθρωπος τέλειος καί Θεός τέλειος, ὁ αὐτός ἀσυγχύτως τά ἀμφότερα ὤν. Πρόσεχε οὖν· τί τό γεγονός μεῖζον εἰς ἡμᾶς; Ἕκαστος ἡμῶν τῶν ἀνθρώπων πιστεύομεν εἰς αὐτόν τόν Υἱόν τοῦ Θεοῦ καί Υἱόν τῆς ἀειπαρθένου καί θεοτόκου Μαρίας καί πιστεύοντες δεχόμεθα τόν περί αὐτοῦ λόγον πιστῶς ἐν ταῖς καρδίαις ἡμῶν, ὅν καί ὁμολογοῦντες τῷ στόματι καί ὑπέρ τῶν προτέρων ἡμῶν ἀνομημάτων μετανοοῦντες ἀπό ψυχῆς, εὐθύς, ὥσπερ ἐν τῇ γαστρί τῆς Παρθένου εἰσῆλθεν ὁ Θεός Λόγος τοῦ Πατρός, οὕτως καί ἐν ἡμῖν αὐτοῖς ὁ λόγος ὅν δεχόμεθα, διδασκόμενοι τήν εὐσέβειαν, ὥσπερ σπόρος εὑρίσκεται. Ἔκστηθι τό φρικτόν ἀκούων τοῦ μυστηρίου καί τόν λόγον πιστόν ὄντα μετά πάσης ὑπόδεξαι πληροφορίας καί πίστεως.

Συλλαμβάνομεν οὖν αὐτόν οὐχί σωματικῶς, ὡς ἡ Παρθένος καί Θεοτόκος τοῦτον συνέλαβεν, ἀλλά πνευματικῶς μέν, οὐσιωδῶς δέ· καί ἔχομεν αὐτόν ἐκεῖνον ὅν καί ἡ ἁγνή Παρθένος συνέλαβεν, ἐν ταῖς καρδίαις ἡμῶν, καθώς ὁ θεῖος Παῦλός φησιν· «*Ὁ Θεός ὁ εἰπών ἐκ σκότους φῶς λάμψαι, ὅς ἔλαμψεν ἐν ταῖς καρδίαις ἡμῶν πρός φωτισμόν τῆς γνώσεως τοῦ Υἱοῦ αὐτοῦ*», οἷον εἰπεῖν ἀντί τοῦ «*αὐτός ὅλος οὐσιωδῶς γέγονε ἐν ἡμῖν*». Ὅτι δέ οὕτως ἔχει τό λεγόμενον διανοίας, διά τῶν ἑξῆς ἐδήλωσεν οὕτως εἰπών· «*Ἔχομεν δέ τόν θησαυρόν τοῦτον ἐν ὀστρακίνοις σκεύεσι*», θησαυρόν τό Ἅγιον Πνεῦμα καλῶν. Ἑτέρωθι δέ καί τόν Κύριον εἶναι πνεῦμα καλεῖ· «*Τό γάρ πνεῦμα, φησίν, ὁ Κύριός ἐστιν*». Ταῦτα δέ λέγει ἵνα, κἄν Υἱόν ἀκούῃς Θεοῦ, καί τό Πνεῦμα νοῇς καί συνακούῃς αὐτῷ· κἄν Πνεῦμα πάλιν, καί τόν Πατέρα τούτῳ συνεννοῇς, ἐπειδή καί περί αὐτοῦ «*πνεῦμα*» φησίν «*ὁ Θεός*», πανταχοῦ διδάσκων σε τό ἀχώριστον καί ὁμοούσιον τῆς Ἁγίας Τριάδος καί ὅτι, ὅπου ὁ Υἱός ἐκεῖ καί ὁ Πατήρ, καί ὅπου ὁ Πατήρ ἐκεῖ καί τό Πνεῦμα, καί ὅπου τό Πνεῦμα τό Ἅγιον ἐκεῖ τό πᾶν τῆς τρισυποστάτου θεότητος, ὁ εἷς Θεός καί Πατήρ σύν Υἱῷ καί Πνεύματι τοῖς ὁμοουσίοις, «*ὁ ὤν εὐλογητός εἰς τούς αἰῶνας, ἀμήν*».

Τοιγαροῦν καί ὁλοψύχως πιστεύοντες καί μετανοοῦντες θερμῶς, συλλαμβάνομεν, ὡς εἴρηται, τόν Λόγον τοῦ Θεοῦ ἐν ταῖς καρδίαις ἡμῶν, ὡς ἡ Παρθένος, παρθένους δηλαδή καί ἁγνάς ἐπιφερόμενοι τάς ἰδίας ψυχάς· καί καθάπερ ἐκείνην ὑπεράμωμον οὖσαν τό πῦρ οὐ κατάφλεξε τῆς θεότητος, οὕτως οὐδέ ἡμᾶς ἁγνάς καί καθαράς ἐπιφερομένους τάς καρδίας καταφλέγει, ἀλλά δρόσος ἡ ἐξ οὐρανοῦ καί πηγή ὕδατος καί ἀθανάτου ζωῆς ῥεῖθρον ἐν ἡμῖν γίνεται. Ὅτι δέ καί ἡμεῖς τό ἄστεκτον πῦρ τῆς θεότητος ὡσαύτως δεχόμεθα, ἄκουσον τοῦ Κυρίου λέγοντος· «*Πῦρ ἦλθον βαλεῖν ἐπί τῆς γῆς*». Ποῖον ἄλλο, εἰ μή τό ὁμοούσιον αὐτοῦ τῆς θεότητος Πνεῦμα, μεθ' οὗ συνεισέρχεται καί

συνθεωρεῖται σύν τῷ Πατρί καί αὐτός καί ἔνδον ἡμῶν γίνεται; Ἐπεί δέ ἅπαξ ἐσαρκώθη ὁ Λόγος τοῦ Θεοῦ ἐκ τῆς Παρθένου καί σωματικῶς ἐξ αὐτῆς ἐγεννήθη ἀφράστως καί ὑπέρ λόγον, πάλιν δέ σαρκοῦσθαι ἤ σωματικῶς τίκτεσθαι αὐτόν οὐκ ἐνδέχεται ἐξ ἑνός ἑκάστου ἡμῶν, τί ποιεῖ; Ἐκείνην αὐτοῦ τήν ἄχραντον σάρκα, ἥν προσελάβετο ἐξ ἁγνῶν λαγόνων τῆς παναχράντου Μαρίας καί θεοτόκου, μεθ' ἧς καί ἐτέχθη σωματικῶς, ἐξ αὐτῆς μεταδίδωσιν ἡμῖν εἰς βρῶσιν· καί τρώγοντες αὐτήν, ὅλον τόν σαρκωθέντα Θεόν καί Κύριον ἡμῶν Ἰησοῦν τόν Χριστόν, τόν Υἱόν αὐτόν τοῦ Θεοῦ καί Υἱόν τῆς παρθένου καί παναμώμου Μαρίας, τόν ἐν δεξιᾷ καθήμενον τοῦ Θεοῦ καί Πατρός, ἕκαστος ἡμῶν τῶν πιστῶν τῶν ἀξίως ταύτην ἐσθιόντων τήν σάρκα αὐτοῦ, ἐν ἡμῖν ἔχομεν, κατά τό ὑπ' αὐτοῦ εἰρημένον· «*Ὁ τρώγων μου τήν σάρκα καί πίνων μου τό αἷμα ἐν ἐμοί μένει κἀγώ ἐν αὐτῷ*», μηδέποτε ἐξ ἡμῶν προερχόμενον ἤ σωματικῶς γεννώμενον καί χωριζόμενον ἀφ' ἡμῶν. Οὐκέτι γάρ κατά σάρκα γινώσκεται ὤν ἐν ἡμῖν ὥσπερ βρέφος, ἀλλά ἀσωμάτως ἐστίν ἐν σώματι, συνανακιρνάμενος ἡμῶν ταῖς οὐσίαις καί φύσεσιν ἀρρήτως καί θεοποιῶν ἡμᾶς ὡς συσσώμους αὐτοῦ καί σάρκα ὄντας ἐκ τῆς σαρκός αὐτοῦ καί ὀστοῦν ἐκ τῶν ὀστέων αὐτοῦ. Τοῦτο τό μεῖζον ἐν ἡμῖν τῆς ἀφράστου οἰκονομίας αὐτοῦ καί ὑπέρ λόγον συγκαταβάσεως, τοῦτο τό φρίκης ἁπάσης γέμον μυστήριον, ὅ καί ἀνένευον γράψαι καί πρός τήν ἐγχείρησιν ἔτρεμον.

Ἀλλ' ἐπεί βούλεται ἀεί ὁ Θεός τήν πρός ἡμᾶς ἀγάπην αὐτοῦ ἐκκαλύπτεσθαι καί φανεροῦσθαι ἡμῖν, ἵνα καί ἡμεῖς ποτε τήν πολλήν αὐτοῦ ἀγαθότητα ἐννοήσαντες καί αἰδεσθέντες ἀγαπῆσαι προθυμηθῶμεν αὐτόν, ὑπό τοῦ ἄνωθεν κινοῦντος καί φωτίζοντος τάς καρδίας ἡμῶν κινηθείς Πνεύματος διά γραφῆς ὑμῖν δῆλα ταῦτα πεποίηκα τά μυστήρια, οὐχ ἵνα τῆς τόν Κύριον τεκούσης κατά τόν τρόπον τῆς ἀπορρήτου γεννήσεως αὐτῆς ἴσον τινά τῶν ἀνθρώπων ἀποδείξω - μή γένοιτο! - οὐδέ γάρ ἐνδέχεται τοῦτο. Ἄλλη γάρ ἡ ἔνσαρκος τοῦ Θεοῦ Λόγου ἄφραστος γέννησις ἐξ αὐτῆς, καί ἄλλη ἡ πνευματικῶς παρ' ἡμῶν γινομένη· ἐκείνη μέν γάρ, σαρκωθέντα τόν Υἱόν καί Λόγον τοῦ Θεοῦ τέξασα, τό μυστήριον τῆς ἀναπλάσεως τοῦ γένους ἡμῶν καί τήν σωτηρίαν τοῦ κόσμου παντός ἐπί τῆς γῆς τέτοκεν, ἥτις ἐστίν ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός καί Θεός, ὁ τά διεστῶτα ἑνώσας πρός ἑαυτόν καί τήν ἁμαρτίαν τοῦ κόσμου ἀράμενος· αὕτη δέ, ἐν θείῳ Πνεύματι τόν Λόγον τῆς γνώσεως τοῦ Θεοῦ τίκτουσα, ἀεί ἐν ταῖς καρδίαις ἡμῶν τό μυστήριον τῆς ἀνακαινίσεως τῶν ἀνθρωπίνων ψυχῶν καί τήν κοινωνίαν μετά τοῦ Θεοῦ Λόγου καί ἕνωσιν ἀπεργάζεται, ἥν καί τό θεῖον οὕτω λέγον ὑπαινίττεται λόγιον· «*Δι' οὗ ἐν γαστρί ἐλάβομεν καί ὠδινήσαμεν καί ἐτέκομεν πνεῦμα σωτηρίας, ὅ ἐκυήσαμεν ἐπί τῆς γῆς*» - ἀλλ' ἵνα φανερωθῇ ἡ ὑπεράπειρος αὐτοῦ πρός ἡμᾶς καί γνησία ἀγάπη καί ὅτι, εἰ βουλοίμεθα, καί πάντες ἡμεῖς κατά τό θεῖον τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ λόγιον μήτηρ κατά τόν εἰρημένον τρόπον καί ἀδελφοί αὐτοῦ χρηματίσωμεν καί ἴσοι πάντως τῶν αὐτοῦ μαθητῶν καί ἀποστόλων γενώμεθα, οὐχί κατά τήν ἀξίαν ἐκείνων οὐδέ κατά τάς περιόδους καί τούς κόπους οὕσπερ ὑπέστησαν, ἀλλά κατά τήν χάριν τοῦ Θεοῦ καί τήν δωρεάν, ἥν πλουσίως ἐξέχεεν ἐπί πάντας τούς πιστεύειν καί ἀκολουθεῖν αὐτῷ ἀνεπιστρόφως ἐθέλοντας, καθώς αὐτός τοῦτο βουλόμενος ἀριδήλως βοᾷ· «*Μήτηρ μου, φησί, καί ἀδελφοί μού εἰσιν οἱ ἀκούοντες τόν λόγον τοῦ Θεοῦ καί ποιοῦντες αὐτόν*».

Εἶδες πῶς πάντας τούς ἀκούοντας τόν λόγον αὐτοῦ καί ποιοῦντας αὐτόν εἰς τήν τῆς μητρός αὐτοῦ ἀξίαν ἀνήγαγε καί ἀδελφούς αὐτοῦ λέγει καί συγγενεῖς τούτους πάντας ἀποκαλεῖ; Πλήν ἐκείνη μέν κυρίως μήτηρ αὐτοῦ καθέστηκεν ὡς σωματικῶς, καθάπερ ἔφθην εἰπών, ἀφράστως τοῦτον καί ἀπειράνδρως ἀποτεκοῦσα, οἱ δέ γε ἅγιοι πάντες κατά τήν χάριν καί τήν δωρεάν συλλαμβάνοντες αὐτόν ἔχουσιν· καί ἐκ μέν τῆς παναμώμου μητρός αὐτοῦ τήν σάρκα αὐτοῦ τήν παναμώμητον ἐδανείσατο, ἀντ᾽αὐτῆς δέ τήν θεότητα αὐτῇ ἐδωρήσατο - ὤ ξένου καί καινοῦ συναλλάγματος! - ἀπό δέ τῶν ἁγίων σάρκα μέν οὐ λαμβάνει, μεταδίδωσι δέ αὐτοῖς τήν τεθεωμένην σάρκα αὐτοῦ. Καί ὅρα μοι τό βάθος τοῦ μυστηρίου. Ἡ μέν οὖν χάρις τοῦ Πνεύματος, ἤγουν τό πῦρ τῆς θεότητος, τοῦ Σωτῆρος ἡμῶν ἐστι καί Θεοῦ ἐκ τῆς φύσεως καί τῆς οὐσίας αὐτοῦ, τό δέ σῶμα αὐτοῦ οὐκ ἔστιν ἐκεῖθεν, ἀλλ᾽ ἐκ τῆς πανάγνου καί ἁγίας σαρκός τῆς Θεοτόκου καί ἐκ τῶν παναχράντων αἱμάτων αὐτῆς, ἐξ ἧς ταύτην ἀναλαβών ἰδιοποιήσατο, κατά τό ὅσιον λόγιον· «*Καί ὁ Λόγος σάρξ ἐγένετο*». Ταύτῃ τοι καί μεταδίδωσι τοῖς ἁγίοις ὁ τοῦ Θεοῦ καί τῆς ἀχράντου Παρθένου υἱός ἐκ μέν τῆς φύσεως καί τῆς οὐσίας τοῦ συναϊδίου Πατρός αὐτοῦ τήν χάριν, ὡς εἴρηται, τοῦ Πνεύματος, ἤτοι τήν θεότητα, καθώς διά τοῦ προφήτου φησί· «*Καί ἔσται ἐν ταῖς ἐσχάταις ἡμέραις, ἐκχεῶ ἀπό τοῦ Πνεύματός μου ἐπί πᾶσαν σάρκα*» δηλαδή τήν πιστεύσασαν, ἐκ δέ τῆς φύσεως καί οὐσίας τῆς κυρίως καί ἀληθῶς ἀποτεκούσης αὐτόν, τήν σάρκα ἥν ἀνέλαβεν ἐξ αὐτῆς.

Καί ὥσπερ ἐκ τοῦ πληρώματος αὐτοῦ ἡμεῖς πάντες ἐλάβομεν, οὕτω καί ἐκ τῆς ἀμωμήτου σαρκός τῆς παναγίας Μητρός αὐτοῦ ἥν ἀνέλαβε μεταλαμβάνομεν ἅπαντες· καί καθάπερ υἱός αὐτῆς καί Θεός ὁ Χριστός καί Θεός ἡμῶν γέγονεν, ἀδελφός δέ ἡμῶν ἐχρημάτισεν, οὕτω καί ἡμεῖς - ὤ τῆς ἀφράστου φιλανθρωπίας! - υἱοί τῆς Θεοτόκου μητρός αὐτοῦ καί ἀδελφοί αὐτοῦ τοῦ Χριστοῦ γινόμεθα, ὡς διά τοῦ μετ᾽ αὐτῆς καί ἐν αὐτῇ γεγονότος ὑπεραμώμου καί ὑπεραγνώστου γάμου γεννηθέντος τοῦ Υἱοῦ τοῦ Θεοῦ < ἐξ > αὐτῆς, καί ἐξ αὐτοῦ πάλιν πάντες οἱ ἅγιοι. Ὥσπερ γάρ ἐκ τῆς συνουσίας καί σπορᾶς τοῦ Ἀδάμ ἡ Εὔα πρώτη ἔτεκεν καί ἐξ ἐκείνης καί δι᾽ ἐκείνης πάντες ἐγεννήθησαν ἄνθρωποι, οὕτω καί ἡ Θεοτόκος τόν τοῦ Θεοῦ Πατρός Λόγον ἀντί σπορᾶς δεξαμένη συνέλαβε καί ἔτεκε μόνον αὐτόν τόν Μονογενῆ ἐκ τοῦ Πατρός πρό αἰώνων καί μονογενῆ ἐπ᾽ ἐσχάτων ἐξ αὐτῆς σαρκωθέντα· καί παυσαμένη τοῦ συλλαμβάνειν καί τίκτειν αὕτη, ὁ Υἱός αὐτῆς καί ἐγέννησε καί γεννᾷ καθ᾽ ἑκάστην τούς πιστεύοντας εἰς αὐτόν καί φυλάσσοντας τάς ἁγίας αὐτοῦ ἐντολάς. Ἔπρεπε καί γάρ, ἐπεί ἡ ἐν φθορᾷ γέννησις ἡμῶν διά τῆς γυναικός Εὔας ἐγένετο, τήν πνευματικήν γέννησιν ἡμῶν καί ἀνάπλασιν διά τοῦ ἀνδρός, ἤτοι τοῦ δευτέρου Ἀδάμ καί Θεοῦ, γίνεσθαι. Καί ὅρα μοι ἐντεῦθεν τήν τοῦ λόγου ἀκρίβειαν· ἀνδρός θνητοῦ καί φθαρτοῦ ἡ σπορά φθαρτούς υἱούς καί θνητούς διά γυναικός ἀπεγέννησε καί γεννᾷ· ἀθανάτου καί ἀφθάρτου Θεοῦ ἀθάνατος καί ἄφθαρτος Λόγος ἀθάνατα καί ἄφθαρτα τέκνα ἀπεγέννησε καί ἀεί γεννᾷ, ἐκ τῆς Παρθένου πρῶτον αὐτός τεχθείς δηλονότι ἐν Ἁγίῳ Πνεύματι.

Κατά τοῦτο οὖν δέσποινα καί βασιλίς καί κυρία καί μήτηρ πάντων τῶν ἁγίων ἡ τοῦ Θεοῦ Μήτηρ ἐστί, οἱ δέ ἅγιοι πάντες δοῦλοι μέν αὐτῆς εἰσι, καθό Μήτηρ ἐστί τοῦ Θεοῦ,

υἱοί δέ αὐτῆς, καθό μεταλαμβάνουσιν ἐκ τῆς παναχράντου σαρκός τοῦ Υἱοῦ αὐτῆς. Πιστός ὁ λόγος· ἡ γάρ σάρξ τοῦ Κυρίου, τῆς Θεοτόκου ἐστί σάρξ· καί ἐξ αὐτῆς τῆς θεωθείσης τοῦ Κυρίου σαρκός μεταλαμβάνοντες, ζωήν αἰώνιον μεταλαμβάνειν ὁμολογοῦμέν τε καί πιστεύομεν, εἰ μή τι ἀναξίως καί εἰς κατάκριμα ἑαυτῶν ταύτην μᾶλλον ἐσθίομεν. Συγγενεῖς δέ αὐτῆς τρισσῶς οἱ ἅγιοί εἰσι· καθ' ἕνα μέν τρόπον ὅτι ἐκ τοῦ αὐτοῦ πηλοῦ καί τῆς αὐτῆς πνοῆς εἴτ' οὖν ψυχῆς συγγένειαν ἔχουσι· κατά δεύτερον δέ, ὅτι ἐκ τῆς προσληφθείσης σαρκός αὐτῆς κοινωνίαν καί μετουσίαν ἔχουσι μετ' αὐτῆς· καθ' ἕτερον δέ, ὅτι διά τήν κατά Πνεῦμα ἐγγινομένην ἁγιωσύνην αὐτοῖς δι' αὐτῆς ἐν ἑαυτῷ ἕκαστος συλλαμβάνων ὁμοίως ἔχει τόν τῶν ἁπάντων Θεόν, καθάπερ κἀκείνη τοῦτον ἔσχεν ἐν ἑαυτῇ· εἰ γάρ καί σωματικῶς αὐτός ἀπεγέννησεν, ἀλλ' ὅλον αὐτόν καί πνευματικῶς ἐν ἑαυτῇ πάντοτε εἶχε καί νῦν ἀεί καί ὡσαύτως ἔχει ἀχώριστον.

Τοῦτο τοίνυν τό τῶν γάμων μυστήριον, ὅ τῷ μονογενεῖ αὐτοῦ Υἱῷ ἐποιήσατο ὁ Πατήρ, ὁ συναΐδιος καί ὁμότιμος· καί ἐκάλεσε πολλούς καί ἀπέστειλε τούς δούλους αὐτοῦ καλέσαι τούς κεκλημένους εἰς τούς γάμους καί οὐκ ἤθελον ἐλθεῖν.

## ια΄. Εἰς τό ῥητόν τοῦ Εὐαγγελίου· «*Καί ἀπέστειλε τούς δούλους αὐτοῦ καλέσαι τούς κεκλημένους εἰς τούς γάμους καί οὐκ ἤθελον ἐλθεῖν*».

Τίνες οὖν ἦσαν οἱ ἀπεσταλμένοι; Οἱ προφῆται, φησί. Τίνες οἱ κεκλημένοι; Τῶν Ἰουδαίων οἱ παῖδες· ἐκεῖνοι γάρ ἦσαν οἱ τότε καί ἐξ ἀρχῆς κεκλημένοι, καί οὐκ ἠθέλησαν ἀκοῦσαι αὐτῶν· «*Πάλιν ἀπέστειλεν ἄλλους δούλους λέγων· Εἴπατε τοῖς κεκλημένοις· Ἰδού τό ἄριστόν μου ἡτοίμασα, οἱ ταῦροί μου καί τά σιτιστά τεθυμένα καί πάντα ἕτοιμα· δεῦτε εἰς τούς γάμους. Οἱ δέ ἀμελήσαντες ἀπῆλθον, ὁ μέν εἰς τόν ἴδιον ἀγρόν, ὁ δέ εἰς τήν ἐμπορίαν αὐτοῦ· οἱ δέ λοιποί κρατήσαντες τούς δούλους αὐτοῦ ὕβρισαν καί ἀπέκτειναν*». Ποίους λέγει δούλους; Τούς ἀποστόλους αὐτοῦ. Τί δέ ἐστι τό ἄριστον; Ἡ τῶν οὐρανῶν βασιλεία, ἥν προητοίμασε τοῖς κατά πρόθεσιν κλητοῖς οὖσιν ἀπό καταβολῆς κόσμου. Ταύρους δέ τίνας λέγει καί σιτιστά; Αὐτόν τόν τῆς Παρθένου Υἱόν καί Θεόν, τόν μόσχον ὄντα τῇ θεότητι σιτευτόν· οὗτος γάρ καί ταῦρός ἐστι τῇ δυνάμει ὄντως ἀήττητος, πληθυντικῶς δέ ταύρους ἑαυτόν ἐκάλεσεν, ὅτι εἰς πολλά μερίζεται ἡ ἁγία αὐτοῦ σάρξ καί μία ἑκάστη μερίς ἡ ἐξ αὐτοῦ ὅλος ἐκεῖνος πάλιν ἐστί, τοσοῦτον ὤν δυνατός, ὅτι καί τούς ἐχθρούς τῶν λαμβανόντων αὐτόν ἀποτρέπεται ἅπαντας κἀκείνοις δύναμιν δίδωσιν, ὥστε νικῆσαι τόν κόσμον καί δυνηθῆναι γενέσθαι αὐτούς υἱούς Θεοῦ. Ἀμνός δέ λέγεται ὁ πανάμωμος ἀμνός τοῦ Θεοῦ ὡς ἐνιαύσιος, κριός δέ ὡς κεράτων δίκην τόν σταυρόν ἐπιφερόμενος ἄνωθεν, δι᾽ οὗ καί τήν πληγήν καιρίαν τῷ ἀντιπάλῳ δέδωκε καί εἰς ὅν ἐκεῖνοι τοῦτον σταυρώσαντες ἀπέκτειναν. Ἄλλους δέ δούλους φησί τούς ἁγίους ἀποστόλους αὐτοῦ, οὕς καί ἀπέστειλε παραγγείλας αὐτοῖς εἰς ὁδόν ἐθνῶν μή ἀπελθεῖν καί εἰς πόλιν Σαμαρειτῶν μή εἰσελθεῖν, πορευθῆναι δέ μᾶλλον πρός τά ἀπολωλότα πρόβατα τοῦ οἴκου Ἰσραήλ· οἱ δέ οὐδέ τούτους ἐδέξαντο, ἀλλά τούς μέν ὕβρισαν καί ἔτυψαν, τούς δέ καί ἀπέκτειναν, ἐξ ὧν καί Στέφανος ὁ πρῶτος τῶν μαρτύρων ὑπάρχει. «*Ἀκούσας δέ ὁ βασιλεύς ὠργίσθη και πέμψας τά στρατεύματα αὐτοῦ ἀπώλεσε τούς φονεῖς ἐκείνους καί τήν πόλιν αὐτῶν ἐνέπρησε*». Τούς ἀσεβεῖς Ἑβραίους φησίν, οὕς καί κατέσφαξε, διά τῆς τῶν Ῥωμαίων ἐφόδου τήν παντελῆ ἐρήμωσιν αὐτῶν ἐργασάμενος. Στρατεύματα δέ Θεοῦ καί οἱ πονηροί λέγονται, εἰς τιμωρίαν ἑτέρων πονηρῶν ἐκπεμπόμενοι, καθώς φησι διά Μωϋσέως ὁ Θεός· «*Ἐπαποστελῶ εἰς αὐτούς θυμόν καί ὀργήν, ἀποστολήν δι᾽ ἀγγέλων πονηρῶν*».

«*Τότε τοίνυν λέγει τοῖς δούλοις αὐτοῦ· Ὁ μέν γάμος ἕτοιμός ἐστιν, οἱ δέ κεκλημένοι οὐκ ἦσαν ἄξιοι· πορεύεσθε οὖν ἐπί τάς διεξόδους τῶν ὁδῶν καί ὅσους ἄν εὕρητε καλέσατε εἰς τούς γάμους*». Εἶδες ἀκολουθίαν πραγμάτων; Εἶδες παραβολῆς ἀκρίβειαν; «*Τότε*» γάρ φησι. Τότε; πότε; Ὅτε οἱ Ἰουδαῖοι δηλονότι, κληθέντες εἰς τήν βασιλείαν τῶν οὐρανῶν ὑπό τῶν ἀποστόλων, οὐ μόνον οὐκ ἠνέσχοντο ἀκοῦσαι αὐτῶν, ἀλλά καί ὑβρίσαντες αὐτούς ἀπέκτειναν, τότε ἀπέστειλεν αὐτούς εἰς τόν σύμπαντα κόσμον καί εἰς πάντα τά ἔθνη. «*Καί ἐξελθόντες, φησίν, οἱ δοῦλοι ἐκεῖνοι εἰς τάς ὁδούς, συνήγαγον πάντας ὅσους εὗρον πονηρούς τε καί ἀγαθούς καί ἐπλήσθη ὁ γάμος ἀνακειμένων*». Τήν γάρ οἰκουμένην περιελθόντες οἱ ἀπόστολοι πᾶσαν, ἐκήρυξαν τόν τοῦ Θεοῦ λόγον καί τούς ὑπακούσαντας πάντας εἰς μίαν συνήγαγον θεογνωσίας πίστιν πονηρούς τε ἅμα τοῖς

τρόποις καί ἀγαθούς, μεταβαλλομένους δηλονότι καί πρός ἀρετήν ἐπαναγομένους. Τοῦτο γάρ δηλοῖ τό «*συνήγαγον*»· ἀλλά γάρ καί ἀπό τῶν ἑξῆς τό αὐτό τοῦτο πάλιν διδασκόμεθα. Φησί γάρ· «*Εἰσελθών δέ ὁ βασιλεύς θεάσασθαι τούς ἀνακειμένους, εἶδεν ἐκεῖ ἄνθρωπον οὐκ ἐνδεδυμένον ἔνδυμα γάμου καί λέγει αὐτῷ· Ἑταῖρε, πῶς εἰσῆλθενς ὧδε μή ἔχων ἔνδυμα γάμου; Ὁ δέ ἐφιμώθη. Τότε εἶπεν ὁ βασιλεύς τοῖς διακόνοις· Δήσαντες αὐτοῦ χεῖρας καί πόδας, ἄρατε αὐτόν καί ἐκβάλετε είς τό σκότος τό ἐξώτερον· πολλοί γάρ εἰσι κλητοί, ὀλίγοι δέ ἐκλεκτοί*». Ὁρᾷς ὅπως τούς μεταβαλλομένους τόν τρόπον συνάγεσθαι εἰς τούς γάμους λέγει, τούς δέ μετά πονηρίας ἤ κακίας τινός, κἄν εἰσέλθωσι, πάλιν μετ᾽ αἰσχύνης ὑπό τῶν ἀγγέλων ἐκβάλλεσθαι, οὕς καί διακόνους καλεῖ. Οἱ οὖν ἀνακείμενοι ἐν τοῖς γάμοις οἱ ἅγιοί εἰσιν. Αὐτόν δέ τόν μή ἔχοντα ἔνδυμα γάμου, οἶδα ὅτι τινές τούς ἐν πορνείᾳ μόνον καί μοιχείᾳ καί φόνοις τά ἑαυτῶν καταρρυπώσαντας σώματα λογίζονται εἶναι. Ἀλλ᾽ οὐκ ἔστι τοῦτο, οὐκ ἔστι· πάντα γάρ τόν ὑπό οἱουδηποτοῦν πάθους ἤ κακίας λέγει ῥερυπωμένον. Καί ὅτι τοῦτό ἐστιν ἀληθές, ἄκουε Παύλου λέγοντος· «*Μή πλανᾶσθε· οὔτε πόρνοι, οὔτε μοιχοί, οὔτε μαλακοί, οὔτε ἀρσενοκοῖται, οὔτε κλέπται, οὔτε πλεονέκται, οἱ καί εἰδωλολάτραι δηλονότι, οὔτε μέθυσοι, οὔτε λοίδοροι*», προσθήσω δέ οὔτε οἱ μῖσος πρός τινα ἀδελφόν ἤ φθόνον ἔχοντες «*βασιλείαν Θεοῦ οὐ κληρονομήσουσιν*», οὐδέ μερίδα ἔχουσιν ἐν τῇ εὐφροσύνῃ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Ὁρᾷς πῶς τό τῆς ψυχῆς ἔνδυμα πᾶσα πονηρία καί ἁμαρτία μολύνει καί ἡμᾶς ποιεῖ τῆς βασιλείας ἐκβάλλεσθαι;

**ιβ΄. Ὅτι οὐ χρή πρό τῆς ἐργασίας τῶν ἐντολῶν καί τῆς εἰς ἀρετήν προκοπῆς τε καί τελειώσεως τά κεκρυμμένα μυστήρια τῆς βασιλείας τῶν οὐρανῶν ἐρευνᾶν τῶν ἀμυήτων τινά· καί ὅτι ἐν τῇ δευτέρᾳ τοῦ Κυρίου ἐλεύσει πάντες ἀλλήλους γνωρίζουσιν οἱ ἅγιοι.**

Τοιγαροῦν ἐάσωμεν τάς ματαίας καί ἀνωφελεῖς συζητήσεις καί μή τά τοῦ καιροῦ πρό καιροῦ μανθάνειν σπουδάζωμεν, πειθώμεθα δέ μᾶλλον οὕτω λέγοντι τῷ Δεσπότῃ. «*Ἐρευνᾶτε τάς Γραφάς*». Ἐρευνᾶτε καί μή πολυπραγμονεῖτε. Ἐρευνᾶτε τάς Γραφάς καί μή ἔξωθεν τῶν ἁγίων Γραφῶν συζητήσεις ποιεῖσθε. Ἐρευνᾶτε τάς Γραφάς, ἵνα περί πίστεως καί ἐλπίδος καί ἀγάπης διδάσκησθε· περί πίστεως, ἵνα μή παντί ἀνέμῳ συμπεριφέρησθε κατά τήν κυβείαν τῶν ἀστηρίκτων ἀνθρώπων, ἀλλά διά δογμάτων ὀρθῶν τῆς ἀποστολικῆς καί καθολικῆς Ἐκκλησίας στερεοῦσθε καί τόν «*λόγον ὀρθοτομεῖτε*» αὐτῆς. Οὐ μόνον δέ, ἀλλά καί τόν τῆς πίστεως καρπόν καί τό ἐκ ταύτης ὄφελος διά τῆς πράξεως τῶν ἐντολῶν τοῦ ἐκζητεῖν διδαχθήσεσθε καί, ὅταν εὑρεῖν τοῦτο δυνηθῆτε, τηνικαῦτα καί τήν ἐλπίδα ἀκαταίσχυντον κτήσεσθε καί τήν πρός Θεόν ἀγάπην ἐν αὐτῇ ὁλικήν ἕξετε. Ἄλλως γάρ ἀδύνατον παντί ἀνθρώπῳ τήν πρός Θεόν ἀγάπην τελείαν κτήσασθαι εἰ μή διά πίστεως ἀκραιφνοῦς καί ἐλπίδος βεβαίας καί ἀδιστάκτου. Τί οὖν καταλιπόντες τό ἀνακρίνειν ἑαυτούς περί τούτων, καί εἰ ἄρα πίστιν ἔσχομεν πρός τόν Θεόν τοιαύτην οἵαν αὐτός ἐκεῖνος, ὁ καί κρῖναι μέλλων, καί ἀπαιτῆσαι ταύτην ἡμᾶς λέγει, τά ὑπέρ ἡμᾶς πολυπραγμονοῦμεν, καί ταῦτα, μηδέ τά ἐν ποσίν εἰδότες ποσῶς;

Ὁποία δέ ἐστιν ἡ πίστις ἥν ἀπαιτούμεθα πρός Θεοῦ καί ποταπή ἥν ὀφείλομεν πρός αὐτόν ἔχειν, αὐτός οὗτος διά τῶν εὐαγγελίων ἐδήλωσεν, οὕτως εἰπών· «*Ὁ θέλων ὀπίσω μου ἐλθεῖν ἀπαρνησάσθω ἑαυτόν καί ἀράτω τόν σταυρόν αὐτοῦ καί ἀκολουθείτω μοι· ὅστις γάρ ἔρχεται πρός με καί οὐ μισεῖ τόν πατέρα αὐτοῦ καί τήν μητέρα καί τούς ἀδελφούς καί τάς ἀδελφάς ἔτι δέ καί τήν ἑαυτοῦ ψυχήν οὐ δύναταί μου εἶναι μαθητής*». Καί πάλιν· «*Ὁ εὑρών τήν ψυχήν αὐτοῦ*» ἐν τοῖς εἰρημένοις δηλονότι «*ἀπολέσει αὐτήν· ὅς δ᾽ ἄν ἀπολέσῃ τήν ψυχήν αὐτοῦ ἕνεκεν ἐμοῦ καί τοῦ εὐαγγελίου μου*» ἤγουν τῆς τῶν ἐντολῶν μου ἐκπληρώσεως «*εἰς ζωήν αἰώνιον εὑρήσει αὐτήν*». Ἠκούσατε τῆς πίστεως τά γνωρίσματα; Ἀρκεῖσθε τοῖς εἰρημένοις ἤ ἔτι χρείαν ἔχετε καί τῶν ἑξῆς ἀναμνησθῆναι;

Εἰ οὖν βούλεσθε μαθεῖν ὅτι τοιαύτην πίστιν ἀπαιτεῖ ἡμᾶς ὁ Θεός, ὥστε μηδέ περί τῆς παρούσης ταύτης ζωῆς τό καθόλου φροντίζειν πιστεύοντας εἰς αὐτόν, ἐξ αὐτοῦ μάθετε ἀκριβῶς τοῦ Κυρίου οὕτω διαρρήδην βοῶντος· «*Μή μεριμνήσητε περί τῆς αὔριον τί φάγητε ἤ τί πίητε ἤ τί ἐνδύσησθε*». Κατά μικρόν δέ ἀνάγων ἐπί τά τελεώτερά φησιν· «*Ἐάν τις σε ῥαπίσῃ εἰς τήν δεξιάν σιαγόνα, στρέψον αὐτῷ καί τήν ἄλλην· καί τῷ θέλοντί σοι κριθῆναι καί τόν χιτῶνά σου λαβεῖν ἄφες αὐτῷ καί τό ἱμάτιον· καί τῷ αἴροντι τά σά μή ἀπαίτει*». Καί ἔτι καθ᾽ ὑπερβολήν εἰς ὑπερβολήν πίστεως εὔχεσθαι καί ἀγαπᾶν κελεύει τούς ἐχθρούς καί καλῶς ποιεῖν τοῖς μισοῦσιν ἡμᾶς καί ὑπέρ τῶν ἐπηρεαζόντων ἡμᾶς εὔχεσθαι. Καί ἄλλα πλείονα κελεύει ποιεῖν ἡμᾶς ἐξ ὧν πρότερον δηλονότι δείκνυται ἡ πρός αὐτόν πίστις ἡμῶν, καί τότε τό πιστούς ἡμᾶς εἶναι λέγειν χρεών· χωρίς

γάρ τούτων νεκρά ἡ πίστις ἡμῶν καί ἡμεῖς νεκροί δηλονότι.

Ἐρεύνησον τοιγαροῦν σεαυτόν ἀκριβῶς, ὦ οὗτος, καί ἐάν μηδέν τῶν εἰρημένων ἐλλείψαντα σεαυτόν εὑρήσῃς, ἀλλά πάντα μεθ᾽ὑπερβολῆς ἀπό ζεούσης καρδίας καί προθέσεως πράξαντα, πάντως ἔχειν ἐν φωτί κατανοήσεις ἑαυτόν καί ἐλπίδα ἀκαταίσχυντον, οὐχί τήν ἐξ οἰήσεως ἐν τοῖς ἀπολλυμένοις προσγινομένην, ἧς τό μάταιον καί ἀπατηλόν οὐδείς τῶν κεκτημένων αὐτήν ἐπιγνῶναι δύναται, ἀλλά τήν χρηστήν ἐλπίδα καί ἀληθινήν ἐν ἀληθινῷ καί ἀκαταισχύντῳ φωτί. Ἐν ταύτῃ δέ ὥσπερ ἐπ᾽ ὀχήματι χερουβικῷ κατίδοις τήν ἀγάπην ἐποχουμένην, ἥτις ἐστίν ὁ Θεός· ἥν ἐάν οὕτως εὑρών ἴδῃς, οὐ πολυπραγμονήσεις ἔκτοτε τῶν μελλόντων καί ἀοράτων οὐδέν, ἀλλά καί ἄλλους ἐπιστομίσεις καί παραγγείλῃς μή πολυπραγμονεῖν τι μηδέ συζητεῖν περί τῶν ἐκεῖσε, ὡς αὐτῇ τῇ πείρᾳ μαθών ὅτι νῷ καί λόγῳ ἀκατάληπτα καί ἄφραστα πάντα εἰσί τά ἐκεῖσε. Εἰ δέ τά πιστόν σε τέως καί χριστιανόν ποιοῦντα ἐν πρώτοις γνωρίζεσθαι οὐκ ἔπραξας, ἀλλά μετά τῶν ἀπίστων πιστός καί μετά τῶν πιστῶν κατακεκριμένος ὑπό τοῦ συνειδότος ὡς ἄπιστος εἶ, καί οὐκέτι τελείαν ἔχεις ἐλπίδα καί πληροφορίαν σωθήσεσθαι, οὐδέ ὡς ὁ ἅγιος Παῦλος λέγειν καί σύ δύνασαι· «*Τόν ἀγῶνα τόν καλόν ἠγώνισμαι, τόν δρόμον τετέλεκα, τήν πίστιν τετήρηκα· λοιπόν ἀπόκειταί μοι ὁ τῆς δικαιοσύνης στέφανος, ὅν ἀποδώσει μοι ὁ Κύριος ὁ δίκαιος κριτής*», τί πολυπραγμονεῖς καί μαθεῖν ἐρωτᾷς, εἰ ἄρα μέλλουσιν γνωρίζειν οἱ ἅγιοι ἀλλήλους ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν, ὅταν ἐν τῇ θεωρίᾳ τοῦ ἐπί πάντων Θεοῦ γενόμενοι ὁρῶσιν αὐτόν; Τί σοι ἔσται ἐκ τούτου ὄφελος; Εἰπέ μοι.

Ἤθελον γάρ ἀκοῦσαι καί μαθεῖν παρά σοῦ τί σοι τό ὄφελος, ὑπό τοῦ συνειδότος, ὡς ἔφαμεν, κρινομένῳ σοι, ἐπειδή τάς ἐνταλθείσας ὑπό τοῦ Χριστοῦ μερίδα μή ἔχοντι, ἐάν τάς ἐν τῇ βασιλείᾳ αὐτοῦ ἀπολαύσεις καί δόξας καί τρυφάς καί ἀποκαταστάσεις μάθῃς διδασκόμενος παρ᾽ ἡμῶν. Οὐδέν οὐδαμῶς πάντως, ἀλλά καί κατάκριμα μεῖζον μᾶλλον σεαυτῷ προξενήσεις, ὅτι καί ταῦτα μαθών κατεφρόνησας καί τήν οἴησιν ἀποβαλέσθαι καί ταπείνωσιν κτήσασθαι οὐκ ἠθέλησας. Ἄλλως δέ καί ἐρωτῶντί μοι πρᾴως, ἐν εἰρήνῃ σύ ἀποκρίθητι. Παιδί μικρῷ μηδέ τά στοιχεῖα καταδεξαμένῳ τῶν γραμμάτων μαθεῖν, τά περί γραμματικῆς καί ῥητορικῆς ζητοῦντι διερμηνεύεσθαι, ἆρα ἀνέξεταί ποτε ἄνθρωπος, λογισμοῦ κύριος ὤν, κἄν λόγου ψιλοῦ ἀξιῶσαι τήν ἀφροσύνην αὐτοῦ, καί οὐχί μᾶλλον ἀπώσεται ὡς ἄφρονα καί παιδικά φρονοῦντα καί ἀναισθήτως αἰτοῦντα τά ὑπέρ τήν ἑαυτοῦ δύναμιν; Εἰ δέ ἐν τούτοις δίκαιον τοῦτο καί πρέπον ἐστί, πόσῳ μᾶλλον ἐν τοῖς ὑπέρ λόγον καί νοῦν καί διάνοιαν; Εἰ δέ καί τά στοιχεῖα τῶν γραμμάτων μή μάθῃ τις, ἀκούσει δέ ἅπερ δι᾽ ἑτέρων λέξεων οἱ Ἕλληνες συνεγράψαντο καί νοήσει αὐτά τῇ ἰδίᾳ διαλέκτῳ λεγόμενα, οὐδέν θαυμαστόν, ἐπειδή περί αἰσθητῶν ὁ λόγος αὐτοῖς καί μάταιοι περί ματαίων πραγμάτων αἱ διηγήσεις αὐτῶν.

Τά δέ περί οὗ ἐρωτᾷς οὐ τοιαῦτα, ἀλλ᾽ ὁποῖα καί πῶς; Ὡς ὁ προφήτης λέγει Δαβίδ· «*Καί ἔκλινεν οὐρανούς καί κατέβη καί γνόφος ὑπό τούς πόδας αὐτοῦ*». Τίς οὗτος ὁ γνόφος; Ἡ σάρξ αὐτή τοῦ Κυρίου, περί ἧς καί Ἰωάννης ὁ μέγας πρόδρομος αὐτοῦ ὕστερον ἔφη· «*Οὗ οὐκ εἰμί ἱκανός κύψας λῦσαι τόν ἱμάντα τῶν ὑποδημάτων αὐτοῦ*».

Κατέβη τοίνυν καί ἦλθεν ἀντί γνόφου περικείμενος τήν σάρκα. Καί αὖθις· «*Ἐπέβη ἐπί Χερουβίμ καί ἐπετάσθη, ἐπετάσθη ἐπί πτερύγων ἀνέμων. Καί ἔθετο σκότος ἀποκρυβήν αὐτοῦ· κύκλῳ αὐτοῦ ἡ σκηνή αὐτοῦ*». Ὁρᾷς ὅπως οὐ περί αἰσθητῶν σοι πραγμάτων ἡ ἔρευνα, ἀλλά περί θείων καί ἀκαταλήπτων καί οὐ ῥᾳδίως παρά πάντων καταλαμβανομένων; Εἰ γάρ γνόφον καί σκότος ἔθετο ἀποκρυβήν τῶν μυστηρίων αὐτοῦ καί πολλοῦ δέεταί τις φωτός τοῦ παναγίου Πνεύματος εἰς τήν κατανόησιν τῶν ἀποκεκρυμμένων αὐτοῦ μυστηρίων, πῶς, μήπω τοῦ θείου φωτός κατοικητήριον γεγονώς, ἐρευνᾷς ἅ μαθεῖν οὐκ ἰσχύσεις, ἀτελής ἔτι καί ἀφώτιστος ὤν; Ἵνα γάρ μή ὑπολάβῃς, ὡς ἐν σκότει καθήμενος, ὅτι κἀκεῖνος ἐν τῷ σκότει γεγονώς ἐκρύβη, «*κύκλῳ αὐτοῦ τήν σκηνήν αὐτοῦ*» ἔφη ὁ προφήτης Δαβίδ· σκηνήν δέ λέγει ἥν ὁ Παῦλος φῶς ὀνομάζει - «*φῶς γάρ, φησίν, οἰκῶν ἀπρόσιτον*» - , ἀμφότεροι τό ἀκατάληπτον καί ἄστεκτον αὐτοῦ τῆςθεότητος δηλοῦντες, οὐχί δέ περιοριστόν ποιοῦντες τό θεῖον, ἀλλ’ οἷον οὕτω πως τόν λόγον ποιούμενοι πρός τούς περιεργότερον ἔχοντάς φασι. Μή ὑπολάβετε, ὦ ἀνόητοι, ὅτι ἐν σκότει ὁ ἀναληφθείς Κύριος καί Θεός εἰσελθών ἐκρύβη· ἀλλά ἐκεῖνος μέν ἐν τῇ ἰδίᾳ δόξῃ τῇ τό πᾶν καί ὑπέρ τό πᾶν πληρούσῃ θεότητί ἐστιν ἐν ᾗ καί πρό τούτου ἦν, φειδόμενος δέ ἡμῶν, ἵνα μή ἄρδην ἀπολώμεθα, ἔθετο σκότος καλύπτον οὐκ ἐκεῖνον, ἀλλ΄ ἡμᾶς· «*Ὁ Θεός γάρ ἡμῶν, φησί, πῦρ καταναλίσκον*» οὐχί τούς δικαίους, ἀλλά τούς ἁμαρτωλούς.

Ἴδε οὖν· ἔμαθες ὡς ἐν παραδρομῇ τά τῆς πίστεως ἡμῶν θεῖά τε καί φρικτά μυστήρια παρ’ ἡμῶν, μᾶλλον δέ παρά τοῦ Ἁγίου Πνεύματος δι’ ἡμῶν· ἔμαθες ὅτι καί κατῆλθεν ἐπί τῆς γῆς ὁ Θεός καί ἀνῆλθεν αὖθις εἰς οὐρανούς καί ἔθετο σκότος ἀποκρυβήν αὐτοῦ· οὐ γάρ ἔδει πρό τῆς κρίσεως μετά τῆς τοῦ Πατρός αὐτοῦ δόξης φανῆναι ἡμῖν, ἀλλά τότε τοῦτο γενέσθαι ὅτε καί τόν καιρόν ὁ Πατήρ αὐτοῦ ἐν τῇ ἰδίᾳ ἔθετο ἐξουσίᾳ. Εἰ οὖν οὕτως ὑπάρχει τά μυστήρια κεκρυμμένα τῆς βασιλείας τῶν οὐρανῶν καί οὐ πᾶσι δέδοται γινώσκειν αὐτά κατά τήν τοῦ Κυρίου φωνήν, τί, ἀφείς ἐργάζεσθαι τάς ἐντολάς αὐτοῦ, περί τῶν ἀποκεκρυμμένων πᾶσιν ἀνθρώποις ἐπερωτᾷς; Ἰδού γάρ καθ’ ἑκάστην ἀκούεις τοῦ Ἀποστόλου βοῶντος περί ἐκείνων αὐτῶν «*ἅ ὀφθαλμός οὐκ εἶδε καί οὖς οὐκ ἤκουσε καί ἐπί καρδίαν ἀνθρώπου οὐκ ἀνέβη*», τά ἀγαθά «*ἅ ἡτοίμασεν ὁ Θεός τοῖς ἀγαπῶσιν αὐτόν*». Πρό γάρ τοῦ ἀναληφθῆναι αὐτόν καί τό σκότος θεῖναι ἀποκρυβήν αὐτοῦ δέδωκεν ἡμῖν τάς ἁγίας αὐτοῦ ἐντολάς, ὡς ἄν εἴποι τις, ἐργαλεῖα ἡμῖν δεδωκώς, τήν δέ πίστιν τήν εἰς αὐτόν ὥσπερ τινά τεχνίτην, ὡς εἶναι ἡμᾶς μέν σκεύη, τήν δέ πίστιν τεχνίτην, τάς δέ ἐντολάς ἐργαλεῖα, δι’ ὧν ὁ τεχνίτης Λόγος ἀναστοιχειοῖ καί νεουργεῖ τούς ἐργάτας τῶν αὐτοῦ ἐντολῶν, ὡς ἄν διά τῆς ἐργασίας αὐτῶν καθαιρόμενοι φωτιζώμεθα κατά προκοπήν ὑπό τοῦ Πνεύματος τήν γνῶσιν τῶν μυστηρίων τῆς βασιλείας τῶν οὐρανῶν.

Καί καθάπερ τά ἐργαλεῖα δίχα τεχνίτου καί ὁ τεχνίτης δίχα ἐργαλείων ἐνεργεῖν τι οὐ δύναται, οὕτως οὐδέ ἡ πίστις δίχα τῆς τῶν ἐντολῶν ἐκπληρώσεως, οὐδέ ἡ ἐκπλήρωσις τῶν ἐντολῶν δίχα πίστεως ἀνανεοῖ καθόλου καί ἀναπλάττει ἡμᾶς ἤ ἀπό παλαιῶν καινούς ἡμᾶς ἀπεργάζεται. Ὁπηνίκα δέ τά ἀμφότερα ἐν ἀδιστάκτῳ καρδίᾳ κτησώμεθα καί

εὔχρηστον σκεῦος τῷ Δεσπότῃ εἰς ὑποδοχήν τοῦ νοητοῦ μύρου γενώμεθα, τηνικαῦτα καί ὁ θείς τό σκότος ἀποκρυβήν αὐτοῦ ἐγκαινίζει ἡμῖν τῇ τοῦ Ἁγίου Πνεύματος δωρεᾷ καί καινούς ἀντί παλαιῶν καί ζῶντας ὡς ἀπό νεκρῶν ἐξανίστησι καί διατέμνει τό σκότος καί διαβιβάζει ἐκεῖθεν τούτου τόν ἡμέτερον νοῦν καί ὡς ἐξ ὀπῆς τινος παρακύπτειν αὐτόν καί βλέπειν χαρίζεται ἀμυδρῶς πως, ὅσον ἡλίου κύκλον ἤ σελήνης ἐστίν· ἔνθεν τοι καί διδάσκεται, ἤ μᾶλλον εἰπεῖν γινώσκει καί μυεῖται, πληροφορούμενος ὅτι ὄντως ἄλλως οὐκ ἔνι ἐν μερικῇ μετοχῇ τῶν ἀπορρήτων γενέσθαι τοῦ Θεοῦ ἀγαθῶν, εἰ μή ἐν ταπεινώσει καρδίας καί πίστει ἀδιστάκτῳ ὁλοψύχου προθέσεως πάντα τόν κόσμον οὗτοι καί τά ἐν τῷ κόσμῳ σύν τοῖς θελήμασιν αὐτῶν ἀπαρνήσονται ἐν πάσαις ταῖς ἐντολαῖς τοῦ Θεοῦ· καί οὐ τοῦτο μόνον, ἀλλ’ ἐάν μή ἀνεπαισχύντως, μᾶλλον δέ ἐν ἀγαλλιάσει καρδίας καί χαρᾷ, τούς ὑπέρ ἀρετῆς πόνους ὁμοῦ καί πειρασμούς διελεύσονται οἱ πιστεύοντες εἰς Χριστόν καί μάλιστα οἱ νήπιοι βαπτισθέντες καί μή ἐπαισθανόμενοι ἔχειν «*τήν τῆς χάριτος τοῦ Θεοῦ δωρεάν*».

Σύ οὖν, ὁ ταῦτα ἀναγνούς, μή ἐν οἰήσει τῆς ψευδωνύμου γνώσεως καί ἀναπλάσει λογισμῶν ματαίων, ἀλλ’ ἐν φόβῳ καί τρόμῳ σεαυτόν ἀνάκρινον· καί εἰ βούλει μαθεῖν ὅπως ἔχεις βίου καί καταστάσεως, ἐρώτησόν σου τήν ψυχήν καί εἰπέ αὐτῇ· «*Ψυχή, ἐφύλαξας τάς ἐντολάς τοῦ Θεοῦ πάσας ἤ οὔ;*» Καί ἀνοίξασα τό τοῦ συνειδότος αὐτῆς στόμα, ἐρεῖ σοι πάντως τό ἀληθές· οὐ γάρ αἰδεσθήσεταί σε, ἀλλ’ ἐλέγξει σε καί ἅ προαπέθου καί ἔχεις ἐν ἑαυτῷ, εἴτε ἀγαθά, εἴτε φαῦλα, ὑποδείξει σοι. Ἐν γάρ τῷ συνειδότι αὐτῆς εὑρήσεις, εἴτε τόν κόσμον ἠγάπησας, εἴτε τούτου προετίμησας τόν Θεόν, εἴτε τήν τῶν ἀνθρώπων δόξαν ἐζήτησας, εἴτε τήν ἐκ τοῦ Θεοῦ διδομένην μόνον ἐπόθησας· ἐν ἑαυτῷ παρακύψας ὡς ἐν κιβωτίῳ καί τό ὑποκείμενον ἀναψηλαφῶν, ἕν ἕν τῶν ἀποκειμένων ἐκβάλλων, πάντα γνωρίσεις τρανῶς. Ὑπόθου μοι γάρ ἐν πρώτοις ἐναποκεῖσθαι φιλοδοξίας καί κενοδοξίας ἔρωτα, εἶδος ἀνθρωπαρέσκειας, ἡδύσματα τῶν ἐξ ἀνθρώπων ἐπαίνων, ὑποκρίσεως ἔνδυμα, σπέρμα φιλαργυρίας ἐγκεκρυμμένον, καί ἁπλῶς πολλά ἐγκείμενα ἐν αὐτῷ καί ἕτερον ὑφ’ ἑτέρου συγκαλυπτόμενον, ἐπάνω δέ τούτων ἁπάντων ἔστω ἀνακειμένη φυσίωσις - ἡ γάρ γνῶσις, φησί, φυσιοῖ -, σύν ταύτῃ οἴησις καί τό δοκεῖν εἶναί τι μηδέν ὄντα τόν πεφυσιωμένον τόν λογισμόν. Τούτων τοιγαροῦν ἐπικειμένων τοῖς ἄλλοις οἷσπερ προείπομεν ἅπασι, πῶς ἰσχύσεις, εἰπέ μοι, ταῦτα θεάσασθαι; Πάντως ἐρεῖς· οὐδαμῶς.

Λέγε μοι οὖν ἄρτι καί τοῦτο. Μή πειθομένου σου ὅτι κάλυμμά τι τῶν τοιούτων ἐπίκειται τῇ καρδίᾳ σου, ἀλλ’ ἀπιστοῦντος, καθά δή καί Ἑβραῖοι, τοῦτο αὐτό τοῦ Παύλου λέγοντος πρός αὐτούς, ἀπιστοῦσι, καί μή περιαιροῦντός σου τό κάλυμμα τοῦτο ἐκ τῆς καρδίας σου, ἵνα καί τά ὑπ’ αὐτοῦ καλυπτόμενα πάθη ἴδῃς καί τήν ταλαίπωρόν σου ψυχήν οἰκτειρήσῃς καί σπεύσῃς αὐτήν ἐκκαθᾶραι καί τούς νοερούς αὐτῆς ὀφθαλμούς καί τό πρόσωπον δάκρυσι θερμοῖς ἀπονίψῃς, πᾶσαν ἀπορριψάμενος ὄπισθεν σοφίαν καί γνῶσιν τήν ἔξωθεν, Παύλῳ πειθόμενος, ὡς ἄν γένῃ μωρός ἐν τῷ κόσμῳ τούτῳ, ἵνα γένῃ φρόνιμος ἐν Χριστῷ, πῶς, εἰπέ, μωροῦ ὄντος σου, τά περί Θεοῦ σοι καί τῶν θείων ἐκδιηγήσομαι, ἀποκεκρυμμένων ὄντων καί ἀοράτων αὐτῶν; Οὐκ αὐτός σύ

καταγνώσεις μου ὡς ἀνάξιον πρᾶγμα ποιοῦντος καί ἐν σεαυτῷ δικαίως ἐρεῖς· «*Οὗτος, φησίν, ὄντως ἄφρων ἐστίν, ὁ ἐμοί τῷ ἄφρονι τά περί τῶν ἀοράτων και ἀκαταλήπτων πάσῃ πνοῇ τῇ ὑπό τόν οὐρανόν καί πάσῃ κτίσει τῇ ὑπεράνω οὔσῃ τῶν οὐρανῶν διηγούμενος*»; Εἰ γάρ τά τότε μέλλοντα γενέσθαι οὐδέ οἱ ἄγγελοι ἐπίστανται τοῦ Θεοῦ, καθώς οὐδέ τήν ἐπί γῆς αὐτοῦ παρουσίαν ὁποία ἤ ποταπή, ἤ πότε ἤ ὅτε κατελθεῖν ἔμελλε καί ἄνθρωπος γενέσθαι ἐγίνωσκον, πόσῳ μᾶλλον τήν μετά δόξης αὐτοῦ παρουσίαν ἔσχατον ἀγνοεῖν ὀφείλουσιν, ὁπότε γενήσεται καί ὁπόση, ἤ τίνα ἅπερ τότε τοῖς ἁγίοις αὐτοῦ μέλλει χαρίζεσθαι; Καί ὅτι ταῦτα οὕτως ἔχει ἐπί τῆς ἀληθείας, ὁ μέν Παῦλος ἐδήλωσεν εἰπών· «*Ἵνα γνωρισθῇ νῦν ταῖς ἀρχαῖς καί ταῖς ἐξουσίαις διά τῆς ἐκκλησίας ἡ πολυποίκιλος σοφία τοῦ Θεοῦ*», ὁ δέ Κύριος περί τῆς παρουσίας αὐτοῦ ὅτι «*καί αἱ δυνάμεις τῶν οὐρανῶν σαλευθήσονται*», ἀντί τοῦ ἐκπλαγήσονται καί θαυμάσουσιν, αἴφνης θεώμεναι ἅπερ μέχρι τότε πάντως οὐκ εἶδον. Εἰ τοίνυν αἱ δυνάμεις ἀγνοοῦσι τῶν οὐρανῶν, σύ, πῶς ὅλως ἀποτολμᾷς καί λέγεις ὅτι οὐ μή γνωρίζουσιν ἀλλήλους οἱ ἅγιοι ἐν τῇ βασιλείᾳ τοῦ Θεοῦ, ὁπόταν ἐν τῇ θεωρίᾳ τούτου γενήσονται; Ὁ δέ γε τούτῳ πάλιν ἀντιπίπτων, σύ, καί φάσκων· «*Ὄντως ὁρᾶν καί γνωρίζειν ἀλλήλους ὀφείλουσι*», πόθεν τοῦτο μεμάθηκας;

Ὦ ἄγνοια καί μανία καί σκότωσις! Οὐ φρίττετε, οὐ φοβεῖσθε; Ἐκ γάρ τῶν λόγων ὑμῶν ἀμφότεροι καταδικασθήσεσθε παρά τοῦ δικαίου καί ἀπροσωπολήπτου κριτοῦ. Πρός γάρ τούς λέγοντας μή ὁρᾶν μηδέ γνωρίζειν ἀλλήλους τούς ἁγίους, ἀλλά μόνον ἐκεῖνον ὁρᾶν, ταῖς αἰσθήσεσι πάσαις ὅλους ὅλῳ δῆθεν ἑνουμένους ἐκείνῳ, φθέγξεταί πως καί εἴπῃ· «*Ἔγνωτέ με, ὦ οὗτοι; Εἴδετέ μου τό φῶς; Ἐνδέξασθέ με ἐν ὑμῖν; Τάς ἐνεργείας τοῦ Πνεύματός μου τοῦ Ἁγίου αὐτῇ τῇ πείρᾳ ἐμάθετε ἤ οὔ;*» Οἵ οὐ μή τολμήσωσιν ἀντιφθέγξασθαι, οἶμαι, καί εἰπεῖν· «*Ναί, φησί, Δέσποτα*». Εἰ γάρ τοῦτο ἐροῦσιν, ἀντερεῖ πρός αὐτούς· «*Πῶς οὖν, εἰ τούτων ἐν πείρᾳ γεγόνατε, τούς ἐμέ ἐν ἑαυτοῖς ἔχειν μέλλοντας μή γνωρίζειν ἀλλήλους λέγετε; Ἐγώ Θεός ἀψευδής, Θεός ἀληθινός, Θεός ἅγιος, ὁ ἐν ἁγίοις ἐγκατοικῶν. Πῶς οὖν ἐν αὐτοῖς κατοικῶ; Ὥσπερ εἶπον ὅτι ἐγώ ἐν τῷ Πατρί καί ὁ Πατήρ ἐν ἐμοί, οὕτω καί οἱ ἅγιοι ἐν ἐμοί κἀγώ ἐν αὐτοῖς· καί καθάπερ ὁ Πατήρ ἐν ἐμοί κἀγώ πάλιν ἐν τῷ Πατρί μου, οὕτω καί ἐν τοῖς ἁγίοις πᾶσιν ἐγώ ἔσομαι κατοικῶν καί οἱ ἅγιοι πάντες κατοικήσουσιν ἐν ἐμοί*». Πρός δέ τούτοις ἐρεῖ καί ταῦτα· «*Εἰ τοίνυν ἐγώ ἐν τοῖς ἁγίοις μου καί οἱ ἅγιοί μου ἐν ἐμοί, ἐγώ ἐν τῷ Πατρί μου καί ὁ Πατήρ μου ἐν ἐμοί, καθώς δέ γινώσκει με ὁ Πατήρ κἀγώ γινώσκω τόν Πατέρα, εὔδηλον ὅτι καί οἱ ἅγιοι γνωρίζειν καί γινώσκειν ὀφείλουσιν*». Ἵνα δέ σαφέστερον τοῦτο γένηται, ὡς ἄν δῆλον καί τοῖς ἀναισθήτοις ἔσται, χρεών προσθεῖναι καί ἔτι πάλιν εἰπεῖν· ἐν πᾶσι τοῖς ἁγίοις Χριστός ἐνοικῶν ἔσεται.

Ὁπόταν οὖν αἱ βίβλοι τοῦ συνειδότος ἑκάστου διανοιχθήσονται, ἐν μέν ταῖς τῶν ἁμαρτωλῶν καρδίαις καί συνειδήσεσιν εὑρεθήσονται, εἰ μή τι ἄλλο, οἴησις ἤ κενοδοξία ἤ αἵρεσις ἤ ζῆλος ἤ φθόνος ἤ τι τῶν τοιούτων· εἰ δ’ οὖν, ἀλλ’ ἀμέλεια, ῥαθυμία καί τό μή πάσῃ ἰσχύϊ ποιῆσαι τάς τοῦ Θεοῦ ἐντολάς, ὅθεν ἔλλειψις ἔσται τῆς ἀγάπης αὐτοῦ. Διά τοῦτο οὖν «*σκοτισθήσονται οἱ ὀφθαλμοί αὐτῶν τοῦ μή βλέπειν*» καί αἰσχυνθήσονται καί

ἀκούσονται· «*Ἐφ’ ὅσον οὐκ ἐποιήσατε μίαν τῶν ἐντολῶν μου τῶν ἐλαχίστων, ἀλλά ταύτης κατεφρονήσατε, ἐμοί οὐκ ἐποιήσατε. Ἀπέλθετε ἀπ’ ἐμοῦ εἰς τό πῦρ τό αἰώνιον, τό ἡτοιμασμένον τῷ διαβόλῳ καί τοῖς ἀγγέλοις αὐτοῦ* ». Ἐν δέ τῷ διανοιγῆναι τάς τοῦ συνειδότος τῶν ἁγίων βίβλους, πρόσεχε! λάμψει ὁ νῦν ἀποκεκρυμμένος ἐν αὐτοῖς Χριστός ὁ Θεός, ὡς ἔλαμψε πρό τῶν αἰώνων ἐκ τοῦ Πατρός, καί ἔσονται οἱ ἅγιοι ὅμοιοι τῷ Ὑψίστῳ. Πόθεν τοῦτο δῆλον; Αὐτοῦ τοῦ Σωτῆρος ἄκουσον τοῦτο λέγοντος· «*Τότε ἐκλάμψουσιν οἱ δίκαιοι ὡς ὁ ἥλιος*». Ποῖον δέ ἄλλον λέγει καιρόν ἤ ἥλιον, εἰ μή πάντως ὅνπερ εἰρήκαμεν, καί ἑαυτόν τόν ἥλιον δικαιοσύνης μόνον ὀνομαζόμενον καί ἐν δικαίοις μόνον ἀνατέλλοντα καί ἐκλάμποντα; Καί τοῦτο ὁ ἐπιστήθιος καί Χριστοῦ μαθητής ἠγαπημένος ἐκδηλότερον διατρανοῖ λέγων· «*Ἀδελφοί, νῦν τέκνα Θεοῦ ἐσμεν, ἀλλ’ οὔπω ἐφανερώθη τί ἐσόμεθα· οἴδαμεν δέ ὅτι, ἐάν φανερωθῇ, ὅμοιοι αὐτῷ ἐσόμεθα*». Καί ὁ Παῦλος· «*Νῦν γινώσκω ἐκ μέρους, τότε δέ ἐπιγνώσομαι, καθώς καί ἐπεγνώσθην*».

Εἰ οὖν ὅμοιοι τοῦ Θεοῦ οἱ ἅγιοι καί τοσοῦτον ἐπιγνώσονται τόν Θεόν, ὅσον ὁ Θεός ἐπέγνω αὐτούς, καί καθώς γινώσκει ὁ Πατήρ τόν Υἱόν καί ὁ Υἱός τόν Πατέρα, οὕτως ὀφείλουσι καί οἱ ἅγιοι ἀλλήλους καί ὁρᾶν καί γινώσκειν, ἀλλά καί οἱ μηδέποτε ἀλλήλους σωματικῶς ἐν τῷδε τῷ κόσμῳ ἰδόντες τότε γνωρίζειν ἀλλήλους ὀφείλουσι, πῶς οὐκ ἐρυθριᾶτε περί ὧν οὐκ οἴδατε λέγειν καί ἐπερωτᾶν καί διδάσκειν, ὡς ἤδη καί τῶν ὑπέρ ἡμᾶς τήν γνῶσιν δῆθεν πεπλουτηκότες καί ἄνωθεν προχειρισθέντες διδάσκαλοι; Ὥσπερ γάρ οὐδέποτε ἀγνοήσει ὁ Πατήρ τόν Υἱόν ἤ ὁ Υἱός τόν Πατέρα, οὕτως οὐδέ οἱ ἅγιοι, θέσει θεοί γεγονότες ἐν τῷ ἔχειν οἰκοῦντα ἐν ἑαυτοῖς τόν Θεόν, ἀλλήλους ποτέ ἀγνοήσουσιν, ἀλλά βλέποντες ἔσονται ἀλλήλων καί ἑαυτῶν τήν δόξαν, ὡς ὁ Υἱός τοῦ Πατρός καί ὁ Πατήρ τοῦ Υἱοῦ. Τίς δέ καί ὁποία ἔσται τῶν ἁγίων ἡ δόξα; Οἵα ἐστί τοῦ Υἱοῦ τοῦ Θεοῦ. Καί τοῦτο αὐτός δι’ ἑαυτοῦ ἀριδήλως δεδήλωκε· φησί γάρ· «*Καί ἐγώ τήν δόξαν ἥν δέδωκάς μοι δέδωκα αὐτοῖς, ἵνα ὦσιν ἕν, καθώς ἡμεῖς ἕν ἐσμεν*». Ὁρᾷς ὅτι ἡ ἀπό τοῦ Θεοῦ καί Πατρός δοθεῖσα πρό τῶν αἰώνων τῷ Υἱῷ δόξα ὑπ’ αὐτοῦ τοῦ Υἱοῦ τοῖς ἁγίοις δεδώρηται καί εἰς ἕν οἱ πάντες εἰσί.

Τοιγαροῦν οἱ λέγοντες, ὅτι οὐ μή ὁρῶσιν, οὐδ’ οὐ μή γνωρίζωσιν ἀλλήλους οἱ ἅγιοι ἐν τῇ θεωρίᾳ γινόμενοι τοῦ Θεοῦ, ὄντως ἐν σκότει πορεύονται καί ἐν μετουσίᾳ ἤ θεωρίᾳ καί ἐπιγνώσει Θεοῦ οὐκ ἐγένοντο καί λαλοῦσι καί διαμαρτύρονται ἅ οὔτε ἐπίστανται, οὔτε ποτέ ἐθεάσαντο. Οἱονεί γάρ λέγουσιν ἐν ἐκστάσει καί τότε γίνεσθαι, ὥσπερ καί νῦν, τούς ἁγίους καί ἐπιλανθάνεσθαι ἑαυτῶν τε καί τῶν σύν αὐτοῖς, δοκοῦντες, ὡς οἶμαι, μᾶλλον δέ κακῶς τά τῶν θείων νοοῦντες Γραφῶν, ὅτι ἡ αὐτή ἀλλοίωσις καί ἁρπαγή νῦν τε καί εἰς τό μέλλον ἔσται τοῖς ἀπ’ αἰῶνος ἁγίοις. Ὅταν γάρ ἀκούσωσιν ὅτι ὁ δεῖνα ὁ ἅγιος, ἐν θεωρίᾳ Θεοῦ γενόμενος καί τόν νοῦν ἁρπαγείς, τόσας ἤ τόσας ἡμέρας καί νύκτας ἐποίησε, μηδέν ὅλως τῶν ἐπιγείων ἐνθυμηθείς, ἀλλά μετά τῶν ἄλλων ἁπάντων καί αὐτοῦ τοῦ ἰδίου σώματος ἐπελάθετο, ὅλος ὅλῃ ψυχῇ καί πάσαις ὁμοῦ ταῖς αἰσθήσεσι κεκολλημένος ἔμεινεν, ὤν ἐκεῖ, τοιοῦτόν τι ὑπολαμβάνουσι καί τότε, ἐν τῇ βασιλείᾳ λέγω τῶν οὐρανῶν, ἔσεσθαι, ἀγνοοῦντες ὅλως τά θεῖα τοῦ Πνεύματος καί τοῦ ἀοράτου Θεοῦ τά ἀόρατα καί ἀκατάληπτα καί ἄγνωστα τοῖς ἐσκοτισμένοις μυστήρια καί ὅτι ἡ

ἁρπαγή αὕτη τοῦ νοός οὐχί τελείων, ἀλλ’ ἀρχαρίων ἐστίν. Ὡς γάρ ὁ ἀπό γεννήσεως ἐν σκοτεινῇ καί ζοφωτάτῃ ὤν φυλακῇ καί ὑπό λυχνιαίου καί βραχυτάτου φωτός φωτιζόμενος, μόλις κἄν μικρά τινα καθορᾷ, μή εἰδώς ὅτι φῶς ἡλιακόν ἐστιν ἔξωθεν, ἀγνοῶν παντάπασι τά ἔξω τῆς φυλακῆς, λέγω δή τόν ὁρώμενον κόσμον τοῦτον καί τά ἀνεκδιήγητα ἔργα καί κτίσματα τοῦ Θεοῦ, οὕτω καί ὁ ἔτι ἐν τῇ σκοτεινῇ φυλακῇ τῆς τοῦ κόσμου τούτου αἰσθήσεως ὤν καί ὑπό βραχυτάτης γνώσεως ἐλλαμφθείς, μόλις περί τῶν μυστηρίων τῆς πίστεως ἡμῶν ὀλίγην τινά καί ἀμυδράν γνῶσιν λαμβάνει, τά τῶν αἰωνίων ἀγαθῶν τοῦ Θεοῦ παντάπασιν ἀγνοῶν καί τίνα τά μέλλοντα διαδέξασθαι τούς ἁγίους.

Καί καθάπερ ἐκεῖνος ἐπί πολλά ἔτη ἐν ἐκείνῃ τῇ ἀφεγγεῖ καθεζόμενος φυλακῇ, εἰ συμβῇ διανοιχθῆναι ὀπήν ἐν τῷ ὀρόφῳ τῆς φυλακῆς καί θεάσασθαι αὐτόν αἴφνης τόν αἰθέρα τοῦ οὐρανοῦ, ὀλίγον καί κατά μέτρον τῆς γενομένης ὀπῆς, ὅν οὐδέποτε εἶδεν οὐδέ εἶναι τοιοῦτόν τι λαμπρότατον φῶς ὑπενόησεν, ἔκπληξις εὐθύς λαμβάνει αὐτόν καί ὡς ἐξεστηκώς ὑπάρχει, ἐπί πολύ ἄνω τά ὄμματα ἔχων καί θαυμάζων τό ἀθρόον γεγονός ἐν αὐτῷ, οὕτω δή καί ὁ αἴφνης ἐν θεωρίᾳ τοῦ νοητοῦ φωτός γεγονώς, ἄρτι δηλονότι τῶν δεσμῶν ἀπολυθείς τῶν παθῶν τε καί τῆς αἰσθήσεως, ἐκπλήττεται καί ὡς ἐξεστηκώς τοῖς οὐ καλῶς ὁρῶσι νομίζεται, εἰς ἑαυτόν ὅλον δηλαδή τόν νοῦν ἐπισωρεύσας καί θαυμάζων τοῦ φανέντος αὐτῷ τήν θεωρίαν καί τήν λαμπρότητα. Καί ὥσπερ πάλιν, ἐπάν ἐκεῖνος συχνῶς καί καθ’ ἡμέραν πρός ἐκείνην τήν ὀπήν ἀποβλέπῃ, ἄρτι πλατυνθεῖσαν καί φωτίζουσαν ἐπί πλέον τόν ζοφώδη χῶρον τῆς φυλακῆς καί ἐφ’ ἱκανούς χρόνους ἐν τῷ φωτί διαμένουσαν, ἡ συνήθεια τῆς ὁράσεως τοῦ φωτός τήν πολλήν ἔκπληξιν ἐκ τοῦ κατά μικρόν ἀφαιρεῖται - ὅν τρόπον καί ἐπί τοῦ ἡλίου γέγονεν ἐφ’ ἡμᾶς· τῇ γάρ συνηθείᾳ τῆς ὁράσεως ὡς εὐκαταφρόνητον αὐτόν λογιζόμεθα· εἰ γάρ μηδέπω ἦμεν αὐτόν θεασάμενοι, αἴφνης δέ τοιοῦτος ὡράθη ἡμῖν, ὑπό τῆς ἐκπλήξεως διαπεφωνήκαμεν ἄν - , τόν αὐτόν τρόπον καί ἡ κατά μικρόν τῆς ψυχῆς προκοπή, ἐν συνηθείᾳ τῆς τοῦ νοητοῦ φωτός ὁράσεως γινομένη, τῆς πολλῆς ἐκπλήξεως ἐξίσταται, μυηθεῖσά τι ἐντεῦθεν ἕτερον εἶναι τῆς καταστάσεως ταύτης καί θεωρίας τελεώτερόν τε καί ὑψηλότερον.

Καί καθάπερ αὖθις ἐπιγινώσκειν ποιεῖ τέως τόν ἄνθρωπον ἐκεῖνον ἡ χρονία καί, ἀπό γεννήσεως αὐτοῦ κάθειρξις ὅτι ἐν φυλακῇ ζοφωτάτῃ ἐστί, καί ἔξω ταύτης θαυμαστά τινα ἐκ τοῦ ὀλίγου φωτός ἐκείνου εἶναι ὑπονοεῖ, ὁποῖα δέ εἰσιν ἐν ἀληθείᾳ λογίσαθαι ἤ ἐννοῆσαι οὐ δύναται, ἐπάν δέ καί τῆς φυλακῆς ἔξωθεν ἐκβληθῇ, τότε καί τό φῶς ὅλον καί τά ἐν φωτί ἅπαντα καί ἅπαντας ὁμοῦ καθορᾷ, οὕτω μοι νόει καί τόν ἄρτι ἐκδεδημηκότα τῶν τοῦ σώματος ἀναγκῶν καί ὅλον ἔξω γεγονότα τοῦ κόσμου καί τῶν ὁρωμένων τῆς ταπεινώσεως. Καί τοῦτον μέν τόν σύμπαντα κόσμον ὡς μίαν ὄντα τῷ ὄντι σκοτεινοτάτην καί ἀφεγγῆ φυλακήν ἄλλως μοι πάλιν ὑπονόει, λυχνιαῖον δέ φῶς τό τοῦ ἡλίου λογίζου μοι φῶς, ἔξωθεν δέ τούτου τό ἀνεκλάλητον, τό ἄφραστον, τό ἀπρόσιτον, τό ὑπέρ ἔννοιαν καί ὑπέρ λόγον καί ὑπέρ πᾶν φῶς τρισυπόστατον φῶς, τά δέ ἐν τῷ φωτί ἐκείνῳ πᾶσι τοῖς ἐν τῇ φυλακῇ ταύτῃ γενομένοις ἀόρατά τε καί ἄγνωστα, ἄφθεγκτα καί ἀνερμήνευτα, εἰ καί δοκοῦσί τινες διά τῶν Γραφῶν ταῦτα νοεῖν τε καί θεωρεῖν· τοῖς γάρ πλείοσιν οὐδέ ὅτι πέρα τούτων ἐστί τι γινώσκεται.

Ὁπηνίκα οὖν πάσῃ πίστει καί παντί πόθῳ ζητήσομεν, οὐχί τό ἰδεῖν τό ἔξωθεν ταύτης τῆς φυλακῆς φῶς, οὐδέ τά ἐν τῷ φωτί ἐκείνῳ καί κόσμῳ πράγματα - οὐδείς γάρ τῶν ταῦτα ζητούντων ἠξιώθη ἰδεῖν, οὐδ’ οὐ μή ἀξιωθήσεταί ποτε αὐτά καθόλου θεάσασθαι - , ἀλλά τό φυλάξαι ἐν πρώτοις τάς ἐντολάς τοῦ Θεοῦ, τό μετανοεῖν, τό πενθεῖν, τό ταπεινοῦσθαι καί τά λοιπά ἅ προείπομεν, τηνικαῦτα καί διανοίγεται ἡμῖν ὥσπερ ὀπή τις μικρά ἐν τῷ ὁρωμένῳ τούτῳ ὀρόφῳ τοῦ οὐρανοῦ καί τό ὑπεράνω τούτου φῶς ἄϋλόν τε καί νοητόν παραδείκνυται· ὅ καί ἡ ψυχή κατιδοῦσα ὅλη καθόλου ἐξίσταται, ὅλη ἐκπλήττεται, θαῦμα καινόν ὁρῶσα, θαῦμα παράδοξον καί ὅ μέχρι τότε οὐδέπω τεθέαται, ἐν ᾧ καί ἐπιμένει ὥσπερ καί ἁρπαζομένη εἰς τόν οὐρανόν καί βιαζομένη εἶναι ἐκεῖ καί κατανοεῖν τό τούτου ἀκατανόητον καί μάλιστα ἐν τῷ βλέπειν αὐτό ἡμέρας τε καί νυκτός καί διδάσκεσθαι καθ’ ἑκάστην ἐκεῖθεν ὅτι πέλει ἀνέσπερον, ὅτι ἄπειρον ὑπάρχει καί ἄφραστον, ὅθεν καί πρός τήν φυλακήν ταύτην ἐπιστραφῆναι καί βλέπειν αὖθις τά ἐν αὐτῇ ὅλως οὐ βούλεται.

Τοῦτο τοίνυν ἀρχήν ἴσθι τῶν εἰσαγωγικῶν εἰς εὐσέβειαν καί ἄρτι πρός τούς τῆς ἀρετῆς ἀποδυσαμένων ἀγῶνας. Ἐπάν οὖν χρονίσῃ ἀνεπιστρόφως πρός τήν θεωρίαν ἐκείνην, ὡς οὐκ οἶδε, διανοίγεται αὐτῷ, οὐκ οἶδα ὁ οὐρανός, οὐκ οἶδα ὁ τῆς καρδίας αὐτοῦ ὀφθαλμός καί οὗτος μᾶλλον ἤ ἐκεῖνος, εἰπεῖν, ὑπό τοῦ φωτός ἐκείνου καί ἔνδον τοῦ οἴκου τῆς ψυχῆς αὐτοῦ, λέγω δή τούτου τοῦ σκήνους, τό φῶς ἐκεῖνο εἰσέρχεται τό θαυμαστόν καί ὑπέρλαμπρον, φωτίζον συμμέτρως αὐτόν, ὅσον ἡ φύσις δηλονότι χωρεῖ. Οὕτω δέ πάλιν χρονίσας, ὡς σύνηθες ἐκ τοῦ κατ’ ὀλίγον, καί ὡς ἀεί ποτε τούτῳ συνών, λογίζεται τό τοιοῦτον· θαύματα δέ ἐπί θαύμασι καί μυστήρια ἐπί μυστηρίοις καί θεωρίας ἐπί θεωρίαις, ἐλλαμπόμενος ἐξ αὐτοῦ καθ’ ὥραν, ἵν’ εἴπω, καί ὁρῶν καί νοῶν καί μυούμενος ἐκδιδάσκεται· ἅ καί εἰ γράφειν θελήσει, οὐδέ χάρτης οὐδέ μέλαν ἀρκέσει αὐτῷ, ἐπιλείψει δέ, οἶμαι, καί ὁ χρόνος αὐτόν ἐξηγούμενον ταῦτα λεπτομερῶς. Μᾶλλον δέ, πῶς ἄρα γράψαι δυνήσεται τά μή δυνάμενα ῥηθῆναι, ἄφραστα ὄντα καί ἄρρητα πάντῃ; Ὅθεν καί ὡς ἐν φωτί τότε, μᾶλλον μετά τοῦ φωτός, σύνεστι καί οὐχ ὡς ἐν ἐκστάσει διατελεῖ, ἀλλά καί ἑαυτόν καί τά κατ’ αὐτόν καθορᾷ καί τούς πλησίον βλέπει ἐν οἵοις εἰσί καί προλέγει καί προγινώσκει ὅτι, ἐάν ἔξω τῆς φυλακῆς ταύτης γένηται καί μάλιστα μετά τήν ἀνάστασιν, καί τό φῶς ἐκεῖνο τό ἄστεκτον ὅσον ἐστί θεάσηται, καί τά ἐν αὐτῷ ἀγαθά «*ἅ ὀφθαλμός οὐκ εἶδε καί οὖς οὐκ ἤκουσε καί ἐπί καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, ἅ ἡτοίμασεν ὁ Θεός τοῖς ἀγαπῶσιν αὐτόν*» ἀποκαλυφθήσονται αὐτῷ τρανότερον διά τοῦ ἐν αὐτῷ ὄντος νυνί φωτός ὑφ’ οὗ καί φωτίζεται· οὐ γάρ στερούμεθα τότε τοῦ γνωρίζειν ἤ βλέπειν, ἀλλ’ ὡς ὁ λόγος ἀνωτέρω ἀπέδειξε, κατά τήν τοῦ φωτός λαμπρότητα καί θεωρίαν, ἀναλόγως μᾶλλον καί ἡ τοῦ Θεοῦ γνῶσις καί ἡ θεωρία, καί ὁ ἀναγνωρισμός καί ἡ γνῶσις ἀλλήλων πλεῖον καί καθαρώτερον ἐν ἀνεκφράστῳ θυμηδίᾳ καί ἀγαλλιάσει ἔσεται εἰς αἰῶνας αἰώνων. Καί τοῦτο καί ἐν τῇ παλαιᾷ οἱ προφῆται καί ἐν τῇ νέᾳ πολλοί τῶν ἁγίων ἐκ τῶν ἔργων ἀπέδειξαν, ἐξ ὀνόματος καλέσαντες οὕς οὐκ εἶδόν ποτε, ἀλλά δή καί ἐγνώρισαν οὕς οὐκ ἐγίνωσκον.

Οἱ οὖν λέγοντες μή γνωρίζειν μηδέ βλέπειν ἀλλήλους τούς ἁγίους, ἐκ τούτων

πεισθέντες μή ζητεῖν περί ἀκαταλήπτων πραγμάτων, ἑαυτοῖς μᾶλλον, εἴπερ ἐμοί πείθονται, προσέχειν καί ἑαυτούς ἀνακρίνειν μή παύσωνται. Οἱ δέ τά μέν εἰρημένα πάντα ἀγνοοῦντες καί αἰσθήσει καί γνώσει και πείρᾳ θείου φωτισμοῦ καί θεωρίας μή γεγονότες, πῶς γράφειν ὅλως ἤ λέγειν περί τοιούτων οὐ φρίττετε; Εἰ γάρ ὑπέρ παντός ἀργοῦ ῥήματος λόγον ἀποδοῦναι ὀφείλομεν, πόσῳ μᾶλλον περί τῶν τοιούτων ἐτασθησόμεθα καί ὡς ἀργολόγοι κολασθησόμεθα. Ἀργός γάρ λόγος οὐχ, ὡς ἄν τις ὑπολάβοι, ὁ ἀνωφελής μόνον ἐστίν, ἀλλ’ ὁ καί πρό τῆς πράξεως καί τῆς ἐν πείρᾳ γνώσεως λαλούμενος παρ’ ἡμῶν. Ὅταν γάρ μή καταφρονήσω τῆς κάτω δόξης μηδέ βδελύξωμαι ταύτην ἀπό ψυχῆς, ὡς ψυχοβλαβῆ καί τῆς ἄνω δόξης ἀποστεροῦσάν με, ἄλλους δέ διδάσκω περί αὐτῆς καί παραγγέλλω ταύτης ἀπέχεσθαι, οὐχί ἀργός καί ἄπρακτος καί κενός ὁ λόγος μου ἔσται καί ὡς ψεύστης κατακριθήσομαι; Ὅταν δέ πάλιν μή ἐν αἰσθήσει καί γνώσει λάβω τήν χάριν τοῦ Πνεύματος μηδέ διδακτός Θεοῦ γένωμαι δι’ αὐτῆς, μηδέ λόγον λάβω σοφίας καί γνώσεως ἄνωθεν, τά δέ τῶν θεοπνεύστων Γραφῶν ἀναιδῶς διερμηνεύειν ἐπιπηδῶ καί διδασκάλου τάξιν ἐμαυτῷ περιτίθεμαι, μόνῃ δηλαδή τῇ ψευδωνύμῳ γνώσει πρός τοῦτο χρώμενος, ἆρά γε ἀνεξέταστα ταῦτα Θεός ἐάσει καί λόγον ὑπέρ τούτου οὐκ ἀπαιτήσει με; Οὐδαμῶς δή. Εἰ βούλει δέ, ἐκ τῶν κάτω καί τῶν ἀνθρωπίνων διδάχθητι καί τά ἄνω καί θεῖα. Ποῖος, εἰπέ, τῶν ἀνθρώπων κἄν ὑπέρ πάντας ἐν σοφίᾳ καί γνώσει καί ἐπιστήμῃ νόμων θαυμάζηται, κἄν δικαιοσύνῃ καί εὐσεβείᾳ πάσῃ κομᾷ, μετά κριτῶν ὡς κριτής καθεσθῆναι καί κριτήν ἑαυτόν ὀνομάσαι καί ἄλλους νομοθετῆσαι τολμᾷ; Εἰ δέ καί τοῦτο ποιήσει, οὐχί παρά τοῦ βασιλέως ἀτιμασθήσεται καί παρά τῆς ἀκριβείας τῶν νόμων τιμωρησθήσεται; Ὤ τῆς ἀναιδείας! Τοῦ ἐπιγείου βασιλέως οὐδείς καταφρονῆσαι τολμᾶ καί τιμήν ἤ ἀξίωμα τούτου ἁρπάσαι καί ἀφορίσαι ἑαυτῷ, καί σύ τοῦ ἐπουρανίου ὡς οὐδενός καταφρονεῖς καί τῶν ἀποστολικῶν ἀξιωμάτων ἄνευ τῆς ἐκείνου ῥοπῆς καί θελήσεως ἐπιχειρῆσαι κατατολμᾷς; Ὅλως δέ οὕτως ἔχων, οἴει ἀνεξέταστον τοῦτο τόν Δεσπότην καταλιπεῖν; Οὔμενουν οὐδαμῶς.

Ἀλλ’ ὦ Κύριε, δός ἡμῖν ἐπιγνῶναί σε καί ἀξίως φοβεῖσθαί σε καί τοῖς ἁγίοις σου ἐμμένειν θελήμασι. Παρακαλῶ οὖν ὑμᾶς, ἀδελφοί, παύσασθε τῶν συζητήσεων τούτων καί σπεύσατε διά μετανοίας καί δακρύων καί ταπεινώσεως, ἔτι δέ καί τῇ τῶν λοιπῶν ἁπασῶν ἐντολῶν ἐκπληρώσει τάς ἑαυτῶν ἐκκαθᾶραι ψυχάς «*ἀπό παντός μολυσμοῦ σακρός καί πνεύματος*», ἵνα καί τῶν παρόντων καί τῶν μελλόντων ἐν ἀποκαλύψει καί αἰσθήσει καί θεωρίᾳ ἐπαπολαύσητε ἀγαθῶν, χάριτι καί φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μεθ’ οὗ δόξα, κράτος, τιμή καί προσκύνησις τῷ Πατρί καί τῷ Ἁγίῳ Πνεύματι, νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων· ἀμήν.

# ΛΟΓΟΣ Β΄. Τά κεφάλαια τῆς θεωρίας τοῦ λόγου.

## α΄. Προτρεπτικός ἐκ προοιμίων εἰς μετάνοιαν· καί εἰς τό ῥητόν τοῦ Ἀποστόλου· «*Οὕς προέγνω, τούτους καί προώρισε*» καί εἰς τά ἑξῆς· καί κατά τῶν στρεβλούντων αὐτό τε καί πᾶσαν τήν θείαν Γραφήν.

Πολλούς ἀκήκοα λέγοντας τῶν ἀνθρώπων· «*Ἐπειδήπερ φησίν· οὕς προέγνω ὁ Θεός, τούτους καί προώρισεν· οὕς δέ προώρισε τούτους καί ἐκάλεσεν· οὕς δέ ἐκάλεσε, τούτους καί ἐδόξασε, τί μοι τό ὄφελος ἐάν πολλούς παραβάλλωμαι κόπους, ἐάν ἐπιστροφήν καί μετάνοιαν ἐπιδείξωμαι, προεγνωσμένος δέ οὐκ εἰμί ὑπό τοῦ Θεοῦ οὐδέ προωρισμένος εἰς τό σωθῆναι καί σύμμορφον γενέσθαι με τῆς δόξης τοῦ Υἱοῦ αὐτοῦ καί Θεοῦ;*» Πρός οὕς εἰκότως ἀποφθέγξασθαι χρή καί εἰπεῖν· Ὦ οὗτοι, διατί μή τά σῴζοντα ὑμᾶς ἀλλά τά ἀπολλύοντα συλλογίζεσθε καί τά δυσνόητα τῆς θεοπνεύστου Γραφῆς ἐκλεγόμενοι διαρπάζετε καί στρεβλοῦτε ταῦτα πρός ἀπώλειαν ὑμῶν ἐκλαμβάνεσθε; Οὐκ ἀκούετε καθ' ἑκάστην τοῦ Σωτῆρος βοῶντος· «*Ζῶ ἐγώ, ὅτι οὐ θελήσει θέλω τόν θάνατον τοῦ ἁμαρτωλοῦ ὡς τό ἐπιστρέψαι καί ζῆν αὐτόν*»; Οὐκ ἀκούετε αὐτοῦ λέγοντος· «*Μετανοεῖτε· ἤγγικε γάρ ἡ βασιλεία τῶν οὐρανῶν*», καί πάλιν· «*Ἀμήν λέγω ὑμῖν, χαρά γίνεται ἐν οὐρανῷ ἐπί ἑνί ἁμαρτωλῷ μετανοοῦντι*»; Μή εἶπεν ἤ λέγει τισί μέν· «*Μή μετανοεῖτε, οὐ γάρ προσδέξομαι ὑμᾶς*», τισί δέ οἱονεί τοῖς προωρισμένοις· «*Ὑμεῖς δέ μετανοεῖτε, προέγνωκα γάρ ὑμᾶς*»; Οὐδαμῶς, ἀλλά καθ' ἡμέραν ἐν ὅλῳ τῷ κόσμῳ καί ἐν πάσῃ βοᾷ ἐκκλησίᾳ· «*Δεῦτε πρός με πάντες οἱ κοπιῶντες καί πεφορτισμένοι, κἀγώ ἀναπαύσω ὑμᾶς*». Δεῦτε, φησίν, οἱ ἐν πολλαῖς ἁμαρτίαις βαρούμενοι πρός τόν αἴροντα τήν ἁμαρτίαν τοῦ κόσμου· δεῦτε οἱ διψῶντες πρός τήν ἀέναον πηγήν καί ἀθάνατον.

Μή διεστείλατο ἤ διαχωρίζει τινά, τόν μέν ὡς προεγνωσμένον δηλονότι καλῶν, τόν δέ ὡς μή τοῦτο ὄντα ἀποπεμπόμενος; Οὐδαμῶς. Διά δή τοῦτο «*μή προφασίζεσθε προφάσεις ἐν ἁμαρτίαις*», μηδέ ἀφορμάς ἐκ τῶν ἀποστολικῶν ῥημάτων πρός ἀπώλειαν ὑμῶν λαμβάνειν ἐθέλοιτε, ἀλλά τῷ Δεσπότῃ καλοῦντι προσδράμετε ἅπαντες. Κἄν γάρ τελώνης, κἄν πόρνος, κἄν μοιχός, κἄν φονεύς, κἄν ὁτιοῦν ἕτερον πέλῃ τις, οὐκ ἀποστρέφεται ὁ Δεσπότης αὐτόν, ἀλλά τό μέν φορτίον αἴρει τῶν ἁμαρτημάτων αὐτοῦ, ἐκεῖνον δέ ἐλεύθερον εὐθύς ἀποδείκνυσι. Καί πῶς αἴρει τό φορτίον αὐτοῦ; Καθώς ποτε καί τοῦ παραλυτικοῦ ἦρεν, εἰπών αὐτῷ «*Τέκνον, ἀφέωνταί σοι αἱ ἁμαρτίαι σου*», καί εὐθέως ἐκουφίσθη τοῦ βάρους καί τήν τοῦ σώματος αὐτοῦ θεραπείαν πεπλούτηκεν. Τοιγαροῦν προσερχέσθω πᾶς ὁ βουλόμενος καί ὁ μέν βοάτω· «*Υἱέ Δαβίδ, ἐλέησόν με*»· καί ἐάν ἀκούσῃ· «*Τί θέλεις ποιήσω σοι;*» εἰπάτω συντόμως· «*Κύριε, ἵνα ἀναβλέψω*», καί εὐθέως ἀκούσει· «*Θέλω, ἀνάβλεψον*». Ὁ δέ· «*Κύριε, φησίν, ἡ θυγάτηρ μου*» ψυχή «*κακῶς δαιμονίζεται*», καί ἀκούσει· «*Κἀγώ ἐλθών θεραπεύσω αὐτην*». Εἰ δέ ὀκνηρός τίς ἐστι καί προσελθεῖν τῷ Δεσπότῃ οὐ βούλεται, κἄν ἐρχομένῳ πρός αὐτόν καί λέγοντι αὐτῷ· «*Ἀκολούθει μοι*», ὡς ὁ τελώνης ποτέ ἀκολουθησάτω αὐτῷ, τό τελωνεῖον καί τήν πλεονεξίαν καταλιπών· καί, εὖ οἶδα, ἀντί τελώνου εὐαγγελιστήν αὐτόν ἀπεργάσεται. Κἄν παράλυτος ἐπί πολλούς χρόνους τῇ φιληδονίᾳ καί ἀμελείᾳ καί ῥαθυμίᾳ κατάκειται καί ἤ αὐτόν τόν Δεσπότην ἤ μαθητήν αὐτοῦ ἐλθόντα ἴδοι καί λέγοντα αὐτῷ· «*Θέλεις ὑγιής γενέσθαι*», μετά περιχαρείας εὐθύς τόν λόγον ἀποδεξάμενος εἰπάτω· «*Ναί, Κύριε, ἀλλά*

*ἄνθρωπον οὐκ ἔχω, ἵνα εἰς τήν κολυμβήθραν*» τῆς μετανοίας «*ἐμβάλῃ με*». Καί ἐάν ἀκούσῃ· «*Ἔγειραι καί ἆρον τόν κράββατόν σου καί ἀκολούθει μοι*», εὐθύς ἀναστάς κατά πόδας τρεχέτω τοῦ καλέσαντος ἄνωθεν.

Εἰ δέ γε μή βούληται ἕκαστος, ἤ ὡς ἡ πόρνη, φιλεῖν τόν Χριστόν, ἤ ὡς ὁ ἄσωτος υἱός, ἐπαναστρέφειν ἐν μετανοίᾳ θερμῇ πρός αὐτόν, ἤ κἄν ὡς ἡ αἱμορροοῦσα καί συγκύπτουσα, τούτῳ προσελθεῖν, τί καί λέγει προφασιζόμενος προφάσεις ἐν ἁμαρτίαις· «*Οὕς προέγνω, τούτους - ἐκ παντός - καί ἐκάλεσε*»; Τάχα τῷ οὕτως ἔχοντι εἴποι τις ἄν εὐλόγως, ὅτι ὁ Θεός, προαιώνιος ὤν καί εἰδώς πάντα πρό τοῦ ποιῆσαι αὐτά, προέγνω καί σέ, ὅτι καλοῦντι οὐχ ὑπακούσεις αὐτῷ, ὅτι οὐ πιστεύσεις ταῖς ἐπαγγελίαις καί τοῖς λόγοις αὐτοῦ· ἀλλ' ὅμως, καί ταῦτα εἰδώς «*κατῆλθε κλίνας τούς οὐρανούς*» καί γενόμενος ἄνθρωπος διά σέ ἦλθεν ἔνθα κατάκεισαι· καί πολλά καθ' ἑκάστην ἐπισκεπτόμενός σε, ποτέ μέν δι' ἑαυτοῦ, ποτέ δέ καί διά τῶν δούλων αὐτοῦ, παρακαλεῖ σε διαναστῆναι τοῦ ἐν ᾧ κατάκεισαι πτώματος καί ἀκολουθῆσαι αὐτῷ ἐπί τήν βασιλείαν ἀνερχομένῳ τῶν οὐρανῶν καί συνεισελθεῖν αὐτῷ ἐν αὐτῇ. Ποῖος οὖν, εἰπέ μοι, τῆς ἀπωλείας σου καί τῆς σῆς παρακοῆς ἐστιν αἴτιος; Σύ ὁ ἀπειθῶν καί μή θέλων ἀκολουθεῖν τῷ Δεσπότῃ σου, ἤ αὐτός ὁ πλάσας σε Θεός, ὅτι ὡς προγνώστης ᾔδει σε ὡς οὐχ ὑπακούσεις αὐτῷ, ἀλλ' ἐπιμείνῃς τῇ σκληρότητί σου καί ἀμετανοήτῳ καρδίᾳ; Οἶμαι, πάντως ἐρεῖς ὅτι οὐκ ἐκεῖνος αἴτιος, ἀλλ' αὐτός ἐγώ. Οὐ γάρ ἡ πρόγνωσις τοῦ Θεοῦ αἰτία τῆς ἡμετέρας σκληρότητος, ἀλλ' ἡ ἡμετέρα ἀπείθεια.

Προγινώσκει γάρ τά πάντα, τά τε παρελθόντα ὁμοῦ καί τά ἐνεστῶτα, καί τά μέχρι τῆς συντελείας γενήσεσθαι μέλλοντα καί οὕτως αὐτά καθορᾷ ὡς ἤδη ὄντα· καί γάρ παρ' αὐτῷ καί ἐν αὐτῷ τά πάντα ὑφέστηκε. Καί καθάπερ ἐν θεάτρῳ σήμερον τούς τρέχοντας ὁμοῦ καί τούς πυκτεύοντας ὁ βασιλεύς καθορᾷ, ἀλλ' οὔτε τοῖς νικῶσι τῆς νίκης οὔτε τοῖς ἡττωμένοις τῆς ἥττης αἴτιος ταύτης ἤ ἐκείνης καθίσταται, ἡ σπουδή δέ τῶν πυκτευόντων, ἤ ἄλλως ἡ τούτων χαύνωσις, αἰτία τῆς νίκης ἤ τῆς ἥττης αὐτῶν ὑπάρχει, οὕτω μοι νόει καί ἐπ' αὐτοῦ τοῦ Θεοῦ. Τῷ γάρ αὐτεξουσίῳ τιμήσας ἡμᾶς, ἐντολάς τε δούς διδασκούσας ἡμᾶς μᾶλλον τό ὅπως χρή πρός τούς ἀντιπάλους ἀντικαθίστασθαι, ἀφίησιν ἕκαστον αὐτοπροαιρέτως ἤ ἀνθίστασθαι καί νικᾶν τόν ἐχθρόν ἤ χαυνοῦσθαι καί ἡττᾶσθαι ἐλεεινῶς ὑπ' αὐτοῦ. Καί οὐκ ἀφίησι μόνους ἡμᾶς, οἶδε γάρ τῆς ἀνθρωπίνης φύσεως τήν ἀσθένειαν, ἀλλά καί αὐτός ἐκεῖνος συμπάρεστιν ἡμῖν καί μέντοιγε πολεμεῖν προαιρουμένοις συμμαχεῖ καί ἰσχύν μυστικῶς ἐμπαρέχει ἡμῖν καί τήν κατά τοῦ ἐχθροῦ νίκην αὐτός μᾶλλον, ἤ ἡμεῖς ἐργαζόμεθα. Ὅπερ ὁ ἐπίγειος βασιλεύς ποιεῖν οὐ δύναται· ἀσθενής γάρ καί αὐτός ἄνθρωπος ὤν, δέεται μᾶλλον τῶν ὑπό χεῖρα, καθάπερ δεόμεθα καί ἡμεῖς.

Ὁ δέ γε Θεός, ἰσχυρός ὤν καί ἀήττητος, τοῖς βουλομένοις μέν αὐτοπροαιρέτως, ὡς εἴρηται, τῷ ἐχθρῷ πολεμεῖν συμμαχεῖ καί νικητάς αὐτούς ἀποκαθιστᾷ τοῦ πονηροῦ διαβόλου, μή βουλομένους δέ πολεμεῖν ἤ παλαίειν καί τρέχειν οὐκ ἀναγκάζει, ἵνα μή τό αὐτεξούσιον τῆς κατ' εἰκόνα λογικῆς ἡμῶν φύσεως ἀντανέλῃ καί εἰς ἀλόγων τάξιν ἡμᾶς

καταγάγῃ. Οὕτω τοιγαροῦν ὁ Θεός ὡς ἐν θεάτρῳ ὄντας ἡμᾶς καθορᾷ, καθά δή καί ὁ ἐπίγειος βασιλεύς τούς ἐν τῷ θεάτρῳ ἀγωνιζομένους ὁρᾷ, ὡς δεδήλωται. Ἀλλ΄ ὁ μέν ἐπίγειος οὐ προγινώσκει τούς ἡττηθῆναι ἤ νικῆσαι ὀφείλοντας, εἰ μή τήν ἔκβασιν τῶν ἀμφοτέρων θεάσοιτο, καί τούς στεφάνους προετοιμάζει μέν, οὐκ οἶδε δέ τίσιν αὐτούς παρέξει· ὁ δέ ἐπουράνιος βασιλεύς ἀκριβῶς καί τούς ἀμφοτέρους πρό τῶν αἰώνων ἐπίσταται. Ὅθεν καί πρός τούς αἰτησαμένους αὐτόν ἐκ δεξιῶν καί ἐξ εὐωνύμων καθίσαι ἐν τῇ δόξῃ αὐτοῦ ἔλεγεν· «*Οὐκ ἔστιν ἐμόν τοῦτο δοῦναι ὑμῖν*», ἀλλ' ἐκείνοις δοθήσεται οἷς δηλαδή καί ἡτοίμασται.

Τοῦτο τοίνυν καί αὐτός ὁ Παῦλος εἰδώς εἰκότως ἔφη· «*Οὕς προέγνω τούτους καί προώρισεν· οὕς δέ προώρισε, τούτους καί ἐκάλεσεν· οὕς δέ ἐκάλεσε, τούτους καί ἐδικαίωσεν*». Οὐκοῦν οὐ τό προγινώσκειν τόν Θεόν τούς νικᾶν ἐκ προαιρέσεως καί σπουδῆς μέλλοντας αἴτιον τῆς νίκης, ὡς οὐδέ πάλιν τό προειδέναι αὐτόν τούς πίπτειν καί ἡττᾶσθαι αἴτιον τῆς ἥττης ἐστίν, ἀλλ' ἡ ἑκάστου ἡμῶν σπουδή καί πρόθεσις καί ἡ ἀνδρεία αὐτή πρόξενος ὑπάρχει τῆς νίκης, ἡ δέ ἀπιστία καί ἡ ῥαθυμία, ἡ ἀμέλειά τε καί ἡ χαύνωσις, τῆς ἥττης καί ἀπωλείας ἡμῶν. Μή οὖν λέγωμεν, ἐπί κλίνης φιλοκόσμου καί φιληδόνου ἀνακείμενοι· «*Οὕς προέγνω ὁ Θεός, τούτους καί προώρισε*», καί αὐτό τοῦτο ὅ τι ποτέ λαλοῦμεν μή αἰσθανόμενοι. Ναί, ὄντως προέγνω σε ἀμελῆ καί ἀπειθῆ καί ῥᾴθυμον, οὐ μέντοι δέ προσέταξεν ἤ ὥρισε μή ἔχειν σε ἐξουσίαν μεταμεληθῆναι ἤ διαναστῆναι ἤ πεισθῆναι βουλόμενον. Σύ δέ τοῦτο λέγων ψεύστην φανερῶς ἀποκαλεῖς τόν Θεόν. Ἐκείνου γάρ λέγοντος· «*Οὐκ ἦλθον καλέσαι δικαίους ἀλλά ἁμαρτωλούς εἰς μετάνοιαν*», σύ, ῥαθυμῶν καί μή βουλόμενος μεταστρέψαι καί μεταμεληθῆναι ἀπό τῆς κακίας σου, ἀντιλέγεις οἱονεί αὐτῷ καί ψεύδεσθαι φάσκεις τόν ἀψευδῆ, οὕτω τοιαῦτα προφασιζόμενος. Οἱ μετανοῆσαι μέλλοντες, φησί, προωρισμένοι εἰσίν, ἐγώ δέ ἐξ ἐκείνων οὐκ εἰμί. Τοιγαροῦν καί μετανοήτωσαν ἐκεῖνοι, οὕς δηλονότι προέγνω, οὕς καί προώρισε. Τῆς ἀναισθησίας! Ἀλλ' ὦ ψυχῆς καί αὐτῶν δαιμόνων ἀπονενοημένης καί χείρω! Πότε παρ' ἐκείνων ἠκούσθη τοιοῦτόν τι λαληθέν ῥῆμα; Ποῦ ποτε ἠκούσθη ὅτι δαίμων αἴτιον τῆς ἑαυτοῦ ἀπωλείας εἶπε τόν Θεόν εἶναι; Μή οὖν αἰτιώμεθα τούς δαίμονας· ἰδού γάρ καί ψυχήν ἀνθρώπου χείρονας ἐπινοεῖ βλασφημίας ὑπέρ ἐκείνους.

Πόθεν οὖν ἔμαθες, εἰπέ μοι, ὅτι σύ οὐκ εἶ ἐκ τῶν προεγνωσμένων καί προωρισμένων εἰς τό γενέσθαι συμμόρφους τῆς εἰκόνος τῆς δόξης τοῦ Θεοῦ; Εἰπέ μοι, τίς σοι τοῦτο ἀνήγγειλε; Μή ὁ Θεός ἤ δι' ἑαυτοῦ ἤ διά τῶν αὐτοῦ προφητῶν ἤ καί δι' ἀγγέλου τοῦτο ἐδήλωσεν; Οὐχί, φησί, ἀλλ' ὑπολαμβάνω μήποτε οὐκ εἰμί προεγνωσμένος εἰς τό σωθῆναι καί εἰς μάτην μοι ἅπας ὁ κόπος γενήσεται. Καί διατί μή μᾶλλον ἔχεις ἀπό ψυχῆς ὅτι ὁ Θεός τόν Υἱόν αὐτοῦ τόν μονογενῆ διά σέ μόνον καί τήν σήν σωτηρίαν ἀπέστειλεν ἐπί τῆς γῆς, προεγνωκώς σε καί προορίσας σε ἀδελφόν αὐτοῦ καί συγκληρονόμον γενέσθαι, καί σπουδάζεις ὁλοψύχῳ καρδίᾳ ἀγαπᾶν αὐτόν καί τηρεῖν τάς σωτηρίους αὐτοῦ ἐντολάς, καί πιστεύεις ὅτι διά σέ μᾶλλον σφαγείς οὐκ ἐγκαταλείψει σε οὐδέ ἐάσει σε ἀπολέσθαι; Ἤ οὐκ ἀκούεις αὐτοῦ λέγοντος· «*Εἰ ἐπιλήσεται γυνή τά ἔκγονα τῆς κοιλίας αὐτῆς, ἀλλ'ἐγώ οὐκ ἐπιλήσομαί σου*»; Εἰ δέ προλαμβάνων σύ ἀνάξιον κρίνεις

σαυτόν καί ἀφορίζεις ἑκουσίως ἑαυτόν τῆς ποίμνης τῶν προβάτων Χριστοῦ, ὅρα ὅτι οὐδείς ἕτερος, ἀλλά σύ τῆς σῆς ἀπωλείας ὑπάρχεις πρόξενος.

Τοιγαροῦν πᾶσαν ἀπιστίαν καί νωθρείαν καί δισταγμόν ἀπό τῶν ψυχῶν ἡμῶν ἀπορρίψαντες προσέλθωμεν ἐν ὅλῃ καρδίᾳ καί ἀδιστάκτῳ πίστει καί ζέοντι πόθῳ, ὡς νεώνητοι δοῦλοι αἵματι τιμίῳ ἠγορασμένοι· καί τό ὑπέρ ἡμῶν τίμημα αἰδεσθέντες καί τόν τοῦτο καταβαλόμενον Δεσπότην ἡμῶν ἀγαπήσαντες καί ἀποδεξάμενοι τήν πρός ἡμᾶς ἀγάπην αὐτοῦ, γνῶμεν ὅτι, εἰ μή ἐβούλετο σῶσαι δι’ αὐτοῦ τούς ἐξαγορασθέντας ἡμᾶς, οὐκ ἄν καί κατήρχετο ἐπί τῆς γῆς, οὐκ ἄν καί ἐσφάζετο δι’ ἡμᾶς· ἀλλά, καθώς γέγραπται, θέλων πάντας σωθῆναι τοῦτο πεποίηκεν. Καί ἄκουσον αὐτοῦ τοῦτο λέγοντος· «*Οὐκ ἦλθον κρῖναι τόν κόσμον, ἀλλά σῶσαι τόν κόσμον*». Ἀλλ’ ἐπί τό προκείμενον ἐπανέλθωμεν.

## β΄. Ὅτι πάντες οἱ εἰς Χριστόν πιστεύσαντες προεγνωσμένοι καί προωρισμένοι εἰσίν εἰς τό συμμόρφους γενέσθαι αὐτούς τοῦ Υἱοῦ τοῦ Θεοῦ· καί εἰς τό ῥητόν τοῦ Μωσέως· «*Ὅτε διεμέριζε ἔθνη ὁ Ὕψιστος*» καί τά ἑξῆς.

Ἔστι μέν οὖν ἐκ τοῦ προχείρου καί ταῦτα σαφῆ τε καί βέβαια. Ἀλλά δέον καί τόν σκοπόν τῶν εἰρημένων καί τό βάθος τῆς γνώσεως τῶν ἀποστολικῶν ῥημάτων καί νοημάτων εἰπεῖν, ἵνα μάθῃς ἐντεῦθεν ὅτι πάντες οἱ εἰς Χριστόν πεπιστευκότες, μοναχοί τε καί λαϊκοί, προεγνωσμένοι καί προωρισμένοι εἰσί καί σύμμορφοι γίνονται τῆς εἰκόνος τοῦ Υἱοῦ τοῦ Θεοῦ· οὐ μόνον δέ, ἀλλά καί πάντες οὗτοι, ὡς προωρισμένοι, καί κεκλημένοι εἰσίν· ὡς κεκλημένοι δέ, καί δεδικαιωμένοι· ὡς δεδικαιωμένοι, καί δεδοξασμένοι ὑπάρχουσιν. Οἱ γάρ μετά τό βαπτισθῆναι καί πιστεῦσαι εἰς τόν Χριστόν τόν Υἱόν τοῦ Θεοῦ καί γενέσθαι σύμμορφοι τῆς εἰκόνος τοῦ Υἱοῦ τοῦ Θεοῦ μή τηροῦντες ἑαυτούς εἰς τοῦτο ἀπόλλυνται· οἱ δέ μένοντες ἅπαντες σῴζονται. Ἀλλ' ἐντεῦθεν τῆς ὑποθέσεως ἄρξομαι, ἄρξομαι δέ ἄνωθεν καί ὅθεν ἄμεινον ἄρξασθαι.

«*Ὅτε*» φησί «*διεμέριζεν ὁ Ὕψιστος ἔθνη, οὕς διέσπειρεν υἱούς Ἀδάμ, ἔστησεν ὅρια ἐθνῶν κατά ἀριθμόν ἀγγέλων Θεοῦ· καί ἐγεννήθη μερίς Κυρίου καί λαός αὐτοῦ καί σχοίνισμα κληρονομίας αὐτοῦ Ἰσραήλ*». Ὅ δέ λέγει τοιοῦτόν ἐστι. Διαμερίσας ὁ Θεός τά ἔθνη ἅπαντα, ποῖα δή ταῦτα; Τούς Υἱούς αὐτούς τοῦ Ἀδάμ. Εἰ οὖν υἱοί Ἀδάμ εἰσιν ἅπαντες, πῶς αὐτούς ἔθνη καλεῖ; Ἐπειδή, ὥσπερ ὁ Ἀδάμ πρό τοῦ παραβῆναι την ἐντολήν τοῦ Θεοῦ ἀθάνατος, ἄφθαρτος καί ἀγγέλων συμπολίτης καί συνόμιλος ἦν, τόν παράδεισον κατοικῶν, ἀφ' οὗ δέ παρέβη τήν ἐντολήν αὐτοῦ τοῦ Θεοῦ, τῶν μέν ἀγαθῶν τούτων ἁπάντων ἐξέπεσε καί φθαρτός καί θνητός γεγονώς τοῦ παραδείσου ἐκβέβληται, οὕτω δή καί πάντες οἱ ἐξ αὐτοῦ γεννηθέντες. Ἐπειδή γάρ ἐπληθύνθησαν καί εἰς ἀγνωσίαν Θεοῦ ἐμπεσόντες ὁμοίως τῷ εἰπόντι· «*Ἐπί τῶν νεφελῶν τοῦ οὐρανοῦ θήσω τόν θρόνον μου καί ἔσομαι ὅμοιος τῷ Ὑψίστῳ*» καί αὐτοί κακῶς λογισάμενοι πύργον οἰκοδομεῖν ἤρξαντο καί ἀνελθεῖν εἰς οὐρανούς ἐπεχείρουν, τούτου χάριν ἀντί κατάρας καί τιμωρίας συνέχεεν αὐτῶν τάς γλώσσας, τήν ἐπί κακῷ ὁμόνοιαν αὐτῶν διακόψας· οἱονεί δέ μέλη ἀπό τοῦ σώματος τοῦ Ἀδάμ ἐκκόψας καί ἐξ αὐτοῦ και ἀπ' ἀλλήλων διαχωρίσας καί διασπείρας, ἑνί ἑκάστῳ μέλει ξένην διάλεκτον δέδωκεν, ἵνα μηκέτι δύνωνται συναφθῆναι. Τούτου γάρ ἕνεκεν οὐκ ἀνθρώπους αὐτούς ἀλλ' ἔθνη ἐκάλεσε.

Διαμερίσας δέ αὐτούς εἰς πᾶσαν τήν γῆν, ἐφ' ἑκάστῃ μερίδι ἄγγελον δέδωκε φύλακα. Καί ὅρα μοι ἀκριβῶς πῶς ἀπ' ἀρχῆς κόσμου καί τῶν αἰώνων τά πάντα προεγνωσμένα καί προωρισμένα εἰσί τῷ Θεῷ. Ἐπεί γάρ προώρισε τήν ἐκ παλιγγενεσίας αὐτῶν ἀνάπλασιν ὁ Θεός, ὡς ἐκ σώματος ἑνός τοῦ Ἀδάμ μερίδα μίαν <ἔλαβε> τήν πλευράν, οἱνοεί καί τήν μερίδα ἥν ἔλαβεν ἐξ αὐτοῦ, καί ἀνεπλήρωσε μέν ἀντ' αὐτῆς σάρκα, τήν δέ πλευράν ἀνῳκοδόμησεν εἰς γυναῖκα, οὕτως ὡς ἐκ τοῦ ἀδαμιαίου μέν ταύτην δανεισάμενος σώματος, ἑτέραν δέ ἀντ' αὐτῆς αὐτῷ χαρισάμενος, τό ὅπερ ἐδανείσατο μερίς αὐτοῦ ἦν καί οὐχ ὡς τοῦ ἀδαμιαίου σώματος ἐλογίζετο, ἀλλά μερίς Κυρίου

εὑρίσκετο, ἐκτός τοῦ σώματος ὄν τοῦ Ἀδάμ, εἰ καί ἐξ αὐτοῦ ἐλήφθη καί συγγενές ὑπῆρχεν αὐτοῦ. Διά δή τοῦτο οὐδέ ἄγγελος φύλαξ τῆς μερίδος ἀποκατέστη, ἀλλά παιδαγωγός ὥσπερ υἱοῦ, ἤ καί δημαγωγός ὥσπερ λαοῦ καί στρατοῦ, ἐδόθη αὐτοῖς ὁ ἀρχιστράτηγος Μιχαήλ· Θεός δέ φύλαξ αὐτῶν καί σκεπαστής ἦν, διό καί Ἰσραήλ τοῦτον ἐκάλεσε νοῦν ὁρῶντα Θεόν. Ἐντεῦθεν καί ὁ Χριστός ἐκ τῆς θυγατρός Ἀδάμ καί Δαβίδ γεννηθῆναι λέγεται διά γάρ τοῦτο καί ἡ μερίς αὕτη, ἡ ἐκ τοῦ σώματός φημι τοῦ Ἀδάμ, ὑπό τοῦ ἀποστόλου Ματθαίου γενεαλογεῖται καί οὐχ ὅλον τό σῶμα, ὡς ἀπορραγέν δηλονότι τό ὅλον ἀπό τῆς μερίδος, καθά δή καί τῆς θεϊκῆς δόξης ὅλος ἐξέπεσεν ὁ Ἀδάμ.

Τίνα τρόπον καί διά τι; Ἵνα, καθώς ἐκ τοῦ ὅλου σώματος τοῦ Ἀδάμ ἡ μερίς ληφθεῖσα ᾠκοδομήθη εἰς γυναῖκα, οὕτω πάλιν ἐκ τῆς γυναικός ἡ αὐτή ληφθεῖσα μερίς ἀνοικοδομηθῇ εἰς ἄνδρα καί γένηται νέος Ἀδάμ, ὁ Κύριος ἡμῶν Ἰησοῦ ὁ Χριστός, ἥν κατ᾽ ἐκλογήν Παῦλος ὁ θεῖος ἐκάλεσε· καί καθάπερ ἐκ τοῦ λήμματος, ἤγουν τῆς μερίδος, αὐτῆς δηλονότι τῆς γυναικός, ἡ ἀφορμή τῆς κατάρας ἐπί τό ὅλον σῶμα, ἤγουν τό γένος, διέβη, οὕτω πάλιν διά τοῦ αὐτοῦ λήμματος, ἤγουν τοῦ δεσποτικοῦ σώματος, ἐπί τήν ἀνθρωπότητα πᾶσαν ἡ εὐλογία διαδοθῇ. Διά γάρ τοῦτο καί ἐν τῷ ᾅδῃ κατῆλθεν, ἵνα καί ἐπί τούς ἁγίους τούς πρό τῆς παρουσίας αὐτοῦ ἡ σωτηρία καί ἐπιφάνεια αὐτοῦ γενομένη συνάψῃ πάντας τούς ἀπ᾽ αἰῶνος κεκοιμημένους κατά τῶν ἕως τῆς συντελείας μελλόντων γενέσθαι ἁγίων· οὕτω καί ἐν μνημείῳ ἐτέθη, ἵνα καί τά προκεκοιμημένα σώματα διά τῆς νεκρότητος τοῦ σώματος αὐτοῦ ζωῆς συμμέτοχα καί ἀναστάσεως αἰωνίου ποιήσῃ. Τοιγαροῦν καί κλῆρον γεγονότα Θεοῦ τόν Ἰσραήλ καί μερίδα αὐτοῦ χρηματίσαντα, ἀμπελῶνα τοῦτον εἰκότως ἐκάλεσε καί φραγμόν αὐτῷ περιέθηκεν, οἷον ἄλλῳ τινί νέῳ παραδείσῳ ἀφ᾽ οὗ πάλιν ὁ Ἀδάμ ἐξεβλήθη, ἤγουν τό γένος τοῦ σώματος αὐτοῦ, φημί δή τά ἔθνη. Καί ὁ μέν ἄγγελος ἦν ἀντί τῆς φλογίνης ῥομφαίας φυλάσσων τήν ἄμπελον ταύτην τοῦ μή εἰσελθεῖν ἐν αὐτῇ τά ἔθνη, ὁ δέ γεωργός ἦν αὐτῆς ὁ Θεός.

Καθάπερ οὖν ἡ Εὔα πρώτη, αὐτή ἡ μερίς τοῦ ὅλου ἀδαμιαίου σώματος, τῷ ὄφει ὡμίλησε καί πρώτη τά ὑπό τοῦ Θεοῦ ἐνταλθέντα αὕτη αὐτῷ ἀπεκάλυψε καί πρώτη τά ὑπό τοῦ ὄφεως ἐνσπαρέντα ἐδέξατο καί τήν ἐντολήν παρέβη ἀπό τοῦ ξύλου φαγοῦσα, τοῦ Ἀδάμ μή παρόντος, ὕστερον δέ καί διάκονος αὕτη τούτῳ ἐγένετο, δοῦσα καί αὐτῷ ἀπό τοῦ ξύλου φαγεῖν, οὕτω μετά ταῦτα καί ἐν τῷ Ἰσραήλ γέγονεν. Ἀθετήσας γάρ και αὐτός, ὥσπερ ἐκείνη, τήν πίστιν καί τήν ἀγάπην τοῦ ἐκλεξαμένου αὐτόν Θεοῦ παρά πάντα τά ἔθνη, τῆς πρός αὐτόν λατρείας ἀποστάς, εἰδώλοις θυσίαν καί σπονδάς προσῆξεν· ἤσθιέ τε καί ἔπινεν ἐν αὐτοῖς. Τοῦτο οὖν προειδώς ὁ Θεός, ἅτε Θεός ὤν καί τά πάντα εἰδώς, πάλιν ἐκ τούτων αὐτῶν τήν μερίδα, τόν κλῆρον, αὐτό τό λῆμμα, τό τῆς πλευρᾶς φημι τοῦ Ἀδάμ, ἐκ τῆς τοῦ Ἰούδα φυλῆς λαβών ἑαυτῷ συνετήρησεν. Ἐπεί δέ εἰς ἀπιστίαν ἅπαντες οἱ λοιποί συνεκλείσθησαν, ἐκ μέν τούτων τό λῆμμα λαβών ὅ ᾠκοδόμησεν εἰς γυναῖκα, ἤγουν Μαρίαν τήν ὑπεράμωμον, ἐξ αὐτῆς δέ τῆς ἁγίας θεοτόκου καί ἀειπαρθένου Μαρίας τήν προσληφθεῖσαν σάρκα σπέρμα τῆς εἰς Θεόν πίστεως ἐν ἑαυτῷ ἔχων, ἀνῳκοδόμησεν εἰς ναόν ἑαυτῷ ἅγιον ὁ ὑπεράγιος Θεός, ἀνήρ θεάνθρωπος γεγονώς. Ἀλλά γάρ ἐπεί καί αὐτή ἡ προσληφθεῖσα σάρξ ἐξ αὐτῆς τῆς ἁγνῆς

Θεοτόκου οὐκ ἐκ τῆς γυναικός ἦν ἀλλ’ ἐκ τοῦ Ἀδάμ εἰς γυναῖκα οἰκοδομηθεῖσα, τόν Ἀδάμ φορέσαι λέγεται ὁ Χριστός καί δεύτερος Ἀδάμ ἐκ τοῦ πρώτου γεγονέναι καί καλεῖσθαι γέγραπται, υἱός ὤν τοῦ Θεοῦ καί υἱός οὐ τῆς γυναικός ἀλλά τοῦ Ἀδάμ. Τοῦτο δέ ποῦ γέγραπται; Ἐν τῷ κατά Λουκᾶν εὐαγγελίῳ φησί· καί, εἰ δοκεῖ, ἐρεύνησον καί εὑρήσεις γενεαλογούμενον αὐτόν οὕτως. Εἰπών γάρ περί αὐτοῦ ὅτι ἐνομίζετο υἱός Ἰωσήφ, ἐπάγει· «*τοῦ Ἠλί, τοῦ Ματθᾶν*» καί καθεξῆς γενεαλογῶν τό λῆμμα καί διελθών, ὕστερόν φησι· «*τοῦ Ἐνώς, τοῦ Σήθ, τοῦ Ἀδάμ, τοῦ Θεοῦ*». Ἀπό τοῦ Ἰωσήφ κατά ἀναποδισμόν εἰς τόν Ἀδάμ ἀνελθών, τῆς γυναικός ὅλως μή μνημονεύσας, καί τοῦτο εἴασεν ὅλως ἐν μυστηρίῳ κεῖσθαι.

Τό λῆμμα οὖν, ὡς ἔχον ἐν ἑαυτῷ τό τῆς πίστεως σπέρμα, λαβών, ὥσπερ εἴρηται, ὁ Θεός ἄνθρωπος γέγονεν. Ὅλον τόν Ἀδάμ, ἤτοι τό γένος ἅπαν αὐτοῦ τό ἐκ τοῦ λήμματος ἀποβληθέν καί ὡς ἐκ τοῦ νέου παραδείσου καί τῆς μερίδος καί τοῦ ἀμπελῶνος ἔξω βληθέν, διά τοῦ τῆς πίστεως σπέρματος ἐν πίστει καί αὖθις τῇ πρός αὐτόν ἔκρινε δικαιῶσαι, καθάπερ καί τῷ Ἀβραάμ τοῦτο ὑπέσχετο, οὐ τότε τοῦτο ἐνθυμηθείς ὁ Θεός, ὡς ἄν τις οἰηθείη τῶν λίαν γνωστικῶν, ὅτε καί τήν πίστιν ὁ Ἀβραάμ ἐπεδείξατο θύσας τόν Ἰσαάκ, ἀλλ’ ὡς πρό καταβολῆς κόσμου τοῦτο γινώσκων καί προορίσας διά πίστεως τό λῆμμα καί διά τῆς κατά πρόθεσιν ἐν τῷ λήμματι πίστεως πάντας τούς ἐκ τούτου τοῦ λήμματος πρότερον χωρισθέντας σωθήσεσθαι, ὕστερον οἱονεί τῷ πιστῷ εὑρεθέντι Ἀβραάμ τήν πάλαι προορισθεῖσαν αὐτοῦ βουλήν ἐν ἑαυτῷ ἐφανέρωσεν· ἥν ἀκούοντες ἡμεῖς, λογιζόμεθα ὅτι, ἐπειδή ἐπίστευσεν ὁ Ἀβραάμ τῷ Θεῷ, διά τοῦτο τήν εὐλογίαν ταύτην καί τήν διά πίστεως υἱοθεσίαν ἐλάβομεν, εἰπόντι πρός αὐτόν ὅτι «*ἐν σοί ἐνευλογήσονται πάντα τά ἔθνη*», οἱονεί ἀντίχαριν τῆς τοῦ Ἀβραάμ πίστεως δοθεῖσαν ἡμῖν τήν ἐπαγγελίαν ταύτην κακῶς ὑποπτεύοντες, καί οὐχί μᾶλλον διά τῆς προορισθείσης πρό τῶν αἰώνων ἀπορρήτου οἰκονομίας, τῆς ἐν τῷ Ἀβραάμ διά τῆς πίστεως ἐπαγγελθείσης καί φανερωθείσης ἡμῖν. Ἀλλ’ οὐκ ἔστι τοῦτο, οὐκ ἔστι. Τό γάρ λῆμμα τοῦτο ἐν τῷ διαμερισμῷ τῶν υἱῶν Ἀδάμ, αὐτῶν τῶν ἐθνῶν, γενόμενον εἰς μερίδα Κυρίου κατά τό λόγιον, ὡς ἄλλον τινά δεύτερον παράδεισον ἐφύτευσε, μέσον τό τῆς ζωῆς ξύλον ἔχοντα ἑαυτοῦ, ἤγουν τήν πίστιν τήν εἰς Θεόν καί τό Πνεῦμα τό ἐκ Θεοῦ. Ἐπεί δέ τό λῆμμα τοῦτο ἐκ τῆς πλευρᾶς ἦν τοῦ Ἀδάμ, ὅ καί εἰς γυναῖκα ἐκτίσθη, ἡ δέ γυνή παρέβη πρώτη, προεγίνωσκε δέ ὁ Θεός ὅτι καί τοῦτο πάλιν τό λῆμμα οὐ μή φυλάξῃ τήν πίστιν τήν εἰς αὐτόν, ὅτε τοῦτο προέγνω πρό τῶν αἰώνων, τότε καί τά ἔθνη πάντα τά ἐκβληθέντα, ἤτοι τά ἀποικισθέντα καί ἀπαλλοτριωθέντα τούτου τοῦ λήμματος, ἀνακληθῆναι καί ἀντεισαχθῆναι καί τῷ ἐκ τοῦ λήμματος λήμματι προστεθῆναι καί ἑνωθῆναι εὐδόκησεν.

Ἀλλά τοῖς λεγομένοις πρόσεχε νουνεχῶς, ἐπειδή δυσνόητόν ἐστι τό ἐν τούτοις νόημα. Ὅταν οὖν ὁ ἰουδαϊκός λαός ὁ καί Ἰσραήλ κληθείς (οὗτος γάρ ἐστιν ἡ μερίς ἡ ἐκ τῆς πλευρᾶς τοῦ ἀνδρός) τήν δοθεῖσαν αὐτῷ παρά τοῦ Θεοῦ ἐντολήν παραβῇ (ἄκουε γάρ, φησίν, Ἰσραήλ, Κύριος ὁ Θεός σου Κύριος εἷς ἐστιν) , ὅτε ταύτην παραβῇ δαιμονίοις λατρεύσει καί εἰδώλοις προσκυνήσει καί ἐκ τῶν σπονδῶν τῶν θυσιῶν αὐτῶν φάγῃ, τότε ἐξ αὐτῆς πάλιν, οἱονεί ἐξ ἑνός σώματος τοῦ ἐκ ταύτης ἐκ πολλῶν μελῶν εἰς ἕνα λαόν

οἰκοδομηθέντος, τήν ἑαυτοῦ μερίδα λαβών ὁ Θεός ἀκέραιον ἑαυτῷ ταύτην διατηρήσει· τό δέ λοιπόν σῶμα, ἤτοι τό ἐκ τῆς μερίδος ταύτης ἀποσπασθέν μέρος καί εἰς εἰδωλολατρείαν ἐκκλῖναν, ἐκ τοῦ παραδείσου τούτου, τοῦ ἀμπελῶνος δηλονότι τῆς μερίδος αὐτοῦ, ἀπώσεται καί ἐξώσει αὐτό· ἀπό δέ τῆς κατ’ ἐκλογήν πίστεως καί μερίδος αὐτοῦ, τῆς οὔσης ἀπό τῆς πλευρᾶς τοῦ Ἀδάμ, ὡς ὀλίγου τινός προσλαβόμενος σπέρματος, ὁ Θεός Λόγος γένηται ἄνθρωπος, ἤγουν, ἵνα πάλιν εἴπω, Ἀδάμ δεύτερος τοῦ πρώτου υἱός ὡς ἐκ τῆς πλευρᾶς αὐτοῦ δίχα συνουσίας καί ῥεύσεως γεννηθῇ καί τηνικαῦτα εὐλογηθῇ ὅλον τό σῶμα καί τά μέλη τοῦ πρώτου Ἀδάμ, αὐτός δηλαδή ὁ ἐξωσθείς λαός τῶν ἐθνῶν, διά τοῦ υἱοῦ αὐτοῦ τοῦ θεανθρώπου ἀνδρός ἑνωθείς ἐκ πίστεως τῷ λήμματι τῷ ἐκ τῆς πλευρᾶς τοῦ Ἀδάμ.

Τοῦτο οὖν ἐστιν ὅ καί Παῦλος ὁ θεῖος πρό αἰώνων ὁρισθέν καί προγνωσθέν λέγει ἀπό τοῦ τά πάντα προειδότος Θεοῦ, ἵνα πάντα τά ἔθνη ἀπό ἀνατολῶν καί μέχρι δυσμῶν προσκληθῶσι καί ὅσοι μέν πιστεύσουσι κολληθῶσι τῷ ἐκ τῆς πλευρᾶς τοῦ πατρός αὐτῶν σαρκωθέντι Χριστῷ τῷ Θεῷ, τῷ Υἱῷ τοῦ Θεοῦ καί υἱῷ τοῦ Ἀδάμ· καί οὕτως γενήσονται οἱ ἀμφότεροι ἕν, σύσσωμοι δηλονότι καί συμμέτοχοι καί ἀδελφοί καί συγκληρονόμοι Χριστοῦ, αὐτός ὁ Χριστός, καί τά μακράν ἀποικισθέντα καί διασπαρέντα ἔθνη· ὅσοι δέ ἀπιστήσουσι, μείνωσιν ἔξω μετά τῶν ἐκ τοῦ λήμματος τῆς πίστεως, αὐτῶν δή τῶν Ἰουδαίων φημί, τῶν διά ἀπιστίαν ἐκβληθέντων καί ἀπωσθέντων. Καί τοῦτο ἐκ τῶν εὐαγγελικῶν ῥημάτων δῆλόν ἐστι τοῖς ἀκούουσι· φησί γάρ ὁ Κύριος πρός τούς αὐτοῦ μαθητάς· «*Ἐδόθη μοι πᾶσα ἐξουσία ἐν οὐρανῷ καί ἐπί γῆς. Πορευθέντες εἰς τόν κόσμον ἅπαντα κηρύξατε τό εὐαγγέλιον τῆς βασιλείας· ὁ πιστεύσας καί βαπτισθείς σωθήσεται, ὁ δέ ἀπιστήσας κατακριθήσεται* ».

Ἀλλ’ ἀναλαβόντες τόν λόγον ὡς ἐν ἐπιτόμῳ τά ἀνωτέρω ῥηθέντα αὖθις διηγησόμεθα, ὡς ἄν εὐσύνοπτα μᾶλλον ἄρτι τοῖς πᾶσι γένωνται.

## γ΄. Ἀνακεφαλαίωσις τῶν ἐν τῷ πρώτῳ λόγῳ ῥηθέντων περί ταῆς τοῦ Ἀδάμ καί τῆς Εὔας καί τῶν ἑπτά ἡμερῶν καί αἰώνων καί τῆς τοῦ παραδείσου φυσικῆς θεωρίας.

Τοιγαροῦν ἐποίησεν ὁ Θεός τόν οὐρανόν καί τήν γῆν καί πάντα τά ἐν αὐτοῖς, ἵνα πάλιν ἐξετάσωμεν τά ἐγκεκρυμμένα νοήματα τῆς θείας Γραφῆς, καί εἶθ᾽ οὕτως ἔπλασε τόν κατ᾽ εἰκόνα αὐτοῦ καί καθ᾽ ὁμοίωσιν ἄνθρωπον, αὐτόν δηλαδή μόνον τόν Ἀδάμ. Ἐν ἕξ ἡμέραις ἐποίησε ταῦτα πάντα καί ἐν τῇ ἑβδόμῃ κατέπαυσε, μηδέν ἐν αὐτῇ ἐργασάμενος μήτε μήν ὀγδόην ὀνομάσας ἡμέραν τήν πρώτην, ὡς ἄν μή ὀκτώ ἀλλ᾽ ἑπτά μόναι λέγωνται αἱ τῆς ἑβδομάδος ἡμέραι καί οὕτως ἀνακυκλούμεναι τόν ἀριθμόν τῶν ἑβδομάδων ἀποτελῶσιν. Ἐν γάρ ταύταις ταῖς ἡμέραις τούς ἑπτά αἰῶνας ὁ Δημιουργός προϋποτυπώσας ὁρᾶται. Τοιγαροῦν καί ταῦτα οὕτω ποιήσας ὁ τῶν ὅλων Δεσπότης, ἐπεί, ὡς ἅτε Θεός ὤν, προῄδει ὅτι μέλλει ὁ ἄνθρωπος παραβῆναι τήν αὐτοῦ ἐντολήν καί ἀμετανόητος μεῖναι, τόν δέ μή μετανοοῦντα ἀνάγκη πᾶσα καί τιμωρεῖσθαι τοῦτον καί κατακρίνεσθαι, οὐκ εἴασεν αὐτόν ἐν τούτῳ τῷ κόσμῳ τῷ ἐν ταῖς ἕξ ἡμέραις σύν αὐτῷ ἐκείνῳ τῷ Ἀδάμ κτισθέντι· ἀλλά μετά τό καταπαῦσαι ἐν τῇ ἑβδόμῃ ἡμέρᾳ καί πληρωθῆναι αὐτήν, τότε ὕστερον ἐφύτευσε τόν παράδεισον κατά ἀνατολάς.

Τίνα τρόπον καί διά τί; Ἵνα ἐκ τοῦ κόσμου τούτου, ὡς ἐν παλατίῳ τινί καί πόλει περιφανεστάτη, οἷα δή βασιλεύς, ὑπό τοῦ Θεοῦ ἐν αὐτῷ εἰσαχθῇ, ὁπόταν δέ τήν τοῦ Θεοῦ παραβῇ ἐντολήν καί διά τοῦτο ἐκπεσεῖν μέλλῃ τῆς βασιλείας καί τῶν βασιλείων οἴκων ἐξορισθῆναι καί ἀπορριφῆναι, ἐν τούτῳ πάλιν τῷ κόσμῳ διάγειν ἐπ᾽ ἐλπίδι κατακριθῇ. Εἰ γάρ μή ταῦτα οὕτως ἐποίησεν ὁ Θεός, ἀλλά μόνον τόν κόσμον ἀφῆκε καί ἐν αὐτῷ τόν ἄνθρωπον ἔθετο, παραβαίνοντα καί μή ἐξομολογούμενον μηδέ μετανοοῦντα, ποῦ εἶχεν αὐτόν ἐξῶσαι; Ποῦ δέ καί βιοῦν καί ἀποθνῄσκειν αὐτόν ἐχρῆν καί πάλιν ἐπιστρέφειν εἰς τήν γῆν ἐξ ἧς ἐλήφθη, μετά τήν καταδίκην; Πάντως οὐδαμοῦ, ἀλλ᾽ ἤ ἐν ᾅδῃ ζῶντα ἔδει κατακριθῆναι αὐτόν, μηδεμίαν ἔκτοτε ἀνάκλησιν σωτηρίας ἔχοντα· καί λοιπόν οὔτε γένεσις οὔτε κόσμου αὔξησις εἰς πλῆθος, καί ἀπώλετο τό τοιοῦτον καί τηλικοῦτον σοφίας Θεοῦ ἔργον ὁ ἄνθρωπος.

Ἐπεί δέ πρό τῶν αἰώνων ἐγίνωσκεν ὁ Θεός ὅτι παραβῆναι μέλλει καί τήν ἐκ παλιγγενεσίας αὐτοῦ ἀνάπλασιν προωρίσατο, διά τοῦτο καί τούς τῆς ἀναπλάσεως ἀρραβῶνας, μετά τό κτίσαι αὐτόν πάντα καί καταπαῦσαι καί τούς καιρούς καί τούς αἰῶνας ἐν ταῖς ἑπτά ἡμέραις μυστικῶς προσημᾶναι, οἱονεί ζύμην καί σπόρον καί μερίδα ἀφ᾽ ἑνός ἑκάστου τῶν ἔργων αὐτοῦ ὕστερον ἔλαβεν, ἵνα τάς ἐκ τῶν ἔργων μερίδας τῶν κτισθέντων ἐν ταῖς ἑπτά ἡμέραις μή ἐν αὐταῖς αὐτάς ἀλλ᾽ ἐν τῇ ὀγδόῃ λαβών, τόν μέλλοντα αἰῶνα διά τῆς ἐν αὐτῇ δημιουργίας προϋπογράψῃ, μή ἀριθμήσας ταύτην ταῖς ἑπτά μηδέ δήλην αὐτήν ποιήσας, ἀλλ᾽ ἀγνοουμένην μέν εἴασε κεῖσθαι αὐτήν ὅλως τοῖς πρό τοῦ νόμου, δηλωθεῖσα δέ τοῖς ἐν νόμῳ προφήταις ἀμυδρῶς πως καί ἀπαγγελθεῖσαν πεποίηκε, φανερωθεῖσαν δέ ἡμῖν τοῖς πιστοῖς καί διαυγάσασαν ὡς ἐν πρωΐαν, καθά δή καί προσδοκῶμεν τόν ἄδυτον τῆς δικαιοσύνης ἥλιον ὅσον οὔπω ἐξανατεῖλαι. Μερίδας

δέ εἶπον λαβεῖν αὐτόν ἐκ μέν τῆς γῆς ἁπάσης ὡς χωρίον ἕν ἐν ᾧ ἐφύτευσε τόν παράδεισον, ἐκ δέ τοῦ ὅλου σώματος τοῦ Ἀδάμ μίαν πλευράν ἤτοι μέλος ἕν, ἐκ δέ τῶν ἡμερῶν οὐδέν. Τίνα τρόπον; Ἐπειδή αἱ μέν μερίδες αὗται ἐλήφθησαν ὡς ἀνακαινισθῆναι δι' αὐτῶν τά συγγενῆ καί συμφυῆ καί τοῖς οὐρανίοις συναφθῆναι ὀφείλοντα, αἱ δέ ἡμέραι, οὐκ ἀνακαινισθῆναι ἀλλά τελείως παυθήσεσθαι μέλλουσαι ὑπό τῆς ἡμέρας ἐκείνης, ἐάθησαν, καί τούτου ἕνεκεν μερίδα ἀνακαινισμοῦ οὐκ ἔλαβεν ἐξ αὐτῶν ὁ Θεός, ἀπό τῶν αἰώνων δέ ἔλαβε. Πῶς; Ἄκουσον.

Ἑπτά ὤφειλον πληρωθῆναι αἰῶνες κατά τόν ἀριθμόν τῶν ἑπτά ἡμερῶν. Οἱ μέν οὖν ἕξ ἤδη παρῆλθον, ὁ δέ γε ἕβδομος οὐ τελειοῦται, ἀλλ' ἐξ αὐτοῦ λαμβάνει τήν μερίδα καί ἐπισυνάπτει τῷ ἀϊδίῳ καί μή ἔχοντι τέλος αἰῶνι. Τό δέ, πόσον προώρισε λαβεῖν, ἤ πότε τό τέλος τῶν ἡμερῶν τούτων μέλλει γενέσθαι, οὐδείς οἶδεν εἰ μή μόνη ἡ Ἁγία Τριάς, ἡ μία καί ἀδιαίρετος θεότης. Τό γάρ παρά τοῦ Σωτῆρος ῥηθέν Ἰησοῦ Χριστοῦ, ὅτι οὐδέ ὁ Υἱός ταύτην οἶδε τήν ἡμέραν καί ὥραν, κατά τήν τῆς ἀνθρωπότητος αὐτοῦ φύσιν εἶπεν ἀγνοεῖν οὐ κατά τήν τῆς θεότητος. Τίνος οὖν ἕνεκεν ἀπό τῶν ἡμερῶν μερίδα οὐκ ἔλαβεν, ἀπό δέ τῶν αἰώνων λαμβάνει; Ἐπειδή οἱ μέν αἰῶνες οὗτοι ἀπό ἡμερῶν καί ἑβδομάδων μετρούμενοι αἰῶνες καλοῦνται, ὁ δέ μέλλων αἰών καί ἀΐδιος, οὐ μετρητός ὑπό ἡμερῶν, ἀλλ' ἀμέτρητος καί ἔστι καί ἔσται καί ἀτελεύτητος· ἡμερῶν δέ μή μελλουσῶν εἶναι, ἀλλ' αἰῶνος, οὐκ ἐκ τῶν ἡμερῶν μερίδα, ἀλλ' ἐκ τῶν αἰώνων, τῶ μέλλοντι αἰῶνι λαβών συνάπτει. Ἡ μέντοι μερίς τῆς γῆς, αὐτός δηλαδή ὁ παράδεισος, τύπος τῆς ἄνω Ἱερουσαλήμ, φημί δή τῆς βασιλείας τῶν οὐρανῶν, ἦν, ἐν ᾧ καί τόν ἄνθρωπον ἔθετο ὁ Θεός, ἵνα ἀπό τοῦ τύπου καί τῆς σκιᾶς ἐπί τήν ἀλήθειαν κατά προκοπήν ἀναχθῇ. Τό δέ ξύλον τῆς ζωῆς τό ἐν μέσῳ τοῦ παραδείσου εἰκών ἦν τῆς αἰωνίου ζωῆς, ἥτις ἐστίν ὁ Θεός. Ἡ δέ πλευρά τοῦ Ἀδάμ ἡ εἰς γυναῖκα οἰκοδομηθεῖσα τύπος ὑπῆρχε τῆς Ἐκκλησίας, ἕτερον πάλιν ὄν καί τοῦτο οἰκονομίας μυστήριον, ἵνα, ὁπόταν ἐκπέσῃ ἀπό τῆς εἰκόνος τῆς εἰς τύπον γεγονυίας τῆς βασιλείας τῶν οὐρανῶν, ὅς ἦν ὁ παράδεισος, καί τῆς τοῦ ξύλου <τῆς> ζωῆς, διά τῆς πλευρᾶς τῷ Χριστῷ καί Θεῷ συναφθῇ καί εἰς ἐκεῖνο πάλιν αὐτό τό ἀρχαῖον καί πρῶτον ἀναχθῇ κάλλος.

Ἐπειδή δέ ἡ Εὔα πρώτη ἀπατηθεῖσα τήν ἐντολήν παρέβη καί τοῦ καρποῦ ἀπεγεύσατο, εἶτα δέδωκε τῷ Ἀδάμ κἀκεῖνος ἔφαγε, μετανοῆσαι δέ καί προσπεσεῖν τῷ Δεσπότῃ οὐδαμῶς ἠβουλήθησαν, ἐξορίζονται ἐκεῖθεν καί εἰς τόν κόσμον τοῦτον οἰκεῖν κατεκρίθησαν. Ὅρα δέ καί τῆς ἐπ' αὐτῷ τοῦ Θεοῦ προνοίας τήν ἄφατον ἀγαθότητα. Ἐπειδή γάρ ἅπαξ ὑπό τῆς ἁμαρτίας εἰς φθοράν κατηνέχθη, ἵνα μή πρό καιροῦ φαγών ἀπό τοῦ ξύλου τῆς ζωῆς ἀθάνατος γένηται, - καί ἔσται ἄφθαρτος μέν, ἀθάνατος δέ, καί οὕτως ἀθάνατον γένηται τό κακόν -, ἔθετο τήν φλογίνην ῥομφαίαν ὁ Θεός φυλάσσειν τήν εἴσοδον τοῦ ξύλου τῆς ζωῆς.

## δ΄. Περί τοῦ κατακλυσμοῦ καί τίνων εἰκόνες ἦσαν τά ἐν τῇ κιβωτῷ· καί περί τοῦ Ἀβράαμ καί τοῦ κατ' ἐκλογήν λήμματος καί τί ἐστι τό λῆμμα τοῦτο· καί περί τοῦ Ἰσραήλ καί τῆς περιτομῆς.

Τοιγαροῦν καί γνόντες ἀλλήλους ἐτέκνωσαν καί ἐποίησαν υἱούς καί θυγατέρας καί «*ἐκάλεσεν Ἀδάμ Εὔαν τήν γυναῖκα αὐτοῦ Ζωήν, ὅτι αὕτη ἦν μήτηρ πάντων τῶν ζώντων*». Ἀλλά γάρ πληθυνθέντων τῶν ἀνθρώπων καί εἰς βάθος ἐμπεσόντων κακῶν καί εἰς πλῆθος ἁμαρτημάτων πολύ, μέλλων ὕδατι κατακλύσαι τόν κόσμον ὁ Θεός καί ἀπαλεῖψαι τόν ἄνθρωπον ἐκ τῆς γῆς, τήν μερίδα καί αὖθις οὐκ ἐγκατέλιπεν, ἀλλά τόν Νῶε καί τούς υἱούς αὐτοῦ καί τάς θυγατέρας αὐτοῦ ἐν τῇ κιβωτῷ διεσώσατο. Ἡ δέ κιβωτός πάλιν τῆς Θεοτόκου καί ὁ Νῶε τοῦ Χριστοῦ τύπος ἦν, οἱ δέ σύν τῷ Νῶε ἄνθρωποι τοῦ ἐξ Ἰουδαίων λήμματος ἀπαρχή, αὐτῶν τῶν εἰς Χριστόν μελλόντων πιστεύειν, τά δή θηρία καί πάντα τά κτήνη καί τά πετεινά καί ἑρπετά τύπος ὑπῆρχον τῶν ἐθνῶν. Ἔνθεν τοι καί ἡ κιβωτός μετά τόν κατακλυσμόν εἶχε τόν Νῶε, ἡ θεοτόκος δέ Μαριάμ τόν σαρκωθέντα Θεόν καί ἄνθρωπον· ἀλλ' ἐκεῖνον μέν μόνον σύν τοῖς μετ' αὐτοῦ ἡ κιβωτός διεσώσατο, οὗτος δέ καί τήν κιβωτόν καί πάντα τόν κόσμον τοῦ κατακλυσμοῦ τῆς ἁμαρτίας καί τῆς τοῦ νόμου δουλείας καί τοῦ θανάτου ἐρρύσατο.

Ἀλλά γάρ μετά τόν κατακλυσμόν εἰς ἀγνωσίαν καί αὖθις Θεοῦ κατενεχθέντες οἱ ἄνθρωποι καί ὡσαύτως πάλιν τραχηλιάσαντες διά τό εἶναι αὐτούς χεῖλος ἕν, ἤτοι γλῶσσαν καί φωνήν μίαν, πύργον οἰκοδομεῖν ἤρξαντο καί εἰς οὐρανούς ἀνελθεῖν ἐπεχείρουν, ἰσοθεΐαν καί αὖθις ἐν ἑαυτοῖς φαντασθέντες. Τοίνυν καί συγχέειν μέλλων ὁ Θεός τάς γλώσσας αὐτῶν κἀκ τούτου διαμερίσαι καί διασπεῖραι αὐτούς ἐν πάσῃ τῇ γῇ, ὡς πολλά μέλη ἐκ τῆς τοῦ Ἀδάμ πλευρᾶς γεγονότα καί εἰς ἕν σῶμα τῇ μιᾷ διαλέκτῳ ὄντας, πάλιν ἐκ τούτων ἔλαβε τήν μερίδα αὐτοῦ, ἤτοι τήν πλευράν, καί τό λοιπόν σῶμα εἰς πολλάς ποιήσας μελῶν μερίδας διέσπειρε· καί ἐκάλεσεν αὐτούς ἔθνη, ἄγνοιαν Θεοῦ παντελῶς ἔχοντας. Τήν γοῦν μερίδα ταύτην ὠνόμασεν Ἰσραήλ, τουτέστιν ὁρῶντα Θεόν· αὕτη δέ ἦν ὁ Ἀβραάμ ἐν ᾧ κατά διαδοχήν ὑπῆρχεν ἄνωθεν τό τῆς πίστεως καί τῆς θεογνωσίας σπέρμα διασωθέν, ᾧ καί ὤφθη λέγων· «*Ἔξελθε ἐκ τῆς γῆς σου καί ἐκ τῆς συγγενείας σου καί δεῦρο εἰς γῆν ἥν ἄν σοι δείξω· ποιήσω σε εἰς ἔθνος μέγα*» ᾧ καί δέδωκε τήν περιτομήν, οἱονεί σύσσημον καί σφραγῖδα γνωρίσας αὐτῷ ταύτην· καί ὤμοσεν αὐτῷ πληθῦναι τό σπέρμα αὐτοῦ ὡς τά ἄστρα τοῦ οὐρανοῦ καί ὡς τήν ἄμμον τήν παρά τό χεῖλος τῆς θαλάσσης. Μετά ταῦτα δέ ὤφθη πάλιν αὐτῷ ὁ Θεός καί φησί· «*Γινώσκων γνώσῃ ὅτι πάροικον ἔσται τό σπέρμα σου ἐν γῇ οὐκ ἰδίᾳ*», τήν εἰς Αἴγυπτον κάθοδον τοῦ Ἰωσήφ καί Ἰακώβ τοῦ πατρός αὐτοῦ καί τῶν ἀδελφῶν αὐτοῦ προμηνύων αὐτῷ· ἐξ ὧν καί ἐπληθύνθη ἐκεῖ ἡ μερίς αὕτη καί ἐγένετο εἰς ἔθνος μέγα, οὕς καί διά Μωσέως ἐκεῖθεν ἐξήγαγε, τόν ἀμνόν πρότερον αὐτοῖς τόν τοῦ ἀληθινοῦ ἀντίτυπον ἑστιάσας. Εἶτα καί διασχίσας τήν θάλασσαν καί διαβιβάσας αὐτούς καί εἰς τήν ἔρημον ἀναγαγών καί διαθρέψας αὐτούς ἐκεῖ τεσσαράκοντα ἔτη, ἐγενήθη «*μερίς Κυρίου, λαός αὐτοῦ Ἰακώβ, σχοίνισμα κληρονομίας αὐτοῦ Ἰσραήλ*».

Εἶχον οὖν οὗτοι τήν περιτομήν ὡς σφραγῖδα καί πάντες περιετέμνοντο καί ἦν ἐκ τούτου ἡ μερίς Κυρίου, ὡς εἴρηται, γνώριμος καθαπερεί προβάτων ἀγέλη βασιλικῶν, ἕκαστον αὐτῶν σφραγῖδα τήν περιτομήν ἐν τῷ κρυπτῷ μορίῳ ἐπιφερόμενον· καί τοῦτο πρός τό μή συμμίγνυσθαι τοῖς λοιποῖς προβάτοις, ἤγουν τοῖς ἔθνεσι, τοῖς εἰς θηρίων καί ἀλόγων τάξιν ὑπό τῆς τοῦ Θεοῦ ἀγνωσίας κατενεχθεῖσι, σοφῶς ᾠκονομήθη ἀπό Θεοῦ. Διά τί δέ οὐκ ἐν ἄλλῳ μέρει τοῦ σώματος, ἀλλ' ἐν αὐτῷ τήν σφραγῖδα ὑπέθετο γίνεσθαι; Ἐπειδή ἐξ αὐτοῦ ἡ σπορά προέρχεται καί ἡ κατά σάρκα γένεσις τοῦ ὅλου ἀνθρώπου γίνεται. Ἄλλως τε δέ καί ὡς ὅλον ἄνθρωπον τήν σάρκα ἀποδυόμενον διά τούτου ἡμῖν ὑποζωγραφεῖ, ὡς ἄν ἐκ ταύτης κἀκεῖνοι ὡς τῆς σαρκός τέκνα γνώριμοι ὦσι καί τύπος γένηται τῆς πενυματικῆς περιτομῆς τῶν δίχα ῥεύσεως καί συνουσίας καί φθορᾶς ἀναγεννᾶσθαι μελλόντων ὕστερον τέκνων πνευματικῶν, ἵν' ὅταν ἐκείνη φανῇ, αὐτή τηνικαῦτα παυθῇ καί ἐν τῇ ἀκροβυστίᾳ τῆς σαρκός ἕκαστον τῶν προβάτων ἀντ' αὐτῆς τῷ αἵματι τοῦ Χριστοῦ σφραγισθῇ, ἐν τῇ ἀχειροποιήτῳ περιτομῇ δηλονότι κατά τόν Παῦλον καί τῇ ἀπεκδύσει τῆς σαρκός, αὐτοῦ φημι τοῦ γηΐνου φρονήματος, περιτεμνομένων ἡμῶν μυστικῶς μέν, ἐν αἰσθήσει δέ ψυχῆς καί γνώσει γινομένων αὐτῆς.

## εʹ. Ὅτι τῷ παραχθέντι πρώτῳ κατ' ἀρχάς κόσμῳ ἕτεροι δύο συνεπεγένοντο, ὧν ὁ ἔσχατος τύπος ἐστί τῶν μετά ταῦτα μελλόντων γενέσθαι, μέσος τις ὤν τῶν ἀρχαίων καί τῶν ἐξ ὕστερον· καί τίνος ἦν εἰκών ἡ τῆς ἐπαγγελίας γῆ καί τά ἑξῆς.

Ὁ μέν οὖν λαός οὗτος ὁ ἐκ τοῦ σπέρματος Ἀβραάμ, ἤγουν ἡ μερίς ἡ ἐκ τῆς πλευρᾶς τοῦ Ἀδάμ, οἷα δέ νέος ἄλλος τις καί τρίτος κόσμος ὑπό τοῦ Θεοῦ κατέστη, εἰκόνα τοῦ πρώτου φέρων ἐκείνου κόσμου καί παραδείσου καί αὐτοῦ <τοῦ> δευτέρου, τοῦ ἐν τῇ κιβωτῷ δηλονότι, οὐ μόνον δέ, ἀλλά καί τύπον τῶν μετά ταῦτα μελλόντων γενέσθαι, μέσος τις ὤν καί τά μέν ἀρχαῖα τοῖς εἰς ὕστερον ὑπογράφων, τοῖς δέ γε ὕστερον τά ἀρχαῖα σημαίνων συνάπτεσθαι. Εἶχε γάρ τήν γῆν τῆς ἐπαγγελίας ἀντί τοῦ παραδείσου ἐκείνου παράδεισον ἄλλον δεύτερον, τήν κιβωτόν ἀντί τῆς Θεοτόκου, προμηνύων ἡμῖν δι' αὐτῶν καί ἐξεικονίζων τήν ἐν ἀνακαινώσει Πνεύματος Ἁγίου μέλλουσαν ἔσεσθαι τοῖς ἁγίοις ἐν ἐκείνῳ ἐπάνοδον καί κληρονομίαν. Εἶχε τόν νόμον, ὡς τήν ἐντολήν οἱ προπάτορες ἐδήλου δέ διά τῆς τοῦ νόμου δουλείας τήν ὑπέρ νόμον δοθήσεσθαι μέλλουσαν ἐλευθερίαν ἐν νόμῳ πνευματικῷ. Εἶχε τήν στάμνον τοῦ μάννα ἀντί τοῦ ξύλου τῆς ζωῆς τοῦ ἐν μέσῳ τοῦ παραδείσου, οὗ φαγεῖν οὐκ ἐάθησαν ἐκεῖνοι, εἰκόνα φέρουσαν καί δηλοῦσαν τήν στάμνον τήν τόν Χριστόν φέρειν ἐντός μέλλουσαν. Εἶχε τό μάννα ἀντί τοῦ Χριστοῦ· αὐτός γάρ ἐστιν ὁ ἄρτος ὁ ἐξ οὐρανοῦ καταβάς καί ζωήν αἰώνιον τῷ κόσμῳ διδούς· διά τοῦτο γάρ καί τό μάννα ἐξ οὐρανῶν ἦν· «*Ἄρτον γάρ, φησίν, ἀγγέλων ἔφαγεν ἄνθρωπος*». Καί συνελόντα εἰπεῖν, παράδεισον αὐτόν νέον πεποιηκώς, πολλά τοῦ παραδείσου ἐκείνου τιμιώτερά τε καί ὑψηλότερα ἐν αὐτῷ ἔθετο, ὅσῳ καί μειζόνων ἐπαγγελιῶν καί πραγμάτων τύπος ἦν.

Ἔθετο καί γάρ ἐν αὐτῷ τόν Μωϋσῆν, καθάπερ ἐκεῖ τόν Ἀδάμ· καί ἐλάλει αὐτῷ ὁ Θεός ὡς τῷ Ἀδάμ καί ὁ Μωϋσῆς ἐλάλει τῷ Θεῷ καθώς ὁ Ἀδάμ· Ἀλλ' οὐκ εἶχεν ὁ Ἀδάμ ὡς οὗτος ἐπαγγελίας ἐλπίδα τοῦ σωματικῶς ἐκεῖσε παραγενέσθαι τόν μονογενῆ τοῦ Θεοῦ Υἱόν καί Θεόν. Εἶχεν ἐκεῖνος τό ξύλον τῆς ζωῆς, οὐκ ἐκείνην δέ αὐτήν τήν ζωήν· οὗτος δέ ἐκδηλοτέραν μέν ὑπέρ τό τῆς ζωῆς ξύλον τήν τοῦ Πνεύματος χάριν ἐν τοῖς προφήταις ἐκέκτητο, τήν τελείαν καί ἀληθινήν ζωήν ἐν τῷ Χριστῷ δοθήσεσθαι κατεπαγγελλομένοις. Εἶχεν ὁ παράδεισος ἐκεῖνος ἄπονον ζωήν καί ἀμέριμνον, δένδρα τε καί καρπούς ὡραίους εἰς βρῶσιν· εἶχε καί οὗτος τό μάννα ἐξ οὐρανοῦ τροφήν αὐτοσχέδιον, ὥσπερ εἴρηται· ἔπινόν τε ἐκ πέτρας ἀκολουθούσης ὕδωρ ὑπέρ μέλιν γλυκάζον· οὐ μήν ἀλλά γάρ καί «*τά ἱμάτια αὐτῶν καί τά ὑποδήματα οὐκ ἐπαλαιοῦντο οὐδέ ἐφθείροντο*», ἀλλά συνηύξανον καί ταῦτα τοῖς αὐτῶν σώμασι καί οὐκ ἦν ἐν ταῖς φυλαῖς αὐτῶν ὁ ἀσθενῶν. Εἶχον οἱ ἐν τῷ πρώτῳ παραδείσῳ ἀπειλήν θανάτου καί κατάρας ἐν τῇ παραβάσει τῆς ἐντολῆς· εἶχον οἱ ἐν τούτῳ ἀφέσεως ἁμαρτιῶν ἐλπίδα καί εὐλογίαν ζωῆς αἰωνίου ἐν τῷ μή πληρῶσαι τόν νόμον τοῦ Θεοῦ τινα ἐξ αὐτῶν, τοῦ Χριστοῦ ἐλθεῖν κατεπαγγελλομένου καί ποιῆσαι τό ἀδύνατον παρ' ἐκείνοις δυνατόν, οὐχί πρός κατάκρισιν τῶν μή φυλαξάντων, ἀλλά πρός σωτηρίαν τῶν πιστευσάντων.

Εἶχεν ὁ πρῶτος τήν φλογίνην ῥομφαίαν φυλάττουσαν τήν εἴσοδον τοῦ ξύλου τῆς ζωῆς καί ἀπείργουσαν ἐξ αὐτοῦ τόν Ἀδάμ καί τούς ἐξ αὐτοῦ· εἶχεν οὗτος τόν ἀρχιστράτηγον Μιχαήλ, τούς ἐν αὐτῷ μᾶλλον περισκέποντα καί φυλάσσοντα, τά δέ διασπαρέντα ἔθνη τοῦ εἰσελθεῖν ἐν αὐτῷ μή παραχωροῦντα. Προῳκονόμησεν ἐκεῖ ὁ Θεός, ἵνα διά τῆς πλευρᾶς τοῦ Ἀδάμ ἡ τοῦ Ἀδάμ ἀνάπλασις γένηται· καί διά τοῦτο ἐκ τοῦ ἀνδρός τότε ἄνευ συνουσίας γέγονεν ἡ γυνή, ὡς ἄν ἐκ τῆς γυναικός πάλιν ἡ πλευρά ληφθῇ τοῦ Ἀδάμ καί ἄνευ ῥεύσεως καί συνουσίας γεννηθῇ ἀνήρ ὁ Χριστός καί Θεός καί δι᾿ αὐτοῦ ὁ Ἀδάμ ἀνακαινισθῇ· προεπηγγείλατο ἐν τούτῳ τῷ παραδείσῳ ὁ Θεός τῷ Ἀβραάμ εἰσαγαγεῖν ἐν τῷ σπέρματι αὐτοῦ πάντα τά ἐξωσθέντα ἔθνη καί μίαν ποίμνην αὐτούς ἀπεργάσασθαι.

Ἐπεί οὖν οἱ ἐν τοῖς ἀγαθοῖς τούτοις ὄντες καί πρό τοῦ εἰσελθεῖν εἰς τήν τῆς ἐπαγγελίας γῆν καί μετά τό εἰσελθεῖν παρέβησαν καί αὐτοί τήν ἐντολήν τοῦ Θεοῦ τήν λέγουσαν· «*Ἄκουε, Ἰσραήλ· Κύριος ὁ Θεός σου Κύριος εἷς ἐστι καί οὐ προσκυνήσεις Θεῷ ἀλλοτρίῳ*» καί «*ἔθυσαν τούς υἱούς αὐτῶν καί τάς θυγατέρας αὐτῶν τοῖς δαιμονίοις καί ἤσθιον καί ἔπινον τόν οἶνον τῶν σπονδῶν αὐτῶν καί προσεκύνησαν οἷς ἐποίησαν οἱ δάκτυλοι αὐτῶν, ἀπέκτεινάν τε τούς ἁγίους καί ἐλιθοβόλησαν τούς προφήτας, ἐστράφησαν εἰς τόξον στρεβλόν καί παρώξυναν ἐπ᾿ ἀλλοτρίοις καί ἐν βδελύγμασιν αὐτῶν τόν Θεόν τόν θρέψαντα αὐτούς ἐν τῇ ἐρήμῳ καί ἐπελάθοντο αὐτοῦ*» - τί οὖν ὁ παρά πάντα τά ἔθνη ἐκλεξάμενος αὐτούς Κύριος; Ὠργίσθη καί ἀπεστράφη αὐτούς; Οὐδαμῶς, ἀλλά ἀπέστειλε τόν Υἱόν αὐτοῦ κατακλύσαι τάς ἁμαρτίας αὐτῶν, ἐπειδή ἐφθάσθησαν ὁμοιωθῆναι καί οὗτοι τοῖς ἔθνεσι, καθώς γέγραπται· «*Καί ἐμίγησαν ἐν τοῖς ἔθνεσι καί ἔμαθον τά ἔργα αὐτῶν*» καί «*οὐ συνῆκαν ἐν τιμῇ ὄντες*». Τοιγαροῦν ἀναμνήσθητί μοι τῆς κιβωτοῦ τῶν υἱῶν Νῶε καί τῶν θηρίων καί ἑρπετῶν τῶν ἐν αὐτῇ τότε εἰσεληλυθότων, ὡς εἶπον, τά ἐν αὐτῇ διηγούμενος, τόν μέν Νῶε τύπον εἶναι τοῦ Χριστοῦ, τούς υἱούς δέ αὐτοῦ τοῦ ἐν τῷ νόμῳ λαοῦ, τά δέ θηρία καί τά ἑρπετά τῶν ἐθνῶν. Οἱ γοῦν ἐν τῷ νόμῳ ἄνθρωποι, οἱ μερίς Κυρίου κληθέντες, ὁ κλῆρος αὐτοῦ, τοῖς θηρίοις εἴτ᾿ οὖν τοῖς ἔθνεσιν ἐξωμοιώθησαν· καί θέλων αὐτούς ὁ Θεός ἀνακαλέσασθαι καί εἰς τό ἀρχαῖον πάλιν ἀποκαταστῆσαι κατῆλθεν ἐπί γῆς καί ἐσαρκώθη, λαβών τήν πλευράν τοῦ Ἀδάμ ἐκ τῶν πανάγνων τῆς Θεοτόκου σαρκῶν, καί ἐγένετο ἄνθρωπος, ὁμοιωθείς ἡμῖν κατά πάντα πλήν ἁμαρτίας. Τί τοῦτο; Ἵνα καί τούς ἐν νόμῳ φυλάξαντας τελειώσῃ διά τῆς εἰς αὐτόν πίστεως, καί τούς εἰς εἰδωλολατρείαν ἐξ αὐτῶν ἐκπορνεύσαντας διά πίστεως τῷ λοιπῷ σώματι ἐπισυνάψῃ, καί οὕτως δικαιωθῶσιν ὡσαύτως καί τά ἔθνη διά τῆς πίστεως κατά τό οὕτως εἰρημένον ὑπό τοῦ Παύλου· «*Εἰ γάρ τό αὐτῶν παράπτωμα πλοῦτος, φησί, τοῦ κόσμου γέγονε, πόσῳ μᾶλλον ἡ σωτηρία αὐτῶν γενήσεσθαι ἔμελλεν;*»

Ἀλλ᾿ ἡ θεωρία τοῦ εἰρημένου ὅσον ἀπό τοῦ γράμματος νοεῖν μοι καί ἕτερόν τι σαφῶς ὑποτίθεται. Ἀλλά προσέχετε, ἵνα γνῶτε καλῶς τί ἐστιν ὅ λέγει ὁ θεῖος Ἀπόστολος· «*Εἰ τό αὐτῶν παράπτωμα πλοῦτος κόσμου γέγονε, πόσῳ μᾶλλον ἡ σωτηρία αὐτῶν γενήσεσθαι ἔμελλεν;*»

## στ΄. Εἰς τό ῥητόν τοῦ Ἀποστόλου· «*Εἰ γάρ τό αὐτῶν παράπτωμα πλοῦτος κόσμου γέγονε*» καί τά ἑξῆς· καί προσωποποιΐα τῶν ἑκατέρων λαῶν, τῶν ἐθνῶν φημι καί τοῦ Ἰσραήλ.

Ἀπό τῆς διασπορᾶς τῶν ἐθνῶν, ὡς ἔφθην εἰπών, μερίς Κυρίου γέγονεν ὁ Ἰσραήλ. Ὁ γοῦν Ἰσραήλ οὗτος, εἰς ἔθνος μέγα καί λαόν πολύν γεγονώς, ἐξώκειλεν εἰς εἰδωλολατρείαν, καθώς ἐποίουν τά ἔθνη· καί ὀλίγοι λίαν ὡς ζύμη τις καί μερίς τῷ Θεῷ ἐφυλάχθησαν. Ἐλθόντος οὖν τοῦ Χριστοῦ, εἰ ἐπίστευσαν αὐτῷ καί προσεκύνησαν ὡς Θεῷ, ἔμελλον ἅπαντες, δίκαιοί τε καί ἄδικοι, θεοσεβεῖς καί εἰδωλολάτραι, εἰς ἕν γενέσθαι καί ἅμα σωθήσεσθαι. Καί εἰ τοῦτο γέγονεν, ἔλεγον ἄν τά ἔθνη πρός αὐτόν· «*Θεέ τοῦ παντός καί Δέσποτα, Κύριε τῶν αἰώνων, ἰδού χωρίς ἔργων δικαιοσύνης τινῶν πάντας αὐτούς ἔσωσας. Τί οὖν; Ἡμεῖς δέ οὐκ ἐσμέν ἔργα χειρῶν σου καί πλάσμα;*» Ἀντέλεγον δέ τούτοις οἱ Ἰουδαῖοι ἅ δή καί ἔλεγον· «*Οὐχί, ἀλλ᾽ ἡμεῖς ἐσμεν μόνοι μερίς αὐτοῦ, ἡμεῖς μόνοι κλῆρος αὐτοῦ· πρός ἡμᾶς οἱ πλάκες τῆς διαθήκης, ἡ περιτομή καί τά λοιπά ἅ μόνοις ἡμῖν ἐπηγγείλατο καί ἡμῖν δέδωκεν, ὑμῖν δέ οὐδαμῶς δώσει*». Πρός ταῦτα πάλιν ἄν ἀνθυπέφερον τά ἔθνη, λόγου μή ἀξιοῦντα τούς φθονερούς Ἰουδαίους· «*Ἡμᾶς μέν, ὦ Δέσποτα καί Λόγε Θεοῦ, ἀξίως ὡς ἀναξίους ἀπώσω, ὡς σκληροτραχήλους καί ἀνηκόους ἀνεπιμελήτους καταλιπών, καί λιμῷ ἀγνωσίας καί δίψει ἀνυδρίας τοῦ μή ἀκοῦσαι ἡμᾶς λόγων ἁγίων σου ἐάσας καί δικαίως. Εἰς δέ τούτου αὐτούς πᾶσαν ἐπεδείξω ἀγάπην καί ἐπιμέλειαν· προφήτας καί κριτάς καί διδασκάλους ὡς ὁδηγούς καί παιδευτάς δέδωκας αὐτοῖς· νόμον καί περιτομήν καί σημεῖα καί τέρατα ἐποίησας εἰς αὐτούς· καί πάντα ταῦτα εἰς οὐδέν λογισάμενοι, ἐγκατέλιπόν σε καί εἰδώλοις μεθ᾽ ἡμῶν ὡς θεοῖς προσεκύνησαν· καί ἅπερ ἡμεῖς ἐπράξαμεν ἔργα, πάντα καί αὐτοί διεπράξαντο· καί ὁμοίως ἡμῖν ἠρνήσαντό σε τόν εὐεργέτην. Νυνί δέ μόνῃ τῇ εἰς σέ πίστει συνεπάθησας αὐτοῖς, ἠλέησας καί ᾠκτείρησας καί τοῖς μή ἁμαρτήσασιν ἁγίοις σου συνηρίθμησας. Οὐκ ἐλεήσεις δέ καί ἡμᾶς; Οὐκ οἰκτειρήσεις; Οὐ προσδέξῃ, φιλάνθρωπε;*» Καί οὕτως δικαίως καί εὐλόγως τοῖς ἐν περιτομῇ εἰδώλοις θύσασιν οἱ ἐν ἀκροβυστίᾳ συνήπτοντο καί οἱ πάντες εἰς ἕν ἐν Χριστῷ γενήσεσθαι ἔμελλον.

Ἐπεί δέ μετά τῶν προγενεστέρων αὐτῶν κακῶν καί αὐτόν τόν Χριστόν καί Θεόν ὡς κακουργόν ἀπέκτειναν, τόν δέ Βαραββᾶν ὡς ἀντίτυπον τοῦ Ἀντιχρίστου ᾐτήσαντο καί ἀπέλυσαν καί μετά ταῦτα καί αὐτούς ἐδίωξαν τούς ἀποστόλους αὐτοῦ, ἐξορίσας αὐτούς, ὥσπερ εἴπομεν, ἐκ τοῦ παραδείσου, διέσπειρεν εἰς πάντα τά ἔθνη, ὡς τήν τῶν ἐθνῶν ἀνταλλαξαμένους ἀσέβειαν. Τά δέ γε ἔθνη ἐκ τῆς πλευρᾶς τοῦ Ἀδάμ ὁ τήν πλευράν ἀναλαβών τοῦ Ἀδάμ ἐκ τῆς γυναικός καί εἰς ἄνδρα τέλειον οἰκοδομήσας αὐτήν, σάρξ αὐτός ὅλος ὁ φύσει Υἱός καί Λόγος τοῦ Θεοῦ δι᾽ αὐτῆς γεγονώς καί υἱός τοῦ Ἀδάμ κατά τήν φύσιν τοῦ Ἀδάμ χρηματίσας, πρός ἑαυτόν ἐπεσπάσατο. Τοῦτο ὁ πλοῦτος τοῦ κόσμου· καί εἰ τοῦτο γέγονε πλοῦτος κόσμου, πόσῳ μᾶλλον, εἰ κἀκεῖνοι ἐπίστευσαν, γενήσεσθαι ἔμελλον. Ἦν μέν οὖν ἐκ τῆς πρώτης διασπορᾶς μερίς ὁ πᾶς Ἰσραήλ ὅν προέγνω καί προώρισε· καί ὅτε ἦλθεν ἐκάλεσεν αὐτόν εἰς πίστιν τήν ἑαυτοῦ. Ἐπεί δέ ἐλθεῖν πρός αὐτόν οὐκ ἠθέλησε, λαβών ἐκ τῆς ὅλης μερίδος μερίδα μικράν τούς εἰς

αὐτόν πιστεύσαντας, δηλονότι τόν Ἰωάννην τόν πρόδρομον, τούς ἀποστόλους καί καθεξῆς τούς λοιπούς, τό πλεῖστον τῆς μερίδος τό ἐκ προθέσεως οἰκείας εἰς ἀπιστίαν πεσόν ἀπέρριψε· καί ἀντ᾿ αὐτῶν εἰσῆλθον τά ἔθνη καί τῇ κατ᾿ ἐκλογήν πίστεως μερίδι ἐκ πίστεως καί αὐτοί ἐκολλήθησαν.

Καί σκόπει μοι ἀπ᾿ ἐντεῦθεν τήν τοῦ λόγου καθ᾿ ὁδόν προκοπήν, ὅπως ἔρχεται τά τῆς καινῆς καί θαυμασίας μερίδος ἐκδιηγήσασθαι.

## ζ΄. Ὅτι νέος κόσμος ἡ τοῦ Χριστοῦ Ἐκκλησία καί νέος παράδεισος ἡ πρός αὐτόν πίστις. Καί πρός τούτοις ἀνακεφαλαίωσις τοῦ πρώτου κόσμου, ἀντιπαρατιθεμένων τοῖς ἐν ἐκείνῳ πραχθεῖσι τῶν ἐν τῇ Ἐκκλησίᾳ διά Χριστοῦ τελεσθέντων. Καί πρός τό τέλος ἐπανάληψις τοῦ ἀποστολικοῦ ῥητοῦ· «*Οὕς προέγνω, τούτους καί προώρισε.....*».

Πάλιν μέν οὖν νέας μερίδος ἀρχή καί νέου κόσμου καί μετά τῆς μερίδος φύραμα ξένον, καινόν καί παράδοξον. Τά μέν μέχρι τούτου τύποι καί σκιαί καί αἰνίγματα ταύτης ἦν, αὕτη δέ ἡ ἀλήθεια καί ἡ τοῦ κόσμου παντός ἀνακαίνισίς τε καί ἀνανέωσις. Ἀλλά γάρ μερίς μέν ἡ ἐκ τοῦ Ἀδάμ γεγονυῖα φθαρτή καί εἰς πολύ πλῆθος λαοῦ φθαρτοῦ καί θνητοῦ γενομένη ὑπό τοῦ κατακλυσμοῦ πᾶσα ἀπώλετο· καί Νῶε μόνος ἐξ αὐτῆς καί οἱ υἱοί αὐτοῦ μερίς πάλιν ἐκ ταύτης ἐναπελείφθησαν, ἀρχή κόσμου δευτέρου. Ἐπεί δέ πάλιν εἰς οὐρανόν ἀνελθεῖν ἐπεχείρουν, κατακλυσμόν δέ μηκέτι ποιήσειν ἐπηγγείλατο ὁ Θεός μηδέ ἀποκτεῖναι πᾶσαν σάρκα ζῶσαν ἐπί τῆς γῆς, αὖθις μερίδα ἔλαβε τόν Ἀβραάμ κατ᾽ ἐκλογήν πίστεως καί πάντας ἄλλους εἰς τόν κόσμον διέσπειρεν. Ἀπό ταύτης οὖν τῆς τοῦ Ἀβραάμ μερίδος μερίδα τοῦ σπέρματος αὐτοῦ, αὐτήν δή τήν πλευράν, ὡς πολλάκις εἶπον, αὐτός ἐκεῖνος ἀνέλαβεν ὁ Θεός καί ᾠκοδόμησεν ἑαυτῷ καί ᾠκοδομήθη εἰς σάρκα δίχα τροπῆς καί ἐγένετο ἄνθρωπος οὐ ψιλός. Οὐδέ γάρ ἀπαρχή τέκνων σαρκικῶν, λαοῦ φθαρτοῦ, καθά καί ὁ Νῶε τηνικαῦτα ἐγένετο, ὡς ἄν, ἐν τῷ πληθυνθῆναι καί ἀπόλλυσθαι μέλλοντος αὐτοῦ, ἄλλην ἀπαρχήν πάλιν εἰς ἑτέρου λαοῦ γένεσιν ὕστερον ἐξ αὐτοῦ λάβῃ, ἀλλά ἀπαρχή ἀθάνατος καί ἀείζωος γέγονε τέκνων πνευματικῶν καί τόν χαρακτῆρα ἀναμορφουμένων αὐτοῦ, καθά φησιν ὁ Ἀπόστολος· «*Ἀπαρχή Χριστός, ἔπειτα οἱ τοῦ Χριστοῦ*», καί ἑτέρωθι· «*μέχρις οὗ μορφωθῇ Χριστός ἐν ἡμῖν*». Οἱ μέν γάρ προπάτορες ἅπαντες ἐκεῖνοι θνητοί ὑπῆρχον, ὁ δέ ἐκ τῆς μερίδος τοῦ σπέρματος Ἀβραάμ τήν μερίδα λαβών καί Υἱός τοῦ Θεοῦ καί αὐτοῦ τοῦ Ἀδάμ υἱός γεγονώς, ἄφθαρτός ἐστι καί ἀθάνατος, οὐ γεννῶν σαρκικῶς ἀλλά ἀναπλάτων πνευματικῶς.

Καί σκόπει μοι τόν τρόπον τῆς ἀναπλάσεως. Τίς οὗτος; Ἐν τῷ παραδείσῳ ἀπό ἀνδρός γυνή γέγονε, μήτηρ οὖσα πάντων τῶν ἀπό γῆς γεννηθέντων· ἐν δέ τῇ τῶν πιστῶν Ἐκκλησίᾳ ἀπό γυναικός ἀνήρ Χριστός ὁ Θεός ἐγεννήθη, ἀπαρχή καί ζωή πάντων τῶν ἀναγεννωμένων πνευματικῶς ἐκ τῆς εἰς αὐτόν πίστεως. Ἐκεῖ ξύλον τοῦ γινώσκειν καλόν καί πονηρόν, ὅ καί μεταληφθέν θανάτου ἐκείνοις γέγονεν αἴτιον· ἐνταῦθα τό ξύλον τοῦ σταυροῦ, ἐν ᾧ τάς μέν χεῖρας ἀντί τῶν ἁψαμένων χειρῶν τοῦ Ἀδάμ, τούς δέ πόδας ἀντί τῶν ἐπί τῇ παραβάσει βαδισάντων ποδῶν, προσηλώθη Χριστός ὁ δεύτερος Ἀδάμ καί Θεός. Καί ὁ μέν Ἀδάμ, γευσάμενος ἀπό τοῦ ξύλου ἐκείνου, θανάτου καί κατάρας αἴτιος τοῖς ἐξ αὐτοῦ γέγονεν· ὁ δέ Χριστός καί Θεός, χολῆς γευσάμενος καί ὄξος πιών, ἐκείνους μέν τῆς κατάρας ἀπήλλαξε καί τῆς τοῦ θανάτου φθορᾶς ἠλευθέρωσε, τοῖς δέ πιστεύουσιν εἰς αὐτόν ζωήν καινήν ἐδωρήσατο καί ἰσάγγελον ἔχειν πολιτείαν ἐν τῷ κόσμῳ τούτῳ ἐνίσχυσεν. Ἐκεῖ τό ξύλον τῆς ζωῆς ἐν μέσῳ τοῦ παραδείσου ἦν, ὅ καί φαγεῖν οἰκονομικῶς οὐ συνεχωρήθη ὁ Ἀδάμ, ἀλλ᾽ ἐξεβλήθη τοῦ παραδείσου, διό καί

φυλάσσειν ἐτάχθη τήν τούτου εἴσοδον ἡ φλογίνη ῥομφαία· ἐνταῦθα λόγχῃ τήν πλευράν ἐνύγη Χριστός καί τήν ῥομφαίαν ἐκείνην ἀπέστρεψε καί τήν εἴσοδον ἤνοιξε καί ἐν ὅλῳ τῷ κόσμῳ τό τῆς ζωῆς ξύλον ἐφύτευσε, μᾶλλον μέν οὖν καί καθ' ἡμέραν τοῦτο φυτεύειν ἐξουσίαν ἡμῖν δέδωκεν, ὅ καί ἀθρόον αὐξάνει καί ζωῆς αἰωνίου πᾶσι τοῖς ἐσθίουσιν ἐξ αὐτοῦ πρόξενον γίνεται.

Ὦ παραδείσου τοῦ νυνί παρά Χριστοῦ τοῦ Θεοῦ φυτευθέντος! Ὦ μυστηρίου καινοῦ καί θαυμάτων φρικτῶν! Ἐκεῖ μέν γάρ δένδρα αἰσθητά καί ὁρατά ὁμολογουμένως ὑπῆρχον ὁ Ἀδάμ τε καί ἡ Εὔα, αὐτό τε τό ξύλον τῆς γνώσεως καί τό ξύλον ὁμοῦ τῆς ζωῆς ἕτερον παρά τοῦτο ὄν· ἐνταῦθα δέ ὁ νέος Ἀδάμ τά πάντα ὁμοῦ τοῖς πιστοῖς γίνεται καί τρυφή καί γνῶσις, οὐ θανατοῦσα καί τοῦ τῆς ζωῆς ξύλου ἀπείργουσα, ἀλλά διδάσκουσα ἅ διά ῥημάτων δεῖ τῷ ὄφει δεόντως ἀνταποκρίνεσθαι· «*Ἄπελθε, φησίν, ὀπίσω μου, Σατανᾶ*» καί τά ἑξῆς· καί οὐ τοῦτο μόνον, ἀλλά καί εἰσάγουσα πρός τήν ζωήν ἥτις αὐτός ἐκεῖνος πάλιν ἐστίν. Ἀλλά ποῦ, φησίν, ὁ νέος παράδεισος ὅν λέγεις πεποιηκέναι Χριστόν; Ἰδού γάρ ὁρῶμεν ὅτι ἅπας ὁ κόσμος, καθώς ἐξ ἀρχῆς κατεσκευάσθη, ἐστί· καί τήν γῆν κατοικοῦμεν ἐν ᾗ ἐν κόπῳ καί μόχθῳ καί ἱδρῶτι τοῦ προσώπου ἡμῶν ἐσθίειν κατεκρίθημεν τόν ἄρτον ἡμῶν. Ποῦ οὖν ὁ παράδεισος ὅν διηγῇ ἡμῖν; Εἰ βούλει μαθεῖν Θεοῦ ἀκαταλήπτου καί ἀοράτου ἀόρατα καί ἀκατάληπτα τοῖς ἀπίστοις ἔργα τε καί μυστήρια, ἐπίστησον ἐντεῦθεν τόν νοῦν καί διηγουμένων γνώσῃ καί μαθήσῃ αὐτά.

Πρῶτον ἐποίησεν ὁ Θεός τόν οὐρανόν καί τήν γῆν καί πάντα τά ἐν αὐτοῖς καί ὕστερον τούτων πάντων οἰκείαις χερσί τόν ἄνθρωπον ἔπλασεν, εἶθ' οὕτως ἐποίησε τόν παράδεισον καί τά ἐν αὐτῷ καί ἔθετο τόν ἄνθρωπον ἐν αὐτῷ ὅν ἐποίησε· καί λαβών μίαν αὐτοῦ τῶν πλευρῶν ᾠκοδόμησεν αὐτήν εἰς γυναῖκα καί οὕτως ἔδωκεν αὐτοῖς ἐντολήν τοῦ μή φαγεῖν ἀπό τοῦ ξύλου τοῦ γνωστοῦ καλοῦ καί πονηροῦ, ἵνα μή θανάτῳ θανατωθήσονται, ἀλλ' ἐργάζωνται κατά τήν ἐντολήν καί φυλάσσωσιν. Αὐτοί δέ μετά ταῦτα ἀπέστησαν μέν ἐν πρώτοις τοῦ μεμνῆσθαι Θεοῦ καί τῶν εὐεργεσιῶν αὐτοῦ, ἥτις ἦν ἡ ἐργασία ἡ ἀπό Θεοῦ δοθεῖσα αὐτοῖς, δεύτερον κατέλιπον τοῦ φυλάσσειν τήν ἐντολήν καί ἐκ τοῦ ξύλου οὗ ἐνετείλατο αὐτοῖς μή φαγεῖν ἔφαγον· καί ἀπέθανον εὐθύς μέν τόν ψυχικόν, μετά δέ πολλούς χρόνους ὕστερον καί τόν σωματικόν θάνατον καί κατήχθησαν ἐν τῷ ᾅδῃ. Καί οὐ μόνον οὗτοι ἀλλά καί πάντες οἱ ἐξ αὐτῶν γεννηθέντες τοῦτο πεπόνθασι μέχρι τῆς αὐτοῦ τοῦ Χριστοῦ καί Θεοῦ, τοῦ νέου Ἀδάμ, παρουσίας καί τῆς εἰς τόν ᾅδην αὐτοῦ καταβάσεως καί τῆς ἐκ νεκρῶν αὐτοῦ ἀναστάσεως. Ἀλλά γάρ ἐλθόντος τοῦ τά πάντα τότε δημιουργήσαντος καί ἀνακαινίσαι ταῦτα θελήσαντος, οὐχί κατά τήν ἀκολουθίαν ἥν ἔκτισε ταῦτα καί ἀνακαινίσαι ἠθέλησεν. Ἀλλά πῶς; Πρῶτον τόν ἄνθρωπον καί οὕτω τήν κτίσιν ὕστερον. Τίνα τρόπον καί διά τι; Ἐπειδή τότε μέν ὡς βασίλεια τῷ Ἀδάμ τά ὁρώμενα πάντα εἰς κατοικίαν καί ἀπόλαυσιν αὐτοῦ πρῶτον ηὐτρέπισε καί εἶθ' οὕτως ἐκεῖνον παρήγαγε· νυνί δέ πάλιν, ἐάν τήν κτίσιν ἀνακαινίσαι πρῶτον ἠθέλησε καί πνευματικήν αὐτήν καί ἄφθαρτον καί ἀΐδιον ἀπεργάσασθαι, ποῦ ἄρα ὁ σάρκα φθαρτήν περικείμενος, ὁ ψυχικός δηλονότι καί θνητός αὐτός ἄνθρωπος,

οἰκεῖν ἔμελλεν; Ἐν ποίῳ δέ κόσμῳ διάγειν τότε καί γαμεῖν καί ἐκγαμίσκεσθαι, γεννᾶν τε καί γεννᾶσθαι καί ἀνατρέφεσθαι ὤφειλεν; Ὄντως οὐκ ἔχεις εἰπεῖν. Διά τοῦτο οὖν πρῶτον τόν καταπεσόντα καί συντριβέντα καί παλαιωθέντα ἄνθρωπον ἀνεγείρει, ἀναπλάττει τε καί ἀνανεοῖ, καί τότε τήν κτίσιν.

Ἀλλά γάρ ὥσπερ κατά τάξιν τήν δημιουργίαν καί τήν ταύτης ἔκπτωσιν εἰρήκαμεν, οὕτω δέον εἰπεῖν καί τήν αὐτῆς ἀνακαίνισιν. Σκόπει δέ τήν παράθεσιν τῶν παλαιῶν πραγμάτων, ὅπως ἐξ ἰσότητος ἔχει παρατιθεμένη τῇ οἰκονομίᾳ καί διαθήκῃ Θεοῦ. Πρῶτον τοιγαροῦν εἰσήχθη ὁ Ἀδάμ εἰς τόν παράδεισον ὑπό τοῦ Θεοῦ καί τότε ἡ Εὔα παρήχθη· πρῶτον καί ὁ Υἱός τοῦ Θεοῦ, αὐτός ὁ ποιητής τοῦ Ἀδάμ, κατῆλθε καί εἰσῆλθεν ἐν τῇ ἀχράντῳ γαστρί τῆς Παρθένου καί οὕτως ἔλαβεν ἐξ αὐτῆς τήν πλευράν τοῦ Ἀδάμ, ἤτοι τήν πανάμωμον σάρκα, καί ἐγένετο ἄνθρωπος καί προῆλθεν ἐν κόσμῳ ἀντί Εὔας τῆς ἀπατηθείσης ὑπό τοῦ ὄφεως, καί ἀπό τοῦ ξύλου ἔφαγε καί τήν ἐντολήν παρέβη καί τόν θάνατον ἀπέθανε τῆς ψυχῆς· πρώτη ἡ θεοτόκος Μαρία ὑπό τοῦ ἀγγέλου εὐαγγελίζεται καί τήν τοῦ Θεοῦ βουλήν ἀπαγγελθεῖσαν πιστεύει καί πείθεται λέγουσα· «*Ἰδού ἡ δούλη Κυρίου· γένοιτό μοι κατά τό ῥῆμα σου*». Καί οὕτως τόν τοῦ Θεοῦ Λόγον οὐσιωδῶς ἐν ἑαυτῇ ὑπεδέξατο πρώτη, τήν ψυχήν αὐτῆς δηλαδή τοῦ αἰωνίου ἐκείνου θανάτου ἐκλυτρωσάμενον. Καί τηνικαῦτα σαρκωθείς τό τοῦ Ἀδάμ ἀνέπλασε σῶμα, ᾧ τήν πνοήν εὐθύς εἰς ζῶσαν ψυχήν ἐνεφύσησεν· ἐψυχωμένην γάρ λαβών τήν πλευράν αὐτοῦ ὕστερον καί οἰκοδομήσας αὐτήν εἰς γυναῖκα, οὐχί οἰκοδομῆσαι καί τήν πνοήν γέγραπται. Καί ἵνα σαφέστερον εἴπωμεν, οὕτως ἐπεργασώμεθα τοῦτο αὐτό τό ῥηθέν.

Ἔλαβεν ὁ Θεός ἀπό τοῦ Ἀδάμ τήν τῆς σαρκός αὐτοῦ μερίδα καί ἀντ᾽ αὐτῆς ἑτέραν ἀνεπλήρωσε σάρκα, καί ἥν ἔλαβεν εἰς ὅλον ᾠκοδόμησεν ἄνθρωπον, ψυχήν δέ οὔτε αὐτῶ προσέθηκε τῷ Ἀδάμ ἀνθ᾽ ἧς ἔλαβε σύν αὐτῇ τῇ πλευρᾷ, οὔτε πάλιν ἐν τῇ Εὔᾳ ταύτην ἐπηύξησεν· ἀλλ᾽ οἷον ἡ μέν σάρξ ἡ ληφθεῖσα ἀντί τῆς πλευρᾶς ἔσχε τήν ἀναπλήρωσιν, ἡ δέ ψυχή οὐκέτι. Ἀλλ᾽ ἔτι τοῦτο σαφέστερον ἄκουε. Ὁ Θεός ἐκ τῆς Παρθένου σάρκα ἔννουν καί ἐψυχωμένην ἔλαβεν, ἥν ἔλαβεν ἀπό τοῦ Ἀδάμ καί ἄλλην ἀντ᾽ αὐτῆς ἀνεπλήρωσε· καί ταύτην ἐξ ἐκείνης λαβών δέδωκεν αὐτῇ τό Πνεῦμα αὐτοῦ τό Ἅγιον καί ἀνεπλήρωσεν ἥν οὐκ εἶχεν αἰωνίαν ζωήν ἡ ψυχή αὐτῆς. Ἡ ἀναπληρωθεῖσα γάρ ἀντί τῆς πλευρᾶς τοῦ Ἀδάμ σάρξ ἐν τῷ σώματι αὐτοῦ, αὕτη ἦν ὁ ἀρραβών καί τῆς οἰκονομίας Θεοῦ τό ἐχέγγυον, ὡς ἄν ἐκ τῆς πλευρᾶς πάλιν λάβῃ πλευράν καί δώσῃ ἀντ᾽ αὐτῆς οὐ σάρκα πάλιν, προανεπληρώθη γάρ, ἀλλά Πνεῦμα οὐσιωδῶς Θεοῦ, ἵνα, ὥσπερ ἐκ τῆς πλευρᾶς τοῦ Ἀδάμ ἡ γυνή γέγονε καί πάντες ἄνθρωποι θνητοί ἐξ αὐτῆς, οὕτω καί ἐκ τῆς σαρκός τῆς γυναικός ὁ ἀνήρ Χριστός ὁ Θεός γένηται καί ἐξ αὐτοῦ πάντες ἀθάνατοι χρηματίσωσι καί ἀναπληρώσῃ ὅ εἶχεν ὁ Ἀδάμ πλεῖον τῆς γυναικός. Τί δέ ἦν ὅ εἶχε ἐκεῖνος; Ἡ σάρξ ἡ ἀναπληρωθεῖσα ἀντί τῆς πλευρᾶς ἐν τῷ σώματι αὐτοῦ. Λαβών γάρ, ἵνα πάλιν σοι τά αὐτά εἴπω, ἐκ τῆς Παρθένου τήν σάρκα Χριστός, ἔδει ταύτην καί αὖθις ἀναπληρῶσαι, καθώς καί τότε ἀνεπλήρωσε τοῦ Ἀδάμ. Ἐπεί δέ οὐ πρός φθοράν καί αὖθις, ἀλλά πρός ἀφθαρσίαν ἔμελλε γίνεσθαι, διά Πνεύματος καί οὐ διά σαρκός ἡ ἀναπλήρωσις γέγονεν, ὅπως καί τήν φύσιν τοῦ Ἀδάμ ἀναπλάσῃ καί μέλλοντα γενέσθαι

τέκνα Θεοῦ διά Πνεύματος Ἁγίου τήν ἀναγέννησιν λάβωσι καί οὕτως ἐν Πνεύματι Θεοῦ συγγενεῖς αὐτοῦ ἅπαντες οἱ εἰς αὐτόν πιστεύοντες γένωνται καί σῶμα ἕν.

Καί καθάπερ ἐπί τῶν πρωτοπλάστων ἐρρήθη· «*Ἕνεκεν, φησί, τούτου*» - Ποίου; Τῆς γυναικός δηλονότι, φημί δή τῆς πλευρᾶς τοῦ Ἀδάμ - «*καταλείψει ἄνθρωπος τόν πατέρα αὐτοῦ καί τήν μητέρα αὐτοῦ καί προσκολληθήσεται τῇ γυναικί αὐτοῦ*» ἤγουν τῇ πλευρᾷ τοῦ Ἀδάμ «*καί ἔσονται οἱ δύο εἰς σάρκα μίαν*», οὕτω καί ἐπί Χριστοῦ τοῦ Θεοῦ γίνεται. Ἐπειδή γάρ ἀνέλαβε σάρκα ἐκ τῶν παναχράντων αἱμάτων τῆς Θεοτόκου καί Πνεῦμα Ἅγιον αὐτῇ ἐχαρίσατο, ἐσαρκώθη τε καί γέγονεν ἄνθρωπος, τούτου ἕνεκα καταλείψει ἄνθρωπος τόν πατέρα αὐτοῦ καί τήν μητέρα, ἔτι δέ καί γυναῖκα καί τέκνα καί ἀδελφούς καί ἀδελφάς, καί προσκολληθήσεται οὐ τῇ γυναικί οὐδέ σαρκικῶς, ἀλλ’ ὡς πάντες ἐκ τῆς γυναικός οἱ κατά σῶμα γεννώμενοι καί ὄντες ἡμεῖς, τῷ ἐκ τῆς γυναικός γεννηθέντι ἄνευ σπορᾶς ἀνδρί, τῷ νυμφίῳ Χριστῷ. Καί οὕτως, πνευματικῶς συναπτόμενοι καί κολλώμενοι αὐτῷ, ἐσόμεθα ἕκαστος μετ’ αὐτοῦ εἰς πνεῦμα ἕν καί σῶμα ἕν ὡσαύτως, διά τό σωματικῶς ἐσθίειν τό σῶμα αὐτοῦ καί τό αἷμα αὐτοῦ πίνειν ἡμᾶς.

Οὕτω γάρ καί αὐτός ὁ Κύριος ἡμῶν καί Θεός ἀπεφθέγξατο· «*Ὁ τρώγων μου τό σῶμα καί πίνων μου τό αἷμα ἐν ἐμοί μένει κἀγώ ἐν αὐτῷ*». Τούτῳ δέ τῷ θείῳ λόγῳ καί τό οὕτω λέγον τοῦ Ἀποστόλου συνᾴδει ῥῆμα· «*Ὁ κολλώμενος τῇ πόρνῃ ἕν σῶμά ἐστι μετ’ αὐτῆς· ὁ δέ κολλώμενος τῷ Κυρίῳ ἕν πνεῦμά ἐστι μετ’ αὐτοῦ*». Ἕν δέ λέγω οὐ ταῖς ὑποστάσεσιν, ἀλλά τῇ φύσει τῆς θεότητος καί τῆς ἀνθρωπότητος ἕν· τῇ μέν φύσει τῆς θεότητος, ὡς θεοί καί αὐτοί θέσει γινόμενοι κατά τό εἰρημένον ὑπό τοῦ Ἰωάννου· «*Καί οἴδαμεν ὅτι φανερωθέντος αὐτοῦ, φησίν, ὅμοιοι αὐτῷ ἐσόμεθα*». Τίνα τρόπον; Ὅτι «*ἀπό τοῦ πληρώματος αὐτοῦ, φησίν, ἡμεῖς πάντες ἐλάβομεν*»· τῇ δέ φύσει τῆς ἀνθρωπότητος, ὡς συγγενεῖς καί ἀδελφοί αὐτοῦ χρηματίσαντες, καθώς καί ἑτέρωθι εἴπομεν. Ταῦτα γάρ καί οἱ ἅγιοι εἰδότες πατέρες ἡμῶν ἀναφανδόν ἔλεγον· «*Δός αἷμα καί λάβε Πνεῦμα*», ὡς τοῦ Πνεύματος ἄλλως μή διδομένου ἡμῖν, εἰ μή διά τῆς ἑκουσίου πρός τόν κόσμον σταυρώσεως ὁμοῦ καί νεκρώσεως. Πνεῦμα γάρ ὤν ὁ Θεός κατά τήν θείαν φωνήν, ἐν Πνεύματι Ἁγίῳ βούλεται ἡμᾶς ἑνοῦσθαι αὐτῷ καί κολλᾶσθαι καί σύσσωμους εἶναι καί συγκληρονόμους αὐτοῦ, ὡς πᾶσα θεία Γραφή μαρτυρεῖ. Ἀλλ’ ἐπί τό προκείμενον ἐπανέλθωμεν.

Τοιγαροῦν ἔλαβε σάρκα ὁ Θεός Λόγος ἐκ τῆς ἁγνῆς Θεοτόκου καί δέδωκεν ἀντ’ αὐτῆς οὐ σάρκα, ἀλλά Πνεῦμα οὐσιωδῶς Ἅγιον. Καί ἐν πρώτοις ἐζωοποίησε τούτῳ τήν τιμίαν καί ὑπεράμωμον ταύτης ψυχήν, ἀναστήσας αὐτήν ἐν τοῦ θανάτου· τοῦτο δέ ἐποίησεν, ἐπειδή ἡ Εὔα πρώτη τῷ ψυχικῷ θανάτῳ ἀπέθανε. Σαρκωθείς δέ ἐγένετο ἄνθρωπος, σῶμα καί ἐν ἑαυτῷ ἔννουν μετά ψυχῆς κεκτημένος· ταύτην γάρ τήν σάρκα καί τότε ἐκ τοῦ Ἀδάμ καί νῦν ἐκ τῆς Θεοτόκου ἐψυχωμένην ἀπορρήτως ἀνέλαβε καί οὕτως πᾶσαν τήν φύσιν ἡμῶν μυστικῶς ἀνεκαίνισε. Γεννηθείς δέ ἀφράστως, ὡς οἶδεν αὐτός, εἰς τόν κόσμον εἰσῆλθε. Τίνος χάριν καί διά τι; Ἵνα τόν ἐν τούτῳ τῷ κόσμῳ ἐξορισθέντα Ἀδάμ ζητήσῃ καί εὑρών ἀναπλάσῃ αὐτόν. Καί θέα μοι ἐντεῦθεν,

ἐπανάληψιν τῶν προειρημένων ποιουμένῳ, τό φρικτόν τῆς οἰκονομίας μυστήριον.

Ἔτι ὤν ἐν τῷ παραδείσῳ ἐκλήθη ὁ Ἀδάμ εἰς μετάνοιαν· φησί γάρ ὁ Θεός πρός αὐτόν· «*Ἀδάμ, ποῦ εἶ*» καί «*Τίς ἀνήγγειλέ σοι ὅτι γυμνός εἶ, εἰ μή ἀπό τοῦ ξύλου οὗ ἐνετειλάμην σοι τούτου μόνου μή φαγεῖν, ἀπ᾽ αὐτοῦ ἔφαγες;*» Καί ὅμως ταῦτα ἀκηκοώς οὐκ ἠβουλήθη μετανοῆσαι ἤ κλαῦσαι καί συγχώρησιν ἐξαιτήσασθαι. Ἀλλά τί; Αἴτιον τῆς ἀφροσύνης αὐτοῦ καί τῆς ἁμαρτίας τήν γυναῖκα ποιεῖται· διό καί τοῦ παραδείσου εἰκότως ἐκβάλλεται. Ἐπειδή δέ τηνικαῦτα μετανοῆσαι ὁ Ἀδάμ οὐκ ἠβουλήθη, τῇ τοῦ πονηροῦ δαίμονος καί τοῦτο ἐπιβουλῇ, διά τοῦτο πάλιν προσκαλεῖται πάντας διά τῆς μετανοίας πρός ἑαυτόν ἐλθών ἐπί τῆς γῆς ὁ Θεός καί φησι· «*Μετανοεῖτε· ἤγγικε γάρ ἡ βασιλεία τῶν οὐρανῶν*». Ἤγγικε, πρό τῶν πυλῶν ἵσταται τῶν καρδιῶν καί τῶν στομάτων ὑμῶν· ἀνοίξατε διά τῆς πίστεως τάς καρδίας ὑμῶν καί εὐθέως εἰσελεύσεται καί αὐτίκα διανοιχθήσονται τά στόματα ὑμῶν καί βοήσετε· «*Ἔχομεν τόν θησαυρόν τοῦ Πνεύματος ἐν ἡμῖν, ἔχομεν· τήν ζωήν κεκτήμεθα ἐν ταῖς καρδίαις ἡμῶν τήν αἰώνιον*». Σκόπει δέ· τούς Ἰουδαίους ἐν πρώτοις ἐκάλεσεν ὁ Θεός καί οὐκ ἐπείσθησαν ἀπελθεῖν· καλεῖ πάντα τά ἔθνη διά τοῦ Υἱοῦ ἔσχατον, καί πεισθέντα προσέφυγον αὐτῷ καί προσέδραμον. Διό καί πρός τούς αὐτοῦ ἀποστόλους φησίν· «*Ἐξέλθετε ταχέως εἰς τάς πλατείας καί ῥύμας τῆς πόλεως καί πάντας τούς φτωχούς καί ἀναπήρους, χωλούς τε καί τυφλούς, εἰσαγάγετε ὧδε*», πόλιν λέγων τόν κόσμον ἅπαντα τοῦτον, πλατείας δέ καί ῥύμας τάς φυλάς τῶν ἐθνῶν καί τάς ἀνακεκρυμμένας χώρας τάς μακράν, πτωχούς δέ καί ἀναπήρους, χωλούς τε καί τυφλούς, τούς ὑπό πολλῶν ἁμαρτημάτων καί διαφόρων πταισμάτων καί ἀνομημάτων συντεθλασμένους καί ὑπό ἀγνωσίας Θεοῦ τετυφλωμένους.

Πάντας οὖν προσκαλεῖται ἀπό ἀνατολῶν ἕως δυσμῶν, Ἑβραίους λέγω καί Ἕλληνας. Προέγνω δέ, ὡς Θεός, τῶν Ἑβραίων, ὡς πολλάκις ἔφημεν, τήν ἐξ ἀπιστίας ἀπείθειαν καί τήν τῶν ἐθνῶν ἐκ πίστεως ἐπιστροφήν· καί πρό τῶν αἰώνων προώρισεν ἵνα ὅσοι πιστεύσωσιν εἰς αὐτόν καί βαπτισθῶσιν εἰς τό ὄνομα αὐτοῦ, ἤγουν εἰς ὄνομα τοῦ Πατρός καί τοῦ Υἱοῦ καί τοῦ Ἁγίου Πνεύματος, καί φάγωσι τό ἄχραντον σῶμα τοῦ Υἱοῦ αὐτοῦ καί πίωσι τό τίμιον αἷμα αὐτοῦ, δικαιωθῶσιν ἀπό τῆς ἁμαρτίας, ἐλευθερωθῶσι δηλονότι καί δοξασθῶσι καί ζωῆς αἰωνίου μέτοχοι γένωνται, καθώς αὐτός ἐκεῖνος ὁ τῶν ἁπάντων Δεσπότης φησίν· «*Ὁ τρώγων μου τήν σάρκα καί πίνων μου τό αἷμα ἔχει ζωήν αἰώνιον· καί εἰς κρίσιν οὐκ ἔρχεται ἀλλά μεταβέβηκεν ἐκ τοῦ θανάτου εἰς τήν ζωήν*». Ἰδού τοιγαροῦν καί προεγνώσθης ὑπό Θεοῦ, ἀδελφέ, καί προωρίσθης καί ἐκλήθης καί ἐδοξάσθης καί ἐδικαιώθης καί εἰς ζωήν αἰώνιον δά τῆς εἰς Χριστόν πίστεως καί τοῦ ἁγίου βαπτίσματος ἀνεκλήθης· καί οὐκ ἐν παραδείσῳ αἰσθητῷ, ὡς πρίν ὁ Ἀδάμ, εἰσηνέχθης, ἀλλ᾽ εἰς τόν οὐρανόν καί τά ἐν τοῖς οὐρανοῖς ἀγαθά, «*ἅ ὀφθαλμός οὐκ εἶδε καί οὖς οὐκ ἤκουσε καί εἰς καρδίαν ἀνθρώπου οὐκ ἀνέβη*». Ἐργάζου τοίνυν τάς ἀρετάς καί φύλασσε τάς ἐντολάς τοῦ Θεοῦ, μᾶλλον δέ σεαυτόν διά τῶν ἐντολῶν φύλαττε τοῦ μή παραβῆναί τι τῶν ἐνταλθέντων σοι, καί πείσῃ τό τοῦ Ἀδάμ ἤ μᾶλλον καί χείρω, τῶν μειζόνων καί οὐρανίων στερούμενος ἀγαθῶν. Μή προτιμήσῃς ἔτι τῶν ἐπιγείων τινός μηδέ ἐπιθυμία τις τῶν φθειρομένων κατακρατήσῃ σου, ἵνα γυμνωθῇς τῆς δόξης ἧς

ἐδοξάσθης παρά Χριστοῦ καί ὡς μή ἐνδεδυμένος ἔνδυμα γάμου δεθήσῃ χεῖρας καί πόδας καί ἐκβληθήσῃ εἰς τό σκότος τό ἐξώτερον ἐν ᾧ ὑπάρχει ὁ κλαυθμός καί ὁ βρυγμός τῶν ὀδόντων.

Ἡ εἰς Χριστόν πίστις ὁ νέος ἐστί παράδεισος. Διό καί προέγνω πρό καταβολῆς κόσμου πάντας τούς πιστεύσαντας καί πιστεῦσαι ὀφείλοντας εἰς αὐτον· οὕς καί ἐκάλεσε καί μέχρι συντελείας καλῶν οὐ παύσεται, καί ἐδόξασε καί δοξάσει, καί ἐδικαίωσε καί δικαιώσει, συμμόρφους δηλονότι τῆς δόξης τῆς εἰκόνος τοῦ Υἱοῦ αὐτοῦ διά τοῦ ἁγίου βαπτίσματος καί τῆς τοῦ Πνεύματος χάριτος ἀποδεικνύων αὐτούς, υἱούς Θεοῦ πάντας αὐτούς μυστικῶς ἐργαζόμενος καί καινούς ἀπό παλαιῶν καί ἐκ θνητῶν ἀθανάτους αὐτούς ἀποκαθιστῶν καί διδούς αὐτοῖς ἐντολάς, καθώς ποτε τῷ Ἀδάμ. Ὅσοι τοιγαροῦν μέχρι θανάτου πάσας τάς αὐτοῦ ἐντολάς φυλαξουσιν, οὗτοι καί τήν πρός Θεόν ἀγάπην ἐπιδείκνυνται καί εἰς μείζονα κατά προκοπήν δόξαν ἀνέρχονται. Ὅσοι δέ καταφρονηταί καί ἀμελεῖς καί ἀγνώμονες περί τόν εὐεργέτην ὀφθῶσι καί τάς δοθείσας παρ’ αὐτοῦ ἐντολάς οὐ φυλάξουσι, τῶν τοιούτων ἀγαθῶν, ὡς ὁ Ἀδάμ τοῦ παραδείσου, ἐκπίπτουσι, οὐχί παρά τό μή προεγνῶσθαι αὐτούς παρά τοῦ Θεοῦ ἀλλ’ ἐξ οἰκείας ἀφροσύνης καί πονηρίας τοῦτο πανθάνοντες. Διά δή τοῦτο καί μέσον τοῦ παραδείσου τούτου προέθετο ὁ Θεός τό σωτήριον φάρμακον, τήν μετάνοιαν, ὡς ἄν οἱ ἐκ ῥαθυμίας καί ἀμελείας ἐκπίπτοντες τῆς αἰωνίου ζωῆς διά τῆς μετανοίας πάλιν μετά λαμπροτέρας καί περιφανεστέρας δόξης εἰς αὐτήν ἐπανέρχωνται· εἰ μή γάρ τοῦτο ὁ φιλάνθρωπος Θεός ᾠκοδόμησεν, οὐκ ἄν ἐσώθη πᾶσα σάρξ.

Τοίνυν καί πᾶσαν ἄλλην μέριμναν καταλιπόντες, τῆς μετανοίας ὅση δύναμις ἐπιμελησώμεθα, ἵνα καί τῶν παρόντων καί τῶν μελλόντων ἐπιτύχωμεν ἀγαθῶν χάριτι καί φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ᾧ ἡ δόξα καί τό κράτος εἰς τούς αἰῶνας τῶν αἰώνων· ἀμήν.

## ΛΟΓΟΣ Γ΄. Εἰς το ῥητόν τοῦ Ἀποστόλου ἐν ᾧ λέγει· «*Καί εἶδον τόν τοιοῦτον εἰς τρίτον οὐρανόν ἁρπαγέντα καί ἀκούσαντα ἄρρητα ῥήματα ἅ οὐκ ἐξόν ἀνθρώπῳ ἀκοῦσαι*». Τί οὖν εἰσιν ἅ ἀκήκοεν ὁ Παῦλος ἄρρητα ῥήματα; Τίνα δέ τά ἀγαθά «*ἅ ὀφθαλμός οὐκ εἶδε καί οὖς οὐκ ἤκουσε καί ἐπί καρδίαν ἀνθρώπου οὐκ ἀνέβη*»; Τίς δέ ἤ πῶς ἔσται καί ἔστιν εἰς ἡμᾶς ἡ τοῦ Θεοῦ βασιλεία καί τίς ἡ ἐν ἡμῖν ταύτης ἐνέργεια;

Ἐπειδήπερ διαρρήδην ὁ τόν ἁπάντων Δεσπότης καθ' ἑκάστην διά τῶν εὐαγγελίων βοᾷ, τά μέν συνεσκιασμένως λέγων, ὅταν ἐν παραβολαῖς διαλέγηται, τά δέ διερμηνεύων κατ' ἰδίαν τοῖς ἑαυτοῦ μαθηταῖς, οὕτω λέγων· «*Ὑμῖν δέδοται γνῶναι τά μυστήρια τῆς βασιλείας τοῦ Θεοῦ, τοῖς δέ λοιποῖς ἐν παραβολαῖς*», καί ποτε παρρησίᾳ πάντα καί ἀποκεκαλυμμένα λέγει πρός πάντας ἡμᾶς, ὥς φασι πρός αὐτόν οἱ ἀπόστολοι· «*Ἴδε, φασί, παρρησίᾳ λαλεῖς καί παροιμίαν οὐδεμίαν λέγεις*», ζητῆσαι χρεών καί μαθεῖν ποῖα τά παρρησίᾳ καί ἀπογεγυμνωμένα, ποῖα δέ ἐν παραβολαῖς ὑπό τοῦ Κυρίου καί Θεοῦ εἰρημένα. Τά μέν οὖν δῆλα τῶν ἐντολῶν καί γυμνά εἰσιν ὅταν ὁ Εὐγγελιστής λέγῃ· «*Εἶπεν ὁ Κύριος· ἀγαπᾶτε τούς ἐχθρούς ὑμῶν, καλῶς ποιεῖτε τούς μισοῦντας ὑμᾶς*», καί ὅταν μακαρίζῃ μέν τούς πενθοῦντας, ταλανίζῃ δέ τούς γελῶντας, καί ὅταν λέγῃ· «*Μετανοεῖτε· ἤγγικε γάρ ἡ βασιλεία τῶν οὐρανῶν*», καί πάλιν· «*Ὁ θέλων σῶσαι τήν ψυχήν αὐτοῦ ἀπολέσει αὐτήν καί ὁ ἀπολέσας τήν ψυχήν αὐτοῦ ἕνεκεν ἐμοῦ εἰς ζωήν αἰώνιον εὑρήσει αὐτήν*», καί· «*Ὅστις θέλει ὀπίσω μου ἐλθεῖν ἀπαρνησάσθω ἑαυτόν καί ἀράτω τόν σταυρόν αὐτοῦ καί ἀκολουθείτω μοι*». Ταῦτα τοίνυν καί τά τούτοις ἑπόμενα οὐκ ἐν παραβολαῖς, ἀλλά φανερά καί μηδεμίαν ἐγκεκρυμμένην ἔννοιαν ἔχοντα εἴρηται. Τά δέ γε ἐν παραβολαῖς εἰσιν ὅταν λέγῃ· «*Τίνι ὁμοιώσωμεν τήν βασιλείαν τοῦ Θεοῦ; Ὁμοία ἐστί κόκκῳ σινάπεως ὅν λαβών ἄνθρωπος ἔβαλεν εἰς κῆπον ἑαυτοῦ· καί αὐξηθέν ἐγένετο εἰς δένδρον μέγα*» καί ὅταν πάλιν φησίν· «*Ὁμοία ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ ζητοῦντι καλούς μαργαρίτας*» καί πάλιν· «*Ὁμοία ἐστίν ἡ βασιλεία τῶν οὐρανῶν ζύμῃ ἥν λαβοῦσα γυνή ἔκρυψεν εἰς ἀλεύρου σάτα τρία, ἕως οὗ ἐζυμώθη ὅλον*». Ταῦτα καί ἕτερα τούτων πλείονα οὕτω λέγων καί παρομοιάζων τοῖς τοιούτοις τήν βασιλείαν τῶν οὐρανῶν, παραβολάς καλεῖ.

Καί ὅρα μοι σοφίαν ἐντεῦθεν Θεοῦ, πῶς διά τῶν αἰσθητῶν ὑποδειγμάτων καί τῶν δοκούντων ἡμῖν εὐτελῶν εἶναι τά ὑπέρ νοῦν καί διάνοιαν ὑποζωγραφεῖ. Τοῦτο δέ ὅλον ποιεῖ, ἵνα οἱ μέν ἄπιστοι καί διά τῆς ἀπιστίας ἀνάξιοι τῶν τοιούτων γενόμενοι μείνωσι τυφλοί καί τῶν τοιούτων ἄμοιροι ἀγαθῶν, οἱ δέ γε πιστοί καί μετά πληροφορίας τόν λόγον δεχόμενοι τῶν παραβολῶν αὐτήν τήν ἀλήθειαν καί τήν τῶν πραγμάτων ἐναργῆ θεάσωνται ἐπ' αὐτοῖς ἔκβασιν. Αἱ γάρ παραβολαί αὗται εἰκόνες τῶν γινομένων

πραγμάτων εἰσί· καί ὅπως, ἄκουε. Ὁ κόκκος τοῦ σινέπεως τό πανάγιον Πνεῦμά ἐστι· τοῦτο γάρ καί τήν βασιλείαν μοι νόει εἶναι τῶν οὐρανῶν καί οὐχ ἕτερόν τι. Ἄνθρωπος δέ ἐστιν ὁ πᾶς πιστός καί βουλόμενος διά τῆς ἐργασίας τῶν ἐντολῶν τοῦτον τόν κόκκον λαβεῖν. Κῆπος δέ οὐδείς ἕτερος τόπος ἐστίν εἰ μή ἑκάστου ἡμῶν ἡ καρδία, ἔνθα τόν ἕνα κόκκον τοῦτον - οὐ τούς πολλούς, οὐδέ γάρ ἀπό τῶν διχοτομουμένων ὑπάρχει - , τόν ἄτμητον ὄντα τῇ φύσει καί ἀδιαίρετον λαμβάνοντες, κρύβομεν ἐν αὐτῇ· πάσῃ δέ φυλακῇ τηροῦντες ἑαυτούς καί φυλάττοντες, αὐτός αὐξάνει ὡς οὐκ ἴσμεν ἡμεῖς καί φυείς ὁρᾶται καί αὐξηθείς ἐπί πολύ ἐπιγινώσκεται παρά τῶν ἐν οἷς ἐφύη καί εἰς δένδρον γενόμενος καί κλάδους ποιήσας πολλούς ἄφραστον τῷ κεκτημένῳ αὐτόν ἐμποιεῖ τήν χαράν. Ὥσπερ οὖν δίχα τοῦ σπόρου οὐδέν ὁ κῆπος χρήσιμον προφέρει εἰ μή μόνον ἀκάνθας καί βοτάνας ἀγρίας καί ὁ σπόρος δίχα τοῦ βληθῆναι εἰς κῆπον οὐ καρποφορεῖ, ἀλλά μένει μόνος οἷόν ἐστιν, οὕτω δή καί ἡμῶν ἀληθῶς αἱ ψυχαί δίχα τοῦ θείου σπόρου ἄκαρποι καί ἀκανθηφόροι διατελοῦσι καί γίνονται. Ὁ γάρ θεῖος σπόρος, πρό τοῦ ἐν ἡμῖν ἤγουν ἐν ταῖς καρδίαις ἡμῶν ἐμβληθῆναι, αὐτός μένει μέν οἷος ὅλος ὑπάρχει Θεός, μήτε προσθήκην δεχόμενος μήτε μήν ὕφεσιν ὑπομένων τό σύνολον, ἐν ἡμῖν δέ οὔτε φύει ὅλως οὔτε αὔξησιν ἐπιδέχεται. Πῶς γάρ ὁ κατά συνάφειαν διεστώς ἴσα τοῖς συναφθεῖσιν αὐτῷ τήν αὐξητικήν δύναμιν ἐπιδείξεται; Οὐδαμῶς, ὥσπερ οὐδέ τό πῦρ ὕλην ἀνάπτει ποτέ ἧς μή προσψαύσειεν, οὐδέ ὕλη ἐμπίπραται, εἰ μή τῷ πυρί ἑνωθῇ καθ’ ὑπόστασtιν.

Τοίνυν καί καθάπερ τά τῶν θείων εὐαγγελίων, τά μέν συνεσκιασμένως, ὡς εἴρηται, καί διά παραβολῶν λέγεται πρός ἡμᾶς, τά δέ παρρησίᾳ καί ἀπερικαλύπτως, οὕτω καί τά τῶν ἀποστολικῶν καί θεοφράστων ῥημάτων οὐ πάντα φανερῶς καί ἄνευ παραπετάσματός τινος λέγεται πρός ἡμᾶς, ἀλλ’ ἔσθ’ ὅτε πολλῆς τῆς ἐξετάσεως καί ἑρμηνείας δεόμενα, βάθος νοημάτων καί μυστηρίων ἐν τῷ ῥητῷ πως ἐπιφερόμενα. Καί, εἰ δοκεῖ, μιᾶς τῶν ἀποστολικῶν ῥημάτων ὑποθέσεώς τε καί θεωρίας ἁψώμεθα καί ὀψόμεθα τί τά βάθη τοῦ Πνεύματος, ἐπειδή κατά τό θεῖον λόγιον «*Τό Πνεῦμα πάντα ἐρευνᾷ καί τά βάθη τοῦ Θεοῦ*».

Τίς οὖν ἐστιν αὕτη καί ὁποία τῆς θεωρίας τοῦ λόγου ἀπαρχή; Τά ἄρρητα ῥήματα ἅ εἰς τρίτον οὐρανόν ὁ θεῖος ἁρπαγείς Παῦλος ἀκήκοεν. Ἀλλά γάρ ἐκ προοιμίων αὐτῶν τί ἐστι ῥῆμα πρῶτον ζητήσωμεν, ἵν’ οὕτω καθ’ ὁδόν ἐρχόμενοι τήν δύναμιν γνῶμεν τῶν ἀποστολικῶν ῥημάτων καλῶς. 'Ρῆμα τοιγαροῦν ὁ λόγος ἐστίν, ὥσπερ οὖν καί ὁ λόγος ῥῆμα καλεῖται· «*Εἰπέ*» γάρ, φησί, «*λόγον καί ἰαθήσεται ὁ παῖς μου*». Καί ἐν τῷ Ἰώβ· «*Εἰπέ ῥῆμά τι πρός Κύριον καί τελεύτα*». Καί ἀλλαχοῦ· «*Τά ῥήματα τοῦ στόματος αὐτοῦ*». Καί τά μέν ῥήματα καί οἱ λόγοι τῶν ἀνθρώπων στόμασι λαλοῦνται ἀνθρώπων καί ὠσίν ὡσαύτως ἀνθρωπίνοις ἀκούονται, τό δέ ῥῆμα τοῦ Θεοῦ καί ὁ λόγος αὐτοῦ, διά τοῦ στόματος αὐτοῦ ἐξερχόμενος, ἄφραστός ἐστι παντελῶς ἀνθρωπίνῃ γλώσσῃ καί ἀκοῇ σαρκίνῃ πάντῃ ἀχώρητος, οὐ μόνον δέ, ἀλλά καί εἰς αἴσθησιν αὐτῆς μή δυνάμενος ἐλθεῖν, τῆς αἰσθήσεως δηλονότι μή ἰσχυούσης αἰσθανθῆναι τά ὑπέρ αἴσθησιν.

'Ρῆμα οὖν καί λόγον κατά πρώτην ἐπιβολήν θεωρίας οὐδένα ἄλλον γινώσκομεν ἤ τόν

Υἱόν τοῦ Θεοῦ καί Πατρός, αὐτόν τόν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν τόν ὄντως ὄντα Θεόν· στόμα δέ αὐτοῦ τό λαλοῦν τά ἄρρητα ῥήματα οὐδέν ἕτερον ἤ αὐτό τό Ἅγιον καί ὁμοούσιον Πνεῦμα, καθώς ὁ προφήτης φησί· «*Τό γάρ στόμα Κυρίου ἐλάλησε ταῦτα*» ἀντί τοῦ τό Πνεῦμα Κυρίου. Στόμα τοίνυν Θεοῦ τό Ἅγιον Πνεῦμά ἐστιν, ῥῆμα δέ καί λόγος ὁ Υἱός αὐτοῦ καί Θεός. Διά τί δέ τό Πνεῦμα στόμα καλεῖται Θεοῦ, ὁ δέ Υἱός ῥῆμα καί λόγος; Ἐπειδή, ὥσπερ διά τοῦ στόματος ἡμῶν ὁ λόγος ὁ ἐν ἡμῖν προέρχεται καί τοῖς ἄλλοις ἀποκαλύπτεται καί ἄλλως οὐκ ἔστιν εἰπεῖν ἤ δηλῶσαι αὐτόν, εἰ μή διά τῆς τοῦ στόματος φθογγῆς, οὕτως οὐδέ ὁ Υἱός τοῦ Θεοῦ καί Λόγος, εἰ μή διά τοῦ Ἁγίου Πνεύματος ὡς διά στόματος λαληθῇ ἤγουν ἀποκαλυφθῇ, γνωσθῆναι ἤ ἀκουσθῆναι οὐ δύναται. Τό δέ οὐ δύναται ἀντί τοῦ οὐκ ἐνδέχεται, οὐδέ βούλεται, λέγομεν ἐνταῦθα, ὡς καί τό ἀδύνατον ψεύσασθαι Θεόν. Καθάπερ δέ τό ἡμέτερον στόμα εἰ μή ἀνοίξομεν, οὐδέ γάρ ἐσφιγμένου ὑπάρχοντος ὁ λόγος ἡμῶν ἐξελθεῖν δύναται, οὕτως οὐδέ τό στόμα τοῦ Θεοῦ, αὐτό δή τό Ἅγιον Πνεῦμα αὐτοῦ, εἰ μή διά τῆς ἐν ἡμῖν γινομένης ἐλλάμψεως αὐτοῦ ἀνοιγῇ, οὐ τό Πνεῦμα δέ, ἀλλ’ ὁ ἐξ αὐτοῦ ἐλλαμπόμενος νοῦς ἡμῶν, ὁ Υἱός καί Λόγος τοῦ Θεοῦ ὁρᾶται, οὔτε γινώσκεται, οὔτε μή ἀποκαλύπτεται τῇ ὀπτικῇ καί ἀκουστικῇ αἰσθήσει ἡμῶν.

Τά γοῦν ἄρρητα ῥήματα ἅ ὁ θεῖος Παῦλος, ὡς ἔφη, ἀκήκοεν, οὐδέν ἕτερόν τι εἰσι κατά γε τήν ἡμετέραν τῆς ἀσθενοῦς διανοίας κατάληψιν ἤ πάντως αἱ μυστικαί καί ἐπ’ ἀληθῶς ἀνέκφραστοι διά τῆς ἐλλάμψεως τοῦ Ἁγίου Πνεύματος θεωρίαι τε καί ὑπερμεγαλοπρεπεῖς ἄγνωστοι γνώσεις, εἴτ’ οὖν ἀθέατοι θεωρίαι τῆς ὑπερφώτου καί ὑπεραγνώστου τοῦ Υἱοῦ καί Λόγου τοῦ Θεοῦ δόξης τε καί θεότητος· αἵτινες, τοῖς ἀξίοις ἐκφαντικώτερόν τε καί τρανότερον ἀποκαλυπτόμεναι, δείκνυνται αἱ τῶν ἀφθέγκτων ῥημάτων ἀνήκοοι ἀκοαί, ἡ τῶν ἀκαταλήπτων πραγμάτων ἐν ἀκαταληψίᾳ κατάληψις. Εἰ δέ ἐκεῖνος μέν εἶπεν· «*Ἀκήκοα ῥήματα ἄρρητα*», ἡμεῖς δέ ταῦτα τόν Υἱόν εἴπομεν εἶναι καί ἄλλως τοῦ Θεοῦ καί Πατρός διά τοῦ Ἁγίου λαλούμενον Πνεύματος καί ἅμα διά τῆς ἐλλάμψεως αὐτοῦ ἀποκαλυπτόμενον τοῖς ἀξίοις, τήν δέ ἔλλαμψιν εἴτ’ οὖν ἀποκάλυψιν διά θεωρίας γίνεσθαι μᾶλλον καί οὐχί δι’ ἀκοῆς, μή ξενισθῇς ἐπί τούτῳ, ἀλλά τήν λύσιν τούτου ἀκηκοώς μάθε εἶναι πιστός καί μή ἄπιστος ᾖς. Ἔχει δέ οὕτως.

Ὁ Θεός ἡ τῶν ὅλων αἰτία εἷς ἐστι· τό δέ ἕν τοῦτο φῶς καί ζωή ἐστι, πνεῦμα καί λόγος, στόμα καί ῥῆμα, σοφία καί γνῶσις, χαρά καί ἀγάπη, βασιλεία οὐρανῶν καί παράδεισος, οὐρανός οὐρανῶν, ὥσπερ καί ἥλιος ἡλίων καί Θεός θεῶν καί ἡμέρα καλεῖται ἀνέσπερος· καί πᾶν ὁτιοῦν ἄν εἴποις ἀπό τῶν ὁρωμένων καλόν, καί ὑπέρ τό πᾶν ζητῶν, εὑρήσεις τό ἕν τοῦτο ἐνυποστάτως ὄν καί κυρίως καλούμενον ἀγαθόν. Οὐχ ὡς τά ὁρώμενα δέ τοιοῦτον κἀκεῖνό ἐστιν, ἀλλ’ ἀσυγκρίτως καί ἀρρήτως ὑπέρ ἅπαντα τά ὁρώμενα· οὐδέ καθ’ ἕν τούτων ὡς ταῦτα καί τό ἕν ἐκεῖνο κεχωρισμένως εὑρίσκεται, ἀλλ’ ἕν μένον ἀναλλοιώτως καί τό αὐτό πανάγαθόν ἐστι καί ὑπέρ πᾶν ἀγαθόν. Οὕτω τοιγαροῦν τετίμηται καί αὐτός ὁ κατ’ εἰκόνα Θεοῦ καί ὁμοίωσιν κτισθείς ἄνθρωπος, μίαν αἴσθησιν ἔχων ἐν μιᾷ ψυχῇ καί νοΐ καί λόγῳ, εἰ καί πενταχῶς διαμερίζεται ταῖς φυσικαῖς ἀνάγκαις τοῦ σώματος, πρός μέν τά σωματικά διά τῶν πέντε διαιρουμένη ἀδιαιρέτως αἰσθήσεων,

ἥτις καί ἀναλλοιώτως ἀλλοιουμένη τήν ἐνέργειαν δείκνυσι, βλέπουσα οὐκ αὐτή, ἀλλά δι' αὐτῆς ἡ ψυχή, οὕτω δέ καί ἀκούουσα καί ὀσφραινομένη καί γευομένη καί τῇ ἁφῇ διακρίνουσα. Ἐν δέ τοῖς πνευματικοῖς οὐκέτι θυρίσιν αἰσθήσεως διαιρεῖσθαι καταναγκάζεται, οὐκέτι ζητεῖ ἀνοιγῆναι τούς ὀφθαλμούς τοῦ ἰδεῖν ἤ τι τῶν ὄντων θεάσασθαι, οὐδέ τά ὦτα λόγον εἰσδέξασθαι, οὐδέ ὄσφρησιν ἐκκαθᾶραι εἰς τό ὀξέως ὀσφραίνεσθαι· οὐδέ δεῖται χειλέων ἤ γλώττης πρός τήν τοῦ γλυκέος ἤ πικροῦ γεῦσιν ὁμοῦ καί διάκρισιν, οὐδέ χειρῶν τοῦ ἐπαφᾶσθαι καί εἰδέναι δι' αὐτῶν τό τραχύ τε καί λεῖον καί ὁμαλόν. Ἀλλά τούτων ἁπάντων ἡ αἴσθησις ἐκτός γενομένη καί ὅλη καθόλου συναπαχθεῖσα τῷ νῷ, ὡς φυσικῶς αὐτῶν συνεπομένη καί ἀχωρίστως μία οὖσα, τάς πέντε ἔχει αἰσθήσεις ἐν ἑαυτῇ, ὡς οὔσας ἕν ἤ καί πλείστας, εἰπεῖν ἀκριβέστερον.

Καί σκόπει μοι ἐντεῦθεν τήν ἀκριβῆ τοῦ λόγου ἐξέτασιν. Ψυχή, νοῦς καί λόγος ἕν, ὡς εἴρηται, εἰσίν ἐν μιᾷ τῇ οὐσίᾳ καί φύσει. Τοῦτο δέ τό ἕν αἰσθάνεται, λογίζεται - λογικόν γάρ -, νοεῖ, ἐπινοεῖ, ἐνθυμεῖται, βουλεύεται, ἐπιθυμεῖ, θέλει, οὐ θέλει, προαιρεῖται, οὐ προαιρεῖται, ἀγαπᾷ, μισεῖ· καί ἵνα μή τόν λόγον μηκύνωμεν, τό ἕν τοῦτο ζῶν ἐστιν, ἐν τῷ αὐτῷ βλέπον καί ἀκοῦον ἅμα καί ὀσφραινόμενον, γευόμενόν τε καί ἐπαφώμενον, γινῶσκον, ἐπιγινῶσκον, γνωρίζον τε αὖ καί λαλοῦν. Πρόσεχε ἀκριβῶς τῶν λεγομένων τήν δύναμιν, ἵν' ἐντεῦθεν ἰσχύσῃς μαθεῖν τί τά ἄρρητα ῥήματα καί πῶς ὁ Παῦλος ταῦτα ἀκήκοεν ἅ καί ἀπεκαλύφθη αὐτῷ καί ἅ ἐν θείῳ Πνεύματι αὐτός ἐθεάσατο. Θεός ὁ τῶν ὅλων δημιουργός εἷς· τό οὖν ἕν τοῦτο πᾶν ἀγαθόν ἐστιν, ὥσπερ εἴρηται. Ψυχή λογική καί ἀθάνατος μία· ἡ οὖν μία αὕτη πᾶσα αἴσθησίς ἐστιν, ἐν ἑαυτῇ δηλαδή πάσας εἴ τινές εἰσιν ἔχουσα. Ὅταν οὖν ὁ εἷς Θεός τοῦ παντός τῇ μιᾷ καί λογικῇ ψυχῇ δι' ἀποκαλύψεως ὀφθήσεται, πᾶν ἀγαθόν ταύτῃ ἀποκαλύπτεται καί διά πασῶν τῶν ταύτης αἰσθήσεων ὁμοῦ ἐν τῷ αὐτῷ ὁρᾶται τοῦτο αὐτῇ, βλέπεται καί ἀκούεται, καί γλυκαίνει τό γευστικόν καί τό ὀσφραντικόν εὐωδιάζει, ψηλαφᾶται, γνωρίζεται· λαλεῖ καί λαλεῖται, γινώσκει, ἐπιγινώσκεται καί ὅτι γινώσκει νοεῖται. Ὁ γάρ παρά τοῦ Θεοῦ γινωσκόμενος οἶδεν ὅτι γινώσκεται καί ὁ τόν Θεόν ὁρῶν οἶδεν ὅτι ὁρᾷ τοῦτον ὁ Θεός· ὁ δέ γε μή ὁρῶν τόν Θεόν οὐκ οἶδεν ὅτι ὁρᾷ αὐτόν ὁ Θεός, ὡς οὐδέ ὁρᾷ, εἰ καί πάντα βλέπει καί οὐδέν αὐτόν λέληθεν.

Διά πασῶν οὖν τῶν αἰσθήσεων ἐν τῷ αὐτῷ ἅμα οἱ καταξιωθέντες ἰδεῖν τό πᾶν ἀγαθόν καί ὑπέρ πᾶν ἀγαθόν ὡς διά μιᾶς αἰσθήσεως τῶν πολλῶν τό ἕν ὄν καί πολλά, τά διάφορα ὁμοῦ ἀγαθά ὡς ἕν ἐν διαφόροις αἰσθήσεσι τῆς μιᾶς ἐπιγνόντες καί καθ' ἑκάστην ἐπιγινώσκοντες, διαφοράν ἐν τούτοις οὐδεμίαν ἐπίστανται, ἀλλά τήν θεωρίαν γνῶσιν καί τήν γνῶσιν πάλιν θεωρίαν καλοῦσι, τήν ἀκοήν ὅρασιν καί τήν ὅρασιν ἀκοήν, ὡς ὅταν ὁ Ἀββακούμ λέγῃ· «*Κύριε, εἰσακήκοα τήν ἀκοήν σου καί ἐφοβήθην. Κύριε, κατενόησα τά ἔργα σου καί ἐξέστην*». Παρά τίνος γάρ ἄλλου ἀκήκοεν; Ἐκεῖνος αὐτόν προφητεύων ἐκήρυττε. Καί πῶς λέγει· «*Κύριε, ἀκήκοα τήν ἀκοήν σου;*» Τί δέ καί τῷ διττῷ τῆς ἀκοῆς δηλῶσαι βούλεται, εἰ μή ὅτι διά τῆς τοῦ Πνεύματος ἐλλάμψεως ἤτοι ἀποκαλύψεως τόν Κύριον ἡμῶν πάντως καί Υἱόν τοῦ Θεοῦ ἐπιγνούς καί διά τῆς ἐξ αὐτοῦ ὑπηχήσεως αὖθις τά περί τῆς οἰκονομίας αὐτοῦ ἐκδιδαχθείς, οἱονεί τήν περί αὐτοῦ διδασκαλίαν ἥν ἐκεῖθεν

ἔμαθεν ἰδιοποιησάμενος, πρός τόν Κύριον, ὡς ὁρῶν αὐτόν, καθά καί ἑωράτο, περιχαρῶς ἔλεγεν· «*Ἐν μέσῳ δύο ζῴων γνωσθήσῃ· ἐν τῷ ἐγγίζειν τά ἔτη ἐπιγνωσθήσῃ· ἐν τῷ παρεῖναι τόν καιρόν ἀναδειχθήσῃ*». Ὥστε ἀκοήν τήν ἐν τῇ θεωρίᾳ τῆς δόξης τοῦ Πνεύματος ἐγγινομένην ὁμοῦ διδασκαλίαν καί γνῶσιν λέγει, ἥν περί τῆς ἐνανθρωπήσεως καί ἐπί τῆς γῆς ἐπιφανείας αὐτοῦ ἤκουσε. Καί γάρ καί αὐτό τοῦτο τό εἰπεῖν· «*Κύριε*», ὁρῶντος αὐτόν καί λαλοῦντος ἔχει δύναμιν. Τίς γάρ ὅν οὐ βλέπει ὡς βλέπων τούτῳ προσομιλεῖ; Μή ὁ μή βλέπων τόν ἐπίγειον βασιλέα δύναται λέγειν πρός αὐτον· «*Ὦ βασιλεῦ, ἤκουσα τά δεδογμένα τῇ βασιλείᾳ σου*»; Οὐδαμῶς. Οὐχί γάρ ἀκοῦσαι μόνον λέγει τήν ἀκοήν αὐτοῦ, ἀλλά καί ὅτι γνωσθήσῃ φησί, καί ἐπιγνωσθήσῃ καί ἀναδειχθήσῃ, ὡς τήν αὐτοῦ βουλήν μετά πληροφορίας πάσης δηλονότι μαθών καί οἱονεί πως λέγων αὐτῷ· «*Τά καί τά ποιήσεις, καθά τῇ βασιλείᾳ σου, δέσποτα, δέδοκται*»; Πλεῖον δέ τούτου καί πάντα τά προφητικά αἰνίττονται ῥήματα.

Οὕτω τοίνυν ἡ θεία Γραφή καί τήν θεωρίαν τοῦ Θεοῦ ἀκοήν καί τήν ἀκοήν ἀντί θεωρίας συνήθως τίθησιν. Οὕτω καί Παῦλος ὁ θεῖος, τάς ἀνεκλαλήτους θεωρίας καί ἐλλάμψεις καί τάς ὑπέρ τό μέτρον τῆς ἀνθρωπίνης φύσεως καί δυνάμεως διδασκαλίας καί ἀποκαλύψεις, ῥήματα εἰκότως ἐκάλεσε καί ἀκοῦσαι ταῦτα εἶπε καί γραφῇ παραδέδωκε. Διό καί ἔλεγεν· «*Ἐν δέ τῇ ὑπερβολῇ τῶν ἀποκαλύψεων, ἵνα μή ἐπαίρωμαι, ἐδόθη μοι σκόλοψ τῇ σαρκί*». Εἰ οὖν ἤκουσε πρότερον, πῶς μετά ταῦτα ἀποκαλύψεις εἶπεν ἅ ἤκουσεν, εἰ μή καθώς εἴπομεν; Οὕτω γάρ καί ὁ Δαβίδ ἀποκαλυφθῆναι τούς ὀφθαλμούς εὔχεται εἰς τό κατανοῆσαι τά θαυμάσια τοῦ Θεοῦ ἐκ τοῦ νόμου αὐτοῦ. Ὁ πρότερον εἰπών· «*Εἴτε ἐν σώματι οὐκ οἶδα, εἴτε ἐκτός τοῦ σώματος, ἡρπάγην*», πῶς ὕστερον φησιν ὅτι «*ἤκουσα*», εἰ μή ὡς ἀνωτέρω λεπτομερῶς ἐδηλώσαμεν καί αὐτῇ τοῦ τοῦ πράγματος ἡ ἀλήθεια ἔχει; Τοιγαροῦν καί διά μέν τῆς ἁρπαγῆς τήν θεωρίαν πρῶτον ἀδήλωσε, τά δέ ἐντός τῆς θεωρίας καί τά ἐκφαντικώτερα τῆς τρανότερον ἐξαστραπτούσης δόξης τε καί θεότητος, ὡς γνῶσιν ἐμποιοῦντα καί τόν ὁρῶντα διδάσκοντα καί δηλοῦντα τά πᾶσιν ἀπόρρητά τε καί ἀκατάληπτα, ἀκοῦσαι εἶπεν, ὡς ἕν οὔσης τῆς τε ἀκουστικῆς καί θεωρητικῆς δηλονότι αἰσθήσεως ἐπί τῶν πνευματικῶν. Ὅθεν οὐδέ ἕν τῶν βλεπομένων ἤ ἀκουομένων, καθώς ταῦτα ὁρᾷ καί ἀκούει, οἷόν ἐστι καί οἷα εἰπεῖν ποτε δύναται· διά τοῦτο καί γλώσσῃ ταῦτα λαλῆσαι ἀδύνατον εἶναι προσέθηκεν.

Ἀλλά σπουδάσωμεν ἑαυτούς ἐκκαθᾶραι διά μετανοίας καί ταπεινώσεως καί τάς αἰσθήσεις πάσας ὡς μίαν τῷ ἀγαθῷ καί ὑπεραγαθῷ ἑνῶσαι Θεῷ· καί τότε ταῦτα πάντα, ἅ διά πολλῶν λόγων εἰπεῖν ἡμεῖς καί παραστῆσαι οὐκ ἐξισχύομεν, ἐν τῷ αὐτῷ ὁμοῦ ἅπαντα ὑμεῖς διδαχθήσεσθε, ἐν τῇ ὁράσει ἀκούοντες καί ἐν τῇ ἀκοῇ ὁρῶντες, ἐν τῇ θεωρίᾳ μανθάνοντες καί ἐν τῇ ἀποκαλύψει πάλιν ἀκούοντες. Ἔστι δέ τις καί ἄλλη ἐν τοῖς ὑπέρ λίαν πνευματικοῖς ἀκοή. Ποία δέ αὕτη; Ἡ ἐπαγγελία τῶν μελλόντων δίδοσθαι ἀγαθῶν. Ὥσπερ γάρ ἡ πρώτη παρουσία τοῦ Κυρίου διά τῶν προφητῶν καταγγελλομένη, εἰ καί ὡρᾶτο παρ᾽ αὐτῶν καί ἀκριβῶς ἐγινώσκετο, ἀλλά διά τό μήπω ἐν ταῖς ἡμέραις ἐκείνων γενέσθαι αὐτήν, μέλλουσαν δέ μετά ταῦτα, τά περί αὐτῆς ἀποκαλυπτόμενα

αὐτοῖς καί δεικνύμενα ἔλεγον ἀκούειν ἐκεῖνοι διά τό μετά ταῦτα εἰς ἔργον μέλλειν αὐτά ἐξενεχθήσεσθαι, οὕτω καί ὁ Παῦλος, τά ἀποκείμενα τοῖς ἀγωνιζομένοις δικαίοις ἰδών ἀγαθά καί γνούς καί μαθών ἀκριβῶς ὅτι μετά τήν δευτέραν τοῦ Κυρίου παρουσίαν καί τήν ἐκ νεκρῶν ἐξανάστασιν ταῦτα λήψονται οἱ τόν Θεόν ἐξ ὅλης ἠγαπηκότες ψυχῆς, ὡς ἐν τάξει ἐπαγγελίας καί ὑποσχέσεως ταῦτα θείς, ἐξεβόησεν. «*Ἤκουσα, φήσιν, ἄρρητα ῥήματα ἅ οὐκ ἐξόν ἀνθρώπῳ λαλῆσαι*». Τίνα δέ τρόπον ῥήματα, ἐπειδή τά ἀγαθά ἐκεῖνα ῥήματά τινα ξένα ἐπ' ἀληθείας εἰσί καί λόγοι δι' ὧν πᾶσα λογική φύσις ἐντρυφᾷ τήν ὄντως ἀκένωτον καί ἀείζωον τρυφήν καί ζωοῦται θείως καί ἐπευφραίνεται. Εἰ γάρ Θεός ὁ Λόγος τοῦ Θεοῦ καί Πατρός, δικαίως ἄν αἱ τοῦ Θεοῦ Λόγου ἐλλάμψεις κληθήσονται ῥήματα· ὁ γάρ λόγος εἰς μῆκος διεκχυνθείς διηγήσεως οὐκέτι λόγος, ἀλλά διηγήσεως ῥήματα λέγεται, ὡς τό «*Τά ῥήματά μου ἐνώτισαι Κύριε· σύνες τῆς κραυγῆς μου· πρόσχες τῇ φωνῇ τῆς δεήσεώς μου*».

Λόγος τοιγαροῦν ὁ Θεός, ῥήματα δέ αὐτοῦ αἱ δίκην ἐξ ἀστραπῆς τινος ἐκπηδῶσαί τε καί τρανότερον ἐκφερόμεναι, ἤ ἀποκαλυπτόμεναι μᾶλλον ἡμῖν, τῆς θεότητος αὐγαί τε καί ἐλλάμψεις, ἅτινα ἐξειπεῖν ἡμεῖς οὐ δυνάμεθα. Ὁ δέ γε Ἰωάννης ὁ ἠγαπημένος Χριστοῦ μαθητής μικρόν τι κατά τήν δοθεῖσαν αὐτῷ χάριν εἶπε καί παρεδήλωσεν ἐξ ὧν ὁ Παῦλος ἀκόεν, οὑτωσί λέγων· «*Ἀδελφοί, νῦν τέκνα Θεοῦ ἐσμεν, ἀλλ' οὔπω ἐφανερώθη τί ἐσόμεθα· οἴδαμεν δέ ὅτι, ἐάν φανερωθῇ, ὅμοιοι αὐτῷ ἐσόμεθα*». Ἐκεῖνος εἶπεν ὅτι «*Ἤκουσα ἄρρητα ῥήματα ἅ οὐκ ἐξόν ἀνθρώπῳ λαλῆσαι*», οὗτος δέ ὅτι «*Οἴδαμεν, ἐάν φανερωθῇ, ὅμοιοι αὐτῷ ἐσόμεθα*» καί ὀψόμεθα αὐτόν τελεώτερον. Τοῦτο δέ καί αὐτός ὁ Παῦλός φησι· «*Νῦν μέν γινώσκω ἐκ μέρους, τότε δέ ἐπιγνώσομαι καθό καί ἐπεγνώσθην*». Ὁρᾷς πῶς ἕν καί τό αὐτό ἐστιν ἐν τοῖς πνευματικοῖς ἥ τε γνῶσις καί ὁμοιότης, ἡ θεωρία καί ἡ ἐπίγνωσις. Οὕτω πάντα ἡμῖν ὁ Χριστός γινόμενος, γνῶσις, σοφία, λόγος, φῶς, ἔλλαμψις, ὁμοιότης, θεωρία, ἐπίγνωσις, δίδωσιν ἀπολαύειν τῶν αὐτοῦ ἀγαθῶν καί κατά τήν παροῦσαν ζωήν ἐκ μέρους καί νοεῖν καί ἀκούειν ἐν μυστηρίῳ τά ἀποκεκρυμμένα τοῖς πολλοῖς ἄρρητα ῥήματα, τοῖς ἀγαπῶσιν αὐτόν.

Εἰ γάρ μή πάντα ἡμῖν ὁ Χριστός ὁμοῦ γένηται, ἐλλιπής λοιπόν ἔσται ποτέ ἡ τῶν οὐρανῶν βασιλεία καί ἡ ἐν τῇ βασιλείᾳ τρυφή. Εἰ μή πρός τοῖς εἰρημένοις στολή καί στέφος καί ὑπόδημα, χαρά καί γλυκύτης, τροφή, πόσις, τράπεζα, κλίνη, ἀνάπαυσις καί θεωρίας κάλλος ἀμήχανον, καί εἴ τι οὖν ἕτερον πρός τρυφήν ἤ δόξαν καί τερπνότητα ἐπιτήδειον, ἐν πᾶσι γένηται τοῖς δικαίοις καί ἀγαπῶσιν αὐτόν, ἀλλ' ἕν μόνον ἐν ἑνί τῶν αὐλιζομένων ἐκεῖσε ἐκλείψειέ ποτε, εὐθύς ἡ τοῦ καλοῦ στέρησις τῇ λύπῃ τόπον δώσει καί ἐντός εἰσελεύσεται αὕτη τῆς ἀνεκλαλήτου τῶν εὐφραινομένων χαρᾶς· καί οὕτω φανήσεται τό λέγον λόγιον ἔνθα· «*Ἀπέδρα ὀδύνη, λύπη καί στεναγμός*» διαψευδόμενον. Ἀλλ' οὐκ ἔσται τοῦτο, οὐκ ἔσται, ἀλλ' ἔσεται τά πάντα τοῖς πᾶσι καί πᾶν ἀγαθόν ἐν ἅπασιν ἀγαθοῖς, ὑπερπερισσεῦον ἀεί καί ὑπερεμπιπλῶν τάς αἰσθήσεις ἁπάσας τῶν ἐν τοῖς γάμοις ἀνακεκλιμένων τοῦ βασιλέως Χριστοῦ, αὐτός ἐκεῖνος ὁ εἷς ἐσθιόμενος καί πινόμενος, ὡς ὤν πᾶν εἶδος τροφῆς, ἡδύτητός τε καί πόσεως ὁ αὐτός. Ἔνθεν τοι καί βλεπόμενος παρά πάντων καί πάσας βλέπων αὐτός τάς ἀναριθμήτους μυριάδας καί τό

ἑαυτοῦ ὄμμα ἔχων ἀεί ἀτενίζον και ἀμετακινήτως ἱστάμενον, ἕκαστος αὐτῶν δοκεῖ βλέπεσθαι παρ' αὐτοῦ καί τῆς ἐκείνου ἀπολαύειν ὁμιλίας καί κατασπάζεσθαι ὑπ' αὐτοῦ, ὡς ἄν μή τις ἐξ αὐτῶν ὡς παρεωραθείς λυπηθῇ. Ὁ αὐτός καί στέφανος ἔσται, καθάπερ εἴρηται, ἐπί τάς ἁπάντων τῶν ἁγίων ἐπικείμενος κεφαλάς ἀναλλοιώτως, ἀτρέπτως, ἄλλος ἄλλο τι δεικνύμενος εἶναι καί διαιρῶν ἑαυτόν κατ' ἀξίαν ἑκάστῳ, καθά τίς ἐστιν ἄξιος· ὁ αὐτός καί ἔνδυμα πάσιν ἔσται, οἷον ἀπ' ἐντεῦθεν ἤδη τοῦτον ἕκαστον διά σπουδῆς ἐπενδύσεται, ὡς μηδενός ἐν τῷ μυστικῷ γάμῳ εἰσερχομένου μή τόν ἀπρόσιτον τοῦτον φοροῦντος χιτῶνα· εἰ δέ τις καί παρενείρας ἑαυτόν τοῖς ἄλλοις λαθών εἰσέλθῃ, ὅπερ ἀδύνατον, ἀλλά πάλιν ὡσαύτως ἐξεωθήσεται.

Βουλόμενος γάρ δεῖξαι ἡμῖν ὁ Δεσπότης ὅτι οὐδείς ἐκεῖ μελανηφορῶν εἰσελεύσεται, διά τῆς παραβολῆς ἐδήλωσε τοῦτο εἰπών· «*Ἑταῖρε, πῶς εἰσῆλθες ὧδε, μή ἔχων ἔνδυμα γάμου;*» Εἶτα· «*Δήσαντες αὐτοῦ χεῖρας καί πόδας, ἐκβάλλετε αὐτόν εἰς τό σκότος τό ἐξώτερον*». Οὐχ, ὡς λαθόντος δέ αὐτοῦ τόν ἀλάθητον, τοῦτο οὕτως εἰρηκέναι λογίζομαι, ἀλλ' ὅτι οὔπω καιρός ἦν ἀποκαλύψαι τά τοιαῦτα μυστήρια. Μή βουλόμενος γάρ ἐκφαντικώτερον τότε εἰπεῖν ὅτι· «*Οὐδείς ἐκεῖ εἰσελεύσεται, μή φορῶν τό τῆς θεότητός μου ἱμάτιον*», οὕτως τόν λόγον ὑπέφηνε. Τοῦτο δέ καί Παῦλος διδαχθείς παρά τοῦ ἐν αὐτῷ λαλοῦντος Χριστοῦ ἔλεγεν· «*Καί καθώς ἐφορέσαμεν τήν εἰκόνα τοῦ χοϊκοῦ, φορέσομεν καί τήν εἰκόνα τοῦ ἐπουρανίου*». Τίνος χάριν; Ἐπειδή «*οἷος ὁ χοϊκός*» φησί «*τοιοῦτοι καί οἱ χοϊκοί, καί οἷος ὁ ἐπουράνιος τοιοῦτοι καί οἱ ἐπουράνιοι*». Τίς οὖν ἐστιν ἡ εἰκών τοῦ ἐπουρανίου; Ἄκουσον αὐτοῦ λέγοντος τοῦ θείου Παύλου· «*Ὅς ὤν ἀπαύγασμα τῆς δόξης καί χαρακτήρ τῆς ὑποστάσεως*» καί εἰκών ἀπαράλλακτος τοῦ Θεοῦ καί Πατρός. Τοιγαροῦν εἰκών τοῦ Πατρός ὁ Υἱός, εἰκών δέ τοῦ Υἱοῦ τό Πνεῦμα τό Ἅγιον· ὁ ἑωρακώς οὖν τόν Υἱόν ἑώρακε τόν Πατέρα, ὁ ἑωρακώς τό Πνεῦμα τό Ἅγιον ἑώρακε τόν Υἱόν· φησί γάρ ὁ Ἀπόστολος· «*Τό Πνεῦμα ὁ Κύριος ἐστί*», καί πάλιν· «*Αὐτό τό Πνεῦμα ἐντυγχάνει ὑπέρ ἡμῶν στεναγμοῖς ἀλαλήτοις*» κράζον «*Ἀββᾶ, ὁ πατήρ*». Καλῶς οὖν εἶπεν ὅτι τό Πνεῦμα ὁ Κύριός ἐστιν ἐν τῷ κράζειν «*Ἀββᾶ, ὁ πατήρ*», οὐχ ὡς Υἱοῦ ὄντος τοῦ Πνεύματος, ἄπαγε, ἀλλ' ὡς ἐν τῷ Ἁγίῳ Πνεύματι βλεπομένου καί ὁρωμένου τοῦ Υἱοῦ τοῦ Θεοῦ καί μηδέποτε ἤ τοῦ Υἱοῦ δίχα τοῦ Πνεύματος, ἤ τοῦ Πνεύματος δίχα τοῦ Υἱοῦ, ἀποκαλυπτομένου τινί, ἀλλ' ἐν αὐτῷ τῷ Πνεύματι τόν Υἱόν καί διά τοῦ Πνεύματος κράζοντα αὐτόν «*Ἀββᾶ, ὁ πατήρ*».

Εἰ τοίνυν ἀγνοεῖς ταῦτα, ἀγαπητέ, μή εἰς ἀπόγνωσιν ἐμβάλῃς σεαυτόν λέγων· «*Ἐγώ ταῦτα οὔτε οἶδα οὔτε μαθεῖν δύναμαι· οὔτε μήν εἰς τό ὕψος τῆς γνώσεως ταύτης καί θεωρίας καί καθαρότητος φθάσαι καί ἀνελθεῖν ἰσχύσω ποτέ*». Μηδέ πάλιν εἴπῃς· «*Ἐπειδή, ἐάν μή τις τοιοῦτος γένηται καί τόν Χριστόν ἀπ' ἐντεῦθεν ἤδη ὡς Θεόν ἐπενδύσηται καί αὐτόν ἐκεῖνον ὅλον θεάσηται καί ἔνοικον ἑαυτοῦ τοῦτον κτήσηται, εἰς τήν βασιλείαν αὐτοῦ οὐκ εἰσέρχεται, τί μοι τό ὄφελος κἄν ποσῶς ἀγωνίζεσθαι ἤ καί τῶν παρόντων ὑστερεῖσθαι τῆς ἀπολαύσεως;*» Μή δή τοῦτο εἴπῃς, μή δή λογίσεσαι· ἀλλ' εἰ βούλει, ἄκουσόν μου τῆς συμβουλῆς καί ἀναγγελῶ σοι τήν ὁδόν τῆς σωτηρίας, τῆς χάριτος τοῦ παναγίου Πνεύματος συνεργούσης. Πίστευσον οὖν ἐν πρώτοις ἐξ ὅλης

ψυχῆς ὅτι οὕτως ταῦτα πάντα ἅ εἴπομεν κατά τάς θείας καί θεοπνεύστους Γραφάς ἀληθῆ εἰσι καί οὕτως ὀφείλει γενέσθαι πᾶς ὁ πιστεύων εἰς τόν Υἱόν τοῦ Θεοῦ, ἐπειδή ἔδωκεν ἡμῖν ἐξουσίαν υἱούς γενέσθαι Θεοῦ, καί ἐάν θελήσωμεν, τό κωλύον οὐδέν, καί ὅτι διά τοῦτο ἡ πᾶσα οἰκονομία καί συγκατάβασις τοῦ Υἱοῦ τοῦ Θεοῦ ἐγένετο, ἵνα διά τῆς πρός αὐτόν πίστεως καί τῆς τηρήσεως τῶν αὐτοῦ ἐντολῶν μετόχους αὐτοῦ τῆς θεότητος καί τῆς βασιλείας ἡμᾶς ἀπεργάσηται. Καί γάρ, εἰ μή πιστεύσεις ταῦτα οὕτως ἀληθῶς γίνεσθαι, πάντως οὐδέ ζητήσεις· εἰ δέ μή ζητήσεις, οὐδέ λήψῃ· «*Ζητεῖτε γάρ, φησί, καί λήψεσθε· αἰτεῖτε καί δοθήσεται ὑμῖν*». Πιστεύων δέ, ἀκολούθει ταῖς θείαις Γραφαῖς καί ὅσα σοι λέγουσι ποίησον, καί εὑρήσεις πάντα ἀνελλιπῶς καθώς γέγραπται, μᾶλλον δέ καί πολλῷ πλείονα τῶν ἐν ταῖς θείαις Γραφαῖς. Ποῖα δέ ταῦτα; «*Ἅ ὀφθαλμός οὐκ εἶδε καί οὖς οὐκ ἤκουσε καί ἐπί καρδίαν ἀνθρώπου οὐκ ἀνέβη*» τά ἀγαθά «*ἅ ἡτοίμασεν ὁ Θεός τοῖς ἀγαπῶσιν αὐτόν* ». Ταῦτα, εἰ πιστεύσεις βεβαίως, ὡς εἴρηται, θεάσῃ ἀναμφιβόλως ὡς ὁ Παῦλος καί σύ· οὐ μόνον δέ, ἀλλά καί ἀκούσεις ἄρρητα ῥήματα, προαρπαγείς δηλονότι εἰς τόν παράδεισον. Ποῖον τοῦτον; Ὅπου ὁ ληστής μετά τοῦ Χριστοῦ συνεισῆλθε καί νῦν ἐκεῖ ἐστιν.

Βούλει δέ καί ἄλλως εἴπω σοι τίνα εἰσί τά ἀγαθά ἅ ὀφθαλμός οὐκ εἶδε καί οὖς οὐκ ἤκουσε καί ἐπί καρδίαν ἀνθρώπου οὐκ ἀνέβη; Οἶδα ὅτι πάντως ἐπιποθεῖς ἀκοῦσαι ἅ οὐδέ αὐτός ὁ ἰδών εἶπεν ἤ διηρμήνευσεν. Τί τοῦτο; Ἵνα μή παρά τῶν ἀκουόντων, ὡς οἶμαι, ἀπιστηθῇ. Εἰ τοίνυν μέλλεις καί σύ ἀπιστεῖν τοῖς ῥηθησομένοις, στῆθι μέχρι τούτου· συμφέρει σοι γάρ καί μή προσβῇς τῷ τῆς διανοίας ὀφθαλμῷ ὅλως τοῖς ἔμπροσθεν, ἐπειδή, εἰ τά λεγόμενά σοι ἀθετήσεις καί παρακούσεις τῶν λόγων μου, μᾶλλον δέ τῶν λόγων αὐτοῦ τοῦ Θεοῦ, ἐπειδή καί ἡμεῖς καί οἱ λόγοι ἡμῶν αὐτοῦ εἰσιν, ὁ Λόγος οὗτος κρινεῖ σε ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως, ὅτι καί ἀκούσας ἠπίστησας. Ἀλλ’ ἄκουε ἀδιστάκτως τῶν λόγων ἡμῶν, μᾶλλον δέ, ὡς εἴρηται, τῶν τοῦ Θεοῦ· καί μάνθανε αὐτόθεν τοῦ ζητουμένου τήν λύσιν παρά τῶν ταύτην ἐν σοφίᾳ διατρανούντων σοι.

Τά ἐν τῷ παραδείσῳ λαληθέντα τῷ Παύλῳ ἄρρητα ῥήματα, αὐτά δή τά αἰώνια, φημί, ἀγαθά ἅ ὀφθαλμός οὐκ εἶδε καί οὖς οὐκ ἤκουσε καί ἐπί καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, ἅ ἡτοίμασεν ὁ Θεός τοῖς ἀγαπῶσιν αὐτόν, οὐχ ὕψει περιέχονται, οὐ τόπῳ περιορίζονται, οὐ βάθει που κρύπτονται, οὐκ ἐν ἐσχατιᾷ γῆς ἤ θαλάσσης κατέχονται, ἀλλ’ ἔμπροσθέν σου καί πρό τῶν ὀφθαλμῶν σού εἰσι. Ποῖα δή ταῦτα; Μετά τῶν ἀποκειμένων ἐν τοῖς οὐρανοῖς ἀγαθῶν, αὐτό τό σῶμα καί αἷμα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἅ καθ’ ἑκάστην ὁρῶμεν καί ἐσθίομεν καί πίνομεν, ταῦτα ὁμολογουμένως τά ἀγαθά ἐκεῖνά εἰσι· ἐκτός δέ τούτων οὐδαμοῦ τῶν ῥηθέντων οὐδέ ἕν εὑρεῖν ἐξισχύσεις, κἄν πᾶσαν διαδράμῃς τήν κτίσιν. Εἰ βούλει δέ γνῶναι ὡς ἀληθῆ τά λεγόμενα, γενοῦ τῇ ἐργασίᾳ τῶν τοῦ Θεοῦ ἐντολῶν ἅγιος καί οὕτω μετάλαβε τῶν ἁγίων· καί γνώσεις τηνικαῦτα τῶν λεγομένων σοι τήν δύναμιν ἀκριβῶς. Ἀλλά γάρ πρός τήν περισσοτέραν πίστωσιν ἄκουσον καί αὐτοῦ ἐκείνου τοῦ Κυρίου τῶν λόγων, οὕτω λέγοντος πρός τούς Ἰουδαίους καί τούς ἰδίους αὐτοῦ μαθητάς· «*Ἀμήν ἀμήν λέγων ὑμῖν· οὐ Μωσῆς δέδωκεν ὑμῖν τόν ἄρτον ἐκ τοῦ οὐρανοῦ, ἀλλ’ ὁ πατήρ μου δίδωσιν ὑμῖν τόν ἄρτον ἐκ τοῦ οὐρανοῦ τόν*

*ἀληθινόν. Ὁ γάρ ἄρτος τοῦ Θεοῦ ἐστιν ὁ καταβαίνων ἐκ τοῦ οὐρανοῦ καί διδούς τῷ κόσμῳ ζωήν. Εἶπον οὖν πρός αὐτόν· Κύριε, πάντοτε δός ἡμῖν τόν ἄρτον τοῦτον. Εἶπεν οὖν αὐτοῖς ὁ Ἰησοῦς· Ἐγώ εἰμι ὁ ἄρτος τῆς ζωῆς· ὁ ἐρχόμενος πρός με οὐ μή πεινάσῃ καί ὁ πιστεύων εἰς ἐμέ οὐ μή διψήσῃ πώποτε. Ἐγόγγυζον οὖν οἱ Ἰουδαῖοι περί αὐτοῦ, ὅτι εἶπεν· Ἐγώ εἰμι ὁ ἄρτος ὁ καταβάς ἐκ τοῦ οὐρανοῦ, καί ἔλεγον· Οὐχ οὗτός ἐστιν ὁ υἱός Ἰωσήφ οὗ ἡμεῖς οἴδαμεν τόν πατέρα καί τήν μητέρα; Πῶς οὖν λέγει οὗτος ὅτι ἐκ τοῦ οὐρανοῦ καταβέβηκα;*».

Μή δή οὖν ὁμοιωθῇς τοῖς Ἰουδαίοις καί σύ, γογγύζων καί λέγων· «*Οὐχί ὁ ἄρτος οὗτός ἐστιν ἐν τῷ δίσκῳ καί ὁ οἶνος ἐν τῷ ποτηρίῳ ὅν ἡμεῖς καθ᾽ ἑκάστην ὁρῶμεν καί ἐσθίομεν ἅμα καί πίνομεν; Πῶς οὗτος λέγει ὅτι τά ἀγαθά ἐκεῖνα ἅ ὀφθαλμός οὐκ εἶδε καί οὖς οὐκ ἤκουσε καί ἐπί καρδίαν ἀνθρώπου οὐκ ἀνέβη ταῦτά εἰσιν;*» Ἀλλά ἄκουε τοῦ Κυρίου πρός τούς ταῦτα εἰπόντας τί ἀνταποκριθείς ἔφη· «*Μή γογγύζετε μετ᾽ ἀλλήλων. Οὐδείς δύναται ἐλθεῖν πρός με, ἐάν μή ὁ Πατήρ ὁ πέμψας με ἑλκύσῃ αὐτόν· κἀγώ ἀναστήσω αὐτόν ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ*». Οἷον· «*Τί ἀπιστεῖτε, φησί, καί ἀμφιβάλλετε περί τούτου· Οὐδείς δύναται ἐπιγνῶναί μου τήν θεότητα, τοῦτο γάρ ἐστι τό ἐλθεῖν πρός με, ἐάν μή ὁ Πατήρ μου ἑλκύσῃ αὐτόν*». Ἑλκυσμόν δέ εἰπών, οὐ βίαν τινά ἐδήλωσεν, ἀλλ᾽ ὅτι μᾶλλον ἐκάλεσε διά τῆς ἀποκαλύψεως οὕς προέγνω καί οὕς προώρισεν, ἑλκύσας διά τῆς ἀγάπης δηλονότι τοῦ ἀποκαλυφθέντος αὐτοῖς. Τοῦτο δέ σαφέστερον καί τό ἐπαγόμενον δηλοῖ. «*Ἔστι γάρ, φησί, γεγραμμένον ἐν τοῖς προφήταις· Καί ἔσονται πάντες διδακτοί Θεοῦ*». Ὁ οὖν διδαχθείς παρά τοῦ Θεοῦ δύναται πιστεῦσαι εἰς τόν Υἱόν τοῦ Θεοῦ καί μαθών παρά τοῦ Πατρός ἔρχεται πρός με, οὐχ ὡς τόν Πατέρα θεασάμενος· μόνος γάρ «*ὁ ὤν παρά τοῦ Θεοῦ, οὗτος ἑώρακε τόν Πατέρα*». Καί πάλιν· «*Ἀμήν ἀμήν λέγω ὑμῖν· ὁ πιστεύων εἰς ἐμέ ἔχει ζωήν αἰώνιον. Ἐγώ εἰμι ὁ ἄρτος τῆς ζωῆς. Οἱ πατέρες ὑμῶν τό μάννα ἔφαγον ἐν τῇ ἐρήμῳ καί ἀπέθανον· οὗτος δέ ἐστιν ὁ ἄρτος ὁ ἐκ τοῦ οὐρανοῦ καταβαίνων, ἵνα τις ἐξ αὐτοῦ φάγῃ καί μή ἀποθάνῃ. Ἐγώ εἰμι ὁ ἄρτος ὁ ζῶν ὁ ἐκ τοῦ οὐρανοῦ καταβάς· ἐάν τις φάγῃ ἐκ τούτου τοῦ ἄρτου, ζήσεται εἰς τόν αἰῶνα· καί ὁ ἄρτος δέ ὅν ἐγώ δώσω ἡ σάρξ μου ἐστίν ἥν ἐγώ δώσω ὑπέρ τῆς τοῦ κόσμου ζωῆς. Ἐμάχοντο οὖν οἱ Ἰουδαῖοι πρός ἀλλήλους λέγοντες· Πῶς δύναται οὗτος δοῦναι ἡμῖν τήν σάρκα αὐτοῦ φαγεῖν; Εἶπεν οὖν αὐτοῖς ὁ Ἰησοῦς· Ἀμήν ἀμήν λέγω ὑμῖν, ἐάν μή φάγητε τήν σάρκα τοῦ Υἱοῦ τοῦ ἀνθρώπου καί πίητε αὐτοῦ τό αἷμα, οὐκ ἔχετε ζωήν ἐν ἑαυτοῖς. Ὁ τρώγων μου τήν σάρκα καί πίνων μου τό αἷμα ἔχει ζωήν αἰώνιον, κἀγώ ἀναστήσω αὐτόν ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ· ἡ γάρ σάρξ μου ἀληθής ἐστι βρῶσις καί τό αἷμα μου ἀληθής ἐστι πόσις*».

Ἤκουσας πῶς ἡ κοινωνία τῶν θείων καί ἀχράντων μυστηρίων ζωή αἰώνιός ἐστι καί ὅτι τούς τήν ζωήν τήν αἰώνιον ἔχοντας, ἐκείνους λέγει ἀναστῆσαι ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ ὁ Κύριος, οὐχ ὡς τῶν ἄλλων πάντως ἐγκαταλιμπανομένων ἐν τοῖς μνήμασιν, ἀλλ᾽ ὡς τῶν τήν ζωήν ἐχόντων ἀνισταμένων ὑπό τῆς ζωῆς εἰς αἰωνίαν ζωήν, τῶν δέ λοιπῶν ἀνισταμένων εἰς αἰώνιον κολάσεως θάνατον. Καί ὅτι τοῦτό ἐστιν ἀληθές, ἄκουσον τῶν ἑξῆς· «*Ὁ τρώγων μου τήν σάρκα καί πίνων μου τό αἷμα ἐν ἐμοί μένει κἀγώ ἐν αὐτῷ.*

*Καθώς ἀπέστειλέ με ὁ ζῶν Πατήρ κἀγώ ζῶ διά τόν Πατέρα, καί ὁ τρώγων με κἀκεῖνος ζήσεται δι᾽ ἐμέ*». Ὁρᾷς τί φησι; Πῶς τήν πρός αὐτόν ἡμῶν ἑνότητα ὁ Υἱός τοῦ Θεοῦ διά τῆς κοινωνίας τοιαύτην γενέσθαι διαρρήδην βοᾷ οἵαν ἐκεῖνος ἔχει τήν πρός τόν Πατέρα ἑνότητα καί ζωήν; Ὥσπερ γάρ ἐκεῖνος φυσικῶς τῷ ἰδίῳ Θεῷ καί Πατρί ἥνωται, οὕτω καί ἡμᾶς κατά χάριν λέγει διά τοῦ φαγεῖν τήν σάρκα αὐτοῦ καί πίειν αὐτοῦ τό αἷμα ἑνωθῆναι αὐτῷ καί ζῆσαι ἐν αὐτῷ. Ἵνα δέ μή νομίζωμεν ὅτι τό πᾶν τοῦ ἄρτου τοῦ ὁρωμένου ἐστί, τούτου ἕνεκεν πολλαχῶς εἴρηκεν· «*Ἐγώ εἰμι ὁ ἄρτος ὁ ἐκ τοῦ οὐρανοῦ καταβαίνων*». Καί οὐκ εἶπεν ὁ καταβάς· τοῦτο γάρ τό ἅπαξ δηλοῖ κατελθεῖν. Ἀλλά τί; Ὁ καταβαίνων, φησίν, ἀεί δηλονότι καί πάντοτε ἐπί τούς ἀξίους καταβαίνων καί νῦν καθ᾽ ὥραν παραγινόμενος. Ἔτι δέ ἀπό τῶν ὁρωμένων ἀφιστῶν ἡμῶν τήν διάνοιαν, μᾶλλον δέ δι᾽ αὐτῶν ἀνάγων ἡμᾶς ἐπί τήν ἀόρατον δόξαν τῆς ἐνυποστάτου αὐτοῦ θεότητος, ἔλεγεν· «*Ἐγώ εἰμι ὁ ἄρτος τῆς ζωῆς*», καί πάλιν· «*Ὁ Πατήρ μου δίδωσιν ὑμῖν τόν ἄρτον οὐχί ἐκ τῆς γῆς, ἀλλ᾽ ἐκ τοῦ οὐρανοῦ, τόν ἀληθινόν*». Εἰπών τόν ἐκ τοῦ οὐρανοῦ ἀληθινόν, ἐδήλωσεν ὅτι ψευδής ὁ ἀπό τῆς γῆς, ὠφελῶν οὐδέν.

Καί ἵνα τοῦτο ποιήσῃ σαφέστερον· «*Ὁ γάρ ἄρτος, φησί, τοῦ Θεοῦ ἐστιν ὁ καταβαίνων ἐκ τοῦ οὐρανοῦ καί διδούς τῷ κόσμῳ ζωήν*». Πάλιν, ὁ καταβαίνων, φησί, καί πάλιν, ζωήν ὁ διδούς. Τί τοῦτο; Ἵνα μηδέν σωματικόν ὑποπτεύσῃς μήτε τι γήϊνον ἐννοήσῃς, ἀλλά καί αὐτόν τόν μικρόν ἄρτον, τήν ὀλίγην μερίδα θεοποιηθεῖσαν, τοῖς νοεροῖς ὁρᾷς ὄμμασι καί γενομένην ὅλην ὁμοίαν τῷ ἐκ τοῦ οὐρανοῦ καταβαίνοντος ἄρτῳ, ὅς ἐστι Θεός ἀληθής καί ἄρτος καί πόμα ζωῆς ἀθανάτου, ὡς ἄν μή, ἐναπομένων τῇ ἀπιστίᾳ καί τῷ ὁρωμένῳ μόνῳ ἄρτῳ διά πασῶν τῶν αἰσθήσεων, ἄρτον φάγῃς οὐ τόν οὐράνιον, ἀλλά τόν ἐπίγειον μόνον, καί στερηθῇς τῆς ζωῆς, ὡς τόν οὐράνιον ἄρτον πνευματικῶς μή φαγών, καθώς αὐτός φησιν ὁ Χριστός· «*Τό πνεῦμά ἐστι τό ζωοποιοῦν, ἡ σάρξ οὐκ ὠφελεῖ οὐδεν*». Τίνας ἄρα οὐκ ὠφελεῖ; Τούς ἄνθρωπον ψιλόν εἶναι τοῦτόν φησι φάσκοντας καί οὐ Θεόν. Τοίνυν, εἰ καί σύ αὐτός ὁ πιστός ἄρτου μόνου καί οὐ σώματος τεθεωμένου, ὡς αὐτόν ἐκεῖνον ὅλον τόν Χριστόν δεχόμενος, μεταλαμβάνεις, ζωήν πῶς ἐλπίζεις λαβεῖν ἐξ αὐτοῦ καί ἔχειν εὐαισθήτως ἐν ἑαυτῶ, τοῦ Κυρίου λέγοντος· «*Ὁ τρώγων τόν ἐκ τοῦ οὐρανοῦ καταβαίνοντα ἄρτον ζήσεται εἰς τόν αἰῶνα*», καί πάλιν· «*Ἡ σάρξ οὐκ ὠφελεῖ οὐδέν· τό Πνεῦμά ἐστι τό ζωοποιοῦν*»; Ὄντως τό Πνεῦμά ἐστιν ἡ ἀληθής βρῶσις καί πόσις· τό Πνεῦμά ἐστι τό μεταποιοῦν τόν ἄρτον εἰς σῶμα τοῦ Κυρίου· ὄντως τό Πνεῦμά ἐστι τό καθαῖρον ἡμᾶς καί ἀξίως ποιοῦν μεταλαμβάνειν τοῦ σώματος τοῦ Κυρίου. Οἱ γάρ ἀναξίως τούτου μεταλαμβάνοντες, ὥς φησιν ὁ Ἀπόστολος, «*κρῖμα ἑαυτοῖς ἐσθίουσι καί πίνουσι, μή διακρίνοντες τό σῶμα τοῦ Κυρίου*».

Ἀλλά δεῦτε τοιγαροῦν ὅσοι πιστοί, ὅσοι τῶν μυστηρίων τήν εἰρημένην καί λαλουμένην ἐπίστασθε δύναμιν, ὅσοι τόν οὐράνιον ἄρτον ἐφάγετε, ὅσοι τήν ἐξ αὐτοῦ καί δι᾽ αὐτοῦ καί ἐν αὐτῷ καί σύν αὐτῷ αἰωνίαν τήν ζωήν ἐκτήσασθε, καί ἐν αὐτῇ τῇ ζωῇ τῇ ἀληθινῇ εἰς τρίτον οὐρανόν καί ἡμεῖς ἁρπαγῶμεν ἐν Πνεύματι, μᾶλλον δέ εἰς αὐτόν πνευματικῶς τῆς Ἁγίας Τριάδος τόν οὐρανόν, ἵνα πάντα τά ῥηθέντα καί τά διαμείναντα ἄρρητα κατιδόντες ὁμοῦ καί ἀκούσαντες, γευσάμενοί τε καί ὀσφρανθέντες καί ταῖς χερσί

τῆς ψυχῆς καλῶς ψηλαφίσαντες, εὐχαριστήριον αἶνον τῷ φιλανθρώπῳ Θεῷ ἀναπέμψωμεν οὕτω λέγοντες· «*Δόξα σοι, ὁ ἐπιφανείς καί ἀποκαλυφθῆναι καί ὁραθῆναι καταξιώσας ἡμῖν*». Εἴπωμεν δέ καί πρός πάντας ἡμῶν κοινῶς τούς ἀδελφούς. Ὦ πατέρες, ὦ ἀδελφοί, μονάζοντες ὁμοῦ καί οἱ ἐν τῷ βίῳ τῷ κοσμικῷ, πλούσιοι, πένητες, δοῦλοι, ἐλεύθεροι, νέοι καί γέροντες, πᾶσα ἡλικία καί γένος ἅπαν, ἀκούσατε. Μή ὁ Θεός ψεύστης ἐστίν; Ἤ ψεύστης μέν οὐκ ἔστιν, ἀδύνατος δέ, καί οὐ μή δυνηθῇ ποιῆσαι ἅ ἐπηγγείλατο; Μή βραδύνῃ τοῦ ἐπισκέψασθαι πάντα τά ἔθνη; Μή ἰσχύσει τις κρυβῆναι ἐξ ὀφθαλμῶν αὐτοῦ; μή ὑπενέγκαι ἰσχύσει ἄνθρωπος τήν ἀποκάλυψιν τῆς δόξης αὐτοῦ; Οὔμενουν. Πῶς γάρ, ὅταν οὐρανοί ῥοιζηδόν λύωνται καί τά στοιχεῖα καυσούμενα ἀπολοῦνται, καθά φησιν ὁ Ἀπόστολος, ἄνθρωπος τότε ἡμέραν εἰσόδου ὑπομενεῖ τοῦ ἀπροσίτου Θεοῦ καί ἀπροσίτῳ ἐνοικοῦντος φωτί, ὅς ἐν αὐτῷ καί σύν αὐτῷ ἐρχόμενος εἰς τόν κόσμον ὀφθῆναι μέλλει πάσῃ σαρκί; Μέγας φόβος καί τρόμος ὄντως λήψεται τότε τούς ἁμαρτωλούς καί σύγκρισις οὐκ ἔσται τῆς θλίψεως καί ὀδύνης καί τιμωρίας αὐτῶν.

Ἀλλ΄ οἱ ταῦτα πιστεύοντες καί ἐπιποθοῦντες σωθῆναι, τάδε λέγει, ἀκούσατε, τό Πνεῦμα τό Ἅγιον· «*Ἀποστρέψατε ἕκαστος ὑμῶν ἀπό τῆς ὁδοῦ αὐτοῦ τῆς πονηρᾶς· μάθετε καλόν ποιεῖν καί ῥύσασθε ἀδικούμενον· ἐκζητήσατε τόν Κύριον καί ζήσεται ἡ ψυχή ὑμῶν· ἐκκλίνατε ἀπό κακοῦ καί ποιήσατε ἀγαθόν*». Οἱ βασιλεῖς τήν σωφροσύνην, τήν δικαιοσύνην, τήν ἐλεημοσύνην, τήν ἀλήθειαν καί τήν εὐσεβῆ πίστιν μᾶλλον ἤ τό διάδημα καί΄τήν ἁλουργίδα φορεῖν ποθήσατε. Οἱ πατριάρχαι, εἰ μή φίλοι ἐστέ Θεοῦ, εἰ μή υἱοί, εἰ μή θέσει θεοί, ὅμοιοι δηλονότι ὄντες τῷ φύσει Θεῷ κατά τήν χάριν τήν δοθεῖσαν ἡμῖν ἄνωθεν, τῶν θρόνων ἀπόστητε καί πορευθέντες πρῶτον ἑαυτούς ἀπό τῶν θείων Γραφῶν νουθετήσατε· καί ἀπεικόνισμα γεγονότες Θεοῦ, φρικτῶς τηνικαῦτα τῶν θείων προσψαύσατε· εἰ δ’ οὖν, ἀλλ’ ὅποτε ἀποκαλυφθῇ, τότε γνώσεσθε ὅτι ὁ Θεός ἡμῶν πῦρ καταναλίσκον ἐστίν, οὐ τούς φίλους οὐδέ τούς αὐτόν ἀγαπήσαντας ἀλλά τούς μή ὡς φῶς ἐλθόντα δεξαμένους αὐτόν. Οἱ ἄρχοντες καί οἱ πλούσιοι, ἀρχόμενοι καί πτωχοί μᾶλλον γένεσθε, ἐπειδή δυσκόλως πλούσιος εἰς τήν βασιλείαν τῶν οὐρανῶν εἰσελεύσεται· εἰ δέ δυσκόλως ὁ πλούσιος, ὁ ἄρχων ἄρα πῶς; Οὐδαμῶς· φησί γάρ ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· «*Οἱ ἄρχοντες τῶν ἐθνῶν κατεξουσιάζουσιν αὐτῶν· οὐχ οὕτως δέ ἔσται ἐν ὑμῖν, ἀλλ’ ὁ θέλων εἶναι πρῶτος ἐν ὑμῶν, ἔστω πάντως ἔσχατος καί πάντων δοῦλος καί πάντων διάκονος*».

Ἄρχοντα δέ ἡ Γραφή τίνα ἄρα καλεῖ; Τόν τήν ἑαυτοῦ φησι ζητοῦντα τιμήν, τον διά τῆς ἀρχῆς τό ἴδιον αὐτοῦ ἐκπληροῦντα θέλημα. Εἰ δέ ὁ Κύριος καί Θεός ἡμῶν ἐλθών ἐπί τῆς γῆς δι’ ἡμᾶς καί διδούς ἡμῖν τύπον καί ὑπογραμμόν σωτηρίας ἔλεγεν· «*Ἐγώ ἦλθον οὐχ ἵνα ποιῶ τό θέλημα τό ἐμόν, ἀλλά τό θέλημα τοῦ πέμψαντός με πατρός*», τίς ἄλλος τῶν εἰς αὐτόν πιστευόντων, μή ποιῶν τό ἐκείνου θέλημα ἀλλά τό ἴδιον ἐκπληρῶν, σωθῆναί ποτε δυνήσεται; Ὄντως οὐδείς οὐδαμῶς. Καί τί λέγω σωθῆναι αὐτόν, ὅπου γε οὐδέ πιστός εἶναι δύναται ἤ χριστιανός τέλειος ὁ τοιοῦτος; Καί τοῦτο δηλῶν ὁ Χριστός καί Θεός ἔλεγε· «*Πῶς δύνασθε ὑμεῖς πιστεῦσαι*» εἰς ἐμέ δηλονότι «*δόξαν παρά τοῦ μόνου Θεοῦ οὐ ζητοῦντες;*» Πᾶς οὖν ὁ τήν τοῦ Θεοῦ δόξαν ζητῶν καί τό ἐκείνου θέλημα παντί

τρόπῳ καί ἐν παντί πράγματι σπουδάζων ποιεῖν, οὐδέποτε ἄρχειν τινός ἤ ὅλως ὑπερέχειν μικροῦ ἤ μεγάλου καθ' ἑαυτόν ἐννοήσειεν, ἀλλ' ὅσῳ πλειόνων οἰκονομίαν καί φροντίδα ἐγχειρισθήσεται, τοσούτῳ μᾶλλον ἑαυτόν ἐσχατώτερον καί δοῦλον τῶν πολλῶν ἐκείνων λαῶν ἕξει, ἐν αἰσθήσει γενόμενον. Οἱ δέ μή τοιοῦτοι τῇ διαθέσει γενόμενοι, ἀλλ' ὅλως αἴσθησιν τῆς ἀνθρωπίνης δόξης ἐσχηκότες καί ὄρεξιν πλούτου κτησάμενοι καί τρυφῆς, ὄντως ὀκνῶ εἰπεῖν ὅτι ἐθνικοί εἰσιν οἱ τοιοῦτοι, καί οὐ χριστιανοί ἀληθεῖς, κατά τήν θείαν φωνήν τοῦ Ἰησοῦ καί Θεοῦ· φησί γάρ· «*Ταῦτα δέ τά ἔθνη τοῦ κόσμου ἐπιζητεῖ*». Ὑμεῖς δέ, φησί, «*ζητεῖτε πρῶτον τήν βασιλείαν τοῦ Θεοῦ καί τήν δικαιοσύνην αὐτοῦ, καί ταῦτα πάντα προστεθήσεται ὑμῖν*».

Ἀλλά γάρ ἐπίστασθε ἄρα ποίαν λέγει ζητεῖν ἡμᾶς βασιλείαν; Τήν ἐν τῷ ὕψει τῶν οὐρανῶν, τήν μέλλουσαν μετά τήν ἀνάστασιν ἔσεσθαι ἤ, ὥς πού ποτε οὖσαν μακράν, ταύτην λέγει ζητεῖν ἡμᾶς; Οὐδαμῶς. Ὁποίαν δέ ἄρα ζητεῖν ἐγκελεύεται; Πρόσεχε ἀκριβῶς ὁποία τίς ἐστιν ἡ ζητεῖσθαι ὀφείλουσα παρ' ἡμῶν βασιλεία. Ὁ Θεός, κτίστης ὤν καί δημιουργός τῶν ἁπάντων, ἀεί πάντων ἐπουρανίων βασιλεύει καί ἐπιγείων καί καταχθονίων· ἀλλά καί τῶν μήπω γεγονότων ὡς ἤδη γεγονότων ἐν αὐτῷ αὐτός βασιλεύει, ὅτι δι' αὐτοῦ γενήσονται καί εἴ τι δ' ἄν μετά ταῦτα γενήσεσθαι μέλλει, βασιλεύει δέ οὐχ ἥκιστα καί ἐφ' ἕνα ἕκαστον ἡμῶν ἐν δικαιοσύνῃ καί γνώσει καί ἀληθείᾳ. Ταύτην τοιγαροῦν λέγει ζητεῖν τήν βασιλείαν ὑμᾶς, ἵνα καθώς «*ἐβασίλευσεν ὁ Θεός ἐπί τά ἔθνη*», ὡς γέγραπται, βασιλεύσῃ καί ἐφ' ἡμῖν, ἐπειδή ἐξ ἐθνῶν ἐσμεν. Βασιλεύσει δέ πῶς; Ὡς ἐπί ὀχήματός τινος ἐφ' ἡμᾶς ἐποχούμενος καί ὡς ἡνίας τά θελήματα κρατῶν ἐν τῇ χειρί αὐτοῦ τῶν ἡμετέρων ψυχῶν, ὅς καί ἄξει ἐν οἷς ἄν βούληται ἡμᾶς εὐηνίους εὑρών καί εἰς τό ἐκείνου θέλημα οἷα δή ἵπποις χρήσεται ἡμῶν τοῖς θελήμασιν, ὑπείκουσι προθύμως ταῖς αὐτοῦ νομοθεσίαις καί ἐντολαῖς. Οὕτω δή βασιλεύει Θεός ἐν οἷς οὐδέποτε ἐβασίλευσε, καθαιρομένοις διά δακρύων καί μετανοίας καί τελειουμένοις διά σοφίας καί γνώσεως τῆς τοῦ Πνεύματος. Οὕτω καί Χερουβίμ οἱ ἄνθρωποι γίνονται, τόν ἐπί πάντων Θεόν ἐπί τοῦ νώτου τῶν ψυχῶν αὐτῶν ἐν τῷδε τῷ κόσμῳ ἐπιφερόμενοι. Τίς οὖν ἐπί τοσοῦτον ἄφρων καί ἀναίσθητος ὅς πρό τοῦ τήν δόξαν ταύτην καί ἰδεῖν καί παθεῖν ἀρχῆς ἤ δόξης ἤ πλούτου ἐπιθυμήσει; Μᾶλλον δέ τίς οὕτως ἀπονενοημένος καί ἄθλιος, ὅς μείζονα τῆς τοῦ Θεοῦ βασιλείας καί δόξης ἄλλην εἶναι δόξαν ἤ βασιλείαν ἤ πλοῦτον ἤ τιμήν ἤ ἀρχήν ἤ τρυφήν, ἤ τι τῶν λεγομένων ἄλλον καί νομιζομένων καλῶν ἐπί γῆς ἤ ἐν οὐρανῷ, ὑποπτεύσει, ἵνα καί ἐκεῖνα ἀντί ταύτης ἐκλέξηται; Ὄντως οὐκ ἔστι ταύτης ἕτερον οὐδέν ἐφετώτερον τοῖς γε νοῦν ἔχουσι.

Τοίνυν καί περιϊόντι τῷ Χριστῷ καί βασιλεῦσαι ζητοῦντι ἐπί πάντας ἡμᾶς, μηδείς ἀφρόνως αὐτόν ἀπώσηται· μηδείς ἀξιῶ, τοῦ μεγάλου τούτου καί ἀσπάστου δώρου ἀποστερήσειεν ἑαυτόν· μηδείς τῆς ἀληθινῆς δόξης ἔκπτωτον ἑαυτόν ἀπεργάσηται· μηδείς διά πρόσκαιρον πλοῦτον τόν πλουτοδότην Θεόν καί ποιητήν τοῦ παντός καταλείψῃ· μηδείς διά γονέων καί φίλων καί συγγενῶν προσπάθειαν τόν Δεσπότην τῶν ἀγγέλων ἀρνήσηται· μηδείς δι' ἐπιθυμίαν σαρκός τοῦ γλυκασμοῦ τῆς ὄντως ζωῆς ἀποστερηθήσεται· μηδείς διά δόξαν εὐμάραντον τῆς αἰωνίου δόξης καί ἀτελευτήτου

ἀλλότριος γένηται. Ἀλλά δεῦτε πάντες, εἰ οἷόν τε, συναχθέντες ἐπί τό αὐτό, τόν ὑπεράνω πάσης ὄντα ἀρχῆς καί ἐξουσίας καί παντός ὀνόματος ὀνομαζομένου ἐλθεῖν ἐφ' ἡμᾶς καί ἐφ' ἑνί ἑκάστῳ ἡμῶν βασιλεῦσαι ποθήσωμεν καί ζητήσωμεν, ὡς ἄν ἕκαστος ἡμῶν, ὅλον αὐτόν μεθ' ἑαυτοῦ λαβών, ἀχώριστον ἕξει ἐν ἡμέρᾳ τε καί νυκτί, λάμποντα τῷ ἀπροσίτῳ φωτί ὅ κατεσθίειν μέλλει τότε τούς ὑπεναντίους, ὅτε διά τούς ἀπιστοῦντας ἐλεύσεται, τούς νυνί μή δεχομένους αὐτόν μηδέ θέλοντας αὐτόν βασιλεύειν ἐπ' αὐτούς· ἐν οἰκίᾳ τε συνεισερχόμενον ὡσαύτως ἕξει αὐτόν καί ἐπί τῆς κλίνης συνανακείμενον καί τῷ ἀστέκτῳ φωτί περιπλεκόμενόν τε ὁμοῦ καί ἀρρήτως κατασπαζόμενον, νόσους παραμυθούμενον, λύπας καί θλίψεις διώκοντα, δαίμονας ἀπελεύνοντα, χαράν καί δάκρυα ὑπέρ μέλι καί κηρίον γλυκύτερα καθ' ὥραν παρέχοντα, πάθη ψυχῆς καί σώματος ἐξιώμενον, θάνατον ἀφανίζοντα, ζωήν ἀνεκφράστως βλυστάνοντα καί μετά τήν ἐκδημίαν τήν ἐκ τοῦ σώματος εἰς οὐρανούς οὐρανῶν ἀναβιβάζοντα ἡμῶν ἕκαστον, καί ἐποχούμενον αὐτόν ἕκαστος ἐπί τῶν ἑαυτοῦ ὤμων ἐπιφερόμενος, ἀναλαμβανόμενον ὅθεν οὐκ ἐχωρίσθη.

Ταῦτα παθεῖν σε δεῖ καί μαθεῖν, ἀγαπητέ, ἐν αἰσθήσει πάσῃ ψυχῆς, ὡς ἄν ἕξεις Θεόν νῦν μέν συναναφέροντά σε δίχα τοῦ σώματος, ὕστερον δέ καί τό σῶμά σου τοῦτο ἀναστήσοντα καί πνευματικόν σοι παρέχοντα, ὅς καί βασιλεύων ἔσεται ἐπί σέ εἰς τούς ἀπεράντους αἰῶνας, ἀεί σε βαστάζων εἰς τόν ἀέρα καί ὑπό σοῦ ἀεί βασταζόμενος, ὁ ἐπί πάντων Θεός, ᾧ πρέπει πᾶσα εὐχαριστία, τιμή καί προσκύνησις σύν τῷ ἀνάρχῳ αὐτοῦ Πατρί καί τῷ παναγίῳ καί ἀγαθῷ καί ζωοποιῷ αὐτοῦ Πνεύματι νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων· ἀμήν.

# ΛΟΓΟΣ Δ΄. Περί ἀπαθείας καί τῶν ἐν αὐτῇ κατά προκοπήν χαρισμάτων καί δωρεῶν· καί τίς ἡ τελείωσις τῆς κατά Χριστόν πνευματικῆς ἡλικίας.

Ὥσπερ ὁ τῷ λαμπροτάτῳ ἡλίῳ ἐνατενίζειν βουλόμενος καθαρούς ὀφείλει τούς τοῦ σώματος ὀφθαλμούς ἔχειν, οὕτω καί ὁ περί ἀπαθείας λέγειν ἐπιχειρῶν τάς τῆς ψυχῆς κόρας, εἴτ' οὖν αἰσθήσεις, ἀπηλλαγμένας ἔχειν πάσης ἐπιθυμίας πονηρᾶς καί ἐμπαθοῦς λογισμοῦ χρεωστεῖ, ἵνα μή, ὑπό τῶν τοιούτων τινός τόν νοῦν ὀχλούμενος, εἰς τό τῆς καθαρότητος αὐτῆς ὕψος καί εἰς τόν ταύτης βυθόν οὐκ ἐξισχύσει τρανῶν ἀποβλέψαι ἤ σαφῶς ἐξειπεῖν καί ἀξίως κατανοῆσαι τό πλῆθος καί μέγεθος τῶν ἐνεργειῶν καί χαρισμάτων αὐτῆς. Εἰ γάρ τεθολωμένῳ τῷ νῷ καί ἀκαθάρτῳ τῇ καρδίᾳ τῶν αὐτῆς ἄρξεται θεωρημάτων καί ὑποθέσεως, μή δυνάμενος διατρανῶσαι τάς ἐνεργείας αὐτῆς ἐλευθέρῳ τῷ λόγῳ, ἐκπεσεῖται καί ὧν ἴσως ἐκ μέρους ἔλαβεν ἐξ αὐτῆς ἀγαθῶν, οἷα δή ὡς ἐξουθενῶν καί ἀτιμάζων αὐτήν καί ὡς τήν δόξαν αὐτῆς ἀμαυρῶν· γέγραπται γάρ· «*Παντί τῷ ἔχοντι δοθήσεται καί περισσευθήσεται, ἀπό δέ τοῦ μή ἔχοντος καί ὅ δοκεῖ ἔχειν ἀρθήσεται ἀπ' αὐτοῦ*».

Ὅσοι τοιγαροῦν ἀπάθειαν ἔχουσι, δηλονότι φιλοῦσιν αὐτήν καί φιλοῦνται σφοδρῶς ὑπ' αὐτῆς· καί τά περί τῆς ἀκορέστου διαλεγόμενοι, ἀπαθέστεροι ἔτι παρ' αὐτῆς γίνονται, τῷ περί αὐτήν ἐκκαιόμενοι πόθῳ. Ὅσοι δέ προσδέδενται μικρᾷ ἔτι καί τῇ τυχούσῃ ἐπιθυμίᾳ τοῦ κόσμου καί τῶν πραγμάτων αὐτοῦ, ἤ πάθει τινί σωματικῷ τε καί ψυχικῷ, μακράν εἰσι καί ἀπέχουσι τοῦ λιμένος αὐτῆς· ὅθεν καί ἐάν περί ἀπαθείας λέγειν ἀπάρξωνται καί πρός τό ὕψος αὐτῆς τόν νοῦν ἆραι ἐπιχειρήσωσιν, ἑλκόμενοι οἷα δοῦλοι καί δελεαζόμενοι ὑπό τῆς ἐπιθυμίας τοῦ ἐν ᾧ προσδέδενται πάθους, καί ἧς πρώην ἐδόκουν ἔχειν εἰρήνης ἀποστεροῦνται τῶν λογισμῶν· καί εἰκότως· «*Ὧ γάρ τις ἥττηται, φησί, τούτῳ δεδούλωται*». Τοίνυν καί σκότους ἐκεῖθεν πληρούμενοι, τήν αἰτίαν οὐ σφίσιν αὐτοῖς τῶν γινομένων ἐπιγράφονται, ἀλλά τῇ παντοδυνάμῳ ἀπαθείᾳ ἀσθένειαν προσάπτειν κατατολμῶσι. Τοῦτο δέ συμβαίνει αὐτοῖς, ἐπειδή τῆς μέν νοερᾶς αἰσθήσεως καί θεωρίας καί τῆς παντουργοῦ ἐνεργείας αὐτῆς πεῖραν ὅλως οὐ κέκτηνται, στοχαστικῶς δέ καί ἐν ἐπινοίαις ποικίλαις καί πολυτρόποις τά κατ' αὐτήν ἀναλογιζόμενοι, ἀλληνάλλως ταῦτα ὑπό τῆς ψευδωνύμου φυσιούμενοι γνώσεως φιλολογοῦσί τε καί περί ὧν οὐκ οἴδασι διαβεβαιοῦνται τούς πυθομένους. Διά τοι τοῦτο οὐδέ τήν ἐξ ἀπιστίας καί προλήψεως καί μακρᾶς συνηθείας καί ἀμελείας προσγενομένην αὐτοῖς καί προσοῦσαν ἀσθένειαν συνιδεῖν ἤ καθομολογῆσαί ποτε πείθονται, ἀλλά καί πάντας ἄλλους ἀνθρώπους ὁμοίους ἑαυτῶν εἶναι καί ὑπό τῶν τοιούτων διαμαρτύρονται καταδουλοῦσθαι παθῶν· οὐ γάρ συγχωροῦνται ὑπό τῆς οἰήσεως καί τοῦ φθόνου μείζονα ποτε ἑαυτῶν ἐπ' ἀρετῇ καί σωφροσύνῃ προσμαρτυρῆσαί τινι.

Ἀλλά μή γένοιτο ἡμᾶς, τούς εὐτελεῖς καί τοῦ λέγειν ἀναξίους, περί τοιούτων οὕτω καθυποκρινομένους, καταψεύδεσθαι τῆς ἀληθείας καί διαβεβαιοῦσθαι περί ὧν οὐκ

ἔγνωμεν πείρᾳ μᾶλλον ἤ λόγοις εἰς ἡμᾶς αὐτούς τήν ἐνέργειαν τῶν μελλόντων ῥηθήσεσθαι πρότερον· ἅ δέ καταλαβεῖν ἠξιώθημεν καί μαθεῖν παρά τῶν ἐλλαμφθέντων ὑπό τῆς μακαρίας ἀπαθείας τόν νοῦν καί ἅ παρ' αὐτῆς, παραφρονοῦντες λαλοῦμεν, μυστικῶς ἀκηκόαμεν εἰς τό οὖς, ὡς ἀπερριμμένοι τινές καί τοῦ μηδενός ἄξιοι, κατά τήν ἄνωθεν κελεύουσαν χάριν ἐπί τῶν δωμάτων κηρύξομεν, ἵνα μή ὡς ὁ τό τάλαντον κατακρύψας δοῦλος κατακριθῶμεν. Καθάπερ οὖν ἠκούσατε λέγοντος τοῦ Δεσπότου· «*Πολλοί μέν κλητοί, ὀλίγοι δέ ἐκλεκτοί*» καί «*Ἐν τῇ οἰκίᾳ τοῦ πατρός μου μοναί πολλαί εἰσιν*», οὕτως εἰδέναι βούλομαι πάντας ὑμᾶς, ὅτι πολλοί μέν ἅγιοι, ὀλίγοι δέ ἀπαθεῖς· καί πρός τούτοις πολλή πάλιν ἐν ἀμφοτέροις ὑπάρχει διαφορά. Καί πρόσεχε ἀκριβῶς τῇ τῶν λεγομένων δυνάμει καί ἀκριβείᾳ.

Ἄλλο ὑπάρχει ἀπάθεια ψυχῆς καί ἕτερον ἀπάθεια σώματος· ἡ μέν γάρ καί τό σῶμα καθαγιάζει, ἡ δέ αὐτή μόνη καθ' ἑαυτήν οὐδέν τόν κεκτημένον ὀνίσησιν. Ἄλλο ἀκινησία τῶν τοῦ σώματος μελῶν καί τῶν παθῶν αὐτῶν τῆς ψυχῆς καί ἕτερον κτῆσις ἀρετῶν· ἡ μέν γάρ ἐκ φύσεως πρόσεστιν, ἡ δέ καί τάς φυσικάς ἁπάσας κινήσεις εἴωθε καταστέλλειν. Ἄλλο τό μή ἐπιθυμεῖν τινος τῶν τοῦ κόσμου τερπνῶν καί ἡδέων καί ἕτερον τό ἐφίεσθαι τῶν αἰωνίων καί οὐρανίων ἀγαθῶν, ἐπειδή τῶν μέν προτέρων ἄλλοι δι' ἄλλο τι καί πλείονες αὐτῶν κατεφρόνησαν, τῶν δέ δευτέρων ὀλίγοι παντελῶς ἐφρόντισαν. Ἕτερον μέν οὖν μή ζητεῖν ἐξ ἀνθρώπων δόξαν καί ἕτερον τό τῆς δόξης ἐκκρέμασθαι τοῦ Θεοῦ καί ταύτην ἀενάως ἐπιζητεῖν· τήν μέν γάρ καί ὑπό παθῶν ἄλλων πλεῖστοι κυριευθέντες ἀπώσαντο, τήν δέ ὀλίγοι λίαν κόπῳ καί πόνῳ πολλῷ λαβεῖν ἠξιώθησαν. Ἄλλο τό εὐτελεῖ ἐσθῆτι ἀρκεῖσθαι καί στολῆς λαμπρᾶς μή ἐπιθυμεῖν καί ἕτερον τό ἐνδεδῦσθαι τό φῶς τοῦ Θεοῦ· τῆς μέν γάρ ὑπό ἑτέρων μυρίων ἐπιθυμιῶν καθελκόμενοί τινες κατεφρόνησαν, τό δέ μόνοι περιβέβληνται οἱ τοῦ φωτός υἱοί καί τῆς ἡμέρας καταξιωθέντες γενέσθαι.

Ἄλλο τό ταπεινολογεῖν καί ἕτερον ταπεινοφρονεῖν· καί ἄλλο ταπείνωσις καί ἕτερον τό τῆς ταπεινώσεως ἄνθος καί ἕτερον ὁ ταύτης καρπός καί τό τοῦ καρποῦ ταύτης κάλλος καί ἡ ἡδύτης αὐτοῦ καί ἕτερον αἱ ἐκ τούτου ἐνέργειαι. Τούτων δέ τά μέν ἐφ' ἡμῖν, τά δέ οὐκ ἐφ' ἡμῖν εἰσι· καί τά μέν ἐφ' ἡμῖν τό πάντα νοεῖν, τό φρονεῖν, τό λογίζεσθαι, τό λέγειν καί πράττειν ὅσα πρός ταπείνωσιν ἡμᾶς φέρουσιν· ἡ δέ ἁγία ταπείνωσις καί τά λοιπά ταύτης ἰδιώματα καί χαρίσματα καί αἱ ταύτης ἐνέργειαι δῶρόν εἰσι Θεοῦ καί οὐ τῶν ἐφ' ἡμῖν εἰσιν, ἵνα μηδέ ἐν τούτῳ τις καυχήσηται· ὧν καί οὐδείς ποτε τυχεῖν καταξιωθήσεται, εἰ μή καλῶς τά ὅσα ἐφ' ἑαυτόν εἰσι σπέρματα καταβάληται.

Ἄλλο τό μή δάκνεσθαι μηδέ ὀργίζεσθαι ἐν ἀτιμίαις καί ὕβρεσι καί ἐν πειρασμοῖς καί θλίψεσι, καί ἕτερον τό εὐδοκεῖν ἐν αὐτοῖς. Ἄλλο τό εὔχεσθαι ὑπέρ τῶν τά τοιαῦτα ποιούντων εἰς ἡμᾶς καί ἄλλο τό ἀφιέναι αὐτοῖς καί ἕτερον τό ἀγαπᾶν αὐτούς ὡς εὐεργέτας ἀπό ψυχῆς καί ἕτερον τό νοερῶς ἀνατυποῦν τά πρόσωπα ἑνός ἑκάστου αὐτῶν καί ὡς γνησίους φίλους ἀπαθῶς αὐτούς κατασπάζεσθαι ἐν δάκρυσιν ἀγάπης εἰλικρινοῦς, ἴχνους ὅλως ἀηδίας τινός δηλόνοτι μή ἐμφωλεύοντος αὐτοῦ ἐν τῇ ψυχῇ. Μεῖζον δέ

τούτων ὧν εἴπομεν, ὅταν καί ἐν αὐτῷ τῷ τῶν πειρασμῶν καιρῷ τήν ἴσην κέκτηταί τις καί ὁμοίαν ἀναλλοιώτως διάθεσιν καί πρός αὐτούς τούς κατά πρόσωπον λοιδοροῦντας αὐτόν καί ἐνδιαβάλλοντας καί πρός πάντας ἄλλους τούς ἤ κατακρίνοντας αὐτόν ἤ ὑβρίζοντας ἤ καταδικάζοντας ἤ ἐμπτύοντας εἰς τό πρόσωπον, ἀλλά μήν καί πρός αὐτούς τούς ἐν προσχήματι μέν φιλίας ἔξωθεν διακειμένους, λαθραίως δέ τά αὐτά τοῖς εἰρημένοις διαπραττομένους μέν κατ᾽ αὐτοῦ, μή λανθάνοντας δέ. Τούτων δέ πάλιν ὑπέρτερον ἀσυγκρίτως εἶναι ὑπείληφα τό ἐν λήθῃ παντελεῖ τῶν ὧνπερ ἄν πάθοι τις γίνεσθαι καί μήτε ἀπόντων μήτε παρόντων τῶν λυπησάντων ἤ ἄλλως ἐμπαροινησάντων μεμνῆσθαί ποτε, ἐπίσης δέ μᾶλλον τοῖς φίλοις καί τούτοις προσφέρεσθαι δίχα τινός ἄλλου διαλογισμοῦ ἔν τε ὁμιλίαις, ἔν τε συνεστιάσεσι. Ταῦτα μέν οὖν ἅπαντα ἔργα καί πράξεις τῶν ἐν φωτί περιπατούντων ἀνδρῶν εἰσι· ὅσοι δέ ἔξω τούτων καί τῶν τοιούτων ἑαυτούς εἶναι καταμανθάνουσι, μή πλανάσθωσαν μηδέ ἐξαπατάτωσαν ἑαυτούς, ἀλλά βεβαίως εἰδέτωσαν ὅτι ἐν σκότει πορεύονται.

Καί πρός τούτοις ἄλλο τό φοβεῖσθαι τόν Θεόν καί ἕτερον τό ποιεῖν τάς αὐτοῦ ἐντολάς, καθώς γέγραπται· «*Φοβήθητε τόν Κύριον πάντες οἱ ἅγιοι αὐτοῦ*», καί πάλιν· «*Ἔκκλινον ἀπό κακοῦ καί ποίησον ἀγαθόν*». Ἄλλο ἀργία καί ἕτερον ἡσυχία καί ἄλλο σιωπή· ἔτι δέ ἄλλο ἀναχώρησις καί ἡ ἐκ τόπων εἰς τόπους μετάβασις, καί ἕτερον ἡ ξενιτεία. Ἄλλο ἀναμαρτησία καί ἕτερον ἡ τῶν ἐντολῶν ἐργασία. Καί ἐπί πᾶσι τούτοις ἕτερον τό ἀνθίστασθαι καί πολεμεῖν τοῖς ἐχθροῖς καί ἄλλο τό τελείως ἡττῆσαι καί ὑποτάξαι καί θανατῶσαι αὐτούς· τό μέν πρότερον ἀγωνιστῶν ἐστι καί ἁγίων, ἐάν ἐν τούτῳ φθάσωσι τελειωθῆναι, τό δέ δεύτερον, ἀπαθῶν καί τελείων, διά κόπων δηλονότι πολλῶν καί ἱδρώτων τούς ἑαυτῶν τροπωσαμένων ἐχθρούς καί τελείαν τήν κατ᾽ αὐτῶν ἀραμένων νίκην καί τήν ζωηφόρον τοῦ Κυρίου νέκρωσιν στολισαμένων λαμπρῶς.

Τοιγαροῦν καί πολλοί μέν πρός ταῦτα ἑαυτούς ἄλλος δι᾽ ἄλλο τι ἐπιδεδώκασιν, ὀλίγοι δέ λίαν οἱ μετά φόβου ἐμφύτου καί ἀγάπης τῆς πρός Θεόν μετά πίστεως ἀδιστάκτου τούτοις ἐπιχειροῦντες, οἵ καί μόνοι, ὑπό τῆς χάριτος βοηθούμενοι, συντόμως κατορθοῦσι τήν τῆς ἀρετῆς ἐργασίαν καί πρός τά προειρημένα πάντα προκόπτοντες καθ᾽ ὥραν προσεπεκτείνονται. Οἱ δ᾽ ἄλλοι «*ἀφίενται ὡς ἐν ἀβάτῳ*» κατά τό εἰρημένον «*περιπλανᾶσθαι καί οὐχ ὁδῷ*», περί ὧν γέγραπται· «*Ἐξαπέστειλα αὐτούς κατά τά ἐπιτηδεύματα τῶν καρδιῶν αὐτῶν· πορεύσονται ἐν τοῖς ἐπιτηδεύμασιν αὐτῶν*». «*Καθό γάρ οὐκ ἐδοκίμασαν τόν Θεόν ἔχειν ἐν ἐπιγνώσει, παρέδωκεν αὐτούς ὁ Θεός εἰς ἀδόκιμον νοῦν ποιεῖν τά μή καθήκοντα*». Οἱ οὖν καλόν τόν θεμέλιον τῆς πίστεως καί ἐλπίδος ἐν φόβῳ καί τρόμῳ ἐπί πέτραν ὑπακοῆς πνευματικῶν πατέρων καταβαλόντες καί ὡς ἐκ Θεοῦ στόματος τά παρ᾽ ἐκείνων ἐντελλόμενα τῷ θεμελίῳ τούτῳ τῆς ὑποταγῆς ἀδιστάκτως ἐποικοδομοῦντες εὐθύς κατορθοῦσι τό ἀπαρνήσασθαι ἑαυτούς. Τό γάρ μή τό ἑαυτοῦ ἀλλά τό τοῦ πνευματικοῦ πατρός αὐτοῦ θέλημα ἐκπληροῦν ἕνεκεν ἐντολῆς Θεοῦ καί γυμνασίας πρός ἀρετήν, οὐ μόνον ἀπάρνησιν ἑαυτοῦ, ἀλλά καί νέκρωσιν τήν πρός τόν κόσμον ἅπαντα ἐμποιεῖ.

Ἔπειτα ὡς ἐν ἐρήμῳ, μᾶλλον δέ ἔξω τοῦ κόσμου, ἐν αἰσθήσει τελείᾳ γενόμενος ὁ τοιοῦτος, ἀρρήτῳ φόβῳ καί τρόμῳ κατασχεθείς, βοᾷ πρός τόν Θεόν ἐξ ὅλης ψυχῆς, ὡς ὁ ἐκ Ἰωνᾶς ἐκ τοῦ κήτους, ὡς ὁ Δανιήλ ἐκ τοῦ λάκκου τῶν λεόντων, ὡς οἱ τρεῖς παῖδες ἐκ τῆς καμίνου τοῦ πυρός, ὡς ὁ Μανασσῆς ἐκ τοῦ χαλκουργήματος. Οὗ καί εἰσακούων ὁ πανάγαθος Δεσπότης εὐθύς, ὁ δούς τήν ψυχήν αὐτοῦ ὑπέρ ἡμῶν τῶν ἁμαρτωλῶν, τῶν κατωδύνων στεναγμῶν τῆς φωνῆς τῆς δεήσεως αὐτοῦ, ῥύεται αὐτόν, ὡς ἐκ κήτους μέν, ἐκ τοῦ βυθοῦ τῆς ἀγνοίας καί τοῦ σκοτασμοῦ τῆς φιλίας τοῦ κόσμου πρός τό μηκέτι αὐτόν πρός τά τοιαῦτα κἄν τῷ λογισμῷ ἐπιστρέψαι· ὡς ἐκ λάκκου δέ τῶν λεόντων, τῶν πονηρῶν ἐπιθυμιῶν τῶν ἁρπαζόντων καί κατεσθιόντων τάς τῶν ἀνθρώπων ψυχάς· ὡς ἐκ καμίνου δέ πυρός, ἐκ τῶν κατεχόντων πάντας ἀνθρώπους προλήψεων ἐμπαθῶν, τῶν ὡς πῦρ κατακαιόντων καί καταλυμαινομένων καί πρός ἀτόπους πράξεις βίᾳ ἑλκόντων ἡμᾶς καί τήν φλόγα τῶν παθῶν ἐν ἡμῖν ἀναπτόντων, καταδροσίζων ἐν Ἁγίῳ Πνεύματι καί ἀκατάφλεκτον ἀποτελῶν αὐτόν· ὡς ἐκ τοῦ χαλκουργήματος δέ, ἐκ τῆς γεώδους καί βαρείας καί ἐμπαθοῦς ἡμῶν ταύτης σαρκός, ἐν ᾗ οἰκοῦσα ἡμῶν ἡ ψυχή καί δεινῶς κατεχομένη καί πεδουμένη καί βαρουμένη, πρός πᾶσαν ἀρετήν καί ἐργασίαν τῶν ἐντολῶν τοῦ Θεοῦ ἀκίνητος ὑπάρχει παντάπασι καί ἀπρόθυμος. Ἐξ ἧς ἐλευθερουμένη μέν, οὐ χωριζομένη δέ, βοᾷ σύν τῷ προφήτῃ Δαυίδ καί αὐτή λέγουσα· «*Διέρρηξας τόν σάκκον μου καί περιέζωσάς με εὐφροσύνην, ὅπως ἄν ψάλλῃ σοι ἡ δόξα μου*». Οὐ μόνον δέ, ἀλλά καί εὐχαριστεῖ μετά Παύλου λέγουσα· «*Εὐχαριστῶ τῷ Θεῷ διά Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν, ὅτι ὁ νόμος τοῦ πνεύματος τῆς ζωῆς ἐν Χριστῷ Ἰησοῦ ἠλευθέρωσέ με ἀπό τοῦ νόμου τῆς ἁμαρτίας καί τοῦ θανάτου*».

Τούτων οὖν οὕτω Χριστοῦ χάριτι γενομένων, καί τῆς ἀγνοίας καί τοῦ σκοτασμοῦ τῆς φιλίας τοῦ κόσμου ῥυσθείς, ἵνα τά αὐτά πάλιν εἴπω, τῶν πονηρῶν τε καί αἰσχρῶν ἀπαλλαγείς ἐπιθυμιῶν καί ἀπό τοῦ θανάτου τοῦ σώματος, ὑπό τόν νόμον τῆς ἁμαρτίας καταδουλοῦντος ἡμᾶς, ἐλευθερωθείς, τί ἔκτοτε ὁ τοιοῦτος μέλλει ποιεῖν; Ἆρά γε τῇ ἐλευθερίᾳ ταύτῃ εἰς ἄνεσιν καί ἀμεριμνίαν χρήσεται; Ἄπαγε· δούλων ὄντως αἱ ὑπολήψεις αὗταί εἰσι καί οὐκ ἐλευθέρων· ὁ γάρ τῆς ἐλευθερίας ταύτης καταξιωθείς οἶδεν ὅτι ἠλευθερώθη ἀπό τοῦ νόμου τῆς ἁμαρτίας τοῦ μηκέτι δουλεύειν αὐτόν τῇ ἁμαρτίᾳ, ἀλλά δουλεύειν τῇ δικαιοσύνῃ, ὅς ἐστι Χριστός ὁ Θεός, ὁ δικαιοσύνης ἥλιος καί ὤν καί καλούμενος. Καί ἵνα ἐκ παραδείγματος δείξω ὑμῖν οἵαν μᾶλλον ἔκτοτε ἐπιδείκνυται πρός τόν Θεόν εὔνοιαν ὁ τοιοῦτος, ἐκ τῶν ἀνθρωπίνων καί εἰς ἡμᾶς ἀεί γινομένων παραστήσω αὐτήν.

Καθάπερ γάρ βασιλεύς τις, εὔσπλαχνος ὤν καί φιλάνθρωπος, δοῦλον ἑαυτοῦ ὑπό τυράννου τινός ἑκουσίως αἰχμαλωτισθέντα καί εἰς δουλείαν ὑπαχθέντα τῷ πηλῷ καί τῇ πλινθείᾳ καί τῷ βορβόρῳ θεασάμενος αὐτόν ἀνηλεῶς κακοπαθοῦντα καί ταῖς τοῦ πονηροῦ τυράννου ἐκείνου ἀκαθάρτοις ἐπιθυμίαις ὑπηρετούμενον, αὐτός ἐκεῖνος ἀφικνούμενος ἀφαρπάζει καί ἐλεύθερον τῆς αἰσχρᾶς ἐκείνης καί μοχθηρᾶς ἀποδείκνυσι λειτουργίας, καί τοῦτον ἀναγαγών ἐν τοῖς βασιλείοις ἀποκαθίστησι, μηδαμῶς ἐν μηδενί προσονειδίσας αὐτόν· ὁ δέ δοῦλος ἐκεῖνος, ὁ τοσούτων καί τηλικούτων ἀπαλλαγείς

ἀνιαρῶν, τῇ πρός τόν ἑαυτοῦ δεσπότην εὐνοίᾳ τῶν μή αἰχμαλωτισθέντων συνδούλων αὐτοῦ σπουδαιότερος ἐν ταῖς ἐντολαῖς τοῦ δεσπότου αὐτοῦ φανῆναι φιλοτιμεῖται, ὡς ἄν μείζονα καί τήν πρός αὐτόν ἀγάπην καί θερμοτέραν ἐπιδείξηται, διηνεκῶς μεμνημένος ὅσων ὑπ' αὐτοῦ ἐρρύσθη κακῶν· οὕτω μοι καί περί τοῦ ἀπολαύσαντος τῆς ἐπικουρίας Θεοῦ, καθάπερ εἴρηται, ὑπονόει. Καί καθάπερ ὁ βασιλεύς ἐκεῖνος εὐπροθύμως ὁρῶν καί μετά ταπεινώσεως πάσης τά θελήματα αὐτοῦ ἐκπληροῦντα τόν δοῦλον ἐκεῖνον, εἰ καί μηδέν δεῖται τῆς ὑπηρεσίας αὐτοῦ, πλήθη ἀναρίθμητα οἰκετῶν ἔχων, ἀλλ' ὅμως διά τήν εὐγνωμοσύνην αὐτοῦ ἀμέτρητον ἐπιδείξεται εἰς αὐτόν τήν ἀγάπην, οὕτω καί ἐν τοῖς εἰρημένοις ὑπολάμβανε. Οὔτε γάρ ὁ τῆς ἐλευθερίας τοῦ Πνεύματος ἀπό Θεοῦ ἀπολαύσας ἐνδώσει ποτέ τοῦ μή ἔτι καί ἔτι ποιεῖν τό θέλημα τοῦ Θεοῦ καί μετά θερμοτέρας τῆς προθυμίας, οὔτε ὁ αἰώνιος βασιλεύς καί Θεός ὑστερήσει αὐτόν τά ἀγαθά τῆς αἰωνίου ζωῆς τοῦ μή ἐπιδαψιλεύσασθαι ταῦτα ἐπ' αὐτῷ, καί τοσοῦτον ὅσῳ καί τήν πρός αὐτόν θεραπείαν ἐπιτείνοντα καθ' ἑκάστην βλέπει αὐτόν. Τῶν εὐεργεσιῶν δέ καί τῶν δωρεῶν τοῦ Θεοῦ, ὧν ποιεῖ εἰς τούς δούλους αὐτοῦ, οὐκ ἔστι μέτρον ἤ κατάληψις αὐτῶν παρ' ἡμῶν· καί τά μέν δίδωσιν αὐτοῖς, τά δέ δώσει.

Ἀλλά γάρ ἐξ ὧν δίδωσιν ἐνταῦθα τοῖς ἀγαπῶσιν αὐτόν ὁ φιλοικτίρμων Θεός, ὀλίγα τινά χρή πρός τήν ἡμετέραν ἀγάπην εἰπεῖν, τά μέν ἐκ τῶν θείων Γραφῶν, τά δέ ἐξ αὐτῆς τῆς πείρας καταλαβόντα. Ἐπειδήπερ διά τρία ταῦτα πᾶσαν σπουδήν καί μέριμναν οἱ ἄνθρωποι ἐπιδείκνυνται, φημί δή διά πλοῦτον, διά τιμήν, διά δόξαν καί τήν ἐξ αὐτῶν ἐγγινομένην ἡμῖν ἐλευθερίαν τε καί χαράν καί ἀπόλαυσιν, ἐν πρώτοις ὁ Δεσπότης ἡμῶν καί Θεός ταῦτα τοῖς πάντα ῥίψασι καί τόν σταυρόν ἄρασι καί κατά πόδας αὐτοῦ ἀνεπιστρόφως βαδίζουσι πλουσίως χαρίζεται· ἀντί φθαρτοῦ γάρ πλούτου αὐτός αὐτοῖς ὅλον ἑαυτόν δίδωσιν. Οἶδας τήν τοῦ ῥήματος δύναμιν; Ἤκουσας θαῦμα φρικτόν; Καθάπερ γάρ οἱ ἐν τῷ κόσμῳ πλούσιοι τόν πλοῦτον αὐτῶν ἐν οἵαις ἄν βούλωνται χρείαις καί ἐπιθυμίαις καί ἀπολαύσεσιν ἀναλίσκουσιν, οὕτω καί ὁ καλός ἡμῶν Δεσπότης ἑαυτόν δωρεῖται τοῖς γνησίοις δούλοις αὐτοῦ καί πᾶσαν αὐτῶν ἔφεσιν καί ἐπιθυμίαν, ὡς βούλονται καί ὑπέρ ὅ βούλονται, πληροῖ· καί ἐμπιπλᾶ αὐτούς ἀφθόνως παντός ἀγαθοῦ καί δαψιλῶς καί ἀδιαλείπτως ἐπιχορηγεῖ αὐτοῖς τήν ἄφθαρτον τρυφήν καί ἀέναον.

Καί πρῶτα μέν πληροῦνται ἀρρήτου χαρᾶς, ὅτι οὐχί τόν κόσμον οὐδέ τά ἐν τῷ κόσμῳ, ἀλλά τόν Ποιητήν τῶν ἁπάντων καί Κύριον καί Δεσπότην ἐκτήσαντο ἐν ἑαυτοῖς. Ἔπειτα ἐπενδύονται τό φῶς, αὐτόν τόν Χριστόν καί Θεόν, ὅλον ὅλῳ τῷ σώματι· καί ὁρῶσι κεκοσμημένους ἑαυτούς ἀρρήτῳ δόξῃ καί ἀστραπτούσῃ θείᾳ στολῇ καί τάς ὄψεις καλύπτουσιν ἑαυτῶν, μή φέροντες ὁρᾶν τήν ἀκατανόητον καί ἄστεκτον τῆς στολῆς αὐτῶν λαμπηδόνα, ὡς ἐπιζητεῖν αὐτούς τόπον ἀποκρυβῆς, ὅπως ἐκεῖσε γένωνται καί τό πολύ βάρος τῆς δόξης ἀποθῶνται. Εἶθ' οὕτως ὁ αὐτός Δεσπότης καί τροφή καί πόσις γίνεται αὐτοῖς ἀέναος καί ἀθάνατος· τοῖς μέν ὡς φωτοειδής μαζός τῷ τοῦ νοός αὐτῶν στόματι ἐμβαλλόμενος καθορᾶται καί θηλάζειν αὐτοῖς παρέχει, ὅσοι νήπιοι ἔτι κατά Χριστόν πέλουσι καί οὔπω στερεᾶς τροφῆς μεταλαβεῖν εἰσιν ἱκανοί, οἷς καί γίνεται ἅμα τροφή τε καί πόσις, τοσαύτην ἐμποιῶν αὐτοῖς τήν ἡδύτητα, ὡς μή βούλεσθαι, μᾶλλον δέ

μηδέ δύνασθαι, ὅλως ἀποσπασθῆναι αὐτοῦ· τοῖς δέ γε ἀπογαλακτισθεῖσι καθάπερ πατήρ φιλότεκνος προσφέρεται παιδαγωγῶν καί παιδεύων αὐτούς.

Ὥσπερ γάρ ὁ φιλόστοργος πατήρ συνεστίους μέν ποιεῖται τούς ἑαυτοῦ υἱούς, ἐπάν δέ περί τά μαθήματα αὐτῶν ἀμελῶς ἴδῃ διατεθέντας αὐτούς καί μετεωριζομένους ἔν τισιν ἀνωφελέσι πράγμασιν, ἐξωθεῖ τῆς ἑαυτοῦ τραπέζης καί τοῖς αὐτοῦ δούλοις παρακελεύεται μή δοῦναι αὐτοῖς τροφήν, παιδεύων αὐτούς μή καταφρονητάς εἶναι καί ἀμελεῖς, οὕτω καί ὁ καλός Δεσπότης ἡμῶν καί Θεός ἐν τοῖς δούλοις αὐτοῦ καί κατά φιλανθρωπίαν καί χάριν υἱοῖς διατίθεται· ἐπιδίδωσι γάρ ἑαυτόν αὐτοῖς, «*ὁ ἄρτος ὁ ἐκ τοῦ οὐρανοῦ καταβαίνων καί ζωήν διδούς τῷ κόσμῳ*»· καί ἐκ αὐτοῦ καί σύν αὐτῷ εἰς κόρον τρέφονται ἀενάως καί πρός ζωήν ἀΐδιον μεθαρμόζονται τῇ μεθέξει, καί ψυχήν καί σῶμα καθαγιαζόμενοι. Ὅτε δέ τῶν ἐντολῶν ἀμελήσουσι καί ῥᾳθύμως ἤ καταφρονητικῶς διατεθῆναι τῷ αὐτεξουσίῳ θελήσουσι καί πρός τι τῶν τοῦ κόσμου πραγμάτων ἀσχοληθῶσιν, ἀποκλίναντες εἰς ἀνωφελῆ καί τά μή προσήκοντα τῇ θεοσεβείᾳ, τότε ἀποστερεῖ αὐτούς ἑαυτόν ὁ τροφεύς τοῦ παντός. Ἀλλά γάρ εἰς συναίσθησιν ἐλθόντες τοῦ ἀγαθοῦ οὗ ἐστερήθησαν, ἐπιστρέψαντες αὖθις καί συνήθως τοῦτον ζητήσαντες καί μή εὑρόντες, κόπτονται, κλαίουσι καί ἑαυτούς ἀποδύρονται, πᾶσάν τε κακοπάθειαν ἑαυτοῖς ἐπιφέρουσι καί πᾶσαν θλῖψιν καί πάντα πειρασμόν καί ἀτιμίαν ἐπιποθοῦσιν, ὅπως ἴδοι ὁ φιλάνθρωπος τούτων πατήρ τάς θλίψεις αὐτῶν καί τήν ἐθελούσιον κάκωσιν καί ἐλεήσας αὐτούς ἐπιστρέψῃ καί αὖθις αὐτοῖς ἑαυτόν ἐπιδῷ· ὅ καί γίνεται. Καί εἰς τήν προτέραν οἰκειότητα καί δόξαν καί εἰς αὐτήν τῶν ἀγαθῶν τήν τρυφήν «*ἅ ὀφθαλμός οὐκ εἶδε καί οὖς οὐκ ἤκουσε καί ἐπί καρδίαν ἀνθρώπου οὐκ ἀνέβη*» μετά πλείονος τῆς παρρησίας ἀποκαθίστανται, εὐλαβούμενοι πλέον ἤ πρότερον τόν ἑαυτῶν πατέρα καί τρέμοντες ὡς δεσπότην, ὅπως μή τοῖς αὐτοῖς ἐξ ἀπροσεξίας καί αὖθις περιπαρῶσι κακοῖς καί τοῦ παναγάθου ἀπορριφῶσι πατρός.

Καί ταῦτα μέν οἱ ἐμπόνως μετανοοῦντες ποιοῦσιν ἅμα καί πράττουσι τῶν εἰρημένων ἐπιτυγχάνουσιν ἀγαθῶν. Ὅσοι δέ πρός τούς πόνους καί πρός τάς θλίψεις καί στενοχωρίας τῆς μετανοίας ἀπαγορεύσουσι, πρός ῥᾳθυμίαν δέ καί ἀνέσεις ἑαυτούς ἐπιδώσουσιν, ὡς ἀνάξιοι καί νόθοι υἱοί, μᾶλλον δέ εἰπεῖν ὡς καταφρονηταί, καί τάς τοῦ σώματος ἡδονάς ὑπέρ τά αἰώνια ἀγαθά καί ὑπέρ αὐτόν τόν Θεόν αὐτῶν προτιμήσαντες, οὐκέτι τῆς τρυφῆς ταύτης οὔτε μήν τοῦ ἐνδύματος τῆς τοῦ Θεοῦ δόξης καταξιοῦνται, ἀλλά καί τοῦ πλούτου τῆς χρηστότητος τοῦ Θεοῦ ἑαυτούς ἐνδίκως ἀποστεροῦσι καί κυσίν ὁμοιοῦνται ἀδεσπότοις. Καθάπερ γάρ οἱ ἀδέσποτοι κύνες ἐν ταῖς πλατείαις καί ῥύμαις τῆς πόλεως περιΐασιν, ἵν᾽ ὀστοῦν που ἤ δέρματος παλαιοῦ μέρος ἀπορριφέν λάβωσιν, ἤ καί κόπρον ἤ αἷμα λείξουσι σφαγέντων κτηνῶν, εἰ δέ καί θνησιμαῖον αὐτοῖς εὑρεθῇ, ἀκορέστως ἐσθίουσι και οὐ χωρίζονται τοῦ πτώματος πρότερον, ἀλλά καί τούς ἄλλους κύνας μαχόμενοι ἐκδιώκουσιν, ἕως ἄν οὐ τῶν ἐγκάτων μόνον ἀλλά καί αὐτά τά ὀστᾶ γυμνά τῶν νεύρων ἀποδείξωσιν, οὕτω καί οὗτοι ἐν ταῖς τῶν πλουσίων καί πενήτων θύραις ἀγυρτικῶς περιτρέχουσιν, ἵνα χρυσόν που ἤ ἄργυρον ἤ χαλκόν διδόμενον ἐγκολπώσωνται, ἐπεί τοῦ ἀληθινοῦ καί ἀρρεύστου πλούτου ἐξέπεσον· καί ὅταν τύχωσι

τοῦ σκοποῦ, τότε πρός ὀλίγον, ὡς κεκορεσμένοι καί μηδενός χρῄζοντες, οὕτω διάκεινται· ἐπάν δέ ὁ λιμός τῆς ἀπληστίας ἐξ ἀνελπιστίας αὐτούς καταλάβῃ, τῇ προτέρᾳ καί αὖθις ἀγυρτίᾳ ἑαυτούς ἐκδιδόασιν, ἐλεεινοί τῶν παρόντων, κἄν τοῦ κόσμου τόν πλοῦτον ἅπαντα κτήσωνται, ἐλεεινότεροι τῶν μελλόντων, ὅτι τήν αἰώνιοιν ζωήν ἑκουσίως ἀπώσαντο.

Ἐφανέρωσε γάρ αὐτοῖς ὁ Θεός τόν τῆς χάριτος αὐτοῦ πλοῦτον, εἰς τό εἶναι αὐτούς ἀναπολογήτους· καί τῆς ἐπουρανίου δωρεᾶς γεύσασθαι αὐτούς κατηξίωσε καί Πνεύματος Ἁγίου μετόχους πεποίηκε, καθά καί ὁ θεῖος Παῦλος ἀνέκραγεν· «*Οἱ δέ οὐχ ὡς Θεόν ἐδόξασαν*», ἤ ἠγάπησαν, ἤ τό ἄπειρον τῆς αὐτοῦ ᾐδέσθησαν ἀγαθότητος, «*ἤ αὐτῷ εὐχαρίστησαν, ἀλλ' ἐματαιώθησαν ἐν τοῖς διαλογισμοῖς αὐτῶν καί ἐσκοτίσθη ἡ ἀσύνετος αὐτῶν καρδία· φάσκοντες γάρ εἶναι σοφοί, ἐμωράνθησαν*». Οὐχ οὕτως δέ πάντες οἱ φοβούμενοι τόν Κύριον· ἀλλ' ὅσοι τάς τοῦ ἰδίου πατρός καί δεσπότου παιδείας ὡς εὐγνώμονες δοῦλοι καί ὡς υἱοί γνήσιοι μετά χαρᾶς ὑπενέγκωσι, λέγοντες· «*Παιδείαν Κυρίου ὑποίσω, ὅτι ἥμαρτον αὐτῷ*», καί ἄλλως· «*Οὐκ ἄξια τά παρόντα παθήματα πρός τήν ἀποκαλυπτομένην ἡμῖν δόξαν εἰσί*», καί οὕτως ἐμμείνωσι τῇ καθημερινῇ, ὡς ἔφημεν, παιδείᾳ καί διηνεκεῖ μετανοίᾳ, μή ἀποσκιρτῶντες ἤ πρός ταύτην ἀχθόμενοι, τῷ προειρημένῳ τρόπῳ παιδαγωγούμενοι, ἐν τῷ οἴκῳ τῷ πατρικῷ ἐστολισμένοι λαμπρῶς ἀεί διαμένουσι, συνέστιοι τῷ ἑαυτῶν πατρί γινόμενοι καί τήν δόξαν καθορῶντες αὐτοῦ καί τόν πλοῦτον ὅν κληρονομεῖν μέλλουσιν. Ὅταν δέ καλῶς ἀνατραφῶσι καί παιδευθέντες εἰς μέτρον ἡλικίας τελείου ἀνδρός καταντήσωσι, τηνικαῦτα καί ὁ πανάγαθος πατήρ πάντα τά ὑπάρχοντα αὐτῷ δίδωσιν εἰς τάς χεῖρας αὐτῶν.

Ἀλλά γάρ εἴπωμεν πρότερον τί τό μέτρον τῆς πνευματικῆς ἡλικίας καί τό ὕψος τοῦ πληρώματος τοῦ Χριστοῦ καί οὕτως περί τῶν ὑπαρχόντων τῷ Πατρί καί ὅπως δίδωσι ταῦτα εἰς τάς χεῖρας τῶν πιστευόντων αὐτῷ διέλθωμεν. Πρόσεχε οὖν τῇ δυνάμει τῶν ῥηθησομένων σοι συνετῶς.

Μέτρον ἡλικίας τοῦ πληρώματος τοῦ Χριστοῦ ταῦτά εἰσι πνευματικῶς θεωρούμενα· καί ἵνα κάτωθεν τήν ἀρχήν ταύτης ποιήσωμαι, πόδες αὐτῆς ἡ πίστις καί ἡ ἁγία ταπείνωσίς ἐστι, βάσις στερρά καί ἀκράδαντος. Σκέλη καί ἀστράγαλοι, κνῆμαι καί γόνατα καί μηροί, ἡ ἀκτημοσύνη, ἡ γυμνότης, ἡ ξενιτεία, ἡ διά Χριστόν ὑποταγή μετά γνώσεως, ἡ ὑπακοή καί ἡ εὐπρόθυμος δουλεία. Μέλη καί μόρια ἅ ἐγκαλύπτεσθαι χρεών, ἡ ἀδιάλειπτος εὐχή κατά νοῦν, ἡ ἐκ τῆς χύσεως τῶν δακρύων ἐγγινομένη ἡδύτης, ἡ χαρά τῆς καρδίας καί ἡ ἄφατος ταύτης παράκλησις. Νεφροί καί ὀσφύς, ἡ πρός τάς εὐχάς καί τάς συνάξεις στάσις καί καρτερία καί ἡ ἐκεῖθεν ἐγγινομένη πύρωσις τοῦ ἐπιθυμητικοῦ πρός θεωρίαν καί συνουσίαν Θεοῦ, καθώς ὁ θεῖος Δυΐδ ἀναγράφεται οὕτω λέγων· «*Πύρωσον τούς νεφρούς μου καί τήν καρδίαν μου*». Καί ὁ Παῦλός φησι· «*Στῆτε οὖν περιζωσάμενοι τάς ὀσφῦς ὑμῶν ἐν ἀληθείᾳ*». Καί τῶν ἀποστόλων ὁ κορυφαιότατος Πέτρος «*Διό, φησίν, ἀναζωσάμενοι τάς ὀσφῦς τῆς διανοίας ὑμῶν, νήφοντες τελείως,*

*ἐλπίσατε ἐπί τήν φερομένην ὑμῖν χάριν ἐν ἀποκαλύψει Ἰησοῦ Χριστοῦ, ὡς τέκνα ὑπακοῆς*». Χάριν, τήν τοῦ παναγίου Πνεύματός φησι δωρεάν, ἥτις συμμετόχους ἡμᾶς καί συγκοινωνούς Θεοῦ ἀπεργάζεται.

Κοιλία καί στόμαχος καί ἡ τῶν ἐνδοσθίων κατασκευή τό χωρητικόν ὑπάρχει καί νοερόν τῆς ψυχῆς ἐργαστήριον, ἐν ᾧ τό λογιστικόν ὡς καρδίαν μέσον νοήσεις, καί ἐν τῷ λογιστικῷ, τό ἐπιθυμητικόν τε καί θυμικόν· ἅ καί δίκην πλευρῶν, ψυῶν τε καί νεύρων καί πιμελῆς, ἡ πρᾳότης, ἡ ἁπλότης, ἡ ἀνεξικακία, ἡ συμπάθεια καί ἡ εὐλάβεια συνέχουσι καί συνδοῦσι, περιέπουσί τε καί συγκαλύπτουσι καί πρός τά ὁρώμενα οὐκ ἐῶσιν ἀποβλέπειν ἤ τινος ἐπιθυμεῖν τῶν ἐν αὐτοῖς, ἀλλ’ οὐδέ μνησικακεῖν συγχωροῦσιν ἤ φθονεῖν ἤ ζηλοῦν ἤ ὀργίζεσθαι ἤ ὁρᾶσθαι ταῦτά ποτε ὑπό τῶν ἀνθρώπων. Ὁρμῆς γάρ αὐτῶν ἐμπαθοῦς ὅλως πρός τά ἔξω μή γινομένης, κεκαλυμμένα διατηροῦνται· ἔνδοθεν δέ αὐτά καθ’ ἑαυτά ὄντα καί ἀσφαλῶς ὑφ’ ὧν εἰρήκαμεν φυλαττόμενα, τό μέν λογιστικόν διακρίνει καί διαιρεῖ τό χεῖρον ἀπό τοῦ κρείττονος καί δεικνύει τῶ ἐπιθυμητικῷ οἷς δεῖ σχετικῶς προσκεῖσθαι καί ἅ δεῖ ἀγαπᾶν καί ἅ χρεών ἀποστρέφεσθαι καί μισεῖν· τό δέ θυμικόν μέσον τούτων ὥσπερ τις ὑπηρέτης εὐγνώμων πάρεστι, τοῖς ἐκείνων ἐξυπηρετῶν βουλήμασι καί θελήμασι συνεργῶν, διεγείρων πρός ἀνδρείαν καί ἄμυναν τῶν βουλομένων ἀγαθῶν ἀνδρῶν ἤ πονηρῶν τήν ἐφ’ ἑκατέρᾳ τούτων ἐπί τοῖς πράγμασιν ἔνστασιν.

Ἐπεί δέ κρείσσων ἀσυγκρίτως τῶν ὁρωμένων ἁπάντων ὁ ταῦτα κατασκευάσας Θεός, ἀντί πάντων καί πρό πάντων εἰκότως ὁ λόγῳ τετιμημένος καί ἀθόλωτος, ὡς εἴπομεν, καί ἀσύγχυτον ἐκ τῶν ἐμπαθῶν προλήψεων κεκτημένος τόν νοῦν, τόν τῶν ἁπάντων ποιητήν καί δεσπότην προτιμήσει καί ἀγαπήσει καί πρός μόνον ἐκεῖνον ὅλον αὐτοῦ τό ἐπιθυμητικόν ἀνενέγκῃ, οἱονεί πως ὑποδεικνύων αὐτῷ καί λέγων· «*Ἄκουσόν μου καί ἴδε· ἅψαι φρικτῶς, γεῦσαι τῆς ἀκηράτου γλυκύτητος, τοῦ πνευματικοῦ ὀσφράνθητι μύρου καί γνῶθι ὡς οὐδείς τούτου ἐστίν ὡραιότερος ἤ τερπνότερος ἤ ἡδύτερος ἤ τό σύνολον δυνατώτερος ἤ ἐνδοξότερος, οὐ μήν ἀλλά γάρ οὐδέ ζωῶσαι ἤ ἀφθαρτῶσαι ἤ ἀπαθανατίσαι σε δυνάμενος*». Τοιγαροῦν καί ὅταν διά πάντων τούτων ἡ ἐπιθυμία πληρωθῇ τοῦ ἀνθρώπου, τηνικαῦτα καί ὅλον τό θυμικόν τῷ λογιστικῷ τε καί ἐπιθυμητικῷ συγκραθέν, ἕν τά τρία ἐν τῇ θεωρίᾳ τῆς τριαδικῆς ἑνάδος καί ἐν αὐτῇ τῇ τερπνότητι τοῦ ἑαυτῶν γίνονται δεσπότου. Οὐ γάρ ἐπιγινώσκεται ὅλως ἡ τριττή τότε τούτων διαίρεσις, ἀλλ’ εἰσίν ἐκ παντός ἕν. Ὁπηνίκα τότε τούτων διαίρεσις, ἀλλ’ εἰσίν ἐκ παντός ἕν. Ὁπηνίκα οὖν ἐκ μόνου τοῦ ἑνός καί ἀγαθοῦ τῇ ἁπλότητι, ἐπί τῇ τῶν πονηρῶν καί ἀγαθῶν πραγμάτων διακρίσει καί διαιρέσει, ἐπιστραφῶσιν αἱ δυνάμεις αὗται πρός τά ἐνταῦθα, τηνικαῦτα ἡ τούτων θέλησις καί διαίρεσις καί ἡ πρός τά ἐναντία τῶν θείων θελημάτων ἀποστροφή ἀδιαιρέτως δείκνυται· ἐν γάρ μόνοις τούτοις ἡ τοῦ θυμικοῦ κίνησις γίνεται.

Εἴχομεν ἔτι καί ἕτερα τούτων πλείονα περί στομάχου καί ἥπατος, περί τροφῆς, περί πόσεως, περί πείνης καί δίψης εἰπεῖν· ἀλλ’ ἵνα μή μακρόν ἀποτείνω τόν λόγον καί

ἔκφορα τά ἀνέκφορα ποιήσω τῶν λόγων τοῖς θηρευταῖς, τοῖς εἰθισμένοις πλουτεῖν ἐξ ἀλλοτρίων χρημάτων, κατελίπομεν ταῦτα τῇ σιωπῇ κεκαλυπτόμενα τοῖς διά τῆς πρακτικῆς γνώσεως ἐκζητεῖν βουλομένοις. Ἀλλ' ἐπί τό προκείμενον ἐπανέλθωμεν. Ἐπεί οὖν μέχρι γαστρός καί στομάχου τό σῶμα τῆς κατά Χριστόν διεπλάσαμεν ἡλικίας, χρεών καί μέχρι τῆς κεφαλῆς ἀνελθεῖν ἕως οὗ ἄρτιον καί σῶον αὐτό πνευματικῶς ἐκπληρώσωμεν.

Στῆθος τοιγαροῦν καί νῶτον, ὤμους, βραχίονας, χεῖρας ἤδη καί τράχηλον τούτῳ τῷ σώματι τῆς πνευματικῆς ἡλικίας συμπλάττομεν. Καί στῆθος μέν ἐπί τούτῳ νοήσεις τήν εὐσπλαγχνίαν, ἐν ᾗ οἱ μαστοί τῆς φιλανθρωπίας τό γάλα τῆς ἐλεημοσύνης ὀρφανοῖς καί χήραις καί πᾶσιν ἄλλοις ἀφθόνως προχέουσι κατά τόν λέγοντα ἅγιον· «*Ἀδελφοί, κτήσασθε σπλάγχνα οἰκτιρμῶν*». Ὅθεν τό γάλα τοῦτο τοῖς μαστοῖς χορηγεῖται καί ὅπως ἐργάζεται, ὑμῖν ἐάσω ζητεῖν. Νῶτον δέ, τό τά ἀλλότρια βάρη ἐφ' ἑαυτόν εὐπροθύμως αἴρειν καί τά στίγματα τοῦ Κυρίου Ἰησοῦ ἐν ἑαυτῷ περιφέρειν, καθώς φησιν ὁ Ἀπόστολος· «*Ὑμεῖς οἱ δυνατοί τά βάρη τῶν ἀδυνάτων βαστάζετε*», καί αὖθις· «*Τοῦ λοιποῦ κόπους μοι μηδείς παρεχέτω· ἐγώ γάρ τά στίγματα τοῦ Κυρίου Ἰησοῦ ἐν τῷ σώματί μου βαστάζω*». Καί ὁ Κύριος διά τοῦ προφήτου· « *Τῷ νῶτόν μου, φησί, δέδωκα εἰς μάστιγας καί τάς σιαγόνας μου εἰς ῥαπισμόν*». Ἅπερ, εἰ καί μή ἀπαντήσει καιρός τοῦ παθεῖν, ἀλλά χρή ἐλπίζειν ἀεί καί πρός ταῦτα καθ' ὥραν παρασκευάζεσθαι. Ὤμους δέ καί βραχίονας, τό ὑπομονητικόν τε καί καρτερικόν ἐν τοῖς πειρασμοῖς καί ταῖς θλίψεσι, δι' ὧν αἱ χεῖρες καί μεθ' ὧν ἐνεργεῖν δύνανται. Χεῖρας δέ φημι τό πρός πᾶσαν ὑπακοήν καί ἐργασίαν τῶν ἐντολῶν τοῦ Θεοῦ ἐνεργητικόν τε καί πρόθυμον, ἅτινα δίχα ὑπομονῆς καί καρτερίας πολλῆς οὐδείς οὐδαμῶς κτήσασθαι δύναται. Ἔχει δέ πρός ταύταις καί πνευματικάς χεῖρας ἡ ἡλικία αὕτη, δι' ὧν τούς μέν ὀλιγοψύχους παραμυθεῖται, τούς δέ καταπίπτοντας ἀνιστᾷ, τούς συντετριμμένους καταδεσμεῖ, ἔλαιον καί οἶνον ἐπιχέων αὐτοῖς, μεθ' ὧν καί ἄλλα πολλά λόγῳ καί ἔργῳ πρός τούς πλησίον καθ' ἑκάστην ποιεῖ καί αὐτοῦ τοῦ κρασπέδου ἅπτεται τοῦ δεσποτικοῦ καί ἄρτον προσφέρει τῷ Κυρίῳ αὐτοῦ καί τό ποτήριον δίδωσιν εἰς τάς χεῖρας αὐτοῦ. Καί οὕτω τρέφει τόν τρέφοντα νεύματι καί πᾶσαν πνοήν, τροφήν ἥν εἶπεν ἐκεῖνος ἐπιθυμεῖν καί ἐφίεσθαι· καί μακάριος ὁ εἰδώς ταῦτα καί ἔχων καί προσφέρων τῷ δεσπότῃ αὐτοῦ, ὅτι κἀκεῖνος ἀνακλινεῖ αὐτόν ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν, ὁ ἐπί τῶν Χερουβίμ ἐποχούμενος, καί περιζωσάμενος κατά τήν ἀψευδῆ ἐπαγγελίαν αὐτοῦ διακονήσει αὐτῷ. Τράχηλος δέ τοῦ σώματος τούτου ἡ ἀδίστακτός ἐστιν ἐλπίς.

Ἰδού οὖν ὅλον τό σῶμα ἀπηρτίσαμεν, Θεοῦ βοηθείᾳ καί χάριτι, ἀνδρός, ὡς οἶμαι, τελείου πάντα τά μέλη ὁλόκληρα ἔχον. Λείπεται τοιγαροῦν τούτῳ μόνη ἡ κεφαλή. Ἀλλ' ἴσως πάντα εἰπεῖν ἡμᾶς ἐλογίσασθε καί μηδέν μηδαμῶς ὑστερηκέναι, ὡς ἀρκούντων δῆθεν καί τῶν εἰρημένων εἰς ὁλοκληρίαν ἀρετῆς καί σωτηρίαν ψυχῆς. Οὐκ ἔστι δέ τοῦτο, οὐκ ἔστιν. Ὥσπερ γάρ τό σῶμα, ἔχον πάντα τά μέλη, τῆς δέ κεφαλῆς ἐστερημένον, νεκρόν ἐστιν εἰς ἅπαν καί ἀνενέργητον, καί πάλιν ἡ κεφαλή δίχα τοῦ λοιποῦ ὅλου σώματος αὐτή μέν καθ' ἑαυτήν κεφαλή ἐστι, κεχωρισμένη δέ τούτου

τυγχάνουσα τάς ἑαυτῆς ἐνεργείας δεικνύειν οὐ δύναται, οὕτω μοι νόει καί εἰς τό ὑφ' ἡμῶν διά τῆς συνεργείας τοῦ Ἁγίου Πνεύματος κατασκευασθέν πνευματικόν σῶμα γίνεσθαι καί ὅτι ἅπερ εἴπομεν πάντα δίχα κεφαλῆς ἕωλά εἰσι καί ἀνωφελῆ, εἰ καί πολλοί ἐπί τῇ τούτων ἐργασίᾳ καί μερικῇ κτήσει ὡς τό πᾶν κατορθώσαντες ἀφρόνως διάκεινται καί νεκροί ὄντες οὐκ ἐπαισθάνονται οὗ ἀπεστέρηνται ἀγαθοῦ. Τά μέν γάρ εἰρημένα, εἰ καί διῃρημένως εἰς ὑπόδειγμα καί γνῶσιν τρανότερον διηγησάμεθα, ἀλλ' ἄνευ τῆς κεφαλῆς καί τῆς εἰς ἄλληλα φυσικῆς συναφείας συστῆναι ταῦτα καί κραταιωθῆναι ἀδύνατον. Καθάπερ γάρ σῶμα παιδίου μικροῦ ἐστερημένον τῆς ἑαυτοῦ κεφαλῆς οὐκ ἐνδέχεται αὐξηθῆναί ποτε, ἀλλ' ἀμφότερα ἡνωμένα ὄντα καί τήν ἐξ ἀλλήλων τροφήν δεχόμενα, εἴτ' οὖν τό σῶμα διά τοῦ στόματος καί ἡ κεφαλή πάλιν διά τῆς ἀναπεμπομένης ὑγρότητος ἀπό τοῦ σώματος, οὕτω τρέφεται καί αὔξεται ὅλος ὁ ἄνθρωπος, τό αὐτό μοι μετά τό ἐπιτεθῆναι τῷ πνευματικῷ σώματι τήν κεφαλήν κατανόησον καί ὄψει γινόμενον. Καί ἵνα σοι σαφέστερον τοῦτο ποιήσωμαι, ἐπανάληψιν ποιουμένου μου τῶν εἰρημένων ἀκριβῶς ἄκουε.

Ἔχεις τοιγαροῦν πίστιν καί ταπείνωσιν τάς βάσεις τῶν ἀρετῶν καί ἐπί ταύταις τάς ἀρετάς πάσας, ἅς ἔφθην εἰπών, ἐποικοδομηθείσας, δι' ἅς ὅλον δηλονότι κατεσκευάσθη τό σῶμα καί μέχρι τραχήλου ἀπετελέσθη, ὅπερ ἐστίν ἡ ἐλπίς· ἥτις τοῦ μέν λοιποῦ ὑπερανέστηκε σώματος, αὐτή δέ μόνη καθ' ἑαυτήν μή συναφθεῖσα τῇ κεφαλῇ συννενέκρωται τοῖς λοιποῖς τοῦ σώματος μέλεσιν, μή ἔχουσα ὅθεν εἰς πνοήν ἤ ἀναπνοήν τοῦ ζωοποιοῦντος καί κινοῦντος τό σῶμα καί τά μέλη Πνεύματος δέξασθαι καί τροφῆς ὅλως ἀφθάρτου μεταλαβεῖν. Διά δή τοῦτο, ἵνα μή ἀτελές τό τῆς ἡλικίας Χριστοῦ μέτρον ἐάσωμεν, ὥσπερ κεφαλήν τῷ ὄντι τήν ἁγίαν ἀγάπην ἐπιτίθεμεν ἐπ' αὐτῇ, οὐκ ἀφ' ἑαυτῶν τοῦτο νοήσαντες ἤ συσκευάσαντες, ἄπαγε, ἀλλ' ἐκ τοῦ Ἁγίου ἐκείνου Πνεύματος διδαχθέντες, οὗ εἶχεν ὁ εἰπών· «*Μένει δέ τά τρία ταῦτα, πίστις, ἐλπίς, ἀγάπη· μείζων δέ πάντων ἡ ἀγάπη*», καί αὖθις· «*Ἐάν ἔχω πᾶσαν τήν πίστιν, ὥστε ὄρη μεθιστάνειν, καί ἐάν ἔχω πᾶσαν τήν γνῶσιν καί εἰδῶ τά μυστήρια πάντα καί ἐάν ψωμίσω πάντα τά ὑπάρχοντά μοι καί ἐάν ταῖς γλώσσαις τῶν ἀνθρώπων λαλῶ καί τῶν ἀγγέλων καί ἐάν παραδῶ τό σῶμά μου ἵνα καυθήσωμαι, ἀγάπην δέ μή ἔχω, οὐδέν ὠφελοῦμαι*». Ἡ γάρ πίστις διά τῆς ἐλπίδος μεσιτευούσης ὑπό τῆς ἁγίας ἀγάπης ἀοράτως καί ἀνεπαισθήτως, ἐν τοῖς νηπίοις ἔτι λέγω, προθυμουμένη καί διδασκομένη καί ἱκανουμένη, πάντα τά προειρημένα ἐπιτελεῖ· ἐπιτελοῦσα δέ τρέφει καί θεραπεύει καί αὐξάνειν ποιεῖ διά τῶν τοιούτων τήν κεφαλήν, αὐτήν, φημί, τήν ἀγάπην· αὕτη δέ θεραπευομένη καί αὐξάνουσα, πλείονα κατά ἀναλογίαν παρέχει τῷ λοιπῷ τῶν ἀρετῶν σώματι τήν ἰσχύν καί τοῖς ἔμπροσθεν προσεπεκτείνεσθαι παρασκευάζει θερμότερον.

Καί οὕτως αὐξάνουσι κατά μικρόν ὅλα τά μέλη τοῦ πνευματικοῦ σώματος, ὥσπερ ὀστοῦν πρός ὀστοῦν καί ἁρμονία πρός ἁρμονίαν, ὑπό τῆς ἁγίας ἀγάπης συντιθέμενα καί συναρμολογούμενα καί συνδούμενα. Ἡ δέ ἀγάπη αὕτη, εἴτ' οὖν ἡ κεφαλή [πάντων] τῶν ἀρετῶν ἐστίν ὁ Χριστός καί Θεός, ὅς διά τοῦτο κατῆλθεν ἐπί τῆς γῆς καί γέγονεν ἄνθρωπος, μεταλαβών τῆς ἡμετέρας γεώδους σαρκός, ἵνα μεταδῷ τῆς αὐτοῦ θεότητος

οὐσιωδῶς ἡμῖν καί πνευματικούς ἡμᾶς ἐργασάμενος καί ἀφθάρτους ἀποτελέσας εἰς οὐρανούς ἀνενέγκῃ. Αὕτη ἐστίν ἡ ἀγάπη ἥν λέγει ὁ θεῖος Ἀπόστολος ὅτι ἐκκέχυται πλουσίως ἐν ταῖς καρδίαις ἡμῶν, ἤγουν ἡ μετουσία καί μέθεξις τῆς θεότητος αὐτοῦ, δι' ἧς ἑνούμεθα τῷ Θεῷ. Περί ταύτης καί ὁ Ἰωάννης φησίν ὁ θεολόγος· «*Ἡ τελεία ἀγάπη ἔξω βάλλει τόν φόβον*», καί ὅτι· «*Ὁ φοβούμενος οὐ τετελείωται ἐν τῇ ἀγάπῃ*», καί πάλιν· «*Ἴδετε ποταπήν ἀγάπην δέδωκεν ἡμῖν ὁ Πατήρ, ἵνα τέκνα Θεοῦ κληθῶμεν*». Ἀγάπην ἐνταῦθα τό τοῦ Θεοῦ Ἅγιον καλεῖ Πνεῦμα, δι' οὗ καί τήν υἱοθεσίαν ἀπολαμβάνομεν.

Ταύτην οὖν τήν ἀγάπην οὐδείς ἀνθρώπων ἰδεῖν ἤ λαβεῖν ἤ συναφθῆναι ἠδυνήθη, εἰ μή τήν εἰς Χριστόν πίστιν, ὡς εἴπομεν, στερράν ἐτήρησε καί ἀκράδαντον καί ἐπί ταύτῃ τῇ πίστει τάς εἰρημένας ἁπάσας πράξεις ἐπῳκοδόμησεν ἐν σπουδῇ· ὁ δέ γε μή θεασάμενος, μήτε συναφθείς αὐτῇ, μήτε τῆς γλυκύτητος αὐτῆς μετασχών, οὐδέ ἀγαπῆσαι ταύτην ἀξίως δύναται. Ὅν γάρ οὐκ ἴδῃ τις, πῶς ἀγαπᾶν αὐτόν δύναται; «*Ὁ γάρ μή ἀγαπῶν τόν ἀδελφόν αὐτοῦ, φησίν, ὅν ἑώρακε, τόν Θεόν ὅν οὐχ ἑώρακε πῶς δύναται ἀγαπᾶν;*» Πάλιν δέ εἰ μή ἐξ ὅλης ψυχῆς, ἐξ ὅλης καρδίας, κατά τάς φυσικάς ἐννοίας καί κατά τήν προσοῦσαν ἡμῖν φιλικήν ἀγάπησιν καί διάθεσιν, ἀγαπήσει αὐτόν πρότερον, ἰδεῖν οὐ καταξιοῦται αὐτόν. «*Ὁ ἀγαπῶν με γάρ, εἶπεν, ἀγαπηθήσεται ὑπό τοῦ Πατρός μου*», καί τότε ἐπιφέρει· «*καί ἐγώ ἀγαπήσω αὐτόν καί ἐμφανίσω αὐτῷ ἐμαυτόν*». Ἐξ ὧν δείκνυται φανερῶς ὅτι, ἐάν μή πρότερον ἐξ ὅλης αὐτοῦ τῆς ψυχῆς ἀγαπήσῃ τις τόν Θεόν καί τήν πρός αὐτόν ἀγάπην ἐν τῇ ἀπαρνήσει ἑαυτοῦ καί τοῦ κόσμου παντός ἐπιδείξηται, τῆς αὐτοῦ ἐμφανείας ἐν ἀποκαλύψει Πνεύματος Ἁγίου μυστικῶς οὐκ ἀξιοῦται οὐδέ τήν κεφαλήν ἑαυτοῦ αὐτόν κέκτηται, ἀλλά σῶμά ἐστι νεκρόν ἐν τοῖς πνευματικοῖς ἔργοις, τήν ζωήν τῶν ἁπάντων ἐστερημένον, Χριστόν.

Οἱ γοῦν ἀξιωθέντες αὐτῷ συναφθῆναι καί κεφαλήν αὐτόν κτήσασθαι, πρόσεχε τῷ λόγῳ, παρακαλῶ, γίνονται καί οὗτοι θέσει θεοί, ὅμοιοι τῷ Υἱῷ τοῦ Θεοῦ. Ὤ τοῦ θαύματος! Ἐνδύει γάρ αὐτούς ὁ Πατήρ τήν πρώτην στολήν, τό τοῦ Κυρίου ἱμάτιον ὅ πρό καταβολῆς κόσμου ἐνεδιδύσκετο. «*Ὅσοι γάρ, φησίν, εἰς Χριστόν ἐβαπτίσθητε, Χριστόν ἐνεδύσασθε*», δηλονότι τό Ἅγιον Πνεῦμα ὅ καί ἀλλοιοῖ θεοπρεπῶς ὅλους αὐτούς ξένην τινά καί ἄρρητον καί θείαν ἀλλοίωσιν περί ἧς φησιν ὁ Δαυίδ· «*Αὕτη ἡ ἀλλοίωσις τῆς δεξιᾶς τοῦ Ὑψίστου*», καί ὁ ἐπιστήθιος μαθητής τοῦ Χριστοῦ, «*Ἀδελφοί, νῦν τέκνα ἐσμέν· ἀλλ' οὔπω, φησίν, ἐφανερώθη*» τοῖς ἐν τῷ κόσμῳ δηλονότι «*τί ἐσόμεθα· οἴδαμεν δε*» ἐκ τοῦ Πνεύματος οὗ δέδωκεν ἡμῖν «*ὅτι, ἐάν φανερωθῇ, ὅμοιοι αὐτῷ ἐσόμεθα*». Καί οὐ τοῦτο μόνον, ἀλλά χαρίζεται αὐτοῖς καί τόν νοῦν τοῦ Χριστοῦ, ὑπέρ κεφαλῆς αὐτῶν λάμποντα, μυστήρια αὐτοῖς ἀποκαλύπτοντα ἅ οὐκ ἐξόν γλώσσῃ φθέγξασθαι ἀνθρωπίνῃ. Πρός τούτοις δίδωσιν αὐτοῖς καινούς ὀφθαλμούς καί καινήν ἀκοήν. Καί τί τά πολλά θέλω λέγειν; Ἀδύνατον γάρ πάντα εἰπεῖν. Ὅλος αὐτός ἐκεῖνος ὁ τοῦ Θεοῦ Λόγος μετά Πατρός καί Πνεύματος οἰκεῖ ἐν αὐτοῖς· γίνεται οὖν ἕκαστος τῶν τοιούτων ναός ἐν αἰσθήσει καί γνώσει Θεοῦ καί τηνικαῦτα μετά παρρησίας λέγων βοᾷ· «*Ζῶ μέν οὐκέτι ἐγώ, ζῇ δέ ἐν ἐμοί ὁ Χριστός*», καί αὖθις· «*Ὅτε ἤμην νήπιος, ὡς νήπιος ἐφρόνουν, ὡς νήπιος ἐλάλουν, ὡς νήπιος ἐλογιζόμην· ὅτε δέ γέγονα ἀνήρ, κατήργηκα τά*

*τοῦ νηπίου*». Διά τοῦτο πάντα στέγω, πάντα ὑπομένω· καί λοιδορούμενος εὐλογῶ καί παρακαλῶ βλασφημούμενος καί ἀνέχομαι διωκόμενος, «*ἵνα ἐπισκηνώσῃ ἐν ἐμοί, φησίν, ἡ δύναμις τοῦ Χριστοῦ*».

Αὕτη τοιγαροῦν ἡ τελεία τῶν πνευματικῶν ἀνδρῶν ἀτέλεστος ἡλικία· τελεία μέν, κατά τό ἡμῖν ἐφικτόν λέγω, ἀτέλεστος δέ, ὅτι ἡ τελειότης αὐτῆς ἐν τῷ Θεῷ ἀποκεκρυμμένη ἐστί, πλήρωμα δέ ταύτης ὁ ὑπέρ Χριστοῦ καί τῶν ἐντολῶν αὐτοῦ θάνατος, ἵνα ὥσπερ ἐκεῖνος ἅπαντα μέν τόν νόμον ἐτέλεσεν, ὑπέρ παντός δέ τοῦ κόσμου παρέδωκεν ἑαυτόν, σταυρόν καί θάνατον ὑπομείνας, εὐχόμενος καί ὑπέρ τῶν σταυρωσάντων αὐτόν καί λέγων· «*Ἄφες αὐτοῖς, πάτερ, τήν ἁμαρτίαν ταύτην· οὐ γάρ οἴδασι τί ποιοῦσιν*», οὕτω καί ἡμεῖς ὑπέρ ἐκείνου καί τῶν αὐτοῦ ἐντολῶν, ἀλλά μήν καί ὑπέρ τῆς σωτηρίας τῶν ἀδελφῶν ἡμῶν τό ἀπόκριμα τοῦ θανάτου ἐν ἑαυτοῖς ὀφείλομεν περιφέρειν, «*ἵνα μή ὦμεν πεποιθότες ἐφ' ἑαυτοῖς, ἀλλ' ἐπί τῷ Θεῷ τῷ ἐγείροντι τούς νεκρούς*». Εἰ γάρ καί μή συναντήσει τοῦτο ἡμῖν τό βιαίῳ θανάτῳ τόν βίον ὑπεξελθεῖν, ἀλλά τῇ προαιρέσει, ὡς ἔργῳ τοῦτο ἤδη παθόντες καί ὑπομείναντες, λογισθήσεται ἡμῖν ὑπό τοῦ φιλανθρώπου Θεοῦ ἡμῶν καί ἀγωνοθέτου κατά τόν λέγοντα ἅγιον· «*Νή τήν ὑμετέραν ἀγάπην, καθ' ἡμέραν ἀποθνῄσκω*». Οὐχ ὡς τῇ πείρᾳ τοῦτο πολλάκις παθών, ἀλλά τῇ προθέσει, φησί, καί πάλιν· «*Διώκω εἰ καί καταλάβω, ἐφ' ᾧ καί κατελήφθην*». Ἔτι δέ καί ὑπέρ πάντων ὀφείλομεν τῶν δι' ἥντινα αἰτίαν λυπούντων ἤ λοιδορούντων ἡμᾶς καί ὑπέρ τῶν ἐχθρωδῶς πρός ἡμᾶς ἐκ πονηρᾶς προθέσεως διακειμένων ἀεί, ἀλλά καί ὑπέρ τῶν πιστῶν ἁπάντων καί ἀπίστων προσεύχεσθαι, ὡς ἄν οἱ τῆς πλάνης ἀπαλλαγῶσι καί τῇ ἀληθινῇ πίστει προσέλθωσι.

Ταῦτα οὐδείς ποτε ἀνθρώπων ἐννοῆσαι ἀφ' ἑαυτοῦ ἤ εἰπεῖν ἤ ἀκοῇ παραδέξασθαι, μή ὅτι γε ἔργῳ αὐτά διαπράξασθαι ἠδυνήθη, εἰ μή ἡ ἀγάπη τοῦ Θεοῦ πρότερον ἐξεχύθη πλουσίως ἐν τῇ καρδίᾳ αὐτοῦ καί ἔνοικον ἔσχε δι' αὐτῆς τόν εἰπόντα· «*Οὐ δύνασθε χωρίς ἐμοῦ ποιεῖν οὐδέν*». Ἀλλ' οὐδέ τῆς τοιαύτης χάριτος καί δωρεᾶς ἔτυχέ τις, εἰ μή πρότερον ἑαυτόν ἀπηρνήσατο, καθώς ἐνετείλατο ὁ Σωτήρ καί ἡμεῖς λεπτότερον ἐδηλώσαμεν, τῷ Κυρίῳ δηλονότι ἐν ὅλῃ καρδίᾳ εὐπροθύμως δουλεύσας καί ἀγαπήσας αὐτόν. Εἰ δέ μή ταύτην ἀναφαίρετον εἴληφε, μηδείς ἑαυτόν ἀπατάτω, γινωσκέτω δέ τοῦτο, ὡς οὐδέ τῆς μετά Θεοῦ ἑνώσεως τῆς ἐν νοερᾷ αἰσθήσει καί γνώσει καί θεωρίᾳ γινομένης κατηξιώθη ἤ καταξιωθήσεται πώποτε. Οἱ γάρ χρηματίσαντες ἄνδρες τέλειοι ἐν τῇ μεθέξει τῆς τοῦ Θεοῦ χάριτος καί τήν πνευματικήν ἡλικίαν ἐν τῷ ῥηθέντι μέτρῳ τελείαν κτησάμενοι ὅλοι γίνονται μετά τοῦ Θεοῦ, ὁρῶντες αὐτόν τοσοῦτον ὅσον ὁρῶνται καί αὐτοί ὑπ' αὐτοῦ. Μένει γάρ γνωστῶς ὁ Θεός ἐν αὐτοῖς καί αὐτοί γνωστῶς ἐν τῷ Θεῷ μένουσιν ἀχωρίστως καί ἀδιαστάτως.

Ὁπηνίκα δέ οὕτως ἕξουσι τελειωθέντες καλῶς, τηνικαῦτα καί ὁ Πατήρ αὐτῶν ὁ οὐράνιος τά ὑπάρχοντα αὐτῷ δίδωσιν εἰς τάς χεῖρας αὐτῶν. Χεῖρας δέ τό ἀσφαλές καί πεπληροφορημένον νοήσεις· ὑπάρχοντα δέ αὐτοῦ ταῦτά εἰσιν· τό ἀθάνατον, τό ἄφθαρτον, τό ἄτρεπτον, τό ἀναλλοίωτον, τό ἀΐδιον, τό ἀμήχανον κάλλος τῆς δόξης ἧς

εἶχεν ὁ Υἱός πρό τοῦ τόν κόσμον γενέσθαι παρά τῷ Θεῷ καί Πατρί, καθώς φησιν αὐτός ὁ Λόγος καί Υἱός τοῦ Πατρός· «*Δόξασόν με σύ, πάτερ, τῇ δόξῃ ᾗ εἶχον πρό τοῦ τόν κόσμον εἶναι παρά σοι*», καί πάλιν· «*Τήν δόξαν ἥν δέδωκάς μοι δέδωκα αὐτοῖς, ἵνα ἕν ὦσι, καθώς σύ, Πάτερ, ἐν ἐμοί κἀγώ ἐν αὐτοῖς*». Ἐξ οὗ πηγάζει τό φῶς τό ἀπρόσιτον μέν τοῖς ἁμαρτωλοῖς ἅπασι, προσιτόν δέ ἐν αὐτοῖς ἀνατέλλον καί γινόμενον τούτοις χαρά ἀνεκλάλητος, εἰρήνη πάντα νοῦν ὑπερέχουσα, τρυφή καί ἀπόλαυσις καί εὐφροσύνη ἐν ἀκορέστῳ κόρῳ νῦν καί εἰς τούς ἀτελευτήτους αἰῶνας. Καί ἵνα συνελών εἴπω, μᾶλλον δέ εἰπεῖν μή δυνάμενος, οὕτω πως κἀγώ ἐκπληττόμενος, τάς ἀπαρχάς τῶν ἀγαθῶν ἐκείνων ἁπάντων, ὧν ὀφθαλμός τεθολωμένος τοῖς πάθεσι τό κάλλος οὐκ εἶδεν, οὐδέ οὖς βεβυσμένον τῇ ἀγνωσίᾳ ἤκουσεν, οὐδέ ἐπί καρδίαν ἀκάθαρτον ἀνέβη ἀνθρώπου, ἅ ὁ Θεός ἡτοίμασε τοῖς ἀγαπῶσιν αὐτόν, ὡς ἀρραβῶνας ἀπ᾽ ἐντεῦθεν ἤδη τοῖς πιστοῖς ὁ ἀψευδής καί πιστός δίδωσι.

Ταῦτα οὖν εἰσιν ἅ προϋπεσχόμην ὑμῖν εἰπεῖν ὑπάρχοντα εἶναι τοῦ Πατρός. Καί οὕτω ταῦτα δίδωσιν, ὡς ἠκούσατε, τοῖς ἀγαπῶσιν αὐτόν καί διάγουσιν ἐν τῇ γῇ καθάπερ ἐν οὐρανῷ, καί οὖσιν ἐν τῷ θανάτῳ ὡς ἤδη τῇ ἀθανασίᾳ τετιμημένοι, καί ἐν τῷ σκότει περιπατοῦσιν ὡς ἐν ἡμέρᾳ καί ἐν ἀδύτῳ φωτί· ἐν δέ τῷ βορβορώδει τούτῳ σώματι ἀναπνέουσιν, ὡς ἐν τῷ τῆς τρυφῆς παραδείσῳ κεκτημένοι τό τῆς ζωῆς ξύλον ἐν μέσῳ, ναί μήν καί αὐτήν τήν τῶν ἀγγέλων τροφήν, τόν οὐράνιον ἄρτον, ἐξ ὧν πᾶσαι αἱ ἄϋλοι δυνάμεις τῶν οὐρανῶν τρεφόμεναι ἀκηράτως ζωοῦνται· οἵ καί στρεφόμενοι ἐν μέσῳ τοῦ κόσμου καί τῶν ἐν τῷ κόσμῳ πραγμάτων βοῶσιν ἐν ἀληθείᾳ μετά τοῦ Παύλου· «*Ἡμῶν δέ τό πολίτευμα ἐν οὐρανοῖς ὑπάρχει*», ἔνθα πέλουσα ἡ ἁγία ἀγάπη, συγγινομένη τοῖς ἑαυτῆς ἐρασταῖς καί πλουσίως αὐτούς περιλαμποῦσα, ἀπαθεῖς καί τῷ ὄντι ἀγγέλους ἐργάζεται. Ὁ οὖν πρό τοῦ συναφθῆναι αὐτῇ καί συγκραθῆναι ὁλοτελῶς ἀπαθῆ ἑαυτόν ὀνομάζων, ἤ διδάσκων ἑτέρους, ἤ τά τῶν ἀπαθῶν ἔργα πράττειν ἐπιχειρῶν, ἤ πάλιν τά ὑπ᾽ ἐκείνων πραττόμενα ἀπιστῶν, νηπίῳ ἔοικεν ἁπαλῷ, ἐν ἀώρῳ τῇ ἡλικίᾳ τά τῶν ἀνδρῶν ὅπλα αἴροντι καί ἑτέρους περί πολέμου διδάσκειν ἐπαγγελλομένῳ, οὐ μόνον δέ, ἀλλά καί ἑαυτόν συνεξισοῦντι καί παρενείροντι τοῖς ἀνδράσι καί πολεμισταῖς καί πρός πόλεμον ἀπιέναι σύν αὐτοῖς ἐπιχειροῦντι. Ὅπερ οὐκ ἀδύνατον μόνον ἐστίν, ἀλλά καί πολλοῦ γέλωτος ἄξιον· ὑπ᾽ αὐτῶν γάρ ὧν ἐπιφέρεται ὅπλων συμποδισθήσεται πάντως καί καταβληθήσεται καί συντριβήσεται καί οὐδέ ἀναστῆσαι ἴσως δυνήσεται. Καί εἰκότως· οὐκ οἶδε γάρ ὅτι οἱ ἐν πολέμῳ πληττόμενοι καί καταβαλλόμενοι ἐξεγείρονται πάλιν καί ἐμπειρότεροι γίνονται καί κραταιότερον τοῖς ἐχθροῖς ἀντιμάχονται. Εἰ γάρ δειλόν ἄνδρα μή ἐξιέναι εἰς πόλεμον τῷ Μωϋσῇ ὁ Θεός διετάξατο, πόσῳ γε μᾶλλον νηπίῳ ἔτι καί μηδέ ἀφ᾽ ἑαυτοῦ περιπατεῖν ἤ ζώννυσθαι δυναμένῳ ἁρμόσει τήν ἀνδρῴαν ἡλικίαν ἐκδέξασθαι καί μή πρό τούτου τοῖς ἀδυνάτοις ἐπιχειρεῖν.

Ὅμως μέντοι ἐπειδή «*οὐκ ἔστιν ἡμῖν ἡ πάλη πρός αἷμα καί σάρκα, ἀλλά πρός τάς ἀρχάς, πρός τάς ἐξουσίας, πρός τούς κοσμοκράτορας τοῦ σκότους τοῦ αἰῶνος τούτου, πρός τά πνευματικά τῆς πονηρίας ἐν τοῖς ἐπουρανίοις*», οὐδέ τά ὅπλα ἡμῶν σαρκικά καί ὁρώμενα, ἀλλά πνευματικά καί νοούμενα, ὑπάρχει δέ καί ὁ πόλεμος οὗτος ἀόρατος,

ἀοράτως πρός ἀοράτους ἐχθρούς γινόμενος, διά τοῦτο πάντες οἱ δοκοῦντες εἶναί τι ἑαυτούς ἐπιδείκνυνται τοῖς ἀνθρώποις τολμηρούς περί ταῦτα καί ἀνδρείους καί περί τήν ἐξήγησιν τῆς τοιαύτης πάλης καί τῆς ἀντιπαρατάξεως λίαν ἐμπείρους, ἀλλά μήν καί αὐτῆς τῆς ἥττης καί νίκης τῶν πονηρῶν σοφούς καί ἐπιστήμονας καί διδακτικούς. Ὅθεν καί ὡς μονομάχοι τινές καί νικηταί τῶν ἐχθρῶν διά τῆς κενολογίας καί ἀπάτης τῶν συλλογισμῶν τοῖς πᾶσι γνωρίζεσθαι σπεύδουσιν· οἵ, καί ἐλεγχόμενοι καί ὑπό τοῦ οἰκείου συνειδότος κατακρινόμενοι ὡς ἄπρακτοι καί τοῦ τοιούτου πολέμου ἄπειροι, οὐ δύνανται συγκαταθέσθαι καί τήν ἑαυτῶν ἀσθένειαν καί ἀπειρίαν καθομολογῆσαι ὑπό φιλοδοξίας καί ἀνθρωπαρεσκείας κατακρατούμενοι· λίαν γάρ τῆς δόξης ἐκπεσεῖν τῶν ἀνθρώπων φοβοῦνται.

Ἐπειδή γάρ οὐ βλέπονται κατά ψυχήν τοῖς πλησίον ὁποῖοί ποτ᾽ ἄν εἰσιν, οὐδέ παρά τῶν ἀνθρώπων καταλαμβάνονται ὅτι γυμνοί τυγχάνουσι τῶν τοῦ Πνεύματος ὅπλων, οὐδέ ὅτι ἀσθενεῖς ἔτι καί νήπιοί εἰσι, κρύπτουσιν ἑαυτούς τῷ κωδίῳ τῆς ὑποκρίσεως καί τῇ δορᾷ τοῦ προβάτου· καί τοῦτο τοῖς πᾶσι διά τῆς χρηστολογίας φαίνεσθαι βούλονται ὅπερ οἱ τήν κατά Χριστόν ἡλικίαν διά πόνων κτησάμενοι αὐτοί, μηδέ τάς βάσεις ἴσως τῆς πίστεως καί ἐλπίδος ἐπί τήν πέτραν ἐρείσαντες, μηδέ τήν οἰκοδομήν τῶν ἀρετῶν ἐπί τόν θεμέλιον Χριστόν ἀνυψώσαντες. Διά δή τοῦτο ἀμφίβολοι ἔτι καί ἀδόκιμοι ὄντες, τῇ ἐπιφορᾷ τῶν πειρασμῶν καί τῇ καταιγίδι τῶν λογισμῶν ὠθούμενοι, συμποδίζονται καί σκελιζόμενοι ἐλεεινῶς καταπίπτουσιν. Εἰ γάρ ἐβλέποντο τοῖς πᾶσιν οἷοί εἰσιν οἱ τήν μόρφωσιν τῆς εὐσεβείας μόνην οἷα δή σκηνήν περικείμενοι, οὐδέ στῆναι εἰς πρόσωπον ὅλως ἀνθρώπου ἠδυνήθησαν ἄν, οὐδέ ὀφθῆναι, ὡς οἶμαι, τινί· καί μάλιστα οἱ προὔχειν δοκοῦντες τῶν ἄλλων ἐν γνώσει καί λόγῳ καί τόν βασιλικόν οἰόμενοι χαρακτῆρα ἐν ἑαυτοῖς ἐπιφέρεσθαι, οἵ καί ὡς σοφοί καί εὐλαβεῖς καί σώφρονες παρά τῶν πολλῶν τιμώμενοι καί σεβόμενοι οὐδέν ἧττον κατά τάς ἀφανεῖς κινήσεις τῆς ψυχῆς τῶν τήν κακίαν πολυτελῶν διαφέρουσιν.

Ἀλλ᾽ ἄγε δή καί τήν δόξαν τῶν ὄντως ἁγίων καί ἀπαθῶν ἀνδρῶν οἱ βουλόμενοι διδαχθῆναι θελήσατε, οἱ ταύτης ἐφιέμενοι δηλαδή καί ταύτην ἐπικτήσασθαι ἐπιποθοῦντες θερμῶς· εἰκόνα γάρ ὑμῖν φράσω παριστῶσαν αὐτῶν τήν τῶν ὅπλων περιβολήν καί τήν ἐκείνων λαμπρότητα καί γνώσεσθε, ἕκαστος ἑαυτόν τοῖς ἁγίοις ἐκείνοις συγκρίνων, ἐν οἵοις ἐστέ καί ὅσον τῆς ἐκείνων ἀνδρείας ὁμοῦ καί ἀξίας καί δυνάμεως πάντες ἀπολειπόμεθα.

Ἀλλ᾽ ἄγε δή καί τήν δόξαν τῶν ὄντων ἁγίων καί ἀπαθῶν ἀνδρῶν οἱ βουλόμενοι διδαχθῆναι θελήσατε, οἱ ταύτης ἐφιέμενοι δηλαδή καί ταύτην ἐπικτήσασθαι ἐπιποθοῦντες θερμῶς· εἰκόνα γάρ ὑμῖν φράσω παριστῶσαν αὐτῶν τήν τῶν ὅπλων περιβολήν καί τήν ἐκείνων λαμπρότητα καί γνώσεσθε, ἕκαστος ἑαυτόν τοῖς ἁγίοις ἐκείνοις συγκρίνων, ἐν οἵοις ἐστέ καί ὅσον τῆς ἐκείνων ἀνδρείας ὁμοῦ καί ἀξίας καί δυνάμεως πάντες ἀπολειπόμεθα.

Τοιγαροῦν ἐννόησόν μοι τόν οὐρανόν οἷος ὑπάρχει ἐν αἰθρίᾳ καί ἀνεφέλῳ νυκτί καί βλέπε μοι ἐν αὐτῷ τόν τῆς σελήνης δίσκον ὅλον πεπληρωμένον τό εἰλικρινές καί καθαρώτατον φῶς, κύκλῳ δέ ταύτης τόν πολλάκις γινόμενον κύκλον περί αὐτήν· καί σκοπήσας ταῦτα καλῶς, μετάβηθι τῷ νῷ καί πρός ὅ μέλλω πάλιν εἰπεῖν. Τῶν ἁγίων ἐοίκασιν ἕκαστος, ἔτι ἐν σώματι ὄντες, οὐρανῷ, ἡ δέ καρδία αὐτῶν τῷ δίσκῳ ἔοικε τῆς σελήνης. Ἡ δέ ἁγία ἀγάπη τό παντουργόν ὑπάρχει καί παντοδύναμον φῶς, πολύ τοῦ ἡλιακοῦ τούτου φωτός καί ἀσυγκρίτως λαμπρότερον ἥτις ἁπτομένη τῶν καρδιῶν αὐτῶν καί καθάπερ τό τῆς σελήνης φῶς, ἀλλ᾽ ὁλόφωτος ἀεί διά σπουδῆς καί ἀγαθοεργίας τῶν ἁγίων συντηρουμένη. Ἡ δέ ἁγία ἀπάθεια, ὥσπερ κυκλοειδής στέφανος καί ὡς σκηνή μέσον αὐτούς περιφέρουσα καί περιέπουσα, σκέπει πάντοθεν καί περιφρουρεῖ καί ἀτρώτους ἀπό πάσης ἐννοίας πονηρᾶς, μή ὅτι γε ἁμαρτίας, διατηρεῖ, καί ἀβλαβεῖς καί ἐλευθέρους ἐκ πάντων ἐχθρῶν ἀποκαθιστᾷ· οὐ μόνον δέ, ἀλλά καί ἀπροσίτους αὐτούς τοῖς ὑπεναντίοις ἐργάζεται.

Εἴδετε δόξαν οἱ ταύτην ὄντως ποθοῦντες; Συνήκατε τῆς λεχθείσης εἰκόνος τό μέγεθος καί ὅσον ἕκαστος ἡμῶν τῆς τῶν ἁγίων δόξης καί λαμπρότητος ὑστερεῖ; Ἡ γάρ εἰκών αὕτη τύπος τῶν ἐν ἡμῖν τελουμένων ἐστίν, οὐχ ὑφ᾽ ἡμῶν ἐπινοηθεῖσα, μή γένοιτο, ἀλλ᾽ ὑπό τοῦ Θεοῦ προϋποστᾶσα καί γενομένη. Ἐν γάρ τῇ κτίσει ὁ τεχνίτης Θεοῦ Λόγος ὡς ἐν πίνακι προεζωγράφησε τά ὕστερον μέλλοντα εἰς σωτηρίαν ἡμῶν καί ἀνάπλασιν γίνεσθαι, ἵνα τόν τύπον ἐν τοῖς αἰσθητοῖς φαινόμενον βλέποντες μή ἀπιστήσωμεν ὅτι καί ἐν τοῖς καθ᾽ ἡμᾶς πνευματικῶς τελεῖται καί περαιοῦται ἡ ὄντως ἀλήθεια, ἀλλ᾽ εἰδότες ὅτι ἕκαστος ἡμῶν δεύτερος κόσμος ὑπό Θεοῦ, μέγας ἐν τῷ μικρῷ τούτῳ κόσμῳ καί ὁρωμένῳ, παράγεται, καθά μοι καί τις τῶν θεολόγων συμμαρτυρεῖ, μή χείρονες ἐν μηδενί φανῆναι θελήσωμεν τῶν εἰς διδασκαλίαν ἡμῶν γενομένων ἀλόγων ἤ καί ἀψύχων ὑπό τοῦ φιλανθρώπου Θεοῦ, ἀλλά τά μέν καλά ζηλώσωμεν ἅπαντα, τῶν δέ ἐναντίων τήν μίμησιν φύγωμεν ὅση δύναμις.

Καί ἵνα τἆλλα παρήσω ὄντα, τοῦτο μόνον εἰς ὑπόμνησιν ὑμῶν λέξας, καταπαύσω τόν λόγον. Ἴστω πᾶς ὁ ἀκούων ὅτι, ὥσπερ ἀπό νυκτός ἡμέραν καί ἀπό ἡμέρας πάλιν νύκτα γινομένην ὁρῶμεν, οὕτω πιστεύειν χρεών καί πεπεῖσθαι ὅτι οἱ ἐν σκότει τῆς ἁμαρτίας ὑπάρχοντες καί ἐν τούτῳ ἀπό γεννήσεως διατελοῦντες δυνάμεθα διά πίστεως καί τῆς τῶν ἐντολῶν ἐργασίας εἰς ἡμέραν θείαν καί φωτισμόν πνευματικόν ἀναχθῆναι, καθά ῥᾳθυμίᾳ πάλιν καί καταφρονήσει καί ἀμελείᾳ τοῖς προτέροις κακοῖς περιπίπτομεν καί ὑπό τήν νύκτα τῆς ἁμαρτίας γινόμεθα. Δεῖ οὖν ἡμᾶς ἐν τούτῳ τόν ὑπηρέτην ἡμῶν μιμεῖσθαι, εἰ μή τινα ἄλλον, καί θεράποντα ἥλιον. Καθάπερ γάρ ἐκεῖνος οὐδέποτε παύεται τοῦ ἀνατέλλειν καί ἐπιλάμπειν, ἀλλά τό τοῦ Δεσπότου ἀενάως ἐκπληροῖ πρόσταγμα, οὕτω καί ἡμεῖς μή θελήσωμεν διά ἀμελείας ἐν τῷ σκότει καθῆσθαι τῶν ἡδονῶν καί παθῶν· τό πρόσταγμα δέ μᾶλλον τοῦ εἰπόντος· «*Μετανοεῖτε· ἤγγικε γάρ ἡ βασιλεία τῶν οὐρανῶν*» φυλάσσοντες, διά τῆς καθημερινῆς καί ἀδιαλείπτου μετανοίας καί τῶν ἐξ αὐτῆς καί δι᾽ αὐτῆς προχεομένων δακρύων καί πάσης ἄλλης ἀγαθοεργίας ἐκκαθαιρόμενοι, πρός τό ἀνέσπερον φῶς ὡς υἱοί φωτός ἐπανέρχεσθαι σπεύσωμεν. Οὕτω γάρ καί αὐτοί πάλιν

ἡμεῖς ἡμέρα ἄϋλος καί γῆ καινή καί καινοί οὐρανοί, τόν τῆς δικαιοσύνης ἥλιον λάμποντα ἐν ἑαυτοῖς ἔχοντες, διά τοῦ ὑποδείγματος τοῖς πλησίον ἡμῶν χρηματίσομεν, τά τοῦ θεοῦ δηλονότι προστάγματα καί τήν δόξαν αὐτοῦ οὐ λόγοις κενοῖς καί ματαίοις, ἀλλ᾽ ἔργοις αὐτοῖς διηγούμενοι, ἔμπρακτοι διδάσκαλοι ἐν παντί καί ἐν πᾶσι γινόμενοι τοῖς ἀμελεστέροις τῶν ἀδελφῶν καί ἀναπολογήτους αὐτούς ἐργαζόμενοι.

Μή δή οὖν εἰς ῥαθυμίαν ἐνάγωμεν τούς πλησίον ἐν τῷ λέγειν· «*Πῶς ἄρα τοῦτο ἤ πῶς ἐκεῖνο δυνατόν παρά ἀνθρώπων κατορθωθῆναι;*», κἀκ τούτου ὀκνηροτέρους ποιῶμεν αὐτούς εἰς τήν ἐργασίαν τῶν ἐντολῶν. Ὅτι μέν γάρ τά πολλά τοῖς πολλοῖς ἀδύνατα, σύμφημι κἀγώ, ἐν τοῖς κατ᾽ ἐμέ ῥαθύμοις καί καταφρονῆσαι τοῦ κόσμου καί σκύβαλα τά ἐν αὐτῷ πάντα ἡγήσασθαι μή προαιρουμένοις, τοῖς τῇ ματαίᾳ δόξῃ προσκειμένοις καί πλούτου ὀρεγομένοις καί ἐπαίνοις καί τιμαῖς ἐνηδομένοις ταῖς ἐξ ἀνθρώπων, τοῖς οἰήσει μετά τούτων καί τύφῳ ἀθλίως κεκρατημένοις. Παρήσω γάρ, τό γε νῦν ἔχον, ἐθελουσίως τούς ἐγκαλινδουμένους χοίρων δίκην εἰς τά βορβορώδη τῶν κακῶν τῆς ἁμαρτίας πράγματα, οἵ τήν οἰκίαν τῆς ψυχῆς κενήν περιφέροντες τοῦ ἐνοικοῦντος ἐν τοῖς πιστοῖς καί οὕτω καθ᾽ ἑκάστην βοῶντος· «*Ἐν τῷ κόσμῳ θλῖψιν ἕξετε· ἀλλά θαρσεῖτε, ἐγώ νενίκηκα τόν κόσμον*», τῷ ἐναντίῳ συντάττονται. Ἐν ἐκείνοις γάρ τοῖς διά πίστεως καί τῆς ἑαυτῶν ἀπαρνήσεως τῷ Χριστῷ καί Θεῷ πίστει καί ἀγάπῃ καί ταπεινώσει ἀκολουθήσασι καί αὐτόν σύν Πατρί καί Πνεύματι ἐν ἑαυτοῖς κτησαμένοις πάντα δυνατά καί ῥᾴδια γίνονται κατά τόν εἰρηκότα ἐν Πνεύματι· «*Πάντα ἰσχύω ἐν τῷ ἐνδυναμοῦντί με Χριστῷ*». Ὅν οἱ πεπλουτηκότες ὁρῶσιν ἀοράτως αὐτοῦ τοῦ Θεοῦ τό ἄφραστον κάλλος· κρατοῦσιν ἀνεπάφως, κατανοοῦσιν ἀκατανοήτως τό ἀνείδεον εἶδος αὐτοῦ, τήν ἄμορφον μορφήν καί τό ἀσχημάτιστον σχῆμα ἐν ἀθεάτῳ θέᾳ καί ἀσυνθέτῳ κάλλει ἀποικίλτως πεποικιλμένον.

Τί δέ ἐστιν ὅ κατανοοῦντες ὁρῶσι; Τό ἁπλοῦν τῆς θεότητος αὐτό φῶς αὐτό τοῖς νοεροῖς ὀφθαλμοῖς ὁρῶσι πλουσίως, ὅ καί ψηλαφῶντες ἀΰλοις χερσίν ἀκατασχέτῳ τῷ ἔρωτι, ἀνεστίως ἐσθίουσιν ἐν πνευματικῷ τῷ τοῦ νοός καί τῆς ψυχῆς αὐτῶν στόματι, οὗ τῆς θεωρίας τοῦ κάλλους καί τῆς γλυκύτητος ὅλως κορεσθῆναι οὐδέποτε δύνανται. Ἀεί γάρ, τό καινότερον, προσθήκην ἡδύτητος βλύζει καί τήν ἐπιθυμίαν αὐτῶν ἐκκαίει σφοδρότερον· εἰ δέ ποτε μή πάλιν αὐτοῖς τρανότερον φαίνοιτο, ὡς τοῦ ὅλου στερισκόμενοι διάκεινται, εἰ δέ καί κρυβῆναι τελείως κἄν πρός μικρόν ἐθελήσειε, πόθου ἀρρήτου πόνον δριμύν καί ἀφόρητον ἐν αὐτοῖς ἀπεργάζεται.

Ἀλλά γάρ τοῦ τοιούτου πόθου ἐν παραδείγματι τήν ἀνάγκην καί τήν φλόγα κατανοήσωμεν. Νόει μοι ἐρωμένην κόρην πτωχῷ τινι, ἐκ βασιλικοῦ μέν τυγχάνουσαν γένους καί βασιλικῷ κατεστεμμένην τῷ διαδήματι, ὡραιοτέραν τε οὖσαν πασῶν τῶν ἐπί γῆς γυναικῶν καί ἔνδοθεν ὑπάρχουσαν τοῦ κοιτῶνος αὐτῆς, τόν δέ ταύτης ἐρῶντα ἔξωθεν προσπελάζοντα, οἷα δή ἀπερριμμένον διά πτωχείαν καί ἄκραν εὐτέλειαν. Εἰ τοίνυν ἐκ μικρᾶς καί στενοτάτης ὀπῆς ἡ κόρη, μόνην χρυσῷ πεπυκασμένην τήν χεῖρα ἔξωθεν ἐκτείνασα, τῷ ἐραστῇ ἐπιδώσει, κἀκεῖνος ταύτης δραξάμενος καί τό ἀμήχανον

κάλλος αὐτῆς κατανοῶν κατασπάζεται αὐτήν, ὡς συμβασιλεῦσαι καί συναφθῆναι αὐτῇ προσδοκῶν, τοῦτο ἐκείνης μεθ’ ὅρκων ὑπισχνουμένης αὐτῷ, εἶτα αἴφνης ἐκ τῶν ἐκείνου χειρῶν τήν αὐτῆς ἡ κόρη χεῖρα ἁρπάσασα συστείλῃ πρός ἑαυτήν καί ἀποκρύψει τελείως, οὐχί θλῖψιν ἀφόρητον αὐτῷ προξενήσει καί τήν τοῦ πόθου μᾶλλον ἔκκκαυσιν περισσοτέραν ἐκ τούτου τῷ τοιούτῳ σφοδρῶς ἀπεργάσεται; Οἶμαι, συμμαρτυρήσετέ μοι τῷ λόγῳ τοῦ ὑποδείγματος καί ὑμεῖς.

Εἰ δέ ἐν ὁρωμένοις καί αἰσθητοῖς σώμασιν ὁμοῦ καί πράγμασιν οὕτω ταῦτα συμβαίνειν εἴωθε, φθειρομένοις οὖσι καί ταχέως παρερχομένοις, πόσῳ γε μᾶλλον ἐν τοῖς νοητοῖς ἀοράτοις τοῦτο συμβήσεται, ἀφθάρτοις οὖσι καί ἀϊδίοις· ὅσῳ γάρ κρείττονα τῶν προσκαίρων εἰσί τά αἰώνια ἀγαθά, τοσοῦτον ἀναλόγως καί τόν ἔρωτα ἐμποιοῦσι σφοδρότερον ἐν ταῖς τῶν ἐρώντων ψυχαῖς· ὅθεν οὐδέ ἐᾷ τούτους ὁ πόθος τοῦ Θεοῦ ἐπιθυμίᾳ ἤ προσπαθείᾳ ἔν τινι κρατηθῆναι κἄν ὁπωσοῦν. Οὐ δόξης γάρ, οὐ τρυφῆς, οὐ χρημάτων οὗτοι ἐφίενται, ἀλλ’ οὐδέ σωμάτων ἔρωτος προσψαῦσαι ὅλως κατά νοῦν συγκεχώρηνται· ἀλλά καθάπερ ὁ τήν ἐκ χρωμάτων κατασκευασθεῖσαν ἄψυχον εἰκόνα τῆς νύμφης νυμφίος ὁρῶν ταύτῃ πρόσκειται καί ἐνατενίζει διηνεκῶς καί βούλεται ὁρᾶν αὐτήν, ἀναφλέγων τόν πόθον αὐτοῦ καί τήν ἐπιθυμίαν τήν πρός αὐτήν, ἐπάν δέ αὐτήν ἐκείνην τήν νύμφην παραγενομένην θεάσηται, οὐ κατά τήν τῆς εἰκόνος μορφήν οὖσαν, ἀλλ’ ἀσυγκρίτῳ καί ἀφράστῳ κάλλει ἀμώμητον τό εἶδος κεκτημένην τῆς εὐπρεπείας, καί ταύτην κατασπάσηται καί περιπλακῇ, οὐκέτι ὅλως ἀνέχεται πρός τήν εἰκόνα ταύτης ἐναπιδεῖν σχετικῶς, τό αὐτό δή μειζόνως πάσχουσι καί οἱ ἐκ μεγέθους καί καλλονῆς τῶν ὁρωμένων κτισμάτων τήν δύναμιν καί τήν σοφίαν τοῦ γενεσιουργοῦ ἀναθεωροῦντες καί εἰς ἀγάπην καί πίστιν τήν πρός αὐτόν καί εἰς φόβον ἐκ τούτων ἁγνόν κατά προκοπήν ἀναγόμενοι. Ὁπότε γάρ αὐτῷ ἐκείνῳ οὐσιωδῶς τῷ Θεῷ ἑνωθῶσι καί τῆς ἐκείνου θέας καί μεθέξεως ἀξιωθῶσιν, οὐκέτι τῇ εἰκόνι τῶν ποιημάτων, οὐδέ τῇ σκιᾷ τῶν ὁρωμένων ἐμπαθῶς ἤ προσπαθῶς, ἤ σχετικῶς προσανέχουσι. Τῆς διανοίας γάρ αὐτῶν ἐν τοῖς ὑπέρ αἴσθησιν ἐμφιλοχωρούσης καί οἱονεί ἀνακιρναμένης καί λαμπρότητα θείας φύσεως μεταμφιεννυμένης, οὐκέτι τήν αἴσθησιν πρός τά ὁρώμενα καθά καί πρότερον κέκτηνται.

Τοῦτο οὖν τό μακάριον πάθος, μιμήσομαι γάρ ἐν τούτῳ τόν εἰπόντα· «*Ὡσπερεί τῷ ἐκτρώματι ὤφθη κἀμοί*», καί ἡμεῖς οἱ ἀπερριμένοι, φιλανθρωπίᾳ Θεοῦ καί χάριτι, διά πολλῶν δεήσεων παθεῖν ἠξιώθημεν, δι’ οὗ καί τῶν εἰρημένων ἁπάντων τήν πεῖραν ἐν αἰσθήσει καί ὁράσει καί γνώσει μυστικῶς διδαχθέντες καί λαβόντες ὁμοῦ εἰς ὠφέλειαν καί προτροπήν τῶν ἐκζητεῖν τόν Θεόν καί αὐτόν εὑρεῖν βουλομένων ταῦτα γραφῇ παρεδώκαμεν. Συναλγήσατε οὖν ἡμῖν καί συνεύξασθε οἱ ἐκ τοῦ παρόντος λόγου καρπούμενοι τήν ὠφέλειαν καί πρός τό ὕψος τούτου πρακτικῶς ἀνελθεῖν προαιρούμενοι, ὅπως ταῖς πρός Θεόν ὑμῶν εὐπροσδέκτοις δεήσεσι μή μόνον ἄσβεστος ἐν ἡμῖν ὁ τοῦ θείου πόθου πυρσός διατηρηθῇ, ἀλλά καί σφοδρότερον μᾶλλον φλογός ἀναφθῇ καί ἀμώμους ἡμᾶς καί ἀμέμπτους καί ἀσπίλους διατηρήσῃ ὁ ἀπό γῆς εἰς οὐρανούς ἀναβιβάσας καί δοξάσας τό γένος ἡμῶν τῶν ἀνθρώπων. Ναί μήν ἐπί πλεῖον συγκολλήσει καί τρανῶς συνενώσει καί συγκραθῆναι γνωστῶς ἀξιώσει ὅλον με ὅλῳ ἑαυτῷ καί ὑμῖν,

ἐν ἀμίκτῳ μίξει καί συναφείᾳ ἀφράστῳ κατά τάς ἀψευδεῖς ὑποσχέσεις αὐτοῦ, ᾧ πρέπει πᾶσα δόξα τιμή καί προσκύνησις, σύν τῷ Πατρί καί τῷ παναγίῳ αὐτοῦ Πνεύματι, νῦν καί ἀεί καί εἰς τούς ἀτελευτήτους αἰῶνας τῶν αἰώνων· ἀμήν.

## ΛΟΓΟΣ Ε΄ Περί τῶν οἰομένων ἀγνώστως ἔχειν ἐν ἑαυτοῖς τό Πνεῦμα τό Ἅγιον, μή ἐπαισθανομένων δέ καθόλου τῆς ἐνεργείας αὐτοῦ· καί περί τῶν λεγόντων μή δύνασθαί τινα τῶν ἀνθρώπων κατά τήν παροῦσαν ζωήν ὁρᾶν τήν δόξαν αὐτοῦ, καί ἀπόδειξις διά χρήσεων περί τούτου. Καί ὅτι φθόνος οὐδείς ἐν τοῖς ἁγίοις, ὅταν διά πάσης σπουδῆς ἐναρέτου τούτοις συνεξισώμεθα. Καί ποίῳ τρόπῳ ὁρᾷ τις τόν Θεόν καί ὅτι ὁ εἰς τοιαῦτα μέτρα πεφθακώς, ὥστε ὁρᾷν κατά τό ἐφικτόν τόν Θεόν, ἔνθεν ἤδη μυεῖται καί τήν μέλλουσαν δοθῆναι ἐν τῷ μέλλοντι τοῖς ἁγίοις ἀπόλαυσιν. Καί ὅτι ὅσα ἄν ὁ τοιοῦτος λέγῃ ἤ ποιῇ ἤ γράφῃ, οὐκ αὐτός, ἀλλά τό Πνεῦμα τό Ἅγιον τό λαλοῦν ἐν αὐτῷ ταῦτα λέγει καί γράφει· καί ὁ τούς λόγους αὐτοῦ ἀθετῶν ἤ παραλογιζόμενος, εἰς τό Πνεῦμα τοῦ Θεοῦ, τό ἐνεργοῦν καί λαλοῦν ἐν αὐτῷ, ἁμαρτάνει καί βλασφημεῖ.

Ἰδού καί πάλιν ἐγώ πρός τούς λέγοντας ἔχειν ἀγνώστως Πνεῦμα Θεοῦ καί οἰομένους ἀπό τοῦ θείου βαπτίσματος τοῦτο κεκτῆσθαι ἐν ἑαυτοῖς καί τόν μέν θησαυρόν ἔχειν νομίζοντας, κούφους δέ τούτου ἑαυτούς ὅλως ἐπιγινώσκοντας, πρός τούς ὁμολογοῦντας μέν μηδέν ὅλως ἐπαισθανθῆναι ἐν τῷ βαπτίσματι, ἀγνώστως δέ καί ἀνεπαισθήτως ὑπολαμβάνοντας τήν τοῦ Θεοῦ δωρεάν ἐν ἑαυτοῖς ἀπό τότε ἐγκατοικήσασαν καί μέχρι τοῦ νῦν ἔνδοθεν τῆς ἑαυτῶν ψυχῆς ἐνυπάρχουσαν· οὐ μόνον δέ, ἀλλά γάρ καί πρός αὐτούς τούς μηδεμίαν λέγοντάς ποτε αἴσθησιν ἐν θεωρίᾳ καί ἀποκαλύψει ταύτης λαβεῖν, πίστει δέ μόνῃ καί λογισμῷ, ἀλλ᾽ οὐ πείρᾳ τοῦτο παραδεξαμένους καί κρατοῦντας ἐν ἑαυτοῖς ὡς ἐκ τῆς τῶν θείων λογίων ἀκροάσεως.

Ἵνα οὖν τά παρ᾽ ἐκείνων προτάξω λεγόμενα, ὅρα τί φασιν οἱ σοφοί καί ἐνώπιον αὐτῶν ἐπιστήμονες· «*Ὅσοι εἰς Χριστόν ἐβαπτίσθητε, φησίν ὁ Παῦλος, Χριστόν ἐνεδύσασθε. Τί δαί; Οὐχί βεβαπτισμένοι ἐσμέν καί ἡμεῖς; Εἰ οὖν βεβαπτίσμεθα, δῆλον ὅτι, καθώς φησιν ὁ Ἀπόστολος, καί τόν Χριστόν ἐνδεδύμεθα*». Αὕτη τοίνυν καί παρ᾽ αὐτῶν ἡ πρώτη πρότασις καί ἀπόδειξις.

Τί οὖν, οὐχ ἡμεῖς, ἀλλά τό Πνεῦμα τό Ἅγιον πρός αὐτούς εἴποι ἄν; Τό οὖν ἔνδυμα τοῦτο, τί εἶναι, ὦ οὗτοι, λέγετε· Χριστόν; Ναί, φησίν. Ὁ τοίνυν Χριστός ἐστί τι, ἵνα ὡς ἄφρων πρός ἄφρονας εἴποιμι, ἤ οὐδέν ἐστιν; Ἔστι τι, πάντως εἴποιεν ἄν, εἰ γε μή τέλεον

παρακοπήν φρενῶν εἰσι πάσχοντες. Εἰ οὖν εἶναί τι ὁμολογεῖτε, εἴπατε δή καί τί πρῶτόν ἐστιν, ἵνα οὕτως διδάξητε ἑαυτούς μή ὡς ἄπιστοι φθέγγεσθαι, ἀλλ' ὡς πιστοί. Τί τοίνυν ἄλλο ἐστίν ὁ Χριστός, εἰ μή Θεός ἀληθής καί ἄνθρωπος ἐπ' ἀληθῶς τέλειος πεφυκώς; Τοῦτο τοιγαροῦν ὁμολογοῦντες, εἴπατε ἡμῖν καί διά τί ἄνθρωπος γέγονεν ὁ Θεός. Πάντως, ὡς αἱ θεῖαι Γραφαί διδάσκουσι καί αὐτά τά γεγονότα καί καθ' ἑκάστην γινόμενα, εἰ καί ἴσως ὑμεῖς ἐθελοκωφοῦντες ἀγνοεῖτε ἵνα τόν ἄνθρωπον ποιήσῃ θεόν. Διά τίνος τοῦτο κατεργαζόμενος; Διά τῆς σαρκός ἤ διά τῆς θεότητος; Διά τῆς θεότητος δηλονότι. «*Ἡ σάρξ γάρ, φησίν, οὐκ ὠφελεῖ οὐδέν· τό πνεῦμά ἐστι τό ζωοποιοῦν*». Εἰ οὖν διά τῆς αὐτοῦ θεότητος ἥν ἀνέλαβε σάρκα πρῶτον ἐθέωσε, καί ἡμᾶς πάντας οὐ διά τῆς φθαρτῆς σαρκός ἀλλά διά τῆς θεωθείσης ζωοποιεῖ, ἵνα μηκέτι μηδαμῶς ὡς ἄνθρωπον ἀλλ' ὡς ἕνα Θεόν αὐτόν τέλειον ἐν δυσίν ἐπιγινώσκωμεν φύσεσιν - εἷς γάρ Θεός - , ὡς τοῦ φθαρτοῦ ὑπό τῆς ἀφθαρσίας καταποθέντος καί τοῦ σώματος ὑπό τοῦ ἀσωμάτου οὐκ ἀφανισθέντος μέν, ὅλου δέ ἀλλοιωθέντος καί μένοντος ἀσυγχύτου, ἀρρήτως ἀνακεκραμένου καί ἐν ἀμίκτῳ μίξει τῇ τριαδικῇ θεότητι ἡνωμένου, ἵνα εἷς Θεός ἐν Πατρί καί Υἱῷ καί Ἁγίῳ Πνεύματι προσκυνῆται καί μήτε προσθήκην τῷ ἀριθμῷ ἀπό τῆς οἰκονομίας λάβῃ τινά μήτε πάθος τι ἀπό τοῦ σώματος ἡ Τριάς ὑποστῇ.

Διά τί οὖν ταῦτα λέγω; Ἵνα προγινώσκων σύ ἅ ὡμολογήσας ἐρωτώμενος παρ' ἐμοῦ, μή ἐξ ἀγνοίας ἐκκλίνῃς τῆς εὐθείας τῶν νοημάτων ὁδοῦ καί κόπους παρέξῃς ἡμῖν καί κρῖμα προξενήσῃς πλεῖον τῇ σῇ ψυχῇ. Πάλιν τοιγαροῦν προσαναμνήσω σε τά ῥηθέντα ἐν ἐπιτόμῳ, ἵνα εὐσύνοπτον γένηται ὅ μέλλω εἰπεῖν. Ἔστι τοίνυν Χριστός. Τί δέ ἐστι; Θεός ἀληθής καί ἄνθρωπος τέλειος παναληθῶς πεφυκώς, διά τοῦτο γενόμενος ἄνθρωπος, ὅπερ πρώην οὐκ ἦν, ἵνα ποιήσῃ θεόν τόν ἄνθρωπον, ὅπερ οὐδέποτε γέγονεν, διά τῆς θεότητος θεώσας καί θεοποιῶν ἡμᾶς δηλαδή καί οὐχί διά μόνης αὐτοῦ τῆς σαρκός· οὐδέ γάρ μεριστή. Πρόσεχε τοίνυν καί ἐρωτῶντί μοι μετά συνέσεως ἀποκρίθητι. Εἰ οἱ βαπτιζόμενοι τόν Χριστόν ἐπενδύονται, τί τοῦτό ἐστιν ὅ ἐπενδύονται; Θεός. Ὁ οὖν Θεόν ἐνδυσάμενος οὐκ ἐπιγνώσεται νοερῶς καί ἴδῃ τί ἐνεδύσατο; Ὁ γυμνός τῷ σώματι ἐνδυσάμενος ἐπαισθάνεται καί τό ἱμάτιον ὁποῖον ὁρᾷ, ὁ δέ γυμνός τῇ ψυχῇ Θεόν ἐνδυσάμενος οὐ γνώσεται; Εἰ γάρ οὐκ αἰσθάνεται ὁ τόν Θεόν ἐνδυόμενος τί ποτε ἄρα ἐνεδύσατο, λοιπόν κατά σέ οὐδέ ἐστί τί ποτε ὁ Θεός· εἰ γάρ ἦν, οἱ αὐτόν ἐνδυόμενοι ἐγίνωσκον ἄν. Τό γάρ μηδέν ἐνδυόμενοι οὐδέν αἰσθανόμεθα, τό δέ τί ποτε ἤ παρ' ἑτέρου ἤ ἡμᾶς αὐτούς ἐπενδύοντες καί λίαν ἐπαισθανόμεθα, εἴ γε καί σώας τάς αἰσθήσεις κεκτήμεθα· νεκροί γάρ ἐνδυόμενοι οὐκ αἰσθάνονται μόνοι καί δέδοικα μή καί οἱ ταῦτα λέγοντες νεκροί καί γυμνοί ἐπ' ἀληθείας ὄντως εἰσίν. Καί οὕτω λέλυται τό ζητούμενον.

Εἶτα φασί· «*Τό Πνεῦμα μή σβέννυτε*» ὁ Παῦλος διακελεύεται. Καί τοῦτο λέγοντες, τόν σκοπόν τῶν λεγομένων μή ἐπιστάμενοι, τήν ἑαυτῶν ἄγνοιαν ἐμφανίζουσιν· ὁ γάρ λέγων τινί· «*Μή σβέσῃς, φησί, τήν λαμπάδα*», οὐ περί τῆς ἤδη ἐσβεσμένης αὐτῷ πάντως λέγει, ἀλλά περί τῆς ἔτι καιομένης καί ἀστράπτον ἐχούσης τό φῶς. Ἀλλά γάρ αὖθις πρός αὐτούς ὧδε ἀνθυποφέρομεν.

Τί δαί; Ὁρᾶτε κἄν ὅλως ἐν ὑμῖν αὐτοῖς, ὦ οὗτοι, τό Πνεῦμα καιόμενον καί λάμπον ὥσπερ εἰκός; Καί πρός τοῦτο οὐ μόνον οὐδέν ἀποκρίνονται, ἀλλά καί τάς ὄψεις εὐθύς ἀλλοιούμενοι ἀποστρέφονται καί ὡς βλασφημίαν ἀκούσαντες δυσχεραίνουσι· εἶτα, τόν ἐρωτῶντα φιλοτιμούμενοι καί τόν πρᾷον δῆθεν ὑποκρινόμενοι, οὐ μετά στυφότητος ἀποκρίνονται· «*Καί τίς ποτε ἰδεῖν τοῦτο τολμηρῶς εἴποι ἤ ὅλως αὐτό ἐθεάσατο;*» Ἄπαγε. «*Θεόν, φησίν, οὐδείς ἑώρακε πώποτε*». Ὢ τῆς σκοτώσεως! Τίς τοῦτο εἶπε, λέξον ἡμῖν. «*Ὁ μονογενής, φησίν, Υἱός ὁ ὤν εἰς τόν κόλπον τοῦ Πατρός ἐκεῖνος ἐξηγήσατο*». Ἀληθῶς λέγεις καί ἡ μαρτυρία σου ἀληθής μέν, ἀλλά κατά τῆς σεαυτοῦ ψυχῆς. Ἐάν γάρ ἐγώ δείξω σοι τόν αὐτόν Υἱόν τοῦ Θεοῦ λέγοντά σοι δυνατόν εἶναι τοῦτο, τί ἐρεῖς; Φησί γάρ· «*Ὁ ἑωρακώς ἐμέ ἑώρακε τόν Πατέρα*». Τοῦτο δέ οὐ κατά τήν τῆς σαρκός εἶπε θεωρίαν, ἀλλά κατά τήν τῆς θεότητος ἀποκάλυψιν. Εἰ γάρ κατά τήν σωματικήν ἰδέαν τοῦτο γενόμενον ἐννοήσωμεν, λοιπόν καί οἱ τοῦτον σταυρώσαντες καί ἐμπτύσαντες τόν Πατέρα ἑωράκασι· καί οὕτως οὐδεμία ἔσται διαφορά ἤ προτίμησις ἀπίστων τε καί πιστῶν, ἀλλά πάντες ἐξ ἴσης τοῦ πεποθημένου μακαρισμοῦ ἔτυχόν τε δηλονότι καί τύχωσιν. Ἀλλ’ οὐκ ἔστι ταῦτα, οὐκ ἔστι, καθά δή καί αὐτός πάλιν δείκνυσιν Ἰουδαίοις διαλεγόμενος καί λέγων· «*Εἰ ἐγνώκειτέ με, καί τόν Πατέρα μου ἐγνώκειτε ἄν*».

Ὅτι δέ δυνατόν ἡμῖν ἐστι τό κατιδεῖν τόν Θεόν, ὡς ἀνθρώπῳ ἰδεῖν ἐφικτόν, ἄκουσον αὐτοῦ Χριστοῦ τοῦ Υἱοῦ τοῦ Θεοῦ πάλιν λέγοντος· «*Μακάριοι οἱ καθαροί τῇ καρδίᾳ ὅτι αὐτοί τόν Θεόν ὄψονται*». Τί οὖν ἐρεῖς πρός ταῦτα; Ἀλλ’ οἶδα, ὁ τά ἐν χερσίν ἀπιστῶν ἀγαθά καί λαβεῖν ταῦτα μή προθυμούμενος ἐπί τά μέλλοντα μεταβήσεται καί ἀποκριθείς ἐρεῖ· «*Ναί, ὄντως οἱ καθαροί τῇ καρδίᾳ τόν Θεόν ὄψονται, ἀλλ’ ἐν τῷ μέλλοντι τοῦτο καί οὐκ ἐν τῷ νῦν αἰῶνι γενήσεται*». Διά τί ἤ πῶς τοῦτο ἔσται, ἀγαπητέ; Εἰ γάρ διά τῆς καθαρᾶς καρδίας τόν Θεόν εἶπεν ὄψεσθαι, πάντως ὅτε ἡ καθαρότης προσγένηται, καί ἡ θεωρία συνέπεται αὐτῇ. Καί εἰ ταύτην ποτέ ἐκαθάρισας, ἔγνως ἄν ὡς ἀληθῆ τά λεγόμενα· ἐπεί δέ οὐκ ἔθου τοῦτο ἐν τῇ καρδίᾳ σου οὐδέ εἶναι ἀληθές ἐπίστευσας, διά τοῦτο καί τῆς καθάρσεως κατεφρόνησας καί τῆς θεωρίας διήμαρτες. Εἰ γάρ ἐνταῦθα ἡ κάθαρσις, καί ἐνταῦθα ἔσται ἡ ὅρασις· εἰ δέ μετά θάνατον εἴπης τήν ὅρασιν εἶναι, θήσεις πάντως καί τήν κάθαρσιν μετά θάνατον, καί οὕτω σοι γενήσεται τό μηδέποτε ἰδεῖν τόν Θεόν ἐν τῷ μή εἶναί σοι ἐργασίαν μετά τήν ἔξοδον δι’ ἧς εὑρήσεις τήν κάθαρσιν. Ἀλλά καί ὁ Κύριος τί φησιν; «*Ὁ ἀγαπῶν με τάς ἐντολάς μου τηρήσει καί ἐγώ ἀγαπήσω αὐτόν καί ἐμφανίσω αὐτῷ ἐμαυτόν*». Πότε οὖν ἡ ἐμφάνεια τούτου γενήσεται; Ἐνταῦθα ἤ ἐν τῷ μέλλοντι; Εὔδηλον ὅτι ἐνταῦθα. Ὅπου γάρ ἡ ἀκριβής τῶν ἐντολῶν φυλακή, ἐκεῖ ἔσται καί ἡ τοῦ Σωτῆρος ἐμφάνεια, μετά δέ τήν ἐμφάνειαν ἡ τελεία ἐν ἡμῖν ἀγάπη προσγίνεται. Εἰ γάρ μή τοῦτο γένηται, οὔτε πιστεύειν, οὔτε ἀγαπᾶν αὐτόν ὡς χρή δυνάμεθα· γέγραπται γάρ· «*Ὁ μή ἀγαπῶν τόν ἀδελφόν αὐτοῦ ὅν ὁρᾷ, τόν Θεόν ὅν οὐ βλέπει πῶς δύναται ἀγαπᾶν;*» Οὐδαμῶς.

Ὁ τοίνυν μή δυνάμενος ἀγαπᾶν, οὐδέ πιστεύειν δύναται δηλονότι· καί ταῦτα Παύλου λέγοντος ἄκουε· «*Μένει δέ τά τρία ταῦτα, πίστις ἐλπίς, ἀγάπη· μείζων δέ πάντων ἡ ἀγάπη*». Εἰ οὖν ἡ πίστις τῇ ἐλπίδι συνέζευκται, ἡ δέ ἐλπίς τῇ ἀγάπῃ συνέπεται, ὁ μή ἔχων

ἀγάπην ἐλπίδα οὐ κέκτηται, ὁ δέ ἐλπίδος ἐκτός, δηλονότι καί πίστεως. Πῶς γάρ, τῶν αἰτιῶν τῆς ἀγάπης μή ὄντων, αὐτήν ἐκείνην παρεῖναι ἐνδέχεται; Ὡς γάρ θεμελίων ἐκτός ὄροφος οἴκου οὐχ ἵσταται, οὕτως οὐδέ πίστεως καί ἐλπίδος βεβαίας χωρίς ἀγάπην Θεοῦ ἐν ψυχῇ ἀνθρώπου εὑρεθῆναι δυνατόν· ὁ δέ μή τήν ἀγάπην ἔχων οὐδέν ἐκ τῶν λοιπῶν ἀρετῶν ὠφελεῖται ἤ χωρίς ταύτης ὠφεληθήσεται, καθά δή καί αὐτός Παῦλος γράφων διαμαρτύρεται. Περί δέ τοῦ ἀπ' ἐντεῦθεν ὁρᾶν τόν Θεόν ἄκουε αὐτοῦ πάλιν λέγοντος· «*Νῦν βλέπω ἐν ἐσόπτρῳ καί ἐν αἰνίγματι, τότε δέ πρόσωπον πρός πρόσωπον*» καί πάλιν· «*Νῦν γινώσκω ἐκ μέρους, τότε δέ ἐπιγνώσομαι καθ' ὅ καί ἐπεγνώσθην*». Ἀλλ' ἐκεῖνος, φησί, Παῦλος ἦν. Παῦλος δέ οὐχί κατά πάντα ἄνθρωπος ἦν, ἡμῖν ὁμοιοπαθής τε καί σύνδουλος; Καί τίς Παύλου ἴσος, ὦ ὑπερήφανε σύ καί ἀπονενοημένε, φησίν, ὅτι τοῦτον ἡμῖν τοῖς ἀνθρώποις συνεξισάζοις; Οἷς οὐχ ἡμεῖς, αὐτός δέ ὁ Παῦλος μεγάλῃ βοᾷ τῇ φωνῇ, οὕτω λέγων· «*Χριστός ἦλθεν - ἀκούσατε - ἁμαρτωλούς σῶσαι ὧν πρῶτός εἰμι ἐγώ*». Πρῶτος οὖν ἐκεῖνος τῶν σῳζομένων ἁμαρτωλῶν· γενοῦ σύ δεύτερος, γενοῦ τρίτος, γενοῦ δέκατος, γενοῦ ταῖς χιλιάσιν, εἰ βούλει, καί μυριάσι σύμψυχος καί τῷ Παύλῳ σεαυτόν συναρίθμησον· καί οὕτω Παῦλον τιμήσεις, καθώς ἐκεῖνός φησι· «*Μιμηταί μου γίνεσθε, καθώς κἀγώ Χριστοῦ*», καί πάλιν· «*Ἤθελον πάντας εἶναι ὡς ἐμαυτόν*».

Εἰ τοίνυν ἐπαινέσαι βούλει τόν Παῦλον ἤ τιμῆσαι αὐτόν, μίμησαι τοῦτον· καί οἷος ἐκεῖνος, γενοῦ τοιοῦτος τῇ πίστει καί σύ, καί τότε ἐπ' ἀληθείας τιμήσεις αὐτόν κἀκεῖνος προσδέξεταί σε καί ὡς ἰδίαν δόξαν καί στέφανον καυχήσεως λογίσεταί σε, ὅτι τοῖς ἐκείνου λόγοις πεισθείς καί ἀκολουθήσας αὐτῷ μιμητής ἐκείνου καί οἷος ἐκεῖνος ἐγένου καί σύ. Εἰ δέ λέγεις ἀτιμίαν εἶναι Παύλου τό καί ἄλλον ἴσον γενέσθαι αὐτοῦ καί διά τοῦτο τῆς σῆς σωτηρίας καταφρονῶν ἀμελεῖς, γίνωσκε ὡς παραλογιζόμενον σεαυτόν μᾶλλον ἀπώσεται καί διά τοῦτο αὐτός σε βδελύξεται. Βούλει οὖν σοι δείξω ὅτι μᾶλλον μειζόνως τιμήσεις αὐτόν καί εὐφρανεῖς καί δοξάσεις, εἰ μείζων ἐκείνου δυνηθῇς γενέσθαι καί τῷ Θεῷ οἰκειότερος; Ἄκουσον αὐτοῦ τοῦτο παριστῶντος καί λέγοντος· «*Εὐχόμην ἀνάθεμα εἶναι ἀπό Χριστοῦ ὑπέρ τῶν ἀδελφῶν, τῶν συγγενῶν μου κατά σάρκα*». Ἐκεῖνος χωρισθῆναι ἀπό Χριστοῦ προαιρεῖται τελείως, ἵνα σύ σωθῇς, καί λέγεις ὅτι ἀτιμίαν ἡγήσεται, ἐάν ὡς ἐκεῖνος θελήσω καί σπεύσω γενέσθαι κἀγώ; Οὐχί, ἀδελφέ, οὐκ ἔστι φθόνος ἐν ἁγίοις Θεοῦ, οὐκ ἔστιν ἐν αὐτοῖς προεδρίας ἤ μείζονος δόξης ἐπιθυμία καί ὄρεξις. Μία γάρ αὐτοῖς καί τοῖς κατά γενεάν καί γενεάν φίλοις καί προφήταις ἀναδεικνυμένοις Θεοῦ προεδρία καί καθέδρας καί προτίμησις στάσεως καί δόξα καί ἀπόλαυσις καί τρυφή, τό ὁρᾶν τόν Θεόν· οἱ δέ ὁρῶντες αὐτόν περιεργίας πάσης ἀπηλλαγμένοι ὑπάρχουσιν. Οὐδέ γάρ πρός τι τοῦ βίου ἤ πρός ἕτερόν τινα τῶν ἀνθρώπων βλέπειν καί ἐπιστρέφεσθαι ἤ ὅλως ἐννοεῖν τι τῶν ἀνοικείων δεδύνηνται, ἀλλά τοῦ πρός τι γενέσθαι τόν νοῦν ἠλευθέρωνται· διά τοῦτο καί μένουσιν εἰς αἰῶνας ἄτρεπτοι καί πρός τό κακόν εἰσιν ἀνεπίστροφοι.

Ἀλλά γάρ ἐρωτήσω σε, σύ δέ μοι συνετῶς ἀποκρίθητι. Ταῦτα πόθεν οἱ γράψαντες ἴσασι, καί νῦν ὁ γράφων πόθεν ἐπίσταται; Εἰπέ σύ, ἵνα μή πάλιν ἐγώ δόξω σοι

κενοδόξως λαλεῖν· τίνος ταῦτα τά ῥήματα; Λελογισμένως συλλογίσθητι καί πάντως πεισθήσῃ καί συζητήσεων ἀπαλλάξεις με. Ἀνθρώπου πάντως, φησίν. Οἴμοι ὅτι οὐδέ διά τῆς ἀκοῆς σου ἡ ὅρασις ἐπιγίνεται, ἀλλά μένεις ἀκούων καί μηδόλως ὁρῶν. Ἀνθρώπου λέγεις εἶναι ταῦτα τά ῥήματα; Εἰ ἀνθρώπου εἰσίν, εἰπεῖν ἔχεις πάντως καί ποταποῦ, ἐπειδή ἄνθρωπος οὐ μόνον ἀνθρώπου συλλογισμούς τε καί διαθέσεις, ἀλλ’ οὐδέ κτήνους ὁρμάς ἤ στάσεις ἤ ἐνδιάθετον κατάστασιν ψυχῆς δύναται γνῶναι ἤ ἐξειπεῖν· «*Οὐδείς γάρ οἶδε τά τοῦ ἀνθρώπου, εἰ μή τό πνεῦμα τοῦ ἀνθρώπου τό ἐνοικοῦν ἐν αὐτῷ*». Εἰ δέ ἀνθρώπου καί κτηνῶν ἀλόγων διαθέσεις καί ὁρμάς χαλεπόν ἄνθρωπον εἰδέναι καλῶς, τά τοῦ Θεοῦ, ἤγουν τήν ἐκ τῆς θεωρίας αὐτοῦ ἐγγινομένην τοῖς ἁγίοις ἀλλοίωσιν καί κατάστασιν, ἵνα μή τό γε νῦν ἔχον εἴπω ἐνέργειαν, πόθεν ἤ πῶς εἰδέναι τις δύναται; Ἄλλως τε δέ εἰ ἀνθρώπου τά ῥήματα, δηλονότι καί τά νοήματα. Τά δέ ἐν τούτοις νοήματα οὐ χρή καλεῖσθαι νοήματα, ἀλλά θεωρίαν τῶν ὄντως ὄντων· ἀπό γάρ τῆς ἐκείνων θεωρίας λαλοῦμεν· καί λέγεσθαι μᾶλλον χρή τῶν ὁραθέντων διήγησιν τά λεγόμενα, νόημα δέ ἐκεῖνο λέγεσθαι ἄξιον τό περί ἀνυποστάτου πράγματος ἤ βουλήματος γεννώμενον ἐνθύμημα ἐκ τοῦ νοῦ, οἷον τοῦ ποιῆσαί τι ἀγαθόν ἤ πονηρόν ὅ οὔπω ἐπράχθη παρ’ ἡμῶν, ὅ καί ἀπό τοῦ νοήματος εἰς ἔργον ἐξάγεται, ὥστε τό νόημα ἀρχή ἐστι τοῦ μέλλοντος γίνεσθαι πράγματος παρ’ ἡμῶν κατά το· «*Πρῶτον μέν ἐννοεῖ τάς ἀγγελικάς δυνάμεις καί οὐρανίους καί τό ἐννόημα ἔργον ἦν*».

Σκόπει δέ ὅτι οὐ περί ἀνυποστάτων τινῶν καί ἀδήλων πραγμάτων, ἀλλά περί τῶν ἤδη γινομένων καί γενέσθαι μελλόντων, οἱ λόγοι πάντες ἡμῖν καί πᾶσα ἡ περί τούτων ἐξήγησις ἐκ τῆς ὁράσεως μᾶλλον γίνεται καί τῆς θεωρίας αὐτῶν. Πᾶσα γάρ ἀνάγκη παντί τῷ ἐξηγουμένῳ περί τινος πράγματος, οἴκου φέρε εἰπεῖν ἤ πόλεως, ἤ παλατίου τινός καί τῆς ἐν αὐτῷ τάξεώς τε καί καταστάσεως, ἤ περί θεάτρου πάλιν τινός καί τῶν ἐν αὐτῷ τελουμένων, ἰδεῖν μέν πρότερον καί καταμαθεῖν τά ἐν τούτοις, εἶθ’ οὕτως περί οὗ εἰπεῖν βούλεται ἐστοχασμένως καί λελογισμένως εἰπεῖν. Ἐπεί, ἐάν μή πρότερον ἴδῃ, τί ἄν καί οἴκοθεν εἴποι; Ποίαν δέ νόησιν πρός τήν τοῦ μήπω μηδαμῶς ὁραθέντος πράγματος ἄλλοθεν πορίσεται διηγούμενος; Ποίαν, εἰπέ μοι, ἐνθύμησιν ἤ εὐφυΐαν ἤ μάθησιν, ποίαν δέ φρόνησιν, σκέψιν τε καί ἐπίνοιαν καί συλλογισμόν εὑρήσει καιρίως περί οὗ οὐκ οἶδεν εἰπεῖν; Τό γάρ εἰπεῖν τι περί ὧν οὐκ οἶδεν ἤ οὐκ ἐθεάσατο πάντως ἄλογον καί ἀπαίδευτον. Εἰ τοίνυν περί ὁρωμένων καί ἐπιγείων οὐδείς εἰπεῖν τι ἤ διηγήσασθαι δύναται, εἰ μή αὐτόπτης τοῦ πράγματος γένηται, πῶς εἰπεῖν τις ἰσχύσειεν ἤ διηγήσασθαι, ἀδελφοί, περί Θεοῦ καί θείων πραγμάτων καί αὐτῶν τῶν τοῦ Θεοῦ ἁγίων καί δούλων, οἵαν ἐκεῖνοι τήν ὁλικήν πρός τόν Θεόν ἐσχήκασι σχέσιν καί οἵαν ἐστίν ἡ τοῦ Θεοῦ ὅρασις ἡ ἐν αὐτοῖς ἀρρήτως ἐγγινομένη; Ἥτις ἐνέργειαν ἄφθεγκτον ἐμποιεῖ νοερῶς ἐν ταῖς καρδίαις αὐτῶν, εἰ καί μή πλέον εἰπεῖν τι ὁ ἀνθρώπινος δίδωσι λόγος, μή πρότερον φωτισθείς φῶς γνώσεως, κατά τήν κελεύουσαν ἐντολήν.

Φῶς δέ γνώσεως ὅταν ἀκούσῃς, ἵνα σε διά πάντων φωταγωγήσωμεν, μή ὑπολάβῃς γνῶσιν εἶναι μόνην τῶν λεγομένων δίχα φωτός. Οὐ γάρ εἶπε διήγησιν ἤ λόγον γνώσεως, ἀλλά φῶς γνώσεως καί γνώσεως φῶς, ὡς τοῦ φωτός δηλονότι ἐμποιοῦντος τήν γνῶσιν

ἡμῖν· ἄλλως γάρ οὐκ ἔστι γνῶναί τινα τόν Θεόν, εἰ μή διά τῆς θεωρίας τοῦ ἐξ αὐτοῦ ἐκπεμπομένου φωτός. Ὥσπερ γάρ ὁ περί ἀνθρώπου ἤ περί πόλεώς τινος πρός τινας διηγούμενος, ἐκεῖνος μέν ἅ εἶδε καί ἅ ἑώρακε λαλεῖ πρός αὐτούς, οἱ δέ ἀκούοντες μή θεασάμενοι τόν ἄνθρωπον ἤ τήν πόλιν περί ἧς καί ἀκούουσιν, οὐ δύναται ἀπό τῆς ἀκοῆς μόνης, ὡς ὁ ἰδών καί διηγούμενος τά περί τοῦ ἀνθρώπου, γινώσκειν καί τά περί τῆς πόλεως, οὕτως καί περί τῆς ἄνω Ἱερουσαλήμ καί τοῦ ἐν αὐτῇ κατοικοῦντος ἀοράτου Θεοῦ, περί τῆς ἀπροσίτου δόξης τε τοῦ προσώπου αὐτοῦ καί περί τῆς ἐνεργείας καί δυνάμεως τοῦ παναγίου αὐτοῦ Πνεύματος, εἴτ' οὖν φωτός, οὐδείς εἰπεῖν δύναται, εἰ μή πρῶτον αὐτό τό φῶς ἴδῃ ψυχῆς ὀφθαλμοῖς καί ἀκριβῶς γνῷ τάς αὐτοῦ ἐλλάμψεις καί ἐνεργείας ἐν αὐτῷ. Ἀλλ' εἰ τι καί διά τῶν θείων ἀκούοι Γραφῶν λαλοῦντας δι' αὐτῶν τούς τόν Θεόν ἰδόντας, διά τοῦ Πνεύματος ἐκεῖνα καί μόνα διδάσκεται· ὅθεν οὐδέ δύναται λέγειν ὅτι ἐν γνώσει γέγονα τοῦ θεοῦ διά μόνης ταύτης τῆς ἀκοῆς. Ὅν γάρ οὐχ ἑώρακε πῶς γινώσκειν ἐνδέχεται; Εἰ γάρ ἡ ὅρασις μόνη τελείαν τήν γνῶσιν τοῦ ὁρωμένου παρ' ἡμῶν ἀνθρώπων οὐκ ἐμποιεῖ ἐν ἡμῖν, πῶς ἡ ἀκοή μόνη τήν τοῦ Θεοῦ γνῶσιν ἡμῖν ἐμποιήσειε; Φῶς ὁ Θεός καί ὡς φῶς ἡ θέα αὐτοῦ· ἐν γοῦν τῇ τοῦ φωτός θέᾳ γνῶσις πρώτη ὅτι Θεός, καθά καί ἐπί τοῦ ἀνθρώπου ἀκοή πρῶτον περί αὐτοῦ, εἶτα ὅρασις, καί ἐν τῷ αὐτόν ἰδεῖν γνῶσις ὅτι ἄνθρωπός ἐστι περί οὗ ἤκουον. Καί οὐδέ οὕτως ἵσταται τοῦ λεγομένου ἡ ἔννοια· ὅσα γάρ ἄν ἐξ ἀκοῆς σοί τις εἴπῃ περί ἀνθρώπου, ὅτε ἴδῃς αὐτόν, ἀπό μόνης τῆς ἀκοῆς γνωρίσαι αὐτόν ἀκριβῶς καί πληροφορηθῆναι, ὅτι αὐτός ἐκεῖνός ἐστι περί οὗ ἤκουες, οὐ δύνασαι, ἀλλά ἀμφιβολίᾳ ἡ ψυχή διαμερίζεται καί ἤ ἐκεῖνον αὐτόν ἐρωτᾷ ἤ ἕτερόν τινα τόν γνωρίζοντα αὐτόν, καί τότε βεβαίως μανθάνεις ὅτι αὐτός ἐκεῖνός ἐστιν.

Οὕτως οὖν καί περί τοῦ ἀοράτου Θεοῦ ἀπαραλλάκτως γίνεται. Ὅταν γάρ ἀποκαλυφθέντα θεάσηταί τις αὐτόν, φῶς ὁρᾷ· θαυμάζει μέν ἰδών, τίς δέ ὁ φανείς οὐκ οἶδεν εὐθύς, ἀλλ' οὐδέ αὐτόν ἐρωτῆσαι τολμᾷ, - πῶς γάρ, ὅν οὐδέ ἀναβλέψαι τοῖς ὀφθαλμοῖς καί ἰδεῖν δύναται ποταπός; - βλέπει δέ μόνον ἐν τρόμῳ καί φόβῳ πολλῷ οἱονεί πρός τούς πόδας αὐτοῦ, εἰδώς ὅτι ὅλως τίς ἐστιν ὁ φανείς πρό προσώπου αὐτοῦ. Καί εἰ μέν ὑπάρχει ὁ περί τούτων προεξηγησάμενος αὐτῷ, ὡς προεγνωκώς τόν Θεόν, ἀπερχόμενος λέγει αὐτῷ· «*Εἶδον*». Καί φησι· «*Τί, τέκνον, εἶδες;*» - «*Φῶς, ὦ πάτερ, γλυκύ, γλυκύ· ποταπόν εἰπεῖν σοι, πάτερ, οὐκ ἐξικανοῦσαν ἔχω μου τήν διάνοιαν*». Καί ὡς οὖν τοῦτο λέγει, σκιρτᾷ καί πάλλει ἡ καρδία αὐτοῦ καί πρός τόν πόθον τοῦ ὀφθέντος εὐθύς ἀνάπτεται. Εἶτα πάλιν ἄρχεται λέγειν μετά δακρύων θερμῶν καί πολλῶν ὡς· «*Ὠράθη μοι, πάτερ, ἐκεῖνο τό φῶς· ἤρθη ὁ οἶκος τῆς κέλλης εὐθύς καί παρῆλθεν ὁ κόσμος, φυγών ὡς οἶμαι ἀπό προσώπου αὐτοῦ· ἔμεινα δέ μόνος ἐγώ μόνῳ συνών τῷ φωτί. Οὐκ οἶδα δέ εἰ ἦν καί τό σῶμα τοῦτο, πάτερ, τηνικαῦτα ἐκεῖ· εἰ γάρ ἔξω τούτου γέγονα ἀγνοῶ, τέως οὐκ ᾔδειν ὅτι σῶμα φορῶ καί περίκειμαι. Ἦν μοι δέ χαρά ἡ καί νῦν συνοῦσά μοι ἄφραστος, ἀγάπη τε καί πόθος πολύς, ὡς κινηθῆναί μου τά νάματα κατά ποταμούς τῶν δακρύων, καθά δή καί νῦν, ὡς ὁρᾷς*». Ἀποκριθείς οὖν λέγει αὐτῷ· «*Ἐκεῖνος, τέκνον, ἐστί*». Καί σύν τῷ λόγῳ βλέπει πάλιν αὐτόν καί μικρόν μικρόν τελείως καθαίρεται, καθαιρόμενος δέ παρρησιάζεται καί ἐκεῖνον αὐτόν ἐρωτᾷ καί φησίν· «*Ὁ*

*Θεός μου, σύ εἶ;*» Καί ἀποκρίνεται καί φησί· «*Ναί ἐγώ εἰμι, ὁ Θεός, ὁ διά σέ ἄνθρωπος γεγονώς· καί ἰδού ἐγώ πεποίηκά σε, ὡς ὁρᾷς, καί ποιήσω θεόν*».

Ὅτε τοίνυν χρονίσει πενθῶν καί κλαίων καί προσπίπτων καί ταπεινούμενος, ἄρχεται ἐκ τοῦ κατ' ὀλίγον γινώσκειν τά τοῦ Θεοῦ· καί εἰς τοῦτο πεφθακώς, τότε μανθάνει «*τό θέλημα αὐτοῦ τό ἅγιον καί εὐάρεστον καί τέλειον*». Εἰ γάρ μή ἴδῃ, ἵνα πάλιν εἴπω, αὐτόν, οὐδέ δύναται γινώσκειν αὐτόν· καί εἰ μή γνῷ αὐτόν, πῶς ἰσχύσει γνῶναι τό αὐτοῦ ἅγιον θέλημα; Εἰ γάρ ἐπί ἀνθρώπων τοῦτο ἀδύνατον, πολλῷ μᾶλλον ἐπί Θεοῦ. Διό καί προκόπτων καί ἐπί πλεῖον προσοικειούμενος τῷ Θεῷ, ἐκ τῶν εἰς αὐτόν γινομένων παρά Θεοῦ γινώσκει καί ἅπερ μετά τῶν προλαβόντων ἁγίων ἁπάντων ἐποίησε καί ὅσα μέλλει μετά τῶν μεταγενεστέρων ποιεῖν. Περί δέ τῶν μελλόντων στεφάνων καί ἀμοιβῶν διδάσκεται μέν μυούμενος παρ' αὐτοῦ τοῦ Θεοῦ, τεκμαιρόμενος δηλονότι ὅτι ὑπέρ νοῦν καί λόγον καί διάνοιαν ταῦτά εἰσιν· οὐ μόνον δέ, ἀλλά καί νοεῖ σαφῶς ὁποῖοι μετά τήν ἀνάστασιν ἔσονται αὐτός τε καί πάντες οἱ μετ' αὐτοῦ, οὐκ ἀπολαμβάνει δέ ταῦτα νυνί, εἰ καί τινες τοῦτο λέγειν ἡμᾶς κακῶς ἐλογίσαντο. Εἰ γάρ ἐνταῦθα τό πᾶν ἀπολαμβάνειν ὑποτιθέμεθα, λοιπόν κατ' αὐτούς καί τήν ἀνάστασιν αὐτήν ἀπαρνούμεθα, τήν κρίσιν τε καί τήν ἀνταπόδοσιν, καί τήν τῶν μελλόντων ἐλπίδα ἑκουσίως ἀποβαλλόμεθα. Ἀλλ' οὐχ οὕτως ἡμεῖς φρονοῦμεν ἤ λέγομεν, ἀλλά καί τούς τοῦτο λέγοντας σφοδρῶς καθυποβάλλομεν ἀναθέματι. Τοίνυν καί νῦν μέν μετρίως τούς ἀρραβῶνας ἐντεῦθεν ἤδη ἀπολαμβάνειν τῶν ἀγαθῶν ἁπάντων ὁμολογοῦμεν καί λέγομεν, τό δέ ὅλον μετά τόν θάνατον ἐλπίζομεν λήψεσθαι, καθώς γέγραπται· «*Νῦν μέν γινώσκω, φησίν, ἐκ μέρους· ὅταν δέ ἔλθῃ τό πᾶν, τότε τό ἐκ μέρους καταργηθήσεται*». Καί ἀλλαχοῦ· «*Καί νῦν τέκνα Θεοῦ ἐσμεν καί οὔπω ἐφανερώθη τί ἐσόμεθα· οἴδαμεν δέ ὅτι, ἐάν φανερωθῇ, ὅμοιοι αὐτῷ ἐσόμεθα*».

Καί ἵνα κατά πεῦσιν καί ἀπόκρισιν τόν λόγον μεταποιήσωμεν, οἱονεί τόν εἰρηκότα τοῦτο ἐρωτήσωμεν· «*Πόθεν, ὦ ἠγαπημένε καί φίλε Χριστοῦ, οἶδας ὅτι ὅμοιος αὐτοῦ ἔσῃ; Φράσον ἡμῖν, πόθεν;*» «*Ἐκ τοῦ Πνεύματος, φησίν, οὗ ἔδωκεν ἡμῖν, ἐκ τούτου γινώσκομεν ὅτι ἐσμέν τέκνα Θεοῦ καί αὐτός ὁ Θεός ἐν ἡμῖν ἐστιν, ἐπειδή καί αὐτός ταῦτά μοι εἶπε μυστικῇ τῇ φωνῇ*». Ἀλλ' ἐπί τό προκείμενον ἐπανέλθωμεν.

Πρῶτον ἄνωθεν εἴπομεν ὅτι νοήματα ἡμῶν ἐκεῖνα λέγεσθαι δίκαιον, ὅταν ἐν τῷ ἡμετέρῳ νοΐ ἵνα λόγος περί πράγματός τινος ἀγαθοῦ ἤ κακοῦ γεννηθῇ, οἷον φέρε εἰπεῖν, ἵνα κτήσωμαί τι ἤ κακοποιήσω ἤ ἀγαθοποιήσω τινά, ἐξήγησιν δέ καί οὐχί νόημα τό περί γεγενημένων ἤδη ἤ ἑωραμένων πραγμάτων λαλεῖν. Εἶτα πάλιν εἴπομεν ὅτι περί ὧν τις οὐχ ἑώρακε πραγμάτων ἤ πόλεων ἤ θεάτρων ἤ ἀνθρώπων, πῶς λέγειν δύναται περί αὐτῶν ἤ τάς ἰδέας ἤ τάς μορφάς καί τάς θέσεις αὐτῶν ἀφηγήσασθαι; Εἰ δέ καί εἴπῃ, μυθολόγος ἄν δικαίως ὑπό τῶν ἀκουόντων αὐτόν κληθήσεται. Οἱ οὖν εἰπόντες περί τῆς τοῦ Κυρίου ἡμέρας καί περί τῆς ἐνδόξου καί φρικτῆς αὐτοῦ παρουσίας προφῆται καί ἀπόστολοι, ὅτι ὡς κλέπτης ἐν νυκτί καί ὡς ὠδίν τῇ τικτούσῃ καί ὅτι ἐν πυρί ἀποκαλύπτεται, πόθεν μαθόντες ταῦτα εἰρήκασι; Πάντως γάρ, ἤ παρά τινος ἀκηκόασιν, ἤ

αὐτόπται τῆς ἡμέρας ἐκείνης ἐγένοντο. Ἐπεί ὅ οὐκ εἶδον, ὅ παρ' ἑτέρου οὐκ ἤκουσαν λέγοντος, πῶς ἐκεῖνοι εἰρήκασιν; Εἰ οὖν ἤκουσαν, παρά τίνος εἰπέ· οὔπω γάρ τέως λέγω ὅτι εἶδον αὐτοί καί εἶπον, ἀλλ' ὅτι ἤκουσαν· εἰπέ λοιπόν, εἰ οἶδας, πόθεν ταῦτα μεμαθήκασιν. Εἰ δέ τί εἰπεῖν οὐκ ἐπίστασαι, ἄκουσον καί γνῶθι ὅτι παρά τοῦ Ἁγίου ταῦτα μεμαθήκασι Πνεύματος, καθώς αὐτοῖς καί ὁ Κύριος ἔλεγεν· «*Ὅταν δέ ἔλθῃ ὁ παράκλητος, τό Πνεῦμα τό Ἅγιον ὅ πέμπει ὁ Πατήρ ἐν τῷ ὀνόματί μου, ἐκεῖνος ὑμᾶς διδάξει πάντα καί ὑπομνήσει ὑμᾶς πάντα ἅ εἶπον ὑμῖν*». Ὅτι δέ καί ἅ οὐκ εἶπεν αὐτοῖς ὁ Χριστός, ταῦτα τό Πνεῦμα τό Ἅγιον τοῖς ἀποστόλοις ἐπελθόν ἐδίδαξε καί εἶπε, φησίν ὁ αὐτός· «*Ἔτι πολλά ἔχω λέγειν ὑμῖν, ἀλλ' οὐ δύνασθε βαστάζειν ἄρτι· ὅταν δέ ἔλθῃ ἐκεῖνος, τό Πνεῦμα τῆς ἀληθείας, ὁδηγήσει ὑμᾶς εἰς πᾶσαν τήν ἀλήθειαν· οὐ γάρ λαλήσει ἀφ' ἑαυτοῦ, ἀλλ' ὅσα ἄν ἀκούσῃ λαλήσει καί τά ἐρχόμενα ἀναγγελεῖ ὑμῖν. Ἐκεῖνος ἐμέ δοξάσει, ὅτι ἐκ τοῦ ἐμοῦ λήψεται καί ἀναγγελεῖ ὑμῖν*». Ἔμαθες πόθεν ἐδιδάχθησαν οἱ γράψαντες τά περί τῆς ἡμέρας ἐκείνης καί τῆς τοῦ Κυρίου ἐπιφανείας καί τῶν ἀποκειμένων καί ἐπελθεῖν μελλόντων τοῖς ἁμαρτωλοῖς καί δικαίοις. Οὕτω καί περί τῶν λοιπῶν πάντων τῶν μή βλεπομένων ἡμῖν αὐτοί φωτισθέντες διά τοῦ Πνεύματος εἶδον ἅμα καί ἔγραψαν.

Ἀλλ' ἐρωτῶντί μοι ἀποκρίθητι. Τό Πνεῦμα τό Ἅγιον τί ἐστι; Θεός, ἐκ Θεοῦ ἀληθινοῦ ὁμολογουμένως Θεός ἀληθινός. Σύ οὖν, ὡς ὁρᾷς, λέγεις τοῦτο Θεόν, τοῖς δόγμασι τῆς Ἐκκλησίας ἑπόμενος. Τοῦτο τοίνυν λέγων τε καί φρονῶν Θεόν ἀληθινόν ἐκ Θεοῦ ἀληθινοῦ ἐκπορευόμενον, συνιστᾷς ὅτι οἱ τό Ἅγιον ἔχοντες Πνεῦμα αὐτόν ἐκεῖνον ὁμολογουμένως ἔχουσι τόν Θεόν μένοντα πάντοτε μεθ' ἑαυτῶν, καθώς πρός τούς ἀποστόλους ὁ Χριστός ἔφη· «*Ἐάν ἀγαπᾶτέ με, τάς ἐντολάς τάς ἐμάς τηρήσετε· καί ἐγώ ἐρωτήσω τόν Πατέρα καί ἄλλον παράκλητον δώσει ὑμῖν, ἵνα μένῃ μεθ' ὑμῶν εἰς τόν αἰῶνα*». Ἰδού οὖν ἐδιδάχθης ὅτι καί μένει καί κατοικεῖ εἰς ἀτελευτήτους αἰῶνας· τό γάρ εἰπεῖν «*ἵνα μένῃ μεθ' ὑμῶν εἰς τόν αἰῶνα*» τό ἀϊδίως καί ἀτελευτήτως αὐτοῖς συνέσεσθαι καί εἶναι ἀχώριστον μετ' αὐτῶν ἔν τε τῷ νῦν καιρῷ, ἔν τε τῷ μέλλοντι αἰῶνι δηλοῖ. Ὅτι δέ καί ἑώρων τό Ἅγιον Πνεῦμα οἱ θεῖοι ἀπόστολοι καί ὅσοι τοῦτο λαβεῖν ἠξιώθησαν, ἄκουσον τό ἑπόμενον· «*Τό Πνεῦμα τῆς ἀληθείας ὅ ὁ κόσμος οὐ δύναται λαβεῖν, ὅτι οὐ θεωρεῖ αὐτό οὔτε γινώσκει αὐτό, ὑμεῖς δέ γινώσκετε αὐτό, ὅτι παρ' ὑμῖν μένει*». Ἵνα δέ γνῷς ὅτι καί τόν Χριστόν βλέπουσιν οἱ ἀγαπῶντες αὐτόν καί τάς ἐντολάς αὐτοῦ φυλάσσοντες, αὐτοῦ τοῦ Κυρίου ἄκουσον λέγοντος· «*Ὁ ἔχων τάς ἐντολάς μου καί τηρῶν αὐτάς, ἐκεῖνός ἐστιν ὁ ἀγαπῶν με· ὁ δέ ἀγαπῶν με ἀγαπηθήσεται ὑπό τοῦ πατρός μου, καί ἐγώ ἀγαπήσω αὐτόν καί ἐμφανίσω αὐτῷ ἐμαυτόν*».

Γνωστόν τοιγαροῦν ἔστω πᾶσι χριστιανοῖς ὅτι ὁ Χριστός ἀψευδής καί Θεός ἀληθινός ἐστι καί τοῖς τήν πρός αὐτόν ἀγάπην διά τῆς τηρήσεως τῶν ἐντολῶν αὐτοῦ ἐνδεικνυμένοις ὁμολογουμένως ἐμφανίζεται, καθώς εἶπεν αὐτός· αὐτό τε τό Ἅγιον Πνεῦμα διά τῆς ἐμφανείας αὐτοῦ δωρεῖται αὐτοῖς καί διά τοῦ Ἁγίου πάλιν Πνεύματος αὐτός καί ὁ Πατήρ ἀχωρίστως μένουσιν μετ' αὐτῶν. Οἱ δέ τοιοῦτοι ἀφ' ἑαυτῶν λαλοῦσιν οὐδέν· ὁ δέ λέγων λαλεῖν αὐτούς τι ἀφ' ἑαυτῶν, δυνατόν εἶναι λέγει εἰδέναι

καί ἄνθρωπον τά τοῦ ἀνθρώπου καί ἀνθρώπους ὡσαύτως τά τοῦ Θεοῦ· εἰ δέ μή τοῦτο, ἀλλά ψεύστας καί μυθολόγους ἀποκαλεῖ, ὡς μή ἐξ αὐτοῦ διδασκομένους, ἀλλά περί ὧν οὐκ εἶδον ἤ ἤκουσαν ἀπό οἰκείων συλλογισμῶν ἑτέρους διδάσκοντας. Ἀλλά χρεών εἰδέναι, ὅτι, εἰ συνᾴδοντα καί οὗτοι τοῖς προλαβοῦσι θεοφόροις πατράσι φθέγγονται, ἐν τῷ αὐτῷ Πνεύματι καί αὐτοί δηλονότι φθέγγονται καί οἱ αὐτοῖς ἀπιστοῦντες ἤ καί ἐνδιαβάλλοντες εἰς τόν δι' αὐτῶν φθεγγόμενον ἁμαρτάνουσιν.

Ἐδιδάχθης τοίνυν, ἀγαπητέ, ὅτι ἡ βασιλεία τῶν οὐρανῶν ἐντός σου, εἰ θέλεις, ἐστί καί τά αἰώνια ἅπαντα ἀγαθά ἐν χερσί σου εἰσί. Σπεῦσον οὖν ἰδεῖν καί λαβεῖν καί ἐν σεαυτῷ κτήσασθαι τά ἀποκείμενα ἀγαθά καί μή διά τοῦ οἴεσθαι ταῦτα ἔχειν ἀποστερηθήσῃ πάντων αὐτῶν· κλαῦσον, πρόσπεσον, ὥσπερ ποτέ ὁ τυφλός, οὕτω καί νῦν καί σύ καί εἰπέ· «*Ἐλέησόν με, Υἱέ τοῦ Θεοῦ, καί διάνοιξόν μου τούς ὀφθαλμούς τῆς ψυχῆς, ἵνα ἴδω τό φῶς τοῦ κόσμου, σέ τόν Θεόν, καί γενήσομαι υἱός ἡμέρας θείας κἀγώ· καί μή ἄμοιρον, ὡς ἀνάξιον, τῆς σῆς θεότητος καταλείψῃς με, Ἀγαθέ. Ἐμφάνισόν μοι, Κύριε, σεαυτόν, ἵνα γνώσωμαι ὅτι ἠγάπησάς με, ὡς τάς θείας τηρήσαντά σου, Δέσποτα, ἐντολάς. Πέμψον τόν παράκλητον, οἰκτίρμον, καί ἐπ' ἐμοί, ἵνα αὐτός με διδάξῃ τά περί σοῦ καί τά σά ἀναγγείλῃ μοι, ὦ Θεέ τοῦ παντός. Λάμψον ἐπ' ἐμοί τό φῶς τό ἀληθινόν, εὔσπλαγχνε, ἵνα ἴδω τήν δόξαν τήν σήν, ἥν εἶχες πρό τοῦ τόν κόσμον γενέσθαι παρά τῷ σῷ Πατρί. Μεῖνον, ὡς εἶπας, καί ἐν ἐμοί. Μορφωθῆναι θέλησον, ἀόρατε, ἐν ἐμοί, ἵνα βλέπων τό ἀμήχανον κάλλος σου, τήν εἰκόνα, ἐπουράνιε, φορέσω τήν σήν καί πάντα τά ὁρατά ἐπιλάθωμαι. Δός μοι τήν δόξαν ἥν σοι δέδωκεν, εὔσπλαγχνε, ὁ Πατήρ, ἵνα ὅμοιός σοι ὡς πάντες οἱ δοῦλοί σου γένωμαι κατά χάριν θεός καί συνέσομαί σοι διηνεκῶς νῦν καί ἀεί καί εἰς ἀπεράντους αἰῶνας, ἀμήν*».

Ναί, ἀδελφέ μου ἀγαπητέ, πίστευσον καί πείσθητι ὅτι οὕτως ἐστί καί αὕτη ἡ πίστις ἡμῶν. Τοῦτο οὖν ἐστι, πίστευσον, ἀδελφέ, τό ἀναγεννηθῆναι καί ἀνακαινισθῆναι καί ζῆσαι τήν ἐν Χριστῷ ζωήν. Ἤ οὐκ ἀκούεις τόν μέγαν Βασίλειον λέγοντα εἰς τόν προτρεπτικόν αὐτοῦ λόγον τῶν Φώτων· «*Οὐκ ἐπιθυμεῖς σεαυτόν ἰδεῖν, ἄνθρωπε, ἀπό γέροντος νέον γινόμενον;*», καί τόν Παῦλον· «*Εἴ τις ἐν Χριστῷ, καινή κτίσις· τά ἀρχαῖα παρῆλθεν, ἰδού γέγονε τά πάντα καινά*». Ποῖα πάντα λέγει τοιγαροῦν; Εἰπέ, σύ, εἰπέ. Μή ὁ οὐρανός ἐνηλλάγη; Μή ἡ γῆ; Ἀλλά ὁ ἥλιος, ἤ οἱ ἀστέρες, ἤ ἡ θάλασσα, ἤ τι τῶν βλεπομένων καινόν καί πρόσφατον γέγονεν; Ἀλλ' οὐκ ἔχεις τοῦτο εἰπεῖν· πρός ἡμᾶς γάρ καί δι' ἡμᾶς τοῦτο εἴρηκε. Νεκροί γάρ ὄντες, πρός ζωήν ἀνιστάμεθα· φθαρτοί, καί εἰς ἀφθαρσίαν μεταποιούμεθα· θνητοί, καί εἰς ἀθανασίαν μεταβαλλόμεθα· γήϊνοι, καί γινόμεθα ἐπουράνιοι· σαρκικοί ἐκ σαρκός τήν γένεσιν ἔχοντες, καί πνευματικοί γινόμεθα, τῷ Ἁγίῳ ἀναγεννώμενοι καί ἀναπλαττόμενοι Πνεύματι.

Ταῦτα τοιγαροῦν ἡ ἐν Χριστῷ καινή κτίσις εἰσίν, ἀδελφοί· ταῦτα εἰς τούς ἀληθινούς πιστούς καί ἐκλεκτούς καθ' ἑκάστην ἐπιτελοῦνται καί γίνονται, καί τούτων ἁπάντων μέτοχοι μερικῶς, ὡς πολλάκις εἴπομεν, ἐν σώματι ὄντες, γνωστῶς γίνονται· οὐ μόνον δέ ἀλλά καί μετά θάνατον ὁλοτελῶς ταῦτα καί βεβαίως κληρονομῆσαι ἐλπίζουσιν, ὅλοι

δηλαδή ἐν ὅλοις τοῖς νυνί μεταληφθεῖσι γινόμενοι ἀγαθοῖς. Εἰ γάρ καί τόν Χριστόν ἐσθίειν καί πίνειν, ἐνδύεσθαί τε καί ὁρᾶν καί αὖθις ὁρᾶσθαι παρ' αὐτοῦ ἀεί διδασκόμεθα, ἀλλά καί ἐν ἡμῖν αὐτόν ἔχειν καί ἐν αὐτῷ πάλιν μένειν ἡμᾶς οἴδαμεν, ὡς αὐτόν μέν εἶναι ἡμῶν ἔνοικον, ἡμᾶς δέ πάλιν ἐνοίκους αὐτοῦ, οἰκίᾳ γινομένῳ δηλονότι ἡμῖν καθά καί ἡμεῖς πάλιν οἰκία γινόμεθα αὐτῷ, εἶτα καί υἱοί μέν ἡμεῖς αὐτοῦ, αὐτός δέ πατήρ ἡμῶν γίνεται, καί φῶς ἐκεῖνος ἐν σκότει λάμπον ἐστίν, αὐτόν δέ βλέπειν ἡμεῖς λέγομεν κατά τό «*ὁ λαός ὁ καθήμενος ἐν σκότει εἶδε φῶς μέγα*», ἐάν οὖν ταῦτα πάντα καί τά λοιπά, ὡς δεδήλωται, ὅσα δηλονότι αἱ θεῖαι Γραφαί γίνεσθαι ἐν ἡμῖν ἐν τῷ ἐνεστῶτι καιρῷ τῆς παρούσης ζωῆς ἐκδιδάσκουσι, μηδόλως γίνεσθαι λέγωμεν εἰς ἡμᾶς, ἤ γίνεσθαι μέν, μυστικῶς δέ καί ἀνεπαισθήτως, μηδέν πρός ταῦτα γινωσκόντων ἡμῶν, τί νεκρῶν διαφέρομεν;

Μή δή τῇ ἀπιστίᾳ οὕτως ἑαυτούς ἐκδιδόντες, εἰς βυθόν ἀπωλείας κατέρχεσθε· ἀλλ' εἰ καί μέχρι τοῦ νῦν αἴσθησιν τῶν τοιούτων λαβεῖν οὐκ ἠλπίσατε καί διά τοῦτο οὐδέν ᾐτήσασθε, κἄν ἀπό τοῦ παρόντος πληροφορήθητε, πρῶτον ἀληθῆ ταῦτα πιστεύσαντες εἶναι καί συνᾴδοντα ταῖς θείαις Γραφαῖς, πάσας αὐτάς δηλονότι διεξερχόμενοι, ὅτι ἐντεῦθεν ἤδη γνωστῶς ἡ σφραγίς τοῦ Ἁγίου Πνεύματος ἡμῖν τοῖς πιστοῖς δίδοται. Καί πιστεύσαντες οὕτω διώκετε ἵνα καταλάβητε, οὕτω πυκτεύσατε ὡς οὐκ ἀέρα δέροντες· καί πρός τούτοις «*αἰτεῖτε καί δοθήσεται ὑμῖν· κρούετε καί ἀνοιγήσεται ὑμῖν*», εἴτε ἐνταῦθα εἴτε ἐν τῷ αἰῶνι τῷ μέλλοντι. Τέως διδάσκεσθε, τέως μετανοεῖτε, ὑποτάσσεσθε, νηστεύετε, κλαίετε, εὔχεσθε· καί οὕτω διά τούτων καί τῶν τοιούτων τρέχετε, πυκτεύετε, διώκετε, ζητεῖτε, κρούετε, αἰτεῖσθε, πρός μηδέν ἕτερον ἀπονεύοντες, ἕως καταλάβητε, ἕως δράξησθε, ἕως λάβητε, ἕως ὑμῖν ἀνοιγῇ καί εἰσέλθητε, ἕως ἔνδον τοῦ νυμφῶνος τόν νυμφίον θεάσησθε, ἕως ἀκούσητε· «*Εὖ, δοῦλε ἀγαθέ καί πιστέ, ἐπί ὀλίγα ἦς πιστός, ἐπί πολλῶν σε καταστήσω*», ἕως υἱοί φωτός καί υἱοί ἡμέρας γένησθε. Ἀλλά γάρ μή πρό τοῦ ταῦτα καί ἰδεῖν καί λαβεῖν καί παθεῖν φρεναπατοῦντες ὑμᾶς ἑαυτούς καί παραλογιζόμενοι εἶναί τι δοκεῖτε μηδέν ὄντες, καί ὡς ἀναπεπτωκότες τῇ συνειδήσει πνευματικούς ἑαυτούς εἶναι πρό τοῦ τό Πνεῦμα τό Ἅγιον λαβεῖν οἴεσθε, καί διά τοῦτο εἰς τό ἀναδέχεσθαι λογισμούς ἀλλοτρίους ἀσυνέτως ἐπείγεσθε καί εἰς ἡγουμενείας καί ἀρχάς ἐπιβαίνετε καί ἱερωσύνης ἀφόβως κατατολμᾶτε καί πρός μητροπόλεις καί ἐπισκοπάς τοῦ ποιμαίνειν τόν τοῦ Κυρίου λαόν ἑαυτούς ὑμᾶς διά μυρίων μεθόδων ἀναιδῶς ἐπιδίδοτε. Ἀλλά προσέχετε, παρακαλῶ, ἑαυτοῖς, τά ἄνω φρονοῦντες, τά ἄνω ζητοῦντες, τά ἄνω ἐπιποθοῦντες, μηδενός τῶν ἐπιγείων, πρό τοῦ λαβεῖν ἐκεῖνα, φροντίζοντες.

Ναί, καταφρονήσωμεν πάντων τῶν ὁρωμένων, ἀξιῶ τήν ἀγάπην ὑμῶν· ἀποδεισώμεθα τά ἀνθρώπινα πάντα, ἅπαντα τά ἐμπαθῆ καί βλαβερά βδελυξώμεθα, ἵνα καί τῶν ἐνταῦθα καί τῶν μελλόντων ἐπιτύχωμεν ἀγαθῶν ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ πρέπει πᾶσα δόξα, τιμή καί προσκύνησις σύν τῷ ἀνάρχῳ Πατρί καί τῷ παναγίῳ καί ἀγαθῷ καί ζωοποιῷ Πνεύματι, τῷ ἑνί τρισαγίῳ φωτί, νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων· ἀμήν.

## ΛΟΓΟΣ στ΄. Περί ἀπαθείας καί ἐναρέτου ζωῆς. Καί ὅπως χρή τό οἰκεῖον ἐκκόπτειν θέλημα καί εἰς ὕψος ἀνέρχεσθαι τελειότητος. Καί περί συναφείας Θεοῦ πρός ψυχήν καί ψυχῆς πρός σῶμα καί ἑνώσεως τῶν τριῶν παραδόξου. Καί πρός τούτοις περί πνευματικῆς ἰατρείας καί ὅπως χρή θεραπεύειν τούς ψυχικῶς ἀσθενοῦντας.

Πολλοῖς τοῖς ἐν κόσμῳ πολλάκις προσομιλήσας καί τινων συζητήσεων ἀναμεταξύ κινηθεισῶν, περί ἐμπαθείας, φημί, καί ἀπαθείας, λεγόντων ἀκήκοα σχεδόν ἁπάντων, οὐ μόνον τῶν ἀτελῶν εἰς ἀρετήν καί εὐσέβειαν, ἀλλά καί αὐτῶν τῶν δοκούντων εἶναι τελείων εἰς ἀρετήν καί τά ὀνόματα καί τήν φήμην μεγάλην ἐχόντων κατά τόν κόσμον, ὡς οὐκ ἐνδέχεται ἄνθρωπος εἰς τοσοῦτον ὕψος ἀπαθείας ἐλθεῖν, ὥσθ᾿ ὁμιλῆσαι καί συνεστιαθῆναι γυναιξί καί μηδεμίαν βλάβην ὑποστῆναι, μήτε τινά κίνησιν ἤ μολυσμόν ἐν τῷ λεληθότι παθεῖν. Τούτων αὐτήκοος ἐγώ γεγονώς, μεγάλης ἐπληρώθην τῆς ἀθυμίας καί θρηνεῖν ὑπέρ τῶν ταῦτα λεγόντων καί κλαίειν ἐκ πολλῆς συμπαθείας βιάζομαι, ἀκριβῶς εἰδώς ὧν μή ἄλλως ταῦτα λέγειν αὐτούς εἰ μή ἐκ πολλῆς ἀγνοίας τῶν χαρισμάτων τοῦ Θεοῦ. Εἰ μή γάρ ἐστερημένοι τῆς ὄντως ἀπαθείας ὑπῆρχον καί ἐν τῷ σκότει τῶν παθῶν ἐκαλύπτοντο καί δοῦλοι τῶν ἡδονῶν καί τῶν τῆς σαρκός θελημάτων ἐτύγχανον, οὐκ ἄν τήν ζωοποιόν τοῦ Ἰησοῦ καί Θεοῦ νέκρωσιν, τοῖς μέλεσι τῶν ἁγίων αὐτοῦ χαρίζεται, ἠγνόουν καί ἠπίστουν περί αὐτῆς.

Πῶς γάρ καί πιστεύσουσιν οἱ τοιοῦτοί ποτε νεκρούς εἶναι καί γίνεσθαι τῷ κόσμῳ τινάς καί μόνην ζῶντας ζωήν τήν ἐν Πνεύματι, οἵτινες διά βίου παντός σπουδήν ἔθεντο ἐν ὑποκρίσει πάντα ποιεῖν, ἵνα ἀνθρώποις ἀρέσωσι καί θεοφιλεῖς παρ᾿ αὐτῶν ὀνομάζωνται; Ὡς γάρ ἐν πάθεσιν οἴονται κατορθοῦν τήν ἀπάθειαν, ὅλως ἁμαρτία ὄντες τε καί γενόμενοι, καί ὡς μόνους τούς τῶν ἀνθρώπων ἐπαίνους ἀρκεῖν εἰς ἀρετήν καί ἁγιότητα πείθουσιν ἑαυτούς, οὕτω καί τήν ἀπάθειαν ἀπαρνούμενοι, ἅγιοι εἶναι καί λέγεσθαι βούλονται ταύτης χωρίς, ὡς ἐκ τῶν ἀνθρωπίνων ἐπαίνων τήν ἁγιωσύνην κτησάμενοι. Τόν γάρ μή ἐπαινούμενον ἁπλῶς καί ὡς ἔτυχε παρά τῶν πολλῶν οὐδενός λόγου ἄξιον εἶναι κρίνουσιν, ἀγνοοῦντες, ὡς εἰκός, ὅτι κρείσσων εἷς γινώσκων Θεόν καί ὑπ᾿ αὐτοῦ γινωσκόμενος ὑπέρ μυριάδας ἀπίστων τῶν μή εἰδότων Θεόν, κἄν παρά παντός τοῦ κόσμου ἐπαινῶνται καί μακαρίζωνται, ὥσπερ καί εἷς βλέπων ὑπέρ ἄπειρα πλήθη ἀμβλυωπούντων.Ὅτι γάρ ἔνι τινά τῶν ἐν ἀληθείᾳ ἀγωνιζομένων εἰς τοιαύτην ἐλευθερίαν ἐλθεῖν καί τόν ἅπαξ μέτοχον τῆς τοῦ Θεοῦ χάριτος γενόμενον εἰς ἀπάθειαν ψυχῆς καί σώματος καταντῆσαι, ὥστε, μή μόνον μετά γυναικῶν συνεσθίοντα καί αὐταῖς ὁμιλοῦντα, ἀνενόχλητον αὐτόν καί ἀπαθῆ διαμένειν, ἀλλά καί ἐν μέσαις στρεφόμενον πόλεσι, τραγῳδούντων τε καί κιθαρῳδούντων ἀκούοντα καί ὁρῶντα γελῶντας καί ὀρχουμένους καί παίζοντας, μηδέν παραβλάπτεσθαι, πᾶσα μέν συγγραφή μαρτυρεῖ, πᾶσα δέ ἱστορία καί τῶν ἁγίων αἱ πράξεις τοιαύτας τάς μαρτυρίας ἡμῖν διαγράφουσι, καί τούτου ἕνεκεν

πᾶσα πρᾶξις ἐναγώνιος καί πᾶσα κακοπάθεια παρά τῶν εὐσεβούντων ἐπιτελεῖται.

Ὁ γάρ τῶν κατά Θεόν ἀγωνιζομένων σκοπός τοιοῦτός ἐστι, πρῶτον μέν ἐκφυγεῖν κόσμον ἅπαντα καί τά ἐν τῷ κόσμῳ. Κόσμον δέ λέγω τήν παροῦσαν ζωήν, ἤγουν τόν αἰῶνα τοῦτον τόν πρόσκαιρον, τά δέ ἐν τῷ κόσμῳ, τά περί ἡμᾶς πάντα ἅπερ καταλιμπάνειν ἡμᾶς ὁ Λόγος διακελεύεται, ἀφ' ὧν καί φεύγειν ἐκ παντός χρή, οἷον ἀπό πατρός καί μητρός, ἀδελφῶν τε καί συγγενῶν καί φίλων, ἔτι δέ ἀπό κτημάτων καί χρημάτων καί περιουσίας καί πλούτου παντός, οὐχ ὡς ἀπηγορευμένων ὄντων αὐτῶν ἤ καί ἐπιβλαβῶν, ἀλλ' ὡς μή δυναμένων ἡμῶν, ἐν μέσῳ αὐτῶν στρεφομένων, τῆς αὐτῶν προσπαθείας ἀπαλλαγῆναι· ὁ γάρ ἤδη ταῖς ἡδοναῖς συγκραθείς, εἰ μή τάς αἰτίας αὐτῶν ἐκφύγοι καί μακράν γένηται ἀπ' αὐτῶν, οὐκ ἄν τῶν ἐπιθυμιῶν αὐτῶν ἐλευθερωθήσεται. Μετά δέ τό γενέσθαι γυμνός πάντων τῶν προσόντων, τότε καί αὐτήν ἑαυτοῦ ὀφείλει, εἰ σπουδαῖός ἐστιν, ἀπαρνήσασθαι τήν ψυχήν· ὅπερ καί κατορθοῦται ἐν τῇ τοῦ οἰκείου ἀπονεκρώσει θελήματος, οὐ λέγω μόνου τοῦ ἔξωθεν, οἷον μή φαγεῖν, μή πιεῖν, μή προπετῶς τι διαπράξασθαι, μή ὑπνῶσαι, μή τι τῶν δοκούντων εἶναι καλῶν ἄνευ ἐπιταγῆς ποιῆσαι, ἀλλά καί τοῦ ἔσωθεν, φημί, τῆς καρδιάς κινήματος, οἷον μή βλέψαι ἐμπαθῶς, μή ὡσαύτως ἀσπάσασθαι, μή μέμψασθαι ἀφανῶς, μή κατακρῖναί τινα, μή ἐπιχαρῆναι πτώσει τινός, μή ὀργισθῆναι κατά διάνοιαν, μή φθονῆσαι κακῶς, μή ζηλῶσαι ἐν πονηρίᾳ.

Πῶς πάντα τά τῆς εὐσεβείας ἀπαριθμήσομαι ἰδιώματα, ἵνα καί δείξω σοι ἀκριβῶς τῶν χριστιανῶν τήν ἀκρίβειαν; Πλήν ἔτι τά τῆς ζωοποιοῦ νεκρώσεως μάνθανε, τοῦ μή κρῦψαι λογισμόν μηδέ τόν τυχόντα ποτέ, μή παρελθεῖν δακρύων χωρίς ἡμέραν μίαν τό κατά δύναμιν, μή τρῖψαι τήν ὄψιν κατά τήν συνήθειαν ὕδατι, μή τῆς κόμης κοσμῆσαι τάς τρίχας, ἤ καί τοῦ πώγωνος, μή λῦσαι τήν ζώνην εἰς ὕπνον τρεπόμενος, ἵνα μή χαυνωθείς ὑπνώσῃ πλέον τοῦ δέοντος, μή βάλαι χεῖρα εἴσω καί κνῆσαι μέλος τοῦ σώματος, ἀλλά καί φυλάξασθαι ἀπό ἑτέρας ἁφῆς, μή ἐνατενίσαι ἁπλῶς μηδέ εἰς γηράσαντος ὄψιν - ὁ γάρ μεσάζων τοῖς κακοῖς πανταχοῦ πάρεστι -, μή ἐννεῦσαί τινι κατά ἑτέρου τινός, μή λαλῆσαι μηδέν ὅ μή συμφέρει καί σιωπῆσαι ὅ καί λαληθῆναι ἄξιον, μή καταλεῖψαι τόν συνήθη κανόνα μέχρι θανάτου ποτέ, μή κτήσασθαι μετά τινος μερικήν φιλίαν, εἰ καί ἁγίου δοκεῖ ἔχειν ὑπόληψιν, μή ἐν μέρει ἤ καθόλου καλλωπισμῶν φροντίσαι ἐνδύματος ἤ ὑποδήματος, εἰ μή μόνην τήν χρείαν σεμνήν ὁμοῦ καί εὐσχήμονα, μή ἐνηδόνως τινός γεύσασθαι μηδέ φαγεῖν ὅ τῇ ψυχῇ διά τῆς ὁράσεως ἤρεσεν. Ἐν τούτοις γάρ πᾶσι καί ἐν πλείοσιν ἄλλοις ὁ ἀγωνιζόμενος ἐγκρατεύεται· καί διά τούτων πάντως, εἰ χαύνως καί ῥαθύμως πορεύεται, τό οἰκεῖον καθ' ὥραν ἐκπληροῖ θέλημα, εἰ και τοῖς ἀνθρώποις ὡς ἀποταξάμενος μακαρίζεται. Τῶν γάρ ἔξωθέν τις καί βλεπομένων τοῖς πᾶσιν ἐγκρατευόμενος παρά τῶν μή καλῶς εἰδότων ὁρᾶν ὡς ἐργάτης ἀνακηρύττεται, τά δέ κρύφια τῆς καρδίας θελήματα ἐκπληρῶν, ὡς ἀκάθαρτος παρά Θεῷ μισεῖται καί ἀποστρέφεται· κἄν εἰ χίλια ἔτη οὕτω ποιήσῃ ἀγωνιζόμενος, οὐδεμίαν εὑρήσει ἐκ τῶν ἔξωθεν μόνων ἀγώνων ὠφέλειαν.

Ὁ δέ εἰς πάντα ἐγκρατευόμενος καί τήν ψυχήν προπαιδεύων ἀτάκτως μή περιφέρεσθαι

μηδέ ποιεῖν ἐν μηδενί ὧν ὁ Θεός ἀπαρέσκεται τό ἑαυτῆς θέλημα, ἀλλ' ὅλην, ὥσπερ ἐπί κάλου τινός ἀεροβατοῦσαν, τοῖς τοῦ Θεοῦ ὁδεύειν θερμῶς ἀναγκάζων προστάγμασιν, οὗτος ἐν ὀλίγῳ καιρῷ ἐν αὐτοῖς αὐτόν εὑρήσει κεκρυμμένον τοῖς θείοις αὐτοῦ ἐντάλμασιν. Ὧ καί ἐντυχών, πάσης ἄλλης ἐργασίας ἐπιλαθόμενος ἐκπλαγήσεται προσπεσών αὐτόν καί μόνον ὁρᾶν ἀγαπήσει. Οὗ καί κρυβέντος ἐξ ὀφθαλμῶν αὐτοῦ, ἀπορήσας οὗτος, πάλιν τήν ὁδόν ἄνωθεν ἀπαρξάμενος, τρέχει σφοδρότερον, ἐντονώτερον, ἀσφαλέστερον· ὁρᾷ κάτω, περιπατεῖ σύννους, τῇ μνήμῃ φλέγεται, τῷ πόθῳ καίεται, τῇ ἐλπίδι τοῦ πάλιν ἐκεῖνον ἰδεῖν ἀνάπτεται· καί, ὅταν πολλά δραμών κατάκοπος γένηται καί φθάσαι μή δυνηθῇ, ἀλλά καί παντελῶς καταπέσῃ, δραμεῖν μή δυνάμενος, τηνικαῦτα βλέπει τόν διωκόμενον καί τόν φεύγοντα φθάνει καί κρατεῖ τόν ποθούμενον καί γίνεται ὅλος ἔξω τοῦ κόσμου καί αὐτοῦ ὅλου τοῦ κόσμου ἐπιλανθάνεται, συνάπτεται τοῖς ἀγγέλοις, τῷ φωτί ἀναμίγνυται, ἀπογεύεται τῆς ζωῆς, τῇ ἀθανασίᾳ συμπλέκεται, ἐν ἀπολαύσει γίνεται τῆς τρυφῆς, εἰς τρίτον ἀνέρχεται οὐρανόν, ἁρπάζεται εἰς παράδεισον, ἀκούει ἄρρητα ῥήματα, εἰς τόν νυμφῶνα εἰσέρχεται, εἰς τόν παστόν παραγίνεται, τόν νυμφίον ὁρᾷ, τοῦ πνευματικοῦ γάμου ἐν μετοχῇ γίνεται, τοῦ μυστικοῦ κρατῆρος ἐμπίπλαται, τοῦ μόσχου τοῦ σιτευτοῦ, τοῦ ἄρτου τοῦ ζωηροῦ, τοῦ πόματος τῆς ζωῆς, τοῦ ἀμώμου ἀμνοῦ, τοῦ μάννα τοῦ νοητοῦ, πάντων τῶν ἀγαθῶν ἐκείνων ἐν ἀπολαύσει γίνεται, εἰς ἅ οὐδέ τῶν ἀγγέλων αἱ δυνάμεις ἀδεῶς ἐνατενίσαι τολμῶσιν.

Οὕτως ἔχων πυροῦται τῷ πνεύματι καί πῦρ ὅλος γίνεται τῇ ψυχῇ, μεταδιδούς καί τῷ σώματι τῆς οἰκείας λαμπρότητος, δίκην τοῦ ὁρωμένου πυρός τήν οἰκείαν τῷ σιδήρῳ φύσιν μεταδιδοῦντος, καί γίνεται ἡ ψυχή τῷ σώματι ὅπερ γέγονε τῇ ψυχῇ ὁ Θεός, καθά φησιν ἡ θεολόγος φωνή· οὔτε γάρ ψυχή ζῆν δύναται, μή φωτιζομένη παρά τοῦ κτίσαντος, οὔτε σῶμα, μή παρά τῆς ψυχῆς δυναμούμενον. Σκόπει ἀκριβῶς τῶν λεγομένων τήν δύναμιν. Σῶμα, ψυχή καί Θεός, τά τρία ταῦτα. Θεός ἄναρχος, ἀτελεύτητος, ἀπρόσιτος, ἀνεξιχνίαστος, ἀόρατος, ἄρρητος, ἀναφής, ἀψηλάφητος, ἀπαθής, ἀνεκδιήγητος, ἐπ' ἐσχάτου τῶν ἡμερῶν φανείς ἡμῖν ἐν σαρκί δι' Υἱοῦ καί γνωρισθείς διά τοῦ παναγίου αὐτοῦ Πνεύματος, ὡς πιστεύομεν, ἴσος ἡμῖν κατά πάντα χωρίς ἁμαρτίας, ψυχῇ νοερᾷ μίγνυται διά τήν ἐμήν ψυχήν, ὥς πού τις ἔφη, ἵνα καί τό πνεῦμα σώσῃ καί τήν σάρκα ἀθανατίσῃ. Ἀλλά μήν καί ἐπαγγέλεται λέγων· «*Ἐνοικήσω ἐν αὐτοῖς καί ἐμπεριπατήσω. Καί ἐγώ καί ὁ Πατήρ ἐλευσόμεθα καί μονήν παρ' αὐτοῖς ποιησόμεθα*», δηλαδή τοῖς πιστεύουσι καί τήν πίστιν ἐκ τῶν προειρημένων ἔργων ἐνδεικνυμένοις. Ἀλλά πρόσεχε. Θεοῦ κατά τάς ἀψευδεῖς ἐπαγγελίας ἐνοικοῦντος ἐν ἡμῖν τοῖς γνησίοις δούλοις αὐτοῦ καί διά τῶν ἐνεργειῶν καί ἐλλάμψεων τοῦ παναγίου Πνεύματος ἐμπεριπατοῦντος ἐν ταῖς ἡμετέραις ψυχαῖς, ἀχωρίστους εἶναι τοῦ Θεοῦ τάς ἀξίας τῶν τοιούτων ψυχάς ὁμολογουμένως πιστεύομεν. Τῶν δέ ψυχῶν πάλιν διϊκνουμένων ἐν ὅλῳ τῷ σώματι καί μηδενί μέρει ἀπολιμπανομένων, ἀνάγκη πάντως καί αὐτήν τήν σάρκα, ἀχώριστον οὖσαν τῆς ψυχῆς, μᾶλλον δέ μηδέ ζῆν χωρίς αὐτῆς δυναμένην, ὅλην ἄγεσθαι τῆς ψυχῆς τῷ θελήματι· καί ὡς οὐκ ἔστι σῶμα ζῆν ἄνευ ψυχῆς, οὕτως οὐδέ θέλημα ἔνι τό σῶμα ἔχειν τότε παρεκτός τῆς ψυχῆς.

Ἀποδέδεικται τοίνυν ὅτι, ὥσπερ ἐν Πατρί καί Υἱῷ καί Ἁγίῳ Πνεύματι εἷς Θεός ἀσυγχύτως καί ἀδιαιρέτως προσκυνεῖται, οὕτω πάλιν ἐν Θεῷ καί ψυχῇ καί σώματι ἀδιαιρέτως καί ἀσυγχύτως θεός κατά χάριν ὁ ἄνθρωπος γίνεται, μήτε τοῦ σώματος εἰς ψυχήν μεταβαλλομένου, μήτε τῆς ψυχῆς εἰς θεότητα μεταποιουμένης, μήτε τοῦ Θεοῦ τῇ ψυχῇ συγχεομένου, μήτε τῆς ψυχῆς εἰς σάρκα μεταπηγνυμένης, ἀλλά μένων ὁ Θεός καθό Θεός ἐστι καί ἡ ψυχή καθώς ἔχει φύσεως καί τό σῶμα, καθώς ἐπλάσθη, πηλός. Ὁ παραδόξως συνδήσας αὐτά καί τό νοερόν τε καί ἄϋλον τῷ πηλῷ συγκεράσας, αὐτός ἀμφοτέροις τούτοις ἀσυγχύτως ἑνοῦται κἀγώ κατ’ εἰκόνα καί ὁμοίωσιν ἐκείνου, ὡς ὁ Λόγος ἀπέδειξε, γίνομαι. Ἀλλά πάλιν, εἰ δοκεῖ, τόν λόγον ἐπαναλάβωμεν· ὑφ’ ἡδονῆς γάρ κινούμενος καί χαρᾶς, ἔτι τοῖς εἰρημένοις προσμένειν βούλομαι, ἵνα καί τόν νοῦν τῶν τοιούτων ἐκδηλότερον ἀνατάξωμαι. Πατήρ, Υἱός καί Ἅγιον Πνεῦμα εἷς Θεός ὅν σεβόμεθα. Θεός, ψυχή καί σῶμα, ὁ κατ’ εἰκόνα Θεοῦ κτισθείς ἄνθρωπος καί θεός εἶναι καταξιούμενος.

Τί οὖν μοι ταῦτα καί πρός τί λεπτότερον εἴρηται καί διά τί μακρόν τόν λόγον ἐξέτεινα, ἤ ἵνα αἰσχυνθῶσι, μᾶλλον δέ οἱ τό κατ’ εἰκόνα μή ἔχοντες ἑαυτούς ἐπιγνώσωνται καί οἱ κεχωρισμένοι ἀπό τοῦ Θεοῦ ἑαυτούς ἀποκλαύσωνται καί τίνων ἐστέρηνται γνώσωσι καί ὑφ’ ὧν κατέχονται τῇ ἀκροάσει τοῦ λόγου διακρίνωσι και οἷον αὐτούς σκότος κατακαλύπτει νοήσωσι καί Θεόν διδάσκειν τρομάσωσι, μᾶλλον δέ, ἵνα συγκαταβατικώτερον εἴπω, τοῖς τήν χάριν ἐν ἑαυτοῖς ἔχουσι τοῦ Θεοῦ καί πάντα διδασκομένοις δι’ αὐτῆς καί πάντα ἰσχύουσιν ἐν αὐτῇ ἀντιλέγειν φρίξωσι καί παύσωνται λέγειν μή εἶναι δυνατόν τινα τῶν κατά Θεόν ζώντων, ἐν κόσμῳ ἀναστρεφόμενον καί μετά γυναικῶν συνεσθίοντα ἤ αὐταῖς ὁμιλοῦντα, ἀμόλυντον νοητῶς τε καί αἰσθητῶς διαμένειν; Θεός ἀπαθής ἐστι, μή προσπάσχων τοῖς ὁρωμένοις. Καί οἶδα πάλιν ὅτι οἱ μή ὁρᾶν ἰσχύοντες τοῖς τῆς ψυχῆς ὀφθαλμοῖς μηδέ τοῖς αἰσθητηρίοις αὐτῆς αἰσθανόμενοι, τοῦ λεγομένου τήν δύναμιν μή νοήσαντες, οὕτω πως ἀνταποκριθήσονται· «*Ὅτι μέν ὁ Θεός, φησίν, ἀπαθής ἐστιν, οἴδαμεν· ἀλλ’ οὐ περί Θεοῦ, περί δέ ἀνθρώπου πάντως ἡμεῖς ἀμφιβάλλομεν*».

Ἀλλά καί ὁ λόγος διά τοῦτο προλαβών τά τούτων ἐνέφραξε στόματα, θεόν εἰπών καί τόν ἄνθρωπον κατά χάριν γινόμενον, ἤγουν τῇ δωρεᾷ τοῦ παναγίου Πνεύματος. Ὥσπερ γάρ οὐκ ἔνι τόν ἥλιον ἐν βορβόρῳ λάμποντα μολυνθῆναι τάς ἀκτῖνάς ποτε, οὕτως οὐδέ τοῦ Θεόν φοροῦντος κεχαριτωμένου ἀνθρώπου τήν ψυχήν ἤ τήν διάνοιαν μολυνθῆναι ἐνδέχεται, κἄν ἐν βορβόρῳ σωμάτων, εἰπεῖν, ἀνθρωπίνων ἐγκυλινδεῖσθαι τύχοι τό καθαρώτατον αὐτοῦ σῶμα, ὅπερ τοῖς θεοσεβέσιν ἀνοίκειον· οὐ μόνον δέ, ἀλλ’ οὐδέ, εἰ μετά μυρίων ἀπίστων καί ἀσεβῶν μεμιασμένων καθειρχθήσεται καί γυμνός τῷ σώματι γυμνοῖς αὐτοῖς ἑνωθήσεται, τήν πίστιν παραβλαβήσεται ἤ τοῦ ἰδίου δεσπότου χωρισθήσεται καί τοῦ κάλλους ἐκείνου ἐπιληφθήσεται. Πολλά γάρ ἐπί μαρτύρων καί ἁγίων τοιαῦτα ἐγένοντο, ὡς ἐν τῷ Χρυσάνθῳ μάρτυρι καί ἐν ἄλλοις τισί τῶν ἁγίων, καί ὅμως οὐδέν ἐκ τῆς μεθόδου ταύτης τοῦ διαβόλου ἐκεῖνοι παρεβλάβησαν, τόν Θεόν ἔχοντες ἐν ἑαυτοῖς οἰκοῦντα καί μένοντα.

Ὁ γάρ τό κατ’ εἰκόνα καί καθ’ ὁμοίωσιν ἤ τηρήσας ἑαυτῷ ἄνωθεν ἤ ἀνακαλεσάμενος καί ἀπολαβών, καί τό βλέπειν κατά φύσιν ἀπέλαβεν. Τοιγαροῦν καί ὡς ἐν ἡμέρᾳ εὐσχημόνως ὁ τοιοῦτος περιπατεῖ, βλέπει τά πράγματα πάντα καθώς ἔχουσι φύσεως· οὐ τάς χροιάς θαυμάζει καί τάς στιλπνότητας, ἀλλά τήν τούτων οὐσίαν τε καί ποιότητα καθορῶν, μένει ἀσάλευτος, μόνοις τοῖς ἑστῶσι προσέχων καί μένουσι. Ὁρᾷ τόν χρυσόν καί οὐ τήν λαμπρότητι τούτου προσέχει, ἀλλά κατανοεῖ τήν ὕλην ὅτι ἀπό τῆς γῆς καί χοῦς ἤ λίθος ἐστί, μηδέποτε εἰς ἕτερόν τι μεταβληθῆναι δυνάμενος. Βλέπει τόν ἄργυρον, τόν μαργαρίτην, τούς λίθους ἅπαντας τούς τιμίους καί οὐ ταῖς εὐχροίαις τήν αἴσθησιν κλέπτεται, ἀλλά λίθους ἅπαντας ὡς ἕνα τῶν ἁπάντων λίθων ὁρᾷ καί πηλόν ἅμα ταῦτα λογίζεται. Ὁρᾷ ἱμάτια πολυτελῆ καί οὐ θαυμάζει τήν ποικιλίαν, ἀλλ’ ὅτι σκωλήκων κόπρος εἰσίν ἐννοεῖ, καί τούς τερπομένους εἰς αὐτά καί περιποιουμένους ταῦτα ὡς τίμια ἐλεεῖ. Ὁρᾷ τινα δοξαζόμενον, ἐπί θρόνου καθήμενον, ὑπό λαοῦ πολλοῦ κατά τάς ὁδούς πομπευόμενον ἤ καί φυσώμενον, καί ὡς ὄναρ βλέπων οὕτω διάκειται, γελῶν καί θαυμάζων τῶν ἀνθρώπων τήν ἄγνοιαν. Βλέπει τόν κόσμον καί ἐν μέσῳ πόλεως ὑπάρχει καί βαδίζει μεγάλης - μάρτυς ὁ ταῦτα ἐν ἡμῖν ἐνεργῶν Κύριος - , ὡς μόνος ὤν ἐν ὅλῳ τῷ κόσμῳ· καί ὡς ἐν ἐρήμῳ διάγων ἀνθρώποις ἀβάτῳ καί ὡς μηδέν μετά τινος ἔχων ἤ γνωρίζων τινά τῶν ἐπί γῆς ἀνθρώπων, οὕτω διάκειται.

Ὁ τοιοῦτος καί γυναῖκα τοίνυν ὁρῶν κάλλος ἔχουσαν σώματος, οὐ τῆς ὄψεως ὁρᾷ τήν ἐπανθοῦσαν εὐπρέπειαν, ἀλλ’ ὡς σαπρίαν ἤ βόρβορον καί ὡς ἤδη θανοῦσαν καί γεγονυῖαν ὅλην ὅπερ καί γίνεται, οὕτω ταύτην ὁρᾷ· ἧς οὐκ ἄν ποτε τό ἔξωθεν ἄνθος ὁ νοῦς περιβλέψῃ, ἀλλά τήν ἔνδοθεν ὑπάρχουσαν ὑλώδη φθοράν, ἐξ ἧς τό ὅλον σῶμα συνίσταται. Τί γάρ καί ἄλλο ἐστί σῶμα ἤ διαμασηθείσης τροφῆς χυλός; Εἰ δέ καί τό ἔξωθεν κάλλος καταμαθεῖν θελήσειεν, οἶδεν ἐκ τῶν κτισμάτων ἀναλόγως θαυμάζειν τόν γενεσιουργόν, οὐχί δέ λατρεύειν τῇ κτίσει παρά τόν κτίσαντα· οὕτω γάρ ἀπό τοῦ μεγέθους καί ἀπό τῆς καλλονῆς τῶν κτισμάτων ἐπιγινώσκει τόν δημιουργόν καί πρός τήν ἐκείνου θεωρίαν ὁ νοῦς ἀνάγεται καί τήν ψυχήν ἀνάπτει πρός τήν τοῦ ποιητοῦ κατανόησιν, δι’ ἧς ἄρα καί πρός θεῖον κινεῖται πόθον καί δάκρυα καί ὅλως ἔξω τῶν ὁρωμένων γίνεται καί ἀπό τῶν κτισμάτων ἀποχωρίζεται.

Καθάπερ γάρ τό φῶς τῶν αἰσθητῶν ὀφθαλμῶν πανταχοῦ παρ’ ἡμῶν πέμπεται καί, τά προκείμενα πάντα τῇ ὀπτικῇ δυνάμει περιερχόμενον, τό σύνολον ἐξ αὐτῶν οὐ μολύνεται, κἄν ὦσι λίαν δυσειδῆ τά ὁρώμενα, ἀλλά πάλιν ἀμόλυντον αὐτό πρός ἕτερα περιφέρομεν, οὕτω καί ἡ τῶν ἁγίων διάνοια, κἄν εἰς βορβορώδη πάθη καί αἰσχρά παρακύψειεν, οὐ μολύνεται. Γυμνός γάρ ὑπάρχει ὁ νοῦς αὐτῶν καί πάσης ἐπιθυμίας ἐμπαθοῦς ἀλλότριος. Εἰ γάρ καί εἰς τήν τῶν τοιούτων θεωρίαν εἰσελθεῖν ποτε βουληθείη, οὐ δι’ ἕτερόν τι τοῦτο ποιεῖ, ἀλλ’ ἤ ἵνα σκοπήσῃ καί καταμάθῃ τῶν παθῶν τάς ἐμπαθεῖς κινήσεις καί ἐνεργείας καί πόθεν λαμβάνουσι τάς αἰτίας καί διά ποίων φαρμάκων πάλιν ἐξαφανίζονται, καθά καί ἰατρούς ποιοῦντας ἀκούομεν καί περί τῶν παλαιῶν ἀκηκόαμεν. Ἀνέτεμον γάρ τούς νεκρούς, ἵνα τήν θέσιν κατανοήσωσι τοῦ σώματος, ὅπως ἐξ ἐκείνων γινώσκοντες ὦσι τῶν ζώντων ἀνθρώπων τά ἔνδοθεν καί ἰατρεύειν ἐν ἄλλοις ἐπιχειρῶσι

τά μή ὁρώμενα πάθη. Τοιοῦτόν τι πάντως ἐργάζεται καί ὁ πνευματικός ἰατρός ὁ τά τῆς ψυχῆς πάθη ἐμπείρως ἰατρεύειν βουλόμενος· ἵνα δέ σοι τήν ἔντεχνον αὐτοῦ ἰατρείαν τῷ λόγῳ καθυποδείξω, πραγματικήν ποιήσομαι τήν διήγησιν.

Ἔρχεταί τις πρός τόν πνευματικόν ἰατρόν ἄρρωστος, κεκαρωμένος τῷ πάθει, τεταραγμένος ὅλος τόν νοῦν, ἀντί ἰατρείας τά βλάπτοντα ἐπιζητῶν, τά τό πάθος δηλονότι αὐξάνοντα καί τόν θάνατον ἐν ἀκαρεῖ ἐπισπώμενα. Βλέπει τοῦτον ὁ φιλάνθρωπος καί συμπαθής ἰατρός, κατανοεῖ τοῦ ἀδελφοῦ τήν ἀσθένειαν, τοῦ πάθους τήν φλεγμονήν, τόν ὄγκον, ὁρᾷ τόν νοσοῦντα ὅλον τοῦ θανάτου γινόμενον. Τοῦ τοιούτου δέ ἆρά τις ἐρασθήσεται, ἵνα πάλιν τῶν ἀναισθήτων λόγων ἐκείνων ἀναμνησθῶ; Οἶμαι, οὐδέ τῶν λίαν τις μαινομένων ἀνδρῶν τοιοῦτόν τι κατά τῆς ἀσθενούσης ἤ τοῦ ἀσθενοῦντος τήν πρός θάνατον ἀρρωστίαν ἐνθυμηθήσεται, μή ὅτι γε εὐσεβῶν καί φοβουμένων τόν Θεόν ἰατρῶν. Ἀλλά τῶν ὄντως μαινομένων τούς λόγους χαίρειν εἰπόντες, ἐχώμεθα τοῦ λόγου τῆς διηγήσεως. Ὅταν οὖν ἴδῃ ὁ πνευματικός καί ἐπιστήμων ἰατρός ἐν οἷς εἴπομεν ὄντα τόν ἀδελφόν, οὐκ εὐθέως βοᾷ οὐδέ διαναβάλλεται οὐδέ λέγει· «*Κακά καί θανατηφόρα εἰσίν ἅ ζητεῖς καί οὐ δίδωμί σοι ταῦτα τά βοηθήματα*», ἵνα μή ἀκούσας φυγῇ χρήσηται καί πρός ἕτερον τῶν τοιούτων παθῶν ἄπειρον ἀπέλθῃ καί τῇ αὐτῇ ὥρᾳ τεθνήξεται· ἀλλά προσδέχεται, κατέχει, παρακαλεῖ, πᾶσαν δεικνύει ἀγάπην ὁμοῦ καί ἁπλότητα, ἵνα πληροφορήσῃ αὐτόν ὅτι καί δι’ ὧν φαρμάκων ᾐτήσατο, δι’ αὐτῶν καί τήν ἰατρείαν ποιήσηται καί τήν ἐπιθυμίαν αὐτοῦ ἐκπληρώσῃ.

Εἰσί γάρ τινες οἱ χαλεπῶς νοσοῦντες κατά ψυχήν καί χαλεπά τά νοσήματα φέροντες καί τά ἐπαύξοντα τήν νόσον ἐπιζητοῦντες· καί τό μέν πάθος ἑκάστου τούτων ἴσως, ἵνα δέηται διαίτης καί τῆς τῶν ἡδέων ἀποχῆς, αὐτοί δέ μᾶλλον τρυφᾶν ζητοῦσι τά φθοροποιά βρώματα καί εἰς κόρον ἐμφορεῖσθαι αὐτῶν. Διά δή τοῦτο, ὡς ἔφθην εἰπών, ὁ ἔμπειρος ἰατρός οὐκ εὐθέως ἐπί τοῖς ζητουμένοις παρά τοῦ νοσοῦντος ἀνανεύει, ἀλλ’ ὑπισχνεῖται πάντα τά τῆς αἰτήσεως ἐκπληρῶσαι αὐτοῦ· ὁ νοσῶν, ὡς ἐπί καλοῖς, σπεύδει τοῖς καταθυμίοις αὐτοῦ, ὁ ἰατρός ὑποκρύπτει τά βοηθήματα· καί ὁ μέν ἐκδέχεται καί περιχαρῶς ἀναμένει, ὁ δέ, σοφός ὤν, τόν μέν φαινόμενον τῶν ζητουμένων δεικνύει παρόμοια, τό δέ κρυπτόμενον, ἄλλα μέν τῇ γεύσει, τῇ δέ δυνάμει τῆς ἐνεργείας παράδοξα. Μόνον γάρ τῶν φαρμάκων ὁ ἀσθενῶν ἅπτεται, καί τῇ ἁφῇ παρά πᾶσαν ἐλπίδα τήν ἰατρείαν λαμβάνει· καί καταπαύεται μέν εὐθύς τοῦ πάθους ὁ ὄγκος, τό δέ τραῦμα παντελῶς ἀφανίζεται, καί ὧν τῇ ἐπιθυμίᾳ πρῶτον ἐφλέγετο, τούτων οὐδέ μνημονεύειν ἀνέχεται τοῦ λοιποῦ. Καί ἔστιν ἰδεῖν καί θεάσασθαι λόγου παντός ὑψηλότερον θαῦμα γινόμενον· χωρίς γάρ ἄλλου τινός βοηθήματος, μόνῃ τῇ προσψαύσει καί θεωρίᾳ τῶν ἰατρικῶν φαρμάκων ὑγιαίνειν ποιεῖ τούς νοσοῦντας, τά τραύματα καί τόν ὄγκον αὐτῶν καταστέλλεσθαι καί τήν φλόγαν τούτων τῆς δίψης παύεσθαι, καί τούς πεινῶντας τά φθοροποιά καί ἐπιβλαβῆ βρώματα τῶν ὠφελίμων μᾶλλον ἐπιθυμεῖν ἔκτοτε, καί πολλοῖς διηγεῖσθαι τούτους τά τοῦ ἰατροῦ θαύματα καί τήν θαυμασίαν μέθοδον τῆς ἐπιστήμης αὐτοῦ.

Ἀκουέτωσαν οἱ ὑγιαίνοντες καί τά αἰνιγματωδῶς ἡμῖν εἰρημένα νοείτωσαν, εἴ τε καί τῆς ἐνθέου γνώσεως τήν χάριν ἐδέξαντο. Ταῦτα γάρ οἱ νοσοῦντες οὐκ ἴσασι, μᾶλλον δέ οὐδέ ὅτι ἀσθενοῦσιν ἐπίστανται. Τούς δέ οὕτως ἔχοντας τίς ἄρα λόγῳ πείσει ποτέ ὅτι ἀσθενείᾳ καί νόσῳ κατέχονται; Ὑγείαν γάρ τούτην οἴονται, τό ποιεῖν τῆς σαρκός τά θελήματα καί πάντα πράσσειν τά τῆς ἐπιθυμίας καί τῆς ἐφέσεως· καί ὥσπερ οὐδείς τούς ἔξω φρενῶν ὄντας καί παρακόπους ἔκφρονας εἶναι ποιήσει λογίσασθαί ποτε ἑαυτούς, οὕτως οὐδέ τούς ἐν πάθεσι κυλινδουμένους καί ὑπ᾽ αὐτῶν κεκρατημένους καί μή αἰσθανομένους τῆς κατασχέσεως τούτων ἐν κακοῖς εἶναι πείσει ποτέ τις ἤ μεταβαλέσθαι ποιήσει ἐπί τό βέλτιον. Τυφλοί γάρ ὄντες καί μηδέ ἄλλον τινά πιστεύοντες βλέπειν, οὕτως διάγουσιν ἐστερημένοι καί τοῦ ὁρᾶν, καί ὅτι οὐδέ ἀναβλέψαι αὐτούς δυνατόν εἶναι πείθονται· εἰ γάρ ἐπείθοντο, τάχα ἄν καί ἐζήτησαν ἀναβλέψαι, καί ἀναβλέψαντες εἶδον ἀκριβῶς καί ἐγνώρισαν τούς ἐσταυρωμένους τῷ κόσμῳ. Ἀλλά μή θέλοντες τῶν παθῶν ἀπαλλαγῆναι βύουσιν ἑκουσίως τά ὦτα καί τῷ Ἀποστόλῳ προσέχειν οὐ βούλονται οὕτω λέγοντι· «*Ἐμοί κόσμος ἐσταύρωται κἀγώ τῷ κόσμῳ. Ζῶ δέ οὐκέτι ἐγώ, ζῇ δέ ἐν ἐμοί Χριστός*», καί πάλιν· «*Νεκρώσατε οὖν τά μέλη ὑμῶν τά ἐπί τῆς γῆς, πορνείαν, ἀκαθαρσίαν, πάθος, ἐπιθυμίαν κακήν καί τήν πλεονεξίαν*». Ὁ οὖν τῷ κόσμῳ ἀποθανών - τοῦτο γάρ ἐστιν ὁ σταυρός - καί ζῶν μηκέτι αὐτός, ζῇ δέ ἐν αὐτῷ ὁ Χριστός, ὁ νεκρωθείς τά μέλη τά ἐπί τῆς γῆς, ἤγουν τάς ἐμπαθεῖς αἰσθήσεις τοῦ σώματος, ὥστε καί παντός πάθους καί πάσης ἐπιθυμίας κακῆς ἀμέτοχος γενέσθαι, πῶς, εἰπέ, κἄν ὁπωσοῦν πάθους αἴσθησιν δέξηται, ἤ ἡδονῆς ὑποστήσεται κίνησιν, ἤ σαλευθήσεται τήν καρδίαν τό σύνολον;

Εἰ δέ ἀπιστεῖς ἔτι καί ἀναβάλλεσαι, βλέπε πρός τίνα τάς κατηγορίας ἐκφέρεις καί τίνα λέγεις τῆς ἁμαρτίας συμμέτοχον. Ὦ τοῦ τολμήματος! Τούς τόν Χριστόν ζῶντα καί ἐνοικοῦντα ἔχοντας ἐν ἑαυτοῖς, πρός ἡδονήν λέγεις κλέπτεσθαι τήν καρδίαν; Λοιπόν κατά σέ κοινωνός ἁμαρτίας καθέστηκεν ὁ Χριστός, ὅς ἁμαρτίαν οὐκ ἐποίησεν, οὐδέ δόλος εὑρέθη ἐν τῷ στόματι αὐτοῦ, ὁ τοῦ κόσμου αἴρων τάς ἁμαρτίας καί καθαίρων παντός πάθους τάς αὐτῷ συναφθείσας ψυχάς; Οὐκ ἐννοεῖς ἀκμήν ἅ μέν λαλοῦμεν ἡμεῖς, ἅ δέ σύ βλασφημεῖς; Οὐ φρίττεις καί τῷ στόματί σου τήν χεῖρα τιθεῖς καί μήν λαλεῖν παιδεύεις τή γλῶττάν σου περί ὧν οὔπω τήν πεῖραν εἴληφας, οὐδέ διανοίᾳ τήν γνῶσιν κατέλαβες τῶν τοιούτων, καί ταῦτα τοῖς ὀφθαλμοῖς οὐχ ἑώρακας, οὐδέ ἡ ἀκοή σου τό μέγεθος αὐτῶν ἐχώρησεν; Οὐκ οἶδας ὅτι καταγελῶσί σου ὡς ἀναισθήτου, ὁπηνίκα λέγειν ἐπιχειρεῖς περί τῶν τοιούτων, ἄλλα ἀντ᾽ ἄλλων φθεγγόμενος, οἱ ἔργῳ καί λόγῳ τήν πεῖραν ἐσχηκότες αὐτῶν;

Εἰ μέν οὖν ἠξιώθης τῆς ἄνωθεν χάριτος, λέγε καί τά τῆς χάριτος ἐλευθεροστομῶν καί θεολογεῖν ἀκωλύτως περί τοῦ φύσει Θεοῦ· οὐ μήν δέ, ἀλλά καί περί τῶν θέσει υἱῶν τοῦ Θεοῦ καί, ὡς ἐφικτόν ἀνθρώπῳ, ὁμοίων αὐτοῦ διά τῆς χάριτος διηγοῦ ἀκωλύτως τοῖς πᾶσιν ὥς εἰσιν ἅγιοι δοῦλοι τῆς δόξης αὐτοῦ. Εἰ δέ ὁμολογεῖς, καλόν ποιῶν, μή μετασχεῖν τοῦ χαρίσματος μηδέ αἰσθανθῆναι σαυτόν νεκρόν τῷ κόσμῳ γενόμενον, μηδέ εἰς οὐρανόν ἔγνως ἑαυτόν ἀνελθόντα ὡς κρυβῆναι μόνον ἐκεῖ καί μή φαίνεσθαι, μηδέ

τοῦ κόσμου παντός ἔξω κατά τόν Παῦλον εἴτε ἐν σώματι εἴτε χωρίς ἐγένου τοῦ σώματος, μηδέ ἀλλοιωθέντα κατέμαθες ἑαυτόν ὅλον καί πνεῦμα οἱονεί γενόμενον ἐν τῇ τῆς σαρκός ἀποθέσει, πνευματικά συγκρίνοντα τοῖς πνευματικοῖς, τί οὐκ ἀσπάζῃ τήν καλήν σιωπήν καί ζητεῖς ἐν μετανοίᾳ καί δάκρυσι ταῦτα λαβεῖν καί μαθεῖν, ἀλλά κενῶς οὕτως λαλεῖν ἐθέλεις περί ὧν οὐκ ἔσχες τήν ἀληθινήν γνῶσιν καί ἅγιος τούτων χωρίς καλεῖσθαι φιλεῖς καί ὡς ἤδη σεσωσμένος διάκεισαι, λογισμούς τολμῶν ἀλλοτρίους ἀναδέχεσθαι καί διδάσκειν ἑτέρους; Οὐ φρίττεις ἄλλους ὁδηγεῖν πρός τό φῶς, αὐτός ὑπάρχων ἐστερημένος τοῦ θείου φωτός; Οὐ δέδοικας ποιμαίνειν ἀδελφούς, ὁ ἔτι ἐν σκότει καθήμενος καί μηδέ τόν ὀφθαλμόν ἐκεῖνον κτησάμενος τόν ὁρῶντα τό φῶς τό ἀληθινόν; Οὐκ αἰσχύνῃ ἄλλους ἰατρεύειν, ἀσθενής ὑπάρχων αὐτός καί μηδέ τῶν ἰδίων τραυμάτων λαβεῖν ἰσχύων τήν αἴσθησιν; Εἰπέ γάρ μοι, εἰ μή σεαυτόν ἀπαθῆ ἔγνωκας εἶναι καί τόν ἀπαθῆ Θεόν κατέμαθες οἰκοῦντα ἐν σεαυτῷ, ἐν τίνι ἄλλῳ θαρρήσας, τοῖς ἔργοις τῶν ἀπαθῶν καί ταῖς διακονίαις τῶν ἁγίων τοῦ Θεοῦ δούλων ὑπηρετεῖν καί ὑπεισελθεῖν κατετόλμησας;

Ὅρα μή λάθῃς σεαυτόν ξένοις βαθμοῖς καί ἀλλοτρίαις διακονίαις ἐπιπηδῶν καί ὡς καταφρονητής τοῦ θείου θελήματος καί τολμηρός καί ἀχρεῖος οἰκέτης εἰς τό σκότος ἀποπεμφθῇς τό ἐξώτερον. Ὅρα μή εὑρεθῇς τοῦ συγκλητικοῦ ἐνδύματος καί ἀξιώματος γυμνός, ὅπερ οὐδέν ἄλλο εἶναι νοήσεις ἤ τήν χάριν τοῦ Πνεύματος, καί δεθείς, οὕτως ἔχων, χεῖρας ἅμα καί πόδας, εἰς τό πῦρ ἐμβληθῇς τό αἰώνιον. Βλέπε μή πρότερον ποιμαίνειν ἐπιχειρήσῃς, πρίν ἄν τόν καλόν σε ποιμένα φίλον γνήσιον κτήσασθαι, ἐπεί οὐδέν κερδήσεις ἕτερον, γίνωσκε, ἤ δοῦναι λόγον τῷ Θεῷ, οὐ μόνον περί τῆς σαυτοῦ ἀναξιότητος, ἀλλά καί περί τῶν προβάτων, ὧν ἐξ ἀπειρίας καί ἐμπαθείας ἀπώλεσας. Βλέπε, παρακαλῶ, μή ἀναδέξῃ τό σύνολον χρέη ἀλλότρια ὑπόχρεως ὑπάρχων αὐτός ἔν τινι· μή ἄφεσιν δοῦ ναι τολμήσῃς, ὁ μή τόν αἴροντα τήν ἁμαρτίαν τοῦ κόσμου ἐν τῇ καρδίᾳ κτησάμενος. Ὅρα μή κρῖναι τόν ἕτερον, ἀδελφέ, καταδέξῃ, πρίν ἄν αὐτός ἀκριβής γένῃ καί τῶν οἰκείων σφαλμάτων ἐξεταστής καί δικαίαν τήν ψῆφον κατά σαυτοῦ διά δακρύων ἀπολύσῃς καί πένθους· καί τηνικαῦτα, Πνεύματος ἐμπλησθείς Ἁγίου, ἐν τῇ ἐλευθερίᾳ τοῦ νόμου τῆς σαρκός καί τοῦ θανάτου τῆς ἁμαρτίας ὑπό τῆς τοῦ Θεοῦ χάριτος εἰς τήν τῶν ἄλλων κρίσιν δίκαιος ἀποκατασταθῇς κριτής, ὡς ὑπό Θεοῦ προχειρισθείς ἐν τούτῳ διά τοῦ Πνεύματος.

Ἴδε γάρ ὅτι οὐδείς τῶν κατά κόσμον ἀρχόντων τούτῳ τολμᾷ ἐπιπηδῆσαι τῷ ἀξιώματι, πρίν ἄν παρά τοῦ βασιλέως τῷ τῶν κριτῶν ἐγκαταλεγῇ τάγματι. Καί εἰ ἐπί τῶν ἀνθρωπίνων ἀξιωμάτων τοιαύτη τάξις ἐστί καί τοιοῦτος φόβος, ὡς μή τῷ ἐπιγείῳ βασιλεῖ προσκροῦσαι, πόση εὐλάβεια ὀφείλεται παρ’ ἡμῶν ἀπονέμεσθαι τοῖς τοῦ Θεοῦ ἀξιώμασιν, ὡς μή αὐτοχειροτόνητοι καί πρό τοῦ κληθῆναι ἄνωθεν ἐπιπηδᾶν τοῖς θείοις καί εἰς χεῖρας Θεοῦ ζῶντος ἐμπίπτειν. Φρίξον, ἄνθρωπε, καί τοῦ Θεοῦ σεβάσθητι τό μακρόθυμον καί μή ἔλαττον ἔχων φανῇς τῶν κοσμικῶν ἀρχόντων τόν φόβον εἰς Θεόν, τόν ἐπουράνιον βασιλέα, ἤ ὅσον ἐκεῖνοι πρός τόν ἐπίγειον ἔχουσι· μηδέ καταφρονῶν ἔσῃ τοῦ πλούτου τῆς χρηστότητος καί μακροθυμίας αὐτοῦ διά φιλοδοξίαν καί φιλαρχίαν, ὅτι

αὐτός ἐστι πάντων ἐξουσιαστής καί πάντων κριτής φοβερός, ἀποδιδούς ἑκάστῳ κατά τάς πράξεις καί τάς ἐνθυμήσεις αὐτοῦ· ἀλλ’ ὥσπερ οὗτοι τῷ ἐπιγείῳ, οὕτω καί σύ κἄν ὡσαύτως τῷ ἐπουρανίῳ βασιλεῖ καί Θεῷ τήν τιμήν καί τόν φόβον ἀπόνεμε, ἵνα τιμῶν καί φοβούμενος αὐτόν δυνηθῇς τηρῆσαι τάς αὐτοῦ ἐντολάς καί διά τῆς τῶν ἐντολῶν φυλακῆς ἑαυτόν προετοιμάσας οἶκος τῆς τριφεγγοῦς αἴγλης αὐτοῦ ἀξιωθείης γενέσθαι κατά τάς ἀψευδεῖς ὑποσχέσεις αὐτοῦ. Φησί γάρ· «*Ὁ ἀγαπῶν με τάς ἐντολάς μου τηρήσει, κἀγώ ἀγαπήσω αὐτόν καί ἐμφανίσω αὐτῷ ἐμαυτόν*», καί πάλιν· «*Κἀγώ καί ὁ Πατήρ μου ἐλευσόμεθα καί μονήν παρ’ αὐτῷ ποιήσομεν*».

Τοιοῦτος δέ γενόμενος οὐκ ἔσῃ ἔτι ἑαυτῷ ζῶν, ἀλλά νεκρόν ἴδῃς ἑαυτόν γεγονότα τῷ κόσμῳ, ὡς νεκράν περιφέρων τήν σάρκα καί ἀνενέργητον πάντῃ πρός ἁμαρτίαν, ζῶντα δέ μόνῳ τῷ Θεῷ, ὡς ὑπ’ αὐτοῦ ἐνεργούμενος καί κινούμενος· καί ἐν τοιαύτῃ δόξῃ καταμαθών ἑαυτόν, βοήσεις τηνικαῦτα μετά τοῦ θείου Παύλου μεγαλοφώνως ἐν εὐφροσύνῃ καρδίας καί εἴπῃς· «*Εὐχαριστῶ τῷ Θεῷ μου, ὅτι ὁ νόμος τοῦ Πνεύματος τῆς ζωῆς ἠλευθέρωσέ με ἀπό τοῦ νόμου καί τοῦ θανάτου τῆς ἁμαρτίας*». Καί τοῦ λοιποῦ διαφοράν οὐχ ἕξεις ἄρρενος καί θηλείας, οὐδέ βλάβην ὑπομείνῃς ἐκεῖθεν, ὡς ἤδη τό κατά φύσιν λαβών καί μή παρά φύσιν ὁρῶν τά τοῦ Θεοῦ πλάσματα· ἀλλά, καί συνών καί ὁμιλῶν ἀνδράσι καί γυναιξί καί αὐτούς ἀσπαζόμενος, ἀβλαβής καί ἀκίνητος διαμείνῃς ἀπό τῆς κατά φύσιν ἕδρας καί στάσεως καί ὡς μέλη Χριστοῦ τίμια καί Θεοῦ ναούς ἴδῃς καί προσέξεις αὐτοῖς. Πρό δέ τοῦ ἐλάσαι εἰς μέτρον τοιοῦτον καί τήν ζωοποιόν νέκρωσιν τοῦ Ἰησοῦ καί Θεοῦ ἐν τοῖς μέλεσί σου θεάσασθαι, καλόν ποιήσεις, ἐάν τάς ἐπιβλαβεῖς ὄψεις φύγῃς, ἐν αἷς αἰτία μέν οὐκ ἔστιν οὐδεμία κακοῦ, διά δέ τῆς ἐνοικούσης ἐν ἡμῖν προγονικῆς ἁμαρτίας ἐξελκόμεθα καί δελεαζόμεθα εἰς ἀτόπους ἐπιθυμίας.

Οὕτω γάρ ποιῶν, ἐν ἀσφαλείᾳ ὁ πᾶς ἔσται σοι βίος καί οὐ προσκόψεις πρός λίθον ἁμαρτίας τόν πόδα σου, Θεόν ἤ κτησάμενος ἤ ἀγωνιζόμενος κτήσασθαι, ἐν αὐτῷ Χριστῷ τῷ Θεῷ ἡμῶν, ᾧ πρέπει πᾶσα δόξα, τιμή καί προσκύνησις σύν τῷ Πατρί καί τῷ Ἁγίῳ Πνεύματι νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων· ἀμήν.

# ΛΟΓΟΣ Ζ΄. Περί τῶν δουλευόντων Θεῷ, τίνες τε εἶεν και ὁποῖοι καί ποταποί. Καί τίς ἐστιν ὁ μετανοῶν καί ἡ ἐργασία αὐτοῦ, καί τίς ὁ τήν ἀσκητικήν ζωήν μετερχόμενος καί ἡ ἐργασία αὐτοῦ, καί τίς ὁ δουλεύων Θεῷ καί τό ἔργον αὐτοῦ. Καί ὅτι, ἐάν μή τάς ἀρετάς κτησώμεθα, οὐδέν ἡμᾶς ἀπαλλαγή μόνον τῶν παθῶν ὠφελήσει.

Ἐπειδήπερ ὅσον ἀπό τοῦ θείου βαπτίσματος χριστιανούς ἡμᾶς ἑαυτούς δίχα τῶν ἔργων καί πιστούς λογιζόμεθα, εἰς τήν ὁμοούσιον καί ἀδιαίρετον Τριάδα πιστεύοντες καί εἰς τόν ἕνα ταύτης τόν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν καί Θεόν, καί δούλους ἑαυτούς ἐκ συνηθείας οὕτω πως ἁπλῶς ἐπιγραφόμεθα τοῦ Θεοῦ καί καλοῦμεν, καί γράφοντες πρός ἑτέρους τοῦτο αὐτοί ἑαυτούς ἄνωθεν γράφοντες ὀνομάζομεν , μή εἰδότες ἴσως αὐτό τοῦτο, τί ἐστι δουλεία Θεοῦ καί τίς ὁ ἀκούειν ἄξιος καί εἶναι δοῦλος Θεοῦ, τόν λόγον ὑπό τοῦ Λόγου κινοῦμαι γυμνάσαι καί εἰπεῖν ἐπείγομαι περί τῶν δουλευόντων Θεῷ τίνες τε εἶεν καί ὁποῖοι καί ποταποί, καί τίνα τά παρά τῶν τοιούτων διά Κύριον γινόμενα ἔργα, ὡς ἄν ἀπό τῶν ἑαυτοῦ πράξεων ἕκαστος γνώσεται ἑαυτόν, καί τίνα θεραπεύει διά τῶν ἑαυτοῦ ἐγχειρήσεων καί τίνι δουλεύει, ἤ τίνα ποτέ ἐθεράπευσε καί τίνι ἐδούλευσεν, εἴσεται, ἵνα μή ἑαυτῷ τις χαριζόμενος δοκῇ τῷ Κυρίῳ δουλεύειν καί οὐχ ἑαυτῷ. Ἀλλά περί μέν τῶν ἐν τῷ κόσμῳ διαγόντων καί ὑπό ζυγόν ὄντων τοῦ βίου οὐδείς λόγος ἡμῖν, διαρρήδην τοῦ ἁγίου Παύλου βοῶντος· «*Ὁ ἄγαμος μεριμνᾷ τά τοῦ Κυρίου πῶς ἀρέσει τῷ Κυρίῳ, ὁ δέ γαμίσας μεριμνᾷ τά τοῦ κόσμου πῶς ἀρέσει τῇ γυναικί*» καί τῷ κόσμῳ, περί δέ τῶν ἀποταξαμένων τῷ κόσμῳ καί τοῖς ἐν κόσμῳ ἅπας ὁ λόγος ἔσται ἡμῖν.

Οἱ εἰς τό στάδιον ἄρτι τῆς μετανοίας ἐξ ἀκουσίου γνώμης καί αὐτοθελῶς εἰσερχόμενοι καί κατά τό ἐνόν εἰς τήν σωματικήν γυμνασίαν ἑαυτούς ἐγγυμνάζοντες, εἰσαγωγικοί τε, λέγω, καί οἱ ἐν ταύτῃ χρονίσαντες, οἴονται τῷ Κυρίῳ δουλεύειν καί ἐξ ἔργων δικαιοῦσθαι ἐλπίζουσι. Μή προσέχοντες γάρ τῷ φωτί τῶν θείων Γραφῶν, ἀλλ᾽ ἔξω τούτου ἀεί τῶν τοιούτων τινές πορευόμενοι καί ἐν σκότει τῶν πονηρῶν διανοιῶν αὐτῶν κατεχόμενοι, οὐ γινώσκουσιν ὅτι πολύ ὑπάρχει τό ἐν μέσῳ διάφορον τῶν τε μετανοούντων καί ἀγωνιζομένων εἰς τήν γυμνασίαν τῆς ἀρετῆς καί αὐτῶν τῶν τῷ δεσπότῃ δουλευόντων Χριστῷ. Οἱ μέν γάρ μετανοοῦντες, ὑπέρ ὧν κακῶς ἔπραξαν μεταμελόμενοι, συγχώρησιν τῶν ἐπταισμένων αἰτοῦνται λαβεῖν, οἷος ἦν ὁ τελώνης, ἡ πόρνη, ὁ Πέτρος αὐτός, ὅτε, πτοηθείς καί ἀρνησάμενος τρίτον, ἔκλαυσε πικρῶς, καί εἴ τις κατ᾽ ἐκεῖνον τόν ἄσωτον τόν μετά πορνῶν καί τελωνῶν καταδαπανήσαντα τόν κλῆρον τόν πατρικόν· οὗτοι γάρ καί οἱ τοιοῦτοι οὐχί δουλεύειν λέγονται τῷ Κυρίῳ, ἀλλά ἐχθροί καί προσκεκρουκότες ὑπάρχοντες, διά μετανοίας καί ἐξομολογήσεως καταλλάσονται αὐτῷ. Οἱ δέ τήν ἄσκησιν μετερχόμενοι καί ἄρτι πρός τήν γυμνασίαν τῆς

ἀρετῆς ἐκθύμως ἐγγυμναζόμενοι τά πάθη μετά τήν μετάνοιαν νικῆσαι σπουδάζουσι, σπουδαίως αὐτήν καί θερμῶς δηλονότι πεποιηκότες ὑπέρ τῶν προημαρτημένων αὐτοῖς· οὐ μόνον δέ, ἀλλά καί τάς ἀρετάς ἀντί τῶν παθῶν κτήσασθαι ἀσφαλῶς ἀγωνίζονται.

Καί ὁ μέν ἄρτι μετανοῶν λυπεῖται, κλαίει, νηστεύει, ἀγρυπνεῖ, χαμευνεῖ, διακονεῖ καί πάσας ὑποφέρει τάς θλίψεις, ἀεί τά ἑαυτοῦ κακά λογιζόμενος καί ὡς μειζόνων κολάσεων ἄξιον ἑαυτόν ἔχων, ἀταράχως ὑπομένει πάντα τά ἐπερχόμενα, ἵνα διά τῆς τοιαύτης αὐτοῦ ὑπομονῆς ἀφεθῇ αὐτῷ τά ἐγκλήματα. Ὁ δέ ἀγωνιζόμενος ἄρτι καλός ἀσκητής οὐχί διά ἔκτισιν ἁμαρτημάτων, ἀλλά διά τόν πρός τά πάθη πόλεμον, ταῦτα πάντα καί ἕτερα τούτων πλείονα ἐπιτηδεύεται καί ποιεῖ· καί πᾶσαν θλῖψιν ἐπερχομένην αὐτῷ μετά χαρᾶς ἀποδέχεται, μή ἐπερχομένης δέ, αὐτός ἑαυτόν θλίβει· καί πᾶσαν πρᾶξιν πραχθεῖσαν, ἥν ἀκούσει παρά τῶν πάλαι ἁγίων ἤ καί παρά τῶν συνόντων πραττομένην θεάσεται, σπουδάζει τό κατά δύναμιν καί αὐτός ποιῆσαι αὐτήν, ἵνα τῇ ποικιλίᾳ τῶν ἀσκητικῶν ἀρετῶν τε καί πράξεων τά πολλά καί ποικίλα πάθη, δι᾽ ὧν τήν ἰσχύν καθ᾽ ἡμῶν οἱ δαίμονες κέκτηνται, ἐξαλείψῃ καί τέλεον ἐκ τῆς ἑαυτοῦ ψυχῆς ταῦτα ἐξαφανίσῃ, πάσῃ δυνάμει ψυχῆς τάς ἀρετάς ἀντ᾽ αὐτῶν ἐν ἑαυτῷ θησαυρίζων. Εἰ γάρ μή οὕτω γένηται παρ᾽ αὐτοῦ καί οὕτω τά τῶν ἀγώνων ἕξει καλῶς ἐν αὐτῷ, οὐδέν ἔσται ὄφελος αὐτῷ ἐκ μόνης τῆς τῶν παθῶν ἀλλοτριώσεως· οὐ γάρ ὁ μή πλεονεκτῶν, ἀλλ᾽ ὁ ἐλεῶν ἐπαινεῖται, οὐδέ ὁ τό δοθέν τάλαντον σῶον φυλάξας ἀλλ᾽ ὁ διπλασιάσας ἐσώθη, οὐδέ ὁ ἐκκλίνας ἀπό κακοῦ, ἀλλ᾽ ὁ ποιήσας τό ἀγαθόν μακαρίζεται, οὐδέ ὁ τοῖς ἐχθροῖς τοῦ βασιλέως μή συντιθέμενος ἀλλ᾽ ὁ καί ὑπέρ αὐτοῦ κατ᾽ αὐτῶν ὁπλιζόμενός τε καί ἀντιμαχόμενος τήν ἀγάπην ἐνδείκνυται.

Καί μαρτυρεῖ τοῦτο αὐτός ὁ δεσπότης Χριστός οὕτω διαρρήδην βοῶν· «*Ὁ μή ὤν μετ᾽ ἐμοῦ κατ᾽ ἐμοῦ ἐστι· καί ὁ μή συνάγων μετ᾽ ἐμοῦ σκορπίζει*». Τοῦτο δέ λέγων, δείκνυσιν ὅτι ὁ μή παντί τρόπῳ καί πάσῃ σπουδῇ τάς ἐντολάς αὐτοῦ τηρῶν καί ἀεί τάς ἀρετάς διά τῆς τῶν ἐντολῶν κτώμενος ἐργασίας καί εἰς τό πρόσω δι᾽ αὐτῶν ἀνερχόμενος, ἀλλά τῶν μέν πονηρῶν μόνων τῷ δοκεῖν ἀπεχόμενος, τῶν δέ γε ἀγαθῶν μή ἐπί πολύ ἀντεχόμενος, ἀλλ᾽ οἱονεί τοῦ συλλέγειν τάς ἀρετάς διά τῆς τῶν ἐντολῶν ἀμελείας παυσάμενος, οὐδέ ἅ δοκεῖ ἔχειν φυλάξαι δύναται· διά γάρ τῆς ἀργίας καί ταῦτα ἀπόλλυσι· καί δηλοῖ τοῦτο τό «*ὁ μή συνάγων σκορπίζει*». Ἐπί μέν γάρ τῶν αἰσθητῶν τοῦτο ἀδύνατον· ὁ γάρ μή συνάγων ἐκεῖ, ἀλλά ἀργός καθεζόμενος, οὐχί καί ὡς ὁ σκορπίζων ἐστίν. Ἐπί δέ τῶν πνευματικῶν οὐχ οὕτως, ἀλλά τόν μή ποιοῦντα τό ἀγαθόν ὡς ἁμαρτάνοντα ἔχει ἡ θεία Γραφή καί κατακρίνεσθαι αὐτόν ὑπεμφαίνει· «*Τῷ γάρ εἰδότι καλόν, φησί, ποιεῖν καί μή ποιοῦντι, ἁμαρτία αὐτῷ ἐστιν*», καί πάλιν· «*Ἐπικατάρατος πᾶς ἄνθρωπος ὁ ποιῶν τά ἔργα Κυρίου ἀμελῶς*». Ὅπερ ἐμοί πάντως ἀρκέσει πρῶτον, τῷ χαύνῳ καί ἀμελεῖ, εἰς κατάκρισιν. Εἰ δέ ὁ ἀμελῶς ποιῶν τάς ἐντολάς τοῦ Θεοῦ κεκατήραται, πόσῳ μᾶλλον ὁ μερικῶς ποιῶν ἐξ ὧν ποιεῖν δύναται, ἤ καί μηδόλως ποιῶν, ἐπί πλεῖον κατακριθήσεται. Τοῦτο δέ καί ἐπί τῶν πολιτικῶν νόμων καί τῶν βιωτικῶν πραγμάτων εὑρήσεις γινόμενον· τόν γάρ βλέποντα δοῦλον διορυττομένην παρά τινων τήν οἰκίαν τοῦ κυρίου αὐτοῦ καί συλουμένην τήν περιουσίαν αὐτοῦ καί μήτε συνεργήσαντα τοῖς κλέπταις μήτε

παρεμποδίσαντα αὐτοῖς ἤ κραυγάσαντα, ἀλλ’ ἐάσαντα τούτους, ἄραντας πάντα, λάθρα διαφυγεῖν, ἴσως ἐκείνοις ἐπίβουλον ἑαυτοῦ καί κλέπτην τόν δοῦλον ἐκεῖνον ὁ δεσπότης λογίζεται. Τί δαί; Οὐχί καί ὑμεῖς πάντες τά αὐτά κατά τοῦ πονηροῦ κατεψηφίσασθε;

Οὕτως ἔσται πάντως κἀμοί τῷ ἀθλίῳ πρῶτον καί ταπεινῷ, - ὀκνῶ γάρ εἰπεῖν καί πᾶσιν ὑμῖν - ἐάν πονηρῶν μέν ἔργων καί πράξεων ἀποσχώμεθα, τάς δέ ἀρετάς ἀντ’ αὐτῶν μή πάσῃ ἰσχύϊ κτησώμεθα ἐπί τοσοῦτον, ἕως οὗ ἄνδρες γενώμεθα τέλειοι καί καταντήσωμεν εἰς μέτρον ἡλικίας τοῦ πληρώματος τοῦ Χριστοῦ, καθώς ὁ Παῦλος ἐντέλλεται γενέσθαι πάντας ἡμᾶς. Καί εἰκότως· εἰ γάρ μή τοιοῦτοι γενοίμεθα, πῶς δουλεῦσαι τῷ Κυρίῳ ἰσχύσομεν; Πῶς στρατευθῆναι Χριστῷ δυνησόμεθα; Πῶς δέ καί πνευματικῶς ὁπλισόμεθα καί εἰς παράταξιν Θεοῦ ζῶντος καταριθμηθῶμεν καί τοῖς ἐχθροῖς φοβεροί φανησόμεθα; Οὐδαμῶς. Μή οὖν οἰέσθω τις νηστεύων ἤ ἀγρυπνῶν ἤ πεινῶν ἤ διψῶν ἤ χαμευνίᾳ συζῶν ἤ πενθῶν ἤ κλαίων ἤ ὕβρεις ἐπερχομένας αὐτῷ καί πειρασμούς ὑποφέρων, ὅτι τῷ Θεῷ δουλεύει ἤ ἑτέρῳ τινί διά τῶν τοιούτων χαρίζεταί τι. Ἀλλ’ ἑαυτόν μόνον ὠφελεῖ, καί ταῦτα, ἐάν ἐν ταπεινώσει καί γνώσει πνευματικῇ ὑπομένῃ αὐτά καί μετέρχηται· εἰ δέ μή, οὐδέ ἑαυτόν. Τό γάρ μή γινόμενον μετά ταπεινοφροσύνης καί γνώσεως πνευματικῆς, οἷον ἄν καί ἔστιν, οὐδέν ὀνίσησι τόν ποιοῦντα. Καί πῶς τοῦτο ἔστι, διά πάντων τῶν θείων Γραφῶν ὁ βουλόμενος διδαχθήσεται. Ἡμεῖς γάρ τοῦτο δεῖξαι μόνον κατεπειγόμεθα, ὅτι οὔτε οἱ ἐν τῇ μετανοίᾳ, οὔτε οἱ ἐν τῇ ἀσκήσει χρονίσαντες τῷ κυρίῳ δουλεύουσιν, ἀλλ’ ἑαυτούς ὠφελοῦσι καί ἑαυτοῖς μόνοις χαρίζονται· καί, εἰ δοκεῖ, ἀπό παραδειγμάτων πιστότερον τόν λόγον καί βεβαιότερον ἐργασώμεθα.

Τίνας λέγομεν εἶναι τούς τῷ ἐπιγείῳ δουλεύοντας βασιλεῖ; Τούς ἀναστρεφομένους ἐν τοῖς ἑαυτῶν οἴκοις, ἤ τούς συνακολουθοῦντας αὐτῷ πανταχοῦ; Τούς διάγοντας ἐν τοῖς ἑαυτῶν προαστείοις, ἤ τούς κατειλεγμένους ἐν τοῖς στρατεύμασι; Τούς ἀναπεπτωκότας καί τρυφῶντας καί οἴκαδε σπαταλῶντας, ἤ τούς ἐν πολέμοις ἀνδραγαθοῦντας καί πληττομένους, ἔσθ’ ὅτε καί πλήττοντας καί τῶν ἐχθρῶν ἀναιροῦντας πολλούς καί τούς αἰχμαλωτισθέντας συνδούλους αὐτῶν ἀναρρυομένους καί τούς ἐχθρούς καταισχύνοντας; Τούς χρυσοχόους καί χαλκοτύπους καί λινοξόους, τούς ἀεί ἐργαζομένους καί μόλις ἑαυτοῖς καί τοῖς συνοῦσι τήν σωματικήν δυναμένους πορίσασθαι χρείαν, ἤ τούς στρατηγούς, τούς χιλιάρχους καί τούς λοιπούς ἄρχοντας καί αὐτούς τούς ὑπ’ αὐτῶν ἀρχομένους λαούς; Οὐ πρόδηλον τούτους εἶναι μᾶλλον τούς τῷ ἐπιγείῳ δουλεύοντας βασιλεῖ, ἤ ἐκείνους; Χαλκεύς γάρ καί χρυσοχόος καί τέκτων, εἴ τι ἔργον ἐργάσονται τῷ βασιλεῖ, παρά τῶν ὑπηκόων τόν συμφωνηθέντα λαμβάνουσι μισθόν καί ὡς ξένοι τινές καί ἀλλότριοι ἀναστρέφουσιν οἴκαδε, μήτε τόν βασιλέα ἰδόντες, μήτε γνῶσιν ἔχοντες φιλίας τῆς οἱασοῦν πρός αὐτόν· οἱ δέ καί φίλοι τοῦ βασιλέως εἰσί καί δι’ αὐτῶν ὁ ὑφ’ ἑνί ἑκάστῳ αὐτῶν ὑπάρχων λαός. Οὕτως οὖν καί ἐπί τοῦ ἐπουρανίου νόει μοι βασιλέως καί ἐπί τῶν δουλευόντων αὐτῷ. Δοῦλοι γάρ αὐτοῦ, ὡς ὑπ’ αὐτοῦ καί κτισθέντες καί παραχθέντες, οἱ πάντες ἐσμέν, πιστοί τε καί ἄπιστοι, δοῦλοι καί ἐλεύθεροι, πλούσιοι καί πένητες, ἱερεῖς, ἀρχιερεῖς, βασιλεῖς τε καί ὁμοῦ καί

ἄρχοντες· ἀλλ' οἱ μέν εὐγνωμόνως καί ἐν πάσῃ ἰσχύϊ τάς ἐντολάς αὐτοῦ τηροῦντες καί διά τούτων τήν εἰς αὐτόν πίστιν βεβαίαν ἐπιδεικνύμενοι ἀγαθοί καλοῦνται καί πιστοί λέγονται, οἱ δέ ἀμελῶς μέν καί ῥᾳθύμως ὅμως δέ δουλεύειν αὐτῷ προαιρούμενοι πονηροί καλοῦνται καί ὀκνηροί, οἱ δέ καί ἐναντία τῶν ἐκείνου προσταγμάτων ποιοῦντες ἤ λέγοντες ἐχθροί εἰσι καί πολέμιοι, εἰ καί ἀσθενεῖς εἰσι καί οὐδέν ὅλως ἰσχύοντες κατ' αὐτοῦ.

Ἡμεῖς οὖν τοῦ Κυρίου ἀκούσαντες λέγοντος· «*Ὅστις θέλει ὀπίσω μου ἐλθεῖν, ἀπαρνησάσθω ἑαυτόν καί ἀράτω τόν τόν σταυρόν αὐτοῦ καί ἀκολουθείτω μοι*» καί τοῦ Ἀποστόλου διδάσκοντος· «*Τεκνία, μή ἀγαπᾶτε τόν κόσμον μηδέ τά ἐν τῷ κόσμῳ· ἡ γάρ ἀγάπη τοῦ κόσμου ἔχθρα εἰς Θεόν ἐστί*» καί ὅτι· «*Ὁ ἀγαπῶν τόν κόσμον ἐχθρός τοῦ Θεοῦ καθέστηκεν*», πάντα τῷ δοκεῖν ἀφέντες, τῷ Σωτῆρι ἡμῶν καί Θεῷ ἠκολουθήσαμεν, μᾶλλον δέ τόν κόσμον ὡς ἐμπόδιον ἡμῖν πρός ἀρετήν ὄντα, πρός τόν μονήρη βίον μετήλθομεν, οἱονεί τήν πολεμίαν καταλιπόντες γῆν, ἐν ᾗ αἰχμάλωτοι, ἑκουσίως ἀποφυγόντες, διήγομεν, καί πρός τήν χώραν τοῦ ἡμετέρου δεσπότου καί βασιλέως Χριστοῦ μετέβημεν, ἐνδυσάμενοι μόνον τό σχῆμα τοῦ ὑπ' αὐτοῦ τελοῦντος λαοῦ, οὐ μέντοιγε διά τοῦ ἐνδύματος αὐτῷ στρατευθέντες ἤ δουλεύοντες, ὡς οὐδέ οἱ τήν ἴσην τοῖς στρατιώταις φοροῦντες στολήν στρατιῶται τοῦ βασιλέως τυγχάνουσιν, ἀλλ' ὑπό τήν αὐτοῦ τέως γεγονέναι λέγομεν βασιλείαν, τό μοναχικόν ἐνδυσάμενοι ἔνδυμα, στρατευθῆναι δέ αὐτῷ διά τοῦτο οὐ λέγομεν, διότι τά ὅπλα ἡμῶν οὔκ εἰσι σωματικά ἀλλά πνευματικά· «*Οὐ γάρ ἐστιν ἡμῖν ἡ πάλη πρός αἷμα καί σάρκα, ἀλλά πρός τάς ἀρχάς, πρός τάς ἐξουσίας, πρός τά πνευματικά τῆς πονηρίας ἐν τοῖς ἐπουρανίοις*». Ὅταν οὖν ἐνδυσώμεθα τά ὅπλα τοῦ φωτός, ἀσπίδα καί περικεφαλαίαν καί τά λοιπά, ἅ Παῦλος ὁ ἅγιος ἀπηριθμήσατο, καί τήν μάχαιραν τοῦ Πνεύματος ἠκονημένην λάβωμεν ἐν χερσί, τότε καί στρατευθῆναι λέγομεν καί πρός παράταξιν ἡμᾶς ἑαυτούς εὐτρεπίζομεν.

Τέως δέ, οἱ περιβαλόμενοι τό μοναχικόν ἔνδυμα καί εἰσελθόντες εἰς τό στάδιον τῆς μετανοίας καί τῆς ἀσκήσεως, σκοπήσωμεν, εἰ δοκεῖ, τί ἐργαζόμεθα. Κλαίομεν; Διά τί; Πάντως ἵνα τῶν ἁμαρτημάτων ἡμῶν τήν ἄφεσιν λάβωμεν, οὐ μόνον δέ, ἀλλ' ἐκκαθαρθῶμεν καί τῶν ἐξ αὐτῶν μολυσμῶν. Νηστεύομεν; Πάντως ἵνα τάς τῆς σαρκός κινήσεις συστείλωμεν καί τήν καρδίαν μαλακωτέραν ποιήσωμεν. Ἀγρυπνοῦμεν καί ψάλλομεν; Ἵνα μή πονηρά διαλογιζώμεθα καί πρός μετεωρισμούς ἐκτρεπώμεθα. Εὐχόμεθα σωματικῶς; Ὡς ἄν μή ὑπό τοῦ ἐχθροῦ αἰχμαλωτιζώμεθα νοερῶς καί ὥστε εἰς τό τά χρηστά ἐννοεῖν καί κατά διάνοιαν πνευματικῶς ἀεί καί ἀδιαλείπτως προσεύχεσθαι φθάσωμεν. Πενθοῦμεν; Πάντως ἵνα τῆς χαρᾶς τοῦ πένθους ἐπαπολαύωμεν. Εὐτελῆ φοροῦμεν καί τρύχινα, χαμαικοιτοῦμέν τε καί σιδήροις τό σῶμα σφίγγομεν οἱ πολλοί; Διά τί; Ἵνα πάντως τό σφριγῶν τοῦτο σῶμα κατάγξωμεν καί φορτίσωμεν καί μή ἐάσωμεν αὐτό, ὥσπερ τινά πῶλον ἀδάμαστον, χαλινοῦ δίχα τοῦ αὐτόν ἄγχοντος, καί συνελάσαν εἰς κρημνόν, ἑαυτό καί τόν ἐπιβάτην νοῦν κατακρημνίσῃ εἰς βόθρον ἀπωλείας καί πυρός αἰωνίου. Ταῦτα δέ ποιοῦντες, τί ἄρα τοῖς ὁρῶσιν αὐτοῖς χαριζόμεθα; Πάντως οὐδέν. Εἰ δέ μή τοῖς ὁρῶσι, πολλῷ μᾶλλον τῷ καί σοφίαν καί δύναμιν

χαρισαμένῳ εἰς τό ἑαυτούς ἡμᾶς διασώσασθαι.

Ἀλλά λοιδορίας καί θλίψεις ἐπερχομένας μετ’ εὐχαριστίας ἀμνησικάκως ὑποφέρομεν; Καί ἐν τούτῳ πάλιν ἡμᾶς αὐτούς καί οὐχ ἕτερον εὐεργετοῦμεν. Καί ἄκουσον τοῦτο λέγοντος τοῦ Κυρίου· «*Ἐάν μή ἀφῆτε τοῖς ἀνθρώποις τά παραπτώματα αὐτῶν ἀπό τῶν καρδιῶν ὑμῶν, οὐδέ ὁ πατήρ ὑμῶν ὁ οὐράνιος ἀφήσει ὑμῖν τά παραπτώματα ὑμῶν*». Ἰδού οὖν, κἄν λοιδορίας, κἄν ῥαπίσματα, κἄν κολαφίσματα, κἄν ἐμπαιγμούς, κἄν ἐκπτύσματα, κἄν ὁτιοῦν πανθάνωμεν, εἰ μέν εὐχαρίστως ὑποφέρομεν καί τούς ταῦτα ἡμῖν ἐπιφέροντας ἀπό ψυχῆς συμπαθοῦμεν, ἡμῖν αὐτοῖς χαριζόμεθα, τῶν εἰς Θεόν ἁμαρτηθέντων ἡμῖν λαμβάνοντες ἄφεσιν· εἰ δέ μνησικακοῦμεν καί ἀνταποδιδόναι αὐτοῖς πολυτρόπως πειρώμεθα, ἑαυτούς ἡμᾶς βλάπτομεν, ἀσυγχώρητα ἡμῶν διατηρεῖσθαι ποιοῦντες τά ἁμαρτήματα. Καθεζόμεθα ἐν κελλίῳ, φεύγομεν εἰς τά ὄρη, ἐν σπηλαίοις κατοικοῦμεν καί ἐν στύλοις ὑψούμεθα; Διά τί; Σπεύδοντες πάντως διεκφυγεῖν τόν ὡς λέοντα περιπατοῦντα καί φρικτά ὠρυόμενον καθ’ ἡμῶν καί ζητοῦντα τίνα καταπίῃ. Εἰ οὖν δῴη ὁ Θεός - ἄνευ γάρ τῆς ἐκείνου βοηθείας ἐκφεύξασθαι οὐ δυνησόμεθα τούς ἐκείνου ὀδόντας καί τά ποικίλα δεσμά, ὅπου ἄν καί ἀπέλθωμεν - καί διασωθῶμεν, μή βρῶμα τῷ δεινῷ τούτῳ θηρίῳ γενόμενοι, πῶς δουλεύειν τῷ Κυρίῳ διά τῶν τοιούτων πράξεων εἴπομεν; Ἐμοί οὐ δοκεῖ τοῦτο εὔλογον, οἶμαι δέ, οὐδέ ὑμῖν.

Πῶς γάρ ὁ καταδιωκόμενος μέν ὑπό τινος, φεύγων δέ αὐτός ἰσχυρῶς, τόν εἰσδεξάμενον αὐτόν ἐν τῇ ἑαυτοῦ οἰκίᾳ καί στάντα πρό τῶν θυρῶν καί τοῦ διώκοντος αὐτόν ἐχθροῦ λυτρωσάμενον δουλεύσαι τούτου γε ἕνεκα εἴποι ἄν; Οὐδαμῶς, ἀλλ’ ὡς ὑπ’ αὐτοῦ μᾶλλον εὐεργετηθείς καί ῥυσθείς τοῦ ἐχθροῦ αὐτοῦ, ὀφείλει τήν εὐχαριστίαν αὐτῷ ἀποδιδόναι διηνεκῶς. Πῶς δέ, εἴπατέ μοι, οἱ προσαιτοῦντες πένητες, ἤ διά ἀσθένειαν σώματος ἤ διά ἀργίαν καί ὀκνηρίαν ἐργάζεσθαι μή βουλόμενοι, δουλεύειν τοῖς ἐλεημοσύνην διδοῦσι καί διακονοῦσιν αὐτοῖς λογισθήσονται, καί οὐχί μᾶλλον παρά τῶν ἐλεημόνων οἱ πτωχοί δωρεάν φανῶσι διακονεῖσθαι καί ἐκδουλεύεσθαι; Οὕτω τοιγαροῦν καί ἡμεῖς ἅπαντες, φτωχοί καί ἐπιδεεῖς ὑπάρχοντες ἐκ προγεγονότων ἀνομιῶν, τῷ ἡμᾶς ἐλεοῦντι Θεῷ οὕτω διακειμένους ἡμᾶς δουλεύειν οὐδέποτε ἄν εἴποιμεν, ἐπειδή, ὡς εἴρηται, οἱ μέν ἐκ προγεγονότων ἁμαρτημάτων, οἱ δέ ἐκ συνηθείας κακῆς, οἱ δέ ἐξ ὀκνηρίας καί ἀργίας τῶν ἐντολῶν τοῦ Θεοῦ, οἱ δέ ἐκ προαιρέσεως πονηρᾶς, οἱ δέ ἐκ προλήψεως ἡδονῶν, οἱ δέ ἀξ ἀγνοίας καί ἀπιστίας τῶν θείων Γραφῶν, ἄλλοι ἐξ οἰήσεως καί τοῦ δοκεῖν μηδέν πλέον χρῄζειν εἰς σωτηρίαν ψυχῆς, καί ἁπλῶς πάντες ὑπάρχομεν πένητες καί γυμνοί. Οὐ μόνον δέ, ἀλλά καί τραυματίαι, ποικίλαις κατεχόμενοι νόσοις καί ὡς ἐν διαφόροις ξενῶσι καί γηρωκομείοις ἐν αὐτοῖς τοῖς κελλίοις καί μοναστηρίοις ἡμῶν ἐλεεινῶς ἀνακεκλιμένοι ὄντες ἤ περιπατοῦντες ποσῶς, βοῶμεν καί θρηνοῦμεν καί κλαίομεν καί αὐτόν προσκαλούμεθα τόν ἰατρόν ψυχῶν τε καί σωμάτων - ὅσοι δηλαδή τῆς ἀλγηδόνος τῶν τραυμάτων ἤ τῶν παθῶν ἐλάβομεν αἴσθησιν, ἐπειδήπερ εἰσί καί ὡς φρενήρεις τινές, μηδέ ὅτι τίποτε ἀσθενοῦσιν εἰδότες ἤ ὅτι κατέχονται ὑπό τινος πάθους - , ἵνα ἐλθών ἰάσηται ἡμῶν τάς τετραυμαστισμένας καρδίας καί δῷ τήν ὑγίειαν ταῖς ψυχαῖς ἡμῶν, κειμέναι ὑπό τήν κλίνην τῆς ἁμαρτίας καί τοῦ θανάτου, ἐπειδή ἅπαντες

ἡμάρτομεν, κατά τόν θεῖον Ἀπόστολον, καί δεόμεθα τοῦ ἐλέους αὐτοῦ καί τῆς χάριτος.

Τῷ οὖν ἡμᾶς ἐλεοῦντι, οὕτω διακειμένους ὡς λέλεκται, καί ἐφ' ἡμᾶς σπλαγχνιζομένῳ καί τάς ψυχάς ἡμῶν ἰατρεύοντι καί τά πρός σωτηρίαν ἡμᾶς διδάσκοντι καί παρεχομένῳ κατά μικρόν ἡμῖν τήν ὑγίειαν τῶν τραυμάτων καί νοσημάτων ἡμῶν, δουλεύειν ὅλως εἰπεῖν τολμήσομεν; Οὔμενουν, ὡς οὐδέ ὁ ὑπό τῶν ληστῶν συντριβείς τό σῶμα καί ἡμιθανής κείμενος τῷ ἐπί τοῦ ἰδίου κτήνους αὐτόν ἄραντι καί εἰς τό πανδοχεῖον ἀπαγαγόντι καί οἶνον ἐπιθέντι αὐτῷ καί ἔλαιον δουλεῦσαι λέγεται, ἀλλά μᾶλλον ἐλεηθῆναι ἰαθῆναι καί εἰς τήν προτέραν ὑγίειαν ἐπανελθεῖν δι' αὐτοῦ. Τοιγαροῦν παρειμένοι καί λελωβησμένοι καί ἡμεῖς ὄντες καί τραυματίαι καί ἀμελοῦντες τῶν πρός ἰατρείαν ἡμῶν καί παντί τρόπῳ μή ποιεῖν, ὡς εἶπον, σπουδάζοντες, πῶς τολμήσομεν εἰπεῖν ἤ ἐννοῆσαι ὅτι τῷ Κυρίῳ δουλεύομεν; Οὐδαμῶς· ἀλλά τί; Παρακαλοῦμεν, ὡς ἔφθην εἰπών, εἰ ὅλως ἐν οἵοις ἐσμέν αἰσθανόμεθα, δεόμενοι ἰαθῆναι ἀπό τῶν νόσων ἡμῶν. Ὅτε δέ τοῦτο γένηται καί τήν νόσον ὡς ἱμάτιον πεπαλαιωμένον καί διερρωγός καί ῥερυπωμένον κατ' ὀλίγον ἀποδυσόμεθα ἄνωθεν, καί τήν ὑγίειαν ὡς διπλοΐδα φωτεινήν ὅλῳ τῷ σώματι ἐνδυσόμεθα, ἤγουν ἀπό κορυφῆς ἕως ἄκρων ποδῶν, τότε ἄλλοις καί αὐτοί διακονοῦντες ἐν οἴνῳ καί ἐλαίῳ καί τοῖς λοιποῖς ἐμπλάστροις τε καί φαρμάκοις τούτους ἰατρεύοντες, αὐτῷ δουλεύειν τῷ Κυρίῳ λογισθησόμεθα τῷ οὕτως εἰπόντι· «*Ἐφ' ὅσον ἐποιήσατε ἑνί τούτων τῶν ἀδελφῶν μου τῶν ἐλαχίστων, ἐμοί ἐποιήσατε*». Εἰ δέ οὐχ οὕτως πρῶτον ἕξομεν, ἀλλ' ἔτι νοσοῦντες τοῦτο ποιῆσαι ἐπιχειρήσομεν, ἀποκριθείς ὁ Δεσπότης ἐρεῖ ἡμῖν· «*Ἰατρέ, ἰάτρευσον σεαυτόν*».

Διπλοΐδα δέ φωτεινήν εἰπόντας ἡμᾶς τήν ὑγίειαν τῆς ψυχῆς ἀκούσας, μή ἐξ ἀγνοίας καταγελάσῃς τοῦ ῥήματος μηδέ σωματικήν ὑγίειαν ὑπολαμβάνειν λέγειν ἡμᾶς, ἀλλ' ἀσώματόν τινα καί θείαν νοεράν, ἥτις οὐκ ἀπό φαρμάκων καί βοτάνων εἴωθεν γίνεσθαι, «*οὐδέ ἐξ ἔργων τινῶν, ἵνα μή τις καυχήσηται*». Καθάπερ γάρ τις ὀστοῦν συντιθείς νεκρόν πρός ὀστοῦν καί ἁρμονίαν πρός ἁρμονίαν, ἅτινά μοι καί λάβοις εἰς ἔργα καί κτῆσιν τῆς ἀρετῆς, οὐδέν ὠφελεῖ, μή ὄντος τοῦ δυναμένου κρέας καί νεῦρα εἰς αὐτά ἐξυφᾶναι, ἀλλά καί τοῦτο ποιήσας καί τάς μέν ἁρμονίας συνδήσας τοῖς νεύροις, τά δέ νεκρά ἐκεῖνα ὀστᾶ κρέας ἐπενδύσας καί δέρμα καί εἰς σῶμα ἀποτελέσας αὐτά, οὐδέν ἔσται πάλιν ὄφελος, ἐστερημένον ὑπάρχον τοῦ ζωοποιοῦντος καί κινοῦντος αὐτό πνεύματος, τουτέστιν ἔρημον ψυχῆς ὄν, οὕτω καί ἐπί τῆς νεκρωμένης μοι νόει ψυχῆς καί ἐπί τά ἔνδοθεν τῶν ταύτης μελῶν μετάγαγέ σου τόν νοῦν καί ἰδέ πάσας συναγομένας τάς πράξεις, νηστείαν λέγω καί ἀγρυπνίαν, χαμευνίαν καί ξηροκοιτίαν, ἀκτημοσύνην καί ἀλουσίαν καί τά τούτοις ἀκόλουθα, ὡς ὀστᾶ νεκρά, καί συναρμολογουμένας ἀλλήλαις καί ἑτέραν τῇ ἑτέρᾳ συνακολουθούσας καί συντιθεμένας καί οἱονεί πως ἀκέραιον ἀποτελούσας τό τῆς ψυχῆς σῶμα. Τί οὖν τό ὄφελος, ἐάν ἄψυχον κεῖται καί ἄπνουν, μή ὄντος τοῦ Ἁγίου Πνεύματος ἐν αὐτῷ; Μόνον γάρ ἐκεῖνο ἐλθόν ἐν ἡμῖν καί ἐγκατοικῆσαν, ὡς ἄψυχα μέλη ἀπ' ἀλλήλων διεσπασμένα, οὕτω νενεκρωμένας τάς ἐναρέτους πράξεις συνδεῖ νεύροις ἰσχύος πνευματικῆς καί συνενοῖ τῇ ἀγάπῃ τῇ πρός Θεόν, καί τηνικαῦτα καινούς ἡμᾶς ἀπό παλαιῶν καί ζῶντας ἐκ νεκρῶν ἀποδείκνυσιν·

ἄλλως δέ οὐκ ἔνι ζῆσαι ψυχήν.

Ὥσπερ γάρ τό σῶμα ἡμῶν, κἄν ἀσθενῇ κἄν μή, δίχα ψυχῆς κινεῖσθαι τοῦτο, ἤ κἄν ὅλως ζῆν, τῶν ἀδυνάτων ἐστίν, οὕτω καί ἡ ψυχή, κἄν ἁμαρτήσῃ κἄν μή, ἄνευ τοῦ Ἁγίου Πνεύματος νεκρά ἐστι καί ζῆσαι τήν αἰωνίαν ζωήν ὅλως οὐ δύναται· εἰ γάρ κέντρον τοῦ θανάτου ἡ ἁμαρτία ἐστίν, ὁ ἁμαρτήσας πάντως πληγείς ὑπ’ αὐτοῦ ἀπέθανεν· εἰ δέ οὐδείς ἀναμάρτητος - πάντες γάρ, φησίν, ἥμαρτον καί ὑστεροῦνται τῆς δόξης τοῦ Θεοῦ - , πάντες δηλονότι οἱ ἁμαρτήσαντες ἀπεθάνομεν καί ἐσμέν νεκροί. Νόει οὖν μοι νεκρόν νοερῶς σεαυτόν. Εἰπέ τοίνυν πῶς ἐπαληθῶς ζήσειας, μή ἑνωθείς τῇ ἀληθινῇ ζωῇ, τουτέστι τῷ Ἁγίῳ Πνεύματι, δι’ οὗ πᾶς πιστός ἀναγεννᾶται καί ἀναζωοῦται ἐν Χριστῷ. «*Ἐγώ γάρ, φησί, εἰμί ἡ ἀλήθεια καί ἡ ἀνάστασις καί ἡ ζωή*». Οἱ δοῦλοι καί μαθηταί τοῦ Χριστοῦ φῶς εἰσι καί ἀλήθεια καί ζωή· «*Ὁ δεχόμενος γάρ ὑμᾶς, φησίν, ἐμέ δέχεται· καί ὁ ἐμέ δεχόμενος δέχεται τόν ἀποστείλαντά με*». Εἰ οὖν ἡμεῖς νεκροί, ἐκεῖνος δέ μόνος ἡ αἰώνιός ἐστι ζωή, πρό τοῦ ἑνωθῆναι αὐτῷ καί ζῆσαι, μή λέγωμεν ὅτι τῷ Κυρίῳ δουλεύομεν. Νεκροί γάρ πῶς τινί ποτε ἐκδουλεύσουσιν; Εἰ μή ἐκεῖνον γνωστῶς ὡς διπλοΐδα περιβαλώμεθα, μή νομίσωμεν ὅτι τῶν νοσημάτων ἡμῶν ἤ τῶν ἐνοχλούντων παθῶν ὅλως ἠλευθερώθημεν.

Ὥσπερ γάρ τό σκότος οὐ φεύγει, εἰ μή τό φῶς παραγένηται, οὕτως οὐδέ ἡ νόσος τῆς ψυχῆς φυγαδεύεται, εἰ μή ὁ τάς ἀσθενείας ἡμῶν αἴρων ἐλεύσεται καί ἡμῖν ἑνωθῇ. Ἐρχόμενος δέ αὐτός, ἐπεί πᾶσαν νόσον και πᾶσαν ἀσθένειαν ψυχικήν ἀπελαύνει, καλεῖται ὑγίεια, τήν ὑγίειαν ἡμῖν χαριζόμενος τῆς ψυχῆς· φωτίζων δέ ἡμᾶς, λέγεται φῶς, ὑπέρ φῶς ἅπαν ὤν· καί ζωοποιῶν ἡμᾶς, λέγεται ζωή, ὑπέρ ζωήν ἅπασαν ὤν· περιλάμπων δέ ἡμᾶς ὅλους καί τῇ δόξῃ τῆς αὐτοῦ θεότητος περικυκλῶν καί ἐπιθάλπων, καλεῖται ἱμάτιον, καί οὕτως ἐνδιδύσκεσθαι τοῦτον λέγομεν τόν ἀναφῆ πάντῃ καί ἄληπτον· ἑνούμενος δέ ἀμίκτως ἡμῶν τῇ ψυχῇ καί ὅλην ποιῶν ταύτην ὡς φῶς, ἐνοικεῖν λέγεται ἐν ἡμῖν καί ἀπεριγράπτως περιγράφεσθαι. Ὢ τοῦ θαύματος! Οὕτω τοιγαροῦν γίνεται πάντα ἡμῖν ὁ ὑπεράνω πάντων ὤν, ἄρτος, σκέπη καί ὕδωρ, ὅ πάλαι τῇ Σαμαρείτιδι εἶπε τόν πιόντα μή διψῆσαί ποτε. Εἰ οὖν ἔτι διψᾷς, οὔπω ἐξ ἐκείνου τοῦ ὕδατος ἔπιες· ἀψευδής γάρ ἐστιν ὁ τοῦτο εἰπών. Ἐγώ γάρ τινος ἤκουσα λέγοντος, ὅτι ἀφ’ οὗ ἐκ τούτου τοῦ ὕδατος εἰς κόρον πιεῖν ὁ φιλάνθρωπος Δεσπότης μοι ἐχαρίσατο, εἰ συνέβη ἐπιλαθέσθαι με καί ὡς μή πιόντα ζητεῖν πάλιν δοθῆναί μοι παρ’ ἐκείνου πιεῖν, αὐτό ἐκεῖνο, ὅπερ δηλονότι ἔπιον ὕδωρ, ἔνδοθεν ἥλετο τῆς καρδίας μου καί ἐπήδα ὥσπερ ῥεῖθρον φωτοειδές καί εὐθύς ἑώρων αὐτό. Ἐκεῖνο δέ οἱονεί ἐλάλει διά τῶν παλμῶν ἐν ἐμοί καί ἔλεγειν· «*Οὐχ ὁρᾷς με ὅτι ἐνταῦθά εἰμι μετά σοῦ; Καί πόθεν μοι δοθῆναί σοι ἤ ἄλλοθέν ποθεν παραγενέσθαι με ἐπιζητεῖς; Οὐκ οἶδας ὅτι ἀεί σύνειμι οἷς ἅπαξ ἐμαυτό ἐπιδώσω πιεῖν με καί πηγή γίνομαι ἀθάνατος ἐν αὐτοῖς;*».

Εἰ οὖν τοῦτο γεγονός ἔγνως καί ἐν σοί, ὦ ἀδελφέ, μακάριος εἶ. Εἰ δέ τόν Χριστόν μέν τεθέασαι, οὔπω δέ σοι τοῦτο τό πόμα πιεῖν ἐχαρίσατο, πρόσπεσον, κλαῦσον, δυσώπησον, θρήνησον, τύψον σεαυτοῦ τάς ὄψεις, ὥσπερ ποτέ ὁ Ἀδάμ, τίλλε σου τάς

τρίχας τῆς κεφαλῆς· μή ἀναπέσῃς ἐπί κλίνης, ἀλλά κλίνη γενέσθω σοι ἅπαν ἔδαφος· μή δῷς ὕπνον εἰς κόρον σοῖς ὀφθαλμοῖς, μή ὅλως νυσταγμόν τοῖς βλεφάροις σου· μή πρός τι τῶν ἐπί γῆς ἤ τῶν ἐν οὐρανῷ ἐπιστρέψῃς σου τό ὄμμα - τί γάρ σοι καί πρός ἄλλο τι, τόν ποιητήν τῶν ἁπάντων ὁρῶν σου πρό ὀφθαλμῶν; - μή ἐμπλήσῃς τήν γαστέρα σου τῶν ἐδωδίμων ποτέ· μή γλυκάνῃς σου τόν λάρυγγα ἐνηδόνῳ βρώσει ἤ πόσει εἰς πλησμονήν· μή περιεργάσῃ τά γινόμενα πράγματα, μηδέ πρός τούς ἀδιαφόρως καί καταφρονητικῶς βιοῦντας ἀποβλέψῃς, ἵνα μή εἰς οἴησιν ἐμπέσῃς ἤ καί κατακρίνῃς αὐτούς· ἀλλά γάρ μηδέ συγκαθεσθῇς πρός συντυχίας ἀκαίρους ποτέ μετ' αὐτῶν· μή παριέλθῃς τούς ὀνομαστούς ζητῶν μοναχούς, μηδέ ἐρεύνα τούς βίους αὐτῶν, ἀλλ' εἰ μέν πνευματικῷ πατρί Θεοῦ χάριτι ἐνέτυχες, αὐτῷ μόνῳ λέγε τά κατά σέ· εἰ δ' οὖν, ἀλλά τόν Χριστόν ὁρῶν, εἰς ἐκεῖνον ἀπόβλεπε ἀεί καί διά παντός ἐκεῖνον μόνον τῆς σῆς κατηφείας καί θλίψεως ἔχε θεωρητήν.

Δείκνυε αὐτῷ, μᾶλλον δέ ἐκεῖνος ὁράτω σου τήν ἀλουσίαν, τήν ἄγαν ἀκτημοσύνην, τόν ἀφιλάργυρον τρόπον. Μηδέ, εἰ ῥέει ποθέν ἅπας ὁ πλοῦτος τοῦ κόσμου ἤ καί πλῆθος χρυσίου ἔρριπται πρό τῶν ποδῶν σου - γίνεται γάρ καί τοῦτο ἐκ τῆς τοῦ Πονηροῦ μηχανῆς καί τῶν ἐκείνου συνεργῶν καί ὑπασπιστῶν - , ἐπιστρέψαι κἄν ὅλως τόν ὀφθαλμόν καί ἀπιδεῖν πρός ταῦτα θελήσῃς, εἰ καί προφάσει τῶν πτωχῶν ἀναμαρτήτως δοκεῖ καί λαμβάνεσθαι καί διδόσθαι παρά σοῦ. Ἐκεῖνος βλεπέτω σε τυπτόμενον καί μή ἀντιτύπτοντα, ὑβριζόμενον καί μή ἀνθυβρίζοντα, λοιδορούμενον καί τούς λοιδοροῦντάς σε εὐλογοῦντα, μή δόξαν ζητοῦντα, μή τιμήν, μή ἀνάπαυσιν, καί ἁπλῶς πάντα ποιοῦντα καί πάντα διαπραττόμενον καί μηδόλως ἐνδιδοῦντα μήτε εἰς τά ὀπίσω στρεφόμενον, ἕως οὗ σπλαγχνισθείς ἐπιδώσει σοι τό φοβερόν ἐκεῖνο καί ἄρρητον καί ἀκατονόμαστον πόμα πιεῖν. Καί ὅταν τούτου ἀξιωθῇς, τότε γνώσεις ἅπερ λαλοῦμεν καί ἅπερ σοι ὑφηγούμεθα. «*Λαλοῦμεν γάρ σοφίαν, φησίν, οὐ τοῦ αἰῶνος τούτου τήν καταργουμένην, ἀλλά λαλοῦμεν Θεοῦ σοφίαν ἐν μυστηρίῳ, τήν ἀποκεκρυμμένην*».

Εἰ δέ οὐδέ αὐτόν τόν Χριστόν ὅλως ἰδεῖν κατηξίωσαι, τί ὅτι καί δοκεῖς ζῆν; Τί ὅτι καί δουλεύειν νομίζεις αὐτῷ, ὅν οὐδέπω τεθέασαι; Μή θεασάμενος δέ μηδέ φωνῆς αὐτοῦ ἀκοῦσαι ἀξιωθείς, πόθεν τό θέλημα αὐτοῦ τό ἅγιον καί εὐάρεστον καί τέλειον διδαχθήσῃ; Εἰ δέ ἐκ τῶν ἁγίων εἴπῃς μαθήσεσθαι τοῦτο Γραφῶν, ἐρωτῶ πῶς αὐτό, νεκρός ὅλος ὤν καί ἐν σκότει κείμενος, ἀκοῦσαι δυνηθῇς ἤ ἐκπληρῶσαι, ἵνα καί ζῆσαι ἀξιωθῇς καί ἰδεῖν τόν Θεόν. Οὐδαμῶς. Τί οὖν; Εἰ νεκροί ἐσμεν, φησίν, ἐν σκότει διάγομεν, πῶς ζῆσαι ἰσχύσομεν ἤ πῶς τόν Χριστόν, τό ἀληθινόν φῶς, ἐλθόντα ἐπί τῆς γῆς θεασόμεθα; Ἄκουε νουνεχῶς καί μή θέλε δικαιοῦν σεαυτόν· ἀλλά ταπεινώθητι ἐνώπιον τοῦ Θεοῦ καί εἰπέ· «*Κύριε, ὁ μή θέλων τόν θάνατον τοῦ ἁμαρτωλοῦ ὡς τό ἐπιστρέψαι καί ζῆν αὐτόν, ὁ κατελθών διά τοῦτο ἐπί τῆς γῆς, ἵνα τους κειμένους καί τεθανατωμένους ὑπό τῆς ἁμαρτίας ἐξαναστήσῃς καί σέ κατιδεῖν αὐτούς, τό φῶς τό ἀληθινόν, ὡς ἰδεῖν ἀνθρώπῳ δυνατόν, καταξιώσῃς, πέμψον μοι ἄνθρωπον γινώσκοντά σε, ἵνα, ὡς σοί δουλεύσας αὐτῷ καί πάσῃ δυνάμει μοι ὑποταγείς καί τό σόν ἐν τῷ ἐκείνου θελήματι ποιήσας θέλημα, εὐαρεστήσω σοι τῷ μόνῳ Θεῷ καί καταξιωθῶ σου*

*κἀγώ τῆς βασιλείας, ὁ ἁμαρτωλός*».

Ἐάν οὖν οὕτως ἐπιμείνῃς ἐξ ὅλης ψυχῆς καί δυνάμεως κρούων, παρακαλῶν τε καί δεόμενος αὐτοῦ, οὐκ ἐγκαταλείψει σε, ἀλλά ἤ δι᾽ ἑαυτοῦ ἤ δι᾽ ἑνός τῶν δούλων αὐτοῦ, ὅσα δεῖ σε ποιῆσαι διδάξει σε καί διά τῆς αὐτοῦ χάριτος καί τῆς εὐχῆς τοῦ δούλου αὐτοῦ ἰσχύν σοι χαρίσεται τοῦ ἐκπληρῶσαι αὐτά. Χωρίς γάρ ἐκείνου οὐ δυνήσῃ ποιῆσαι οὐδέν· ἀλλ᾽ ἐκεῖνος, καθώσπερ ἔφθην εἰπών, ἀπαραλείπτως γενήσεταί σοι τά πάντα· εἰ δέ μή πάντα τέως εὑρίσκῃ ἐν τῇ ἐξόδῳ σου τόν Χριστόν ἐκζητῶν, τέως τοῖς αὐτοῦ φίλοις καί ἄρχουσιν ὑποτασσόμενος εἶς καί δουλεύων εὑρίσκῃ διά τούτων ἐκείνῳ, τέως τῶν τοῦ Θεοῦ δούλων καί οὐχί τό σόν θέλημα ἐκ πληροῖς - Θεοῦ δέ θέλημα τό θέλημα τῶν ἐκείνου δούλων ἐστίν - , τέως ἐν ἐργασίᾳ καί οὐκ ἀργίᾳ, τέως ἐν ταπεινώσει καί οὐκ ἐν οἰήσει. Μνήσθητι ὧν εἶπον, ὅτι οἱ στρατηγοί καί οἱ ἄρχοντες πάντες οἱ μέν δοῦλοι, οἱ δέ φίλοι τοῦ βασιλέως εἰσί καί διά τούτων αὐτῶν καί ὁ ὑφ᾽ ἑνί ἑκάστῳ τούτων πέλων λαός· οἵ, εἰ καί μή τόν βασιλέα καθορῶσι καί συντυγχάνουσιν, ἀλλά τῷ στρατηγῷ αὐτῶν ἤ τῷ ἄρχοντι ὡς ἐκείνῳ αὐτῷ τῷ βασιλεῖ καλῶς ἐκδουλεύοντες δωρεάς τε καί ἀξιώματα λαβεῖν δι᾽ αὐτῶν ἀπό τοῦ βασιλέως ἐλπίζουσιν, οἱ δέ καί λαμβάνουσι μεσίτας τούς ἑαυτῶν ἄρχοντας προβαλλόμενοι. Εἰσί δέ οἵ καί διά τῆς οἰκείας ἀνδρείας καί ἀρετῆς ἀκουστοί γίνονται καί παρά τοῦ βασιλέως προσλαμβάνονται καί τιμῶνται καί ἄλλων ἄρχοντες καί μεσῖται ἀποκαθίστανται, καί τηνικαῦτα καταξιοῦνται καί αὐτῷ ἐκείνῳ τῷ βασιλεῖ τήν κατά πρόσωπον ὑπηρεσίαν ἀποπληροῦν καί αὐτῷ προσομιλεῖν καί τῆς ἐκείνου ἀκούειν φωνῆς.

Εἰ δέ σύ μέν, ὡς προείρηται, ζητῆσαι καί κροῦσαι οὐκ ἀνέχῃ, ἀλλά ὑπό στρατιώταις ἀνωνύμοις γενέσθαι, τουτέστιν ὑποτακτικός εὐτελής μετά εὐτελῶν καταταγῆναι προτεθύμησαι, καί ἄρχουσι πνευματικοῖς ἐκδουλεῦσαι οὐ βούλει, τί ἐμέ μέμφῃ λέγοντά σε νεκρόν ἤ τυφλόν ἤ ἀσθενῆ καί παρειμένον καί τῆς δουλείας ἀποκεχωρισμένον τοῦ βασιλέως Χριστοῦ; Ἀλλά κάθῃ, εἴποις, ἐν τῷ κελλίῳ, σεαυτῷ προσέχων καί μηδένα μηδαμῶς ἀδικῶν; Τοῦτο δέ αὐτό ἆρα ποιῆσαι καί αὐτός καταδέξῃ τόν σόν δοῦλον ἤ ὑπηρέτην, ἵνα καταφρονήσας σου τῆς ὑπηρεσίας, ἐν ἑτέρῳ καί αὐτός ἀπελθών κελλίῳ καθίσῃ, μηδένα μηδέν μηδέ σεαυτόν ἀδικῶν; Ἀλλά ἕτερος τίς ἀνθρώπων ὅλως ἀκοῦσαι τοῦτο ἀνέξεται; Πῶς οὖν, καθήμενον ἐν τῷ κελλίῳ καί παρ᾽ ἑτέρων ὑπηρετούμενος, σύ δουλεύειν λέγεις Θεῷ; Διά ποίων τῶν ἔργων; Εἰπέ. Εἰ γάρ σεαυτῷ διακόνεις εἰς πάντα καί ἐκ τῶν ἔργων τῶν χειρῶν σου τά πρός χρείαν εἶχες πᾶσαν τοῦ σώματος, οὐδέ οὕτως τῷ Θεῷ δουλεύειν σε λέγειν ἐχρῆν. Ὁ γάρ δοῦλος οὐχί ἐν τῷ ἑαυτόν διατρέφειν καί ἐνδιδύσκειν ἐπαινεῖται, ἀλλ᾽ ἐάν μή καί τό κοινῶς λεγόμενον πάκτον ἐκ τοῦ ἔργου αὐτοῦ καθ᾽ ἑκάστην πρός τόν ἑαυτοῦ παρέχῃ κύριον, ὡς ἄχρηστος τιμωρεῖται καί κατακρίνεται. Πῶς οὖν ἡμεῖς, ὡς ἐλεύθεροι ζῶντες καί τῇ ἀνέσει καί ἀμελείᾳ καί ῥαθυμίᾳ ἑαυτούς ἐκδιδοῦντες καί μή μόνον μηδέν ἐργαζόμενοι μήτε διακονοῦντες καί καθ᾽ ὥραν γογγύζοντες, εἰ μή παρ᾽ ἑτέρων διακονούμεθα, τῷ Θεῷ δουλεύειν καί μηδένα ἀδικεῖν λέγομεν; Ὅσοις γάρ ἄν ὑπηρετεῖν δύναταί τις καί μή προαιρεῖται τοῦτο ποιεῖν, τοσούτοις ἀδικεῖ καί ὑπεύθυνον ἑαυτόν τοῦ κρίματος ἀποκαθιστᾷ καί τῆς Δεσποτικῆς ἀποφάσεως

τῆς οὕτω λεγούσης· «*Ἀπέλθετε ἀπ' ἐμοῦ οἱ κατηραμένοι εἰς τό πῦρ τό αἰώνιον τό ἡτοιμασμένον τῷ διαβόλῳ καί τοῖς ἀγγέλοις αὐτοῦ. Ἐπείνασα γάρ*» καί τά ἑξῆς ἀπαριθμησάμενος «*ἐν ἀσθενείᾳ ἤμην, εἶπε, καί οὐ διακονήσατέ μοι*». Πῶς οὖν ἤ ποίῳ προσώπῳ αὐτόν θεασώμεθα, τό ἑκάστου ἔργον ἐρχόμενον ἐπισκέψασθαι;

Μή πλανᾶσθε· ὁ Θεός πῦρ ἐστι καί πῦρ ἦλθε καί ἔβαλεν ἐπί τῆς γῆς· ὅ καί περιέρχεται ζητῶν ὕλην δράξασθαι, ἤτοι πρόθεσιν καί προαίρεσιν ἀγαθήν, καί ἐμπεσεῖν εἰς αὐτήν καί ἀναφθῆναι. Εἰς οὕς δέ ἀναφθῇ, αἴρεται εἰς φλόγα μεγάλην καί ἀφικνεῖται ἕως τῶν οὐρανῶν καί οὐκ ἐᾷ τόν ἐμπυρισθέντα ἀργεῖν ὅλως ἤ ἠρεμεῖν. Οὐδέ ἀγνώστως, ὥς τινες οἴονται τῶν νεκρῶν, κατακαίει τήν ἐμπρησθεῖσαν ψυχήν - οὐδέ γάρ ἀναίσθητος ὕλη ἐστίν - , ἀλλ' ἐν αἰσθήσει καί γνώσει καί ὀδύνῃ ἀφορήτῳ τό καταρχάς· αἰσθητική γάρ ὑπάρχει καί λογική· μετά δέ ταῦτα, καθαράν τοῦ ῥύπου τῶν παθῶν τελείως ἡμᾶς, τίνεται τροφή καί πόσις, φωτισμός καί χαρά ἀδιαλείπτως ἐντός ἡμῶν, καί φῶς αὐτούς ἡμᾶς κατά μέθεξιν ἀπεργάζεται. Ὥσπερ γάρ ἐκκαιόμενος κλίβανος καταρχάς μέν ἐκ τοῦ τῆς ὕλης ἐκπεμπομένου καπνοῦ μᾶλλον μελαίνεται, ἐπάν δέ σφοδρῶς ἐκκαῇ, ὅλος διαυγής γίνεται καί τοῦ πυρός ὅμοιος καί οὐδεμίαν μελανίαν ἐκ τοῦ καπνοῦ ἔκτοτε κατά μέθεξιν προσλαμβάνει, οὕτω δή καί ψυχή ἡ τῷ θείῳ ἐναρξαμένη πόθῳ ἐκκαίεται πρῶτα μέν τόν τῶν παθῶν ζόφον ἐν τῷ πυρί τοῦ Πνεύματος ὡς καπνόν ἐν ἑαυτῇ ἐκπεμπόμενον καθορᾷ καί τήν προσοῦσαν αὐτῇ ἐξ αὐτοῦ μελανίαν ἐνοπτρίζεται καί θρηνεῖ καί τούς ἀκανθώδεις λογισμούς καί τάς φρυγανώδεις προλήψεις καταφλεγομένας καί ἀποτεφρουμένας τέλεον ἐπαισθάνεται· ἐπάν δέ ταῦτα ἐξαναλωθῇ καί ἡ τῆς ψυχῆς οὐσία μόνη χωρίς πάθους ἐναπομείνῃ, τότε οὐσιωδῶς καί αὐτῇ ἑνοῦται τό θεῖον καί ἄϋλον πῦρ· καί εὐθύς ἀνάπτεται καί διαυγάζει καί μεταλαμβάνει, ὥσπερ ὁ κλίβανος, τοῦ αἰσθητοῦ τούτου πυρός· οὕτω καί τό σῶμα, τοῦ θείου καί ἀρρήτου φωτός, καί αὐτό, πῦρ κατά μέθεξιν γίνεται.

Οὐκ ἄν δέ τοῦτό ποτε γένηται ἐν ἡμῖν, ἐάν μή τόν κόσμον καί τά ἐν τῷ κόσμῳ ἅπαντα βδελυξώμεθα καί αὐτάς ἡμῶν τάς ψυχάς κατά τήν τοῦ Κυρίου φωνήν ἀπολέσωμεν. Τό γάρ πῦρ ἐκεῖνο ἄλλως ἐν ἡμῖν οὐκ ἀνάπτεται· ὅ οἱ λαβόντες οὐ μόνον νοσημάτων ψυχικῶν παντελῶς ἀπηλλάγησαν, ἀλλά καί πολλούς ἄλλους, ἐκ τῶν δικτύων ἐξελθόντες τοῦ διαβόλου, νοσοῦντας ψυχικῶς καί ἀσθενοῦντας ἰάσαντο καί τῷ δεσπότῃ Χριστῷ ὡς δῶρα τούτους προσήγαγον. Ἐκ γάρ τοῦ πυρός ἐκείνου τοῦ θείου πᾶσαν ἐπιστήμην καί πᾶσαν τέχνην οὗτοι σοφῶς διδαχθέντες, διά πάντων ἐν παντί τῷ βίῳ καί ἐν πάσῃ αὐτῶν τῇ ζωῇ τῷ Θεῷ εὐηρέστησαν, οἷος ἦν ὁ τάς κλεῖς τῆς βασιλείας λαβών Πέτρος ὁ θεῖος ἀπόστολος, οἷος ἦν Παῦλος ὁ εἰς τρίτον ἁρπαγείς οὐρανόν, καί καθεξῆς οἱ θεῖοι ἀπόστολοι· τοιοῦτοι δέ ὑπῆρχον καί οἱ ἅγιοι καί θεοφόροι πατέρες ἡμῶν καί διδάσκαλοι, οἱ τάς αἱρέσεις διά τοῦ πυρός τούτου τοῦ θείου ὡς ἀκάνθας ἐξαφανίσαντες, οἱ τοῖς δαίμοσιν ὡς δούλοις ἀχρείοις καί ἀσθενέσιν ἐπιτάσσοντες (κἀκεῖνοι, μετά φόβου αὐτοῖς ὑπακούοντες, τοιοῦτοι γεγόνασι καί ἀεί γίνονται), οἱ οὕτως τόν Θεόν ἀγαπήσαντες, ὡς μηδέ τῆς ἑαυτῶν φείσασθαι ψυχῆς. Οὗτοι τοιγαροῦν καί ὅσοι κατ' αὐτούς τῷ Θεῷ δουλεῦσαι καί δουλεύειν ἀεί λέγονται, οἱ δέ ἁμαρτίαις ἔτι ὄντες ὑπεύθυνοι οὐχί, ἀλλά

δούλοις ἐοίκασι πονηροῖς καί προσκεκρουκόσι τῷ ἰδίῳ δεσπότῃ· οἱ δέ καί ὑπό παθῶν ἔτι ὀχλούμενοι, τοῖς ἀεί μαχομένοις καί τοῖς ἀντιπίπτουσιν ἤ παλαίουσιν· οἱ δέ τάς ἀρετάς ἀκμήν μή κτησάμενοι, ἀγωνιζόμενοι δέ ταύτας κτήσασθαι, τοῖς ἠκρωτηριασμένοις τά σώματα ἤ καί τοῖς λειπομένοις τῶν πρός ζωήν πένησι παρεικάζονται, δεομένοις μᾶλλον ὧν ὑστεροῦνται μελῶν καί χρειῶν, οὐχί δέ παρέχουσιν ἄλλοις τά πρός τήν χρείαν ἤ ἀμισθί δυναμένοις δουλεύειν.

Χρεών δέ ἐστι κατά τήν τοῦ Ἀποστόλου φωνήν πᾶσαν ἀρετήν κατορθώσαντας ἄρτιον ἡμᾶς ἀποτελέσαι τόν κατά Θεόν ἡμῶν ἄνθρωπον, ἐν μηδενί μηδέν λειπόμενον δηλονότι, καί τήν τοῦ Πνεύματος χάριν ἀπό τοῦ ἐπουρανίου βασιλέως Χριστοῦ, ὡς οἱ ἀπό τοῦ ἐπιγείου στρατιῶται τό σιτηρέσιον, λαβεῖν· καί τηνικαῦτα, ὡς ἤδη τέλειοι γεγονότες ἄνδρες, εἰς τήν ἡλικίαν τοῦ Χριστοῦ καί τό μέτρον ἀναδραμόντες αὐτῆς καί τοῖς στρατώταις καί δούλοις καταλεγέντες αὐτοῦ, ἐκστρατεύσομεν κατά τῶν πολεμίων ἐχθρῶν, ἐπειδή, ὥς φησι Παῦλος ὁ θεῖος ἀπόστολος, οὐδείς «*στρατεύεται ἰδίοις ὀψωνίοις ποτέ*». Τί λέγων ὀψώνιον; Τό βασιλικόν σιτηρέσιον. Εἰ τοίνυν καί ἡμεῖς μή λάβοιμεν ἀπό Θεοῦ τόν ἄρτον τόν ἐκ τοῦ οὐρανοῦ καταβαίνοντα καί διδοῦντα τῷ κόσμῳ ζωήν, ἤγουν τήν χάριν τοῦ Πνεύματος - τοῦτο γάρ ἐστι τό πνευματικόν σιτηρέσιον, ᾧ τρέφονται οἱ Χριστῷ στρατευθέντες καί ὅ ἀντί ὅπλων πνευματικῶς ἐπενδύονται -, πῶς εἰς παράταξιν, εἰπέ μοι, ἐξέλθωμεν τοῦ Θεοῦ ἤ πῶς καταταγῶμεν ἐν τοῖς δούλοις αὐτοῦ;

Ἀλλά δεῦτε καί διαναστῶμεν, ὅσοι ἀπό δουλείας τῆς τῶν παθῶν βούλεσθε φυγεῖν καί Χριστῷ τῷ ἀληθινῷ προσδραμεῖν δεσπότῃ, ἵνα καί δοῦλοι αὐτοῦ χρηματίσητε· καί τοιοῦτοι σπουδάσωμεν καί ἡμεῖς γενέσθαι, οἵους ὁ λόγος προλαβών ἀνετάξατο. Μή οὖν καταφρονήσωμεν τῆς σωτηρίας ἡμῶν μηδέ ἀπατῶμεν ἡμᾶς ἑαυτούς καί προφασιζώμεθα προφάσεις ἐν ἁμαρτίαις ἐν τῷ λέγειν· ἀδύνατον τοῦτό ἐστι κατά τήν παροῦσαν γενέαν τοιοῦτον γενέσθαι ποτέ. Μή δή φιλοσοφῶμεν κατά τῆς σωτηρίας ἡμῶν μηδέ κατά τῶν ἰδίων ψυχῶν ῥητορεύωμεν· δυνατόν γάρ ἐστιν, ἐάν θέλωμεν, καί τοσοῦτον ὡς ἀρκεῖν προαίρεσιν μόνην εἰς τοσοῦτον ὕψος ἀνενέγκαι ἡμᾶς· ὅπου γάρ, φησίν, ἑτοίμη προαίρεσις, τό κωλῦον οὐδέν. Ὁ Θεός βούλεται θεούς ἐξ ἀνθρώπων ποιῆσαι ἡμᾶς, ἑκόντας δέ καί οὐκ ἄκοντας· καί ἡμεῖς ἀναδυόμεθα, τήν εὐεργεσίαν ἀποσειόμενοι; Καί πόσης τοῦτο εὐηθείας οὐκ ἔστιν ἤ παραπληξίας καί ἀφροσύνης ἐσχάτης; Τοσοῦτον γάρ βούλεται τοῦτο ὁ Θεός, ὅτι ἐκ τῶν κόλπων τοῦ εὐλογημένου Πατρός αὐτοῦ ἀνεκφοιτήτως ἐξελθών κατῆλθεν καί ἦλθεν διά τοῦτο ἐπί τῆς γῆς. Εἰ τοίνυν θελήσομεν καί ἡμεῖς, οὐδέν οὐδαμῶς εἰς τοῦτο ἡμᾶς ἐμποδίσαι δυνήσεται· μόνον ὁρμήσωμεν διά μετανοίας θερμῆς πρός αὐτόν καί αὐτός ἐγγίσας ἡμῖν καί ἐφαψάμενος τῶν καρδιῶν ἡμῶν μόνῳ τῷ ἀχράντῳ δακτύλῳ αὐτοῦ ἀνάψει τάς λαμπάδας τῶν ψυχῶν ἡμῶν καί οὐκέτι ἐάσει σβεσθῆναι αὐτάς ἕως τῆς συντελείας τοῦ αἰῶνος καί ἐπ’ αἰώνων καί ἔτι, ὅτι αὐτῷ πρέπει πᾶσα δόξα, τιμή καί προσκύνησις νῦν καί εἰς τούς ἀτελευτήτους αἰῶνας τῶν αἰώνων· ἀμήν.

# ΛΟΓΟΣ Η΄. Περί ἀγάπης Θεοῦ καί πίστεως καί ὅπως τις ἐγκύμων γίνεται τῆς τοῦ Θεοῦ ἀγάπης. Καί περί ἐλλάμψεως καί θεωρίας φωτός καί μυστικῆς ὁμιλίας τοῦ Πνεύματος.

Εἰ δοκεῖ, τοίνυν ἀκούσωμεν τοῦ σωτῆρος ἡμῶν Θεοῦ διαρρήδην βοῶντος καί λέγοντος πρός ἡμᾶς· «*Οὐκ ἦλθον ἵνα κρίνω τόν κόσμον, ἀλλ᾽ ἵνα σωθῇ ὁ κόσμος δι᾽ ἐμοῦ*». Καί δεῖξαι βουλόμενος τόν τρόπον τῆς σωτηρίας, φησίν· «*Ἔπεμψεν ὁ Θεός τόν Υἱόν αὐτοῦ εἰς τόν κόσμον, ἵνα πᾶς ὁ πιστεύων εἰς αὐτόν μή ἀπόληται, ἀλλ᾽ ἔχῃ ζωήν αἰώνιον*». Ταῦτα τοιγαροῦν ὁ πιστεύων ἀπό καρδίας καί πληροφορούμενος ὅτι οὐκ ἦλθεν ὁ Χριστός κρῖναι αὐτόν ἀλλά σῶσαι, καί οὐκ ἐξ ἔργων ἤ κόπων καί ἱδρώτων, ἀλλά διά μόνης τῆς εἰς αὐτόν πίστεως, πῶς, εἰπέ μοι, ἄρα μή ἀγαπήσῃ αὐτόν ἐξ ὅλης αὐτοῦ τῆς ψυχῆς καί ἐξ ὅλης αὐτοῦ τῆς διανοίας; Καί μάλιστα ὅταν ἀκούσῃ ὅσα ἐκεῖνος ἔπαθε, σῶσαι αὐτόν καί πάντας βουλόμενος, οἷον τήν ἐξ οὐρανῶν αὐτοῦ κάθοδον, τήν ἐν γαστρί τῆς Παρθένου καί Θεοτόκου εἴσοδόν τε καί σύλληψιν καί τό ὅπως ἀτρέπτως γέγονεν ἄνθρωπος ὁ ὑπεράνω πάντων τῶν οὐρανῶν, ὁ ἰσότιμος καί ὁμοούσιος τῷ Πατρί καί πᾶσαν τήν κτίσιν τῇ χειρί περικρατῶν αὐτοῦ τῆς δυνάμεως, ὁ ἄνω σύν τῷ Πατρί ὤν καί κάτω βρέφος γενέσθαι κατά τήν ἀκολουθίαν τῆς ἡμετέρας καταδεξάμενος φύσεως.

Καί σύν τούτοις, ὅταν εἰς νοῦν ἀναλάβῃ τά λοιπά τῆς οἰκονομίας αὐτοῦ μυστήρια, οὐ μόνον δέ, ἀλλά καί ἅ ὑπέμεινε πάθη ὁ τῇ φύσει ἀπαθής δι᾽ αὐτόν, οἷον τόν τόκον αὐτοῦ τόν ἀπόρρητον, τά σπάργανα, τό σπήλαιον αὐτό, τήν φάτνην τῶν ἀλόγων ἐφ᾽ ᾗ πενιχρῶς ὁ βασιλεύς τοῦ παντός ἀνεκλίθη, τήν φυγήν τήν εἰς Αἴγυπτον, τήν ἐξ Αἰγύπτου ἐπάνοδον, τήν τοῦ Συμεών ὑποδοχήν, καί ὅπως ὡς εἷς τῶν κοινῶν ἀνθρώπων παρ᾽ αὐτοῦ ηὐλογήθη καί εἰσήχθη ἐν τῷ ναῷ, τήν τῶν γονέων ὑποταγήν, τήν παρά τοῦ Ἰωάννου βάπτισιν ἐν τῷ Ἰορδάνῃ, τόν πειρασμόν τοῦ διαβόλου, τάς θαυματουργίας αὐτοῦ καί διά ταῦτα οὐ θαυμαζόμενον, ἀλλά φθονούμενον μᾶλλον καί λοιδορούμενον καί διακωμῳδούμενον ὑπό πάντων (τότε τίνων; πονηρῶν καί ἀθέων ἀνδρῶν ὧν φανερῶς τε καί ἀφανῶς ἐμφράξαι ἠδύνατο τά ἀπύλωτα στόματα καί ξηρᾶναι τάς γλώσσας αὐτῶν καί τήν ἐνοῦσαν αὐτοῖς φωνήν ἀποσβέσαι), τήν προδοσίαν τοῦ μαθητοῦ, τόν δεσμόν ὅν ὑπέστη παρά τῶν μιαιφόνων, καί ὅπως ὡς κακοῦργος ἤγετο παρ᾽ αὐτῶν, καί παρεδίδοτο τῷ Πιλάτῳ ὡς κατάκριτος, καί ῥάπισμα ἔλαβεν ὑπό δούλου, καί τήν τοῦ θανάτου σιωπήσας ἀπόφασιν ἔλαβεν (Ἐμοί γάρ, φησίν, οὐ λαλεῖς; Οὐκ οἶδας ὅτι ἐξουσίαν ἔχων σταυρῶσαί σε καί ἐξουσίαν ἔχων ἀπολῦσαί σε;), εἶτα τόν φραγγελισμόν, τούς ἐμπαιγμούς, τά ὀνείδη, τήν πορφύραν, τόν κάλαμον, μεθ᾽ οὗ ἐπί τῆς ἀχράντου κεφαλῆς αὐτοῦ τάς μάστιγας παρά τῶν θεοκτόνων ἐδέχετο, τόν ἀκάνθινον στέφανον, τόν σταυρόν, ὅν καί ἐβάσταζεν ὁ διαβαστάζων λόγῳ τά σύμπαντα· καί ἁπλῶς εἰπεῖν, ὅταν ἐννοήσῃ ὅπως ἔξω τῆς πόλεως ἤγετο ἐπί τόν Κρανίου τόπον, τῶν δημίων καί τῶν στρατιωτῶν περιστοιχούντων αὐτόν μεθ᾽ ἅμα ὄχλων ἀπείρων ἐπί τήν θεωρίαν

ἐφεπομένων, καί ἐπί τούτοις, ἀγγέλων μέν ἄνωθεν φριττόντων, τοῦ Θεοῦ δέ καί Πατρός ὁρῶντος τόν ὁμοούσιον Υἱόν καί ὁμόθρονον καί ὁμότιμον ταῦτα πάσχοντα παρά τῶν ἀσεβῶν Ἰουδαίων, καί γυμνόν ἐπί σταυροῦ ἀναρτώμενον καί ἥλοις τάς χεῖρας καί τούς πόδας ἡλούμενον, λόγχῃ τε τήν πλευράν τιτρωσκόμενον, καί χολήν ποτιζόμενον μετά ὄξους, καί πάντα οὐ μόνον μακροθύμως φέροντα, ἀλλά καί τῶν σταυρούντων ὑπερευχόμενον, πῶς οὐκ ἀγαπήσει αὐτόν ἐξ ὅλης ψυχῆς αὐτοῦ;

Ὅταν γάρ ἐνθυμηθῇ ὅτι, Θεός ὤν ἄναρχος ἐξ ἀνάρχου Πατρός, συμφυής καί ὁμοούσιος τοῦ παναγίου καί προσκυνητοῦ Πνεύματος, ἀόρατος καί ἀνεξιχνίαστος, κατελθών ἐσαρκώθη καί ἄνθρωπος γέγονε καί πάντα τά εἰρημένα καί πολλά ἕτερα ἔπαθε δι᾽ αὐτόν, ἵνα τοῦ θανάτου καί τῆς φθορᾶς ἀπαλλάξῃ αὐτόν καί υἱόν Θεοῦ καί θεόν ὅμοιον αὐτοῦ ἀπεργάσηται, ἆρά γε, εἰ λίθου σκληρότερος ᾖ καί κρυστάλλου ψυχρότερος, οὐ μαλαχθήσεται τήν ψυχήν καί διαθερμανθήσεται τήν καρδίαν πρός ἀγάπην Θεοῦ; Ἐγώ οὕτω λέγω καί ὁμολογουμένως οὕτως ἐστίν ἡ ἀλήθεια ὅτι, ἐάν πιστεύσῃ τις ἀπό καρδίας ταῦτα πάντα καί ἐκ βαθέων ψυχῆς, εὐθύς ἕξει καί τήν πρός Θεόν ἀγάπην ἐν τῇ καρδίᾳ αὐτοῦ.

Ὥσπερ γάρ λέγουσιν ἐν τῇ κόχλῳ τόν μαργαρίτην, ἀνεῳγμένης ἐκείνης, ἐκ τῆς δρόσου τοῦ οὐρανοῦ καί ἐκ τῆς ἀστραπῆς ἐν αὐτῇ συλλαμβάνεσθαι, οὕτω καί τήν πρός Θεόν ἀγάπην λογίζου ἐν ἡμῖν σπείρεσθαι. Ἀπό γάρ τῶν εἰρημένων αὐτοῦ παθημάτων ἀκούουσα ἡ ψυχή καί κατά μικρόν πιστεύουσα, ἀναλόγως τῆς πίστεως αὐτῆς διανοίγεται, ὑπό ἀπιστίας ἠσφαλισμένη πρότερον οὖσα· ἐπάν δέ διανοιχθῇ, ὥσπερ δρόσος οὐράνιος, ἡ τοῦ Θεοῦ ἀγάπη ἥτις ἐστίν ἀρρήτῳ φωτί συνημμένη, δίκην ἀστραπῆς νοερῶς ἐν ταῖς καρδίαις ἡμῶν ἐμπίπτουσα, ὡς μαργαρίτης ἀποτελεῖται φαεινός, περί οὗ καί ὁ Κύριος λέγει ὅτι, ὅν εὑρών ὁ ἔμπορος, ἀπελθών ἐπώλησε πάντα τά ὑπάρχοντα αὐτοῦ καί ἠγόρασε τόν ἕνα μαργαρίτην ἐκεῖνον. Τοίνυν καί ὁ καταξιωθείς οὕτω πιστεῦσαι, καθώς εἴπομεν, καί τόν νοητόν μαργαρίτην ἐν ἑαυτῷ τῆς τοῦ Θεοῦ ἀγάπης εὑρεῖν, οὐκ ἀνέχεται μή καταφρονῆσαι πάντων καί πάντα διαδοῦναι τά ὑπάρχοντα αὐτοῦ πένησι καί τοῖς βουλομένοις ἄλλως ἀφῆσαι διαρπάσαι αὐτά, ἵνα τήν πρός Θεόν ἀγάπην ἄσυλόν τε καί ὅλως ἀμείωτον διαφυλάξῃ. Αὕτη γάρ καθ᾽ ἑκάστην αὐξανομένη ἐν τῇ καρδίᾳ τοῦ ἀντί πάντων προτιμῶντος αὐτήν γίνεται θαῦμα θαυμάτων ἐν αὐτῷ, ἀνέκφραστόν τε πάντῃ καί παντάπασιν ἀδιήγητον, μήτε νῷ καταληπτόν μήτε λόγῳ ῥητόν· καί τῷ ἀνεκδιηγήτῳ καί ἀκατανοήτῳ τοῦ πράγματος ἐξιστάμενος καί πρός ἐκεῖνο ἔχων ἀδολεσχοῦντα τόν νοῦν, ὅλως ἔξω τοῦ κόσμου οὐ τῷ σώματι ἀλλά ταῖς αἰσθήσεσι πάσαις γίνεται· συναπίασι γάρ τῷ νῷ καί αὗται πρός τό ἐντός αὐτοῦ καθορώμενον.

Τοιγαροῦν καί κατανοεῖ τοῦ ἰδεῖν ὁ οὕτως ἔχων καί ὁρᾷ καί ἰδού φῶς· τό δέ φῶς ἄνωθεν ἔχειν δοκεῖ αὐτῷ τήν ἀρχήν. Ζητῶν οὖν εὑρίσκει τοῦτο μήτε ἀρχήν τέλους ἔχον μήτε μεσότητα κεκτημένον· ὡς δέ ἐπί τούτοις ἐξαπορεῖ, καί ἰδού τρία ἐν αὐτῷ, τό δι᾽ οὗ καί ἐν ᾧ καί εἰ ὅν. Καί ταῦτα ἰδών, μαθεῖν ἐρωτᾷ καί ἀκούει τρανῶς· «*Ἰδού ἐγώ τό*

*Πνεῦμα δι’ οὗ καί ἐν ᾧ ὁ Υἱός*» καί «*Ἰδού ἐγώ ὁ Υἱός εἰς ὅν ὁ Πατήρ*». Ἐπί πλεῖον δ’ ἐπαποροῦντος αὐτοῦ, «*Ἰδού*» πάλιν φησίν «*ὁρᾷς*» ὁ Πατήρ. «*Καί ἐγώ*» φησίν ὁ Υἱός «*ἐν τῷ Πατρί*». Καί τό Πνεῦμα ἔλεγεν· «*Ὄντως ἐγώ· δι’ ἐμοῦ γάρ τόν Πατέρα καί τόν Υἱόν ὁ βλέπων ὁρᾷ καί ὁρῶν τῶν ὁρωμένων ἐξίσταται*». Ποῦ ὄντας; «*Ἐν ᾧ οὐδείς οἶδεν οὐκ ἀνθρώπων, οὐκ ἀγγέλων, πλήν αὐτῆς τῆς μιᾶς ἐμοῦ καί ἑνάδος καί ὑπέρ οὐσίαν οὐσίας καί φύσεως*». Ἐν ἐμοί δέ, φησί, πῶς; «*Ὅλη καθόλου· ἀχώριστος γάρ εἰμι πάντῃ καί ἄτμητος, τό ἕν κάν ταῖς ὑποστάσεσιν ἔχουσα. Εἰ οὖν ἐν ἐμοί πως ἤ που πέλεις, μή εἰδέναι φαίης τινά. Καθό μέν ἄνθρωπος καί περιγραπτός εἷς, ὡς ἐν περιγραφῇ πέλω καί τόπῳ, περιγραπτός γάρ γέγονε βροτωθείς καί ὁ εἷς ἐξ ἡμῶν· κατά δέ τήν ἑνοῦσάν μοι φύσιν πάμπαν ἀόρατος, ἀπερίγραπτος, ἀσχημάτιστος, ἀναφής, ἀψηλάφητος, ἀκίνητος, ἀεικίνητος, πάντα πληροῦσα καί οὐδαμοῦ τό σύνολον οὖσα, οὐκ ἐν σοί, οὐκ ἐν ἄλλῳ τινί τῶν πάλαι ἤ τῶν νῦν ἐγγιζόντων ἀγγέλων ἤ προφητῶν, οἷς οὐδ’ ὠράθην ὅλως, οὐδ’ ὁρῶμαί ποτε*».

Ὁ γοῦν ταῦτα μυστικῶς ὁρῶν καί μυούμενος τά ὑπέρ ἀγγέλους, τά ὑπέρ τήν ἀνθρωπίνην κατάληψιν, ἆρα μετά ἀνθρώπων εἶναι ὁ τοιοῦτος τῇ αἰσθήσει ἤ τῇ διανοίᾳ ὅλως ἰσχύσει; Εἰ γάρ ὁ βασιλεῖ προσομιλῆσαι θνητῷ καί παρεστάναι ποτέ καταξιωθείς, τῶν ἄλλων ἁπάντων ἐπιλανθάνεται καί ὅλος τοῖς τοῦ βασιλέως ἀποκρέμαται ῥήμασι, πόσῳ γε μᾶλλον ὁ αὐτόν ἐκεῖνον τόν ποιητήν καί δεσπότην καί Κύριον τοῦ παντός «*ὅν οὐδείς εἶδεν ἀνθρώπων οὐδέ ἰδεῖν δύναται*» βλέπειν καταξιωθείς, ὡς ἀνθρώπῳ ἐφικτόν, καί προσομιλῆσαι αὐτῷ καί φωνῆς ἐκείνου ἀκούειν τοῦ μέλλοντος κρῖναι ζῶντας καί νεκρούς, οὐκ ἐκστήσεται ἑαυτοῦ καί ὅλος ἔξω κόσμου καί σαρκός ὄντως γένηται καί μετ’ αὐτοῦ ἐπιποθήσει συνέσεσθαι, ἀλλά ἀποστάς τοῦ τοιούτου καί τηλικούτου, τοῦ ὑπέρ πᾶν τοιοῦτον ὄντος καί τηλικοῦτον, ἐπί μερίμνας ἔλθῃ βιωτικάς καί φθειρομένων ὅλως ἤ παρερχομένων καί ῥεόντων πραγμάτων φροντίσειεν; Οὐδαμῶς οἶμαι τῶν εὖ φρονούντων τινά εἰς τοῦτο ὅλως ἐλθεῖν καταδέξασθαι.

Τά μέν γάρ ἐν τῷ βίῳ τούτῳ καλά συνεπομένων ὁμολογουμένως ἔχουσι καί συγκεκληρωμένην αὐτοῖς τήν λύπην καί τήν ἀθυμίαν καί τήν ὀδύνην, ἡ δέ μετά τοῦ Θεοῦ διαγωγή καί ἡ ὁμιλία καί ἡ θεωρία τῶν ἀπορρήτων αὐτοῦ ἀγαθῶν πᾶσαν ὑπερβαίνει μακαριότητα καί πάσης ὑπέρκειται δόξης καί εὐκληρίας καί χαρᾶς καί ἀνέσεως, ὡς πάσης ὑπεραίρουσα τιμῆς καί τρυφῆς καί ἀπολαύσεως τοῦ νομιζομένου παντός ἀγαθοῦ τῆς παρούσης ζωῆς. Καθόσον γάρ ὑπερέχει τό ἐν πολυτελεῖ καί ἁπαλῇ στρωμνῇ ἀναπαύεσθαι ὑπέρ τό ἐν ἐσχάρᾳ πεπυρακτωμένῃ ἀνακεῖσθαι, κατά τοσοῦτον ὑπερφέρει πάσης τοῦ βίου εὐφροσύνης καί ἀπολαύσεως ἡ ἐκ τῆς τοῦ Θεοῦ συνουσίας καί ὁμιλίας ἐγγινομένῃ τῇ ψυχῇ χαρά καί ἀγαλλίασις. Διά δή τοῦτο καί ὁ τῶν κρειττόνων πολλάκις καί κατά ἄγνοιαν ἤ ῥαθυμίαν ἀποστάς καί πρός τάς φροντίδας τοῦ κόσμου γενόμενος, ἐφ’ ὅσον τῆς ἐν αὐτοῖς πικρίας καί ἀφορήτου βλάβης αἴσθηται, δρομαῖος πρός τά ἀφ’ ὧν ἐξελήλυθεν ἐπανέρχεται, πολλά ἑαυτόν μεμφόμενος ὅτι συγκατεσπάσθη ὅλως καί μέσον τῶν ἀκανθῶν τοῦ βίου καί τοῦ φλογίζοντος πυρός τάς τῶν ἀνθρώπων ψυχάς ἐγένετο, ὅμως φεύγει καί πρός τόν ἑαυτοῦ ἀνατρέχει Δεσπότην· καί εἰ μή ἦν

φιλάνθρωπος, δεχόμενος ἐπανερχομένους ἡμᾶς καί μή μνησικακῶν ἤ ὀργιζόμενος, ἀλλά καί μᾶλλον τῆς πρός αὐτόν ἐπανόδου ἀποδεχόμενος, «*οὐκ ἄν ἐσώθη πᾶσα ψυχή*» ἁγίου, εἴτε καί μέσως ἤ ἄλλως ἔχοντος. Διά τοῦτο πάντες οἱ τετελειωμένοι ἐν ἁγιωσύνῃ καί ἀρετῇ δωρεάν καί οὐκ ἐξ ἔργων δικαιοσύνης ἐσώθησαν· καί οὐχ οὗτοι μόνον, ἀλλά καί οἱ μετά ταῦτα τελειούμενοι, πάντες οὕτω σωθήσονται.

Ἐπεί δέ «*οὐκ ἐξ ἔργων νόμου, ἵνα μή τις καυχήσεται*», κατά τόν θεῖον Ἀπόστολον, ἡ σωτηρία ἡμῖν ἐπιγίνεται τοῖς πιστοῖς, οὐ χρή τοῖς ἔργοις, νηστείαις λέγω καί ἀγρυπνίαις ἤ χαμευνίαις καί λιμῷ καί δίψει, ὅλως θαρρεῖν, οὐ σιδήροις τό σῶμα καθηλοῦν, οὐ τρυχίνοις ἐνδύμασι τοῦτο ταλαιπωρεῖν. Οὐδέν γάρ ὅλως ταῦτά εἰσιν, ἐπειδή πολλοί καί τῶν κακούργων καί τῶν πενομένων αὐτῶν ταῦτα παθόντες οἱ αὐτοί διέμειναν, μηδέν τῆς κακίας ὑφιέντες αὐτῶν μηδέ τῆς πονηρίας βέλτιους γενόμενοι. Συμβάλλονται μέν καί ταῦτά τισι, καί τό σῶμα πρός ταπείνωσιν μᾶλλον δέ πρός ἀδυναμίαν καί ἀσθένειαν ἕλκουσιν· ἀλλ' οὐ τοῦτο μόνον ζητεῖ ὁ Θεός, πνεῦμα δέ συντετριμμένον καί καρδίαν συντετριμμένην καί τεταπεινωμένην ἐπιποθεῖ καί τό ἀεί ἐν καταβεβλημένῳ φρονήματι λαλεῖν τήν καρδίαν ἡμῶν πρός αὐτόν· «*Τίς εἰμι ἐγώ, Κύριέ μου δέσποτα καί Θεέ, ὅτι κατῆλθες καί ἐσαρκώθης καί ἀπέθανες δι' ἐμέ, ἵνα με τοῦ θανάτου καί τῆς φθορᾶς ἀπαλλάξῃς καί τῆς σῆς δόξης ὁμοῦ καί θεότητος κοινωνόν ἀπεργάσῃ καί μέτοχον;*». Ὁπηνίκα γάρ οὕτως ἕξεις κατά τάς ἀφανεῖς κινήσεις τῆς καρδίας σου, εὐθύς εὑρήσεις αὐτόν ἐναγκαλιζόμενόν σε μυστικῶς καί κατασπαζόμενον καί χαριζόμενόν σοι πνεῦμα εὐθές ἐν τοῖς ἐγκάτοις, πνεῦμα ἐλευθερίας καί ἀφέσεως τῶν ἁμαρτημάτων σου, οὐ μόνον δέ, ἀλλά καί τοῖς χαρίσμασιν αὐτοῦ καταστεφανοῦντά σε καί ἔνδοξόν σε διά σοφίας καί γνώσεως ἀπεργαζόμενον.

Τί γάρ ἕτερον οὕτω Θεῷ φίλον καί εὐαπόδεκτον, ὡς καρδία συντετριμμένη καί τεταπεινωμένη καί φρόνημα καταβεβλημένον ἐν πνεύματι ταπεινώσεως; Ἐν γάρ τοιαύτῃ καταστάσει ψυχῆς οἰκεῖ μέν αὐτός ὁ Θεός καί ἐπαναπαύεται πᾶσα δέ μηχανή τοῦ διαβόλου εἰς ἅπαν ἄπρακτος διαμένει καί πάντα τά φθοροποιά πάθη τῆς ἁμαρτίας τέλεον ἀφανίζεται καί βρίθει μόνος ἐν αὐτῇ ὁ καρπός τοῦ Ἁγίου Πνεύματος, ὅς ἐστιν ἡ ἀγάπη, ἡ χαρά, ἡ εἰρήνη, ἡ ἀγαθωσύνη, ἡ χρηστότης, ἡς πίστις, ἡ πραότης, ἡ ταπεινοφροσύνη καί ἡ περιεκτική ἐγκράτεια, οἷς ἀκολούθως ἕπεται ὡραίως ἡ γνῶσις ἡ θεία, ἡ σοφία τοῦ Λόγου καί ἡ ἄβυσσος τῶν κεκρυμμένων νοημάτων καί μυστηρίων Χριστοῦ· ἐν οἷς ὁ φθάσας γενέσθαι καί ποιωθείς, τήν καλήν ἀλλοίωσιν ἀλλοιοῦται καί ἐξ ἀνθρώπων ἄγγελος γίνεται, ὧδε μέν τοῖς ἀνθρώποις συναναστρεφόμενος σώματι, ἐν οὐρανοῖς δέ περιπολεύων τῷ πνεύματι καί τοῖς ἀγγέλοις συνδιαιτώμενος καί ὑπό τῆς ἀφράστου χαρᾶς πλατυνόμενος εἰς τήν ἀγάπην τοῦ Θεοῦ· εἰς ἥν οὐδείς ἄν τῶν ἀνθρώπων ἐγγίσει ποτέ, εἰ μή διά μετανοίας πρότερον καί δακρύων πολλῶν τήν ἑαυτοῦ καθαριεῖ καρδίαν καί εἰς βυθόν ἐλάσει ταπεινοφροσύνης καί ἐγκύμων τοῦ παναγίου γένηται Πνεύματος, χάριτι καί φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρί δόξα, τιμή, κράτος, σύν Ἁγίῳ Πνεύματι, νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων· ἀμήν.

## ΛΟΓΟΣ Θ΄. Περί γνώσεως ἀληθινῆς καί ὅτι ἡ τοῦ Θεοῦ γνῶσις οὐκ ἐκ μαθημάτων, ἀλλ’ ἐκ καθαρότητος καί τῆς ἄνωθεν χάριτος ἐπιγίνεται τῷ σπουδαίῳ· καί ὅτι χαλεπόν τό κρίνειν· καί ἔλεγχος τῶν οἰομένων εἰδέναι τά τοῦ Πνεύματος χωρίς Πνεύματος· ἐν ᾧ καί περί τῆς τοῦ Πατρός ἁγιωσύνης· καί οἷον ἀγαθόν ἐστιν ἡ πίστις καί τίς ὁ ταύτης καρπός καί ὅπως αὐξάνεται· καί ὅτι οἱ τόν θησαυρόν ἐν ἑαυτοῖς ἐσχηκότες τοῦ Πνεύματος καί ἐν ἄλλοις ὄντα γνωρίζουσι· καί τίνα τῶν ἁγίων τά σημεῖα καί πῶς καί τίσι γνωρίζονται· καί ὅτι ὁ μή γεννηθείς ἄνωθεν οὐ δύναται ἰδεῖν τόν γεγεννηκότα Θεόν οὐδέ γνωρίσαι τόν εἰς τοῦτο πεφθακότα διά τοῦ Πνεύματος.

Νῦν εὐκαίρως καλόν εἰπεῖν μετά τοῦ Δαυίδ καί οὕτω γεγωνότερον φθέγξασθαι· «*Κύριος ἐκ τοῦ οὐρανοῦ διέκυψεν ἐπί τούς υἱούς τῶν ἀνθρώπων τοῦ ἰδεῖν εἰ ἔστι συνιῶν ἤ ἐκζητῶν τόν Θεόν*», εἶτα· «*Πάντες ἐξέκλιναν ἅμα ἠχρειώθησαν· οὐκ ἔστι ποιῶν χρηστότητα, οὐκ ἔστιν ἕως ἑνός*». «*Ποῦ γάρ*» ἵνα τοῖς εἰρημένοις καί τά τοῦ Ἀποστόλου συνείρω «*σοφός; Ποῦ γραμματεύς; Ποῦ συζητητής τοῦ αἰῶνος τούτου; Οὐχί ἐμώρανεν ὁ Θεός τήν σοφίαν τοῦ κόσμου τούτου*», διά τό μή δύνασθαί τινα δι’ αὐτῆς ἐπιγνῶναι τήν ἀληθινήν σοφίαν, τόν ὄντως ὄντα Θεόν; Εἰ γάρ διά γραμμάτων καί μαθημάτων ἡ ἐπίγνωσις τῆς ἀληθοῦ σοφίας καί τῆς τοῦ Θεοῦ γνώσεως ἔμελλεν ἡμῖν, ἀδελφοί, δίδοσθαι, τίς ἦν ἄρα χρεία τῆς πίστεως ἤ τοῦ θείου βαπτίσματος ἤ τῆς τῶν μυστηρίων αὐτῶν μεταλήψεως; Οὐδεμία μενοῦν. «*Ἐπεί δέ διά τῆς σοφίας οὐκ ἔγνω ὁ κόσμος τόν Θεόν, εὐδόκησεν ὁ Θεός, φησί, διά τῆς μωρίας τοῦ κηρύγματος σῶσαι τούς πιστεύοντας*». Καί ταῦτα μέν ὁ κῆρυξ καί νυμφαγωγός τῆς τοῦ Χριστοῦ Ἐκκλησίας.

Ἐγώ δέ εἰκότως θρηνήσω καί κλαύσομαι ἐπί τῇ συντριβῇ τῶν ἐμῶν μελῶν, τοῦ ἐμοῦ γένους, τῶν κατά σάρκα καί πνεῦμά μου ἀδελφῶν, ὅτι οἱ τόν Χριστόν διά τοῦ βαπτίσματος ἐνδυσάμενοι, τά τοῦ Χριστοῦ μυστήρια εἰς οὐδέν λογιζόμενοι, τήν ἐπίγνωσιν τῆς τοῦ Θεοῦ ἀληθείας διά τῆς τοῦ κόσμου σοφίας λαμβάνειν νομίζομεν καί τό μόνον ἀναγνῶναι τάς θεοπνεύστους συγγραφάς τῶν ἁγίων ὀρθοδοξίας εἶναι κατάληψιν τοῦτο οἰόμεθα καί τῆς Ἁγίας Τριάδος ἀκριβῆ καί βεβαίαν εἴδησιν τοῦτο νομίζομεν· οὐ μόνον δέ, ἀλλά καί τῶν ἄλλων ἡμῶν οἱ σεμνότεροι θεωρίαν τήν διά μόνου τοῦ Πνεύματος γινομένην ἐν τοῖς ἀξίοις, αὐτήν τήν ἐν ταῖς διανοίαις αὐτῶν ἀνάπλασιν τῶν νοημάτων ἀφρόνως εἶναι ὑπολαμβάνουσιν. Ὢ τῆς εὐηθείας, ὤ τῆς πωρώσεως. Οἱ δέ καί ἐμβαθύνειν ἀνάγνως ἐθέλοντες εἰς τά τοῦ Θεοῦ βάθη καί θεολογεῖν

ἐπειγόμενοι, ὅταν ἀκούσωσι περί Θεοῦ ὅτι, ὥσπερ ἐν τρισίν ἡλίοις μία φωτός ἐστι σύγκρασις, οὕτω καί ἐν τῇ Τριάδι μιᾶς θεότητος ἔλλαμψις, αὐτίκα τρεῖς ἡλίους ἐν τῷ νοΐ αὐτῶν ἀναπλάττουσι, τῷ μέν φωτί ἡνωμένους, ἤτοι τῇ οὐσίᾳ, ταῖς δέ ὑποστάσεσι διακεχωρισμένους, καί οἴονται ἀφρόνως ἐκείνην αὐτήν ὁρᾶν τήν θεότητα καί οὕτως εἶναι τήν ἁγίαν καί ὁμοούσιον καί ἀδιαίρετον Τριάδα ὁμοίαν τῷ παραδείγματι. Ἀλλ’ οὐκ ἔστι τοῦτο, οὐκ ἔστιν. Οὐδείς γάρ τά περί τῆς Ἁγίας Τριάδος νοῆσαι καλῶς καί εἰπεῖν δύναται ἀπό μόνης τῆς τῶν Γραφῶν ἀναγνώσεως, πίστει δέ μόνῃ ταῦτα δεχόμενος, ἐμμένει μέν τοῖς γεγραμμένοις καί πλέον οὐδέν περιεργάζεται, τοῖς δέ περιέργοις καί πολυπραγμονεῖν τά θεῖα θρασέως κατατολμῶσιν, ἔξω τῶν γεγραμμένων καί ὧν ἐδιδάχθη, εἰπεῖν ὅλως οὐ δύναται.

Ὅτι δέ τοῦτό ἐστιν ἀληθές, ἄκουσον τί φησιν ὁ Χριστός· «*Οὐδείς ἐπιγινώσκει τόν Υἱόν εἰ μή ὁ Πατήρ, οὐδέ τόν Πατέρα τις ἐπιγινώσκει εἰ μή ὁ Υἱός καί ᾧ ἄν βούληται ὁ Υἱός ἀποκαλύψαι*». Διά τούτων οὖν καί τῶν τοιούτων ῥημάτων ἀποφράττει τά ἀναίσχυντα καί ἀπύλωτα στόματα τῶν λεγόντων καί νομιζόντων διά τῆς ἔξωθεν σοφίας καί τῆς τῶν γραμμάτων μαθήσεως ἐπιγινώσκειν τήν ὄντως ἀλήθειαν, αὐτόν τόν Θεόν, καί τήν ἐπίγνωσιν κτᾶσθαι τῶν κεκρυμμένων μυστηρίων ἐν Πνεύματι τοῦ Θεοῦ. Εἰ γάρ τόν Υἱόν οὐδείς ἐπιγινώσκει εἰ μή ὁ Πατήρ, οὐδέ τόν Πατέρα τις ἐπιγινώσκει εἰ μή ὁ Υἱός καί ᾧ ἄν βούληται ὁ Υἱός ἀποκαλύψαι τά βάθη τούτου καί τά μυστήρια - τό γάρ μυστήριόν μου ἐμοί καί τοῖς ἐμοῖς - , τίς ἄρα τῶν ἐπί γῆς ἀνθρώπων σοφῶν ἤ ῥητόρων ἤ μαθηματικῶν ἕτερος, πλήν τῶν κεκαθαρμένων τόν νοῦν ἐξ ἄκρας φιλοσοφίας τε καί ἀσκήσεως, καί γεγυμνασμένα τά τῆς ψυχῆς ἐπιφερομένων ἀληθῶς αἰσθητήρια, ἄνευ τῆς ἄνωθεν διά τοῦ Κυρίου ἀποκαλύψεως ἐκ μόνης γνῶναι δυνηθείη τῆς ἀνθρωπίνης σοφίας τά κεκρυμμένα μυστήρια τοῦ Θεοῦ, ἅ διά νοερᾶς θεωρίας, τῆς ὑπό τοῦ θείου Πνεύματος ἐνεργουμένης, ἀνακαλύπτονται οἷς ἐδόθη καί ἀεί δίδοται εἰδέναι ταῦτα διά τῆς ἄνωθεν χάριτος; Ἐκείνων ἐστίν ἡ τούτων γνῶσις, ὧν ὁ νοῦς καθ’ ἑκάστην ὑπό τοῦ Ἁγίου καταλαμπάνεται Πνεύματος διά τήν τῆς ψυχῆς καθαρότητα, ὧν οἱ ὀφθαλμοί ὑπό τῶν ἀκτίνων τοῦ ἡλίου τῆς δικαιοσύνης τρανῶς ἠνεῴχθησαν, ὧν ὁ λόγος τῆς γνώσεως καί ὁ λόγος τῆς σοφίας διά μόνου τοῦ Πνεύματος, ὧν ἡ σύνεσις καί ὁ φόβος τοῦ Θεοῦ διά τῆς ἀγάπης καί τῆς εἰρήνης τετήρηται ἐν τῇ ἀγαθωσύνῃ καί τῇ τῶν τρόπων χρηστότητι ἐγκρατῶς μετά πίστεως. Τούτων ἡ γνῶσις τῶν θείων, τούτοις καί λέγεται καθά δή καί τοῖς ἀποστόλοις παρά Χριστοῦ, ὡς μιμουμένους αὐτούς· «*Ὑμῖν δέδοται γνῶναι τά μυστήρια τοῦ Θεοῦ, τοῖς δέ λοιποῖς ἐν παραβολαῖς*».

Οὗτοι τοιγαροῦν ἴσασιν, θείῳ κινούμενοι Πνεύματι, τήν πρός τόν Πατέρα τοῦ Υἱοῦ ἰσοτιμίαν καί ἕνωσιν. Ἐν γάρ τῷ Πατρί τόν Υἱόν καθορῶσι καί ἐν τῷ Υἱῷ τόν Πατέρα διά τοῦ Πνεύματος, ὡς γέγραπται· «*Ἐγώ ἐν τῷ Πατρί καί ὁ Πατήρ ἐν ἐμοί*», τοῦ Πνεύματος τῷ Πατρί δηλονότι συνόντος· εἰ γάρ ἐκ τοῦ Πατρός ἐκπορεύεται, ὁ δέ Πατήρ ὅλος ἐν ὅλῳ τῷ Υἱῷ ἐστιν, ὅλον ἐν αὐτοῖς ἐστι καί τό Πνεῦμα τό Ἅγιον. Πατήρ δέ καί Υἱός καί Ἅγιον Πνεῦμα εἷς Θεός, ὁ ὑπό πάσης πνοῆς προσκυνούμενος. Καί πῶς τρεῖς ἡλίους ἕνα εἰπεῖν ἰσχύσεις; Εἰ γάρ ἑνώσεις αὐτούς, ἑνωθήσονται, καί εἰς ἕνα οἱ τρεῖς

ἔσονται· εἰ δ’ οὖν, ἀλλά διήμαρτες τῆς ἑνότητος. Πατέρα δέ, Υἱοῦ καί Πνεύματος δίχα, οὐδαμῶς εὑρήσεις, ἀλλ’ οὐδέ Υἱόν, τοῦ Πατρός καί τοῦ Πνεύματος, οὐδέ Πνεῦμα Ἅγιον τοῦ ἐξ οὗ ἐκπορεύεται ἀλλότριον τῆς ἑνώσεως. Ἐν μέν γάρ τῷ Πνεύματι τόν Πατέρα καί τόν Υἱόν, ἐν δέ τῷ Υἱῷ τον Πατέρα καί μετά τοῦ Πνεύματος, ἐν δέ τῷ Πατρί τόν Υἱόν συναϊδίως ἀεί ὄντα καί μένοντα καί συνεκλάμπον ἔχοντα τό Πνεῦμα τό Ἅγιον πίστευε. Εἷς ταῦτα Θεός καί οὐ τρεῖς, ἐν τρισίν ὑποστάσεσιν ὁ ὤν καί ἀεί ὤν καί ὡσαύτως ὤν, τῇ μιᾷ συμφυΐᾳ καί βασιλείᾳ καί θεότητι ἀνυμνούμενος ὑπό ἀπείρων δυνάμεων. Εἰ γάρ καί ἐν ἑκάστῳ τούτων τά συμφυῆ τῆς θείας ἰδιότητος καθορᾶται, ἀλλά τά τρία ἕν καί καθ’ ἕν τά τρία εἰσίν, ὅπερ ἐν ἡλίοις γενέσθαι ἀμήχανον.

Ἀλλά γάρ ἐβουλόμην καί εἰκόνα δοῦναί τινα ἀμυδρῶς παριστῶσαν τῶν λεγομένων τήν δύναμιν τοῖς θρασυνομένοις εἰδέναι διά μόνης τῆς ψευδωνύμου γνώσεως καί ἄνευ τοῦ ἐρευνῶντος Πνεύματος τά βάθη καί τά μυστήρια τοῦ Θεοῦ, εὐλαβοῦμαι δέ τόν εἰρηκότα Θεόν μή διδόναι τά ἅγια τοῖς ἀναιδέσι καί τολμηροῖς, μηδέ τούς μαργαρίτας βάλλειν ἔμπροσθεν τῶν ὡς κοινά τά θεῖα λογιζομένων καί οἱονεί διά τῶν χαμερπῶν νοημάτων καί ἀπλήστων ψυχῶν ἀτιμούντων καί καταπατούντων αὐτά· ὧν τετύφλωκε τόν νοῦν ὁ Θεός, καθώς φησιν ὁ προφήτης, καί πεπώρωκεν αὐτῶν τήν καρδίαν, ἵνα βλέποντες μή βλέπωσι καί ἀκούοντες μή συνιῶσι. Καί εἰκότως· ἐπειδή γάρ ἀναξίους διά τῆς οἰήσεως ἑαυτούς καί τῶν πονηρῶν ἐπιτηδευμάτων ἐποίησαν, διά τοῦτο ἐάθησαν ὑπό τοῦ Θεοῦ τῷ σκότει τῆς ἀπιστίας καί τῆς ἰδίας κακίας πορεύεσθαι, καθώς φησιν ὁ Δαυίδ· «*Ἐξαπέστειλα αὐτούς κατά τά ἐπιτηδεύματα τῶν καρδιῶν αὐτῶν· πορεύσονται ἐν τοῖς ἐπιτηδεύμασιν αὐτῶν*». Οἱ γάρ τοσαῦτα ὑποδείγματα ἔχοντες τῆς τῶν ἐντολῶν τοῦ Θεοῦ ἐκπληρώσεως, ἅ δι’ ἔργων οἱ πατέρες ἡμῶν τετελεκότες προὔθησαν τοῖς πιστοῖς ἡμῖν εἰς ἐκμίμησιν ἀρετῆς, καί συνιέναι μή θελήσαντες μηδέ ἐκείνους βουληθέντες μιμήσασθαι, ἀλλά τοὐναντίον καί διαλοιδοροῦντες αὐτούς καί τούς βίους τῶν κατά Θεόν ἀγωνισαμένων ὡς οὐ κατά Θεόν ὄντας ἐνδιαβάλλοντες, πῶς οὐχί μόνον ἀνάξιοί εἰσι θείας γνώσεως, ὡς ἀπειθείας καί ἀπωλείας υἱοί, ἀλλά καί πάσης ὑπεύθυνοι τιμωρίας καί κατακρίσεως, ὅτι ἑαυτούς ἀνακρίνειν, εἰ ἄρα καί εἰσιν ἐν τῇ πίστει, ὥσπερ ἐπιλαθόμενοι, τά ἀλλότρια κρίνουσι καί τά ὑπέρ αὐτούς ἀσυνέτως ἐρευνῶσι καί ἐξετάζουσι, μηδαμῶς τόν οὕτω λέγοντα Θεόν δυσωπούμενοι· «*Μή κρίνετε καί οὐ μή κριθῆτε*» καί «*Ἐν ᾧ κρίματι κρίνετε κριθήσεσθε*»· μηδέ τόν ἐκείνου λέγοντα μαθητήν· Μενοῦνγε, ὦ ἄνθρωπε, «*σύ τίς εἶ ὁ κρίνων ἀλλότριον οἰκέτην; Τῷ ἰδίῳ κυρίῳ στήκει ἤ πίπτει*» καί «*Μή κρίνετε ἀλλήλους καί μή καταλαλεῖτε ἀλλήλων*».

Οἱ γοῦν τοιοῦτοι πῶς ἄρα πιστοί καί χριστιανοί εἶναι γνωρισθήσονται, τά τοῦ Χριστοῦ καί τῶν ἀποστόλων αὐτοῦ παρακρουόμενοι ῥήματα καί καθώς ἐκεῖνος καί οἱ τούτου νενομοθετήκασι μαθηταί μή φυλάσσοντες μηδέ τοῖς ἴχνεσι τοῦ διδασκάλου ἑπόμενοι καί βαδίζοντες; Πῶς τό τῶν ἐντολῶν φῶς ὅλως θεάσονται οἱ φανερῶς τάς θείας ἐντολάς παραβαίνοντες; Οὐδαμῶς. «*Μηδείς ὑμᾶς, φησίν, ἀπατάτω κενοῖς λόγοις, ὦ ἀδελφοί*». Ἀδελφούς δέ ἡμᾶς ὁ Παῦλος καλεῖ διά τήν ἐκ τοῦ θείου βαπτίσματος πνευματικήν ἀναγέννησιν καί συγγένειαν, ἐπεί τοῖς ἔργοις καί σφόδρα ἀλλότριοι, ὡς ὁρῶ, τῆς τῶν

ἁγίων ἀδελφότητος καθεστήκαμεν. Καί τοῦτο ἐξ αὐτῶν τῶν πραγμάτων παραστῆσαι πειράσομαι, μᾶλλον δέ αὐτά ἡμῶν τά ἔργα καί οἱ λόγοι ἡμᾶς ἀπελέγξουσιν· διό καί ὡς πρός ἕνα τόν λόγον ποιούμενος, ἔνθεν ἐρῶ.

Ἀπετάξω τῷ κόσμῳ καί τοῖς ἐν κόσμῳ, ὦ ἀδελφέ; Γέγονας ἀκτήμων καί ὑποτακτικός καί τοῦ οἰκείου θελήματος ξένος; Καί πρᾳότητα ἐκτήσω καί ταπεινός γέγονας; Νηστείας εἰς ἄκρον καί εὐχήν καί ἀγρυπνίαν κατώρθωσας; Ἀγάπην ἐκτήσω πρός τόν Θεόν ὁλικήν καί ὡς ἑαυτόν τόν πλησίον σου κέκτησαι; Ὑπέρ τῶν μισούντων καί ἀδικούντων σε καί ἐχθρωδῶς ἐχόντων κατά σοῦ μετά δακρύων παρακαλεῖς καί ἀφεθῆναι αὐτοῖς ἀπό ψυχῆς πρῶτον αὐτός συμπαθήσας ἀξιοῖς, ἤ οὔπω εἰς τό ὕψος τοῦτο ἀνηνέχθης τῶν ἀρετῶν; Εἰπέ. Εἰ δέ εἰπεῖν αἰσχύνῃ τό οὔ, ἤ πάλιν διά ταπεινοφροσύνην οὐ βούλει τό ναί προσειπεῖν, ἐγώ σοι προσθήσω τά εἰκότα, ὦ ἀδελφέ, καί δείξω ἐξ αὐτῆς ἐκ ποίων ἔργων καί κατορθωμάτων εἰς τοῦτο τό ὕψος πᾶς ὁ ἀγωνιζόμενος ἐν ἀληθείᾳ μετά πολλῆς τῷ ὄντι συνέσεως καί ἁγιότητος ἔρχεται. Εἰ μέν οὖν, ὡς εἴρηται, πέφθακας εἰς τά προειρημένα πάντα καί τούς ἐχθρούς σου ἠγάπησας καί μετά δακρύων ὑπέρ αὐτῶν πολλάκις ἀπό καρδίας ἐδάκρυσας, τήν ἐκείνων πάντως ἐπιστροφήν καί μετάνοιαν ἐξαιτούμενος, πάντα δηλονότι τά λοιπά προκατώρθωσας· οἷον γέγονας ἀπαθής ἐξ ἀγώνων, καθαράν ἐκτήσω τήν καρδίαν ἀπό παθῶν καί ἐν αὐτῇ καί δι’ αὐτῆς ἐθεάσω τόν ἀπαθῆ Θεόν. Ἄλλως γάρ οὐκ ἔνι μετά συμπαθοῦς καρδίας ἐξ ἀγάπης ὑπέρ τῶν ἐχθρῶν εὔξασθαι, εἰ μή συναφείᾳ καί συνουσίᾳ καί θεωρίᾳ Θεοῦ διά συνεργείας τοῦ ἀγαθοῦ Πνεύματος κτησαίμεθα ἑαυτούς καθαρούς ἀπό παντός μολυσμοῦ σαρκός καί πνεύματος.

Εἰ οὖν εἰς τοῦτο χάριτι τοῦ σώσαντός σε Θεοῦ μετά χρηστότητος καί ταπεινοφροσύνης πολλῆς ἔφθασας, ἀδελφέ, τί τοῖς συνασκηταῖς καί τοῖς συναχθεῖσιν εἰς ταῦτα διαπιστεῖς καί φθονεῖς καί λοιδορίαις ἐνδιαβάλλεις αὐτούς, τήν χρηστήν αὐτῶν ὑπόληψιν πειρώμενος καθελεῖν; Οὐκ οἶσθα ὅτι οἱ ἀπό πρώτης ὥρας, τοῖς φθάσασι περί τήν ἑνδεκάτην διά τό ἐξ ἴσης ἐκείνοις λαβεῖν φθονήσαντες, ἕνεκεν τούτου εἰς τό πῦρ τό ἐξώτερον ἀπερρίφησαν; Καί πῶς σύ, τά αὐτά καί χείρονα τούτων ποιῶν καί λέγων κατά τῶν ἁγίων, ὧν ὁ βίος, ἡ ἀρετή καί ἡ σύνεσις λάμπει ὥσπερ ὁ ἥλιος, νομίζεις μή τῆς αὐτῆς ἤ καί χείρονος κολάσεως ταῖς τιμωρίαις ὑποβληθῆναι; Ἤ οὐκ οἶδας ὅτι φθόνος οὐδείς παρά ἁγίων ἁγίοις ἐστί, καθά γέγραπται· «*Ἔνθα ὁ φθόνος, ἐκεῖ καί ὁ τοῦ φθόνου πατήρ διάβολος κατοικεῖ καί οὐχί ὁ τῆς ἀγάπης Θεός*»; Τόν οὖν φθόνον ὠδίνων, πῶς εἶναι ὅλως ἅγιος οἴεσαι, ὁ μηδέ πιστός ἤ χριστιανός ἐκ τῆς Θεοῦ ἀγάπης καί τοῦ πλησίον σου γνωριζόμενος; Ὅτι δέ οὕτως ἐστίν ἡ τῶν πραγμάτων τούτων ἀκολουθία καί ὁ τόν φθόνον ὠδίνων ἔχει μέν ἐντός αὐτοῦ τόν διάβολον, οὐ δύναται δέ εἶναι Χριστοῦ διά τό μή ἔχειν ἀγάπην πρός τόν πλησίον, παντί που δῆλον τῷ τάς θείας Γραφάς ἐπαΐοντι.

Εἰ δέ τῶν τοιούτων χαρισμάτων οὔπω ἠξίωσαι οὐδέ εἰς τοσοῦτον ὕψος ἀφίκου τοῦ θεοποιῶν ἀρετῶν, πῶς ἄρα κἄν ὅλως τολμᾷς ἀνοῖξαι τό στόμα καί φθέγξασθαι; Πῶς, κατηχούμενος ὤν, διδάσκειν ἐθέλεις καί περί ὧν οὐκ οἶδας ἤ ἤκουσας πολυπραγμονεῖν ἐπιχειρεῖς καί, ὡς εἰδώς τά θεῖα, περί τοιούτων πραγμάτων θρασύνῃ διαλέγεσθαι; Οὐκ

οἶδας ὅτι ἔξω τῶν προθύρων τῆς ἐκκλησίας, οἷα δή κατηχούμενος, ἵστασαι, εἰ καί αὐθαδείᾳ γνώμης ἑαυτῷ τήν μετά πάντων τῶν πιστῶς καί καθαρῶς εὐχομένων προτρέπεις στάσιν, μή τοῖς ἀποστολικοῖς κανόσιν ἑπόμενος; Κατηχούμενος γάρ οὐχ ὁ ἄπιστος μόνος ἄρτι λέγεται, ἀλλά καί ὁ μή ἀνακεκαλυμμένῳ προσώπῳ νοός τήν δόξαν Κυρίου κατοπτριζόμενος. Ἐγώ δέ σου καί τήν ἄνοιαν λίαν θρηνῶ, ὅτι ἅγιον μέν εἶναί τινα τοιοῦτον ὡς πάλαι καί νῦν παντελῶς καί καθόλου διαπιστεῖς, τοῖς πᾶσι δέ συναριθμῶν ἑαυτόν οἷα κοινοῖς ὡς κοινόν, καθάπερ Πνεύματι Ἁγίῳ φθεγγόμενος ὥς τις ἅγιος καί θεοφόρος ἀνήρ, ἅ μηδ' ὅλως γινώσκειν ὑπό τοῦ λόγου κεντούμενος ὡμολογήσας καί ἅ μηδέ ἰδεῖν μηδέ ἀκοῦσαι μηδέ καταξιωθῆναι λαβεῖν ἐν καρδίᾳ σου ἔφης, ταῦτα καί διερμηνεύειν καί ὡς εἰδώς σαφηνίζειν ὅλως οὐκ ἐπαισχύνῃ, οὐδέ πρός τόν τῶν ἀνθρώπων ἐρυθριᾷς γέλωτα. Εἰ γάρ μή ἀπαθής, ὡς εἴπομεν, γέγονας, μηδέ Πνεῦμα Ἅγιον ἔχειν ἠξίωσαι, μηδέ ἅγιος εἶ, πῶς εἰδέναι λέγεις ὡς ἅγιος τά τοῦ Πνεύματος, «*ἅ - ὡς γέγραπται - ὀφθαλμός οὐκ εἶδε καί οὖς οὐκ ἤκουσε καί ἐπί καρδίαν ἀνθρώπου χοϊκοῦ οὐκ ἀνέβη, τά ἀγαθά ἅ ἡτοίμασεν ὁ Θεός τοῖς ἀγαπῶσιν αὐτόν*»;

Ἡμῖν δέ, ἵνα παραφρονῶν εἴπω, ὑπό σοῦ βιαζόμενος, διά τοῦ Πνεύματος αὐτοῦ, ἐσχάτοις οὖσι καί ἠλεημένοις, κατά τήν ἄφατον πρός ἡμᾶς αὐτοῦ ἀγαθότητα ἀπεκάλυψεν ἱκεσίαις τοῦ μακαρίου καί ἁγίου πατρός ἡμῶν Συμεών, «*ἵνα εἰδῶμεν*» καθώς φησιν ὁ Ἀπόστολος «*τά ὑπό τοῦ Θεοῦ χαρισθέντα ἡμῖν· τό γάρ Πνεῦμα ἐρευνᾷ καί τά βάθη τοῦ Θεοῦ. Ἡμεῖς δέ - φησίν - οὐκ ἐλάβομεν τό πνεῦμα τοῦ κόσμου, ἀλλά τό Πνεῦμα τό ἐκ τοῦ Θεοῦ*». Καί δι' αὐτοῦ ἀπεκαλύφθη καί ἐπεγνώσθη ἡμῖν, ἁμαρτωλοῖς οὖσι καί ταπεινοῖς, ὁ Θεός καί Πατήρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καί σωτῆρος, τοῦ μεγάλου Θεοῦ, ἐν αὐτῷ τῷ Χριστῷ καί Θεῷ, ὅν οὐδείς ἀνθρώπων εἶδεν οὐδέ ἰδεῖν δύναται. «*Ὁ γάρ εἰπών ἐκ σκότους φῶς λάμψαι, αὐτός ἐστιν ὅς καί ἔλαμψεν ἐν ταῖς καρδίαις ἡμῶν*», τῶν εὐτελῶν καί ἀχρείων, τοῖς ὀστρακίνοις σκεύεσι τῶν σκηνωμάτων ἡμῶν ὥσπερ θησαυρός δηλονότι ἐμπεριεχόμενος, ὁ πάντῃ ἀπερίληπτός τε καί ἀπερίγραπτος, μικρός μέν ἐν ἡμῖν μορφούμενος, ὁ ἄμορφος καί ἀνίδεος, τά σύμπαντα δέ ἀπεριγράπτως πληρῶν, ὡς ὑπερμεγέθης καί ὑπερπλήρης.

Τό δέ μορφοῦσθαι ἐν ἡμῖν τόν ὄντως ὄντα Θεόν, τί ἐστιν εἰ μή τό ἡμᾶς αὐτούς πάντως μεταποιεῖν τε καί ἀναπλάττειν καί εἰς τήν τῆς θεότητος αὐτοῦ εἰκόνα μεταμορφοῦν; Οἷον ἔγνωμεν ἄρα γεγονότα καί τόν ἅγιον Συμεώνην τόν Εὐλαβῆ, τόν ἐν τῇ μονῇ τῶν Στουδίου ἀσκήσαντα, τῇ πείρᾳ αὐτῇ τά περί τούτου βεβαιωθέντες. Τῇ γάρ ἀποκαλύψει τοῦ ἐν αὐτῷ Πνεύματος τήν εἰς αὐτόν πίστιν ἐπισφραγίσαντες, ἀναντίρρητον ταύτην φυλάττομεν· μᾶλλον δέ ἐκ τοῦ αὐτοῦ φωτός, ὡς ἐκ λαμπάδος τινός, τόν τῆς ψυχῆς ἡμῶν λύχνον μεταδοτικῶς ἀνάψαντες, ἄσβεστον διατηροῦμεν, ταῖς ἐκείνου εὐχαῖς καί πρεσβείαις φρουρούμενοι, ἐξ ὧν ἀρδουμένη αὐξάνει ἡ πίστις ἡμῶν ἡ πρός αὐτόν καί ἔτι αὐξήσει - ἐν Θεῷ θαρρῶν λέγω -, ἑκατονταπλασίονα τόν καρπόν φέρουσα ἐν αὐτῷ τῷ θείῳ φωτί. Καρπός γάρ πίστεως τό ἅγιον καί ἀνέσπερον φῶς, φῶς δέ ἅγιον προσθήκη καί αὔξησις πίστεως· καθόσον γάρ τό φῶς πηγάζει, ἡ πίστις αὐξάνει καί εἰς ὕψος ἀνέρχεται. Κατά δέ τήν ἀναλογίαν τῆς πίστεως ὁ καρπός ἀριδήλως βρίθει τοῦ

Πνεύματος· «*Ὁ δέ καρπός τοῦ Πνεύματος ἐστιν ἀγάπη, χαρά, εἰρήνη, μακροθυμία, χρηστότης, ἀγαθωσύνη, πίστις, πρᾳότης, ἐγκράτεια*», ἅπερ καθ' ἕν ὁ ἔχων ἐπίσταται. Ὥσπερ γάρ ὁ μαργαρίτας ἔχων καί λίθους διαφανεῖς, σάπφειρον, ἀμέθυσον καί ἄλλους τινάς, οἶδεν, εἰ μή ἀπείρως ἔχει, ἑνός ἑκάστου αὐτῶν τό εἶδος, τό μέγεθος, οὕτω καί ὁ τάς ἀρετάς μετά πόνου καί δακρύων πολλῶν ἐν ἑαυτῷ φυτεύσας καί τούς καρπούς ἐνεγκών τούς τοῦ Πνεύματος, ἐπίσταται καί τό εἶδος καί τήν ποιότητα ἑνός ἑκάστου αὐτῶν καί τῆς ἁπάντων αὐτῶν γλυκύτητος ἀπογεύεται· καί τό δή μεῖζον καί θαυμαστότερον, ὅτι καί ἐν ἄλλοις ὄντα τόν αὐτόν ἐπιγινώσκει καρπόν.

Καθάπερ γάρ τά ἔθνη ἀπό τῆς στολῆς, τό δέ πλεῖστον ἀπό τῆς φωνῆς καί τῶν λόγων ἐπιγινώσκονται, οὕτω δή καί οἱ ἅγιοι γνωρίζονται μέν ἀπό τῆς κοσμιότητος αὐτῶν καί τοῦ εὐσχήμου βαδίσματος καί τῶν ἄλλων τῶν ἔξωθεν, τό δέ γνώρισμα μετά ἀκριβείας καί ἀληθείας τό ἴδιον αὐτῶν ὁ λόγος ὁ γεννώμενος ἐξ αὐτῶν παρίστησιν.

Ὅ γάρ οὐκ ἔχει ἡ καρδία, τό στόμα προφέρειν οὐ δύναται· εἰ δέ καί εἴπῃ, ὡς οὐ καλῶς λέγων εὐθύς ὑπ' αὐτῶν τῶν ἑαυτοῦ λόγων ἐλέγχεται. «*Ὁ γάρ ἀγαθός, φησίν, ἄνθρωπος ἐκ τοῦ ἀγαθοῦ θησαυροῦ τῆς καρδίας προφέρει τά ἀγαθά, ὁ δέ πονηρός ἐκ τοῦ πονηροῦ θησαυροῦ τῆς καρδίας προφέρει τά πονηρά*». Καί ὅρα μοι τά βάθη τοῦ Πνεύματος, πῶς οὐκ εἶπεν ὁ Κύριος ὅτι «*ἐκ τῆς ἀγαθῆς καρδίας προφέρει τά ἀγαθά*» μόνον, ἀλλά προσέθετο εἰπεῖν «*ἐκ τοῦ θησαυροῦ τῆς καρδίας*», ἵνα μάθῃς ὅτι καρδίαν κενήν καί κούφην οὐδείς ἡμῶν ἔχειν δύναται, ἀλλά εἴτε διά ἀγαθοεργίας καί ἀληθινῆς πίστεως τήν χάριν ἔχει τοῦ Πνεύματος ἕκαστος, ἤ διά τῆς ἀπιστίας καί ἀμελείας τῶν ἐντολῶν καί τῆς τῶν φαύλων ἀποπληρώσεως τόν πονηρόν ἐν ἑαυτῷ περιφέρει διάβολον. Καί ἵνα μή νομίσῃς ὅτι οὐ τούς ἐν μέρει μέν φυλάσσοντας τάς τοῦ Χριστοῦ ἐντολάς, ἐν μέρει δέ τούτων καταφρονοῦντας, ἀλλά τούς φυλάσσοντας πάσας ταύτας μετά ἀκριβείας, τόν θησαυρόν λέγει τοῦ Πνεύματος ἔχειν,, ἐδίδαξεν εἰπών· «*Ὁ ἔχων τάς ἐντολάς μου καί τηρῶν αὐτάς, ἐκεῖνός ἐστιν ὁ ἀγαπῶν με· ὁ δέ ἀγαπῶν με ἀγαπηθήσεται ὑπό τοῦ Πατρός μου καί ἐγώ ἀγαπήσω αὐτόν καί ἐμφανίσω αὐτῷ ἐμαυτόν· καί ἐγώ καί ὁ Πατήρ ἐλευσόμεθα καί μονήν παρ' αὐτῷ ποιήσομεν*».

Ὁρᾷς ὅπως ὁ ἀγαθήν καρδίαν κτησάμενος διά πόνων καί τῆς τῶν ἐντολῶν ἐργασίας ἔνοικον ἔσχε τήν ὅλην ἐν ἑαυτῷ θεότητα, ἥτις ἐστίν ὁ ἀγαθός θησαυρός; Ὅτι δέ εἰς τόν παραβαίνοντα μίαν καί τήν τυχοῦσαν ἐντολήν, ἤ ἀμελοῦντα καί μή ποιοῦντα αὐτήν, ὁ τοιοῦτος οὐ κατοικεῖ θησαυρός, ἄκουε αὐτοῦ πάλιν λέγοντος· «*Ὁ λύσας μίαν τῶν ἐντολῶν τούτων τῶν ἐλαχίστων καί διδάξας οὕτω τούς ἀνθρώπους ποιεῖν ἐλάχιστος κληθήσεται ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν*». Ἐλαχίστας δέ ταύτας ὠνόμασεν οὐχ οὕτως οὔσας, ἀλλά διά τό παρ' ἡμῶν οὕτω ταύτας λογίζεσθαι· τό γάρ ἀργολογεῖν ἤ τι τοῦ πλησίον ἐπιθυμεῖν ἤ ὁρᾶν ἐμπαθῶς ἤ ἐξουθενεῖν καί ὑβρίζειν τινά ὡς οὐδέν ἡγούμενοι, ἀδιαφοροῦμεν, τοῦ ταῦτα ὑπό κρῖμα θεμένου ἐπιλαθόμενοι. Τί γάρ φησί; «*Πάντα λόγον ἀργόν ὅν ἐαν λαλήσωσιν οἱ ἄνθρωποι, λόγον δώσουσι περί αὐτοῦ ἐν ἡμέρᾳ κρίσεως*», καί ἄλλως· «*Οὐκ ἐπιθυμήσεις τι τοῦ πλησίον σου*», καί πάλιν· «*Ὁ ἐμβλέψας πρός τό*

*ἐπιθυμῆσαι ἤδη ἐμοίχευσεν ἐν τῇ καρδίᾳ αὐτοῦ. Ὅστις δέ εἴπῃ πάλιν τῷ ἀδελφῷ αὐτοῦ ῥακκᾶ, ἔνοχος ἔσται τῇ γεέννῃ τοῦ πυρός*». Θέλων δέ καί ὁ Ἀπόστολος δεῖξαι ὅτι ἐν τοῖς τά τοιαῦτα πράσσουσιν ὁ διάβολος ἐνεργεῖ, ἔφη· «*Τό δέ κέντρον τοῦ θανάτου ἡ ἁμαρτία*». Εἰ οὖν οὐδέν ἄλλον ἐστίν ἡ ἁμαρτία εἰ μή ἐντολῆς παράβασις, ἐντολή δέ ἐστι καί τό μή ἐπιθυμῆσαι καί τό μή ψεύσασθαι καί τό μή κλέψαι, ἀλλά μηδέ ἀργολογῆσαι μήτε τῷ ἀδελφῷ σου ἐρεῖν κακῶς, πᾶς ὁ ποιῶν ταῦτα ὑπό τοῦ κέντρου τοῦ θανάτου ἤτοι τῆς ἁμαρτίας τέτρωται, ἐν αὐτῇ δέ τῇ πληγῇ καί τῷ τῆς ἁμαρτίας δήγματι ὥσπερ σκώληξ εὐθύς ὁ διάβολος εἰσερχόμενος εὑρίσκεται κατοικῶν.

Εἶδες πῶς οἱ μή κτησάμενοι πάλιν τάς ἑαυτῶν καρδίας διά δακρύων καί μετανοίας κεκαθαρμένας ἔνοικον ἔχουσιν ἐν αὐτοῖς τόν διάβολον, ὅς ἐστιν ὁ πονηρός θησαυρός; Οὕτως ὁ ἀγαθός ἄνθρωπος ἐκ τοῦ ἀγαθοῦ θησαυροῦ τῆς καρδίας αὐτοῦ ἐκφέρει τά ἀγαθά, ὁ δέ πονηρός ὁμοίως τά πονηρά. Ἡ δέ ἀληθής μετάνοια διά τῆς ἐξομολογήσεως καί τῶν δακρύων, ὥσπερ ὑπό ἐμπλάστρου καί φαρμάκου τινός, ἀποσμήχει καί ἐκκαθαίρει τῆς καρδίας τό τραῦμα καί τήν οὐλήν ἥν τό κέντρον ἐν αὐτῇ τοῦ νοητοῦ θανάτου διήνοιξεν, εἶτα τόν ἐμφωλεύοντα σκώληκα ἔξω βάλλει καί θανατοῖ εἰς συνούλωσιν καί ὑγίειαν τελείαν τό τραῦμα ἀποκαθίστησι. Τοῦτο δέ ἄρα παρά τῶν καρδίαν ἐχόντων τήν ὑγίειαν ἐμπόνως ἐπιζητοῦσαν διά δακρύων καί μετανοίας μόνων ἐπιγινώσκεται ἐνεργούμενον. Τῶν ἄλλων γάρ οἱ λοιποί καί ἐνηδύνονται τούτοις τοῖς τραύμασιν· οὐ μόνον δέ, ἀλλά καί ἐπιξέειν ταῦτα καί ἕτερα τούτοις μᾶλλον ἐπιθεῖναι σπουδάζουσιν, ὑγίειαν τήν τοῦ πάθους ἐκπλήρωσιν λογιζόμενοι· διόπερ καί ἐγκαυχῶνται, ὅταν τι πονηρόν ἐργάσωνται ἁμαρτίας ἀτόπημα, καί τήν αἰσχύνην αὐτῶν ὡς δόξαν λογίζονται. Διά τί δέ πάσχουσι τοῦτο; Ἐπειδή ἀγνοοῦσι τῆς παντελοῦς καθάρσεως τό ἡδύ τε καί χαρίεν, μᾶλλον δέ ἀπιστοῦσι καί ἀδύνατον εἶναι ἑαυτούς πείθουσι τό καθαρεῦσαι ἄνθρωπον τελείως ἀπό παθῶν καί ὅλον οὐσιωδῶς ἐν ἑαυτῷ δέξασθαι τόν Παράκλητον.

Διά τοῦτο τοίνυν καί κατά τῆς ἑαυτῶν ἀεί σωτηρίας λαλοῦσι καί πράττουσι, κλείοντες ἐφ’ ἑαυτοῖς τάς πύλας τῆς βασιλείας τῶν οὐρανῶν καί πάντας ἄλλους τούς εἰσελθεῖν βουλομένους κωλύοντες. Εἴ που δέ καί ἀκούσουσι περί ἑτέρου τινός νομίμως ἀγωνισαμένου ἐν ταῖς ἐντολαῖς τοῦ Κυρίου καί ταπεινοῦ τῇ καρδίᾳ καί τοῖς φρονήμασι γενομένου, καθαρεύοντός τε ἀπό παντοίων παθῶν καί πᾶσι τά μεγαλεῖα κηρύττοντος τοῦ Θεοῦ - ὅσα δηλονότι ἐποίησεν ἐπ’ αὐτῷ ὁ Θεός κατά τάς ἀψευδεῖς ὑποσχέσεις αὐτοῦ καί ὅπως μέν, λέγοντος πρός ὠφέλειαν τῶν ἀκουόντων, κατηξιώθη φῶς ἰδεῖν Θεοῦ καί Θεόν ἐν φωτί δόξης, ὅπως δέ γνωστῶς ἔγνω ἐν ἑαυτῷ τήν ἐπιφοίτησιν καί ἐνέργειαν τοῦ Ἁγίου Πνεύματος καί ἅγιος ἐν Ἁγίῳ Πνεύματι γέγονεν -, εὐθύς ὥσπερ κύνες λυσσῶντες καθυλακτοῦσιν αὐτοῦ καί κατεσθίειν, εἰ δυνατόν, τόν ταῦτα λέγοντα σπεύδουσι, «*Παῦσαι, λέγοντες, πεπλανημένε καί ὑπερήφανε σύ. Τί ἄρα τοιοῦτος ἄρτι γέγονεν ὡς οἱ ἅγιοι πατέρες ἐγένοντο; Τίς δέ Θεόν εἶδεν ἤ ἰδεῖν κἄν ὁπωσοῦν δύναται; Τίς Πνεῦμα Ἅγιον ἐπί τοσοῦτον ἔλαβεν, ὡς δι’ αὐτοῦ τόν Πατέρα καί τόν Υἱόν ἀξιωθῆναι ἰδεῖν; Παῦσαι μή σε τοῖς λίθοις καταλευσθῆναι ποιήσωμεν*».

Οἷς μή ἀνταποκριθῆναι ἀξίως τῆς αὐτῶν ἀφροσύνης οὐκ οἴομαι δεῖν· φησί γάρ ὁ σοφώτατος Σολομῶν· «*Μή ἀποκρίνου ἄφρονι κατά τήν ἐκείνου ἀφροσύνην, ἵνα μή ὅμοιος γένῃ αὐτῷ, ἀλλά ἀποκρίνου ἄφρονι πρός τήν ἀφροσύνην αὐτοῦ, ἵνα μή φαίνηται σοφός παρ' ἑαυτῷ*». Ἐξ ὑμῶν μέν, ὦ οὗτοι, ὡς αὐτοί φατε, οὐδείς οὐδαμῶς· ἐκ δέ τῶν προαιρουμένων τόν σταυρόν ἆραι καί τήν στενήν ὁδεῦσθαι ὁδόν καί τάς ἑαυτῶν ἀπολέσαι ψυχάς ἕνεκεν τῆς αἰωνίου ζωῆς, πολλοί μέν εἶδον καί πρότερον, πλείους δέ, οἶμαι, ὁρῶσι καί νῦν, καί τῶν βουλομένων ἕκαστος ὄψεται, κἄν ὑμεῖς σκαιότητι γνώμης καί βασκανίας φαυλότητι τούτους ἰδεῖν οὐκ ἰσχύετε. Καί ὅρα τί φησιν ὁ εὐαγγελιστής· «*Ὅσοι ἔλαβον αὐτόν ἔδωκεν αὐτοῖς ἐξουσίαν τέκνα Θεοῦ γενέσθαι· οἵ οὐκ ἐξ αἱμάτων οὐδέ ἐκ θελήματος σαρκός, οὐδέ ἐκ θελήματος ἀνδρός, ἀλλ' ἐκ Θεοῦ ἐγεννήθησαν*». Εἰ οὖν οὐκ ἐγεννήθης ἐκ τοῦ Θεοῦ σύ, οὐδέ τέκνον ὑπάρχεις αὐτοῦ δηλονότι, οὐδέ προλαβών ἐδέξω αὐτόν, οὐδέ ἔλαβες αὐτόν ἐν σεαυτῷ, καί διά τοῦτο οὔτε ἐξουσίαν σοι δέδωκεν οὔτε δύνασαι τέκνον γενέσθαι Θεοῦ· τέκνον δέ Θεοῦ μή γενόμενος, πᾶς ἄρα τόν ἐν τοῖς οὐρανοῖς θεάσῃ Θεόν καί Πατέρα σου; Οὐδείς πρό τοῦ γεννηθῆναι τόν ἑαυτοῦ πατέρα ποτέ τεθέαται, καί οὐδείς ἀνθρώπων τόν Θεόν ὄψεται, ἐάν μή πρότερον ἐξ αὐτοῦ γεννηθῇ. Διά τοῦτο καί ὁ Κύριος ἔλεγεν· «*Ἐάν μή τις γεννηθῇ ἄνωθεν, οὐ δύναται εἰσελθεῖν εἰς τήν βασιλείαν τῶν οὐρανῶν*», καί πάλιν· «*Τό γεννώμενον ἐκ τῆς σαρκός, φησί, σάρξ ἐστι, τό δέ γεννώμενον ἐκ τοῦ Πνεύματος πνεῦμά ἐστιν*», ἐξ ἁγίου ἅγιον δηλονότι· «*τό δέ Πνεῦμα ἐρευνᾷ καί τά βάθη τοῦ Θεοῦ*». Σύ δέ, εἰ ἀπό σαρκός μόνον γεγέννησαι καί οὔπω τήν ἐκ τοῦ Πνεύματος γέννησιν ἔγνως, οὐδέ Πνεῦμα αὐτός σύ γεννηθείς γέγονας, πῶς ἄρα δύνασαι τά βάθη τοῦ Θεοῦ ἐρευνᾶν, μᾶλλον δέ πῶς δύνασαι ὁρᾶν τόν Θεόν; Πάντως οὐδαμῶς, αὐτός σύ, καί μή βουλόμενος, καθομολογήσεις, ὦ ἀδελφέ.

Εἶεν. Τί δαί; «*Ἀλλά σύ*» φησί «*τοιοῦτος ὑπάρχεις αὐτός; Καί πόθεν σε τοιοῦτον εἶναι ἐπιγνωσόμεθα;*» Ἐγώ μέν ἄνευ τῆς ἄνωθεν χάριτος οὐχ οἷός τέ εἰμι τοῦτο εἰπεῖν, ἀλλ' οὐδέ Παῦλος αὐτός, οἶμαι, καί Ἰωάννης· πλήν ὅμως στενάζω ἐπί τῇ πωρώσει τῶν καρδιῶν τῶν ταῦτα προτεινομένων μοι καί ζητούντων πόθεν ἐπιγνῶναι τόν εἰς ἄνδρα τέλειον, εἰς μέτρον ἡλικίας πεφθακότα τοῦ Ἰησοῦ. Ὅθεν, εἰ βούλει μαθεῖν, οἱ τυφλοί τούς ἄλλους τῶν ἀνθρώπων ἐπιγινώσκουσιν· ὅθεν ὁ Ἰσαάκ ἐπέγνω τόν Ἰακώβ, τήν στολήν ἐνδεδυμένον Ἠσαῦ τοῦ ἀδελφοῦ αὐτοῦ. Ἴστε γάρ ἅπαντες πῶς ἐπαπορῶν ἔλεγεν· «*Αἱ μέν χεῖρες χεῖρες Ἠσαῦ, ἡ δέ φωνή φωνή Ἰακώβ*». Ὅθεν δείκνυται ὅτι τῆς μέν στολῆς τόν δόλον οὐκ ἔγνω - τυφλός γάρ ἦν -, τήν δέ συνήθη φωνήν ἐγνώρσιε τοῦ υἱοῦ· εἰ τοίνυν καί κωφός ἦν, πάντως οὐδέ τήν λαλιάν αὐτοῦ γνωρίσαι ἴσχυσεν ἄν. Οὕτως οὖν καί ὑμεῖς, οἵτινές ἐστε οἱ οὕτως ἐπαποροῦντες, οὐ μόνον τυφλοί ἀλλά καί κωφοί τυγχάνοντες, πῶς δύνασθε ἄνδρα γνωρίσαι πνευματικόν; Οὐδαμῶς δή. Ὅτι δέ τοῦτό ἐστιν ἀληθές, καί οἱ μή βλέποντες πνευματικῶς οὐδέ ἀκούειν πνευματικῶς δύνανται, ἄκουσον τοῦ Κυρίου πρός τούς ἀπίστους τῶν Ἰουδαίων οὕτω λέγοντος· «*Διά τί τήν λαλιάν τήν ἐμήν οὐ γινώσκετε; Διότι οὐ δύνασθε ἀκούειν τῶν λόγων τῶν ἐμῶν*», καί μετ' ὀλίγα· «*Ὁ ὤν ἐκ τοῦ Θεοῦ τά ῥήματα τοῦ Θεοῦ ἀκούει· διά τοῦτο ὑμεῖς οὐκ ἀκούετε, ὅτι ἐκ Θεοῦ ἐστέ. Ὑμεῖς ἐκ τοῦ πατρός τοῦ διαβόλου ἐστέ καί τάς ἐπιθυμίας τοῦ*

*πατρός ὑμῶν θέλετε ποιεῖν*». Εἰ οὖν καί ὑμεῖς ὑπό τῆς ἀπιστίας καί πονηρίας καί τῆς τῶν ἐντολῶν ἀμελείας καί παραβάσεως σάρκες ἐστέ, παχεῖς, λέγω, τάς καρδίας, καί τά ταύτης ὦτα βεβυσμένα ἔχετε, τόν δέ ὀφθαλμόν κεκαλυμμένον τῆς ψυχῆς ὑπό τῶν παθῶν, πᾶς ἄρα πνευματικόν καί ἅγιον ἄνδρα ἐπιγνῶναι δυνήσεσθε;

Ἀλλά, παρακαλῶ, σπουδάσωμεν, πατέρες καί ἀδελφοί μου, παντί τρόπῳ ἑαυτούς ἡμῶν ἕκαστος ἐπιγνῶναι, ἵνα ἐκ τῶν καθ’ ἡμᾶς τά ὑπέρ ἡμᾶς γνῶναί ποτε δυνησώμεθα. Ἀδύνατον γάρ τόν μή ἐπιγνόντα ἑαυτόν πρότερον, ὥστε δύνασθαι μετά τοῦ Δαυίδ λέγειν· «*Ἐγώ δέ εἰ μι σκώληξ καί οὐκ ἄνθρωπος*», καί πάλιν, ὡς ὁ Ἀβραάμ· «*Ἐγώ εἰμι γῆ καί σποδός*», ἐπιγνῶναί τι τῶν πνευματικῶν καί θείων λογίων πνευματικῶς καί ἀξίως τοῦ ὑπερφυοῦς καί σοφοῦ Πνεύματος. Μηδείς ὑμᾶς πλανάτω κενοῖς καί σεσοφισμένοις λόγοις, ὅτι τά θεῖα τῆς πίστεως ἡμῶν μυστήρια δύναταί τις ὅλως καταλαβεῖν ἄνευ τοῦ μυσταγωγοῦντος καί φωτίζοντος Πνεύματος· ἀλλά γάρ οὐδέ πρᾳότητος καί ταπεινοφροσύνης χωρίς δύναται γενέσθαι δοχεῖον τῶν χαρισμάτων τοῦ Πνεύματος. Χρή γάρ ἀναντιρρήτως τόν θεμέλιον τῆς πίστεως καλῶς πάντας ἡμᾶς καταβαλεῖν πρότερον εἰς τά τῆς ψυχῆς ἡμῶν βάθη, εἶτα τήν ἐντός εὐσέβειαν διά τῶν ποικίλων τῆς ἀρετῆς εἰδῶν ὡς τεῖχος ὀχυρόν ἀνυψῶσαι· καί οὕτω πάντοθεν τειχισθείσης τῆς ψυχῆς καί οἱονεί ἐμπαγείσης ἐν αὐτῇ ὡς ἐπί θεμελίῳ καλῷ τῆς ἀρετῆς, τότε δεῖ καί τήν σκέπην τῆς οἰκοδομῆς ταύτης, ἥτις ἐστίν ἡ γνῶσις ἡ θεία τοῦ Θεοῦ, ἀνεγεῖραι καί ὁλόκληρον τόν οἶκον κατασκευάσαι τοῦ Πνεύματος.

Ἡνίκα γάρ κατά ἀναλογίαν τῆς μετανοίας καί τῆς τῶν ἐντολῶν ἐκπληρώσεως διά δακρύων ἐκκαθαρθῇ ἡ ψυχή, πρῶτον μέν τά κατ’ αὐτόν ὁ ἄνθρωπος καί ἑαυτόν ὅλον ὑπό τῆς χάριτος ἐπιγνῶναι καταξιοῦται, εἶτα μετά πολλήν καί ἐπίμονον κάθαρσιν καί βαθεῖαν ταπείνωσιν ἀμυδρῶς πως κατ’ ὀλίγον καί τά περί Θεοῦ καί τῶν θείων νοεῖν ἄρχεται καί, καθ’ ὅσον νοεῖ, καταπλήττεται καί πλείονα κτᾶται ταπείνωσιν, ἀνάξιον ἑαυτόν παντάπασι τῆς τῶν τοιούτων μυστηρίων γνώσεως καί ἀποκαλύψεως λογιζόμενος. Διόπερ καί ὑπό τῆς τοιαύτης ταπεινώσεως, ὡς ὑπό τείχους ὀχυροῦ φρουρούμενος, ἔνδον μένει, ἀπό οἰήσεως λογισμῶν ἄτρωτος, αὐξάνων τῇ πίστει, τῇ ἐλπίδι καί τῇ εἰς Θεόν ἀγάπῃ τό καθ’ ἡμέραν, καί τήν προκοπήν μετά προσθήκης τῆς γνώσεώς τε καί ἀναβάσεως τρανῶς καθορῶν. Ὅταν δέ καί εἰς μέτρον ἡλικίας τοῦ πληρώματος τῆς γνώσεως τοῦ Χριστοῦ καταντήσῃ καί Χριστόν αὐτόν καί νοῦν ἀληθῶς Χριστοῦ κτήσηται, τότε ὡς μηδέν ὅλως εἰδώς ἤ ἔχων διάκειται καί ὡς ἀχρεῖον ἑαυτόν καί εὐτελεῖ δοῦλον ἡγεῖται· τό δέ δή θαυμαστόν καί ὑπέρ φύσιν, μᾶλλον δέ κατά φύσιν ὄν, ἄνθρωπον ἐλαχιστότερον ἑαυτοῦ ἤ ἁμαρτωλότερον ἐν ὅλῳ τῷ κόσμῳ οὐ λογίζεται εἶναι.

Τό δέ πῶς, εἰπεῖν οὐκ ἔχω, εἰ μή τοῦτο μόνον ἐν τῷ ἐπαινετῷ τούτῳ πάθει καταλαβεῖν ἠδυνήθην· ἔστι δέ τι τοιοῦτον· ποιωθείσης τῆς ψυχῆς καί ἐμβαφείσης διά τοῦ Πνεύματος εἰς τά βάθη τῆς ταπεινοφροσύνης ἐν Χριστῷ τῷ Θεῷ τῆς διανοίας αὐτῆς, τόν κόσμον τε ἅπαντα καί τούς ἐν κόσμῳ ἐντεῦθεν ἀγνοησάσης, μόνην δέ ἑαυτήν ἀεί καθορώσης καί

μόνα τά ἑαυτῆς, καί χρονισάσης ἐν τῇ τοιαύτῃ μελέτῃ καί ἐν ἕξει γενομένης αὐτῆς, μόνην ἑαυτήν ἀληθῶς ἐξουθενημένην καί εὐτελεστάτην ὁρᾷ, οὐδένα δέ πείθεται τοιοῦτον εἶναι ἐν ἅπασι τοῖς ἀνθρώποις τοῦ κόσμου. Οὕτω τοίνυν καθ’ ὅσον ἑαυτόν ἔχει τις πάντων ἀνθρώπων ἐν αἰσθήσει ψυχῆς εὐτελέστερόν τε καί ταπεινότερον, κατά τοσοῦτον καί πρῶτος τῶν ἄλλων ἁπάντων ὑπάρξει, ὥς φησιν ὁ Κύριος ἡμῶν καί Θεός· «*Ὁ θέλων εἶναι πάντων πρῶτος ἔστω πάντων ἔσχατος καί πάντων διάκονος*».

Σπουδάσωμεν οὖν καί ἡμεῖς, ὦ ἀδελφοί, εἰς τοιαύτην φθάσαι τάξιν τε καί κατάστασιν, καί τούς εἰς τοῦτο πεφθακότας ἁγίους ῥᾳδίως ἐπιγνωσόμεθα καί τῶν παρόντων καί τῶν μελλόντων ἐπιτύχωμεν ἀγαθῶν, χάριτι καί φιλανθρωπίᾳ τοῦ Κυρίου καί Θεοῦ καί Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καί τό κράτος νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων· ἀμήν.

## ΛΟΓΟΣ Ι΄. Περί τῆς φοβερᾶς τοῦ Κυρίου ἡμέρας καί τῆς μελλούσης κρίσεως, ὅτι καί πρό τοῦ θανάτου ἐν ἡμῖν ἔνθεν ἤδη καθαιρομένοις διά δακρύων ἐνεργεῖται ἐν οἷς ἄν ἐγγένηται κατά τήν παροῦσαν ζωήν, κατά τήν μέλλουσαν οὐχ ὑπαντᾶ. Καί τίς ἐστιν ἡ ἡμέρα Κυρίου καί τίσιν αἴφνης ἀποκαλύπτεται. Καί ὅτι ἡ εἰς Χριστόν πίστις οὐ δύναται μόνη σῶσαι ἡμᾶς, εἰ μή καί Πνεύματος Ἁγίου γνωστῶς γενώμεθα μέτοχοι καί ὅτι οὐχί πάντες οἱ βαπτιζόμενοι διά τοῦ βαπτίσματος λαμβάνουσι τόν Χριστόν. Καί πῶς δύναταί τις γνῶναι εἰ περιφέρει ἐν αὐτῷ τόν Χριστόν καί Πνεύματος Ἁγίου γέγονε μέτοχος. Καί ἑρμηνεία ὡς ἐν παραδρομῇ εἰς τό «*Ἐν ἀρχῇ ἦν ὁ Λόγος*». Καί μακαρισμός εἰς τούς ἐξ ἀγώνων τήν ἐπιφοίτησιν δεξαμένους τοῦ Πνεύματος.

Πολύς ἡμῖν, ἀγαπητοί, ὁ περί τῆς κρίσεως λόγος καί δυσερμήνευτος, ὅτι οὐ περί ἐνεστώτων καί ὁρωμένων ἐστίν, ἀλλά περί μελλόντων καί ἀοράτων ὅθεν πολλῆς τῶν εὐχῶν χρείας, πολλῆς τῆς σπουδῆς, πολλῆς τῆς τοῦ νοῦ καθαρότητος, καί τοῖς λέγουσιν ἡμῖν καί τοῖς ἀκούουσιν, ἵνα οἱ μέν γνῶναι καλῶς καί εἰπεῖν, οἱ δέ συνετῶς ἀκοῦσαι δυνηθῶσι τῶν λεγομένων. Ἀλλά τίς ἐστιν ὁ τοῦ λόγου σκοπός; Σκοπός οὖν τοῦ παρόντος λόγου ἐστίν ἡ μεγάλη καί ἐπιφανής καί φοβερά τοῦ Κυρίου ἡμέρα, καί τίνος ἕνεκεν, ἵνα γνῶμεν, ἡμέρα Κυρίου καλεῖται καί λέγεται.

Λέγεται τοίνυν ἡμέρα Κυρίου οὐχ ὡς ἐσχάτη τῶν ἡμερῶν τούτων οὖσα, οὐδέ διά τό ἐν ᾗ μέλλειν ἔρχεσθαι αὐτόν, καθά δή καί ἐπί τῶν ἡμερῶν τούτων λέγομεν τοῦ παρόντος καιροῦ ἡμέρα τοῦ Πάσχα καί ἡ ἡμέρα τῆς Πεντηκοστῆς καί ἡ ἡμέρα ἐν ᾗ προελθεῖν μέλλει ὁ βασιλεύς καί τά ποιῆσαι καί τά· ἀλλ᾽ οὐδέ διά τό ἐν αὐτῇ μέλλειν γενέσθαι τήν κρίσιν ἡμέρα κρίσεως λέγεται (οὐδέ γάρ ἕτερον μέν ἡ ἡμέρα ἔσται ἐκείνη καί ἕτερος ὁ ἐν αὐτῇ μέλλων ἐλεύσεσθαι Κύριος), ἀλλ᾽ ἐπειδή αὐτός ὁ τῶν ἁπάντων Θεός καί δεσπότης λάμψει τηνικαῦτα τῇ δόξῃ τῆς ἰδίας θεότητος. Καί ὁ μέν αἰσθητός ἥλιος ὑπό τῆς τοῦ Δεσπότου λαμπρότητος καλυφθήσεται καί εἰς τό μή ὁρᾶσθαι γενήσεται, καθά νυνί τά ἄστρα ὑπό τούτου καλύπτεται καί οὐχ ὁρᾶται, αὐτά δέ τά ἄστρα σβεσθήσονται καί ἅπαντα εἰλιγήσονται ὡς βιβλίον τά ὁρατά, ἤγουν ὑποχωρήσουσι, τόπον δεδωκότα τῷ ποιητῇ· καί ἔσται μόνος ἐκεῖνος ἡμέρα τε ὁμοῦ καί Θεός, ὁ νῦν ὑπάρχων τοῖς πᾶσιν ἀόρατος, καί ὁ φῶς οἰκῶν ἀπρόσιτον τότε πᾶσιν ἀποκαλυφθήσεται οἷός ἐστι καί

πληρώσει τά πάντα τοῦ οἰκείου φωτός καί γενήσεται ἄδυτος, ἀτελεύτητος, ἀϊδίου χαρμονῆς ἡμέρα ἐν τοῖς ἁγίοις αὐτοῦ, τοῖς δέ γε κατ' ἐμέ ῥαθύμοις καί ἁμαρτωλοῖς εἰς ἅπαν ἀπρόσιτος καί ἀθέατος. Ἐπειδή γάρ ἔτι περιοῦσιν οὐκ ἐγένετο τούτοις διά σπουδῆς τοῦ ἰδεῖν τόν φῶς τῆς δόξης αὐτοῦ διά καθάρσεως καί ὅλον αὐτόν ἐν αὐτοῖς εἰσοικίσασθαι, εἰκότως ἔσται τούτοις καί εἰς τό μέλλον ἀπρόσιτος.

Καί γάρ βουληθείς ἐξ ἀρχῆς αὐτῆς ποιῆσαι τό ἀγαθόν καί ἡμέτερον, ὥς φησιν ἡ θεία Γραφή, τό αὐτεξούσιον τοῖς πρωτοπλάστοις καί προπάτορσιν ἡμῶν ἐχαρίσατο καί ἡμῖν δι' αὐτῶν, ὡς ἄν, μή ἐκ λύπης ἤ ἐξ ἀνάγκης, ἀλλ᾽ἐκ τῆς πρός αὐτόν εὐνοίας τε καί ἀγάπης διά τῆς αὐτοπροαιρέτου θελήσεως μετά χαρᾶς τάς ἐντολάς αὐτοῦ ἐργαζόμενοι καί ταύτας φυλάσσοντες, ὡς ἐξ οἰκείων πόνων τάς ἀρετάς κτησάμενοι λογισθήσονται, καί ὡς οἰκεῖα δῶρα ταύτας τῷ Δεσπότῃ προσάξουσι, καί διά τούτων κατά προκοπήν εἰς τήν τοῦ Θεοῦ τελείαν εἰκόνα καί ὁμοιότητα ἀναχθῶσι, καί ἀκαταφλέκτως προσεγγίσωσι τῷ ἀπροσίτῳ δίχα σωματικοῦ θανάτου, κατά γενεάν καί γενεάν ὁ καθείς αὐτῷ προσπελάζοντες. Ἐπεί δέ οἱ μέν πρωτόπλαστοι, πρῶτοι τῷ ἐχθρῷ θελήματι ὑπακούσαντες, τῆς ἐντολῆς τοῦ Θεοῦ παραβάται γεγόνασι καί οὐ μόνον τῆς ἐλπίδος τῆς μείζονος, ἤγουν τοῦ ἐν αὐτῷ γενέσθαι τῷ ἀνεσπέρῳ φωτί, ἐξέπεσον, ἀλλά καί εἰς φθοράν καί θάνατον μετηνέχθησαν καί εἰς ἀφεγγές περιπτώκασι σκότος, δοῦλοι τῷ τοῦ σκότους ἄρχοντι γεγονότες καί ὑπ' αὐτοῦ κατακρατηθέντες, ἐν τῷ τοῦ θανάτου σκότει διά τῆς ἁμαρτίας ἐγένοντο, ὕστερον δέ καί ἡμεῖς, οἱ ἐξ ἐκείνων τεχθέντες, θελήματι τῷ τυράννῳ τούτῳ ὑποκύψαντες, ἐδουλώθημεν, καί οὐ βίᾳ (ἔδειξαν γάρ τοῦτο σαφῶς οἱ πρό τοῦ νόμου καί ἐν τῶ νόμῳ εὐαρεστήσαντες καί τό ἑαυτῶν θέλημα τῷ δεσπότῃ Θεῷ καί οὐ τῷ διαβόλῳ προσαναθέμενοι), τούς πρό νόμου καί ἐν νόμῳ εὐαρεστήσαντας τοῦ αἰωνίου σκότους λυτρώσασθαι βουληθείς ὁ φιλάνθρωπος Κύριος καί τοῖς μετά τόν νόμον τήν ἐλευθερίαν δωρήσασθαι ἐν τῇ χάριτι καί πάντας, ὡς εἰπεῖν, ὁμοῦ τούς εὐηρεστηκότας αὐτῷ πρό τοῦ νόμου καί ἐν νόμῳ καί μετά τόν νόμον τῆς τοῦ διαβόλου τυραννίδος ἐλευθερῶσαι, αὐτός δι' ἑαυτοῦ τοῦτο ὁ πάντα δυνατός καί ἀνεξίκακος ποιῆσαι ἠνέσχετο. Ὅν γάρ ἰδίαις καί ἀοράτοις χερσί καθ' ὁμοίωσιν καί κατ' εἰκόνα αὐτοῦ πεποίηκεν, οὐ δι' ἑτέρου, ἀλλά δι' ἑαυτοῦ πάλιν καταπεσόντα ἀναστῆσαι ἠθέλησεν, ὡς ἄν καί πλειόνως τιμήσῃ καί δοξάσῃ τό γένος ἡμῶν ἐν τῷ κατά πάντα ἐξομοιωθῆναι ἡμῖν αὐτόν καί ἴσον ἐν τῷ ἀνθρωπίνῳ μέρει γενέσθαι. Ὦ τῆς ἀφάτου φιλανθρωπίας καί ἀγαθότητος, ὅτι οὐ μόνον παραβάντας ἡμᾶς καί ἁμαρτήσαντας οὐκ ἐκόλασεν, ἀλλά καί οἷοι γεγόναμεν ἡμεῖς διά ταῆς παραβάσεως, τοιοῦτος γενέσθαι καί αὐτός κατεδέξατο, ἄνθρωπος φθαρτός ἐξ ἀνθρώπου φθαρτοῦ, θνητός ἐκ θνητοῦ, ἁμαρτία ἐξ ἁμαρτήσαντος γεγονώς, ὁ ἄφθαρτος, ὁ ἀθάνατος καί ἀναμάρτητος ὤν, σαρκί μόνον τεθεωμένῃ τῷ κόσμῳ ὀφθείς, οὐχί καί αὐτῇ γυμνῇ τῇ θεότητι. Τίνος χάριν; Ὅτι οὐκ ἦλθε κρῖναι τόν κόσμον, ἀλλά σῶσαι τόν κόσμον, ὥς φησιν αὐτός ἐν τοῖς εὐαγγελίοις αὐτοῦ.

Ἡ γάρ ἀποκάλυψις αὐτοῦ τῆς θεότητος κρίσις ἐν οἷς ἀποκαλυφθῇ γίνεται· οὐ γάρ ἄν ὑπήνεγκε τήν δόξαν αὐτοῦ τῆς θεότητος πᾶσα σάρξ γυμνήν ἐπιφανεῖσαν τῆς θεανδρικῆς

συναφείας τε καί ἀφράστου ἑνώσεως, ἀλλά ψυχικῶς τε ὁμοῦ καί σωματικῶς ἄρδην ἔμελλε πᾶσα ἡ κτίσις ἀπόλλυσθαι διά τό ὑπό ἀπιστίας τηνικαῦτα πάντας κατέχεσθαι. Ἡ γάρ θεότης, ἤγουν ἡ χάρις τοῦ παναγίου Πνεύματος, οὐδενί οὐδέποτε δίχα πίστεως πεφανέρωται· εἰ δέ ἐφάνη, εἴτε πάλιν ἐκ παραδόξου φανείη τινί τῶν ἀνθρώπων, φοβερά καί φρικτή δείκνυται, οὐ φωτίζουσα, ἀλλα φλέγουσα, οὐ ζωοποιοῦσα, ἀλλά τιμωροῦσα δεινῶς. Καί τοῦτο φανερόν ἐξ ὧν ὁ μακάριος Παῦλος, τό σκεῦος τῆς ἐκλογῆς, ἔπαθεν· πρός γάρ τῇ ἀστραψάσῃ αἴγλῃ τοῦ ἀπροσίτου φωτός ἐν αὐτῷ πληγείς τάς ὄψεις, οὐ φωτισθείς, καί σκοτισθείς μᾶλλον, οὐχί αὐγασθείς, καί τήν κατά φύσιν προσαπώλεσεν ὅρασιν· καί ταῦτα, ὁ μέγας μέλλων τηνικαῦτα τῆς τοῦ Χριστοῦ Ἐκκλησίας γενέσθαι διδάσκαλος. Ὁ τοιοῦτος γάρ καί τηλικοῦτος, ὅς ἔφη· «*Ὁ Θεός ὁ εἰπών ἐκ σκότους φῶς λάμψαι, ὅς ἔλαμψειν ἐν ταῖς καρδίαις ἡμῶν*», καί μετ' ὀλίγα· «*Ἔχομεν δέ τόν θησαυρόν τοῦτον*» τῆς ἐλλάμψεως δηλονότι «*ἐν ταῖς καρδίαις ἡμῶν*», τότε οὐδέ μικράν ἀπαυγήν αὐτοῦ ἀντιβλέπειν ἠδύνατο.

Τοιγαροῦν ἐντεῦθεν ἀκριβῶς διδασκόμεθα ὅτι τοῖς μέν ἔτι τῇ ἀπιστίᾳ καί τοῖς πάθεσι κατεχομένοις ἀπρόσιτος καί ἀόρατος ἡ χάρις εἰς ἅπαν ἐστί, τοῖς δέ διά πίστεως ἐν φόβῳ καί τρόμῳ τάς ἐντολάς κατεργαζομένοις καί μετάνοιαν ἀξίαν ἐπιδεικνυμένοις ἀποκαλυπτομένη ὁρᾶται, καί αὐτή δι' ἑαυτῆς τήν μέλλουσαν γενέσθαι κρίσιν ἀνατιρρήτως ἐν αὐτοῖς ἐμποιεῖ· μᾶλλον δέ ἡμέρα θείας κρίσεως γίνεται, ἐξ ἧς ὁ καθαρός ἀεί ἐλλαμπόμενος ἐν ἀληθείᾳ ἑαυτόν οἷός ἐστι, καί τά ἔργα αὐτοῦ, τά τε αἰσθητῶς πραχθέντα, τά τε ψυχικῶς ἐνεργηθέντα, οἷά εἰσι, πάντα λεπτομερῶς καθορᾷ. Οὐ μόνον δέ, ἀλλά καί πυρί θείῳ κρίνεται καί ἀνακρίνεται καί ὕδατι τότε δακρύων πιαινόμενος ὅλον τό σῶμα κάθυγρος γίνεται καί βαπτίζεται κατ' ὀλίγον ὅλος ὑπό τοῦ θείου πυρός τε καί Πνεύματος καί γίνεται ὅλος καθαρός, ὅλος ἀμόλυντος, υἱός φωτός καί ἡμέρας καί οὐχί ἔκτοτε ἀνθρώπου θνητοῦ. Διά τοι τοῦτο καί ὁ τοιοῦτος ἐν τῇ μελλούσῃ κρίσει καί δίκῃ οὐ κρίνεται, προκέκριται γάρ· οὐδέ ὑπό τοῦ φωτός ἐκείνου ἐλέγχεται, προπεφώτισται γάρ· οὐδέ ἐν τούτῳ τῷ πυρί εἰσερχόμενος δοκιμάζεται ἤ καίεται, προδεδοκίμασται γάρ· οὐδέ ὡς τότε φανεῖσαν τήν ἡμέραν Κυρίου λογίζεται, ὅλος γάρ ἐκ τῆς ὁμιλίας καί συνουσίας Θεοῦ ἡμέρα φαεινή καί λαμπρά γέγονεν· οὐδέ ἐν τῷ κόσμῳ τότε εὑρίσκεται ἤ σύν τῷ κόσμῳ, ἀλλ' ἔξω τούτου εἰς ἅπαν ἐστίν. «*Ἐγώ γάρ, φησίν, ἐξελεξάμην ὑμᾶς ἐκ τοῦ κόσμου*», καί ὁ Ἀπόστολος· «*Εἰ γάρ ἑαυτούς ἐκρίνομεν, οὐκ ἄν ἐκρινόμεθα· κρινόμενοι δέ ὑπό Κυρίου παιδευόμεθα, ἵνα μή σύν τῷ κόσμῳ κατακριθῶμεν*», καί πάλιν· «*Ὡς τέκνα φωτός περιπατεῖτε*», φησίν.

Ὅσοι οὖν τέκνα τοῦ φωτός ἐκείνου καί υἱοί τῆς μελλούσης ἡμέρας γένωνται καί ὡς ἐν ἡμέρᾳ εὐσχημόνως περιπατεῖν δύνανται, ἐπ' αὐτούς ἡ ἡμέρα Κυρίου οὐδέποτε ἐπελεύσεται· ἐν αὐτῇ γάρ εἰσιν ἀεί καί διά παντός. Ἡ γάρ ἡμέρα Κυρίου, οὐχί εἰς τούς ὑπό τοῦ θείου φωτός ἀεί καταλαμπομένους, ἀλλ' εἰς τούς ἐν τῷ σκότει τῶν παθῶν ὄντας καί ἐν τῷ κόσμῳ διάγοντας καί τά τοῦ κόσμου ποθοῦντας, αἴφνης μέλλει ἀποκαλύπτεσθαι καί φοβερά αὐτοῖς καί ὡς πῦρ ἄστεκτον λογισθήσεται. Φανήσεται δέ τοῦτο τό πῦρ ὁ Θεός οὐχ ὅλον πνευματικῶς, ἀλλ' ὡς ἄν τις εἴποι ἀσωμάτως ἐν σώματι,

ὥσπερ ἐξαναστάς ὡρᾶτο τοῖς μαθηταῖς πάλαι ὁ Χριστός, καθά φησιν ὁ εὐαγγελιστής· ἀναλαμβανομένου γάρ αὐτοῦ εἰς οὐρανούς, ταῦτά φασιν οἱ ἄγγελοι πρός αὐτούς· «*Ὅν τρόπον ἐθεάσασθε αὐτόν πορευόμενον εἰς τόν οὐρανόν, οὕτως πάλιν ἐλεύσεται*». Εἰ γάρ μή τοῦτο ἔσται, πῶς αὐτόν οἱ ἁμαρτωλοί, οἱ ἄπιστοι, οἱ αἱρετικοί καί πνευματομάχοι θεάσονται, τυφλοί ὄντες τῇ ψυχῇ καί τούς ὀφθαλμούς αὐτῆς ἐμπεφραγμένους τῷ βορβόρῳ τῆς ἀπιστίας καί ἁμαρτίας ἔχοντες, ὥσπερ πρός Θεσσαλονικεῖς καί Παῦλος ὁ ἀπόστολος ἔγραψεν. Ἐπειδή γάρ περί τῶν κεκοιμημένων και τῆς μελλούσης δόξης εἶπε καί ὅπως πάντες οἱ ἅγιοι διά νεφελῶν ἁρπαγήσονται, ἔφη· «*Περί δέ τῶν χρόνων καί τῶν καιρῶν, ἀδελφοί, οὐ χρείαν ἔχετε τοῦ γράφεσθαι ὑμῖν· αὐτοί γάρ ἀκριβῶς οἴδατε ὅτι ἡ ἡμέρα Κυρίου ὡς κλέπτης ἐν νυκτί οὕτως ἔρχεται· ὅταν γάρ εἴπωσιν, εἰρήνη καί ἀσφάλεια, τότε αἰφνίδιος αὐτοῖς ἐφίσταται ὄλεθρος, ὥσπερ ἡ ὠδίν τῇ τικτούσῃ, καί οὐ μή ἐκφύγωσιν. Ὑμεῖς δέ, ἀδελφοί, οὐκ ἐστέ ἐν σκότει, ἵνα ἡ ἡμέρα ὑμᾶς ὡς κλέπτης καταλάβῃ· πάντες ὑμεῖς υἱοί φωτός ἐστε καί υἱοί ἡμέρας. Οὐκ ἐσμέν νυκτός οὐδέ σκότους· ἄρ᾽ οὖν μή καθεύδωμεν ὡς καί οἱ λοιποί, ἀλλά γρηγορῶμεν καί νήφωμεν*». Καί μετ᾽ ὀλίγα· «*ὅτι οὐκ ἔθετο ἡμᾶς ὁ Θεός εἰς ὀργήν, ἀλλ᾽ εἰς περιποίησιν σωτηρίας, ἵνα εἴτε γρηγοροῦμεν, εἴτε καθεύδομεν, ἅμα σύν αὐτῷ ζήσωμεν*».

Υἱούς οὖν ἀκούων φωτός καί υἱούς ἡμέρας, ἀγαπητέ, μή εἴπῃς ἐν τῇ καρδίᾳ ὅτι, ὅσοι εἰς Χριστόν ἐβαπτίσθημεν καί εἰς ἐκεῖνον πιστεύομεν καί Θεόν αὐτόν προσκυνοῦμεν, αὐτόν καί ἐνδεδύμεθα καί υἱοί ἡμέρας καί υἱοί φωτός ἀνεπαισθήτως πάντως ἐσμέν καί οὐχί νυκτός οὐδέ σκότους. Μή τοῦτο εἴπῃς ἤ ὑπολάβῃς καί ἐν ἀμελείᾳ καί ἀμεριμνίᾳ τάς ὑπολοίπους τῆς ζωῆς σου διέλθῃς ἡμέρας, δοκῶν μόνον καί οἰόμενος εἶναί τι, μηδέν ὤν· ἀλλά σκόπησον καί κατά σεαυτόν ἀκριβῶς κατανόησον καί εἰπέ· «*Εἰ πάντες ἄνθρωποι οἱ ἐν τῷ κόσμῳ ὄντες καί τόν ἥλιον τοῦτον αἰσθητῶς βλέποντες ἐν τῷ σκότει εἰσί, πάντως, ἐπεί οὐδέν πλέον τῶν ἄλλων ὁρῶ, καί ἐγώ σύν αὐτοῖς ἐν σκότει εἰμί. Ὥσπερ γάρ δύνοντος αὐτοῦ καθ᾽ ἑκάστην νύξ γίνεται καί οὐδέν πλέον τι τούτου ὁρῶ, οὕτως, ἀποθανόντος μου, οὐδαμοῦ φῶς θεάσομαι, ἀλλ᾽ ἐν ἀφεγγεῖ σκότει καί ἀνηλίῳ εἰς αἰῶνας ἔσομαι καί οὐκέτι διά τῶν ὀφθαλμῶν βλέψω τό ὁρώμενον τοῦτο φῶς· τοῦ γάρ σώματος οἱ ἄνθρωποι χωριζόμενοι, τῶν αἰσθητῶν εὐθύς πάντων ἀποχωρίζονται. Εἰ οὖν ἐν σκότει εἰμί νῦν, καί ἐν σκότει μετά θάνατον ἔσομαι· πάντως καί ἐπ᾽ ἐμοί ἡ ἡμέρα Κυρίου ὡς κλέπτης ἐν νυκτί ἐπελεύσεται καί ὡς ἡ ὠδίν τῇ ἐν γαστρί ἐχούσῃ καί οὐ μή δυνηθῶ ἐκφυγεῖν*».

Οὐ γάρ ἐν τῷ τοῦ ὕδατος βαπτίσματι ἡ σωτηρία ἡμῶν ἐστιν, ἀλλά καί ἐν τῷ Πνεύματι, οὐδέ ἐν τῷ ἄρτῳ μόνῳ καί τῷ οἴνῳ τῆς μεταλήψεως ἡ τῶν ἁμαρτιῶν ἄφεσις καί ἡ τῆς ζωῆς μετουσία δίδοται, ἀλλά καί ἐν τῇ συνεπομένῃ καί ἀνακεκραμένῃ μυστικῶς καί ἀσυγχύτως τούτοις θεότητι. Μυστικῶς δέ λέγεται διά τό μή πᾶσιν, ἀλλά τοῖς ἀξίοις ζωῆς αἰωνίου, ἀποκαλύπτεσθαι καί υἱούς φωτός καί ἡμέρας ποιεῖν τούς ὁρῶντας αὐτήν· οἱ γάρ τό φῶς μή ὁρῶντες, εἰ καί λάμπει τρανῶς, ἀλλ᾽ οὖν ἐκεῖνοι ἐν σκότει κάθηνται. Μηδείς ὑμᾶς, ἀδελφοί, κενοῖς λόγοις ἐξαπατάτω μηδέ εἰς τήν πίστιν τήν εἰς Χριστόν μόνην θαρρείτω τις. «*Χριστός γάρ, φησίν, ἐάν περιτέμνησθε, οὐδέν ὑμᾶς ὠφελήσει*», καί πάλιν·

«*Ἡ πίστις δίχα τῶν ἔργων νεκρά ἐστιν*». Ὥσπερ γάρ τό σῶμα ψίχα ψυχῆς ὑπάρχει νεκρόν, οὕτω καί ἡ πίστις δίχα τῶν ἔργων νεκρά ἐστιν.Οἱ γάρ Θεόν εἶναι τόν Χριστόν ὁμολογοῦντες, τάς δέ ἐντολάς αὐτοῦ μή φυλάσσοντες, οὐχ ὡς ἀρνούμενοι μόνον, ἀλλά καί ὡς ἀτιμάζοντες αὐτόν λογισθήσονται· οὐ μόνον δέ, ἀλλά καί μειζόνως ὑπέρ τούς τά ἴδια σώματα περιτέμνοντας, ὡς τάς τοῦ Θεοῦ ἐντολάς ἀκρωτηριάζοντες, ἐνδίκως κατακριθήσονται. Ὁ τόν πατέρα γάρ ἀτιμάζων, πῶς υἱός λογισθήσεται; Ὁ τοῦ φωτός χωριζόμενος, πῶς ἐν αὐτῷ ὡς ἐν ἡμέρᾳ διάξειεν; Οὐδαμῶς, ἀδελφοί.

Εἰ δέ λέγοι τις ὅτι δύναται τηρῆσαι πάσας τάς ἐντολάς, γινωσκέτω ὅτι τόν Θεόν ἐνδιαβάλλει καί κατακρίνει ὡς ἀδύνατα ἡμῖν ἐπιτάξαντα· ὅς οὐκ ἐκφεύξεται τό τῆς δίκης ἄφυκτον, ἀλλ' ὡς ὁ εἰπών· «*Ἤδειν σε ὅτι σκληρός εἶ, θερίζων ὅπου οὐκ ἔσπειρας καί συνάγων ὅθεν οὐ διεσκόρπισας*», καί οὗτος κατακριθήσεται, καί τῷ εἰπόντι τῷ Ἀδάμ ὄφει· «*Γινώσκων ὁ Θεός ὅτι ᾗ ὥρᾳ φάγεσθε ἀπό τοῦ ξύλου ὅμοιοι αὐτῷ ἔσεσθε, τούτου χάριν ἐνετείλατο ὑμῖν μή φαγεῖν ἐξ αὐτοῦ*», ὁμοιωθήσεται. Ψεύστην γάρ καί πλάνον καί φθόνου μεστόν τόν Θεόν ὁ τοιοῦτος ἀποκαλεῖ· ψεύστην μέν, ὅτι ἐκείνου εἰπόντος· «*Ὁ ζυγός μου χρηστός καί τό φορτίον μου ἐλαφρόν ἐστιν*», οὐ μόνον οὐκ ἐλαφρόν οὗτος, ἀλλά καί ἀβάστακτον αὐτό ἀποφαίνεται· πλάνον δέ, ὅτι κατῆλθε πολλά ὑποσχόμενος καί μηδέν δοοῦναι θέλων ἡμῖν, μᾶλλον δέ φθονῶν τῇ σωτηρίᾳ ἡμῶν ἀδύνατα ἐπέταξεν ἡμῖν, ποιῆσαι καί φυλάξαι, ὅπως ἐκπληρῶσαι ταῦτα μή δυναμένους, προφάσεως δῆθεν εὐλόγου λαβόμενος, τῶν ἀγαθῶν ἡμᾶς ἐκείνων ἀποστερήσῃ. Ἀλλ' οὐαί τοῖς ταῦτα λέγουσιν, ἐάν μή μετανοήσωσιν· οὐδέν γάρ φορτικόν, οὐδέν ἐπαχθές ὁ Δεσπότης ἡμῶν καί Θεός ἐνετείλατο, μᾶλλον μέν οὖν ῥᾷδιά τε ὁμοῦ πάντα καί εὔκολα, καθά - πιστεύσατέ μοι - καί αὐτός ἔγνων ἐγώ εὔκολον εἶναι τήν ἐντολήν τοῦ Θεοῦ καί τήν ἐπίτευξιν αὐτοῦ τε καί τῆς βασιλείας αὐτοῦ. Ἀλλά διά παραδείγματος τοῦτο ὑμῖν ὑποδείξω.

Ἄνθρωπός τις ἀντάρτῃ δουλεύων τινί ἀντιδίκῳ καί τοῦ βασιλέως τῶν Χριστιανῶν ἐχθρῷ, πολλά τρόπαια κατά τῶν δούλων αὐτοῦ καί ἀνδραγαθίας ποιῶν, καί ἐν τιμῇ μεγίστῃ παρά τῷ τυράννῳ ἐκείνῳ καί τοῖς ὑπ᾽αὐτόν στρατεύμασιν ὤν, ἐμηνύθη παρά τοῦ βασιλέως τῶν Χριστιανῶν διαφόρως τοῦ προσελθεῖν καί σύν αὐτῷ εἶναι καί ἀξιωθῆναι μεγάλων δωρεῶν καί συμβασιλεύειν αὐτῷ. Ὁ δέ ἐπί χρόνους τινάς οὐκ ἠβουλήθη, κατ' αὐτοῦ δέ μᾶλλον χεῖρον ἔκτοτε τόν πόλεμον ἀνερρίπισεν. Ἐν μιᾷ τοίνυν καθ' ἑαυτόν γνωσιμαχήσας καί μεταμεληθείς, ἐβουλεύσατο φυγῇ χρήσασθαι καί μόνος πρός τόν βασιλέα πορευθῆναι, τοῦτο πρός ἑαυτόν λογισάμενος ὅτι, εἰ καί μέχρι τοῦ νῦν μηνύοντί μοι τῷ βασιλεῖ οὐχ ὑπήκουσα, ἀλλά πιστεύω ὡς οὐ μή λογισθῇ μου νῦν ἐπιστρέφοντος τήν ἀναβολήν τῶν τοσούτων ἐτῶν καί βραδυτῆτα διά τό εἶναι αὐτόν, ὡς ἀκούω, συμπαθῆ καί φιλάγαθον, συμπαθήσει δέ μοι καί ἅ ὑπέσχετό μοι πάντα ἀποπληρώσει. Ὡς οὖν ταῦτα ἀπό καρδίας ἐλογίσατο, καί ἔργῳ ἐποίησε· προσελθών τῷ βασιλεῖ καί τούς πόδας κρατήσας αὐτοῦ, συγχώρησιν μετά κλαυθμοῦ ἐξῃτήσατο. Ὅν εὐθύς, τῇ ἀπροσδοκήτῳ χαρᾷ ὁ χρηστός ἐκεῖνος ληφθείς βασιλεύς, ἀποδεξάμενος, ἐπί θαύματος εἶχε τήν τούτου μεταβολήν καί ταπείνωσιν, ἀνθ' ὧν ὅπως παρρησιάζεσθαι μᾶλλον

ὤφειλεν και τιμάς ἀπαιτεῖν ὑπέρ ἧς ἐνεδείξατο πρός αὐτόν ἀγάπης καί πίστεως, καταλιπών μέν τόν ἀντάρτην, προσελθών δέ τῇ βασιλείᾳ αὐτοῦ, κεῖται θρηνῶν ὑπέρ τῆς βραδυτῆτος καί τῶν παρ' αὐτοῦ προγεγονότων κακῶν, ἀναστήσας αὐτόν «*ἐπέπεσεν ἐπί τόν τράχηλον αὐτοῦ καί κατεφίλησεν αὐτόν*» τε ὅλον καί τούς δακρύοντας αὐτοῦ ὀφθαλμούς ἐπί ὥρας πολλάς. Εἶτα στέφος καί στολήν καί ὑποδήματα ὅμοια ὧν αὐτός ἐφόρει ἐνεχθῆναι κελεύσας, αὐτός δι' ἑαυτοῦ τόν πρώην ἐχθρόν καί ἀντίδικον περιέβαλε, μηδέν ὅλως προσονειδίσας αὐτόν· καί οὐ τοῦτο μόνον, ἀλλά νυκτός καί ἡμέρας συγχαίρων αὐτῷ καί συνευφραινόμενος, περιλαμβάνων τε καί κατασπαζόμενος στόμα πρός στόμα αὐτόν, τοσοῦτον ὑπερηγάπησεν αὐτόν ὅτι οὐδέ ἐν τῷ ὑπνοῦν αὐτοῦ ἐχωρίζετο, συνανακλινόμενος αὐτῷ καί περιλαμβάνων ἐπί τῆς κλίνης καί πάντοθεν τῷ ἑαυτοῦ χλανιδίῳ περισκέπων καί ἐπιτιθείς τό ἑαυτοῦ πρόσωπον ἐπί πᾶσι τοῖς αὐτοῦ μέλεσιν.

Τοιοῦτόν ἐστι καί τό ἡμέτερον πρός Θεόν καί οὕτως οἶδα ἐν τοιούτῳ τρόπῳ τούς μετανοοῦντας τόν φιλάγαθον Θεόν ἀποδέχεσθαι καί φιλεῖν, φεύγοντας μέν κόσμον πλάνον καί κοσμοκράτορα, γυμνούς δέ προσερχομένους αὐτῷ τῶν τοῦ βίου πραγμάτων ὡς βασιλεῖ καί Θεῷ, εἰ μή τισιν ἄρα βαρύ καταφαίνεται τό τήν γεννησαμένην καταλιπεῖν καί τούς οἰκείους φίλους καί συγγενεῖς ἀπαρνήσασθαι καί τόν πλοῦτον ἐᾶσαι τόν ἀπολλύμενον, ἐπεί οὐδέν ἔγωγε φορτικόν εὗρον ἤ λυπηρόν ἤ ἐπαχθές, προσφυγών τῷ Θεῷ καί σωτῆρί μου. Ἀλλ' εἰ χρή τήν ἀλήθειαν ὑμῖν ἐξειπεῖν καί ἅ οὐκ ἐβουλόμην πᾶσι δῆλα ποιεῖν, ταῦτα τήν ἀγάπην ὑμῶν ἀπογυμνῶσαι, ἵνα δῶ τι καλόν τισιν ἐξ ὑμῶν, ἐν πάσῃ μᾶλλον στενοχωρίᾳ καί θλίψει καί τῇ νομιζομένῃ κακοπαθείᾳ ὑπερεκβλύζουσαν τήν χαράν καί εὐφροσύνην ἔβλεπον ἐν ἐμοί διά τῆς ἀποκαλύψεως καί ἐπιφανείας τοῦ προσώπου αὐτοῦ, ὥστε πληροῦσθαι ἐναργῶς ἐπ' ἐμοί τό οὕτω λέγον τοῦ Παύλου ῥητόν· «*Τό γάρ παραυτίκα ἐλαφρόν τῆς θλίψεως βάρος δόξης κατεργάζεται ἐν ἡμῖν*», καί τό τοῦ Δαυίδ· «*Ἐν θλίψει*» λέγοντος «*ἐπλάτυνάς με*», ὡς ἐντεῦθεν μηδέν ἡγεῖσθαί με τάς ἐπερχομένας θλίψεις καί τούς πειρασμούς πρός τήν οὐχί μέλλουσαν, ἀλλά παραυτίκα ἀποκαλυπτομένην μοι διά Πνεύματος Ἁγίου δόξαν Ἰησοῦ Χριστοῦ, ἧς τῇ μετοχῇ τε καί θέᾳ καί αὐτάς τάς πρός θάνατον νόσους καί εἴ τινα ἑτέραν ἀφορητοτέραν ὀδύνην διά πόνων τοῖς ἀνθρώποις ἐγγινομένην οὐδέν ἡγούμην, πᾶσαν ἐπιλανθανόμενος ὀδύνην καί λύπην τοῦ σώματος· οὕτω τό φορτίον τῶν ἐντολῶν ἐλαφρόν καί τόν ζυγόν Κυρίου χρηστόν αὐτόθεν ἐλογιζόμην, ἐν δέ τῷ μή εὑρίσκειν με δι' αἰτίας τινός ὑπέρ αὐτοῦ συντόμως ἀποθανεῖν, θλῖψις, πιστεύσατε, ἦν μοι ἀφόρητος.

Τοιγαροῦν, ἀδελφοί μου ἀγαπητοί, πάντα ἀφέντες δράμωμεν γυμνοί, καί προσελθόντες τῷ δεσπότῃ Χριστῷ προσπέσωμεν καί προσκλαύσωμεν ἐνώπιον τῆς αὐτοῦ ἀγαθότητος, ἵνα καί αὐτός, θεασάμενος τήν πίστιν καί τήν ταπείνωσιν ἡμῶν, ὁμοίως ἡμᾶς, μᾶλλον δέ μειζόνως, ἀποδέξηται καί τιμήσῃ, καί στολῇ καί διαδήματι τῷ ἑαυτοῦ κατακοσμήσῃ καί ἀξίους τοῦ ἐπουρανίου νυμφῶνος δαιτυμόνας ἐργάσηται. Οὐ γάρ ἴσον τό ἀπό βασιλέως εἰς βασιλέα φθαρτόν προσελθεῖν, ἐπιγείου τε βασιλείας ἐν ἐπιτυχίᾳ γενέσθαι καί τό ἀπό γῆς εἰς οὐρανούς ἀνελθεῖν καί δόξης αἰωνίου καί βασιλείας

ἀφθάρτου ἀξιωθῆναι καί Θεοῦ συγκληρονόμος συγκοινωνός γενέσθαι, καί οὐχί βασιλεύς μόνον, ἀλλά καί θεός γενέσθαι ἀπό Θεοῦ, καί σύν τῷ Θεῷ εἰς αἰῶνας αἰώνων εὐφραίνεσθαι. Μή οὖν προτιμήσωμέν τι τῶν γηΐνων καί φθειρομένων, παρακαλῶ, ἀδελφοί, ἵνα μή τῆς Χριστοῦ δόξης καί κοινωνίας ἐκπέσωμεν, ἀλλ' ἀπ' ἐντεῦθεν ἤδη, ἑαυτούς ἐκκαθάραντες, τούς ἀρραβῶνας λαβεῖν, μᾶλλον δέ αὐτόν ἐκεῖνον, τόν ἐπί πάντων καί ἐν πᾶσι καί πᾶν ἀγαθόν ὄντα, σπουδάσωμεν κτήσασθαι.

Μηδέ εἴπῃ τις· «*Ἐγώ ἀπό τοῦ ἁγίου βαπτίσματος τόν Χριστόν λαβών ἔχω*», ἀλλά μανθανέτω ὅτι οὐχί πάντες οἱ βαπτιζόμενοι λαμβάνουσι διά τοῦ βαπτίσματος τόν Χριστόν, μόνοι δέ οἱ βεβαιόπιστοι καί ἐν γνώσει τελείᾳ ἤ καί προκαθάρσει ἑαυτούς εὐτρεπίσαντες καί οὕτως ἐλθόντες ἐπί τό βάπτισμα. Καί τοῦτο εἴσεται ὁ ἐρευνῶν τάς Γραφάς ἀπό τῶν ἀποστολικῶν λόγων καί πράξεων· γέγραπται γάρ· «*Ἀκούσαντες δέ οἱ ἐν Ἱεροσολύμοις ἀπόστολοι ὅτι δέδεκται ἡ Σαμάρεια τόν λόγον τοῦ Θεοῦ, ἀπέστειλαν πρός αὐτούς τόν Πέτρον καί Ἰωάννην, οἵτινες καταβάντες προσηύξαντο περί αὐτῶν ὅπως λάβωσι Πνεῦμα Ἅγιον· οὔπω γάρ ἦν ἐπ' οὐδενί αὐτῶν ἐπιπεπτωκός, μόνον δέ βεβαπτισμένοι ὑπῆρχον εἰς τό ὄνομα τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ. Τότε ἐπετίθουν τάς χεῖρας ἐπ' αὐτούς καί ἐλάμβανον Πνεῦμα Ἅγιον*». Εἶδες πῶς οὐ πάντες οἱ βαπτιζόμενοι εὐθύς τό Ἅγιον Πνεῦμα λαμβάνουσιν; Ἔμαθες παρά τῶν ἀποστόλων ὅτι, καί πιστεύσαντές τινες καί βαπτισθέντες, τόν Χριστόν διά τοῦ βαπτίσματος οὐκ ἐνεδύσαντο; Εἰ γάρ τοῦτο ἐγένετο, οὐκ ἄν μετά ταῦτα εὐχῆς καί τῆς τῶν χειρῶν τῶν ἀποστόλων ἐδεήθησαν ἐπιθέσεως· λαμβάνοντες γάρ Πνεῦμα Ἅγιον, τόν Κύριον Ἰησοῦν ἐλάμβανον. Οὐ γάρ ἄλλο ὁ Χριστός καί ἄλλο τό Πνεῦμα· καί τίς τοῦτο φησίν; Αὐτός ὁ Θεός Λόγος τῇ Σαμαρείτιδι προσειπών· «*Πνεῦμα ὁ Θεός*». Εἰ οὖν ὁ Χριστός Θεός, πνεῦμα κατά τήν τῆς θεότητος φύσιν ἐστίν καί ὁ ἔχων αὐτόν, Πνεῦμα Ἅγιον ἔχει· ὁ δέ τό Πνεῦμα ἔχων, αὐτόν πάλιν ἔχει τόν Κύριον, καθώς καί ὁ Παῦλός φησι· «*Τό δέ Πνεῦμα ὁ Κύριος ἐστι*».

Βλέπειν οὖν ἑαυτούς ἡμᾶς χρή, ἀδελφοί, καί κατανοεῖν ἀκριβῶς τάς ψυχάς ἡμῶν, εἰ τόν Κύριον Ἰησοῦν εὐαγγελισθέντα ἡμῖν ἐδεξάμεθα καί ἐν ἑαυτοῖς ἡμῖν αὐτόν κεκτήμεθα, ἵνα, καθώς ὁ εὐαγγελιστής Ἰωάννης φησί, γνῶμεν εἰ ἐξουσίαν ἐλάβομεν παρ' αὐτοῦ τέκνα Θεοῦ γενέσθαι. Προσεχέτω τοιγαροῦν τοῖς λεγομένοις ὑπό τῶν ἁγίων Γραφῶν ἕκαστος καί ἑαυτόν κατανοείτω, καθώς εἴπομεν, ἵνα μή μάτην ἑαυτόν φρεναπατῶν, πιστός εἶναι οἰόμενος, ἄπιστος εὑρεθήσεται, καί τόν Κύριον ἔχειν νομίζων ἐν ἑαυτῷ κενός ἐξέλθῃ τοῦ σώματος καί ὡς μηδέν ἔχων κατακριθήσεται, ἀφαιρούμενος ὅ δοκεῖ ἔχειν, καί εἰς τό πῦρ ἐμβληθήσεται. Πόθεν οὖν γνωσόμεθα εἰ ἐν ἡμῖν ὁ Χριστός ἐστι, καί πῶς ἑαυτούς ἡμᾶς καταμάθωμεν; Τά ἀπό τῶν θείων Γραφῶν λόγια ἀναλεγόμενοι καί ἀντιπαρατιθοῦντες ὡς ἔσοπτρα ταῖς ψυχαῖς ἡμῶν, ἐν αὐτοῖς ὅλους ἑαυτούς καταμάθωμεν. Ἀλλ' ἀνωτέρω τόν λόγον ἀγάγωμεν, καί Θεοῦ διδόντος λόγον ἐν ἀνοίξει τοῦ ἀκαθάρτου μου στόματος, τόν τῆς κατανοήσεως τρόπον ποσῶς ὑμῖν, τοῖς ἀδελφοῖς μου, ἐκθήσομαι. Ἀλλά προσέχετε, ἀξιῶ· περί φρικτῶν γάρ ὁ λόγος ἐστίν.

*«Ἐν ἀρχῇ ἦν ὁ Λόγος καί ὁ Λόγος ἦν πρός τόν Θεόν καί Θεός ἦν ὁ Λόγος· οὗτος ἦν ἐν*

*ἀρχῇ πρός τόν Θεόν. Πάντα δι᾽ αὐτοῦ ἐγένετο. Ἐν αὐτῷ ζωή ἦν καί ἡ ζωή ἦν τό φῶς τῶν ἀνθρώπων· καί τό φῶς ἐν τῇ σκοτίᾳ φαίνει καί ἡ σκοτία αὐτό οὐ κατέλαβεν*». Ταῦτα τοίνυν εἰπών, τήν ἀδιαίρετον Τριάδα ἐδήλωσε, Θεόν τόν Πατέρα λέγων, Λόγον τόν Υἱόν, ζωήν τό Πνεῦμα τό Ἅγιον, ὅπερ καί ἕν φῶς τά τρία ἐστίν ἐν τῇ σκοτίᾳ φαῖνον. Ἐν ποίᾳ ἄρα σκοτία; Ἐν τῇ τῶν ὁρωμένων κτίσει, πάντως φησίν· ὁ γάρ Θεός παντί καί πανταχοῦ πάρεστι, φῶς ὤν καί φαίνων· καί ἡ σκοτία αὐτόν οὐ κατέλαβεν, ἀντί τοῦ· μολυσμός αὐτῷ ἁμαρτίας ὅλως οὐ προσήγγισεν, οὐδέ ἡ κτίσις αὐτόν φαίνειν παρενεπόδισεν, οὐδέ ἔγνω, οὐδέ εὗρεν, οὐδ᾽ ἡνώθη, οὐδέ αὐτόν ἑώρακεν. Διό τό αὐτό νόημα δευτερῶν, ἵνα σαφές αὐτό ἀπεργάσηται, ἐπήγαγε καί φησιν· «*Ἦν τό φῶς τό ἀληθινόν ὅ φωτίζει πάντα ἄνθρωπον ἐρχόμενον εἰς τόν κόσμον· ἐν τῷ κόσμῳ ἦν καί ὁ κόσμος δι᾽ αὐτοῦ ἐγένετο καί ὁ κόσμος αὐτόν οὐκ ἔγνω*». Ἀπ᾽ ἀρχῆς ἦν ὁ Θεός πανταχοῦ, φησίν, ὁ ζωογονῶν πάντα ἄνθρωπον ἐρχόμενον εἰς τόν κόσμον, καί πρό τοῦ ποιῆσαι τόν κόσμον ἐν τῷ κόσμῳ ἦν. Πῶς; Ὅτι προϋφέστηκε παρ᾽ αὐτῷ καί ἐν αὐτῷ τά πάντα· οἱ γάρ μήπω γεννηθέντες, οὐχ ὡς μή ὄντες, ἀλλ᾽ ὡς ἤδη γεγονότες, παρά τῷ Θεῷ εἰσιν. Εἶτα ποιήσας τόν κόσμον, οὐ τόπῳ, φησί, διέστη τοῦ κόσμου, ἀλλ᾽ ἐν αὐτῷ ἦν καί ὁ κόσμος αὐτόν οὐκ ἔγνω.

Πῶς οὖν πρό τοῦ ποιῆσαι τόν κόσμον πανταχοῦ ἦν καί, τόν κόσμον ποιήσας, ἐν τῷ κόσμῳ ἦν φαίνων καί ὁ κόσμος αὐτόν οὐ κατέλαβεν; Προσέχετε μετά ἀκριβείας. Οὐ τόπῳ διέστη «*ὁ πανταχοῦ παρών καί τά πάντα πληρῶν*», φησίν, ὅτε τόν αἰσθητόν τοῦτον κόσμον παρήγαγεν ὁ Θεός, ἀλλά φύσει καί δόξῃ θεότητος, μηδέν ἐκ τῶν γεγονότων δηλονότι προσεγγίσαν ἤ ὅλως καταλαβόν αὐτόν· καί γάρ ἀχώριστον ὤν τῶν πάντων, ἐν τοῖς πᾶσιν ἀριδήλως ἐστί. «*Καί οὐδείς αὐτόν ἐπιγινώσκει, φησίν, εἰ μή ὁΥἱός καί ᾧ ἐάν βούληται ὁ Υἱός ἀποκαλύψαι*». Οὗτος οὖν ὁ ἐν τῷ κόσμῳ ὤν καί παρά τοῦ κόσμου ἀγνοούμενος, εἰς τά ἴδια ἦλθεν καί οἱ ἴδιοι αὐτόν οὐκ ἐδέξαντο. Ἴδια δέ αὐτοῦ τόν κόσμον ἐκάλεσε καί τούς ἐν τῷ κόσμῳ καί διά τόν κτίστην αὐτόν καί δεσπότην τούτων εἶναι καί διά τήν ἐκ τῆς σαρκός συγγένειαν. Μή οὖν παραδράμῃς τά εἰρημένα, ἀλλά γνῶθι ὅτι ὁ ἐν ἀρχῇ ὤν πρός τόν Θεόν Λόγος, καί Θεός ὤν καί τήν ζωήν ἔχων ἐν ἑαυτῷ καί πάντα ποιήσας καί φῶς ὤν ὅ πάντα ἄνθρωπον φωτίζει, αὐτός ὁ πρό τοῦ κόσμου ἐν κόσμῳ ὤν καί τόν κόσμον ποιήσας καί ἐν αὐτῷ ὑπάρχων καί ὑπό τοῦ κόσμου ἀγνοούμενος καί παρ᾽ αὐτοῦ μή καταλαμβανόμενος, ἐν τῷ κόσμῳ σωματωθείς παρεγένετο, ἵνα τοῖς μέν ἐκ πίστεως εἰς Θεόν αὐτόν δεχομένοις καί τάς ἐντολάς αὐτοῦ φυλάσσουσι καί τόν σταυρόν αἴρουσιν, ὡς Θεός ἀποκαλυφθῇ καί οἷός ἐστι γνωσθῇ, νῦν μέν μετρίως, καθ᾽ ὅσον ἕκαστος χωρεῖ, ἐν δέ τῇ ἀναστάσει τρανότερον. «*Ὅσοι γάρ, φησίν, ἔλαβον αὐτόν, ἔδωκεν αὐτοῖς ἐξουσίαν τέκνα θεοῦ γενέσθαι τοῖς πιστεύουσιν εἰς τό ὄνομα αὐτοῦ, οἵ οὐκ ἐξ αἱμάτων οὐδέ ἐκ θελήματος σαρκός οὐδέ ἐκ θελήματος ἀνδρός, ἀλλ᾽ ἐκ Θεοῦ ἐγεννήθησαν. Καί ὁ Λόγος σάρξ ἐγένετο καί ἐσκήνωσεν ἐν ἡμῖν, καί ἐθεασάμεθα τήν δόξαν αὐτοῦ, δόξαν ὡς μονογενοῦς παρά πατρός, πλήρης χάριτος καί ἀληθείας*».

Ἰδού τό κάτοπτρον ὅ προεῖπον ὑμῖν οὗτοι οἱ λόγοι εἰσίν. Καί σκόπει μοι τῶν

εὐαγγελικῶν ῥημάτων τό ἀκριβές, πῶς τρανῶς διδάσκει ἡμᾶς τῶν πιστῶν τά γνωρίσματα, ἵνα καί ἑαυτούς ἡμᾶς ἕκαστος καί τούς πλησίον ἐπιγινώσκωμεν. Ὅσοι δέ ἔλαβον αὐτόν, φησί, διά τῆς πίστεως δηλονότι Θεόν αὐτόν καί οὐκ ἄνθρωπον μόνον ὁμολογήσαντες, ἔδωκεν αὐτοῖς ἐξουσίαν διά τοῦ βαπτίσματος τέκνα Θεοῦ γενέσθαι, τῆς τοῦ διαβόλου τυραννίδος ἐλευθερώσας αὐτούς, ὥστε μή μόνον εἶναι πιστούς, ἀλλ' εἰ βούλοιντο πορεύεσθαι ταῖς αὐτοῦ ἐντολαῖς, καί τήν ἁγιότητα τῇ τῶν ἐντολῶν ἐργασίᾳ προσεπικτῶνται, ὡς ἐν ἑτέρῳ φησί· «*Γίνεσθε ἅγιοι, ὅτι ἐγώ ἅγιός εἰμι*», καί πάλιν· «*Γίνεσθε οἰκτίρμονες, ὡς καί ὁ Πατήρ ὑμῶν ὁ οὐράνιος οἰκτίρμων ἐστίν*». Εἶτα μετά ταῦτα καί τόν τρόπον δηλοῖ τῆς υἱοθεσίας, εἰπών· «*Οἵ οὐκ ἐξ αἱμάτων οὐδέ ἐκ θελήματος σαρκός,οὐδέ ἐκ θελήματος ἀνδρός, ἀλλ' ἐκ Θεοῦ ἐγεννήθησαν*». Γέννησιν ἐνταῦθα τήν πνευματικήν καλεῖ ἀλλοίωσιν, ἥτις ἐνεργεῖται και καθορᾶται ἐν τῷ τοῦ Ἁγίου Πνεύματος βαπτισμῷ, καθώς αὐτός ὁ ἀψευδής Κύριος οὕτω φησίν· «*Ἰωάννης μέν ἐβάπτισεν ὕδατι, ὑμεῖς δέ βαπτισθήσεσθε ἐν Πνεύματι Ἁγίῳ*». Ἐν τούτῳ τοίνυν οἱ βαπτιζόμενοι ὡς ἐν φωτί φῶς γίνονται καί τόν γεγεννηκότα γνωρίζουσι· καί γάρ ὁρῶσιν αὐτόν.

Ὅτι δέ οὐκ ἀρκεῖ μόνον ἡμῖν πρός σωτηρίαν τό βάπτισμα, ἀλλά καί τῆς σαρκός τοῦ Ἰησοῦ καί Θεοῦ καί τοῦ αἵματος τοῦ τιμίου αὐτοῦ οἰκειοτέρα καί ἀναγκαιοτέρα ἡμῖν ἐστιν ἡ μετάληψις, ἄκουσον τῶν ἑξῆς· «*Καί ὁ Λόγος σάρξ ἐγένετο καί ἐσκήνωσεν ἐν ἡμῖν*». καί ὅτι περί τούτων ταῦτα δηλοῖ, ἄκουε τοῦ Κυρίου λέγοντος ὧδε· «*Ὁ τρώγων μου τήν σάρκα καί πίνων μου τό αἷμα ἐν ἐμοί μένει, κἀγώ ἐν αὐτῷ*». Τούτου γάρ γεγονότος καί πνευματικῶς διά τοῦ παναγίου Πνεύματος ἡμῶν βαπτισθέντων καί τέκνων Θεοῦ γεγονότων καί τοῦ σαρκωθέντος Λόγου διά τῆς τοῦ ἀχράντου σώματος καί αἵματος αὐτοῦ μεταλήψεως σκηνώσαντος ὡς φῶς ἐν ἡμῖν, ἐθεασάμεθα τήν δόξαν αὐτοῦ, δόξαν ὡς μονογενοῦς παρά πατρός. Γεννηθέντες, φησίν, ὑπ' αὐτοῦ καί ἐξ αὐτοῦ πνευματικῶς καί σκηνώσαντος αὐτοῦ σωματικῶς ἐν ἡμῖν καί ἡμῶν κατοικησάντων γνωστῶς ἐν αὐτῷ, τότε κατ' αὐτόν εὐθύς τόν καιρόν, κατ' αὐτήν τήν ὥραν, ὅτε ταῦτα ἐγένετο, ἐθεασάμεθα τήν δόξαν αὐτοῦ τῆς θεότητος, δόξαν ὡς μονογενοῦς παρά πατρός, οἵαν δηλονότι οὐδείς ἕτερος οὐκ ἄγγελος ἔχει, οὐκ ἄνθρωπος. Ἐπειδή γάρ εἷς Θεός ὁ Πατήρ, εἷς καί ὁ Υἱός αὐτοῦ ὁ μονογενής, μία δέ τῶν ἀμφοτέρων ἡ δόξα, γνωριζομένη καί ἀποκαλυπτομένη πᾶσιν οἷς ὁ Υἱός βούλεται διά τοῦ ἐκπορευομένου Πνεύματος παρά τοῦ Πατρός.

Τοιγαροῦν ἕκαστος ὑμῶν, ἀδελφοί, τῇ ἑαυτοῦ διανοίᾳ εἰς τήν τῶν ῥημάτων τούτων ἐγκύψας δύναμιν, ἑαυτόν θεασάσθω. Εἰ τόν Θεόν Λόγον ἐλθόντα ἔλαβεν, εἰ τέκνον Θεοῦ ἐγένετο, εἰ οὐκ ἐξ αἵματος καί σαρκός μόνον, ἀλλά καί ἐκ Θεοῦ γεγέννηται, εἰ ἔγνω τόν σαρκωθέντα Λόγον σκηνώσαντα ἐν αὐτῷ καί εἰ ἐθεάσατο τήν δόξαν αὐτοῦ, δόξαν ὡς μονογενοῦς παρά πατρός, ἰδού γέγονε χριστιανός καί ἀναγεννηθέντα ἑαυτόν ἐθεάσατο καί τόν γεννήσαντα αὐτόν πατέρα ἐγνώρισεν, οὐ λόγῳ μόνῳ, ἀλλ᾿ἔργῳ χάριτος καί ἀληθείας. Ἐμμείνωμεν, ἀδελφοί, ἐν τούτῳ τῷ ἐσόπτρῳ τῆς ἀληθείας καί ἀποστῶμεν τῆς βλαβερᾶς καί αἱρεσιώδους διδασκαλίας καί ὑπονοίας τῶν λεγόντων μή

ἀποκαλύπτεσθαι νῦν ἐν ἡμῖν τοῖς πιστοῖς τήν δόξαν τῆς θεότητος τοῦ Κυρίου Ἰησοῦ διά τῆς τοῦ Ἁγίου Πνεύματος δωρεᾶς· ἡ γάρ δωρεά ἐν τῇ ἀποκαλύψει δίδοται καί ἡ ἀποκάλυψις διά τῆς δωρεᾶς ἐνεργεῖται. Οὔτε οὖν Πνεῦμα Ἅγιον λαμβάνει τις, μή ἀποκαλυπτόμενον καί ὁρώμενον νοερῶς, οὔτε ἀποκάλυψιν βλέπει, εἰ μή ἐν Ἁγίῳ Πνεύματι φωτισθῇ, οὔτε πιστός τελείως δύναται λέγεσθαι, εἰ μή τό τοῦ Θεοῦ Πνεῦμα λάβῃ, καθώς τῇ Σαμαρείτιδι ἔλεγεν ὁ Χριστός· «*Ὁ πίνων ἐκ τοῦ ὕδατος οὗ ἐγώ δώσω αὐτῷ, οὐ μή διψήσῃ πώποτε, ἀλλά γενήσεται ἐν αὐτῷ πηγή ὕδατος ἀλλομένου εἰς ζωήν αἰώνιον*». «*Τοῦτο δέ*» ὁ εὐαγγελιστής φησιν «*ἔλεγεν περί τοῦ Πνεύματος οὗ ἔμελλον λαμβάνειν οἱ πιστεύοντες εἰς αὐτόν*». Ὁρᾷς πῶς οἱ μή τό Πνεῦμα ἐνεργοῦν καί λαλοῦν ἔχοντες ἐν ἑαυτοῖς ἄπιστοί εἰσιν; Ἀψευδής γάρ ὁ Χριστός, ὅτι ἁμαρτίαν οὐκ ἐποίησε καί δόλος οὐχ εὑρέθη ἐν τῷ στόματι αὐτοῦ. Εἰ οὖν ἐκεῖνος λέγει τό Πνεῦμα διδόναι τοῖς πιστεύουσιν εἰς αὐτόν, πάντως οἱ μή ἔχοντες τό Πνεῦμα οὔκ εἰσιν ἐκ καρδίας πιστοί.

Εἰ δέ λέγοι τις ἀγνώστως τοῦτο καί ἀναισθήτως λαβεῖν καί ἔχειν ἕκαστον ἡμῶν τῶν πιστῶν, βλασφημεῖ, ψεύστην ποιῶν τόν εἰπόντα Χριστόν ὅτι «*Γενήσεται ἐν αὐτῷ πηγή ὕδατος ἀλλομένου εἰς ζωήν αἰώνιον*», καί αὖθις· «*Ὁ πιστεύων εἰς ἐμέ, ποταμοί ῥεύσουσιν ἐκ τῆς κοιλίας αὐτοῦ ὕδατος ζῶντος*». Εἰ οὖν ἡ πηγή βλύζει, πάντως καί ὁ ποταμός ἐξερχόμενος καί καταρρέων τοῖς βλέπουσι καθορᾶται· εἰ δέ ταῦτα, κατά τούς οὕτω φρονοῦντας, ἀγνώστως ἐν ἡμῖν ἐνεργοῦνται, μηδενός τούτων ἐπαισθανομένων ἡμῶν, εὔδηλον ὅτι οὐδέ τῆς αἰωνίου ζωῆς, τῆς συνεπομένης αὐτοῖς καί ἐν ἡμῖν μενούσης, ὅλως αἴσθησιν λάβωμεν, οὐδέ τό τοῦ Ἁγίου Πνεύματος φῶς θεασόμεθα, ἀλλά νεκροί καί τυφλοί καί ἀναίσθητοι διαμενοῦμεν, ὥσπερ ἄρτι, καί τότε· καί οὕτω ματαία ἡ ἐλπίς ἡμῶν γέγονε κατ’ αὐτούς καί ὁ δρόμος διακενῆς, ἐν τῷ θανάτῳ ὄντων ἡμῶν και τῆς αἰωνίου ζωῆς μή λαμβανόντων αἴσθησιν.

Ἀλλ’ οὐκ ἔστι ταῦτα, οὐκ ἔστιν, ἀλλ’ ὅπερ πολλάκις εἶπον καί πάλιν ἐρῶ καί οὐδέποτε λέγειν παύσομαι. Φῶς ὁ Πατήρ, φῶς ὁ Υἱός, φῶς τό Πνεῦμα τό Ἅγιον, ἕν φῶς, ἄχρονον, ἄτμητον, ἀσύγχυτον, ἀΐδιον, ἄκτιστον, ἄποσον, ἀνενδεές, ἀόρατον, ὡς ἔξω πάντων καί ὑπέρ πάντα καί ὄν καί νοούμενον, ὅπερ οὐδείς ποτε ἀνθρώπων πρό τοῦ καθαρθῆναι ἠδυνήθην θεάσασθαι, οὔτε πρό τοῦ θεάσασθαι ἔλαβεν. Πολλοί γάρ εἶδον μέν, οὐκ ἐκτήσαντο δέ, ὡς θησαυρόν πολύν ἐν τοῖς βασιλικοῖς ταμιείοις καταξιωθέντες ἰδεῖν καί ἀπελθόντες διακενῆς. Καί γάρ γίνεται μέν κατ’ ἀρχάς πολλάκις εἰς τούς μετανοοῦντας θερμῶς ἔλλαμψις θεία καί φωτισμός, εὐθύς δέ παρέρχεται· καί εἰ μέν μέχρι θανάτου αὐτοῦ ἑαυτούς ὅλους ἐκδώσουσι καί ζητήσουσιν ἐμπόνως, ἀξίους σφᾶς αὐτούς καί ἀμέμπτους ἐν πᾶσι τῷ Κυρίῳ παριστῶντες, τελείως πάλιν ἐπανελθοῦσαν ταύτην λαμβάνουσιν· εἰ δέ μικρόν ῥαθυμήσουσι καί εἰς μείζονα κόπους ἑαυτούς ἐμβαλεῖν παραιτήσονται, τάς ψυχάς ἀγαπῶντες τάς ἑαυτῶν, ἀνάξιοι τοῦ τοιούτου δώρου γίνονται καί εἰς ζωήν αἰώνιον, ἔτι ὄντες ἐν σώματι, οὐκ εἰσέρχονται· εἰ δέ μή νῦν, οὐδέ μετά τήν τοῦ σώματος ἔξοδον εἰσελεύσονται δηλονότι. Εἰ γάρ ὁ τό ἕν τάλαντον λαβών καί κατακρύψας κατεκρίθη, ὅτι μή ἐπολυπλασίασεν αὐτό, πόσῳ μᾶλλον ὁ μηδέ φυλάξας ὅ ἔλαβεν, ἀλλά διά ῥαθυμίας ἀπολέσας, κατακριθήσεται.

Ἐνταῦθα τοιγαροῦν, ὡς πᾶσα Γραφή θεόπνευστος λέγει, ἐστίν ἡ πανήγυρις, ἐνταῦθα τά σκάμματα, καί ἐνταῦθα τοῖς νικῶσι τῶν ἐπάθλων οἱ ἀρραβωνικοί στέφανοι δίδονται, καί τοῖς ἡττηθεῖσι πρόδηλος καί φανερά ἡ ἀπαρχή τῆς αἰσχύνης καί τῆς κολάσεως γίνεται. Καί ὅρα τῷ λόγῳ συμμαρτυροῦντας τούτῳ τούς τε ἁγίους Τεσσαράκοντα Μάρτυρας καί πάντας ἄλλους τούς ὑπέρ Χριστοῦ μαρτυρήσαντας. Οἱ μέν γάρ ἐν αὐτῇ τῇ λίμνῃ ὄντες τοῦ ὕδατος ἐκ χειρός Θεοῦ τούς στεφάνους ἐδέξαντο, ὁ δέ τῷ λουτρῷ προσφυγών τῇ θέρμῃ εὐθύς διελύθη καί πρός τό αἰώνιον πῦρ ἀπελήλυθεν. Εὐστράτιος δέ ὁ ἐπ' ἀρετῇ περιβόητος, ὑπέρ Χριστοῦ τιμωρούμενος, «*Νῦν ἔγνων*» ἔλεγεν «*ὅτι ναός Θεοῦ εἰμι καί τό Πνεῦμα αὐτοῦ οἰκεῖ ἐν ἐμοί. Ἀπόστητε ἀπ᾽ἐμοῦ πάντες οἱ ἐργάται τῆς ἀνομίας*». Πρός δέ τόν δικάζοντα τύραννον ἀπεφθέγγετο· «*Εἴ σοι τά αἰσθητήρια τῶν φρενῶν μή ἀλλοίωτο καί τῷ τῶν παθῶν φυράματι μή μετεσκεύαστο πρός τό γεῶδες ἡ ψυχή σου, ἔδειξα ἄν σοι τόν ἐσταυρωμένον τοῦτον σωτῆρα καί λυτρωτήν καί εὐεργέτην τυγχάνοντα*». Εἶδες πῶς ἡ πίστις δίχα τῶν ἔργων νεκρά ἐστι; Πρό γάρ τοῦ εἰσελθεῖν εἰς τούς τοῦ μαρτυρίου ἀγῶνας τόν ἅγιον, ἐπειδή τήν πίστιν μόνην εἶχεν, οὐκ εἶχε τό Πνεῦμα τό Ἅγιον ἐν ἑαυτῷ, ὅτε δέ ἐκ τῶν ἔργων τήν πίστιν ἔδειξε, τότε καί ναόν ἑαυτόν Θεοῦ ἐπέγνω καί τό Πνεῦμα αὐτοῦ τό Ἅγιον οἰκοῦν ἐν ἑαυτῷ γνωστῶς τοῖς νοεροῖς ὄμμασιν ἐθεάσατο. Τί ταύτης τῆς μαρτυρίας ἐκδηλότερον γένοιτ' ἄν;

Εἰ δέ λέγοιέν τινες ὅτι ἐκεῖνοι μάρτυρες ἦσαν, ἐκεῖνοι ἔπασχον ὑπέρ τοῦ Χριστοῦ, καί πῶς ἐκείνοις ἴσους ἡμᾶς γενέσθαι ἐνδέχεται, τοῦτο πρός αὐτούς εἴποιμεν ὅτι καί ὑμεῖς αὐτοί, εἴ γε βούλεσθε, ὑπέρ Χριστοῦ πάσχοντες καί τιμωρούμενοι, καθάπερ ἐκεῖνοι μαρτυρήσετε καθ' ἑκάστην, οὐκ ἐν ἡμέρᾳ μόνον, ἀλλά καί ἐν νυκτί καί ἐν πάσῃ ὥρᾳ. Καί πῶς ἔσται τοῦτο; Ἐάν καί ὑμεῖς πρός τούς ὀλεθρίους παρατάξησθε δαίμονας, ἐάν ἀεί κατά τῆς ἁμαρτίας καί τοῦ οἰκείου θελήματος ἵστασθε. Ἐκεῖνοι γάρ πρός τυράννους, ἡμεῖς δέ πρός δαίμονας ἔχομεν καί τά ὀλέθρια πάθη τῆς σαρκός, ἅτινα καί ἐν ἡμέρᾳ πάσῃ καί ἐν νυκτί καί ὥρᾳ τυραννικῶς ταῖς ψυχαῖς ἡμῶν ἐπιτίθενται καί ἐκβιάζονται πρᾶξαι ἡμᾶς τά μή ἀνήκοντα τῇ θεοσεβείᾳ καί ἅ παροξύνει Θεόν. Εἰ οὖν πρός ταῦτα στῶμεν καί οὐ κάμψομεν γόνυ τῇ Βάαλ, οὐδέ ταῖς ὑποθήκαις τῶν πονηρῶν πεισθῶμεν δαιμόνων, οὐδέ λειτουργήσομεν τῇ σαρκί πρόνοιαν αὐτῆς εἰς ἐπιθυμίας ποιούμενοι, μάρτυρες εἰκότως ἐσόμεθα καί αὐτοί, πρός τήν ἁμαρτίαν ἀγωνιζόμενοι, μεμνημένοι δηλαδή τῶν μαρτύρων καί ἅς ὑπήνεγκαν ἀφορήτους μάστιγας ἐνθυμούμενοι καί διά τοῦτο κατά τοῦ διαβόλου ἱστάμενοι· ἀλλά γάρ καί πρός τούς ἐκείνων ἀποβλέποντες πόνους καί ὅπως ἡμεῖς ἀπολειπόμεθα ταῆς ἐκείνων ἀθλήσεως ἀπό ψυχῆς λογιζόμενοι καί στενάζοντες, τῶν αὐτῶν ἐκείνοις στεφάνων ἀξιωθῶμεν, εἰ καί μή τῇ ποσότητι, ἀλλά γε τῇ ποιότητι κατά τήν ἄνωθεν τοῦ Θεοῦ πρός ἡμᾶς ἀγαθότητα, καί εἰ μή ἐκείνοις ἴσοι τῇ παρρησίᾳ, ἀλλά γε ἴσοι πάντως τῇ ὑπομονῇ καί τῇ πρός τά δεινά τῶν πόνων εὐχαριστίᾳ ἐσόμεθα.

Ἐκεῖνοι γάρ ἐξ ἔργων καί πόνων ἀθλήσεως, ἡμεῖς ἐξ ἔργων καί πόνων ἀσκήσεως σωθῆναι ἐλπίζομεν καί τό ὅλον ἐκ φιλανθρωπίας τῆς τοῦ Δεσπότου καί χάριτος· ἐκεῖνοι ἐξ ἱδρώτων καί ἀγώνων μαρτυρικῶν, ἡμεῖς ἐκ δακρύων καί ἀγώνων ἀσκητικῶν· ἐκεῖνοι

ἐκ τῆς τοῦ ἰδίου αἵματος χύσεως, ἡμεῖς ἐκ τῆς ἐκκοπῆς τοῦ ἰδίου θελήματος καί ἐν τῷ ἵστασθαι ἀεί καί ἔχειν ἐν ἑαυτοῖς τό ἀπόκριμα τοῦ θανάτου καί καθ’ ὥραν τόν θάνατον ἀπεκδέχεσθαι, ἑτοίμως τε τόν αὐχένα ἐκτείνοντες εἰς τό ἀποθανεῖν ἐπί πάσῃ ἐντολῇ τοῦ δεσπότου ἡμῶν Θεοῦ, ἤ παραβῆναι μέχρι καί ψιλοῦ λόγου ταύτην καταδεχόμενοι. Διά δή τοῦτο καί ἡμεῖς ἅπαντες ἐξ ἴσης ἐκείνοις τῶν παρόντων καταφρονῆσαι ὀφείλομεν, ἀδελφοί. Οὐ γάρ ἔστιν, οὐκ ἔστι τά ἄφθαρτα λαβεῖν πάντας ἡμᾶς μηδέ βδελυξαμένους ὡς σκύβαλα τά φθαρτά, οὐδέ τά αἰώνια κερδῆσαι τούς ἀντεχομένους τῶν ἐπικήρων, οὐδέ τόν Χριστόν ἔνοικον σχεῖν διά τῆς τοῦ Ἁγίου ἐπισκηνώσεως Πνεύματος τόν ὑπό ἑνός καί τοῦ μικροῦ πάθους τήν καρδίαν κυριευόμενον.

Ὁ γάρ Θεός, ἀδελφοί, ἵνα πάλιν ἐρῶ, φῶς ἐστι, καθώς αὐτός ἐκεῖνός φησιν· «*Ἐγώ εἰμι, λέγων, τό φῶς τοῦ κόσμου*». Εἰ τοίνυν τῇ σαρκί λέγεις φῶς εἶναι, ἄρα, ἀναληφθέντος καί κρυβέντος αὐτοῦ, διέστη λοιπόν καί ἐχωρίσθη τῶν μαθητῶν, ἔπειτα καί ἡμῶν, καί οὕτω κατά σέ σκοτεινός ὅλος ὁ κόσμος ἐγένετο. Εἰ δέ τῇ θεότητι φῶς εἰπεῖν εἶναι τοῦ κόσμου ὁμολογεῖς, πῶς καί μή βλέπειν αὐτόν λέγεις καί ἐν σοί εἶναι ὑπολαμβάνεις; Εἰ φῶς τοῦ κόσμου ὁ Χριστός, οἱ μή ὁρῶντες αὐτόν ἅμα τυφλοί· εἰ δέ φῶς καί τό Πνεῦμα τό Ἅγιον, ὥσπερ οὖν καί φῶς, πῶς καί μή ὁρᾶν αὐτό λέγεις καί ἐν σοί εἶναι ἀγνώστως νομίζεις; Εἰ δέ λέγεις ὑπό παθῶν ἐν σοί τό Πνεῦμα καλύπτεσθαι, περιγραπτόν, ὡς οὐκ οἶδας, τό θεῖον ποιεῖς καί ὑπό τῆς κακίας κυριευόμενον· σκότος γάρ ἡ πονηρά γνώμη καί δίχα σωματικῆς ἁμαρτίας ἐστίν. Ὁ οὖν λέγων ἔχειν ἐν τῇ ἑαυτοῦ καρδίᾳ τό φῶς ὑπό τοῦ σκότους τῶν παθῶν καλυπτόμενον καί ὑπ’ αὐτοῦ μή ὁρώμενον, ὑπό τῆς σκοτίας λέγει κρατεῖσθαι τό φῶς· καί τό οὕτω λέγον Ἅγιον Πνεῦμα· «*Καί τό φῶς ἐν τῇ σκοτίᾳ φαίνει καί ἡ σκοτία αὐτό οὐ κατέλαβεν*» ψευδόμενον ἀποφαίνεται. Τό Πνεῦμα τό Ἅγιον μή καταλαμβάνεσθαι λέγει ὑπό τῆς σκοτίας τό φῶς, καί σύ λέγεις ὑπό τοῦ ζόφου τῶν παθῶν ἐν σοί κατακρύπτεσθαι; Γνῶθι οὖν σεαυτόν πρῶτον, ὅστις ἄν ᾖς ὁ τοῦτο λέγων, ἐν γνώσει σαφῶς ἁμαρτάνοντα· εἰ γάρ ὁμολογεῖς τῶν παθῶν τό σκότος τοῦ ἐν σοί φωτός κάλυμμα γενέσθαι, ἤδη σεαυτόν ἐν πρώτοις καταλέγεις κα΄κατηγορεῖς, ὅτι οἶδας ἐν σκότει καθῆσθαι καί δουλεύειν τοῖς πάθεσι, καί ἐξουσίαν λαβών τέκνον γενέσθαι Θεοῦ, ἤτοι φωτός, καί χρηματίσαι ἡμέρας υἱός, ἄπρακτος ὤν σύ καί ἀργός, ἐν νυκτί διάγεις, διαναστῆναι πρός ἐργασίαν τῶν ἐντολῶν τοῦ Θεοῦ καί ἀποδιῶξαι τό νέφος τῶνπαθῶν μή βουλόμενος, ἀλλ’ ὡς ἐν βορβόρῳ, τῇ σῇ ῥυπαρᾷ καρδίᾳ, τόν ἐκ τῶν οὐρανῶν κατελθόντα διά τήν σωτηρίαν τήν σήν παρορᾷς κείμενον.

Διά τοῦτο τοίνυν τάδε λέγει τό φῶς· «*Ἐκ τοῦ στόματός σου κρινῶ σέ, πονηρέ δοῦλε, ὅτι ἐλθόντα με, ὡς σύ λέγεις, καί ἐνοικήσαντα ἐν σοί τόν ταῖς ἄνω ἀπρόσιτον τάξεσι, τοῦτο γινώσκων αὐτός, ἔασας μέ ὑπό τό σκότος κεῖσθαι κεχωρισμένον τῶν σῶν κακῶν, καθά δή τοῦτο λέγεις αὐτός· καί ἐπί τοσούτους χρόνους ἐγκαρτερήσαντός μου καί τήν μετάνοιάν σου ἐκδεχομένου καί τήν ἐργασίαν τῶν ἐντολῶν μου προσαναμένοντος, οὐκ ἠβουλήθης μέχρι τέλους κἄν ποσῶς ἐκζητῆσαί με, οὐδέ συμπνιγόμενον καί στεναχωρούμενον ἐν σοί ᾤκτειρας, οὐδέ εὑρεῖν με τήν δραχμήν ἥν ἀπώλεσα, σέ, ἔασας*

*δά τό μή ἐαθῆναί με ἀναφθῆναι καί θεάσασθαί σε καί ὑπό σοῦ θεαθῆναι, ἀλλ' ὑπό τῶν ἐν σοί παθῶν ἀεί συγκαλύπτεσθαι. Ἄπελθε τοιγαροῦν ἀπ' ἐμοῦ, ἐργάτα τῆς ἀνομίας, εἰς τό πῦρ τό αἰώνιον τό ἡτοιμασμένον τῷ διαβόλῳ καί τοῖς ἀγγέλοις αὐτοῦ, ἐπειδή τήν σήν ἐπιστροφήν καί μετάνοιαν ἐπείνασα, καί οὐκ ἔδωκάς μοι φαγεῖν· ἐδίψησα τήν σωτηρίαν σου, καί οὐκ ἔδωκάς μοι πιεῖν· γυμνός ἤμην τῶν σῶν ἐναρέτων πράξεων, καί οὐκ ἐνέδυσάς με αὐτάς· ἐν φυλακῇ στενωτάτῃ καί ῥυπώσῃ καί σκοτεινῇ τῆς σῆς καρδίας ὑπῆρχον, καί ἐπισκέψασθαι ἤ εἰς φῶς ἐξαγαγεῖν με οὐκ ἠβουλήθης· ἐν ἀσθενείᾳ τῆς σῆς ῥαθυμίας καί ἀπραξίας κατακείμενόν με ἐγίνωσκες, καί οὐ διηκόνησάς μοι διά τῶν ἀγαθῶν σου ἔργων καί πράξεων. Λοιπόν ἄπελθε ἀπ' ἐμοῦ*».

Ταῦτα τοιγαροῦν ἐρεῖ, καί νῦν ὁ Κύριος λέγει, πρός τούς λέγοντας ἐν ἑαυτοῖς μέν ἔχειν τό Πνεῦμα τό Ἅγιον, ὑπό δέ τοῦ σκότους τῶν παθῶν αὐτῶν καλυπτόμενόν τε καί σκεπαζόμενον καί μηδέ ὁρώμενον τοῖς νοεροῖς τῆς ψυχῆς αὐτῶν ὀφθαλμοῖς. Πρός δέ γε τούς λέγοντας μέν γινώσκειν αὐτόν, ὁμολογοῦντας δέ μή βλέπειν τό τῆς θεότητος αὐτοῦ φῶς, ταῦτά φησιν· «*Εἰ ἐγνώκειτέ με, ὡς φῶς με ἐγνώκειτε ἄν· φῶς γάρ ὄντως ἐγώ τοῦ κόσμου εἰμί*». Ἀλλ' οὐαί οἱ λέγοντες· «*Πότε ἡ ἡμέρα Κυρίου ἐλεύσεται;*», καί ταύτην καταλαβεῖν μή σπουδάζοντες. Ἡ γάρ παρουσία τοῦ Κυρίου εἰς τούς πιστούς γέγονε καί ἀεί γίνεται καί εἰς πάντας τούς βουλομένους ἐφέστηκεν. Εἰ γάρ ἐκεῖνος τό φῶς τοῦ κόσμου ἐστί καί τοῖς αὐτοῦ ἀποστόλοις εἶπε μεθ' ἡμῶν ἕως τῆς συντελείας συνέσεσθαι, πῶς, μεθ' ἡμῶν ὤν, ἐλεύσεται; Οὐδαμῶς. Οὐ γάρ ἐσμέν υἱοί σκότους καί υἱοί νυκτός, ἵνα τό φῶς ἡμᾶς καταλάβῃ, ἀλλ' υἱοί φωτός καί υἱοί τῆς τοῦ Κυρίου ἡμέρας ὅθεν καί ζῶντες ἐν τῷ Κυρίῳ ἐσμέν καί ἀποθνῄσκοντες ἐν αὐτῷ καί σύν αὐτῷ ζήσομεν, καθώς ὁ Παῦλός φησι. Περί τούτου γάρ καί ὁ θεολόγος οὕτως λέγει Γρηγόριος· «*Ὅπερ ἐστί τοῖς αἰσθητοῖς ἥλιος, τοῦτο τοῖς νοητοῖς Θεός*». Οὗτος γάρ ἔσται καί ὁ μέλλων αἰών καί ἡ ἀνέσπερος ἡμέρα καί βασιλεία οὐρανῶν, νυμφών καί παστάς καί γῆ πραέων καί θεῖος παράδεισος καί βασιλεύς καί διάκονος, καθώς αὐτός οὕτως εἴρηκε· «*Μακάριοι οἱ δοῦλοι ἐκεῖνοι, οὕς ἐλθών ὁ κύριος αὐτῶν εὑρήσει γρηγοροῦντας· ἀμήν γάρ λέγω ὑμῖν ὅτι ἀνακλινεῖ αὐτούς καί περιζωσάμενος διακονήσει αὐτοῖς*».

Ταῦτα οὖν πάντα καί τούτων ἕτερα πλείονα, ἅ οὐκ ἐξόν τινι ἀριθμήσασθαι, τοῖς αὐτῷ πιστεύουσι γενήσεται ὁ Χριστός οὐκ ἐν τῷ μέλλοντι μόνον αἰῶνι, ἀλλά πρῶτον ἐν τῷδε τῷ βίῳ, εἶθ' ὕστερον καί ἐν τῷ αἰῶνι τῷ μέλλοντι. Εἰ καί ἐνταῦθα μέν ἀμυδρότερον κἀκεῖ τελεώτερον, πλήν ὅμως πάντων τῶν ἐκεῖ ἀπ' ἐντεῦθεν ἤδη τάς ἀπαρχάς οἱ πιστοί βλέπουσι τρανῶς καί λαμβάνουσιν· οὔτε γάρ τάς ἐπαγγελίας ἁπάσας ἐνταῦθα ἀπολαμβάνουσιν· οὔτε, ἐκεῖ τό πᾶν ἐλπίζοντες, μένουσιν, ἐνταῦθα ὄντες, τῶν μελλόντων ἀγαθῶν ἄμοιροί τε καί ἄγευστοι. Ἀλλ' ἐπείπερ διά θανάτου καί τῆς ἀναστάσεως τήν βασιλείαν ἡμῖν ὁ Θεός καί τήν ἀφθαρσίαν καί πᾶσαν τήν αἰώνιον ζωήν δοῦναι ᾠκονομήσατο, ψυχικῶς μέν ἀπ' ἐντεῦθεν ἤδη κοινωνοί καί μέτοχοι τῶν μελλόντων ἀγαθῶν ἀναμφιβόλως γινόμεθα, οἷον ἄφθαρτοι καί ἀθάνατοι καί υἱοί Θεοῦ καί υἱοί φωτός καί υἱοί ἡμέρας καί κληρονόμοι τῆς βασιλείας τῶν οὐρανῶν, ὡς αὐτήν ἐκείνην ἐντός ἡμῶν δηλονότι περιφέροντες - ταῦτα γάρ πάντα ἀπ' ἐντεῦθεν ἤδη ἐν αἰσθήσει

ψυχῆς καί γνώσει λαμβάνομεν, εἰ μή τι ἀδόκιμοι τῇ πίστει ἤ ἐλλιπεῖς ἐν τῇ τῶν θείων ἐντολῶν ἐργασίᾳ ἐσμέν -, σωματικῶς δέ οὐκέτι, ἀλλά φθαρτόν αὐτό, ὡς ὁ Χριστός καί Θεός πρό τῆς ἀναστάσεως, περιφέρομεν, καί παρ' αὐτοῦ ἐμπεριεχόμενοι καί δεσμούμενοι τήν ψυχήν, οὐ χωροῦμεν νῦν τήν ἀποκαλυπτομένην ὅλην ἡμῖν εἰσδέξασθαι δόξαν, ἀλλά τό ἄρρητον πέλαγος τῆς δόξης ἐνοπτριζόμενοι, ῥανίδα βλέπειν ἐκείνου μίαν ἡγούμεθα καί διά τοῦτο ἐν ἐσόπτρῳ λέγομεν ἄρτι βλέπειν καί ἐν αἰνίγματι, πλήν ὁμοίους ἡμᾶς ἑαυτούς πνευματικῶς ὁρῶμεν ἐκείνου τοῦ παρ' ἡμῶν ὁρωμένου καί ἡμᾶς βλέποντος κατά τήν παροῦσαν ζωήν· μετά δέ τήν ἀνάστασιν, καί αὐτό τό σῶμα πνευματικόν· ὡς αὐτός ἐκεῖνος ἐκ τοῦ μνημείου τοῦτο ἀλλοιώσας θεϊκῇ δυνάμει ἀνέστησεν, οὕτω καί ἡμεῖς πάντες τοῦτο ληψόμεθα πνευματικόν καί οἱ ὁμοιωθέντες αὐτῷ πρότερον ψυχικῶς ὁμοιωθησόμεθα αὐτῷ καί τότε σωματικῶς τε ἅμα καί ψυχικῶς, τουτέστιν ὅμοιοι αὐτῷ ἐσόμεθα, ἄνθρωποι τῇ φύσει, θεοί τῇ χάριτι, καθά δή καί αὐτός ἐκεῖνος Θεός τῇ φύσει, ἄνθρωπος τῇ ἀγαθότητι ἐχρημάτισεν. Οἱ δέ τό μυστήριον τοῦτο ἀκριβῶς ἐπιστάμενοι, πῶς μή ποθοῦσι καί ἐπιθυμοῦσι τόν θάνατον, καθώς φησιν ὁ Ἀπόστολος· «*Οἱ δέ ἐν τῷ σκήνει τούτῳ ὄντες στενάζομεν, τήν ἀποκάλυψιν ἀπεκδεχόμενοι τῶν υἱῶν τοῦ Θεοῦ*».

Καί γάρ εἰ μή τοῦτό ἐστι μηδέ ἀπ' ἐντεῦθεν ἐν σώματι ὄντες τῶν αἰωνίων ἀγαθῶν ἐν μετοχῇ καί κοινωνίᾳ γινόμεθα, μηδέ τήν χάριν λαμβάνομεν οἱ ἐκλεκτοί, λοιπόν καί ὁ Χριστός αὐτός προφήτης ἐστί καί οὐ Θεός· ἀλλά καί πάντα ὅσα τό αὐτοῦ εὐαγγέλιον λέγει, προφητεία περί μελλόντων ἐστί καί οὐχί δωρεά χάριτος· ὁμοίως δέ καί οἱ ἀπόστολοι προφητείαν ἐνεχειρίσθησαν, ἀλλ' οὐχί τῶν προφητευθέντων ἐκπλήρωσιν, οὐδέ ἔλαβόν τι ἐκεῖνοι οὐδέ ἑτέροις μετέδωκαν. Ἀλλ' ὤ τῆς ἀγνοίας τῶν οὕτως ἐχόντων καί τῆς σκοτώσεως! Λόγοι λοιπόν κατ' αὐτούς ἐστι διακενῆς ἡ πίστις ἡμῶν, ἔργων ἔρημοι. Εἰ γάρ ἡ χάρις τοῦ Θεοῦ ἡ σωτήριος πᾶσιν ἀνθρώποις ἐπέφανε λόγῳ μόνῳ καί οὐ πράγματι, καί οὕτω γεγονέναι νομίζομεν τό μυστήριοιν τῆς πίστεως ἡμῶν, τίς ἡμῶν ἀθλιώτερος; Εἰ τό φῶς τοῦ κόσμου ὁ Χριστός ἐστι καί Θεός, παρά μηδενός δέ τῶν ἀνθρώπων τοῦτον ἀδιαλείπτως ὁρᾶσθαι πιστεύομεν, τίς ἄρα ἡμῶν ἀπιστότερος;

Εἰ τοίνυν αὐτός φῶς ἐστι, τούς δέ ἐνδιδυσκομένους αὐτόν μή ἐπαισθάνεσθαι λέγομεν, τί νεκροῦ διαφέρομεν; Εἰ δέ αὐτός μέν ἡ ἄμπελος, ἡμεῖς δέ τά κλήματα, ἐάν μή τήν πρός αὐτόν γινώσκομεν πάντως ἕνωσιν, ἄψυχοι καί ἄκαρποι καί ξύλα ξηρά, ὕλη πυρός ἀσβέστου τυγχάνομεν. Εἰ δέ καί οἱ τρώγοντες αὐτοῦ τήν σάρκα καί πίνοντες αὐτοῦ τό αἷμα ζωήν αἰώνιον ἔχουσι κατά τό θεῖον αὐτοῦ λόγιον, ταῦτα δέ ἡμεῖς ἐσθίοντες οὐδέν τῆς αἰσθητῆς τροφῆς πλέον γενόμενον ἐν ἡμῖν αἰσθανόμεθα οὐδέ ζωήν ἄλλην ἐν γνώσει λαμβάνομεν, ἄρτον λοιπόν μόνον ψιλόν, οὐδέ δέ καί Θεόν μετελάβομεν. Εἰ γάρ Θεός καί ἄνθρωπος ὁ Χριστός, καί ἡ ἁγία σάρξ αὐτοῦ οὐ σάρξ μόνον, ἀλλά σάρξ καί Θεός ἀχωρίστως, ἀλλά καί ἀσυγχύτως, ὁρατός μέν τῇ σαρκί εἴτ' οὖν τῷ ἄρτῳ τοῖς αἰσθητοῖς ὀφθαλμοῖς ὑπάρχων, ἀόρατος δέ τῇ θεότητι τοῖς αἰσθητοῖς, τοῖς δέ γε τῆς ψυχῆς ὄμμασι καθορώμενος. Διό καί ἀλλαχοῦ· «*Ὁ τρώγων μου τήν σάρκα*» φησί «*καί πίνων μου τό αἷμα ἐν ἐμοί μένει, κἀγώ ἐν αὐτῷ*». Καί οὐκ εἶπεν, ἐν αὐτοῖς μένει καί αὐτά ἐν αὐτῷ,

ἀλλ' ἐν ἐμοί, τουτέστιν ἐν τῇ ἐμῇ δόξῃ, ἐν τῷ ἐμῷ φωτί, ἐν τῇ ἐμῇ θεότητι. «*Ἐγώ γάρ, φησίν, ἐν τῷ Πατρί καί ὁ Πατήρ ἐν ἐμοί· καί ἐγώ ἐν ὑμῖν καί ὑμεῖς ἐν ἐμοί*». Εἰ οὖν ταῦτα πάντα ἀγνώστως καί ἀναισθήτως γίνεσθαι νομίζομεν ἐν ἡμῖν, τίς τήν ἡμῶν ἀναισθήτως γίνεσθαι νομίζομεν ἐν ἡμῖν, τίς τήν ἡμῶν ἀναισθησίαν ἀξίως ἄρα θρηνήσειεν; Ὄντως οὐδείς.

Ἀλλά μακάριοι οἱ ὡς φῶς ἐλθόντα τόν Χριστόν ἐν τῷ σκότει δεξάμενοι, ὅτι αὐτοί υἱοί φωτός καί ἡμέρας ἐγένοντο.

Μακάριοι οἱ τό φῶς αὐτοῦ νυνί ἐνδυσάμενοι, ὅτι τό τοῦ γάμου ἤδη περιεβάλοντο ἔνδυμα· οἵ οὐ δεθήσονται χεῖρας ἤ πόδας, οὐδέ εἰς τό πῦρ τό αἰώνιον ἐμβληθήσονται.

Μακάριοι οἱ ἐν σώματι τόν αὐτόν Χριστόν θεασάμενοι, τρισμακάριοι δέ οἱ νοερῶς αὐτόν καί πνευματικῶς ἰδόντες καί προσκυνήσαντες, ὅτι εἰς τόν αἰῶνα οὐ μή ὄψονται θάνατον. Καί μή ἀπίστει τοῦτο, ὁρῶν καί ἐν τοῖς ἐπιγείοις τοῦτο γινόμενον· οἱ γάρ τόν ἐπί γῆς βασιλέα ἰδεῖν καταξιωθέντες κατάδικοι, τῆς ἐπί θάνατον ἀγούσης ἀποφάσεως εὐθύς ἀπαλλάσσονται.

Μακάριοι οἱ τόν Χριστόν καθ' ἑκάστην μετά τοιαύτης ἐσθίοντες θεωρίας καί γνώσεως, ὡς Ἠσαΐας ὁ προφήτης τόν ἄνθρακα, ὅτι αὐτοί καθαρθήσονται ἀπό παντός ῥύπου ψυχῆς τε καί σώματος.

Μακάριοι οἱ καθ' ὥραν τοῦ ἀρρήτου γευόμενοι τῷ στόματι τοῦ νοός αὐτῶν, ὅτι αὐτοί ὡς ἐν ἡμέρᾳ εὐσχημόνως περιπατήσουσι καί τόν ἅπαντα χρόνον ἐν εὐφροσύνῃ διατελέσουσι.

Μακάριοι οἱ τό φῶς τοῦ Κυρίου ὡς αὐτόν ἐκεῖνον ἀπ' ἐντεῦθεν ἤδη γνωρίσαντες, ὅτι αὐτοί ἀνεπαισχύντως αὐτῷ ἐν τῷ αἰῶνι τῷ μέλλοντι παραστήσονται.

Μακάριοι οἱ ἐν τῷ φωτί τοῦ Χριστοῦ διάγοντες πάντοτε, ὅτι αὐτοί καί νῦν καί εἰς τούς αἰῶνας ἀδελφοί καί συγκληρονόμοι αὐτοῦ εἰσί τε καί ἀεί ἔσονται.

Μακάριοι οἱ τό φῶς ἐν τῇ ἑαυτῶν καρδίᾳ νυνί ἀνάψαντες καί ἄσβεστον τοῦτο διαφυλάξαντες, ὅτι αὐτοί τῷ νυμφίῳ ἐν τῇ τοῦ βίου ἐξόδῳ φαιδροί προσυπαντήσουσι καί μετ' αὐτοῦ εἰς τόν νυμφῶνα λαμπαδοῦχοι συνεισελεύσονται.

Μακάριοι οἱ μή ἐν ἑαυτοῖς λογισάμενοι ὅτι οὐχί ἀπ' ἐντεῦθεν ἤδη οἱ ἄνθρωποι τήν πληροφορίαν τῆς ἑαυτῶν σωτηρίας, ἀλλ' ἐν τῇ ἐξόδῳ τοῦ βίου, ἤ καί μετά τήν ἔξοδον, ταύτην λαμβάνουσιν, ὅτι αὐτοί ταύτην νυνί λαβεῖν ἀγωνίσονται.

Μακάριοι οἱ ἐπί μηδενί τῶν εἰρημένων διστάζοντες ἤ ψευδές εἶναι τοῦτο ὑπονοήσαντες, ὅτι αὐτοί, εἰ καί μηδέν τούτων ἔχουσιν, ὅπερ ἀπεύχομαι, ἀλλά γε πάντως

σπουδάσουσι κτήσασθαι.

Μακάριοι οἱ ὅλῃ ψυχῇ ἐκζητοῦντες ἐλθεῖν πρός τό φῶς, τῶν ἄλλων ἁπάντων καταφρονήσαντες, ὅτι, εἰ καί μή φθάσουσιν ἔτι ἐν σώματι ὄντες εἰσελθεῖν εἰς τό φῶς, ἀλλ’ οὖν γε ἴσως ἐλπίσι χρησταῖς ἐκδημήσουσι καί ἐν αὐτῷ, μετρίως μέν, ὅμως γενήσονται.

Μακάριοι οἱ ἀεί πικρῶς διά τά αὐτῶν ἁμαρτήματα κλαίοντες, ὅτι αὐτούς τό φῶς καταλάβῃ καί τά πικρά δάκρυα εἰς γλυκέα μεταποιήσει.

Μακάριοι οἱ τῷ θείῳ φωτί αὐγαζόμενοι καί τήν ἑαυτῶν ἀσθένειαν βλέποντες καί τό δυσειδές τῆς ψυχικῆς αὐτῶν στολῆς κατανοοῦντες, ὅτι αὐτοί ἀενάως κλαύσονται καί τοῖς ὀχετοῖς τῶν δακρύων ἀποπλυνθήσονται.

Μακάριοι οἱ τῷ θείῳ φωτί πλησιάσαντες καί ἔνδον αὐτοῦ εἰσελθόντες καί φῶς ὅλοι γενόμενοι, συγκραθέντες αὐτῷ, ὅτο αὐτοί τήν ῥυπαράν τελείως στολήν ἀπεδύσαντο καί οὐκέτι πικρά δάκρυα κλαύσονται.

Μακάριοι οἱ τό ἑαυτῶν ἔνδυμα ὡς τόν Χριστόν ἐκλάμποντα βλέποντες, ὅτι αὐτοί ἀνεκφράστου χαρᾶς καθ’ ὥραν πλησθήσονται καί ἐν ἐκπλήξει γλυκέως δακρύσουσιν, υἱούς καί συμμετόχους ἑαυτούς ἤδη γεγονότας τῆς ἀναστάσεως τεκμαιρόμενοι.

Μακάριοι οἱ διηνεκῶς τό νοερόν ὄμμα ἀνεῳγμένον ἔχοντες καί ἐν πάσῃ εὐχῇ τό φῶς καθορῶντες καί στόμα πρός στόμα συλλαλοῦντες αὐτῷ, ὅτι αὐτοί ἰσότιμοι τῶν ἀγγέλων, εἰ τολμηρόν δέ εἰπεῖν, καί ὑπέρ ἀγγέλους ἐγένοντο καί γενήσονται· ἐκεῖνοι γάρ ὑμνοῦσιν, οὗτοι δέ ἐντυγχάνουσιν. Εἰ δέ τοιοῦτοι ἐγένοντο καί ἀεί γίνονται, ἔτι περιόντες τῷ βίῳ καί τῇ τῆς σαρκός φθορᾷ ἐμπεδούμενοι, ὁποῖοι [ἄν] μετά τήν ἀνάστασιν καί μετά τό ἀπολαβεῖν τό πνευματικόν ἐκεῖνο καί ἄφθαρτον σῶμα ἔσονται; Πάντως οὐκ ἀγγέλων μόνον ἴσοι, ἀλλά καί τοῦ τῶν ἀγγέλων δεσπότου ὅμοιοι, καθώς γέγραπται· «*Οἴδαμεν δέ, φησίν, ὅτι, ὅταν ἀποκαλυφθῇ, ὅμοιοι αὐτῷ ἐσόμεθα*».

Μακάριος ὁ μοναχός ἐκεῖνος ὁ ἐν εὐχῇ τῷ Θεῷ παριστάμενος καί βλέπων αὐτόν καί βλεπόμενος παρ’ αὐτοῦ καί ἔξω τοῦ κόσμου γεγονότα ἑαυτόν αἰσθανόμενος, ὄντα δέ ἐν τῷ Θεῷ μόνῳ, καί μή δυνάμενος γνῶναι εἴτε ἐν σώματι εἴτε ἐκτός τυγχάνει σώματος, ὅτι αὐτός ἀκούσει ἄρρητα ῥήματα ἅ οὐκ ἐξόν ἀνθρώπῳ λαλῆσαι, καί ἴδῃ ἅ ὀφθαλμός οὐκ εἶδεν, οὐδέ οὖς ἤκουσεν, οὐδέ ἐπί καρδίαν ἀνθρώπου σαρκίνην ἀνέβη.

Μακάριος ὁ τό φῶς τοῦ κόσμου ἐν ἑαυτῷ μορφωθέν θεασάμενος, ὅτι αὐτός ὡς ἔμβρυον ἔχων τόν Χριστόν, μήτηρ αὐτοῦ λογισθήσεται, καθώς αὐτός ἐκεῖνος ὁ ἀψευδής ἐπηγγείλατο· «*Μήτηρ μου*» λέγων «*καί ἀδελφοί καί φίλοι οὗτοί εἰσι*». Ποῖοι; «*Οἱ ἀκούοντες τόν λόγον τοῦ Θεοῦ καί ποιοῦντες αὐτόν*». Ὥστε οἱ μή τηροῦντες τάς ἐντολάς, ἑαυτούς τῆς τοιαύτης χάριτος ἑκουσίως ἀποστεροῦσιν, ἐπεί δυνατόν τό πρᾶγμα καί ἦν

καί ἔστι καί ἔσεται καί ἐγένετο καί γίνεται και εἰς πάντας τούς τά προστάγματα αὐτοῦ ἐκπληροῦντας γενήσεται.

Ἵνα δέ μή καταλιπόντες τοῦτο ἀμάρτυρον, ἀφ' ἑαυτῶν τι λέγειν καί τά ὄντα ἀδύνατα ὡς δυνατά δογματίζειν ὑποπτευθῶμεν, αὐτόν καί αὖθις τόν μακάριον Παῦλον, τό τοῦ Χριστοῦ στόμα, εἰς μέσον ὑμῖν παραγάγωμεν, τοῦτο παριστῶντα τρανῶς ἐν τῷ λέγειν· «*Τεκνία, οὕς πάλιν ὠδίνω ἄχρις οὗ Χριστός μορφωθῇ ἐν ὑμῖν*». Ἄρα ποῦ λέγων αὐτόν ἤ ἐν ποίῳ τόπῳ καί μέρει τοῦ σώματος ἡμῶν μορφωθήσεσθαι, ἐν τῷ μετώπῳ, ἀλλά ἐν τῷ προσώπῳ ἤ τῷ στήθει τοῦτον λογίζεσθε; Οὔμενουν, ἀλλά ἔνδον, ἐν τῇ καρδίᾳ ἡμῶν. Μή δέ καί σωματικῶς μορφοῦσθαι αὐτόν ὑπελάβετε; Ἄπαγε, ἀλλά μορφοῦται μέν, ἀσωμάτως δέ καί ὡς Θεῷ πρέπον ἐστί. Πλήν ὥσπερ γινώσκει ἡ γυνή σαφῶς, ὅταν ἔγγυός ἐστιν, ὅτι σκιρτᾷ τό βρέφος ἐν τῇ κοιλίᾳ αὐτῆς καί οὐκ ἄν ποτε ἀγνοήσῃ ὅτι αὐτό ἔνδον ἔχει ἐν ἑαυτῇ, οὕτω καί ὁ τόν Χριστόν ἔχων μεμορφωμένον ἐν ἑαυτῷ καί τάς κινήσεις ἤτοι ἐλάμψεις αὐτοῦ γινώσκει καί τά σκιρτήματα ἤτοι τάς ἀστραπάς αὐτοῦ ὅλως οὐκ ἀγνοεῖ καί τήν μόρφωσιν αὐτοῦ ἐν ἑαυτῷ καθορᾷ· οἷον τό φῶς τῆς λαμπάδος ἔνδοθεν ἐν τῷ κατόπτρῳ δείκνυται, οὐκ ἐν φαντάσματι ἀνυποστάτῳ καθάπερ ἐκεῖνό ἐστιν, ἀλλ' ἐν φωτί ἐνυποστάτως καί οὐσιωδῶς δεικνύμενον, ἐν μορφῇ ἀμόρφῳ καί ἐν ἀνιδέῳ ἰδέᾳ ἀοράτως ὁρώμενον και ἀκατανοήτως κατανοούμενον.

Οὕτως οὖν ἡ ἀκαταληψία καταλαμβάνεται τῆς πίστεως ἡμῶν, ὦ ἀδελφοί. Οὕτω παρ' οἷς ἄν ὁ Πατήρ καί ὁ Υἱός ἐν Ἁγίῳ Πνεύματι παραγένωνται καί μονήν ἐπ' ἀληθείας ποιήσωσι, καθορῶνται καί κατανοοῦνται ἀναμφιβόλως, ἀπαραλλάκτως, ἐν ἑνί φωτί, καθώς εἴπομεν, γινωσκόμενοι. Πλήν ὥσπερ ὁ καταδιώκων τινά φεύγοντα, κἄν ἐγγύς αὐτοῦ καί κατά πόδας εἶναι νομίζῃ καί ἤδη δοκῇ ἅπτεσθαι καί ἄκροις δακτύλοις προσεγγίζειν αὐτῷ, οὐ δύναται ἐγκρατής γενέσθαι αὐτοῦ, παρά τρίχα τό δή λεγόμενον ὤν, οὕτως οὐδέ, ἐάν λογισμόν τινα μικρόν ἤ συνδυασμόν, ἀπιστίας λέγω ἤ διψυχίας ἤ δειλίας, ἤ τό οἱονοῦν πάθος ἐν ἀμελείᾳ καί ῥαθυμίᾳ ἕξομεν, ἤ καί πράγματός τινος μικροῦ καί ἐλαχίστου εἰ ὅλως ἀντιποιησόμεθα, οὐκ ἄν θεότητος κοινωνοί γενησόμεθα, οὐκ ἄν εἰς τό ὕψος τῆς δόξης ταύτης ἀναχθησόμεθα. Ὡς γάρ τό παρά τρίχα ἐκεῖ, οὕτω καί τό μικρόν τοῦτο ἐπί τῶν πνευματικῶν γίνεται. Καί εἰ μή τελέως καί αὐτῆς τῆς ψυχῆς ἡμῶν καί τοῦ σώματος, ὡς ἐπί μαρτύριον κληθέντες, καταφρονήσωμεν καί πρός πᾶσαν τιμωρίαν καί πάντα θάνατον ὅλους ἑαυτούς καί τάς ψυχάς ἡμῶν ἐκδώσομεν, μηδέ μιμνησκόμενοί τινος τῶν πρός ζωήν καί σύστασιν τοῦ φθαρτοῦ τούτου σώματος, μή τί γε μεριμνῶντες, οὐκ ἄν φίλοι καί ἀδελφοί, οὐκ ἄν συμμέτοχοι καί συγκληρονόμοι, οὐδέ τῶν εἰρημένων μυστηρίων Θεοῦ ἐν θεωρίᾳ καί γνώσει καί πείρᾳ γενώμεθα.

Διά τοι τοῦτο ὁ μή πρός ταῦτα φθάσαι καταξιωθείς καί τῶν τοιούτων ἐν κατασχέσει γενέσθαι καλῶν ἑαυτοῦ καταγινωσκέτω μόνου καί μή λεγέτω, προφασιζόμενος προφάσεις ἐν ἁμαρτίαις, ὅτι ἀδύνατον τό πρᾶγμα, ἤ ὅτι γίνεται μέν, ἀγνώστως δέ· ἀλλά γινωσκέτω πληροφορούμενος ἀπό τῶν θείων Γραφῶν, ὅτι τό μέν πρᾶγμα δυνατόν καί ἀληθές ἐστιν, ἔργῳ γινόμενον καί γνωστῶς ἐνεργούμενον, τῇ δέ ἀργίᾳ καί ἐλλείψει τῶν

ἐντολῶν αὐτός ἑαυτόν ἕκαστος τῶν τοιούτων κατά ἀναλογίαν ἀποστερεῖ ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, ἐντεῦθεν μέν γευσαμένους καί γνόντας ὅτι χρηστός ὁ Κύριος, ἐκεῖθεν δέ ὅλον ὀψομένους αὐτόν καί εἰς ἀτελευτήτους αἰῶνας τῶν αἰώνων συνευφραινομένους αὐτῷ· ἀμήν.

# ΛΟΓΟΣ ΙΑ '. Περί τῆς ζωοποιοῦ νεκρώσεως τοῦ Ἰησοῦ καί Θεοῦ τῆς ἀεί γινομένης εὐαισθήτως ἐν τοῖς τελείοις. Καί ὅτι ἡ κτῆσις τῶν ἀρετῶν αἵματι ἀγοράζεται· καί τίνα τῶν ἀρετῶν τά καταγώγια καί ὅτι ὁ μή διά τῆς πρώτης βαθμίδος κατά τάξιν είς τήν βασιλείαν τῶν οὐρανῶν ἀνερχόμενος οὐδαμῶς είσελεύσεται είς αὐτήν. Ὅτι ἐν τοῖς τελείοις χαρά καί ἀγαλλίασίς ἐστι, καί οὐ δάκρυον, καί βρύουσι τῆς θεολογίας τά ῥεῖθρα. Καί πρός τό τέλος, ὅτι δεῖ ἐπιπηδᾶν ταῖς ἀρχαῖς ἄνευ τῆς πληροφούσης τάς καρδίας ἡμῶν χάριτος, τῆς ἐπί τό ποιμαίνειν καλούσης τόν λαόν τοῦ Θεοῦ· καί τί τό ἔργον τῶν προϊσταμένων, τίς δέ ἡ περί τά λογικά πρόβατα φροντίς, καί πῶς ὀφείλουσι ταῦτα παρά τῶν ποιμένων ποιμαίνεσθαι.

Τά τῆς ζωοποιοῦ νεκρώσεως τοῦ Ἰησοῦ καί Θεοῦ καί τῆς θαυμαστῆς ἐνεργείας αὐτῆς τῆς γινομένης ἀεί ἐν τοῖς τελείοις τήν ἀρετήν καί τήν γνῶσιν οὐ πᾶς τις ὁ ἀκούων καί διαγνώσεται, εἰ καί τοῦτό τις οἴεται, ἀλλ' ἐκεῖνοι μόνοι οἱ ἐπιγνωκότες καί κατειληφότες ἐναργῶς τό οὕτω λέγον τοῦ Ἀποστόλου ἱερώτατον λόγιον· «*Παράγει γάρ τό σχῆμα τοῦ κόσμου τούτου, ἵνα καί οἱ ἔχοντες γυναῖκας ὡς μή ἔχοντες ὦσι καί οἱ ἀγοράζοντες ὡς μή κατέχοντες καί οἱ κλαίοντες ὡς μή κλαίοντες καί οἱ χαίροντες ὡς μή χαίροντες καί οἱ χρώμενοι τῷ κόσμῳ ὡς μή καταχρώμενοι*», οὕτω καί οἱ μεριμνῶντες ὡς μή μεριμνῶντες καί οἱ ἐργαζόμενοι ὡς μή ἐργαζόμενοι. Καί πάλιν· «*Ὡς νεκροί, καί ἰδού ζῶμεν, ὡς μηδέν ἔχοντες καί πάντα κατέχοντες*». Μή οὖν παραδράμῃς ἁπλῶς ταῦτα καί οὕτω πως ἐννοεῖν τήν ἐν αὐτοῖς ἐγκεκρυμμένην δύναμιν νόμιζε, ἀλλά κατανόει μοι ἀκριβῶς τήν ἔνδοθεν τῆς ψυχῆς σου διάθεσιν, ἀγαπητε, καί ἀπό τῶν ὁρωμένων πραγμάτων παραστήσομέν σοι τῶν εἰρημένων τήν θεωρίαν· πρόσεχε δέ τοῖς λεγομένοις ἐν ἀκριβείᾳ.

Ὁ ἤδη νεκρός γεγονώς, πρός οὐδέν τῶν ὁρωμένων ἐν αἰσθήσει διάκειται· καί ὁ μηδέν ἔχων, πάντως ἐστέρηται, πάντων χρήζει, πάντων ἐπιθυμεῖ· ὁ δέ τά πάντα κατέχων, πρός ποῖον ἄλλο πρᾶγμα τοῦ βίου σχοίη τήν ἐπιθυμίαν αὐτοῦ, συμπεριλαβών δηλονότι τά πάντα καί μή καταλείψας μηδέν ὅ καί ἐπιθυμῆσαι ὀφείλει τοῦ κτήσασθαι; Ἀλλά μακάριος ὁ ἔργῳ ταῦτα ζητήσας, ὁ πείρᾳ καταλαβών καί ἰδών καί μαθών. Οὐ γάρ λόγοι κενοί οἱ λόγοι ἡμῶν εἰσιν, ἀλλά καθάπερ οἰκίαι καί πόλεις καί βασίλεια ἐν ταῖς ὁδοῖς καί ταῖς χώραις κατά τόπους εἰσίν, οὕτω καί ἐν αὐτῇ τῇ ὁδῷ τῇ πρός οὐρανόν ἀπαγούσῃ αἱ ἐντολαί τοῦ Θεοῦ καί αἱ ἀρεταί κατά σταδίους καί τόπους ὑπάρχουσιν. Ἡμεῖς οὖν τά

περί ἐκείνων λέγομεν, καθ’ ὅσον ὁ λόγος χωρεῖ σαφηνίσαι τάς ὁρωμένας ἐκείνας κτίσεις καί τά μεγέθη καί κάλλη αὐτῶν. Ὁ δέ γε ἀναγινώσκων, πῶς ἀπό μόνων τῶν λόγων θεωρός αὐτῶν τῶν πραγμάτων γενήσεται; Οὐδαμῶς, εἴποι ἄν. Εἰ δέ θεωρός γενέσθαι οὐ δύναται, κύριος τούτων ἑνός πῶς γένηται; Ἔστι μέν γάρ ἰδεῖν αὐτά ἤ ἐξ αὐτῶν τινα μερικῶς, μή κτήσασθαι δέ. Τό μέν γάρ ἰδεῖν, ἤ καί ἀκοῦσαι καί ἑτέροις πάλιν τά ἀκουσθέντα εἰπεῖν, ῥᾴδιον τοῖς πᾶσιν ὑπάρχει καί εὔκολον, τό δέ κτήσασθαί τι τῶν τοιούτων τιμήματος ἀγοράζεται. Τό δέ εἰς ἀγοράν τῶν τοιούτων διδόμενον οὐ χρυσίον ἐστίν, ἀλλ’ οὐδέ ἀργύριον, αἷμα δέ· αἵματι γάρ ταῦτα ἕκαστος ἡμῶν τῶν βουλομένων ἕνα καθ’ ἕνα ἐξαγοράζεται. Ἐν ἀληθείᾳ γάρ, εἰ μή τις ὡς πρόβατον σφαγιασθῇ ὑπέρ μιᾶς καί τῆς τυχούσης ἀρετῆς καί τό αἷμα ἐκχέῃ τό ἴδιον ὑπέρ αὐτῆς, οὐ κτήσεται ταύτην ποτέ· διά θανάτου γάρ τοῦ κατά πρόθεσιν ᾠκονόμησεν ὁ Θεός τήν ζωήν λαμβάνειν ἡμᾶς τήν αἰώνιον. Θάνε καί ζήσῃ. Οὐ βούλει; Καί ἰδού σύ νεκρός.

Ἀλλ’ ἴδωμεν τάς μονάς καί οἰκίας τῶν ἀρετῶν ποῖαί εἰσι καί τίνες, ὑπέρ ὧν ὀφείλει τις κενοῦν τό αἷμα αὐτοῦ εἰς τήν κτῆσιν αὐτῶν. Ἔστιν οὖν οἰκία πρώτη ἡ μακαρία ταπείνωσις· «*Μακάριοι γάρ, φησίν, οἱ πτωχοί τῷ πνεύματι, ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν*». Ὁ τοίνυν βουλόμενος εἰσελθεῖν εἰς τήν οἰκίαν ταύτην καί σύν αὐτῇ κτήσασθαι τήν βασιλείαν τῶν οὐρανῶν, εἰ μή πρό τῶν πυλῶν αὐτῆς, ὥσπερ κριός, δεδεμένος χεῖρας καί πόδας αὐτοῦ, εἰς σφαγήν ἑαυτόν πᾶσι τοῖς βουλομένοις πρῶτον ἐκδῷ καί κατατυθήσεται καί τελείως τεθνήξεται, τό οἰκεῖον αὐτοῦ ἀποκτείνας θέλημα, οὐκ εἰσελεύσεταί ποτε ἔνδοθεν αὐτῆς, ἀλλ’ οὐδέ κατάσχῃ αὐτήν· εἰ δέ μή ταύτην, οὐδ’ ἑτέραν τῶν ἄλλων. Οὐκ ἔστι γάρ τόν ὑπερβαίνοντα ταύτην ἐν ἑτέρᾳ γενέσθαι ποτέ· ἐν τάξει γάρ καί βαθμῷ ταύτας ἔθετο ὁ Θεός. Καί ὥσπερ νήσους τινάς ἐν πελάγει θαλάσσης, οὕτως ἐν μέσῳ τοῦ βίου καί ταύτας εἶναι τάς ἀρετάς ἐν συνέσει νοήσεις ἀλλήλων ἀφεστηκυίας καί γεφύραις τισίν οἷα δή συνημμένας, πάντων ἀπῳκισμέναις τῶν γηΐνων καί ἐξηρτημέναις καί ἑτέρας τῇ ἑτέρᾳ ἀσφαλῶς ἐχομέναις. Τούτων οὖν ἁπάντων ἀρχή ἡ μακαρία ταπείνωσις, ἐν ᾗ ὁ εἰσελθών διά τῆς μετανοίας ἀπό τῆς δυτικῆς πύλης καί ἐνδιατρίψας ἐφ’ ἱκανόν ἐν αὐτῇ, ἔξεισιν ἐπί τήν ἀνατολικήν θύραν καί, ἐπί τῇ γεφύρᾳ περιπατῶν, οὕτως ἔρχεται πρός τήν τοῦ πένθους καταμονήν καί οἰκίαν· κἀκεῖ ἐνδιατρίψας, λουσάμενός τε και καθαρθείς καί ἐντρυφήσας τοῦ κάλλους αὐτοῦ, ἐπί τό τῆς πρᾳότητος διέρχεται καταγώγιον· κἀκεῖθεν ἐπί τό τῆς δικαιοσύνης διψητήριόν τε καί πεινατήριον διαβαίνει δρομαῖος, εἶθ’ οὕτω καταλαμβάνει ἐπί τό τοῦ ἐλέους καί συμπαθείας παλάτιον· καί ὑπερβάς τοῦτο, μᾶλλον δέ γεγονώς ἐντός τούτου, εὑρίσκει τό βασιλικόν τῆς καθαρότητος ταμιεῖον· καί ἐν αὐτῷ γενόμενος βλέπει τόν βασιλέα τῆς δόξης ἔνδον καθήμενον, ἐκεῖνον τόν ἀόρατον πάσῃ τῇ κτίσει.

Νόει μοι οὖν παλάτιον μέν τό σῶμα, ταμιεῖον δέ βασιλικόν τήν ἑκάστου ἡμῶν τῶν ἀνθρώπων ψυχήν, ᾗ διά τῆς τῶν ἐντολῶν ἐργασίας συναφθείς ὁ Θεός, ὅλην φωτός θείου καί θεόν αὐτήν ἀπεργάζεται διά τῆς αὐτοῦ συνουσίας καί χάριτος.Εἰς ταύτην δή τήν θεοπρετῆ κατάστασιν πᾶς ὁ διά τῆς εἰρημένης τῶν ἀρετῶν ὁδοῦ διερχόμενος, ἔρχεται, ἄλλοθεν δέ διελθεῖν καί ὑπερβῆναι τήνδε ἤ τήνδε τήν οἰκίαν καί εἰς τήν ἑτέραν διά

μηχανῆς γενέσθαι τινός παντελῶς ἀμήχανον. Οὕτως γάρ ἔταξε τήν εἴσοδον εἶναι τῆς βασιλείας τῶν οὐρανῶν ὁ δεσπότης Χριστός καί οὐκ ἔστιν ἄλλως γενέσθαι. Εἰ γάρ ὅρια ἑαυτῆς θάλασσα ὑπερβῆναι οὐ δύναται, πόσῳ μᾶλλον ἄτρωτα ταῦτα καί ἀπαράλλακτα διαφυλαχθήσονται. Ἄλλως δέ κλίμακι καί βαθμῖσιν ἡ ἄνοδος ἔοικε τῶν ἐπειγομένων πρός οὐρανόν. Τό γοῦν σπουδαιότερον τῇ προαιρέσει ἄλλον ἄλλου γενέσθαι καί συντομώτερον ἀνελθεῖν ἐν αὐτῇ καί προλαβεῖν τόν πλησίον, ἡμέτερόν ἐστι· τό δέ μή ἀπό τῆς πρώτης βαθμῖδος ἄρξασθαι καί κατά τάξιν ἀνέρχεσθαι τήν κλίμακα, ἀλλά ποθεν ὑπερβῆναι τήν πρώτην βαθμῖδα καί πρός τήν ἑτέραν γενέσθαι, πάντη παρά ἀνθρώποις ἀμήχανον καί ἀδύνατον. Οἱ γάρ τῆς εὐθείας ταύτης ὁδοῦ καί τάξεως ἔξω βαίνοντες πλανῶνται πολλά. Ὡς γάρ οὐκ ἔστι δίχα κλίμακος εἰς οἶκόν ποτε ἀνελθεῖν ὑψηλόν, ἤ ἔνδον ἐκείνου αὐτοῦ εὑρεθῆναι τοῦ βασιλικοῦ κοιτῶνος, ἔνθα ὁ βασιλεύς αὐτός καταμένει, πρό τοῦ γενέσθαι ἐν τοῖς αὐτοῖς βασιλικοῖς προαυλίοις, οὕτως ἀδύνατον τόν μή κατά τήν εἰρημένην τάξιν βαδίσαντα εἰσελθεῖν εἰς τήν βασιλείαν τῶν οὐρανῶν· ἔξω γάρ οἱ τοιοῦτοι πάντες τῆς βασιλικῆς ὁδοῦ, μηδείς αὐτούς πλανάτω, ἀνεπαισθήτως τῆς πλάνης πορεύονται.

Ἀλλ' ὦ Κύριε, ὁ ὁδηγός τῶν πεπλανημένων, ἡ ἀπλανής ὁδός τῶν πρός σέ ἐρχομένων, ἐπίστρεψον πάντας ἡμᾶς καί πρός ταύτῃ σου τῇ κλίμακι στῆσον καί, πρός τό ταύτης κρατῆσαι, τῇ χειρί σου τάς χεῖρας ἡμῶν εὔθυνον καί ἀπό τῆς γῆς ἀρθῆναι καί τῇ πρώτῃ ἐπιβῆναι θαθμῖδι ἐνίσχυσον, ὡς ἄν γνῶμεν ὅτι πού ποτέ τινος ἐδραξάμεθα καί ἀπό τῆς γῆς μικρόν ἤρθημεν. Δεῖ γάρ ἡμᾶς ἀνελθεῖν μικρόν πρῶτον πρός σέ, ἵνα οὕτως σύ κατέλθῃς πολύ ὁ καλός Δεσπότης καί ἑνωθῇς ἡμῖν. Ὑπόδειξον, Δέσποτα, τήν πύλην τῆς βασιλείας σου τήν προαύλιον, ὅπως ἐγκαρτερήσαντες ἐν αὐτῇ κρούσωμεν, ἕως ἄν διά τοῦ κατά προαίρεσιν θανάτου ἀνοιγῇ ἡμῖν ἡ πύλη, καί ἔνδον γενόμενοι καί κατά μίαν κρούοντες πύλην καί ταύτας ἀνοίγοντες, αὐτός ἀκούσας τούς στεναγμούς καί τάς στερνοτυπίας ἡμῶν, σπεύσας κατέλθῃς ἀπό τῶν ὑψηλῶν ὑπερῴων σου, ὁ πολυεύσπλαγχνος καί οἰκτίρμων Θεός, καί ἀκούσωμεν τούς κρότους τῶν παναχράντων ποδῶν σου καί γνῶμεν ὡς διανοίγεις τάς ἐνδοτέρας πύλας, κεκλεισμένας οὔσας ἡμῖν τοῖς ἁμαρτωλοῖς, καί παραγενόμενος πρός ἡμᾶς εἴπῃς· «*Τίς ὁ κρούων ἐστί;*». Καί ἀποκριθέντες ἐν ἀλαλαγμῷ καί θρήνοις εἴπωμεν σύν τρόμῳ πρός σέ καί χαρᾷ. Ἡμεῖς ἐσμεν, Δέσποτα, ἡμεῖς οἱ ἀνάξιοι, οἱ πτωχοί, οἱ ἀπερριμένοι καί πονηροί δοῦλοί σου, ἡμεῖς οἱ μέχρι τοῦ νῦν εἰς ὄρη καί κρημνούς καί βάραθρα ἀθλίως περιπλανώμενοι· ἡμεῖς ἐσμεν οἱ τό βάπτισμά σου τό ἅγιον ἀφρόνως μολύναντες, οἱ τάς πρός σέ συνθήκας ἀπαρνησάμενοι· ἡμεῖς ἐσμεν οἱ ἀποφυγόντες καί πρός τόν σόν ἐχθρόν καί ἐπίβουλον τῶν ψυχῶν ἡμῶν ἑκουσίως αὐτομολογήσαντες. Νῦν οὖν, μνησθέντες σοῦ καί τῆς σῆς φιλανθρωπίας καί ἀγαθότητος, ἀποφυγόντες ἐκεῖθεν καί κοπιάσαντες, ἥκομεν ἐν φόβῳ καί τρόμῳ πολλῷ.

Συγχώρησον καί μή ὀργισθῆς ἡμῖν, Δέσποτα, ἀλλά οἰκτειρήσας καί ἐλεήσας τούς ταλαιπώρους ἡμᾶς ἄνοιξον ἡμῖν, Κύριε, καί μή μνησθῇς τῶν ἡμετέρων κακῶν· μηδέ μνησικακήσῃς τῇ ἀγνωμοσύνῃ ἡμῶν - πολλήν γάρ ὥραν ἱστάμεθα κρούοντες - μηδέ

παρακούσῃς ἡμῶν, τῶν δούλων σου, μήποτε ὀλιγωρήσαντες ὑποστρέψωμεν. Ἐκοπιάσαμεν κόπτοντες εἰς τάς θύρας τῶν προαυλίων τῆς βασιλείας σου· ἄνοιξον ἡμῖν, ὁ φύσει φιλάνθρωπος, σπλαγχνισθείς ἐφ’ ἡμᾶς. Εἰ γάρ κατά μικρόν ἀνοίγων ἀνοίξεις ἡμῖν τήν θύραν τοῦ ἐλέους σου, τίς ἰδών σε οὐ φρίξει; Τίς ἐν φόβῳ καί τρόμῳ οὐ προσπέσῃ καί τόν ἔλεον ἐξαιτήσεται; Τίς σέ, τόν μυριάδας ἀγγέλων καί χιλίας χιλιάδας ἀρχαγγέλων καί θρόνων καί ἐξουσιῶν ἔχοντα, ἰδών τά ἄνω ἀφέμενον καί πρός ἡμᾶς κατελθόντα καί προσυπαντήσαντα καί ἀνοίξαντα, εὐμενῶς τε ὑποδεξάμενον καί ἐπί τούς τραχήλους ἡμῶν ἐπιπεσόντα καί καταφιλοῦντα ἡμᾶς, οὐκ εὐθύς ἐκπλαγήσεται καί ὡσεί νεκρός ἐκλυθήσεται; Καί τά ὀστᾶ αὐτοῦ ὡς ὕδωρ εἰς γῆν ἐκχυθήσονται καί κλαύσῃ νυκτός καί ἡμέρας, ἀναλογιζόμενος τό πέλαγος τῆς σῆς εὐσπλαγχνίας καί ἀγαθότητος καί ἐνοπτριζόμενος τοῦ προσώπου σου τήν δόξαν τε καί λαμπρότητα. Δόξα σοί, τῷ οὕτως οἰκονομήσαντι. Δόξα σοί, τῷ θεαθῆναι καί ἑνωθῆναι ἡμῖν εὐδοκήσαντι. Δόξα σοί, τῷ διά πολλήν εὐσπλαγχνίαν ἀποκαλυπτομένῳ καί βλεπομένῳ ἡμῖν, τῷ ἀοράτῳ φύσει καί αὐταῖς ταῖς οὐρανίαις δυνάμεσι. Δόξα σοί, τῷ ἄφατον ἔχοντι τό πρός ἡμᾶς ἔλεος καί ἐν ἡμῖν διά τῆς μετανοίας καταξιοῦντι ἐνοικεῖν τε καί ἐμπεριπατεῖν.

Ὢ μέγεθος δόξης ἀρρήτου, ὢ ἀγάπης ὑπερβολή. Ὁ τά πάντα συνέχων, ἐντός ἀνθρώπου ἐγκατοικεῖ φθαρτοῦ καί θνητοῦ, οὗ τά πάντα ἐν τῇ τοῦ ἐνοικοῦντος ἰσχύϊ διακρατούμενά εἰσι, καί γίνεται ἄνθρωπος οἷα δή ἐγκυμονοῦσα γυνή. Ὢ θαύματος ἐκστατικοῦ καί ἀκατανοήτου Θεοῦ ἀκατανόητα ἔργα τε καί μυστήρια. Ἄνθρωπος βαστάζει γνωστῶς ἐντός αὐτοῦ τόν Θεόν ὡς φῶς, τόν τά πάντα, καί αὐτόν τόν βαστάζοντα, παραγαγόντα καί κτίσαντα· βαστάζει τοῦτον ἐντός ὥσπερ θησαυρόν ἄφραστον, ἀνεκλάλητον, ἄποιον, ἄποσον, ἀνίδεον, ἄϋλον, ἀσχημάτιστον, ἐν ἀμηχάνῳ κάλλει μεμορφωμένον, ὅλον ἁπλοῦν ὥσπερ φῶς τόν ὑπέρ πᾶν φῶς, καί περισφίγγων ἔξω τάς χεῖρας περιπατεῖ μέσον ἡμῶν, ἀγνοούμενος παρά πάντων τῶν συνόντων αὐτῷ. Τίς οὖν τήν χαράν τοῦ τοιούτου ἀνθρώπου ἀξίως ἐκδιηγήσεται; Τίνος γάρ ἄλλου ἐπιθυμήσειεν ὁ τοιοῦτος; Ποίου βασιλέως οὐκ ἔσται μακαριώτερός τε καί ἐνδοξότερος; Ποίου δυνάστου οὐ διαφερόντως δυνατώτερος; Ποίου, ἤ πόσων ὁρωμένων κόσμων, οὐκ ἔσεται πλουσιώτερος; Τίνος δέ ἄρα ὑστερηθήσεται ὁ τοιοῦτος ποτε; Ὄντως οὐδενός οὐδαμοῦ τῶν ἀγαθῶν τοῦ Θεοῦ.

Ἀλλά βλέπε, ὁ τοιοῦτος γενέσθαι ἀξιωθείς, ἵνα πρός σέ τόν λόγον ἰθύνω, ὁ ἔνοικον κτησάμενος ὅλον ἐν σεαυτῷ τόν Θεόν, μήποτε ἀνάξιόν τι τοῦ θελήματος, αὐτοῦ ἤ πράξῃς ἤ ἐκ χειλέων προφέρῃς, καί εὐθύς ἀπολέσεις τόν ἐν σοί κεκρυμμένον θησαυρόν, ἀπαναστάντος αὐτοῦ ἀπό σοῦ. Τίμησον αὐτόν ὅσον εἰς δύναμιν καί μηδέν τῶν αὐτῷ μή ἀρεσκόντων, μηδέ προσόντων αὐτῷ φυσικῶς, παρεισάξῃς εἰς τήν οἰκίαν αὐτοῦ, καί ἐάσας σε ἀναχωρήσει ὀργισθείς κατά σοῦ. Μή πολυλόγει πρός αὐτόν, μηδέ πρόσπιπτε, ἀναισχύντως ἐν σεαυτῷ λογιζόμενος καί λέγων «*Ἐπιδείξομαι ὑπερβάλλουσαν θερμότητα καί ζῆλον ἀγάπης πολύν τῆς πρός αὐτόν, ἵνα μου τήν πρόθεσιν ἀποδέξηται καί γνῷ ὅτι ἀγαπῶ καί τιμῶ αὐτόν*». Ἴσθι οὖν ὅτι, πρό τοῦ ταῦτα ἐννοῆσαί σε, ἐκεῖνος πάντας τούς διαλογισμούς σου ἐπίσταται καί οὐδέν αὐτόν λέληθεν. Ἀλλά γάρ μηδέ νοεραῖς χερσί

κρατῆσαι αὐτόν ἐπιχειρήσῃς· ἄληπτος γάρ ἐστι καί ὅσον ἅψασθαι αὐτοῦ τολμήσεις ἤ κατασχεῖν αὐτόν οἰηθῇς, ἕξεις ἔνδον οὐδέν, ἀλλ' εὐθύς ὅλος ἀφαντωθήσεται ἀπό σοῦ καί πολλά μεταμεληθήσῃ καί κλαύσεις, συντρίβων σεαυτόν καί μαστίζων, καί ὠφελήσεις ὄντως οὐδέν. Χαράν γάρ ὤν, εἰς οἶκον θλιβομένων καί λυπουμένων εἰσελθεῖν οὐ καταδέχεται, ὡς οὐδ' ἡ φιλαργός μέλιττα εἰς οἶκον καπνοῦ· ἐν ἀμεριμνίᾳ δέ καί ἀγαλλιάσει εὐτρεπισθέντος σου, πάλιν ἔνδον ἐν σοί εὑρεθήσεται, καί τότε ἔασον τόν Δεσπότην ἀταράχως ἐπί τῆς ψυχῆς σου ὡς ἐπί κλίνης ἐπαναπαύσασθαι.

Καί μή ἄρξῃ πάλιν λέγειν ἐν σεαυτῷ ὅτι, εἰ μή κλαύσω ἐνώπιον αὐτοῦ, ὡς καταφρονητήν με ἀποστραφήσεται. Εἰ γάρ ἐβούλετο εἰς τελειότητά σε ἐλάσαντα ὡς ἔτι μετανοοῦντα κλαίειν, ἀπό μακρόθεν μᾶλλον ὁρώμενός σοι ἤ κρυπτόμενος ἤ καί ἐλλάμπων σε, τοῦτο ἄν πρός κάθαρσιν καί φιλοκαλίαν τῆς σῆς οἰκίας παρέσχε σοι· ἀλλά μετά τήν μετάνιαν καί τήν διά δακρύων σου κάθαρσιν παρεγένετο ἀνάπαυσίν σοι τῶν κόπων καί στεναγμῶν καί χαράν καί εὐφροσύνην ἀντί τῆς λύπης χαρίσασθαι. Στῆθι οὖν, οὐ λέγω σοι μόνον τῷ σώματι ὄρθιος, ἀλλά τοῖς κινήμασι τῆς ψυχῆς καί ταῖς ταύτης ὁρμαῖς. Δός ἡσυχίαν, ὡς τοῦ βασιλέως τῶν βασιλευόντων ἐπί τῆς οἰκίας παραγενομένου τῆς σῆς. Εἰπέ πᾶσι μετ' ἐμβριμήσεως τοῖς ἐπί τῆς οἰκίας σου θυρωροῖς, αὐταῖς δή, φημί, ταῖς αἰσθήσεσι· «*Ὁ βασιλεύς, φησί, στῆτε καλῶς ἐπί τῶν θυρῶν· στῆτε ἐν ἡσυχίᾳ καί φόβῳ πολλῷ*». Μηδείς πρός τῇ θύρᾳ ἐλθών κρούσειε, μή κραυγή τινος ἐγγύς που ἤ μακρόθεν ἐντός εἰσελεύσεται, μή λάθῃ τις ἔνδον εἰσπηδήσας λαθραίως· καί εὐθύς ὁ βασιλεύς καταλιπών ἡμᾶς πάλιν οἰχήσεται. Ταῦτα τοιγαροῦν εἰπών, στῆθι ἐν ἀγαλλιάσει ψυχῆς καί φαιδρότητι, τόν σόν Δεσπότην τόν ἀπερίγραπτον ἐν σοί περιγραπτόν ἀπεριγράπτως ὁρῶν καί καταμανθάνων τό ἀμήχανον κάλλος αὐτοῦ, κατανοῶν δέ ἀκατανοήτως τό πανάγιον πρόσωπον αὐτοῦ, τό καί ἀγγέλοις καί ἀρχαγγέλοις καί πάσαις ταῖς οὐρανίαις δυνάμεσιν ἀπρόσιτον. Ἐκπλήττου, χαῖρε καί πνευματικῶς σκιρτῶν εὐφραίνου καί ἀγαλλία, προσέχων ἐν εὐλαβείᾳ τί ἄν κελεύσῃ εἰπεῖν ἤ ποιῆσαί σε.

Πρόσεχε τοίνυν τοῖς λεγομένοις σοι. Οὐ γάρ ὡς ἐπίγειοι βασιλεῖς, ἐπιδεής ὤν καί αὐτός τῶν ὑπό χεῖρα, εἰς ἰδίαν θεραπείαν ἤ χρείαν ἐπιζητήσοι τι· ἀνενδεής γάρ ἐστι καί, εἰ μή τούς ἑαυτοῦ δούλους πλουτίσει πρῶτον, οὐ παραγίνεται εἰς τήν οἰκίαν αὐτῶν. Ἐκείνου οὖν, ὥσπερ εἴρηται, ὄντος ἀνενδεοῦς, σέ δέ πλουτίσαντος καί ἀνενδεῆ πεποιηκότος τῇ παρουσίᾳ αὐτοῦ, πρόσεχε τί λαλήσει ἐν σοί ὁ τοσούτου ὕψους ἐκ τοῦ εὐλογημένου κόλπου τοῦ Πατρός ἐξελθών ἀχωρίστως καί ἐκ τῶν οὐρανῶν μέχρι τῆς σῆς ταπεινότητος κατελθών. Οὐ γάρ παρέργως τοῦτό ποτε εὕροις αὐτόν ἐργασάμενον, ἀλλ' ἐπί σωτηρίᾳ καί ἄλλων πολλῶν εἴωθεν ἀεί τοῦτο ποιεῖν ὁ καλός καί φιλάνθρωπος Δεσπότης ἡμῶν. Εἰ οὖν, ὡς εἴπομεν, τιμήσεις καί ἀποδέξῃ καί δώσεις τόπον καί ἡσυχίαν παράσχῃς αὐτῷ, εὖ ἴσθι ὅτι ἀκούσεις ἐκ τῶν τοῦ Πνεύματος θησαυρῶν τά ἀπόρρητα, οὐκ ἐπί τοῦ στήθους πίπτων τοῦ Δεσποτικοῦ, καθά τό πρίν ὁ ἠγαπημένος Χριστοῦ Ἰωάννης, ἀλλ' ὅλον ἐνστήθιον φέρων τόν Λόγον τόν τοῦ Θεοῦ· θεολογίας θεολογήσεις καινάς τε καί παλαιάς καί πάσας νοήσεις τάς ἤδη ῥηθείσας καί γραφήσας θεολογίας καλῶς, καί γενήσῃ ὄργανον εὔηχον ὑπέρ ἅπασαν μουσικήν ἀνακρουόμενον καί

φθεγγόμενον.

Ἐάν δέ λύπην ποθέν ἐπελθοῦσαν ἐάσῃς προκῦψαι τῆς οἰκίας ἐντός, εὐθύς ἀφίπταται ἡ χαρά· εἰ δέ ὀργήν ἤ θυμόν, αὐτίκα ὑποχωρεῖ ὁ πρᾷος καί γαληνός· εἰ δέ μῖσος καί ἀηδίαν κατά τινος, εὐθύς φεύγει ὁ ἀγάπη κληθείς καί ἀγάπη ὤν αὐτοφυής ἐπ' ἀληθείας καί ἐνυπόστατος· ἐάν φθόνον ἤ ἔριν πλησιάσαι ἀφῇς, ὁ ἀμνησίκακος καί ἀγαθός βδελυξάμενος αὐτά ὅλος ἀφανής γενήσεται. Εἰ δέ καί πονηρίαν ἤ ποικιλίαν μετά περιεργίας ἔξωθεν γνῷ τῆς οἰκίας περιερχομένας καί μή διώξῃς μετ' ὀργῆς συντόμως αὐτάς, ἀλλά πραέως ἴδῃ σε μᾶλλον πρός τάς ἐχθράς αὐτῷ φερόμενον καί ταύτας αὐτῷ πλησιάζειν καταδεχόμενον, οὐδέ τήν ὑποχώρησιν αὐτοῦ ὁ ἁπλοῦς καί ἄκακος καί ἀπερίεργος γνῶναί σε ποιήσει, ἀλλ' ὡς ἀναίσθητον καταλείψει σε. Ἐάν δέ σύ, ὁ τοιούτῳ Δεσπότῃ καταξιωθείς ἐντυχεῖν, ὁ τοιαύτης δόξης γενόμενος θεατής, ὁ τοιούτου πλούτου, τῆς βασιλείας λέγω τῶν οὐρανῶν, ἥτις αὐτός ἐστιν ὁ Θεός, ἐν κατασχέσει γενόμενος, ἐκ μέν τῶν εἰρημένων ἁπάντων φυλάξῃς τοῦ μή εἰσελθεῖν ἐν τῇ οἰκίᾳ σου τῆς ψυχῆς, ἀλλά καί ἡσυχίαν πᾶσαν ἐκ τούτων ποιήσῃς τῷ βασιλεῖ, τό δέ πρόσωπόν σου ἤτοι τόν νοῦν στρέψας ἄλλοθεν, ἑτέρῳ προσδιαλέγῃ καί ὁμιλεῖς, τόν νῶτόν σου δούς δηλονότι τῷ ἀπροσίτῳ Θεῷ, ᾧ πᾶσαι μετά φόβου καί τρόμου ἀσκαρδαμυκτί ἐνατενίζουσιν αἱ οὐράνιαι στρατιαί, οὐχί δικαίως ὡς καταφρονητήν καί ἀνάξιον εὐθύς αὐτός καταλείψει σε; Ἀλλά λέγεις εἶναι τοῦτον φιλάνθρωπον; Κἀγώ τοῦτό σοι λέγω, ἀλλ' εἰς τούς ἐπαισθανομένους τῆς φιλανθρωπίας αὐτοῦ καί ἀξίως τιμῶντας καί ἀπευχαριστοῦντας αὐτῷ. Εἰ δέ, καί τήν ἀγάπην καί τήν τούτου γλυκύτητα εἰς οὐδέν ἡγησάμενος, πρός ἑτέρου τινός νεύσεις ἀγάπην δεσμεύσεις ὅλως τήν ὁρμήν ἐν αὐτῷ τῆς ψυχῆς σου καί ἡδονῇ τινος ἡδυνθῇς, βρώσεως τυχόν ἤ πόσεως ἤ ἐνδύματος ἤ ὄψεως εὐειδοῦς ἤ χρυσίου ἤ ἀργυρίου, ἤ τινος ἑτέρου εἴδους ἐπιθυμίαν ἐναπομάξῃ σου ἔνδοθεν ἡ ψυχή, ἆρα ὁ φύσει καθαρός καί ἁγνός καί ἀμίαντος, ὁ καί σέ τοιοῦτον ποιήσας διά τοῦ Πνεύματος, καταδέξεται ὅλως συνεῖναί σοι οὕτω νεύσαντι καί οὐκ εὐθύς καταλείψει σε; Πάντῃ που δῆλον.

Εἰ δέ καί τούτων ἁπάντων ποιήσεις οὐδέν, διώξεις δέ πᾶν πάθος ἀπό σοῦ καί πᾶσαν κακίαν μακράν ἀπορρίψεις, πᾶσαν ἐπιθυμίαν ἀπό σοῦ ἐξορίσεις, πᾶσαν προσπάθειαν καί φυσικήν ἀγάπην παντός ἀνθρώπου καί συγγενοῦς καταλείψεις καί φθάσεις εἰς τελείαν ἀναμαρτησίαν καί καθαρότητα, καθώς ἄνωθεν διεγράψαμεν, καί πρός τούτοις ὅλον ἐν σεαυτῷ ἕξεις, ἵνα πάλιν ὅ μέλλων εἰπεῖν γένηται πᾶσι σαφές, τόν ὑπεράνω πάντων τῶν οὐρανῶν, μηδαμόθεν ἤ ὀχλούμενος ἤ πρός ἄλλον ἀπονεύων τινά, ἀλλά καί διάγων μετά Θεοῦ, ἄνω τόν νοῦν ἔχων ἐν τῇ ὑπεράνω τῶν οὐρανῶν βασιλείᾳ, αἴφνης δέ τινός σε καλέσαντος καί ἐνταῦθα πόλιν μεγάλην καί λαόν πολύν ἐν αὐτῇ ὑποδείξαντος, οἴκους καί παλάτια ποικίλα τε καί εὐρύχωρα, ναούς παμμεγέθεις τε καί περικαλεῖς, ἱερεῖς, ἀρχιερεῖς, βασιλέα σύν τῇ ἱερᾷ συγκλήτῳ καί τῶν ἀρχόντων καί ὑπαστιστῶν αὐτοῦ, εἶτα, ἵνα πᾶσαν ἄλλην αἰτίαν καί τρόπον ἐμπαθῆ καταλείψω, ἐάν ὑπ' ἐκείνων πάντων, λέγω δή τοῦ βασιλέως καί τῶν ἀρχόντων καί ὅλου τοῦ πλήθους τῆς πόλεως, μετά δακρύων προσκαλούμενος καί παρακαλούμενος ἀναδέξασθαι αὐτῶν τήν φροντίδα καί ποιμᾶναι

καί ὠφελῆσαι αὐτούς, πρό τοῦ προτραπῆναί σε παρά Θεοῦ, τοῦ συμβασιλεύειν αὐτῷ σε τάξαντος, καταφρονήσας ἐγκαταλείψῃς τά ἄνω καί τά δοθέντα σοι παρ’ αὐτοῦ αἰώνια ἀγαθά καί, περί τά στασιώδη κατελθών, ὧδε τά φθαρτά καί ὁρώμενα συναναστρέφῃ μετά τῶν προσκαλεσμένων σε, οὐχί δικαίως ἁπάντων ἐκείνων ἀποστερήσει σε καί ἐν μόνοις ἐάσει σε τούτοις τόν κλῆρον ἔχειν καί τήν κατάσχεσιν, καί ζῶντός σου καί μετά τήν ἀπό τοῦ σώματός σου ἐκδημίαν;

Ἔδει σε οὖν, κἀκείνου λέγοντος καί προστάσσοντός σοι κατελθεῖν είς τό ποιμᾶναι ψυχάς, προσπίπτειν καί κλαίειν καί λέγειν ἐν θλίψει καί φόβῳ πολλῷ πρός αὐτόν· «*Δέσποτα, πῶς ἐγκαταλείψω σε καί πρός τήν ματαιότητα ἐκείνην καί πολύμοχθον διαγωγήν ἀπελεύσομαι; Μηδαμῶς Κύριε. Μή ὀργισθῇς με, τόν δοῦλόν σου, καί ἀπό τοῦ τοσούτου ὕψους εἰς τό χάος ἐκεῖνο ἀπορρίψῃς με. Μή, Δέσποτα, μή ἀποστερήσῃς με τοῦ τοιούτου φωτός τῆς δόξης σου καί είς τοσοῦτον καταγάγῃς με σκότος, τόν ἄθλιον καί ταλαίπωρον. Μή τι ἥμαρτον κατά ἄγνοιαν, Δέσποτα, καί διά τοῦτο ἐκεῖ ἀποστρέφεις με ὅθεν φιλανθρώπως ἀνείλκυσάς με, ὁ εὔσπλαγχνος; Μή ἐπί τοσοῦτον ἀποστραφῇς με, ὁ πολλάς μου ἁμαρτίας καί ἀνομίας ἀράμενος; Ἀλλ’ εἴ τι συνέβη καί ἥμαρτον, σύ με ὧδε τιμώρησον, σύ με καί μεληδόν, εἰ κελεύεις, κατάτεμε, μόνον ἐκεῖ μή ἐκπέμψῃς με*».

Εἰ δέ προσέθετο εἰπεῖν σοι· «*Ἄπελθε, τά ἐμά πρόβατα ποίμανον. Ἄπελθε, τούς ἀδελφούς σου ἐπίστρεψον*», ἐχρῆν σε πάλιν εἰπεῖν πρός αὐτόν· «*Οἴμοι Δέσποτα, καί σοῦ χωρισθήσομαι ὁ ἀνάξιος;*». Εἰ δέ καί πρός τούτοις ἔφη πάλιν πρός σέ· «*Οὐχί, ἀλλ’ ἐγώ κἀκεῖ μετά σοῦ ἔσομαι*», αὖθις ἔδει σε προσπεσεῖν, ἔδει σε κλαῦσαι καί τούς ἀχράντους πόδας αὐτοῦ νοερῶς τοῖς δάκρυσι βρέξαι καί οὕτως εἰπεῖν· «*Πῶς συνέσει μοι, Δέσποτα, εἰ κατελθών ἐκεῖ σκοτισθήσομαι; Πῶς συνδιάξεις, εἰ πρός κολακείας καί ἐπαίνους ἀνθρώπων ἐκκλίνῃ ἡ ῥοπή τῆς καρδίας μου, τρεπτή οὖσα; Πῶς καταδέξῃ, ἐάν πρός ὑπερηφανίαν κακῶς ὑψωθῶ; Πῶς οὐ φεύξῃ, εἰ μή βασιλεῖς καί δυνάστας ὑπέρ δικαιοσύνης καί ἀδικίας καί παρανομίας μετά παρρησίας ἐλέγξω; Πῶς δέ ταῦτα καί τά λοιπά ποιήσω πρός ἀρέσκειαν σήν, ἵνα καί συνῇς μοι καί ἐνισχύσῃς με καί μή καταλείψῃς με πταίσαντα καί χωρισθῇς ἀπ’ ἐμοῦ τοῦ ἀναξίου, ἐάσας με μόνον ἐκεῖ κάτω κείμενον; Δέδοικα μή φειδωλία, μή φιλαργυρία κρατήσῃ μου· φοβοῦμαι μή τῆς σαρκός ἡ ἐπανάστασις κυριεύσῃ μου, μή ἡδονή ἀπατήσῃ με, μή μέριμνα συσκοτήσῃ με, μή τιμή ἀρχόντων καί βασιλέων ὑψώσῃ οὐ καλῶς, μή ἀρχῆς ὄγκος κατά τῶν ἀδελφῶν ὑποφυσήσας ἐπάρῃ με, μή τρυφῇ καί μέθῃ τοῦ εἰκότος παρασύρομαι, μή κραιπάλῃ αἱ λεπτυνθεῖσαί μου σάρκες τῆς ψυχῆς παχυνθήσονται, μή ἀπειλαί ἀνθρώπων πτοήσουσι καί τῶν ἐντολῶν σου παραβάτην ἐργάσονται, μή συνεπισκόπων παρακλήσεις καί φίλων ἀδικίας με συγκοινωνόν ἀπεργάσονται, ἤ ἀδικούντων αὐτῶν σιωπῶντα, ἤ κακῶς πραττόντων συνεργόν γινόμενον καί μή τούτους ἐλέγχοντα παρρησίᾳ καί τήν ἔνστασιν ὑπέρ τῶν ἐντολῶν σου ἐπιδεικνύμενον. Ἀλλά πῶς πάντα ἐξείποιμι, Δέσποτα; Καί ἰδού εἰσι παρ’ ἐμοί ἀναρίθμητα, ἅ μᾶλλον ἐπίστασαι σύ ἤ ἐγώ, Κύριε. Μή οὖν τοσούτοις κακοῖς ἔκδοτόν με ποιήσῃς, φιλάνθρωπε. Οἶδας γάρ τό τῶν ἀνθρώπων δυσάρεστον, τά σκώμματα τούτων, τάς λοιδορίας, τάς διαβολάς καί μάλιστα τῶν γνωστικωτέρων καί*

*πεφυσιωμένων ὑπό τῆς καταργουμένης παρά τῆς χάριτός σου τοῦ κόσμου σοφίας. Ἐλέησον οὖν με, φιλάνθρωπε, καί μή κάτω με ἀποστείλῃς ἐκεῖ ἐν τοιούτοις καί τοσούτοις κακοῖς μέσον στρέφεσθαι»*.

Ταῦτα τοίνυν καί τούτων πλείονα ἔδει σε ὑφορᾶσθαι καί παρακαλεῖν μή κατελθεῖν σε ἀπό τοῦ οὐρανοῦ πρός τά ὧδε καί πρός τήν γῆν. Εἰ δέ καί αὖθις πρός σέ εἶπεν, ἀποδεξάμενός σου τήν ἀγάπην καί τήν ταπείνωσιν, ὁ φιλάνθρωπος καί πανάγαθος βασιλεύς· «*Μή φοβοῦ φησίν. Ἐπεί γάρ ὑπεσχόμην συνεῖναί σοι, ὑπ᾽ οὐδενός κυριευθήσῃ τῶν ἐναντίων ἁπάντων· ἕξεις γάρ με ἐν παντί βοηθόν καί μειζόνως καί ἐκεῖ κάτω δοξάσω σε καί ὧδε πάλιν ἐπανελεύσῃ μετά μείζονος καί περιφανεστέρας λαμπρότητος καί εἰς τούς ἀτελευτήτους αἰῶνας συμβασιλεύσεις μοι*», οὐδέ τότε θαρρῆσαι ἤ ἀμεριμνῆσαι ὅλως ἐχρῆν σε, ἀλλά μετά φόβου καί τρόμου, ὡς ἀπό ὕψους πρός βάθος που φρέατος βαθυτάτου καταφερόμενος, ἑρπετῶν παντοίων καί θηρίων ὄντος μεστοῦ, οὕτω τῇ μητροπόλει ἤ τῇ πατριαρχίᾳ ἤ τινι ἑτέρᾳ ἐπιβῆναι ἀρχῇ, ἐπισκοπῆς τυχόν ἤ προστασίας λαοῦ.

Εἰ δέ μή τοιοῦτον οἷον ὁ λόγος ἀνεζωγράφησε σεαυτόν εἶναι ὁμολογεῖς, ἀλλ᾽ ὡς πρός ὕψος ἀνέρχεσθαί σε ἀπό τῶν κάτω μᾶλλον δοκεῖς, ὤ τῆς τόλμης, ὤ τῆς σκοτώσεως, ὤ τῆς ἐσχάτης ἀγνοίας. Οὐ γάρ ἀνθρώπων εἰσί ταῦτα λογικῶν τά νοήματα καί φρονήματα, ἀλλά ἀνοήτων καί ἐθνικῶν, ἤ μᾶλλον εἰπεῖν νεκρῶν, οὐ βλεπόντων, οὐκ αἰσθανομένων, οὐ ζώντων, οὐκ εἰδότων ὅλως Θεόν καί τί ἐστι τό μέλλον ὑποδέξασθαι ἡμᾶς κριτήριον τοῦ Θεοῦ. Ὅτι μέν οὖν τό προΐστασθαι ποίμνης καί ὑπέρ σωτηρίας μεριμνᾶν τῶν πλησίον ἡμῶν ὠφέλιμον, ὡς ἀγάπης τελειωτικόν τῆς νόμου καί τῶν προφητῶν οὔσης κεφάλαιον, οὐδείς ἀντερεῖ· καί γάρ καί τῷ Πέτρῳ ὁ Χριστός, τρίτον ἐρωτήσας εἰ φιλοῖτο πρός αὐτοῦ, κἀκείνου «*Ναί, Κύριε,*» εἰρηκότος «*σύ οἶδας ὅτι φιλῶ σε*», «*Ποίμανε, φησίν, εἰ φιλεῖς με, τά πρόβατά μου*» πρός αὐτόν ἀνθυπέφερεν. Ὅτι δέ οὐκ ἀσκόπως οὐδέ παντί τῷ τυχόντι ταύτῃ τῇ διακονίᾳ ἐπιπηδᾶν χρή, ἀλλά μετά περισκέψεως ἀκριβοῦς καί φόβου τοῦτο ποιεῖν, πάντῃ που δῆλον τοῖς μή τελείως ἐσκοτισμένοις τόν τῆς ψυχῆς ὀφθαλμόν. Πολλοί γάρ, οὐδέ αὐτό τοῦτο εἰδότες τό ῥῆμα ὅπερ ἐστίν, οὐδέ τόν τρόπον ἐπιστάμενοι ὁποῖός ἐστι καθ᾽ ὅν ὁ Κύριος τῷ Πέτρῳ προσέταξε ποιμαίνειν τά αὐτοῦ πρόβατα, φεῦ, ἐπιβαίνουσι τολμηρῶς τῇ ἀρχῇ, καί τῇ ποίμνῃ τοῦ Χριστοῦ ἀναιδῶς ἐπιστατεῖν οὐκ αἰσχύνονται.

Ἀλλ᾽ ἴδωμεν, εἰ δοκεῖ, καί σκοπήσωμεν τί τό ῥῆμα τοῦτο καί τίς ἡ δύναμις αὐτοῦ. Λέγοντος αὐτό τοῦ Κυρίου τῷ Πέτρῳ «*Ποίμανε, φησί, τά πρόβατά μου*», περί προστασίας ἆρα λέγει βιωτικῆς, ἀλλά περί φροντίδος πραγμάτων ἤ χρημάτων τοῦ βίου, αὐτῶν δηλαδή τῶν λογικῶν προβάτων αὐτοῦ, ὅπως ἄν σῷα τῇ ἐκείνου ἐπιμελείᾳ διατηροῖντο ἤ καί εἰς ἐπίδοσιν ἔρχοιντο; Ἆρα μή περί τροφάς τάς αὐτῶν ἀσχολεῖσθαι καί παρέχειν λέγει αὐτοῖς τά ἐνδύματα; Μή ξένους ὄντας ὑπό στέγην ἄγειν τήν ἑαυτοῦ ἤ ἀσθενοῦσι διακονεῖν ἤ τούς πιστούς ἅπαντας συναχθέντας ἐπί τό αὐτό ἀναγκάζεσθαι προστάσσει τῷ ἀποστόλῳ μεριμνᾶν τά πρός τροφήν αὐτοῖς καί ἔνδυσιν ἐπιτήδεια;

Οὔμενουν οὐδαμῶς· οὐδέν γάρ τούτωνπροσέταξεν αὐτῷ ὁ Θεός. Πόθεν τοῦτο δῆλον; Ἀπ’ αὐτῶν τῶν τοῦ Κυρίου ῥημάτων· λέγει γάρ πρός τούς ἀποστόλους αὐτοῦ· «*Μή κτήσησθε χρυσόν, μηδέ ἄργυρον, μή ῥάβδον, μή πήραν, μήτε δύο χιτῶνας*». Ὁ οὖν αὐτοῖς νομοθετῶν μηδέν ὅλως κεκτῆσθαι, πῶς ἄν ἄλλοις μεταδιδόναι ἤ περί τοιούτων μεριμνᾶν ὅλως κελεύσειε; Καί πάλιν «*Βλέπετε*» φησίν «*μήποτε βαρυνθῶσιν αἱ καρδίαι ὑμῶν ἐν κραιπάλῃ καί μέθῃ καί μερίμναις βιωτικαῖς*», καί αὖθις· «*Ἐργάζεσθε μή τήν βρῶσιν τήν ἀπολλυμένην, ἀλλά τήν βρῶσιν τήν μένουσαν εἰς ζωήν αἰώνιον*», οὐ πρός ἐκείνους μόνους ἀλλά καί ἡμᾶς δι’ ἐκείνων ταῦτα νομοθετῶν καί προστάσσων, μᾶλλον δέ καί ἕτερα τούτων πλείονα. Καί γάρ εἰπών· «*Μή μεριμνήσητε τῇ ψυχῇ ὑμῶν τί φάγητε ἤ τι πίητε, μηδέ τῷ σώματι ὑμῶν τί ἐνδύσησθε. Καταμάθετε δέ τά κρῖνα τοῦ ἀγροῦ πῶς αὐξάνει· οὐ κοπιᾷ, οὐδέ νήθει*», καί μετ’ ὀλίγα φησί· «*Μή οὖν μεριμνήσητε λέγοντες· Τί φάγωμεν ἤ τί πίωμεν· ταῦτα γάρ πάντα τά ἔθνη ἐπιζητεῖ. Οἶδε γάρ ὁ Πατήρ ὑμῶν ὁ οὐράνιος ὅτι χρῄζετε τούτων ἁπάντων. Ζητεῖτε δέ πρῶτον τήν βασιλείαν τοῦ Θεοῦ καί τήν δικαιοσύνην αὐτοῦ καί ταῦτα πάντα προστεθήσεται ὑμῖν· μή οὖν μεριμνήσητε περί τῆς αὔριον*». Ταῦτα τοιγαροῦν καί ἕτερα πλείονα τούτων εἰπών πρός αὐτούς, ὕστερον ἐπήγαγε καί φησιν· «*Ἅ δέ λέγω ὑμῖν πᾶσι λέγω*».

Ὁ οὖν τινα περί τῆς αὔριον μή συγχωρῶν μεριμνᾶν, ἀλλά μόνην κελεύων ζητεῖν τήν βασιλείαν τοῦ Θεοῦ καί τήν δικαιοσύνην αὐτοῦ, πῶς ἄρα τῶν αὐτοῦ προσταγμάτων ἀπ’ ἐναντίας τῷ ἀποστόλῳ ποτέ προσέταξε μεριμνᾶν τά εἰς διατροφήν καί ἔνδυσιν τῶν προβάτων αὐτοῦ, ἤ περί προστασίας καί ἐκδικήσεως αὐτῶν τε καί τῶν ὑπαρχόντων αὐτοῖς; Οὐδαμῶς· καί τοῦτο διά τῶν ἑξῆς εἰρημένων δηλοῖ· φησί γάρ· «*Ἰδού ἀποστέλλω ὑμᾶς ὡς πρόβατα ἐν μέσῳ λύκων*», καί πάλιν· «*Ἐγώ δέ λέγω ὑμῖν μή ἀντιστῆναι τῷ πονηρῷ· ἀλλ’ ὅστις σε ῥαπίσει εἰς τήν δεξιάν σιαγόνα, στρέψον αὐτῷ καί τήν ἄλλην· καί τῷ θέλοντί σοι κριθῆναι καί τόν χιτῶνα λαβεῖν, ἄφες αὐτῷ καί τό ἱμάτιον· καί τῷ αἴροντι τά σά μή ἀπαίτει*». Ὁ τοίνυν ὡς πρόβατα ἐν μέσῳ λύκων τούς αὐτοῦ μαθητάς ἐκπέμψας καί αὐτοῖς καί δι’ αὐτῶν ἡμῖν νομοθετήσας τῷ τύπτοντι εἰς τήν δεξιάν σιαγόνα καί στρέφειν αὐτῷ καί τήν ἄλλην, καί τῷ θέλοντι κριθῆναι καί λαβεῖν ἡμῶν τόν χιτῶνα ἀφεῖναι τούτῳ καί τό ἱμάτιον καί μή ἀπαιτεῖν τῷ αἴροντι τά ἡμέτερα, πῶς περί ἐκδικήσεως ὅλως γηΐνου τινός πράγματος τῷ ποιμαίνειν μέλλοντι τά πρόβατα αὐτοῦ προσέταξεν, ἤ μερίμνης βιωτικῆς ποσῶς ἅπτεσθαι, ἤ τά πρόβατα εἰς τοιαύτας ἐμβάλλειν φροντίδας καί ἐγχειρήσεις, ὧν αὐτός πρῶτος ὁ ποιμήν προσετάγη ἀπέχεσθαι; Οὐδαμῶς. Καί τοῦτο μετά τήν εἰς οὐρανούς τοῦ Κυρίου ἀνάληψιν αὐτοῖς ἔργοις οἱ ἀπόστολοι ἐβεβαίωσαν. Οὐ μόνον γάρ οὐδέν ὅλως εἰς χρείαν αὐτῶν τε καί τῶν παρ’ αὐτοῖς μαθητευομένων ἐφρόντισαν, ἀλλ’ οὐδέ αὐτά τά παρά τῶν πιστευόντων εἰς τόν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν προσφερόμενα καί παρά τούς πόδας αὐτῶν προτιθέμενα χρήματα ὅλως αὐτοί καταδέξαντο διοικεῖν καί τήν τῶν ἀδελφῶν πρόνοιαν εἰς τροφάς καί ἐνδύσεις ποιεῖσθαι. Εἶπον γάρ, φησί, πρός τόν λαόν· «*Οὐ δίκαιόν ἐστιν ἡμᾶς καταλείψαντας τόν λόγον τοῦ Θεοῦ διακονεῖν τραπέζαις. Καταστήσωμεν δέ ἐπί τούτῳ ἄνδρας ἱκανούς, ἡμεῖς δέ τῇ εὐχῇ καί τῇ διακονίᾳ τοῦ λόγου προσκαρτερήσωμεν*».

Ἐπεί οὖν ἀποδέδεικται μηδέν ὅλως περί γηΐνου πράγματος προστετάχθαι μεριμνᾶν ἡμᾶς μηδέ περί αὐτῆς τῆς ἀναγκαίας χρείας ἡμῶν, μήτε δέ διεκδικεῖν ἤ ἡμᾶς αὐτούς ἤ τούς ἀδελφούς ἡμῶν ἀδικουμένους καί ἐπηρεαζομένους παρά τινων, φέρε δή ἐξετάσωμεν τί ἐστι τό ῥηθέν παρά τοῦ Κυρίου τῷ κορυφαίῳ τῶν ἀποστόλων· «*Εἰ φιλεῖς με, φησί, πλεῖον τούτων, ποίμαινε τά πρόβατά μου*». Οἶδα δέ ὅτι ἐκ τῶν εἰρημένων σαφές τοῦτο γέγονε καί πολλοί τῶν συνετῶν ἴσως ἔγνωσαν ἤδη τοῦ λόγου τήν δύναμιν, ἀλλά δεῖ καί ἡμᾶς διά τούς ἀγνοοῦντας μικρά τινα πρός τήν ὑμετέραν ἀγάπην εἰπεῖν.

Οὐδέν τοιγαροῦν ἕτερόν ἐστι τό ποιμαίνειν εἰ μή ἡ διά τοῦ λόγου καί τῆς διδασκαλίας τῶν ποιμαινομένων ἐπιμέλεια· καί τοῦτο αὐτός ἔδειξεν ὁ Χριστός οὕτως τῷ Πέτρῳ εἰπών· «*Ποσάκις ᾐτήσατο ὁ Σατανᾶς σινιᾶσαί σε ὡς τόν σῖτον; Κἀγώ ἐδεήθην περί σοῦ, ἵνα μή ἐκλείπῃ ἡ πίστις σου*». Εἶτα προσέθετο καί τοῦτο εἰπεῖν πρός αὐτόν· «*Καί σύ οὖν ἐπιστρέψας ποτέ, στήριξον τούς ἀδελφούς σου*». Τί οὖν ἐστι τό «*στήριξον τούς ἀδελφούς σου*»; Ἐκ τοῦ εἰς σέ, φησίν, ὑποδείγματος, πληροφόρησον μηδέποτε εἰς ἀπόγνωσιν καταστρέφεσθαι, εἴ τι δ' ἄν καί συμβῇ αὐτοῖς ἁμαρτῆσαι. Τί γάρ χεῖρον, φησί, τοῦ ἀρνήσασθαί με τόν τῶν ἁπάντων δεσπότην; Ἀλλά μεταμεληθέντα καί πικρῶς κλαύσαντα εὐθύς τῆς συμπαθείας σε ἠξίωσα καί ἀπαρρησίαστον ὄντα πρός ἐμαυτόν μετά καί τῶν λοιπῶν μαθητῶν ἐν τῷ ὄρει ἐκάλεσα καί οὐδέ λόγῳ σοι μόνῳ ὑπέρ τούτου ὠνείδισα. Λοιπόν οὖν καί σύ ἐπιστρέψας στήριξον τούς ἀδελφούς σου· ποίμανον τά πρόβατά μου. Ποιμανεῖς δέ οὐκ ἐν τῷ εἰσάγειν καί ἐξάγειν ἀπό νομῶν εἰς νομάς καί εὔτροφα καί πίονα ταῦτα τῷ σώματι συντηρεῖν, οὐδ' ἐν τῷ περικλείειν φραγμοῖς καί τοίχοις, ἀλλ' ἐν τῷ διδάσκειν αὐτά τηρεῖν πάντα ὅσα ἐνετειλάμην ὑμῖν, οὐ τά μέν τηρεῖν, τῶν δέ καταφρονεῖν, ἀλλά πάντα φυλάττειν ὅσα ἐνετειλάμην ὑμῖν. «*Πορευθέντες γάρ, φησί, μαθητεύσατε πάντα τά ἔθνη, βαπτίζοντες αὐτούς εἰς τό ὄνομα τοῦ Πατρός καί τοῦ Υἱοῦ καί τοῦ Ἁγίου Πνεύματος, διδάσκοντες αὐτούς τηρεῖν πάντα ὅσα ἐνετειλάμην ὑμῖν*». Καί ἐπιφέρει· «*Ὁ πιστεύσας καί βαπτισθείς σωθήσεται, ὁ δέ ἀπιστήσας κατακριθήσεται*».

«*Ποίμανε τά πρόβατά μου*». Ὁ ποιμήν τῶν ἀλόγων προβάτων οὐ γεωργίας, οὐ πραγματείας, οὐκ οἰκίας, οὐκ εὐθηνουσῶν τραπεζῶν, οὐ δόξης, οὐ τιμῆς φροντίζει· οὐδέν ἕτερον τῶν βιωτικῶν μεριμνᾷ πραγμάτων, οὐδέ ἀντέχεσθαι τούτων ὅλως ἀνέχεται, ἀλλά καί οἰκίαν καί γυναῖκα καί τέκνα καταλιπών, ὅλην ἐν τῇ ἑαυτόῦ ποίμνῃ τήν σπουδήν ἐπιδείκνυται, ἀγρυπνῶν ἐπ' αὐτῇ καί μακράς ἀποδημίας στελλόμενος, μή κλίνην ἔχων, μή στρωμνήν ἐπιφερόμενος, ἀλλ' ὑποφέρων αἴθριος τόν καύσωνα τῆς ἡμέρας καί τόν παγετόν τῆς νυκτός ὑπομένων διανυκτερεύει, ἀνέμοις καί κρυμῷ καί ἀέρι προσπαλαίων ἀεί, καί τῆς παραφυλακῆς καί ἐπιμελείας αὐτῶν οὐκ ἀφίσταται. Σοί δέ ἔξεστι καί ἐν οἰκίᾳ καί ἐν ὁδῷ καί ἐπί κλίνης καί στρωμνῆς καί ἐπί τραπέζης αὐτῆς παρακειμένῳ ποιμαίνειν τά πρόβατά μου· πῶς; Διδάσκων αὐτά τήν εἰς ἐμέ πίστιν ἀθόλωτον ἔχειν καί εἰλικρινῆ καί ἀδίστακτον, ἀγαπᾶν με ἐξ ὅλης αὐτῶν τῆς ψυχῆς, ἐξ ὅλης τῆς διανοίας, ὡς αὐτούς οὕτως κἀγώ ἠγάπησα. Ὑπέρ αὐτῶν γάρ ἔθηκα τήν ψυχήν μου καί ἀπέθανον. Πρόθες αὐτοῖς ἀντί νομῆς ἀλόγου τήν τῶν ἐμῶν ἐντολῶν ζωοποιόν τροφήν· δίδαξον αὐτούς διά τῆς ἐργασίας τούτων καί ἐκπληρώσεως τήν ἐξ αὐτῶν

μετάληψιν γίνεσθαι· νουθέτησον καί παρακάλεσον αὐτούς οὕτως καθ’ ὥραν ἐμπίπλασθαι, ἵνα ἐξ αὐτῶν ἀεί κεκορεσμένοι ὦσι καί ἐμπεπλησμένοι τῶν ἐμῶν ἀγαθῶν. Ὁποῖα δέ τά ἐμά ἀγαθά καί διά ποίων τῶν πράξεων κτῶνται, ὑποθήσεις αὐτοῖς λέγων ταῦτα. Πωλήσατε τά ὑπάρχοντα ὑμῶν καί δότε ἐλεημοσύνην· ποιήσατε ὑμῖν βαλάντια μή παλαιούμενα, θησαυρόν ἀνέκλειπτον ἐν τοῖς οὐρανοῖς. Ἀγαπᾶτε τούς ἐχθρούς ὑμῶν· εὔχεσθε ὑπέρ τῶν ἐπηρεαζόντων ὑμᾶς. Καλῶς ποιεῖτε τοῖς μισοῦσιν ὑμᾶς. Μηδείς ὑμῶν κακόν ἀντί κακοῦ ἀποδῷ τινι. Ἄφετε καί ἀφεθήσεται. Ἐάν γάρ μή ἀφῆτε τοῖς ἀνθρώποις τά παραπτώματα αὐτῶν, οὐδέ ὁ Πατήρ ὑμῶν ὁ οὐράνιος ἀφήσει ὑμῖν τά παραπτώματα ὑμῶν. Πτωχεύσατε τοῖς χρήμασιν, ἵνα πλουτήσετε πνεύματι· καταφρονήσατε τῆς κάτω δόξης, ἵνα τῆς ἐν οὐρανοῖς ἀπολαύσητε.

Δύο τοίνυν πραγμάτων ἡμῖν προκειμένων, ζωῆς φημί καί θανάτου, καί δύο κόσμων, τοῦ ὁρωμένου καί λυομένου καί τοῦ ἀοράτου καί αἰωνίου καί ἀκαταλύτου, τοῦ ἐνεστῶτος καί τοῦ μέλλοντος, καί δύο τῶν ἐνεργούντων ἐπ’ αὐτοῖς ὄντων, ἀντικαθισταμένων ἀπ’ ἐναντίας ἀλλήλοις, Θεοῦ λέγω καί τοῦ ἀντικειμένου αὐτῷ διαβόλου, καί τοῦ μέν σῴζειν σπουδάζοντος καί πρός ζωήν καί βασιλείαν αἰώνιον ἡμᾶς προσκαλουμένου, τοῦ δέ τῆς ἀπωλείας ἡμῶν καί τοῦ θανάτου ἐπιθυμοῦντος καί ὠρυομένου καθ’ ἑκάστην καί τίνα καταπίῃ διά τῆς τῶν προσκαίρων τούτων ἀπολαύσεως ζητοῦντος καί τῆς αἰωνίου κολάσεως ὑπεύθυνον ἀπεργάσεται, φεύγειν ἡμᾶς δεῖ τόν πονηρόν ἐχθρόν καί πολέμιον καί πρός τό σῴζοντα καταφεύγειν Δεσπότην καί τήν παρ’ ἐκείνου ἐπικαλεῖσθαι βοήθειαν, ἵνα μή ὑπό τοῦ ἄρχοντος τοῦ σκότους κατακυριευθῶμεν καί γενώμεθα ὑπό τάς παγίδας αὐτοῦ, δουλεύοντες αὐτῷ καί τῇ ἁμαρτίᾳ. Καί ὅτι μέν ἄρχων τοῦ κόσμου καί τοῦ αἰωνίου σκότους ὁ διάβολός ἐστιν, ἄκουσον αὐτοῦ τοῦ Χριστοῦ λέγοντος· «*Ἰδού ὁ ἄρχων τοῦ κόσμου ἔρχεται καί ἐν ἐμοί εὑρήσει οὐδέν*». Ἄρχων δέ οὐχ ὡς ἐξουσιαστής ἤ δεσπότης τοῦ κόσμου λέγεται - ἄπαγε τῆς βλασφημίας, ὅς οὐδέ κατά χοίρων ἔχει τήν ἀξουσίαν -, ἀλλ’ ὡς τούς ἐν αὐτῷ προσηλωμένους διά τῆς ἐπιθυμίας τῶν ἐν αὐτῷ χρημάτων καί πραγμάτων καταδουλούμενος καί κατεξουσιάζων αὐτῶν. Ἄρχων δέ τοῦ σκότους λέγεται, ὡς ἀρχῆθεν μέν αὐτός ἐκπεσών τοῦ φωτός διά τῆς ἐπάρσεως καί κληρονόμος αἰωνίως τοῦ σκότους ἐσόμενος. Ὁ δέ Θεός καί δεσπότης ἡμῶν, ὡς κτίστης καί δημιουργός ὤν τῶν ἁπάντων, φυσικῶς καί ἐξουσιαστικῶς ἄρχει πάντων τῶν ἐπουρανίων καί ἐπιγείων καί καταχθονίων, φῶς ὤν ἀνέσπερον καί ἀπρόσιτον, Κύριος πάντων καί τῶν ἐνεστώτων καί μελλόντων. Οἱ οὖν αὐτῷ πειθόμενοι καί τάς ἐντολάς αὐτοῦ ἀπαρατρώτους φυλάσσοντες καί τῶν προσκαίρων ἐν ἀπολαύσει συμμέτρῳ γινόμενοι καί εὐχαρίστως μετ’ ἐγκρατείας τούτων μεταλαμβάνοντες, ἀπ’ αὐτῶν ἤδη τούτων τῶν ὁρωμένων πρός τά ἄφθαρτα καί εἰώνια ἀνάγονται, ὡς τῷ βασιλεῖ καί Θεῷ τῶν ἁπάντων ὑποταγέντες καί τά προστάγματα τετηρηκότες αὐτοῦ. Ὅσοι δέ τά ἐναντία τῶν τούτου ἐντολῶν διαπράξονται, μετά τοῦ ἀντικειμένου εὑρίσκονται ταττόμενοι, Θεοῦ γινόμενοι πολέμιοι ἄντικρυς, καθώς αὐτός φησιν ὁ Σωτήρ· «*Ὁ μή ὤν μετ’ ἐμοῦ κατ’ ἐμοῦ ἐστι καί ὁ μή συνάγων μετ’ ἐμοῦ σκορπίζει*».

Μηδείς τοιγαροῦν, ἀγαπητοί, τῷ ἄρχοντι τοῦ σκότους καί κοσμοκράτορι προστεθῇ·

μηδείς μετ' αὐτοῦ ταχθῇ· μηδείς κατά τοῦ Σωτῆρος ἡμῶν καί Θεοῦ τῷ διαβόλῳ σύν τοῖς ἀγγέλοις αὐτοῦ στρατευθῇ· μηδείς κατά τῆς ἑαυτοῦ ψυχῆς γένηται, μηδέ ὅπως τό αἰώνιον κληρονομήσῃ πῦρ ἀγωνίσηται· μή, παρακαλῶ, μή, τέκνα καί πατέρες καί ἀδελφοί. Φοβερόν ἐστι γενέσθαι ἡμᾶς πολεμίους Θεοῦ καί μόνον ἀκουόμενον. Πῶς δέ ἔστι στρατεύσασθαι κατά τοῦ Χριστοῦ καί ὑπέρ τῆς ἑαυτοῦ ἀπωλείας τινά ἀγωνίσασθαι ἔνθεν ἐρῶ. Ἐάν δικαίως ἤ ἀδίκως ὑβρίσῃ σέ τις ἤ λοιδορήσῃ ἤ ἐνδιαβάλῃ, καί μή πρᾴως φέρῃς τήν ἀτιμίαν, ἤ λυπηθείς καί δηχθείς τήν καρδίαν μή ὑπενέγκῃς καί χαλινώσῃς σου τῆς ψυχῆς τάς κινήσεις, ἀλλ' ἤ ἀνθυβρίσῃς τόν σέ ὑβρίσαντα ἤ λοιδορήσῃς ἤ ἕτερόν τι εἰς αὐτόν ἐναντίον διαπράξῃς, ἤ πάλιν τούτων μέν οὐδέν εἰς αὐτόν ἀπεργάσῃ, ἀπέλθῃς δέ μῆνιν κατ' αὐτοῦ ἔχων ἐν τῇ καρδίᾳ σου καί μή ἐξ ὅλης ἀφῇς αὐτῷ τῆς ψυχῆς καί ἀπό καρδίας σου εὔξῃ ὑπέρ αὐτοῦ, ἰδού ἐστρατεύσω μέν κατά τοῦ Χριστοῦ, ἀπ' ἐναντίας ποιῶν τῶν προσταγμάτων αὐτοῦ καί πολέμιος ἐγένου αὐτοῦ, ἀπώλεσας δέ καί τήν ἑαυτοῦ ψυχήν, ἐπισφραγίσας καί ἐπικυρώσας τάς προσγεγενημένας σου ἁμαρτίας καί ἀνεξαλείπτους ταύτας ἀπεργασάμενος. Ἐάν τίς σε πάλιν ῥαπίσῃ εἰς τήν δεξιάν σιαγόνα, εἶτα μή στρέψῃς αὐτῷ καί τήν ἄλλην, ἀλλά μᾶλλον ἀντιτύψῃς αὐτόν, γέγονας μέν στρατιώτης καί ὑπουργός τοῦ ἀντικειμένου Σατᾶν, ἔτυψας δέ οὐ τόν ἀδελφόν μόνον, ἀλλά καί δι' αὐτοῦ τόν εἰπόντα μή τύψαι, προσθεῖναι δέ καί τήν ἑτέραν μᾶλλον αὐτῷ. Ἐάν δέ τις χρυσίον ἀφέληται ἀπό σοῦ ἤ ἕτερόν τι λαθραίως ἤ φανερῶς, δανεισάμενος τυχόν ἤ ἁρπάσας αὐτό, εἶτα δοῦναί σοι αὐτό μή βούληται, κακοπραγῶν ἤ καί ἀπορῶν,σύ δέ μή ὑπενέγκῃς εὐχαρίστως καί ἀμνησικάκως, ἀλλά σύρεις εἰς δικαστήρια τόν ἀφελόμενον τοῦτο καί συνηγόρους μισθοῦσαι, βοήθειαν τήν ἐξ ἀνθρώπων ζητῶν, καί δικαστηρίῳ παρίστασαι, ἀνιώμενος, λυπούμενος, ἄγων καί σύρων τόν ἀδελφόν, ὅρκοις καί ἐπιορκίαις χρώμενος καί παρασκεύαζων ὀμνύναι καί ἐπιορκεῖν τοῦτον καί ψεύδεσθαι, ὅ τῶν ἄλλων ἁπάντων χεῖρόν ἐστι, καί πρός τούτοις φυλακαῖς παραδίδως αὐτόν καί πάντα ποιεῖς καί πράττεις, ὥστε τά χρεωστούμενά σοι λαβεῖν , πῶς οὐχί φανερῶς καί σεαυτοῦ πολέμιος εἶς;

Ὁ γάρ κελευόμενος τούς ἐν φυλακῇ ἐπισκέπτεσθαι καί τό κατά δύναμιν τούτοις διακονεῖν, τῷ αἴροντι τά σά μή ἀπαιτεῖν καί τῷ θέλοντί σοι κριθῆναι καί τόν χιτῶνα λαβεῖν ἀφιέναι τούτῳ καί τό ἱμάτιον, οὐ μόνον δέ, ἀλλά καί τήν ἰδίαν τιθέναι ψυχήν εἰς θάνατον ὑπέρ τῆς τοῦ Θεοῦ ἐντολῆς, ὅταν ὑπέρ χρημάτων ἀπολλυμένων δικάζῃ, παραβαίνων τήν πρόσταξιν τοῦ Θεοῦ, λυπούμενος, ἀνιώμενος καί φυλακαῖς καθυποβάλλων τόν ἀδελφόν σου, οὐχί προδήλως μαίνῃ, Θεόν παροργίζων καί αὐτῷ πολεμῶν καί σεαυτόν ἀποστερῶν τῆς αἰωνίου ζωῆς; Ὁ οὖν θέλων ποιμαίνειν τό τοῦ Χριστοῦ ποίμνιον καί τά τούτου πρόβατα βόσκειν διά τῆς διδασκαλίας τῶν εἰρημένων, ὡς ἄν εὔτροφα τῇ δικαιοσύνῃ καί πολυτόκα ταῦτα ποιήσῃ, πῶς ἄρα δύναται ἀγρούς μεριμνᾶν ἐπί τό αὐτό καί φροντίδα κτημάτων ποιεῖσθαι, διεκδικεῖν τε ταῦτα καί ἀποσοβεῖν τούς ἀδικεῖν βουλομένους καί ἐπηρεάζειν αὐτά, καί ποτέ μέν προσέρχεσθαι δικασταῖς, ποτέ δέ ἀντιλογίαις καί ψεύδει ἀνθίστασθαι, ἐσθ' ὅτε καί αἴτιος ὅρκων καί ἐπιορκιῶν γίνεσθαι; Ἀνάγκη γάρ, κἄν αὐτός ἀληθεύῃ, τούς ἀντιδίκους ψεύδεσθαι καί ὀμνύειν καί ἐπιορκεῖν φανερῶς. Εἰ δέ ταῦτα οὕτω συμβαίνουσι γίνεσθαι, πῶς ἔσται

φορητά τῇ φιλοθέῳ ψυχῇ, ἤ πῶς αὐτά τῷ εἰπόντι Θεῷ ἀρεστά· «*Ἐγώ δέ λέγω ὑμῖν μή ὀμόσαι ὅλως, ἀλλ' ἔστω ὑμῶν τό ναί, ναί, καί τό οὔ, οὔ· τό γάρ πλεῖον τούτου ἐκ τοῦ πονηροῦ ἐστι*», καί πάλιν· «*Ἀμήν, ἀμήν, λέγω ὑμῖν ὅτι πᾶν ῥῆμα ἀργόν ὅ ἐάν λαλήσωσιν οἱ ἄνθρωποι, λόγον δώσουσι ὑπέρ αὐτοῦ ἐν ἡμέρᾳ κρίσεως*»;

Μή δή οὖν, εἴ γε πείθεσθαι τῇ ἀληθείᾳ Χριστῷ καί τοῖς λόγοις τούτοις πείθομεν ὑμᾶς ἀνθρώπους ὄντας, ταῖς ἀρχαῖς καί ταῖς τῶν ἄλλων ἐπιτρέχετε προστασίαις διά δόξαν ἀνθρωπίνην καί τρυφήν καί ἀπόλαυσιν σώματος, τό κρῖμα τοῦ Θεοῦ δεδοικότες καί τήν φρικτήν ἐκείνην ἀπόφασιν ἥν διά τοῦ προφήτου Ἰωήλ ὁ Θεός κατά τῶν ἀναξίων ποιμαινόντων τά πρόβατα αὐτοῦ ἀπεφήνατο· «*Τάδε λέγει, φησίν, Ἀδωναΐ Κύριος· Ὦ ποιμένες Ἰσραήλ, μή βόσκουσιν οἱ ποιμένες ἑαυτούς; Οὐχί τά πρόβατα βόσκουσιν οἱ ποιμένες; Ἰδού τό γάλα κατεσθίετε καί τά ἔρια περιβάλλεσθε καί τό παχύ ἐσφάζετε καί τά πρόβατά μου οὐκ ἐβόσκετε. Τό ἠσθενηκός οὐκ ἐνισχύσατε καί τό ἄρρωστον οὐκ ἰάσασθε καί τό συντετριμμένον οὐ κατεδήσατε καί τό κακῶς ἔχον οὐκ ἐσωματοποιήσατε καί τό πλανώμενον οὐκ ἐπεστρέψατε καί τό ἀπολωλός οὐκ ἐπεζητήσατε καί τό ἰσχυρόν κατειργάσασθε μόχθῳ καί ἐν κράτει ἐπαιδεύσατε αὐτά καί ἐν παιγνίῳ καί διεσπάρη τά πρόβατά μου διά τό μή εἶναι ποιμένας*». Καί μετ' ὀλίγα· «*Τάδε λέγει Ἀδωναΐ Κύριος· Ἰδού ἐγώ ἐπί τούς ποιμένας καί ἐκζητήσω τά πρόβατά μου ἐκ τῶν χειρῶν αὐτῶν καί καταπαύσω αὐτούς τοῦ μή ποιμαίνειν τά πρόβατά μου*». Καί πάλιν· «*Καί ὁ σκοπός ἐάν ἴδῃ τήν ῥομφαίαν ἐρχομένην καί μή σαλπίσῃ τῇ σάλπιγγι καί ἐπελθοῦσα ἡ ῥομφαία λάβῃ ἐξ αὐτῶν ψυχήν, αὕτη μέν διά τήν αὐτῆς ἁμαρτίαν ἐλήφθη, τό δέ αἷμα αὐτῆς ἐκ τῆς χειρός τοῦ σκοποῦ ἐκζητήσω*». Φοβερά ταῦτα καί φρίκης ἁπάσης, ὦ ἀδελφοί.

Διά δή τοῦτο σπουδάσωμεν ποιμᾶναι μᾶλλον πρότερον καλῶς ἑαυτούς ὡς Χριστοῦ ποίμνιον, ὡς βασίλειον ἱεραύτεμα, καί καθυποτάξαι τήν σάρκα τῷ πνεύματι, ἵνα μή τό κρεῖττον ἐν ἡμῖν ὑπό τοῦ χείρονος ἐκνικᾶται. Καί ὁπόταν εἰς τόν τῆς ταπεινοφροσύνης βυθόν εἰσέλθωμεν καί τοῖς νάμασι ταύτης τῶν δακρύων τούς σπίλους τῆς ἁμαρτίας ἀπολουσώμεθα, κτησώμεθα δέ πρᾷον καί γαληνόν τό πνεῦμα ἐκ συντετριμμένου φρονήματος, ἐν πολλῇ τε δίψῃ τῆς τοῦ Θεοῦ δικαιοσύνης κορεσθῶμεν τῶν ἀπορρήτων ἀγαθῶν τῆς βασιλείας αὐτοῦ διά τῆς τοῦ Πνεύματος παρακλήσεως, εἶτα, σπλάγχνα οἰκτιρμοῦ καί συμπαθείας ἐντεῦθεν ἀναλαβόντες, κτησώμεθα καθαράν τήν καρδίαν ἐν ἀπαθείᾳ τελείᾳ καί ὀψόμεθα τό φῶς τοῦ Θεοῦ, αὐτό τό Πνεῦμα δηλονότι τό Ἅγιον ἐνεργοῦν καί λαλοῦν ἐν ἡμῖν τά κεκρυμμένα μυστήρια τῆς τοῦ Θεοῦ βασιλείας, ὡς τά διεστῶτα ἐν ἡμῖν εἰς ἕν ἐπισυνάψαντες φρόνημα διά τῆς βαθείας εἰρήνης, καί εἰρηνεύσωμεν πρῶτον ἡμᾶς αὐτούς καί σύμφωνον ὄργανον διά σώματος καί ψυχῆς ἀποτελέσωμεν ἑαυτούς ἐν ἑνί Πνεύματι τῷ Θεῷ, οὐ μόνον δέ, ἀλλ' ὅταν καί ἐν πολλοῖς πειρασμοῖς, ἐν πολλαῖς θλίψεσι καί συμφοραῖς ὑπομείνωμεν τόν Χριστόν καί ἀνεχώμεθα διωκόμενοι καί βλασφημούμενοι παρακαλῶμεν καί καταρώμενοι εὐλογῶμεν, μή λογιζόμενοι τό κακόν ἐν μηδενί μηδαμῶς, ἀλλά πάντα στέγωμεν, πάντα ὑπομένωμεν, τό δοκίμιον ἡμῶν ἀσάλευτον τηροῦντες ἀπό τῆς ἀποβάθρας τῶν ἀρετῶν, καί οὕτως, διά πάντων καί ἐν πᾶσι τοῖς εἰρημένοις, ὅταν τήν κατά Χριστόν αὐξήσωμεν ἡλικίαν καί

ἀναδράμωμεν εἰς ἄνδρα τέλειον, εἰς μέτρον ἡλικίας τοῦ πληρώματος τοῦ Χριστοῦ, ἐν γνώσει τελείᾳ Θεοῦ καί ἐν σοφίᾳ τῶν ὑπό τοῦ παναγίου Πνεύματος χορηγουμένων λόγων καί μυστηρίων, τότε καί ἐπί τῇ τῶν ἄλλων ὠφελείᾳ ὡς δούλους ἐσχάτους ἑαυτούς ἐπιδώσωμεν, εἴ γε καί καλούμεθα ἄνωθεν, κατά τήν τοῦ Κυρίου φωνήν· «*Ὁ θέλων εἶναι πρῶτος ἐν ὑμῖν, ἔστω πάντων δοῦλος καί πάντων διάκονος*».

Ἕως δέ εἰς τοῦτο διά πολλῶν ἀγώνων οὐ φθάσωμεν, σχολάσωμεν, παρακαλῶ, ὑποτασσόμενοι τοῖς κατά Θεόν πατράσιν ἡμῶν καί αὐτῷ τῷ συνέχοντι πάντα Θεῷ, καθ' ἑκάστην μετανοοῦν τες καί τοῖς κατά Θεόν δάκρυσι καθαιρόμενοι, ὡς ἄν δυνηθῶμεν γνῶναι Θεόν καί ὅτι ἀψευδής ἐστι τά ἐπηγγελμένα παρ' αὐτοῦ διδόναι τοῖς ἀγαπῶσιν αὐτόν καί ποιοῦσιν αὐτοῦ τά θεῖα προστάγματα· ὅς καί καί ἀποδώσει ἑκάστῳ τόν μισθόν κατά τά ἔργα αὐτοῦ, ἡνίκα τήν βασιλείαν παραδώσει, τά πάντα ὑποταγέντα αὐτῷ τῷ Θεῷ καί Πατρί, ᾧ πρέπει πᾶσα δόξα, τιμή καί προσκύνησις, νῦν καί ἀεί καί εἰς τούς ἀτελευτήτους αἰῶνας τῶν αἰώνων· ἀμήν.

## ΛΟΓΟΣ ΙΒ΄. Εἰς τό ῥητόν τό λέγον τοῦ Ἀποστόλου· «*Ἐξαγοραζόμενοι τόν καιρόν, ὅτι αἱ ἡμέραι πονηραί εἰσί*». Καί πῶς ἐξαγοράζεταί τις φρονίμως τόν καιρόν τῆς παρούσης ζωῆς.

Οὐδέν οὕτως ἕτερον τῶν ἄλλων ἁπάντων ὠφελιμώτερον ψυχῇ, νυκτός καί ἡμέρας ἐν τῷ νόμῳ τοῦ Θεοῦ μελετᾶν αἱρουμένῃ, ὡς ἡ τῶν θείων Γραφῶν ἔρευνα. Ἐν αὐταῖς γάρ ἐγκεκρυμμένη οὖσα ἡ διάνοια τῆς τοῦ Πνεύματος χάριτος, ἡδονῆς ἁπάσης πληροῦσθαι ποιεῖ τήν νοεράν αὐτῆς αἴσθησιν, καί ὅλην ἀπό τῶν γηΐνων και τῆς τῶν ὁρωμένων ταπεινώσεως ἄρασα, ἀγγελοειδῆ ταύτην καί ἀγγέλοις αὐτοῖς ὁμοδίαιτον ἀπεργάζεται. Ἀλλά γάρ ἴδωμεν τί καθ᾽ ἑκάστην ἡμῖν ὁ θεῖος Ἀπόστολος ὁμιλεῖ καί τῶν αὐτοῦ θεοπνεύστων ῥημάτων τινά συνετῶς ἐξετάσωμεν, ἵνα καί τόν ἐν αὐτοῖς ἀποκείμενον πλοῦτον πλουτήσωμεν καί τήν τοῦ Πνεύματος χάριν ἐκεῖθεν τρυφήσωμεν εἰς ἀκένωτον εὐφροσύνην ψυχῆς καί ἀπόλαυσιν. Τί οὖν ἐστι τό παρ᾽ ἡμῶν ἐρευνώμενον; Ὅ παραινεῖ λέγων ὁ Παῦλος· «*Ἐξαγοραζόμενοι τόν καιρόν, ὅτι αἱ ἡμέραι πονηραί εἰσιν*». Ἀλλ᾽ ἀπό τῶν βιωτικῶν πραγμάτων σκοπήσαντες, καί τοῦτο καλῶς καταμάθωμεν. Ὥσπερ γάρ πᾶς ἔμπορος καί χειροτέχνης καί γεωργός, ἀλλά μήν καί πᾶς τις ἄλλος ὁ τήν τυχοῦσαν μετερχόμενος τέχνην, σπουδῆς ὅτι μάλιστα καί ἐπιμελείας χρῄζει πολλῆς εἰς τό ἔργον αὐτοῦ, ὡς, ἐάν μικρόν χρόνον ἤ βραχεῖαν ὥραν ἀμελήσῃ, μεγάλην ὑφίσταται τήν ζημίαν, οὕτω καί ἐπί τῶν πνευματικῶν ἀγώνων καί ἔργων καί πράξεων συμβαίνει γίνεσθαι.

Ἀλλά γάρ ὡς ἐν ὑποδείγματι πρῶτον περί ἑνός τούτων τῶν ἐμπορευομένων εἴπωμεν λεπτομερέστερον πρός τήν ἀγάπην ὑμῶν. Ἐάν οἱ ἔμποροι πάντες πρός τήν πανήγυριν τρέχουσιν ἐμπορεύσασθαί τι καί κερδῆσαι ἀπό τῆς πραγματείας αὐτῶν, εἷς δέ τούτων τούς μέν βλέπειν προάγοντας αὐτοῦ, τούς δ᾽ ὄπισθεν αὐτοῦ ἐρχομένους καί σπουδῇ πολλῇ φθάζοντας αὐτόν, ἤ πρός τῆς οἰκίας αὐτοῦ καθεζόμενος ὁρᾷ διερχομένους αὐτούς καί πρός τήν πανήγυριν μετά σπουδῆς ἀπερχομένους, αὐτός ῥᾳστώνῃ καί ῥαθυμίᾳ κρατούμενος, οὐ μόνον δέ, ἀλλά καί μέθῃ καί τρυφῇ προσασχολούμενος καί φίλτρῳ πόρνης γυναικός ἐλεεινῶς κατεχόμενος, οὐ προαιρεῖται δραμεῖν εἰς τήν ἐμπορίαν, ἡμέραν ἐξ ἡμέρας ἀναβαλλόμενος, οὐχί οὗτοι μέν ἐξηγοράσαντο τόν καιρόν τῆς ζωῆς αὐτῶν, ἐμπορευσάμενοι καί μετά κέρδους μεγάλου ὑποστρέψαντες, ἐκεῖνος δέ ἀπώλεσεν αὐτόν, εἰς ἀνωφελῆ καί μάταια τοῦτον ἐξαναλώσας, εἶτ᾽ οὖν ἀπεμπολήσας αὐτόν; Εἰ δέ καί τήν πανήγυριν σύν αὐτοῖς καταλάβῃ καί πάντες μέν ἐκεῖνοι χρυσίον ἐπιφερόμενοι, εὐθύς πρός πραγματείαν χωρήσουσι καί ἄλλος μέν ἄλλο τι ἐξωνήσεται, δι᾽ οὗ κερδῆσαι ἐπ᾽ αὐτῷ ἐλπίζει, ἐκεῖνος δέ μηδέν ὅλως ἐπιφερόμενος περιτρέχει ζητῶν εὑρεῖν πόθεν καί δανείσασθαι, ἤ καί μετά τό εὑρεῖν χρυσίον, ἐάν ληθῇ ἡ πανήγυρις καί καταλειφθῇ ἀπραγμάτευτος, οὐχί καί αὖθις ἀπώλεσε τόν καιρόν, ἄνευ χρυσίου εἰς τήν πανήγυριν ἀπελθών; Εἰ δέ καί χρυσίον ἐπιφερόμενος τήν πανήγυριν καταλάβῃ, ἐάν ἀφείς ἐν σπουδῇ πραγματεύσασθαι ἄρξηται τάς σκηνάς τῶν καπήλων καί τῶν μαγείρων καί

τῶν τά λοιπά βρώματα ἀπεμπολούντων περιϊέναι καί ποτέ μέν ἐκ τούτων ποτέ δέ ἐξ ἑτέρων λιχνευόμενος ἐσθίῃ καί πίνῃ, καί οὐ τοῦτο μόνον, ἀλλά καί ἐάν μέθῃ καί ἀσελγείαις καταδαπανήσῃ τό χρυσίον αὐτοῦ, οὐχί καί οὗτος τόν καιρόν ἀπώλεσε καί τά προσόντα αὐτῷ ἀφρόνως κατεδαπάνησεν;

Ὁ δέ καί ἐν τῇ πανηγύρει μετά χρυσίου παραγινόμενος καί μηδέν ἐξ ὧν εἴπομεν ἐναντίον διαπραττόμενος, ἀλλά μετά τῶν συνεμπόρων αὐτοῦ εἰσελθών ἐν αὐτῇ, ἐάν μόνον ἅπασαν τήν πανήγυριν περιέρχηται, κατασκοπῶν καί καταμανθάνων ποτέ μέν τούς γνωρίμους, ποτέ δέ καί τούς μή γνωριζομένους αὐτῷ, οἰκείους τε καί ἀλλοτρίους, πῶς ἕκαστος αὐτῶν πραγματεύεται, αὐτός δέ μηδέν πραγματεύσηται καί οὕτως ἀκαίρως περιερχομένου αὐτοῦ διαλυθείη πάλιν ἡ πανήγυρις, πάντων αὐτομολησάντων εἰς τά οἰκεῖα, οὐχί οἱ ἐμπορευσάμενοι μέν τόν καιρόν ἐξηγοράσαντο ἐν σπουδῇ, τά τῷ καιρῷ πρέποντα ἐργασάμενοι καί κέρδος ἐκεῖθεν ἑαυτοῖς περιποιησάμενοι, ὁ δέ περιεργαζόμενος τά ἀλλότρια καί μή πραγματευσάμενος, εἰ καί συνῆν αὐτοῖς, ἐζημιώθη τόν καιρόν, μηδέν ἐκ τοῦ εὑρηθῆναι εἰς τήν πανήγυριν ὠφεληθείς; Εἰ δέ καί ἄλλοι μέν αὖθις τῇ προσδοκίᾳ τοῦ κέρδους καί λῃστῶν ἐφόδου καί κόπου ὁδοιπορίας καί μακρᾶς ὁδοῦ καταφρονοῦσιν, ὁ δέ, φόβῳ τούτων βαλλόμενος, κἄν ὑπό πάντων παρακαλῆται συνοδοιπορῆσαι αὐτοῖς, κἄν ὑποσχομένους φυλάττειν αὐτόν ἀκούῃ ἀπό τῶν προσδοκωμένων αὐτῷ κακῶν, οὐ προαιρεῖται ἀκολουθῆσαι αὐτοῖς καί ἀπελθεῖν πραγματεύσασθαι μετ᾽ αὐτῶν ἐν τῇ πανηγύρει, οὐχί οἱ μέν καιρόν ἐξηγοράσαντο, καλῶς πραγματευσάμενοι καί κερδήσαντες, ὁ δέ τοῦτον ἀφρόνως ἐζημιώθη, φοβηθείς ἐκεῖ φόβον οὗ οὐκ ἦν φόβος;

Οὕτω τοιγαροῦν ἐστι καί ἐπί πάσῃ πράξει καί ἐργασίᾳ πνευματικῇ. Ὅταν γάρ ἄλλοι ἐν ταῖς ἐντολαῖς πορεύωνται τοῦ Θεοῦ καί τάς ἀρετάς πάσας μετά σπουδῆς καί θέρμης ἐργάζωνται, ἡμεῖς δέ ἐν ἀμελείᾳ καί ἀργίᾳ διάγωμεν, ἐκεῖνοι μέν ἐξηγοράσαντο τόν καιρόν καί τά μέγιστα ὠφελήθησαν, ἡμεῖς δέ καί ἑαυτούς καί τόν καιρόν ἀπωλέσαμεν. Ἀλλά γάρ ἔτι τό νόημα ἐξετάσωμεν. Τί οὖν φησιν· «*Ἐξαγοραζόμενοι τόν καιρόν, ὅτι αἱ ἡμέραι πονηραί εἰσιν*»; Πῶς οὖν ἐξαγοράζεταί τις τόν καιρόν καί τίς ἐστιν οὗτος καί τίνες αἱ πονηραί ἡμέραι δι᾽ ἅς ὀφείλομεν ἐξαγοράζεσθαι τόν καιρόν; Καιρός πραγματείας ἀνθρώπου παντός ὁ χρόνος οὗτός ἐστι τῆς παρούσης ζωῆς· ταύτης δέ τῆς ζωῆς προδήλως πονηραί εἰσιν αἱ ἡμέραι τοῖς μή καλῶς χρωμένοις αὐταῖς. Πᾶς οὖν ὁ σωφρόνως καί δικαίως μετά φρονήματος ὑγιοῦς πολιτευόμενος ἐν τῷ βίῳ καί φέρων ἐν ἀδρίᾳ καί ὑπομονῇ ψυχῆς τά ἐπίπονα καί λυπηρά τῶν ἐπερχομένων αὐτῷ πειρασμῶν τε καί θλίψεων, εἴτε ἐξ ὁρατῶν, εἴτε ἐξ ἀοράτων ἐχθρῶν, ἐξαγοράζεται τόν καιρόν φρονίμως καί καταπραγματεύεται τῶν πονηρῶν ἡμερῶν τῆς παρούσης ζωῆς. Καί ἵνα τοῦτο σαφέστερον γένηται, ἐκ τῶν ἐπισυμβαινόντων καθ᾽ ἑκάστην τῷ βίῳ τόν λόγον ποιήσομαι.

Ὁ εἰδώς καλῶς τόν παρόντα πραγματεύσασθαι καιρόν, ὅποταν θλίψεις ἐπενεχθῶσι καί ὀνείδη καί ἀτιμίαι καί σκώμματα, ὡς γνωρίζων τά χρήματα καί τό ἐξ αὐτῶν κέρδος

σαφῶς προειδώς, ἁρπάζει ταῦτα καί αἴρει ἐπ᾿ ὤμων αὐτοῦ καί χαίρων πορεύεται, ὑπομονήν μόνην ἀντί χρυσίου καταβαλλόμενος καί οὕτως ἐξαγοράζεται τόν καιρόν ἐν μιᾷ ῥοπῇ, ὅν ἕτεροι ἐν πολλοῖς ἔτεσι νηστεύοντες, ἀγρυπνοῦντες, χαμευνοῦντες καί πολλά οἴκαδε κοπιῶντες, εὑρεῖν ἤ λαβεῖν ἤ κερδῆσαι οὐ δύνανται. Ὁ δέ μή εἰδώς οὕτως πραγματεύσασθαι ἀπόλλει τόν καιρόν τῆς σωτηρίας αὐτοῦ. Εἰ δοκεῖ δέ, καί ἄλλως ἐν ὑποδείγματι τόν λόγον γυμνάσωμεν. Δύο τινῶν εἰς παράβασιν ἐντολῆς Θεοῦ τυραννικῶς προσκαλουμένων ὑπό τινος, εἰ ὁ μέν αὐτῶν δειλίᾳ καί φόβῳ τῶν μελλόντων ἐπενεχθῆναι αὐτῷ κολάσεων καί τιμωριῶν φυγῇ χρήσοιτο καί ἀπελθών κρυβηθῇ, ὁ δέ γε ἕτερος παρρησιάσεται καί πολλάς ὑπέρ τῆς ἐντολῆς τοῦ Θεοῦ βασάνους ὑπενέγκῃ, ἤ καί θάνατον αὐτόν ὑποστῇ, ποῖος τούτων ἐξηγοράσατο τόν καιρόν; Ὁ κρυβείς καί τάς θλίψεις διεκφυγών, ἤ ὁ πολλά παθών καί ὑπενεγκών ἤ καί ἴσως ἀποθανών; Εὔδηλον ὅτι πάντως ὁ τάς θλίψεις ὑπομείνας καί τόν θάνατον μή παραιτησάμενος οὗτός ἐστιν ὁ τόν καιρόν ἐξαγορασάμενος, ὁ ἕτερος δέ σύν τῷ καιρῷ καί τήν σωτηρίαν τῆς ἑαυτοῦ ψυχῆς ἐζημιώθη.

Τοιγαροῦν οἱ ὀρθῶς φρονοῦντες διά θλίψεων καί πειρασμῶν τῶν ἐνταῦθα, τά αἰώνια ἀγαθά καί τήν ἄληκτον εὐφροσύνην ἀξαγοράζονται καί διά τοῦ σωματικοῦ θανάτου τήν μετά τοῦ ἀθανάτου καί αἰωνίου Θεοῦ αἰώνιον καί ἀθάνατον διαγωγήν τε καί κατοικίαν. Καί καθάπερ ἔμπορος, πολλά τινα καί πολύτιμα εὑρών πράγματα, ὀλίγῳ τιμήματι πιπρασκόμενα, ὀβολῷ τυχόν ἑνί ἤ νομίσματι, μετά χαρᾶς αὐτό καί ἐν σπουδῇ ἀποδίδωσι, τά τίμια ἐκεῖνα λαβεῖν ἐφιέμενος, οὕτω καί ὁ ὑπέρ ἐντολῆς Θεοῦ ἀγωνιζόμενος ἐν εὐφροσύνῃ καί σπουδῇ θανεῖν αἵρεται, ὡς δι᾿ ὀβολοῦ ἑνός, τοῦ θανάτου λέγω, τά αἰώνια μέλλων κτήσασθαι ἀγαθά. Οὐχ οὕτως δέ οἱ φιλόκοσμοι, οὐχ οὕτως οἱ φιλόζωοι, οἱ φιλόδοξοι, οἱ φιλόσαρκοι, οἱ φιλήδονοι καί οἱ φιλόπλουτοι· ἀλλ᾿ ἐπάν πρός παράβασιν ἐντολῆς Θεοῦ προσκληθῶσιν ὑπό τινος τῶν ἐν ὑπεροχῇ κοσμικῇ τυγχανόντων, τήν παρ᾿ αὐτοῦ ἀγανάκτησιν καί ἀτιμίαν ἤ ἀποστροφήν καί χρημάτων ζημίαν ὑπενεγκεῖν μή δυνάμενοι, προδιδοῦσι τά αἰώνια καί ἀτίμητα καί ἐξαγοράζονται ἀφρόνως τά πρόσκαιρα καί φθαρτά καί μηδενός ἄξια, καί ἀπολλύουσι τήν ἑαυτῶν σωτηρίαν, αὐτήν δηλαδή τήν ζωήν τήν αἰώνιον· οἵ καί τήν ἄνεσιν ἐξωνήσασθαι ἐν ὀλίγαις ἡμέραις προτιμῶνται καί εἰς αἰῶνας ἀπείρους κολάζεσθαι πραγματεύονται τῆς παρούσης ζωῆς αὐτῶν τόν καιρόν. Ὅπερ ἵνα μή πάθωμεν καί ἡμεῖς, ἐξαγορασώμεθα, παρακαλῶ, τόν παρόντα καιρόν, ἕως ἔτι ἡ πανήγυρις τῆς ζωῆς ἡμῶν ἵσταται, ἐπειδή αἱ ἡμέραι αὐτῆς λίαν εἰσι πονηραί, μυρία καθ᾿ ἑκάστην ἐπεγείρουσαι τά κύματα τῆς κυμαινομένης καθ᾿ ἡμῶν ἁλμυρᾶς ἁμαρτίας, ποτέ μέν διά τῆς εὐπαθείας τοῦ σώματος καί τῶν ἀτάκτων αὐτοῦ κινημάτων ζάλης καί τρικυμίας πληροῦσαι ἡμῶν τάς ψυχάς, ποτέ δέ διά τῶν ἐπιτιθεμένων ἡμῖν ὁρατῶν καί ἀοράτων ἐχθρῶν εἰς ἀθυμίαν καί ἐπιθυμίαν καί θυμόν ἄγριον ἐμβάλλουσαι καί διεγείρουσαι τάς καρδίας ἡμῶν καί διά τῶν τοιούτων μακράν ὅλους ἡμᾶς ποιοῦσαι τῆς βασιλείας τῶν οὐρανῶν.

Ἐξαγορασώμεθα οὖν τόν καιρόν ἡμῶν τῆς ζωῆς, διδοῦντες τάς προθέσεις ἡμῶν καί ὅλους ἑαυτούς εἰς μόνην τήν ἐργασίαν τῶν ἐντολῶν τοῦ Θεοῦ, εἰς μόνην τήν κτῆσιν καί

τό κέρδος τῆς ἀρετῆς, ἵνα ἐν ἀγωγίμοις τῶν χαρισμάτων τοῦ Πνεύματος εἰς λιμένας Θεοῦ καταντήσωμεν καί φύγωμεν τάς πονηράς ἐκείνας ἡμέρας καί τήν ἀκοήν ἐκείνην τήν πονηράν, τήν τούς ἁμαρτωλούς ἀποπέμπουσαν εἰς τό πῦρ τό ἐξώτερον τό ἡτοιμασμένον τῷ διαβόλῳ καί τοῖς ἀγγέλοις αὐτοῦ.

Ἐξαγορασώμεθα τήν φρόνησιν ἡμῶν τῆς ψυχῆς διά τῆς τῶν ὁρωμένων καταφρονήσεως καί τῆς τῶν κρειττόνων μελέτης καί ἐργασίας, καί φευξόμεθα τό φρόνημα τῆς σαρκός, ὅ ἀρέσαι Θεῷ οὐ δύναται, ἀλλ’ οὐδέ τῆς ἀπολαύσεως τῶν προσκαίρων ἁρπάσαι ἡμᾶς καί πρός τά διαμένοντα καί αἰώνια ἐμβιβάσαι ἡμῶν τήν διάνοιαν· ὅ ζῆσαι κατά Θεόν οὐκ ἐᾷ τόν κρατούμενον ὑπ’ αὐτοῦ, ἀλλά κατασπᾷ τήν ψυχήν ἀεί μᾶλλον εἰς τάς κτηνώδεις ὁρμάς τῆς σαρκός καί ὅλον κτηνώδη τόν ἄνθρωπον ἀπεργάζεται.

Ἐξαγορασώμεθα τήν δικαιοσύνην ἡμῶν, δι’ ἧς Θεῷ οἰκειούμεθα, διά πάσης εὐσεβείας καί διακρίσεως διακρίνοντες τοῦ δικαίου τό ἄδικον καί προτιμούμενοι τήν ἀρετήν τῆς κακίας, μή διδοῦντες τῷ πονηρῷ εἴσοδον ἤ παρρησίαν εἰς ὄλεθρον ἑαυτῶν καί ἀπώλειαν, ἀλλ’ ἀπονέμοντες τήν τιμήν ἑκάστῳ ἀξίως, καί τῷ μέν σώματι παρέχοντες αὐταρκῶς διατροφάς καί σκεπάσματα, τῇ δέ ψυχῇ, τό ὅλον ἡμῶν τῆς δυνάμεως ἐν μελέτῃ θείᾳ τῶν ἐννοιῶν, ἐν εὐχαῖς, ἐν δάκρυσί τε καί ἀναγνώσεσιν αὐτήν διατρέφοντες καί καθαίροντες εἰς ὑποδοχήν τοῦ θείου φωτός, αὐτοῦ τοῦ ἡλίου τῆς δικαιοσύνης Θεοῦ, ὅς καί δικαιώσει διά τῆς δωρεᾶς τοῦ Ἁγίου Πνεύματος αὐτοῦ καί δικαίους ἡμᾶς ἀποδείξῃ τῇ συναφείᾳ αὐτοῦ, κοινωνούς τῶν ἀπορρήτων ἀγαθῶν τῆς βασιλείας αὐτοῦ ἐργαζόμενος.

Ἐξαγορασώμεθα τήν ἀδρίαν τῶν ἰδίων ψυχῶν ἐν ὑπομονῇ πολλῇ καί καρτερίᾳ τῶν πειρασμῶν κατά τήν τοῦ Κυρίου φωνήν· «*Ἐν τῇ ὑπομονῇ ὑμῶν, φησί, κτήσασθε τάς ψυχάς ὑμῶν*», ἀνδρείῳ δηλονότι φρονήματι κατά τῆς ἁμαρτίας ἱστάμενοι καί τόν πολέμιον βάλλοντες τοῖς ὅπλοις τοῦ Πνεύματος, κακοπαθοῦντες ὡς καλοί στρατιῶται Χριστοῦ ἐν νηστείαις, ἐν ἀγρυπνίαις, ἐν χαμευνίαις, ἐν εὐχαῖς, ἐν πένθει, ἐν σάκκῳ καί μετανοίᾳ καί ἀενάοις δεήσεσι, ἵνα τόν στέφανον τῆς νίκης ἀράμενοι εἰς αἰῶνας συμβασιλεύσωμεν τῷ Χριστῷ.

Ἐξαγορασώμεθα τήν σωφροσύνην τοῦ σώματος ἡμῶν διά πάσης ἐγκρατείας καί ταπεινώσεως, ἐπειδή ὁ νομίμως ἀθλῶν καί ἀγωνιζόμενος ἐν τῷ σταδίῳ τῆς εὐσεβείας πάντα ἐγκρατεύεται κατά τόν θεῖον Ἀπόστολον. Ἐάν γάρ ταύτην κτησώμεθα, φευξόμεθα τάς πονηράς ἡμέρας τῆς ἀλόγου ἐπιθυμίας καί τοῦ θυμοῦ καί αὐτῆς τῆς σαρκός τῆς ὄντως πολεμίας τοῦ Πνεύματος· φευξόμεθα τόν μολυσμόν τόν ἐκ τῶν τοιούτων γινόμενον τῇ ψυχῇ, τήν τοῦ συνειδότος κατάκρισιν, τήν τῆς καρδίας ἀκαθαρσίαν, τήν τῶν ἀνθρώπων κατάγνωσιν, αὐτήν τήν ἀποστροφήν τοῦ Θεοῦ, καί μεγάλα ἐν τῇ πνευματικῇ ταύτῃ πραγματείᾳ κερδανοῦμεν, τόν καιρόν φρονίμως πραγματευσάμενοι τῆς παρούσης ζωῆς καί τήν ὁδόν τοῦ βίου διελθόντες ἐν δικαιοσύνῃ καί σωφροσύνῃ, τό βάρος δηλαδή καί τόν καύσωνα τῆς ἡμέρας ἀνδρείας βαστάσαντες.

Οὕτω γάρ τόν παρόντα καιρόν πραγματευόμενοι, παραχωροῦντες τοῖς βουλομένοις τά πρόσκαιρα καί μόνων τῶν ἀφθάρτων καί αἰωνίων ἀντιποιούμενοι, καταντήσομεν εἰς εὔδιον λιμένα τῆς τοῦ Θεοῦ βασιλείας ἐν ἀγωγίμοις πλουσίως τοῦ Πνεύματος καί οὐ φοβηθησόμεθα ἤ τήν πονηράν ἐκείνην ἀκοήν τήν τούς ἁμαρτωλούς ἐλαύνουσαν εἰς τό πῦρ τό ἐξώτερον, ἤ τάς πονηράς ἐκείνας βασάνους καί τήν φρικτήν ἡμέραν καί καταδίκην τῆς κρίσεως, αὐτόν ἐπιφερόμενοι τόν πολύτιμον μαργαρίτην τοῦ Πνεύματος, ὅν εὕρομεν καί ἐξωνησάμεθα, πάντα δεδωκότες ἡμῶν τά θελήματα, τά φρονήματα, τάς προθέσεις καί τάς δυνάμεις ἐν τῇ πραγματείᾳ τοῦ καιροῦ τῆς παρούσης ζωῆς. Οὗ γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, καλῶς πραγματευσαμένους τόν παρόντα βίον τῆς ἐνταῦθα ζωῆς, χάριτι καί φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα σύν τῷ Πατρί καί τῷ Ἁγίῳ Πνεύματι νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων· ἀμήν.

# ΛΟΓΟΣ ΙΓ΄. Εἰς τό ῥητόν τοῦ Ἀποστόλου· «*Ὁ πρῶτος ἄνθρωπος ἐκ γῆς χοϊκός, ὁ δεύτερον ἄνθρωπος ὁ Κύριος ἐξ οὐρανοῦ*». Καί πῶς τόν χοϊκόν ἀποτιθέμεθα ἄνθρωπον καί τόν Χριστόν ἐνδυόμεθα, συγγενεῖς αὐτοῦ καί ἀδελφοί χρηματίσαντες.

Καλῶς ἡμᾶς ἑστιάσας ὁ μακάριος Παῦλος ἐν τῇ προτέρᾳ τῶν θείων λόγων αὐτοῦ τραπέζῃ καί κατευφράνας ἡμῶν τάς καρδίας, ἑτέραν αὖθις προτίθησιν ἡμῖν εἰς ἑστίασιν τράπεζαν τῶν θεοπνεύστων ῥημάτων αὐτοῦ, πλήρη μέν ἐδεσμάτων πνευματικῶν καί ἀφ’ ὧν ὁ ἔσω ἡμῶν οἶδε τρέφεσθαι ἄνθρωπος, εὐφραινόμενος ὁμοῦ καί στηριζόμενος τήν καρδίαν τῷ ἄρτῳ τοῦ λόγου τῷ ζωτικῷ καί τῷ οἴνῳ τῷ εὐφραίνοντι τῆς σοφίας καί γνώσεως τοῦ Θεοῦ, πλήρη δέ καί χάριτος θείας τοῦ Πνεύματος, ἀφ’ οὗ πληροῦται πάσης εὐφροσύνης καί ἡδονῆς ἡ ψυχή καί, τά κάτω λιποῦσα τοῦ βίου, πρός οὐρανούς καί Θεόν κούφῳ τῷ πτερῷ τῆς διανοίας ἀνέρχεται. Ἴδωμεν οὖν τίς ἡ τράπεζα αὕτη τοῦ Ἀποστόλου καί τί τά ταύτης ἐδέσματα. Ἀλλ’ ἐπάρωμεν τάς διανοίας ἡμῶν ἀπό τῶν γηΐνων καί φθειρομένων καί, ὡς λογίων Θεοῦ μέλλοντες ἀκούειν, προσέχωμεν τοῖς λεγομένοις μετά ἀκριβείας ἁπάσης, ἵνα καί ἀξίως συνεστιαθῆναι ἀξιωθῶμεν τῷ λέγοντι Πνεύματι διά τοῦ Ἀποστόλου τά κεκρυμμένα μυστήρια τῆς βασιλείας τῶν οὐρανῶν. Φησί δέ· «*Ὁ πρῶτος ἄνθρωπος ἐκ γῆς χοϊκός, ὁ δεύτερος ἄνθρωπος ὁ Κύριος, ἐξ οὐρανοῦ*». Μή ἁπλῶς παραδράμῃς τόν λόγον καί ὡς εὐεπίβολον τοῦτον ὑπολάβῃς, ἀγαπητέ· βάθος γάρ πολύ νοημάτων ἔγκειται εἰς τήν τοῦ παρόντος λόγου διάνοιαν, πολλῆς δεόμενον τῆς ἐρεύνης καί προσοχῆς. Ἀλλά τήν ἀκοήν ὑπόθες ἑτοίμην, καί εἴσῃ τό ἐγκεκρυμμένον ἐν αὐτῷ βάθος τῶν μυστηρίων Θεοῦ.

«*Ὁ πρῶτος ἄνθρωπος ἐκ γῆς χοϊκός, ὁ δεύτερος ἄνθρωπος ὁ Κύριος ἐξ οὐρανοῦ. Οἷος ὁ χοϊκός, τοιοῦτοι καί οἱ χοϊκοί· καί οἷος ὁ ἐπουράνιος, τοιοῦτοι καί οἱ ἐπουράνιοι*». Πρῶτον καί χοϊκόν ἄνθρωπον τόν Ἀδάμ φησι, καθώς γέγραπται· «*Καί ἔπλασεν ὁ Θεός τόν ἄνθρωπον χοῦν λαβών ἀπό τῆς γῆς*». Πλασθείς οὖν χοϊκός ἀπό τῆς γῆς καί πνεῦμα λαβών ζωῆς, ὅ ψυχήν νοεράν καί εἰκόνα Θεοῦ οἶδεν ὁ Λόγος καλεῖν, ἐτέθη ἐν τῷ παραδείσῳ, λαβών ἐντολήν ἐργάζεσθαι καί φυλάσσειν. Τίνα τρόπον; Ἵνα, ἕως ἄν ταύτην φυλάσσοι καί ἐν ταύτῃ ἐργάζοιτο, ἀθάνατος διαμένῃ καί ἀϊδίως τοῖς ἀγγέλοις συναμιλλᾶται καί σύν αὐτοῖς ἀενάως τόν Θεόν ἀνυμνῇ καί δέχηται τάς ἐκεῖθεν ἐλλάμψεις καί Θεόν ὁρᾷ νοερῶς καί τῶν ἐκείνου ἐπακούῃ θείων φωνῶν, ᾗ δ’ ἄν ὥρᾳ τήν δοθεῖσαν αὐτῷ ἐντολήν παραβῇ καί φάγῃ ἀπό τοῦ ξύλου, οὗ προσέταξεν αὐτῷ ὁ Θεός μή φαγεῖν, θανάτῳ παραδοθῇ καί τούς ὀφθαλμούς τῆς ψυχῆς πηρωθῇ, τήν καταστολήν τῆς θείας δόξης ἀποδυθείς, καί ἐμφραγῇ τά ὦτα καί αὐτῆς τῆς μετά τῶν ἀγγέλων ἐκπέσῃ διαγωγῆς καί τοῦ παραδείσου ἐκδιωχθῇ. Ὅ καί παραβάντι συνέβη καί ἐξέπεσε τῆς ἀθανάτου καί ἀϊδίου ζωῆς. Ἅπαξ γάρ τήν ἐντολήν τοῦ Θεοῦ ὁ Ἀδάμ παραβάς καί τῷ ἀπατεῶνι διαβόλῳ τό οὖς ἑαυτοῦ παρασχών ψιθυρίσαι καί πεισθείς αὐτῷ, τῶν δολίων

αὐτοῦ ῥημάτων ἀκουτισθείς, λαλοῦντι κατά τοῦ πεποιηκότος Δεσπότου, τοῦ ξύλου ἐγεύσατο καί, αἰσθητῶς ἀναβλέψας, ἐμπαθῶς τε τήν γύμνωσιν τοῦ σώματος αὐτοῦ θεασάμενος καί ἰδών, ἁπάντων ἐστερήθη δικαίως τῶν ἀγαθῶν, κωφεύσας τοῦ μηκέτι ἐπακούειν ὠσί βεβήλοις λόγους θείους θεοπρεπῶς τε καί πνευματικῶς, τούς ἐνηχουμένους μόνοις τοῖς ἀξίοις αὐτοῖς, ἀλλά γάρ μήτε τήν δόξαν ἐκείνην τήν ἄρρητον καθορᾶν, ὡς ἀποστήσας ἐκ ταύτης ἑκουσίως τόν νοῦν αὐτοῦ καί κατανοήσας ἐμπαθῶς τόν τοῦ δένδρου καρπόν καί τῷ εἰπόντι πιστεύσας ὄφει· «*Ἧ δ' ἄν ὥρᾳ φάγητε ἀπ' αὐτοῦ, ἔσεσθε ὡς θεοί, γινώσκοντες καλόν καί πονηρόν*».

Οὗτος οὖν ὁ χοϊκός ἄνθρωπος ἐλπίδι θεώσεως ἀπατηθείς καί μεταλαβών ἐξ αὐτοῦ, τόν νοητῶν ἁπάντων καί οὐρανίων ἀγαθῶν ὁλικῶς ἀπεστερήθη καί εἰς τήν ἐμπαθῆ τῶν ἐπιγείων καί ὁρωμένων κτισμάτων αἴσθησιν κατηνέχθη· καί γέγονεν, ἵνα τά αὐτά πάλιν εἴπω, πρός τά ἐξ ὧν ἐξέπεσε κωφός, τυφλός, γυμνός, ἀναίσθητος, θνητός τε αὖ καί φθαρτός καί ἄλογος, τοῖς ἀνοήτοις ὁμοιωθείς κτήνεσι κατά τόν οὕτω βοῶντα προφήτην· «*Παρασυνεβλήθη τοῖς κτήνεσι τοῖς ἀνοήτοις καί ὡμοιώθη αὐτοῖς*». Ἔμαθες ἐξ οἵας δόξης καί ἀθανάτου τρυφῆς τε καί διαγωγῆς εἰς οἵαν ἀτιμίαν ὁ ἄνθρωπος κατηνέχθη, εἰς οἵαν αἰσχύνην καί ἄγνοιαν, εἰς οἵαν πτωχείαν ἐκ πλούτου πολυόλβου κατέπεσεν; Οὕτω τοίνυν ἐγένετο καί ἦν, εἰ καί μή πάντα εἰπεῖν ἠδυνήθημεν, ὁ πρῶτος ἄνθρωπος, ὁ ἐκ γῆς χοϊκός.

Ἴδωμεν οὖν καί ἀπό τῶν θείων διδαχθῶμεν Γραφῶν ὁποῖος ὑπάρχει καί ὁ δεύτερον ἄνθρωπος, ὁ Κύριος ἐξ οὐρανοῦ. Οὗτος, Θεός ἐκ Θεοῦ, ἀνάρχου πατρός ἄναρχον γέννημα, ἀσωμάτου ἀσώματον, ἀκαταλήπτου ἀκατάληπτον, αἰωνίου αἰώνιον, ἀπροσίτου ἀπρόσιτον, ἀχωρήτου ἀχώρητον, ἀθανάτου ἀθάνατον, ἀοράτου ἀόρατον, Λόγος Θεοῦ καί Θεός, δι' οὗ τά πάντα ἐγένετο τά ἐν τῷ οὐρανῷ τά ἐπί τῆς γῆς καί, ἵνα συνελών εἴπω, οὕτως ὤν καί τοιοῦτος μένων ἐν τῷ Πατρί καί τόν Πατέρα ἔχων μένοντα ἐν αὐτῷ, μή χωρισθείς ἐξ αὐτοῦ, μή καταλιπών ὅλως αὐτόν, κατῆλθεν ἐπί τῆς γῆς καί ἐσαρκώθη ἐκ Πνεύματος Ἁγίου καί Μαρίας τῆς παρθένου· καί ἐνηνθρώπησεν, ἴσος ἡμῖν ἀτρέπτως κατά πάντα γενόμενος χωρίς ἁμαρτίας, ἵνα διά πάντων τῶν ἡμετέρων διελθών ἀναχωνεύσῃ καί ἀνακαινίσῃ τόν πρῶτον ἐκεῖνον ἄνθρωπον καί δι' ἐκείνου πάντας τούς ἐξ αὐτοῦ γεννηθέντας καί γεννωμένους, ὁμοίους ὄντας τῷ τεκόντι αὐτούς. Ἐπειδή γάρ ὁ τεκών Ἀδάμ φθαρτός καί θνητός, προσθήσω δέ καί κωφός καί τυφλός, ἀπό τῆς παραβάσεως γέγονε, γυμνός τε τῆς ἐνθέου καταστολῆς καί ἀναίσθητος ἐχρημάτισεν, οἷος οὗτος ὁ χοϊκός, τοιοῦτοι καί πάντες οἱ ἐκ αὐτοῦ γεννηθέντες χοϊκοί γεγόνασι, φθαρτοί, θνητοί, κωφοί, τυφλοί, γυμνοί καί ἀναίσθητοι, μηδέν τῶν ἀλόγων διαφέροντες ζῴων, ἤ χείρονες μᾶλλον εἰπεῖν καί αὐτῶν ἐκείνων ὑπάρξαντες, ὡς τά καθ' ἕκαστον πάθη συμπεριλαβόντες ἐκείνων καί ἐν ἑαυτοῖς ταῦτα ἐπισπασάμενοι.

Εἰς τοσαύτην γάρ ἄγνοιαν Θεοῦ καί τῶν θείων αὐτοῦ ἐντολῶν κατηνέχθησαν οἱ ἐκ τοῦ χοϊκοῦ τούτου χοϊκοί γεννηθέντες, ὥστε ἥν ὤφειλον ἀπονεῖμαι Θεῷ τήν τιμήν τῇ ὁρωμένῃ ταύτῃ κτίσει ἀπένειμον, καί οὐ μόνον οὐρανῷ καί γῇ καί ἡλίῳ, σελήνῃ τε καί

ἄστροις καί πυρί καί ὕδατι καί λοιποῖς, ἀλλά γάρ καί αὐτά τά αἰσχρά θεοποιήσαντες πάθη ἅ μηδέ ἐννοεῖν, μή ὅτι γε πράττειν, αὐτούς ὁ Θεός ἀπηγορεύσεν, ὡς θεούς - ὤ τῆς ἀναισθησίας - στήσαντες προσεκύνησαν. Τίνα ταῦτα; Πορνείαν, μοιχείαν, ἀνδρομανίαν, ἀλληλοφονίαν, καί εἴ τι τούτοις παρόμοιον, ἅτινα οὐχ ὁ Θεός - ἄπαγε τῆς βλασφημίας - ἀλλ' ὁ διάβολος καί προστάττει καί ὑποβάλλει καί ἀποδέχεται, δι' ὧν κατεδουλώσατο καί καταδουλοῦται ἅπαν τό τῶν ἀνθρώπων γένος καί ὑποχειρίους αὐτοῦ καί δούλους πεποίηκε καί ποιεῖ. Ὅθεν, κἄν εὑρέθη τις πάλαι ἐκ τῶν ἀπείρων ἐκείνων μυριάδων καί χιλιάδων μή ὑποκύψας αὐτοῦ τοῖς αἰσχροῖς προστάγμασι καί θελήμασι τούτοις, ἀλλ' ἐπεί καί αὐτός διά τό κατάγεσθαι ἐκ τοῦ σπέρματος τῶν ἁμαρτησάντων δοῦλος ἦν τοῦ τυράννου θανάτου καί τῇ φθορᾷ τούτου παρεδίδοτο καί τῷ ᾅδῃ ἀσυμπαθῶς παρεπέμπετο, μηδενός ὄντος δηλαδή τοῦ δυναμένου σῶσαι καί αὐτόν ἐκλυτρώσασθαι, διά δή τοῦτο οἰκτειρήσας ὁ ποιήσας ἡμᾶς Θεός Λόγος κατῆλθεν, ὡς οἶδε, καί ἐγένετο ἄνθρωπος οὐκ ἐκ συνουσίας ἤ ῥεύσεως - , ἀλλ' ἐκ Πνεύματος Ἁγίου καί Μαρίας τῆς ἀειπαρθένου. Ἀναλαβών γάρ ἐκ τῶν πανάγνων αὐτῆς αἱμάτων σάρκα ἐψυχωμένην, ἐγένετο ἄνθρωπος, σάρξ ὅλος αὐτός χρηματίσας καί γεγονώς, ὁ Υἱός καί Λόγος τοῦ Θεοῦ δηλονότι, ἀτρέπτως, ἀναλλοιώτως, καθώς γέγραπται· «*Καί ὁ Λόγος σάρξ ἐγένετο καί ἐσκήνωσεν ἐν ἡμῖν*». Τοῦτο τό πᾶσιν ἀκατάληπτον καί πᾶσιν ἀκατανόητον θαῦμα, ὅτι ὁ αὐτός καί ἄτρεπτος ἔμεινε τῇ θεότητι καί ἄνθρωπος γέγονε τέλειος.

Καθάπερ γάρ τόν Ἀδάμ ἀπό τῆς γῆς ἔπλασεν ὁ Θεός καί πνεῦμα ζωῆς αὐτῷ ἐχαρίσατο, καί ἐγένετο ἄνθρωπος τέλειος εἰς ψυχήν ζῶσαν ἄνευ συνουσίας καί ῥεύσεως, οὕτως ὁ ἐκεῖνον δημιουργήσας ἄνευ συνουσίας καί ῥεύσεως ἄνθρωπος γίνεται· καί ὥσπερ ἐκεῖ γέγραπται ἐν τῇ παλαιᾷ ὅτι ἔβαλεν ὁ Θεός ἔκστασιν ἐπί τόν Ἀδάμ καί ὕπνωσε καί λαβών μίαν τῶν πλευρῶν αὐτοῦ ἀνῳκοδόμησε καί ἐποίησε τήν γυναῖκα, οὕτω καί ἐνταῦθα πεποίηκε. Πῶς καί τίνα τρόπον; Πρόσεχε. Ἡ πλευρά τοῦ Ἀδάμ ἐστιν ἡ γυνή. Ἐξ αὐτῆς οὖν τῆς πλευρᾶς τοῦ Ἀδάμ, ἤγουν ἀπό τῆς γυναικός αὐτῆς, ἔλαβεν ὁ Θεός Λόγος σάρκα ἐψυχωμένην καί ᾠκοδόμησεν αὐτήν εἰς ἄνδρα τέλειον, ἵνα γένηται υἱός ἐπ' ἀληθείας τοῦ Ἀδάμ· ἄνθρωπος δέ χρηματίσας καί γεγονώς ὅμοιος ἡμῖν κατά πάντα πλήν ἁμαρτίας, πάντων εὐθύς ἀνθρώπων συγγενής τό κατά σάρκα ἐγένετο.Τοῦτο γάρ καί ἕτερός τις τῶν πρό ἡμῶν ἔφη οὕτως εἰπών· «*Τήν σάρκα ἐνδυσάμενος, ἐνεδύσατο καί τήν ἀδελφότητα*». Ἀλλ' αὐτός Θεός ὁμοῦ καί ἄνθρωπος, καί ἡ σάρξ αὐτοῦ καί ἡ ψυχή αὐτοῦ ἁγία καί ὑπεραγία ἦν καί ἔστι· Θεός ἅγιος, ὥσπερ ἦν, ὁ αὐτός καί ἔστι καί ἔσται· ἄμωμος καί γάρ ἦν ἡ Παρθένος, ἄσπιλος καί ἀμίαντος· τοιαύτη δέ ἦν καί ἡ ἐκ τοῦ Ἀδάμ ἀφαιρεθεῖσα πλευρά. Οἱ δέ γε λοιποί τῶν ἀνθρώπων, εἰ καί ἀδελφοί καί συγγενεῖς αὐτοῦ τό κατά σάρκα ὑπῆρξαν, ἀλλά χοϊκοί ὄντες τοιοῦτοι ἔμειναν καί οὐχί εὐθύς ἐγένοντο ἅγιοι καί υἱοί Θεοῦ. Αλλά προσέχετε ἀκριβῶς τῷ ταῦτα λέγοντι Πνεύματι· ἐγένετο ἄνθρωπος ὁ Θεός, ἁπάντων δέ ἀνθρώπων συγγενής καί ἀδελφός ἐχρημάτισε. Μόνος οὖν Υἱός Θεοῦ καί Θεός καί ἄνθρωπος ὤν, μόνος ἦν καί ἔστιν ἅγιος, ὡς ἔσται εἰς τούς αἰῶνας, μόνος δίκαιος, μόνος ἀληθινός, μόνος ἀθάνατος, μόνος φιλάνθρωπος, μόνος ἐλεήμων καί εὔσπλαγχνος, μόνος δυνάστης, μόνος φῶς τοῦ κόσμου καί φῶς ὤν τό ἀπρόσιτον.

Τοιούτου τοίνυν ὄντος αὐτοῦ, ἡμῶν δέ κειμένων ἐν τῷ θανάτῳ καί τῇ φθορᾷ καί μηδεμίαν κοινωνίαν ὅλως ἐχόντων μετ’ αὐτοῦ, εἰ μή μόνην, ὡς ἔφαμεν, τήν κατά σάρκα συγγένειαν, ἐμεσίτευσεν ἀνά μέσον τῶν ἀμφοτέρων, Θεοῦ φημί καί ἀνθρώπων, ἡ πίστις ἡ εἰς αὐτόν, ἵνα ἐπείπερ πτωχοί ὄντες καί μηδέν ὅλως ἔχοντες εἰσενεγκεῖν τῇ σωτηρίᾳ ἡμῶν, ἀντί πάντων τήν εἰς αὐτόν πίστιν δεξάμενος, ἐλεήσας ἡμᾶς ὁ Θεός τήν τῶν ἁμαρτημάτων ἄφεσιν καί τήν ἀπαλλαγήν τοῦ θανάτου καί τῆς φθορᾶς καί τήν ἐλευθερίαν ἡμῖν χαρίσηται· ἅς καί μέχρι τοῦ νῦν χαρίζεται τοῖς ὁλοψύχως πιστεύουσιν εἰς αὐτόν, καί οὐ μόνον ταῦτα, ἀλλά καί τά λοιπά ἅ ἡμῖν ἐπηγγείλατο καί διά τῶν ἁγίων εὐαγγελίων καθ’ ἑκάστην ἡμῖν ἐπαγγέλεται. Τίνα εἰσι ταῦτα; Τοῦ δι’ ὕδατος καί Πνεύματος ἀναγεννᾶν καί ἀναπλάττειν ἡμᾶς καί συναριθμεῖν τοῖς δούλοις αὐτοῦ τοῖς ἁγίοις, τοῦ παρέχειν ἡμῖν τήν χάριν τοῦ Πνεύματος αὐτοῦ τοῦ Ἁγίου καί διδόναι ἡμῖν μετασχεῖν δι’ αὐτοῦ τά ἀγαθά τῆς γῆς ἥν οἱ πραεῖς κληρονομοῦσιν ἐν εὐφροσύνῃ καί ἀγαλλιάσει καρδίας, τοῦ ἑνωθῆναι αὐτόν καί συναριθμῆναι ἡμῖν καί ἕν ἀμφοτέρους γενέσθαι ἐν αὐτῷ τῷ Θεῷ καί Πατρί δι’ αὐτοῦ συνεδεμένους τῷ Πνεύματι.

Τούτων οὖν πάντων ἐν μετοχῇ καί ἀπολαύσει γινόμεθα, ὅταν ἀκριβῶς πάντα ὅσα συνεταξάμεθα αὐτῷ τηρῶμεν καί ὅσα πάλιν ἀπεταξάμεθα φεύγωμεν, μή ἐπιτρέφοντες εἰς τό ἴδιον ἐξέραμα κατά τούς κύνας. Τοιγαροῦν καί εἰ μέν φυλάξομεν πάντα ἅ εἶπε καί λέγει ἡμῖν αὐτός ὁ Θεός, ὄντως πιστοί ἐσμεν, ἐκ τῶν ἔργων δεικνύοντες τήν πίστιν ἡμῶν, καί γινόμεθα ὡς ἐκεῖνος ἅγιοι καί τέλειοι, ὅλοι ὅλως ἐπουράνιοι, ἐπουρανίου Θεοῦ τέκνα, ὅμοιοι αὐτῷ κατά πάντα θέσει καί χάριτι, ἐπειδή καί αὐτός ὡς ἡμεῖς ὅμοιος ἡμῖν ἐχρημάτισε πλήν ἁμαρτίας· εἰ δέ τῶν ἁγίων καί ζωοποιῶν αὐτοῦ ἐντολῶν καταφρονήσαντες, ἀποστῶμεν διά ἀμελείας καί ἐναντίον τι τῶν αὐτοῦ προσταγμάτων ἐνεργήσομεν, πεπραχότες ἅ μή ποιῆσαι ἡμῖν ἐνετείλατο, εὐθύς πάντων ἐκείνων τῶν ἐκ Θεοῦ διά τοῦ βαπτίσματος δοθέντων ἡμῖν ἀγαθῶν ἐκπίπτομεν. Καί ὥσπερ ὁ Ἀδάμ μετά τήν παράβασιν τοῦ παραδείσου καί τῆς τρυφῆς καί τῆς μετ’ ἀγγέλων διαγωγῆς ἐκβάλλεται καί γυμνοῦται καί ἀπό ὄψεως γίνεται τοῦ Θεοῦ, οὕτω καί ἡμεῖς τῆς Ἐκκλησίας τῶν ἁγίων δούλων αὐτοῦ χωριζόμεθα ἁμαρτάνοντες καί τῆς θείας καταστολῆς ἥν ἐνεδυσάμεθα οἱ βαπτιζόμενοι, αὐτόν δηλαδή τόν Χριστόν, ὡς πιστεύομεν, τοῦτον διά τῆς ἁμαρτίας ἀποδυόμεθα· οὐ μόνον δέ, ἀλλά καί αὐτῆς τῆς αἰωνίου ζωῆς καί αὐτοῦ τοῦ ἀδύτου φωτός, τῶν αἰωνίων ἀγαθῶν, τοῦ ἁγιασμοῦ καί τῆς υἱοθεσίας στερούμεθα. Καί οὕτως γινόμεθα πάλιν χοϊκοί, ὡς ὁ πρῶτος ἐκεῖνος καί χοϊκός, ἀντί ἐπουρανίων καί αὐτοῦ τοῦ δευτέρου ἀνθρώπου καί Κυρίου Ἰησοῦ Χριστοῦ κατά πάντων ὁμοίων· καί γινόμεθα ἔτι πρός τούτοις ὑπόδικοι τῷ θανάτῳ καί τῷ σκότει, καί τῷ πυρί τῷ ἀσβέστῳ παραπεμπόμεθα, ἐν μεγάλῳ κλαυθμῷ καί τῷ βρυγμῷ τῶν ὀδόντων βασανιζόμενοι. Οὐ γάρ ἀπό αἰσθητοῦ παραδείσου, ὡς ὁ Ἀδάμ τότε, καί νῦν ἡμεῖς ἐκβαλλόμεθα, οὐδέ τήν γῆν ἐργάζεσθαι καθά κἀκεῖνος κατακρινόμεθα, ἀλλ’ ἐκ τῆς τῶν οὐρανῶν βασιλείας καί τῶν ἀγαθῶν ἐκείνων περί ὧν γέγραπται· «*Ἅ ὀφθαλμός οὐκ εἶδε καί οὖς οὐκ ἤκουσε καί ἐπί καρδίαν ἀνθρώπου οὐκ ἀνέβη*» ἡμᾶς ἐκβάλλομεν ἑαυτούς καί τῆς γεέννης ὑπευθύνους ποιοῦμεν· καί εἰ μή διά τῆς μετανοίας ἡ ἀνάκλησις ἡμῖν ἀπεδίδοτο, οὐδείς ἄν ἐσώθη ποτέ.

Διά δή τοῦτο, φιλάνθρωπος ὤν ὁ Θεός καί οἰκτίρμων καί θέλων τήν σωτηρίαν ἡμῶν, τέθεικε σοφῶς ἀνά μέσον ἡμῶν καί ἀνά μέσον ἐκείνου τήν ἐξομολόγησιν καί τήν μετάνοιαν, καί ἐξουσίαν δέδωκε παντί τῷ βουλομένῳ τοῦ πτώματος ἀνακαλέσθαι ἑαυτόν καί διά ταύτης εἰς τήν προτέραν εἰσελθεῖν οἰκειότητά τε καί δόξαν καί παρρησίαν τήν πρός τόν Θεόν, καί οὐ τοῦτο μόνον, ἀλλά καί τῶν εἰρημένων ἐκείνων ἁπάντων ἀγαθῶν, εἰ βουληθείη θερμήν τήν μετάνοιαν ἐπιδείξασθαι, ἤ καί μειζόνων κληρονόμον και αὖθις γενέσθαι αὐτόν. Κατά γάρ τήν ἀναλογίαν τῆς μετανοίας ἀναλογοῦσαν εὑρίσκει τήν πρός Θεόν παρρησίαν καί οἰκειότητα πᾶς ἄνθρωπος, καί ταύτην γνωστῶς καί ἐναργῶς καί ὡς εἴ τις φίλος πρός φίλον, καί προσομιλεῖ αὐτῷ προσώπῳ πρός πρόσωπον καί ὁρᾷ αὐτόν νοεροῖς ὀφθαλμοῖς καθαρῶς. Οἱ οὖν μετά τό βάπτισμα τήν τοιαύτην οἰκειότητα καί παρρησίαν καί τήν τῶν εἰρημένων ἀγαθῶν μετοχήν μή ἐν πάσῃ ἔχοντες πληροφορίᾳ, μηδέ ὅτι Χριστόν ἐνδεδυμένοι εἰσί γινώσκοντες, μηδέ καθορῶσιν ἐν τῷ τοῦ Πνεύματος φωτί τό τῆς θεότητος αὐτοῦ φῶς, ἐγκυψάτωσαν εἰς τό συνειδός ἑαυτῶν· καί τοῦτο ἀκριβῶς ἐξερευνήσαντες, εὑρήσουσιν ἑαυτούς τάς ἐπί τοῦ βαπτίσματος συνθήκας ἐκ παντός ἀθετήσαντας ἤ μερικῶς ἤ καί καθόλου, εἰ δ᾽ οὖν, ἀλλά τό δοθέν αὐτοῖς τοῦ ἁγιασμοῦ καί τῆς υἱοθεσίας τάλαντον κατορύξαντας καί μή ὑπεξεργασαμένους αὐτό καί διά τοῦτο τῆς τοῦ Δεσπότου θέας ἀπεστερημένους, ἐπεί ἀψευδής ἐστιν ἐκεῖνος καί ἀμεταμέλητος ἐν τοῖς χαρίσμασιν αὐτοῦ· ἔφη γάρ· «*Ὁ ἀγαπῶν με τάς ἐντολάς μου τηρήσει καί ἐγώ ἀγαπήσω αὐτόν καί ἐμφανίσω αὐτῷ ἐμαυτόν*».

Ἠκούσατε τί ὁ Δεσπότης φησί· «*Ὁ ἀγαπῶν με τάς ἐντολάς μου τηρήσει, κἀγώ ἀγαπήσω αὐτόν καί ἐμφανίσω αὐτῷ ἐμαυτόν*». Εἰ οὖν ἀλήθειά ἐστιν ὁ Χριστός, καθώς αὐτός περί ἑαυτοῦ εἴρηκεν· «*Ἐγώ εἰμι, λέγων, ἡ ἀλήθεια*», ἡ ἀλήθεια δέ οὐ δύναται ψεύσασθαι (ἀδύνατον γάρ, φησίν ὁ Ἀπόστολος, Θεόν ψεύσασθαι), μηδείς τῶν μή βλεπόντων τόν Κύριον λεγέτω ὅτι ἀδύνατον τοῦτό ἐστιν· οὐκ ἀδύνατον γάρ, ἀλλά καί λίαν ἐστί δυνατόν. Εἰ γάρ ἐκεῖνος λέγει· «*Ἐγώ εἰ μι τό φῶς τοῦ κόσμου*», οἱ μή ὁρῶντες αὐτόν τυφλοί εἰσιν ἄντικρυς, τυφλοί δέ πάντως ἔμειναν ὄντες, ἐπειδή μή ἠγάπησαν αὐτόν καί τάς αὐτοῦ ἐτήρησαν ἐντολάς. Εἰ γάρ ἠγάπησαν αὐτόν καί τάς αὐτοῦ ἐτήρησαν ἐντολάς, ἐν ἐπιθυμίᾳ ἐγένοντο ἄν τοῦ ἰδεῖν αὐτόν καί τοῦτο ἐξ ὅλης αὐτῶν ἐζήτησαν τῆς ψυχῆς καί αὐτός ἑαυτόν αὐτοῖς ἐνεφάνισεν ἄν, ὁ ἀψευδής, ὁ φύσει ἀληθής καί ἡ ἀλήθεια, καί διά τοῦτο παραγενόμενος εἰς τόν κόσμον ἵνα πάντας τούς ἐν τῷ κόσμῳ, ἤγουν τούς ἐν τῷ σκότει καθημένους, φωτίσῃ οὐκ ἀλλοτρίῳ τινί φωτί, ἀλλά φωτί τῆς οἰκείας αὐτοῦ δόξης τε καί θεότητος. Μηδείς οὖν τῶν μή βλεπόντων πιστῶν νοερῶς τόν Κύριον, μηδέ τῷ φωτί αὐτοῦ τρανῶς καί γνωστῶς ἐλλαμπόμενος, μηδέ ἐν τῇ θεωρίᾳ τῆς δόξης αὐτοῦ διά παντός μένων καί μένοντα βλέπων ἐν ἑαυτῷ τόν Θεόν, λεγέτω τοῦτο ἀδύνατον· μηδέ γάρ ὡς ἄπιστος καί αὐτός φθεγγέσθω ταῦτα λαλῶν, ἀλλ᾽ ἕκαστος ὑμῶν, ἀγαπητοί, τό ἑαυτοῦ συνειδός, ὡς εἴπομεν, ἐρευνήσας, αἴτιον ἑαυτόν εὑρήσει τῆς στερήσεως τοῦ Δεσπότου καί τῆς θέας τῆς δόξης αὐτοῦ.

Μετανοησάτω οὖν ἕκαστος ὑμῶν καί θρηνησάτω ἑαυτόν, ὁπότε οὕτως ἔχοντα ἴδοι, ὅτι τοσούτων καί τηλικούτων ἀγαθῶν ἑαυτόν ἀπεστέρησεν, ἐκπεσών τῆς δόξης καί τῆς

θεωρίας τοῦ βασιλέως τῶν οὐρανῶν, καί σπουδασάτω διά μετανοίας καί ἐξομολογήσεως τῶν αἰωνίων ἐπιτυχεῖν ἀγαθῶν, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καί τό κράτος σύν τῷ Πατρί καί τῷ Ἁγίῳ Πνεύματι εἰς τούς αἰῶνας· ἀμήν.

## ΛΟΓΟΣ ΙΔ΄. Περί ἑορτῶν καί ὅπως χρή ἑορτάζειν καί τίνων σύμβολα τά τελούμενα ἐν ταῖς ἑορταῖς καί κατά τῶν ἐναβρυνομένων ἐν αὐταῖς. Καί περί τῶν ἀξίως ἤ ἀναξίως κοινωνούντων καί τίς ἡ ἐν τούτοις διαφορά· καί πρός τό τέλος, πῶς συνάπτεταί τις διά τῆς κοινωνίας Θεῷ καί πῶς οὐ συνάπτεται.

Ὁ συνιέναι καί συνιδεῖν δυνηθείς ὅτι γυμνός ἐκ τοῦ μή ὄντος παραχθείς εἰς τόν κόσμον εἰσῆλθεν, οὗτος τόν ποιήσαντα αὐτόν ἐπιγνώσεται καί μόνον αὐτόν φοβηθήσεται καί ἀγαπήσει καί αὐτῷ δουλεύσει ἐξ ὅλης ψυχῆς καί οὐδέν οὐδαμῶς, προτιμήσει τῶν ὁρωμένων αὐτοῦ, ἀλλά ξένον πάντων τῶν ἐπιγείων, εἰπεῖν δέ καί αὐτῶν τῶν ἐν τῷ οὐρανῷ, ἑαυτόν εἶναι ἐν πάσῃ πληροφορίᾳ εἰδώς, ὅλην αὐτοῦ τήν πρόθεσιν τῆς ψυχῆς εἰς τήν θεραπείαν τοῦ πεποιηκότος αὐτόν ἐκδίδωσιν. Εἰ γάρ ἐξ ὧν ἐπλάσθη καί ἐν οἷς διάγει ξένος ἐστί, πολλῷ μᾶλλον ἐκείνων ὧν κατά πολύ ἀφέστηκε καί τῇ φύσει καί τῇ οὐσίᾳ καί τῇ διαγωγῇ. Ὁ δέ γε ξένον ἑαυτόν ὄντα τῶν ἐπιγείων ἐπεγνωκώς καί εἰδώς ὅτι γυμνός ἐν τῷ θεάτρῳ τούτῳ εἰσῆλθε καί γυμνός πάλιν ἐξέρχεσθαι τούτου μέλλει, πῶς οὐχί πενθήσει; Πῶς δέ οὐ κλαύσει οὐχ ἑαυτόν μόνον, ἀλλά καί πάντας τούς ὁμογενεῖς καί ὁμοιοπαθεῖς αὐτῷ ἀνθρώπους; Ὁ δέ καί τόν Θεόν μόνον ἀγαπῶν καί φοβούμενος, πῶς σωματικῶς εὐφρανθήσεται, ἤ σωματικῶς κατά τήν τῶν ἀνθρώπων συνήθειαν οὕτω πως ἀγνώστως ἑορτάσει καί ἀλογίστως, αὐτοῦ τοῦ Κυρίου πρός τούς τοιούτους ἀεί λεγοντος· «*Ὁ κόσμος χαρήσεται, ὑμεῖς δέ λυπηθήσεσθε· ἀλλά θαρσεῖτε, ἐγώ νενίκηκα τόν κόσμον. Ἀναστήσομαι γάρ ἐν ὑμῖν, καταποθέντος τοῦ χείρονος κόσμου ὑπό τῆς ζωῆς τῆς βραβευομένης πᾶσιν ἐκ τοῦ ἐμοῦ Πνεύματος· καί ἰδόντες με, χαρήσεται ὑμῶν ἡ καρδία καί τήν χαράν ὑμῶν οὐδείς αἴρει ἀφ’ ὑμῶν*». Πῶς οὖν ὁ τόν οὐράνιον βλέπων Δεσπότην ἐπιγείου τινός ἐν ἐπιθυμίᾳ γένηται πράγματος, ἤ ἐννοήσει τι ὅ μή ἀρέσκει Θεῷ; Πῶς δέ ὁ καί ξένον ἑαυτόν εἰδώς ἐν πληροφορίᾳ γυμνόν τε καί πένητα, εἰ καί τά πάντα κατέχει, ἀποστολικῶς εἰπεῖν, ἐγκαλλωπισθήσεται, ἤ ἐφ’ οἷς ἄρα ποιεῖ ἐπαρθήσεται, ἤ ἐπί πλήθει κηρῶν καί λύχνων μεγάλα φρονήσει καί ἐπί ἀρώμασι καί μύροις, ἤ συνάξει λαοῦ, ἤ εὐθηνούσῃ τραπέζῃ καί πολυτελεῖ, καί φίλων παριφανείᾳ καί παρουσίᾳ ἐνδόξων ἀνδρῶν τῶν ἐπί τῆς γῆς ἐγκαυχήσεται; Οὐδαμῶς οὖν. Οἶδε γάρ ταῦτα πάντα καίπάντας ὁμοῦ τήν σήμερον ὄντας καί παρερχομένους τήν αὔριον, σήμερον τά παρόντα φαινόμενα καί μετ’ ὀλίγον ἀφανιζόμενα. Οὐδέ γάρ ἔχει πρός τά γινόμενα ὁ τοιοῦτος καί τό ἑορτάζειν καλῶς ἐπιστάμενος ἤ τόν νοῦν ἑαυτοῦ ἤ τήν αἴσθησιν ὅλως - τοῦτο γάρ τῶν μηδέν πλέον τῶν ὁρωμένων φανταζομένων ἐστίν - , ἀλλ’ ὡς ἐνεστῶτα ἐν τοῖς τελουμένοις ὁρᾷ σοφῷ τῷ νοΐ τά μέλλοντα καί ἐπ’ αὐτοῖς τήν καρδίαν εὐφραίνεται καί δοκεῖ ὅλον ἐν ἐκείνοις ἑαυτόν εἶναι καί μετά τῶν ἑορταζόντων εἰς οὐρανούς τό πλῆθος τοῦ λαοῦ, ἤ τήν τῶν φίλων συνέλευσιν, ἀλλά τό μετ’ ὀλίγον ἀεί ἐννοεῖ, ὅτι δή τά μέν σβεσθήσονται, οἱ δέ ἀπελεύσονται ἕκαστος εἰς τά ἴδια καί μόνος αὐτός ἐν ἐν σκότει καταλειφθήσεται. Μή δή οὖν μοι χρόνους καί μῆνας καί καιρῶν περιόδους ἀρίθμει, μηδέ λέγε μοι «*Ἰδού ἑώρτασα τήν Χριστοῦ γέννησιν, τήν Ὑπαπαντήν, τά Θεοφάνια, τήν Ἀνάστασιν, τήν Ἀνάληψιν, τήν τοῦ Πνεύματος κάθοδον*». Μή ταυτά μοι λέγει μηδέ πάσας

ἀρίθμει τάς ἑορτάς, ἀλλά μηδέ ἀρκεῖν σοι ταύτας λογίζου πρός σωτηρίαν ψυχῆς μηδέ ἐν λαμπροῖς ἱματίοις καί ἀγερώχοις ἵπποις καί μύροις πολυτίμοις, κηροῖς τε καί λύχνοις καί πλήθει λαοῦ, τήν ἑορτήν σοι νόμιζε εἶναι. Ταῦτα γάρ λαμπράν τήν ἑορτήν οὐ ποιεῖ οὐδέ ἀληθής ἑορτή ἐστι τοῦτο, ἀλλά σύμβολα ἑορτῆς. Τί γάρ μοι ὄφελος, ἀγαπητέ, μή εἴπω κηρούς καί λύχνους ἀνάψαι πολλούς ἐν τῷ ναῷ καί τῇ τῶν πιστῶν ἐκκλησίᾳ, ἀλλ᾽ ἐάν τοιούτους αὐτούς κτήσασθαι δυνηθῶ, οἷον τόν ἀπ᾽ οὐρανοῦ λάμποντα ἥλιον, καί ἀντί λύχνων πολλῶν τούς ἀστέρας προσπῆξαι τῷ ὀρόφῳ τοῦ νοῦ καί ποιῆσαι αὐτόν καινόν οὐρανόν καί πρᾶγμα ξένον ἐπί τῆς γῆς, καί ἔτι πρός τούτοις, ἐν τῷ τούτων ἀγαλλιασθῆναι φωτί, θαυμαστωθῆναί τε παρά τῶν συνεληλυθότων καί ἐπαινεθῆναι, εἶτα μετ᾽ ὀλίγον, πάντων ἀποσβεσθέντων αὐτῶν, αὐτός ἐγώ ἐν σκότει καταλειφθήσομαι; Εἰ δέ καί σήμερον μέν μύροις ἐμαυτόν τε καί τούς συνεληλυθότας εὐωδιάσαιμι, αὔριον δέ ἐκ τῆς ἐμαυτοῦ σαρκός καί τοῦ ῥύπου ταύτης δωσωδίας πλησθήσομαι, τί μοι τό ὄφελος, εἰπέ μοι, ὁ λαμπραῖς αὐτῶν ἑορταῖς, καί συνετῶς, εἴ ἐστί σοι σύνεσις, κατά τόν Σοφόν, ἀποκρίθητι. Ὄντως οὐδέν, κἄν ἄγῃς σιωπήν, ὑπό τοῦ λόγου ἀγχόμενος. Εἰ γάρ σήμερον φωτισθήσομαι, αὔριον δέ σκοτισθήσομαι, ἤ σήμερον εὐφρανθήσομαι, τῇ λύπῃ δέ βληθήσομαι αὔριον, ἤ καί ταύτῃ μέν τῇ ἡμέρᾳ ὑγιείας ἀπολαύσαιμι, τῇ ἐπιούσῃ δέ βληθήσομαι νόσῳ, τί μοι τό κέρδος; Εἰπέ. Τίς δέ ἡ ἐκ τῶν εἰρημένων ἀπόλαυσις; «*Οὐ ταύτας τάς ἑορτάς ἐξελεξάμην, λέγει Κύριος. Τίς γάρ, φησί, ταῦτα ἐκ τῶν χειρῶν ὑμῶν ἐξεζήτησεν;*» Οὐχ οὕτως ἑορτάζειν ἡμᾶς Χριστός νενομοθέτηκεν. Ἀλλά πῶς; Ἄκουε νουνεχῶς. Πρῶτον δέ τάς ἀντιθέσεις σοι τῶν ἀντιδιατιθεμένων τῷ λόγῳ προθήσω λεγόντων οὕτω «*Τί δέ;*» φησίν. «*Οὐκ ἀνάψομεν κηρούς τε καί λύχνους; Οὐ μύρα προσενέγκωμεν καί θυμίαμα; Οὐ προσκαλεσόμεθα ᾄδοντα λαόν, οὐδέ γνωστούς καί φίλους καί ἄρχοντας συναθροίσομεν; Ταῦτα λέγεις; Οὕτω προστάσσεις;*» φησίν. Οὐ τοῦτο λεγω, μή γένοιτο ἀλλά καί λίαν δαψιλῶς σοι ταῦτα ποιεῖν καί συμβουλεύω καί συναινῶ. Πλήν ἀλλά τόν τρόπον εἰδέναι σε βούλομαι καί ἤδη ὑποτιθῶ σοι καί αὐτό τό τῆς ἑορτῆς τῶν πιστῶν τό μυστήριον. Ποῖον δή τοῦτο; Ὅπερ αὐτά σοι δηλοῦσι τυπικῶς τά γινόμενα παρά σοῦ. Τό γάρ νοητόν σοι φῶς, αἱ λαμπάδες ὑποσημαίνουσαι δεικνύουσιν. Καθάπερ γάρ ὁ ναός, οὗτος ὁ περικαλλής οἶκος, ὑπό τῶν πολλῶν καταλάμπεται λαμπάδων, οὕτω καί ὁ οἶκος τῆς σῆς ψυχῆς, ὁ τοῦδε τοῦ ναοῦ τιμιώτερος, νοητῶς ὀφείλει φωτίζεσθαι καί καταλάμπεσθαι, καιομένων καί φαινόντων ἐν σοί τῶν πνευματικῶν πασῶν ἀρετῶν δηλονότι διά τοῦ θείου πυρός, ὡς μηδέ τόπον τινά ἐν αὐτῷ ἀπολειφθῆναι φωτός ἄμοιρον τούς δέ φωτοειδεῖς λογισμούς, τό πλῆθος ὑπογράφει σοι τῶν καιομένων λύχνων ὑπό τοῦ ὁρωμένου πυρός, ἵνα, καθώσπερ οὗτοι, λάμπῃ ὁ καθείς αὐτῶν καί μή λογισμός ἐναπολειφθῇ σκοτεινός ἐν τῇ οἰκίᾳ σου τῆς ψυχῆς, ἀλλά δι᾽ ὅλου ἅπαντες ἀεί τῷ πυρί τοῦ Πνεύματος καιόμενοι λάμπωσιν, ὡς ἄν μή διακόπτηταί σου ὁ τῆς διακρίσεως τῶν λογισμῶν στεφανοειδής ὁρμαθός. Τό δέ νοητόν σοι μύρον, τά ἐκχυνόμενα δεικνύει τῶν μύρων καί τά σύνθετα τῶν θυμιαμάτων, ἅ καί χρῆναί σε διδάσκουσι κεκτῆσθαι τοῦτο πολυτελῶς ἐν σεαυτῷ. Τό μέν γάρ ἔξωθεν ῥαντιζόμενον ἔσται τοῖς πνευματικοῖς εἰς εἰκόνα τῆς κατερχομένης δρόσου ἐπί τά ὄρη Σιών καί ὡς τό καταβαῖνον ἐπί τόν πώγωνα Ἀαρών καί ἐπί τήν ᾤαν τοῦ ἐνδύματος αὐτοῦ τό δέ βλύζον ἔνδοθεν καί ὡς ὕδωρ καταψῦχον τό πνεῦμα ἔσται εἰς πηγήν νάουσαν ὕδατα ζωῆς

αἰωνίου τῷ ὑπό θείου Πνεύματος ἐνεργουμένῳ, ἀναπτόμενόν τε καί εἰς καπνόν εὐωδίας ἀναπεμπόμενον ὅ καί φαίνει λαμπρῶς καί μυρίζει ὁμοῦ τάς αἰσθήσεις εὐωδίαν πνευματικήν, τοῦτο μέν ὡς φῶς ὄν καί τοῖς καθαροῖς τήν καρδίαν ὁρώμενον, τοῦτο δέ ὡς ξύλον ζωῆς καί ἀνασταυροῦν τά θελήματα τῆς σαρκός, τό εὐωδιάζον τά σύμπαντα καί μόνους τούς πιστούς ἀεί εὐφραῖνον εὐφροσύνην πνευματικήν. Ἀλλά γάρ οὐκ ἐν τοῖς εἰρημένοις μόνον ἵσταται ταῦτα, ἀλλ’ ἔχουσι ταῦτα καί ἑτέραν ἔμφασιν διδασκαλίας πνευματικῆς. Εἰ γάρ τά ἄψυχα οὕτω Θεός τῇ εὐωδίᾳ ἐκόσμησε καί ἐδόξασε, πολλῷ μᾶλλον σέ βουλόμενον κατακοσμήσει ταῖς ἰδέαις τῶν ἀρετῶν καί τῇ εὐωδίᾳ τοῦ Πνεύματος τοῦ Ἁγίου δοξάσει, ὅν καί κατ’ εἰκόνα ἑαυτοῦ ἔκτισε καί ὁμοίωσιν. Ταῦτα γάρ τά ὑπό τῶν χειρῶν τῶν ἀνθρωπίνων συντεθέντα μύρα καί τῇ εὐωδίᾳ τοῦ μύρου εὐωδιάζοντά σου τάς αἰσθήσεις τήν σήν πλάσιν ἀναζωγραφοῦσι καί οἷον σοφῶς ὑπεμφαίνουσι. Καθάπερ γάρ τά ὑπό διαφόρων εἰδῶν συντιθέμενα μύρα χεῖρες πλάττουσι μυρεψῶν καί ἕν ἐκ πολλῶν εἶδος ἀποτελοῦσιν, οὕτω καί σέ χεῖρες Θεοῦ ἔπλασαν, συντεθέντα σοφῶς καί συναρμολογηθέντα τοῖς νοητοῖς μέλεσι τοῦ μύρου τοῦ νοητοῦ, εἴτ’ οὖν τοῖς χαρίσμασι τοῦ ζωοποιοῦ καί παντουργοῦ Πνεύματος καί μυρίζειν σε χρή τήν εὐωδίαν τῆς γνώσεως καί τῆς σοφίας αὐτοῦ, ἵνα οἱ ἀκούοντες τῶν λόγων τῆς διδασκαλίας σου εὐωδιάζωνται τά αἰσθητήρια τῆς ψυχῆς καί εὐφραίνωνται εὐφροσύνην πνευματικήν. Τά δέ συναθροισθέντα σοι πλήθη καί ᾄδοντα μεγαλοφώνως Θεῷ, τά οὐράνιά σοι τάγματα παραδηλοῦσι καί τάς ἀναριθμήτους τῶν ἀγγέλων δυνάμεις, τάς ἐπί τῇ σῇ σωτηρίᾳ τόν οὐράνιον ἀνυμνούσας Δεσπότην. Ὁ αἶνος δέ καί ὁ ὕμνος, ὁ δι’ αὐτῶν μελῳδούμενος, τόν ὕμνον ἐκεῖνον τόν μυστικόν, ὅν ἀσιγήτως οἱ ἅγιοι ἀναμέλπουσιν ἄγγελοι, ὑπαινίττεται, ὡς ἄν καί αὐτός ἑαυτόν τοιοῦτον ἀποτελέσῃς καί ὡς ἐπίγειος ἄγγελος τῷ ἀΰλῳ στόματι ἀκαταπαύστως τῆς καρδίας σου ἀνυμνῇς τόν πεποικότα σε Θεόν μυστικῶς. Οἱ δέ γε φίλοι καί γνωστοί καί τῶν ἀρχόντων οἱ συμπαρόντες διδάσκουσί σε διά τῆς παρουσίας ὅτι δεῖ σε συναρίθμιον καί ὁμοδίαιτον διά πάσης ἐργασίας τῶν ἐντολῶν καί διά τοῦ πλούτου τῶν ἀρετῶν ἀποστόλων, προφητῶν, μαρτύρων καί πάντων γενέσθαι ὁσίων. Ἐάν οὕτως ἑορτάζων λογίζῃ καί τοιοῦτος γέγονας οἷον ὁ λόγος ἀναζωγράφησεν, ἑορτήν ἑορτάζεις ἐν οἷς ποιεῖς ἑορτάζων πνευματικήν καί συνεορτάζεις ταῖς ἄνω τῶν ἀγγέλων δυνάμεσι. Εἰ δέ οὐχ οὕτως οὐδέ τοιοῦτον σεαυτόν διά τῆς ἐργασίας τῶν ἐντολῶν ἀπειργάσω, τί σοι τό ὄφελος ἑορτάζοντι; Δέος μή καί σύ, ὡς οἱ πάλαι Ἰουδαῖοι, ἀκούσῃς «*Μεταστρέψω, φησίν, εἰς πένθος τάς ἑορτάς σου καί τήν χαράν σου εἰς λύπην μεταβαλών*». Τί οὖν; Οὐχ ἑορτάσομεν σωματικῶς τε καί αἰσθητῶς, εἰ μή τοιοῦτοι δυνηθῶμεν γενέσθαι οἵους ἡμῖν τῷ λόγῳ ὑπέδειξας; Καί πάνυ μέν οὖν. «*Ἑόρταζε*» φησί, καί τά πρός τιμήν Θεοῦ καί τῶν ἁγίων αὐτοῦ ἐπιτέλει, ὅση σοι δύναμις, καί πάντας, εἰ οἷόν τε, συγκάλει, βασιλεῖς, ἄρχοντας, ἀρχιερεῖς, λευΐτας, μοναστάς, λαϊκούς, ἵνα διά πάντων δοξασθῇ ὁ Θεός διά σοῦ καί τούτων ἡ δόξα, ὡς ἐξ ἑνός σοῦ ἀναφερομένη πρός τόν Θεόν, σοί λογισθήσεται καί αὐτῷ εὐαπόδεκτος ἔσῃ. Μή οἴου δέ ὡς ἐντεῦθεν τόν Θεόν καί τούς ἁγίους δοξάζειν αὐτοῦ ἤ προσθήκην τινά τῆς δόξης αὐτοῖς ἐμποιεῖν. Πῶς γάρ; «*Οὐ γάρ δεδόξασται, φησί, τό δεδοξασμένον ἕνεκα τῆς ὑπερβαλλούσης δόξης αὐτοῦ*», οὐδέ ἐνδεῶς ἔχουσιν οἱ ἅγιοι δόξης ἐπιγείου καί ἀνθρωπίνης. Ἀλλ’ ὅπως ἐλέους τύχῃς ἀπό Θεοῦ διά τῆς ἐκείνων

πρεσβείας, ἑόρταζε. Ἀλλά μηδέ οὕτως ἑορτήν σοι ἀληθινήν εἶναι τό γινόμενον ὑποτόπαζε, τύπον δέ μᾶλλον καί σκιάν καί σύμβολον ἑορτῆς τοῦτο λογίζου. Ποίαν γάρ, εἰπέ μοι, κοινωνίαν σχοῖέν ποτε τά αἰσθητά καί ἄψυχα καί πάντῃ αἰσθήσεως ἄμοιρα πρός τά νοητά καί θεῖα καί ἔμψυχα, ἤ πνευματικά μᾶλλον εἰπεῖν καί ζῶντα καί ζωῆς αἰωνίου παρεκτικά; Ἔστω σοι ἑορτή, λελογισμένως καί εὐσεβῶς ἑορτάζοντι, μή λαμπάδων φῶς εἰς τό ὀλίγον σβεννύμενον, ἀλλά αὐτή καθαρῶς ἡ τῆς ψυχῆς σου λαμπάς, ἥτις ἡ γνῶσις ὑπάρχει τῶν θείων καί οὐρανίων πραγμάτων, ἡ ὑπό τοῦ Ἁγίου Πνεύματος χορηγουμένη τῷ Ἰσραηλιτικῷ τήν διάνοιαν. Αὕτη ἔστω σοι διά πάσης ἐκλάμπουσα τῆς ζωῆς σου, ὑπέρ τάς τοῦ ἡλίου ἀκτῖνας φαίνουσα πᾶσι τοῖς ἐν τῇ παγκοσμίῳ οἰκίᾳ, φῶς καθαρόν τοῦ λόγου ἠρτυμένον τῷ τοῦ Πνεύματος ἅλατι, κατά τήν κελεύουσαν ἐντολήν «*Λαμψάτω τό φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσι τά καλά ἔργα ὑμῶν καί δοξάσωσι τόν Πατέρα ὑμῶν τόν ἐν τοῖς οὐρανοῖς*». Ἀντί λύχνων πολλῶν, ἔστωσάν σοι αἱ φωτοειδεῖς ἔννοιαι, δι᾽ ὧν ὁ κόσμος ἅπας τῶν ἀρετῶν ἐξυφαίνεται καί ἡ ποικιλία τοῦ πνευματικοῦ ναοῦ καί τοῦ κάλλους αὐτοῦ λαμπρῶς τοῖς ὁρῶσι ὀρθῶς ὑποδείκνυται. Ἀντί μύρων καί ἀρωμάτων, εὐωδιαζέτω σε ἡ νοητή τοῦ Ἁγίου Πνεύματος εὐωδία, ἧς ἄρρητος ἡ ὀσμή καί ἡ ἀναθυμίασις φωτοειδής τῆς ὀσφρήσεως. Ἀντί πλήθους λαοῦ, συνίτωσάν σοι τά τάγματα τῶν ἁγίων ἀγγέλων δοξάζοντα τόν Θεόν ἐπί σοί καί ἀεί χαιρόμενα ἐπί τῇ σωτηρίᾳ καί ἀναβάσει καί προκοπῇ σου. Ἀντί φίλων καί ἀρχόντων καί βασιλέων, συνεορταζέτωσαν καί συγκοινωνείτωτάν σοι, οἷα δή φίλοι, οἱ προσκυνούμενοι καί τιμώμενοι παρ᾽ αὐτῶν πάντες ἅγιοι. Οὗτοι ἔστωσάν σοι φιλούμενοι καί ὑπέρ ἅπαντας προτιμώμενοι, ὡς ἄν ἐκλείποντά σε προσυποδέξωνται εἰς τάς αἰωνίους τούτων σκηνάς, ὡς τόν Λάζαρον ὁ Ἀβραάμ ἐν τοῖς κόλποις αὐτοῦ, εἰ καί θεωρεῖται τό εἰρημένον καί ἄλλως. Ἀντί πληθούσης τραπέζης τῇ ἀφθονίᾳ τῶν ἐδεσμάτων, ἔστω σοι μόνος ὁ ἄρτος ὁ ζῶν, οὐχ ὁ αἰσθητός καί φαινόμενος μόνον, ἀλλ᾽ ὁ ἐν τῷ αἰσθητῷ καί δι᾽ αὐτοῦ ὡς αἰσθητός σοι καί γενόμενος καί διδόμενος, αὐτός ὁ ἄρτος ὁ ἐκ τοῦ οὐρανοῦ καταβαίνων καί διδούς τῷ κόσμῳ ζωήν, ὅν οἱ ἐσθίοντες οὐ τρέφονται μόνον, ἀλλά καί ζωοῦνται καί ζῶντες ὡς ἐκ νεκρῶν ἐξανίστανται. Τοῦτό σοι τρυφή καί βρῶσις ἔστω ἀκόρεστος καί ἀδάπανος οἶνος δέ, οὐχ ὁ οἶνος οὗτος ὁ καί ὁρώμενος, ἀλλ᾽ ὁ φαινόμενος μέν οἶνος, νοούμενος δέ αἷμα Θεοῦ, φῶς ἄφραστον, ἄρρητος γλυκασμός, εὐφροσύνη αἰώνιος τοῦτον εἰ πίνεις ἀξίως ἀεί, οὐ μή διψήσῃς εἰς τόν αἰῶνα, μόνον ἐν αἰσθήσει ψυχῆς, ἐν ἑτοιμασίᾳ τῆς εἰρήνης τῶν ταύτης δυνάμεων. Καί σκόπει μοι ἐντεῦθεν τῶν λεγομένων τήν δύναμιν. Εἰ ἐν αἰσθήσει καί γνώσει, τῶν τοιούτων μετέχεις ἀξίως εἰ δέ μή οὕτως, ἀναξίως πάντως ἐσθίεις καί πίνεις. Εἰ ἐν θεωρίᾳ καθαρᾷ μετείληφας οὗ μετείληφας, ἰδού δή ἄξιος γέγονας τῆς τοιαύτης τραπέζης εἰ γάρ μή ἄξιος γένῃ, οὐ κολληθήσῃ, οὐδαμῶς ἑνωθήσῃ Θεῷ. Μή τοίνυν οἰέσθωσαν οἱ τῶν θείων μυστηρίων ἀναξίως μετέχοντες ὅτι δι᾽ αὐτῶν ἁπλῶς οὕτω κολλῶνται καί ἑνοῦνται Θεῷ τῷ ἀοράτῳ τοῦτο γάρ οὐκ ἔσται αὐτοῖς οὐδαμῶς, οὐδ᾽ οὐ μή γενήσεταί ποτε. Μόνοι γάρ οἱ τῇ μετουσίᾳ τῆς θείας τοῦ Κυρίου σαρκός καί τήν ἀποκάλυψιν τῇ νοερᾷ προσψαύσει τῆς ἀοράτου θεότητος ἐν τῷ νοερῷ ὄμματι καί στόματι καταξιούμενοι ἰδεῖν καί φαγεῖν γινώσκουσιν ὅτι χρηστός ὁ Κύριος, οἵ οὐκ ἄρτον μόνον αἰσθητόν αἰσθητῶς, ἀλλά καί Θεόν ὁμοῦ ἐν ταὐτῷ νοητῶς ἐσθίοντες ἅμα καί πίνοντες, ἐν αἰσθήσει διτταῖς ὡσαύτως τόν μέν ὁρατῶς τόν δέ ἀοράτως

τρεφόμενοι, ἑνοῦνται κατ’ ἄμφω τῷ διττῷ τάς φύσεις Χριστῷ, σύσσωμοι αὐτῷ γινόμενοι καί συγκοινωνοί τῆς δόξης καί τῆς θεότητος. Οὕτω γάρ ἑνοῦνται Θεῷ οἱ ἀξίως καί ἐν γνώσει θεωρίᾳ τοῦ μυστηρίου ἐκ τοῦ ἄρτου ἐσθίοντες τούτου καί ἐκ τούτου τοῦ ποτηρίου πίνοντες εὐαισθήτῳ ψυχῇ καί καρδίᾳ οἱ δ’ ἀναξίως τοῦτο ποιοῦντες κενοί τῆς δωρεᾶς εἰσι τοῦ Πνεύματος τοῦ Ἁγίου, τρέφοντες μόνον τό σῶμα, οὐχί δέ καί τήν ψυχήν ἑαυτῶν. Ἀλλά μή θορυβηθῇς τήν ἀλήθειαν ἀκούων, ἀγαπητέ, δηλουμένην σοι παρ’ ἡμῶν. Εἰ γάρ ἄρτον ζωῆς καί διδόντα ζωήν αὐτόν τήν σάρκα εἶναι ὁμολογεῖς τοῦ Κυρίου καί τό αἷμα αὐτοῦ οἶδας καί διδοῦν ζωήν τοῖς μετέχουσι καί γινόμενον ἐν τῷ πίνοντι ὡς πηγή ὕδατος ἁλλομένου εἰς ζωήν αἰώνιον, πῶς, εἰπέ, σύ τούτων μετέχων οὐδέν πλέον ψυχικῶς προστίθης, ἀλλ’ εἰ καί μικράν τινα ἴσως ἐπαισθανθήσῃ χαράν, μένεις πάλιν μετά μικρόν οἷος ἦς καί τό πρότερον, μηδεμίαν προσθήκην ζωῆς ἐν σοί, ἤ πηγήν βλυστάνουσαν, ἤ βλέπων τό οἱονοῦν φῶς; Ὁ γάρ ἄρτος οὗτος αἰσθητῶς μέν ψωμός φαίνεται τοῖς μή ὑπέρ τήν αἴσθησιν γενομένοις, νοερῶς δέ φῶς ἀχώρητόν ἐστι καί ἀπρόσιτον οὕτω καί ὁ οἶνος φῶς καί αὐτός ὁμοίως, ζωή, πῦρ καί ὕδωρ ἐστί ζῶν. Εἰ οὖν, τρώγων καί πίνων τόν θεῖον ἄρτον καί τόν τῆς εὐφροσύνης οἶνον, οὐκ ἔσῃ γινώσκων εἰ ζωήν ἔζησας τήν ἀνώλεθρον, εἰ φωτοειδῆ τόν ἄρτον, ἤ πύρινον αὐτόν, ὡς ὁ προφήτης ἐδέξω ἐντός σου, εἰ ὡς ὕδωρ ἁλλόμενον καί λαλοῦν τό δεσποτικόν ἔπιες αἷμα, εἰ οὐδέν οὐδαμῶς τούτων ἐν θεωρίᾳ καί μεθέξει ἐγένου, πῶς οἴει τῆς ζωῆς κοινωνός γεγονέναι; Πῶς δέ νομίζεις ἅψασθαι τοῦ ἀπροσίτου πυρός, ἤ πῶς ὅλος μεταλαβεῖν ὑπολαμβάνεις τοῦ ἀϊδίου φωτός; Οὔμενουν οὐδαμῶς τοῦτό σοι γέγονε, τῷ περί τά τοιαῦτα ἀνεπαισθήτως ἔχοντι ἀλλά τό φῶς σε καταλάμπει ὄντα τυφλόν, θερμαίνει δέ σε τό πῦρ, οὐχ ἥψατο δέ, ἡ ζωή ἐπεσκίασεν, οὐχ ἡνώθη σοι δέ, τό ζῶν ὕδωρ διῆλθεν ὡς διά ῥύακος τῆς σῆς ψυχῆς, ἐπειδή ἀξίαν ἑαυτοῦ οὐχ εὗρεν ὑποδοχήν. Οὕτως οὖν λαμβάνων καί οὕτως ἁπτόμενος τῶν ἀψαύστων καί δοκῶν ἐσθίειν, μένεις μή λαμβάνων, μή ἐσθίων, μηδέν ὅλως ἔχων ἐν σεαυτῷ. Ὁ γάρ ἀπρόσιτος Λόγος, ὁ ἄρτος ὁ ἐκ τοῦ οὐρανοῦ καταβαίνων, οὐ περιλαμβάνεται αἰσθητῶς, ἀλλά συμπεριλαμβάνει μᾶλλον αὐτός καί ἅπτεται καί ἀσυγχύτως ἑνοῦται τοῖς ἀξίοις καί καλῶς εὐτρεπισμένοις πρός ὑποδοχήν τήν αὐτοῦ. Ἐάν οὕτω μέν ἑορτάζῃς, οὕτω δέ καί τῶν θείων μυστηρίων μεταλαμβάνῃς, ἔσται σοι ἅπας ὁ βίος ἑορτή μία, καί οὐδέ ἑορτή, ἀλλά ἑορτῆς ἀφορμή καί Πάσχα ἕν, ἡ ἐκ τῶν ὁρωμένων πρός τά νοούμενα μετάβασις καί ἐκχώρησις, ἔνθα πᾶσα σκιά καί ἅπας τύπος καί τά νῦν σύμβολα καταπαύουσι καί καθαροί καθαρῶς τοῦ καθαρωτάτου θύματος αἰωνίως ἐπαπολαύσομεν, ἐν Πατρί Θεῷ καί ὁμοουσίῳ τῷ Πνεύματι, Χριστόν ἀεί βλέποντες καί βλεπόμενοι πρός αὐτοῦ, Χριστῷ συνόντες, Χριστῷ συμβασιλεύοντες, οὗ μεῖζον οὐδέν ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν, ᾧ πρέπει πᾶσα δόξα, τιμή καί προσκύνησις σύν τῷ Πατρί καί τῷ παναγίῳ καί ζωοποιῷ αὐτοῦ Πνεύματι νῦν καί ἀεί καί εἰς τούς ἀτελευτήτους αἰῶνας τῶν αἰώνων ἀμήν.

# ΛΟΓΟΣ ΙΕ΄. Περί ἡσυχίας καί ὁποίας ἐργασίας ὀφείλει ἔχεσθαι ὁ ἐν ταύτῃ ἀνδρείως προσκαρτερῶν.

Περί τῆς τελεωτέρας τῶν ἀρετῶν ὀλίγα τινά προθυμούμενος εἰπεῖν, δέομαι ὑμῶν, ἀνοίξατέ μοι τά ὦτα, οἱ τοῦ μέτρου ταύτης ἐρῶντες καί εἰς τό ὕψος αὐτῆς διά τῆς προκοπῆς καί τῆς τῶν λοιπῶν ἀρετῶν καθ' ὁδόν ἀναβάσεως ἀνελθεῖν προετοιμαζόμενοι, τόν νοῦν δηλαδή ἐφιστῶντες τῇ προσοχῇ τῶν λεγομένων, ἵνα, τό ἔργον αὐτῆς διδαχθέντες ὑπό τοῦ λόγου, σπεύσητε, τῆς ἀξίας ἐφιέμενοι αὐτῆς καί τοῦ πλούτου, ἀξίους ἑαυτούς παραστῆσαι εἰς τήν ὑποδοχήν καί τήν ἐργασίαν αὐτῆς. Ἄρξομαι δέ ἐντεῦθεν καί τοῦ λόγου τήν ἀρχήν τοιαύτην τῷ ταύτης ἐραστῇ ἐν ἐπιτόμῳ ποιήσομαι. Γενέσθω τοιγαροῦν ὁ ἡσυχάζων καί ἐν κελλίῳ μόνος καθήμενος ὡς ἡ πρωτομάρτυς Θέκλα αὕτη γάρ ἐπί τῆς θυρίδος καθημένη καί τῇ διδασκαλίᾳ τοῦ Παύλου προσέχουσα, τῶν κοσμικῶν δηλονότι ἐκστᾶσα πραγμάτων καί τῶν σωματικῶν ἀναγκῶν (οὐ γάρ ἀφίστατο, φησίν, ἀλλά δίκην ἀράχνης προσκολληθεῖσα τῇ θυρίδι οὔτε πρός τό φαγεῖν οὔτε πρός τό πιεῖν ἐξανίστατο, ἀλλ' ἦν ἐπακροωμένη τοῦ Παύλου), ὑποχωρήσαντα αὐτόν κατεδίωκεν, μόνη φυγῇ χρησαμένη καί γονεῖς καί μνηστῆρα καί ἅπαντα λιποῦσα, ἐκεῖνον ἐζήτει καί ποθοῦσα κατέτρεχε, μή ἀνεχομένη ἑτέρου τινός ἐπιμνησθῆναι καθόλου πλήν Παύλου. Τοσοῦτον γάρ αὐτῆς ὁ τοῦ Παύλου πόθος ἐκράτησεν, ὥστε, κυλινδουμένη ἐπί τοῦ τόπου οὗ ὁ Παῦλος διδάσκων ἐκάθητο, κατεφίλει τό ἔδαφος ἐν ᾧ ἵσταντο οἱ πόδες αὐτοῦ. Μηδέν σοι τούτων παρέργως εἰρῆσθαι δόξῃ ἀλλ' εἰ μή εὗρες, ζήτησον καί εὑρήσεις. Γενέσθω, εἰ βούληται, καί ὡς πόρνη, τούς πόδας τοῦ Κυρίου νοερῶς κρατῶν καί φιλῶν καί βρέχων τοῖς δάκρυσι, πρός μηδένα ἄλλον ἀποβλέπων εἰ μή πρός τόν τάς ἁμαρτίας αὐτοῦ ἀφιέναι δυνάμενον. Γενέσθω καί ὡς ἡ παιδίσκη, ἧς οἱ ὀφθαλμοί εἰς χεῖρας τῆς κυρίας αὐτῆς, ἀσκαρδαμυκτί καί αὐτός ἀτενίζων εἰς χεῖρας τοῦ Κυρίου καί Θεοῦ αὐτοῦ. Γενέσθω καί ὡς νύμφη, τῷ νυμφίῳ Χριστῷ τῇ ἑνώσει συγκοιταζόμενος καί συνανιστάμενος τῇ αἰωνίῳ ζωῇ, μᾶλλον δέ ἀεί ἐν αὐτῷ μένων καί αὐτόν μένοντα ἐν αὐτῷ περιφέρων. Γενέσθω, εἰ δύναται, καί ὡς εἷς τῶν παρισταμένων ἀρχόντων τῷ ἐπιγείῳ βασιλεῖ ἔνδον ἐν τῷ κοιτῶνι αὐτοῦ, φιλικῶς αὐτῷ καί μυστικῶς προσομιλῶν, προσώπῳ πρός πρόσωπον συλλαλῶν τῷ Δεσπότῃ αὐτοῦ. Γενέσθω ὁ ἡσυχάζων ὡς οἱ ἐπί τοῦ ὄρους Θαβώρ συνανελθόντες τῷ Ἰησοῦ καί τήν ἀστράψασαν αἴγλην καί τήν ἐναλλαγήν τῶν ἱματίων αὐτοῦ καί τό φῶς τοῦ προσώπου αὐτοῦ θεασάμενοι, οἵ τήν νεφέλην ἰδόντες τήν φωτεινήν καί τήν φωνήν ἀκηκοότες τήν πατρικήν λέγουσαν «*Οὗτός ἐστιν ὁ Υἱός μου ὁ ἀγαπητός*», ἐκπλαγέντες πρηνεῖς ἐπί πρόσωπον ἔπεσον, ἵνα καί αὐτός εἰπεῖν δυνηθῇ ὡς ὁ Πέτρος «*Κύριε, καλόν ἐστιν ἡμᾶς ὧδε εἶναι. Ποιήσωμεν τρεῖς σκηνάς, σοί καί τῷ Πατρί σου καί τῷ Ἁγίῳ σου Πνεύματι, τῇ μιᾷ βασιλείᾳ, εἰς κατοικίαν αἰώνιον ψυχήν καί σῶμα καί νοῦν, καινοποιοῦντες ταῦτα τῇ καθάρσει καί τῇ τῶν ἀρετῶν ποικιλίᾳ ἐποικοδομοῦντες εἰς ὕψος*». Ἤ, ὡς οἱ ἐν Ἱερουσαλήμ ἐν τῷ ὑπερῴῳ τότε καθήμενοι, καί αὐτός τήν ἐξ ὕψους δύναμιν ἐκδεχόμενος, ἤ καί ἐπελθόντα τόν Παράκλητον ὡς ἐκεῖνοι δεξάμενος καί ὡς μεμεστωμένος γλεύκους τοῖς σαρκικοῖς νομιζόμενος καί ὡς κομπάζων καί ὑπέρ τήν

ἑαυτοῦ φύσιν κατεπαιρόμενος αὐτοῖς λογιζόμενος, διά τό καινά ἐκφέρειν καί δειρμηνεύειν διδάγματα παλαιά καί λαλεῖν γλώσσαις καί ἀνατρέπειν τούς λόγους τῶν ἀντιδιατιθεμένων τῇ διδασκαλίᾳ τοῦ Πνεύματος. Γενέσθω καί ὡς Μωϋσῆς ἐπί τῆς κορυφῆς τοῦ ὄρους, μόνος ἄνω γενόμενος καί εἴσω τῆς νεφέλης καί αὐτός εἰσερχόμενος καί ἀπό τῶν ὀφθαλμῶν τῶν ἄλλων ἀποκρυπτόμενος ὅς, εἰ τοιοῦτος γένηται, οὐ τά ὀπίσθια μόνον ἴδῃ, ἀλλά τῷ προσώπῳ γνωστῶς ἐμφανισθήσεται τοῦ Θεοῦ καί, αὐτόν τόν Θεόν μόνος ὁρῶν καί παρ' ἐκείνου ὁρώμενος καί τῆς ἐκείνου ἀκούων φωνῆς, μυσταγωγηθήσεται πρῶτον τά μυστήρια τῆς βασιλείας τῶν οὐρανῶν καί εἶθ' οὕτως ἄλλοις νομοθετήσει φωτισθήσεται, καί ἄλλους τῷ φωτί φωτίσει τῆς γνώσεως ἐλεηθήσεται, ἔπειτα ἐλεήσει. Οὗτος αἰτεῖ καί λαμβάνει καί λαβών μεταδίδωσι τοῖς αἰτοῦσιν αὐτόν λύεται τοῦ δεσμοῦ τῶν κακῶν καί λύει ἄλλους εἶθ' οὕτως αὐτός. Γενέσθω ὁ καλῶς ἡσυχάζων ὡς οἱ ἔνδον, κεκλεισμένων τῶν θυρῶν διά τόν φόβον τῶν Ἰουδαίων, καθήμενοι καί τόν Ἰησοῦν εἰσελθόντα, μᾶλλον δέ ὡς πανταχοῦ ὄντα καί συνυπάρχοντα ἔνδον αὐτῷ, θεασάμενος, τήν εἰρήνην διδόντα αἰτησάμενος λαβέτω, ἀλλά καί Πνεῦμα Ἅγιον ἐμφυσῶντα ὑποδεχέσθω μετά φόβου καί τρόμου. Βλεπέτω δέ ἀκριβῶς καί ψηλαφισάτω καλῶς ταῖς νοεραῖς χερσί τοῦ νοός καί ταῖς αἰσθήσεσει τῆς ψυχῆς, εἰ αὐτό ἐκεῖνός ἐστιν ὁ ἐπί πάντων Θεός. Οὐ γάρ ἀγανακτήσει παρ' αὐτοῦ πολυπραγμονούμενος, ἀλλά, ἀποδεξάμενος αὐτοῦ τήν ἐπαινουμένην δειλίαν, τοιαῦτά τινα εἴπῃ πρός αὐτόν «*Τί τεταραγμένος εἶ καί διά τί διαλογισμοί ἀναβαίνουσιν ἐν τῇ καρδίᾳ σου; Εἰρήνη σοι ἐγώ εἰμι, μή φοβοῦ. Ἰδέ μου τήν τῆς θεότητος δόξαν ψηλάφησον καί γνῶθι ὅτι αὐτός ἐγώ εἰμί γεῦσαι καί ἰδέ ὅτι ὁ σκότος ὤν καί εἰς ἄγγελον φωτός ἐν φαντασίᾳ καί οὐκ ἀληθείᾳ μετασχηματιζόμενος χρηστότητα καί γλυκύτητα καί χαράν καί ἐλευθερίαν καί γαληνιαῖαν κατάστασιν καί αἴσθησιν νοεράν καί φωτισμόν ψυχῆς οὔτε ἔχει, οὔτε μήν ἐμποιήσει σοι, καθώς ἐμέ θεωρεῖς τά ἀμφότερα ὄντα καί ἐν σοί αὐτά ἐργαζόμενον*». Ταῦτα τοιγαροῦν πάντα ὁ ἡσυχάζων οὐκ ἐν λόγοις μόνον λεγόμενα ὀφείλει νοεῖν, ἀλλά καί ἔργῳ καθ' ἕν τούτων καθ' ἑκάστην πραττόμενον ἐπ' αὐτῷ ὀφείλει ὁρᾶν. Εἰ δέ μή οὕτως ἐν τῇ κέλλῃ αὐτοῦ διάγων κάθηται, τί τό ὄφελος ἐμπερικλείειν τό ἑαυτοῦ σῶμα τοῖς τοίχοις; Ὁ νοῦς ἄϋλός ἐστι καί ἀσώματος οὐ τοίχοις, ἀλλά θείῳ κρατούμενος Πνεύματι, ἵσταται βεβηκώς εἰς τό κατά φύσιν καί προσομιλῶν Θεῷ. Ὁ τοίνυν μόνος ἐν κελλίῳ καθήμενος, τί ἄρα ὀφείλει ποιεῖν ἕτερον, εἰ μή ἀκριβῶς οἶδεν ἅ εἴπομεν καί ταῦτα ἔχει ἐργασίαν πνευματικήν τε καί διηνεκῆ; Ὁ γάρ τῶν ἐντολῶν ἀποστάς καί ἀπό τῶν ἔργων σχολάσας σωματικῶς, εἰ μή ἐργάζεσθαι οἶδε πνευματικῶς, πάντως ἐξ ἀμφοτέρων ἀργεῖ. Εἰ γοῦν ἡ ἀργία κακόν, ἁμαρτάνειν ὄντως ὁ ταύτῃ στοιχῶν, ἐπειδή ὁ ἐπιστήμων ἐν ἐργασίᾳ πνευματικῇ οὐκ ἐμποδίζεται παρά τοῦτο εἰς τάς διά τοῦ σώματος ἐπιτελουμένας πράξεις τῶν ἐντολῶν τοῦ Θεοῦ, ἀλλά καί λίαν συνεργεῖται μᾶλλον πρός ταύτας καί εὐκοπώτερον αὐτάς ἐργάζεται, ὁ δέ διά μόνων τῶν γινομένων ἐκτός τήν τέχνην ἐπιδεικνύμενος, ἤγουν τήν ἄσκησιν μετερχόμενος, ἐάν ἐκ τούτων σχολάσῃ, οὐκέτι καί ἐν τοῖς πνευματικοῖς ἐργάζεσθαι δύναται. Πῶς; Ὅτι τά μέν ἐργαλεῖα καί τήν ὕλην ἐν χερσί περιφέρει, ὡς δέ τῆς τέχνης ἄπειρος εἰς ἔργον αὐτήν κατασκευάσαι καί τελειῶσαι οὐ δύναται, ἀλλά ἀσθενής καί ἄκαρπος ἡ ἐργασία αὐτοῦ ἀποδείκνυται. Ἵνα δέ μάθῃς τῶν λεγομένων τήν δύναμιν, ἐξ ἑτέρων ὑποδειγμάτων

σαφεστέραν σοι ταύτην ποιήσομαι. Πόσοι, εἰ δύνασαι εἰπεῖν, ὡς ἡ πόρνη κλαῦσαι προεθυμήθησαν, οὐκ ἔλαβον δέ τήν ἄφεσιν ὡς ἐκείνη; Πόσοι εἰς τό Θαβώριον ὄρος ἀνέβησαν καί ἀνέρχονται μέχρι τοῦ νῦν, τόν δέ ἐκεῖσε μεταμορφωθέντα Κύριον οὐδαμῶς ἐθεάσαντο, οὐ διά τό μή παρεῖναι πάντως ἐκεῖσε Ἰησοῦν τόν Χριστόν, πάρεστι γάρ, ἀλλά διά τό μή ἀξίους εἶναι τῆς θεότητος αὐτοῦ θεατάς; Πόσοι τῶν Ἰουδαίων εἰσῆλθον ἐν τῷ οἰκήματι ἔνθα ἐκάθηντο οἱ ἀπόστολοι, καί οὐδείς αὐτῶν ἔλαβε τόν Παράκλητον; Πόσοι τάς Γραφάς ἑρμηνεύουσι καί τόν ἐν ταῖς Γραφαῖς λαλοῦντα ὅλως ἠγνόησαν; Πόσοι ἐν σπηλαίοις καί ὄρεσιν ἐναπέψυξαν καί τοῦ κόσμου ὑπεράξιοι οὐ γεγόνασιν, ὥστε αὐτῶν μή εἶναι τόν κόσμον ἄξιον, ἀλλά μετά τοῦ κόσμου - ὢ τῶν κριμάτων σου, Κύριε - καί οὗτοι συνηριθμήθησαν; Πόσοι ἡσύχασαν καί νῦν ἡσυχάζουσι, καί οὐδέ αὐτοῦ τοῦ ὀνόματος τήν σημασίαν ἐπίστανται, μή τί γε εἰπεῖν τό ἐν τῇ ἡσυχίᾳ μυστήριον; Οὐ γάρ ἀπό τῆς ἔξωθεν ἡσυχίας ἡ τοῦ Θεοῦ γνῶσις δίδοται, ὥς τινες κακῶς τό «*Σχολάσατε καί γνῶτε ὅτι ἐγώ εἰμι ὁ Θεός*» ἐπιλαμβάνουσιν, ἀλλ᾽ ἐκ τῆς τοῦ Θεοῦ γνώσεως μᾶλλον ἡ ἡσυχία τῷ νομίμως καί καλῶς ἀγωνιζομένῳ ἐγγίνεται. Εἰ γάρ σχολήν τῶν ἔργων τήν ἀποχήν, καί ἡσυχίαν τήν ἀργίαν καλέσομεν καί ἀντί τῆς ἐργασίας τῶν ἐντολῶν ταῦτα προκρίνωμεν, πῶς τόν τοῦ Χριστοῦ νόμον καί τήν τῶν ἀποστόλων διάταξιν ἐκπληρώσομεν, τοῦ μέν λέγοντος «*Ἅ θέλετε ἵνα ποιῶσιν ὑμῖν οἱ ἄνθρωποι καί ὑμεῖς ὁμοίως ποιεῖτε αὐτοῖς*», καί πάλιν «*Εἰ οὖν ἐγώ ὁ Κύριος καί ὁ διδάσκαλος ἔνιψα ὑμῶν τούς πόδας, ὀφείλετε καί ὑμεῖς ἀλλήλων νίπτειν τούς πόδας*», καί πάλιν «*Ὁ θέλων ἐν ὑμῖν εἶναι πρῶτος ἔστω πάντων ἔσχατος καί πάντων δοῦλος καί πάντων διάκονος*», τοῦ δέ «*Ὁ ἀργός μηδέ ἐσθιέτω*», καί ἀλλαχοῦ «*Πάντα ὑμῖν ὑπέδειξα καί ὅπως δεῖ ἐργαζομένους ἀντιλαμβάνεσθαι τῶν ἀσθενούντων*», καί «*Αἱ χεῖρες αὗται διηκόνησαν ἐμοί καί τοῖς σύν ἐμοί*». Πάντες γάρ οἱ ἀπόστολοι καί οἱ ἐξ αὐτῶν θεοφόροι πατέρες οὐδαμοῦ τῆς διά τῶν ἔργων εὐαρεστήσεως τήν ἡσυχίαν προέκριναν, ἀλλά διά τῆς τῶν ἐντολῶν ἐκπληρώσεως τήν πίστιν ἐπιδειξάμενοι τῆς τοῦ Θεοῦ ἀγάπης ἐν γνώσει κατηξιώθησαν καί, ὡς νομίμως ἀγωνισάμενοι καί ἔπαθλον τῆς νίκης τήν ἐν ἀγάπῃ γνῶσιν Θεοῦ λαβόντες καί εἶναι σύν αὐτῷ ἐπιποθοῦντες, ἔξω τοῦ σταδίου καί τῶν ἐν πολέμοις ταραχῶν ἐγένοντο καί ἔτι οἱ νομίμως ἀγωνιζόμενοι ἔξω τούτων γίνονται, ἀμερίμνως καί ἀνεπιμίκτως τῶν κάτω καί λυπηρῶν τάς ἐπικαρπίας τῶν πόνων ἐπαπολαύοντες. Ἐπάν δέ τοῦ τοιούτου καλοῦ ἀκορέστως κατατρυφήσωσι καί βεβαιωθῶσιν ὡς «*οὐκ ἄξια, κατά τόν θεῖον Ἀπόστολον, τά παθήματα τοῦ νῦν καιροῦ πρός τήν μέλλουσαν ἀποκαλύπτεσθαι δόξαν*» καί ὅτι «*ἕκαστος λήψεται τόν μισθόν κατά τόν ἴδιον κόπον*», οὐκ ἐν τοῖς προλαβοῦσιν ἄθλοις ἀρκοῦνται, ἀλλά πάλιν ἀπό τῆς ἀνέσεως καί τῆς τοιαύτης τρυφῆς ἐπί τούς ἀγῶνας χωροῦσι, κατά τό εἰρημένον ὑπό τοῦ Θεολόγου, ἀπό τῆς ἡσυχίας ἐπί τόν λόγον, οὐχ ἑαυτοῖς, εἰ καί ἑαυτοῖς, ἀλλ᾽ ὅν ποθοῦσι καί ᾧ ἀντιποθοῦνται Θεῷ φιλοτιμούμενοι. Οὐκέτι δέ τύπτοντες καί τυπτόμενοι, οὐδέ ἐν τῷ προτέρῳ τρόπῳ τοῖς ἐχθροῖς συμπλέκονται, ἀλλά φοβεροί αὐτοῖς καί μόνῃ τῇ ἰδέᾳ εἰσίν μόνον γάρ ἀναφανέντων, εἰς φυγήν μέν τρέπονται οἱ τούτων ἐχθροί, οἱ δέ γε παρ᾽ ἐκείνων τρωθέντες εὐθύς θεραπεύονται, δεσμοῦνται καί ἐπαλείφονται παρ᾽ αὐτῶν καί διδάσκονται, πῶς δεῖ προσέρχεσθαι τοῖς τοιούτοις, ἐν ποίοις τε ὅπλοις καί μηχανήμασι ποταποῖς. Ταῦτα εἰ μή καθ᾽ ἕν ὁ ἡσυχάζων καί ὁ προεστώς ἄλλων καί ὁ διδάσκων

ἑτέρους ἐπίσταται, οὔτε ἡσυχάζων ἐστίν ὁ δοκῶν ἡσυχάζειν, ἀλλ’ ἐν ἀγνοίᾳ κάθηται, μόνον περικεκλεισμένος τό σῶμα οὔτε προεστώς ἐστιν ὁ δοκῶν προεστάναι, ἀλλ’ ἐν ὁδῷ ᾗ οὐκ ἐπίσταται, μᾶλλον δέ ἔξω τῆς ὁδοῦ, πορευόμενος, τούς ἀκολουθοῦντας αὐτῷ σύν αὐτῷ εἰς αἰωνίου πυρός κρημνόν ἀπορρίψει οὔτε διδάσκαλος ἄλλων ἐστίν ὁ διδάσκεν δοκῶν, ἀλλά ψεύστης καί πλάνος, ὅτι τήν ἀληθινήν σοφίαν, τόν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν, οὐκ ἔχει ἐν ἑαυτῷ. Τί δέ χρή καί λέγειν περί τοῦ δεσμεῖν καί λύειν τούς οὕτως ἔχοντας, ὅπου γε καί οἱ τόν Παράκλητον ἔχοντες ἐν ἑαυτοῖς ἀφιέντα τά ἁμαρτήματα φρίττουσι μή τι τῶν παρά γνώμην τοῦ ἐν αὐτοῖς ὄντος καί δι’ αὐτῶν λαλοῦντος ἐργάσωνται; Ἀλλά τίς οὕτω μανείς καί ἐπί τοσοῦτον θράσους ἀρθείς πρός τοῦ τόν Παράκλητον δέξασθαι εἴπῃ καί ποιήσει ἔργα τοῦ Πνεύματος καί ἄνευ γνώμης Θεοῦ τά τοῦ Θεοῦ διαπράξεται; Οὐαί τοῖς ταῦτα τολμῶσιν ἐν τῇ φοβερᾷ ἡμέρᾳ τῆς κρίσεως, ἐν ᾗ ὁ ἀδέκαστος καί ἀπαραλόγιστος κριτής Κύριος κάθηται ἐπί θρόνου καί βήματος φοβεροῦ, ἀποδιδούς ἑκάστῳ κατά τά ἔργα καί τάς ἐνθυμήσεις καί τούς λόγους αὐτοῦ ᾧ πρέπει πᾶσα δόξα, τιμή καί προσκύνησις σύν τῷ πατρί καί τῷ Ἁγίῳ Πνεύματι νῦν καί ἀεί καί εἰς τούς ἀτελευτήτους αἰῶνας τῶν αἰώνων ἀμήν.

# ΚΕΦΑΛΑΙΑ ΠΡΑΚΤΙΚΑ ΚΑΙ ΘΕΟΛΟΓΙΚΑ

α'. Θεός τοῖς μέν σωματικῶς ὁρῶσιν οὐδαμοῦ ἐστιν, ἀόρατος γάρ, τοῖς δέ πνευματικῶς νοοῦσι πανταχοῦ ἐστι, πάρεστι γάρ ἐν γάρ τῷ παντί καί ἐκτός τοῦ παντός ἐστιν, ἐν τούτῳ καί ἐγγύς ἐστι τοῖς φοβουμένοις αὐτόν καί μακράν ἀπό ἁμαρτωλῶν ἡ σωτηρία αὐτοῦ.

β΄. Μνήμη Χριστοῦ φωτίζει τόν νοῦν καί δαίμονας ἐκδιώκει τό δέ φῶς τῆς Ἁγίας Τριάδος φαῖνον ἐν καθαρᾷ καρδίᾳ παντός ἀφιστᾷ τοῦ κόσμου καί τόν μέτοχον αὐτοῦ ἀπ' ἐντεῦθεν ἤδη ἐμφορεῖσθαι ποιεῖ τῆς μελλούσης δόξης, καθόσον ἀνθρώπῳ χωρητόν τῷ ὑπό τῆς ἄνωθεν χάριτος ἐνεργουμένῳ, κρυπτομένῳ δέ εἰσέτι τῷ παραπετάσματι τῆς σαρκός.

γ'. Εἰ οὐδέν ἕτερον μετά τήν παρέλευσιν τῶν ὁρωμένων, εἰ μή μόνος ὁ Θεός ἐστι, καί ἔστι καί ἔσεται, πάντως οἱ τῆς αὐτοῦ χάριτος ἐν τῷ κόσμῳ τούτῳ πλουσίως μετέχοντες, εἰ καί τῇ γῇ πάρεισιν, ἀλλά τό πλεῖστον ἤδη τῷ μέλλοντι αἰῶνι συνήφθησαν, οἵ καί στένουσί πως τῇ σκιᾷ καί τῷ ἐφολκίῳ βαρούμενοι.

δ΄. Ὁ Κύριος οὐ τούς ἁπλῶς διδάσκοντας μακαρίζει ἀλλά τούς πρότερον διά τῆς τῶν ἐντολῶν ἐργασίας ἀναβλέψαι ἀξιωθέντας καί θεασαμένους ἐν ἑαυτοῖς τό φωτίζον φῶς τοῦ Πνεύματος ἀστράπτον καί δι' αὐτοῦ γνόντας ἐν ἀληθινῇ τούτου ὁράσει καί γνώσει καί ἐνεργείᾳ τά περί ὧν εἰπεῖν καί ἄλλους διδάξαι χρή οὖν οὕτω πρῶτον, ὡς εἴρηται, ἀναχθῆναι τούς διδάσκειν ἐπιχειροῦντας, ἵνα μή περί ὧν οὐκ ἐπίστανται λέγοντες τούς πειθομένους αὐτοῖς καί ἑαυτούς πλανήσαντες ἀπολέσωσιν.

ε΄. Ὁ μή φοβούμενος τόν Θεόν οὐ πιστεύει ὅτι ἔστι Θεός, ἄφρων γάρ ἐστιν ὁ δέ τοῦτο πιστεύων φοβεῖται αὐτόν, φοβούμενος δέ τηρεῖ τάς αὐτοῦ ἐντολάς ὁ δέ φοβεῖσθαι λέγων τόν Θεόν, μή φυλάσσων δέ τάς ἐντολάς αὐτοῦ, ψεύστης ἐστί καί ὁ φόβος τοῦ Θεοῦ οὐκ ἔστιν ἐν αὐτῷ οὗ γάρ, φησί, φόβος, ἐντολῶν τήρησις τούτου δέ μή ὄντος ἐν ἡμῖν μηδέ τῆς φυλακῆς τῶν θείων ἐντολῶν, οὐδέν τῶν ἐθνικῶν καί ἀπίστων διενηνόχαμεν.

στ΄. Ἡ πίστις καί ὁ τοῦ Θεοῦ φόβος καί ἡ τήρησις τῶν αὐτοῦ ἐντολῶν κατά ἀναλογίαν τῆς καθάρσεως τούς μισθούς προξενεῖ καθόσον γάρ καθαιρόμεθα κατά τοσοῦτον εἰς ἀγάπην Θεοῦ ἀπό τοῦ φοβεῖσθαι αὐτόν ἀναγόμεθα καί οἱονεί μεταβαίνομεν ἀπό τοῦ φόβου κατά προκοπήν ἐπί τό ἀγαπᾶν τόν Θεόν καί τηνικαῦτα ἀκούομεν πρός αὐτοῦ «*Ὁ ἔχων τάς ἐντολάς μου καί τηρῶν αὐτάς ἐκεῖνός ἐστιν ὁ ἀγαπῶν με*». Καί οὕτω προστιθῶμεν ἐπί τοῖς ἀγῶσιν ἀγῶνας, ἵνα τήν ἀγάπην ἀπό τῶν ἔργων ἐπιδειξώμεθα. Τούτου δέ γενομένου, αὐτός ὡς ὑπέσχετο ἡμᾶς ἀγαπᾷ αὐτοῦ δέ ἡμᾶς ἀγαπῶντος, καί ὁ Πατήρ αὐτοῦ ὡσαύτως ἡμᾶς ἀγαπᾷ, προοδοποιοῦντος τοῦ Πνεύματος δηλαδή καί τήν οἰκίαν προευτρεπίζοντος ὡς ἐν μιᾷ συνόδῳ τῶν ὑποστάσεων μονήν γίνεσθαι ἡμᾶς Πατρός καί Υἱοῦ καί Ἁγίου Πνεύματος.

ζ΄. Ἡ γνωστῶς καί εὐαισθήτως γινομένη ἐνοίκησις τῆς τρισυποστάτου θεότητος ἐν τοῖς τελείοις οὐ πλήρωσις πόθου ἐστιν, ἀλλά μᾶλλον ἀρχή καί αἰτία σφοδροτέρου καί μείζονος πόθου. Ἔκτοτε γάρ οὐκ ἐᾷ τόν ὑποδεξάμενον αὐτήν ἠρεμεῖν, ἀλλ᾽ ὡς ὑπό πυρός ἀεί ἐκκαιόμενον καί πυρούμενον ἐπαίρεσθαι εἰς φλόγα πόθου θειοτέρου ποιεῖ. Κατάληψιν γάρ καί τέλος τοῦ ποθουμένου εὑρεῖν ὁ νοῦς μή δυνάμενος οὐδέ μέτρον τῷ πόθῳ καί τῇ ἀγάπῃ δύναται δοῦναι, ἀλλά τῷ ἀτελέστῳ τέλει φθάσαι καί καταλαβεῖν βιαζόμενος, ἀτέλεστον ἀεί τόν πόθον καί ἀπλήρωτον τήν ἀγάπην ἐν ἑαυτῷ περιφέρει.

η΄. Ὁ εἰς τοῦτο τό πέρας ἐλθών οὐ δοκεῖ εὑρηκέναι ἀρχήν πόθου ἤ ἀγάπης ἐν ἑαυτῷ τοῦ Θεοῦ, ἀλλ᾽ ὡς μή ἀγαπῶν τόν Θεόν διάκειται, τό πλήρωμα τῆς ἀγάπης μή καταλαβεῖν δυνηθείς ὅθεν καί ὡς ἔσχατον ἡγούμενος ἑαυτόν πάντων τῶν φοβουμένων τόν Θεόν, ἀνάξιον ἑαυτόν ἡγεῖται ἀπό ψυχῆς καί τῆς μετά τῶν πιστῶν σωτηρίας.

θ΄. «*Πάντα δυνατά τῷ πιστεύοντι*». Ἡ γάρ πίστις ἀντί δικαιοσύνης λογίζεται. «*Τέλος γάρ νόμου Χριστός*». Ἡ δέ εἰς αὐτόν πίστις δικαιοῖ καί τελειοῖ τόν πιστεύοντα, ὡς ἀντί ἔργων νόμου λογιζομένης τῆς εἰς Χριστόν πίστεως, ἥτις διά τῶν ἐντολῶν τοῦ εὐαγγελίου βεβαιουμένη καί δεικνυμένη, ζωῆς αἰωνίου τῆς ἐν αὐτῷ τῷ Χριστῷ μετόχους τούς πιστούς ἀπεργάζεται.

ι΄. Πίστις ἐστί τό διά Χριστόν ὑπέρ τῆς αὐτοῦ ἐντολῆς ἀποθανεῖν καί τόν θάνατον τοῦτον ζωῆς πρόξενον εἶναι πιστεύειν, τήν πτωχείαν ὡς πλοῦτον λογίζεσθαι, τήν εὐτέλειαν καί ἐξουδένωσιν ὡς δόξαν τῷ ὄντι καί περιφάνειαν, καί ἐν τῷ μηδέν ἔχειν τά πάντα κατέχειν πιστεύειν μᾶλλον δέ κεκτῆσθαι «*τόν ἀνεξιχνίαστον πλοῦτον τῆς ἐπιγνώσεως τοῦ Χριστοῦ*» καί πηλόν ἤ καπνόν ἅπαντα τά ὁρώμενα καθορᾶν.

ια΄. Ἡ εἰς Χριστόν πίστις ἐστί τό μή μόνον καταφρονῆσαι τῶν ἐν τῷ βίῳ τερπνῶν, ἀλλά καί τό καρτερῆσαι καί ὑπομεῖναι πάντα πειρασμόν ἐπερχόμενον ἐν λύπαις καί θλίψεσι καί συμφοραῖς, ἕως ἄν θελήσῃ καί ἐπισκέψηται ἡμᾶς ὁ Θεός. «*Ὑπομένων γάρ, φησίν, ὑπέμεινα τόν Κύριον καί προσέσχε μοι*».

ιβ΄. Οἱ τούς ἑαυτῶν γονεῖς ἔν τινι προτιμῶντες τῆς τοῦ Θεοῦ ἐντολῆς πίστιν οὐ κέκτηνται πρός Χριστόν πάντως γάρ ὑπό τῆς ἰδίας κρίνονται συνειδήσεως, εἴ γε καί συνείδησιν ζῶσαν ἔχουσι περί τῆς ἀπιστίας αὐτῶν πιστῶν γάρ τοῦτό ἐστι τό ἐν μηδενί μηδαμῶς τοῦ μεγάλου Θεοῦ καί σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ παραβαίνειν τήν ἐντολήν.

ιγ΄. Πίστις ἡ εἰς Θεόν ἐπιθυμίαν καλῶν ἔτεκε καί φόβον κολάσεων ἡ δέ τῶν κρειττόνων ἐπιθυμία καί ὁ φόβος τῶν κολάσεων τήρησιν ἐντολῶν ἀκριβῆ κατειργάσαντο, ἡ δέ ἀκριβής τῶν ἐντολῶν τήρησις τήν ἰδίαν τούς ἀνθρώπους ἐκδιδάσκει ἀσθένειαν, ἡ δέ κατανόησις τῆς ἀληθοῦς ἀσθενείας ἡμῶν θανάτου μνήμην ἐγέννησεν ὁ δέ σύνοικον ταύτην κτησάμενος αὐτός μαθεῖν ἐμπόνως ζητήσει ὁποῖα ἔσται αὐτῷ τά μετά τήν ἔξοδον τοῦ βίου τούτου καί ἀναχώρησιν ὁ δέ ἀεί περί τῶν μελλόντων γνῶναι

σπουδάζων πρῶτον πάντων ἑαυτόν ἀποστερῆσαι τῶν παρόντων ὀφείλει ὁ γάρ ἐν τούτοις καί μέχρις εὐτελοῦς τινος ὑπό προσπαθείας κρατούμενος ἐκείνων τήν γνῶσιν τελείαν οὐ δύναται κτήσασθαι. Εἰ δέ καί ταύτης γεύσεται κατ᾽ οἰκονομίαν τινά τοῦ Θεοῦ, εἰ μή τάχιον ἐάσει τά ὑφ᾽ ὧν καί ἐν οἷς κρατεῖται κατά προσπάθειαν καί ὅλος τῆς τοιαῦτης γένηται γνώσεως, μηδέν ἕτερον ταύτης ἔξωθεν ἐννοεῖν ἑκουσίως καταδεχόμενος, καί αὕτη ἥν δοκεῖ ἔχειν ἀρθήσεται ἀπ᾽ αὐτοῦ.

ιδ΄. Ἡ ἀποταγή τοῦ κόσμου καί παντελής ἀναχώρησις, ξενιτείαν ἀναλαβομένην πάντων τῶν ἐν βίῳ ὑλῶν καί ἠθῶν καί γνωμῶν καί προσώπων καί ἄρνησιν σώματος καί θελήματος, μεγάλης ὠφελείας πρόξενος γίνεται τῷ οὕτω θερμῶς ἀποταξαμένῳ ἐν βραχεῖ τῷ καιρῷ.

ιε΄. Ὁ φεύγων τόν κόσμον, ὅρα μηδαμῶς δῷς σήν ψυχήν εἰς παράκλησιν κατ᾽ ἀρχάς, ἐν αὐτῷ τάς οἰκήσεις ποιούμενος, εἰ καί πάντες σε τοῦτο ποιεῖν συγγενεῖς καί φίλοι καταναγκάζουσι. Τοῦτο γάρ αὐτοῖς οἱ δαίμονες ὑποβάλλουσιν, ὅπως τήν θέρμην ἀποσβέσωσι τῆς καρδίας σου εἰ γάρ καί μή τελείως ἐμποδίσαι σου τήν πρόθεσιν δυνηθῶσιν, ἀλλά γε χαυνοτέραν ταύτην πάντως καί ἀσθενῆ ἀπεργάσονται.

ιστ΄. Ὅταν πρός πάντα τά τοῦ βίου ἡδέα εὑρεθῇς ἀνδρεῖος καί ἀπαράκλητος, τότε εἰς συμπάθειαν δῆθεν οἱ δαίμονες τούς συγγενεῖς μετατρέψαντες, κλαίειν ποιοῦσι καί θρηνεῖν διά σέ πρό προσώπου σου. Καί τοῦτο ἀληθές εἶναι γνώσῃ, ὅταν σύ μέν ἄτρεπτος καί ἐν ταύτῃ ἐμμείνῃς τῇ προσβολῇ, ἐκείνους δέ εἰς μανίαν τήν κατά σοῦ καί μῖσος αἴφνης ἐξαφθέντας ἴδῃς καί ὡς ἐχθρόν σε ἀποστρεφομένους καί ὁρᾶν οὐκ ἐθέλοντας.

ιζ΄. Τήν παρά τῶν γονέων καί ἀδελφῶν καί φίλων σου θλῖψιν ὁρῶν διά σέ γινομένην, γέλα ἐπί τῷ ὑποβάλλοντι ταῦτα ποικίλως κατά σοῦ γίνεσθαι δαίμονι καί μετά φόβου καί σπουδῆς πολλῆς ὑποχώρησον καί τόν Θεόν ἐκτενῶς ἐκδυσώπει τοῦ τάχιον εἰς λιμένα καλοῦ πατρός καταντῆσαί σε, ἐν ᾧ τήν ψυχήν σου κεκοπωμένην καί πεφορτισμένην ὑπάρχουσαν αὐτός ἀναπαύσει πολλά γάρ ἔχει τό πέλαγος τοῦ βίου πρόξενα κινδύνων καί ἀπωλείας ἐσχάτης.

ιη΄. Ὁ μισῆσαι θέλων τόν κόσμον ἀγάπην ἐκ βαθέων ψυχῆς ἔχειν ὀφείλει πρός τόν Θεόν καί μνήμην τούτου ἀέναον οὐδέν γάρ ἕτερον ὡς ταῦτα μετά χαρᾶς πάντα καταλιμπάνειν ποιεῖ καί σκυβάλων δίκην αὐτά ἀποστρέφεσθαι.

ιθ΄. Μή θέλε δι᾽ εὐλόγους αἰτίας ἤ μᾶλλον ἀλόγους τῷ κόσμῳ προσμεῖναι τό σύνολον, ἀλλ᾽ ὅτε κληθῇς, συντόμως ὑπάκουσον ἐν οὐδενί γάρ ἑτέρῳ οὕτω Θεός ὡς ἐν ταχύτητι ἡμῶν ἐπευφραίνεται, ἐπειδή καί κρεῖσσον ὑπακοή σύντομος μετά πενίας ἤ βραδύτης μετά πλήθος χρημάτων.

κ΄. Εἰ ὁ κόσμος καί τά ἐν τῷ κόσμῳ πάντα παρέρχονται, ὁ δέ Θεός μόνος ἀΐδιός ἐστι καί ἀθάνατος, χαίρετε ὅσοι δι᾽ αὐτόν τά φθαρτά κατελείψατε φθαρτά δέ εἰσιν οὐ μόνον

πλοῦτος καί χρήματα, ἀλλά καί πᾶσα ἡδονή καί ἀπόλαυσις ἁμαρτίας φθορά ἐστι μόναι δέ αἱ τοῦ Θεοῦ ἐντολαί φῶς εἰσι καί ζωή καί τοῦτο παρά πάντων καλοῦνται.

κα΄. Εἰ φλόγα ἔλαβες, ἀδελφέ, καί δραμών παρεγένου ἐν κοινοβίῳ ἤ πνευματικῷ πατρί διά τοῦτο, κἄν προτρέπῃ παρ' αὐτοῦ ἤ παρά τῶν συνασκομένων σοι ἀδελφῶν λουτροῖς ἤ βρώμασιν ἤ ἄλλαις θεραπείαις σωματικαῖς χρήσασθαι ἀναπαύσεως χάριν, τοῦτο μή καταδέξῃ, ἀλλ' ἀεί παρεσκευασμένος ἔσο πρός νηστείαν, πρός κακοπάθειαν, πρός ἐγκράτειαν ἀκροτάτην, ἵνα, εἰ μέν παρά τοῦ σοῦ ἐν Κυρίῳ πατρός προτραπῇς μετασχεῖν παρακλήσεως, εὑρεθῇς ἐκείνῳ μέν ὑπήκοος, τό δέ ἴδιόν σου μηδέ ἐν τούτῳ ποιῶν ἐκ προαιρέσεως θέλημα εἰ δέ μή, μετά χαρᾶς ὑπομενεῖς ἅπερ ἑκουσίως ποιῆσαι ἠθέλησας ψυχικῶς ὠφελούμενος. Τοῦτο γάρ φυλάττων, ἔσῃ διά παντός ἐπί πᾶσιν ὡς νηστεύων καί ἐγκρατευόμενος καί τό ἴδιον ἀποταξάμενος παντάπασι θέλημα οὐ μήν δέ ἀλλά καί τήν ἐνοῦσαν ἐν τῇ καρδίᾳ σου φλόγα ἄσβεστον διατηρήσεις, τήν πάντων καταφρονεῖν σε βιάζουσαν.

κβ΄. Ὅταν πάντα τά παρ' ἑαυτῶν οἱ δαίμονες πράξωσι καί τόν κατά Θεόν ἡμῶν σκοπόν μεταστῆσαι οὐ δυνηθῶσιν ἤ ἐμποδίσαι, τότε τοῖς τήν εὐλάβειαν ὑποκρινομένοις ὑπεισέρχονται καί δι' αὐτῶν τούς ἀγωνιζομένους ἐμποδίζειν πειρῶνται. Καί πρῶτον μέν, ὡς ἐξ ἀγάπης δῆθεν καί συμπαθείας κινούμενοι, εἰς σωματικάς ἀναπαύσεις χωρεῖν παραινοῦσιν αὐτοῖς, ἵνα μή καί τό σῶμα ἀδυνατήσῃ, φησί, καί εἰς ἀκηδίαν ἐμπέσητε. Ἔπειτα εἰς συντυχίας ἀνωφελεῖς ἐκκαλούμενοι, τάς ἡμέρας ἐν ταύταις προσαναλίσκειν αὐτούς ποιοῦσιν. Εἰ μέν τις ὑπακούσας τῶν σπουδαίων ὁμοιωθῇ αὐτοῖς, στρέφονται καί ἐπεγγελῶσι τήν αὐτοῦ ἀπώλειαν εἰ δέ μή ὑπαχθῇ τοῖς αὐτῶν λόγοις, ἀλλά τηρεῖ ἑαυτόν ξένον ἐκ πάντων καί σύννουν καί ἀπαρρησίαστον, κινοῦνται εἰς φθόνον καί πάντα ποιοῦσι καί πράττουσιν ἕως οὗ καί τῆς μονῆς αὐτόν ἐκδιώξωσιν οὐ φέρει γάρ κενοδοξία ἄτιμος ἐπαινουμένην ταπείνωσιν ὁρᾶν ἀπεναντίας αὐτῆς.

κγ΄. Ἄγχεται κενόδοξος ταπεινόφρονα ὁρῶν προχέοντα δάκρυα καί δισσῶς ὠφελούμενον, Θεόν ἵλεω δι' αὑτῶν ἐργαζόμενον καί ἀνθρώπους εἰς ἔπαινον ἐπισπώμενον ἀβουλήτως.

κδ΄. Ἀφ' οὗ σεαυτόν ὅλον τῷ πνευματικῷ σου ἀναθῇ πατρί, ἴσθι ὡς ξένος εἶ ἐπί πᾶσιν οἷς ἔξωθεν ἐπιφέρῃ, ἀνθρωπίνοις λέγω πράγμασί τε καί χρήμασιν οὗ χωρίς μηδέν ἐν αὐτοῖς πρᾶξαι ἤ ποιῆσαι θελήσῃς, ἀλλά μηδέ μικρόν ἤ μέγα αἰτήσῃ πρᾶγμα αὐτῷ ἐᾶσαί σοι, εἰ μή τοι αὐτός τῇ οἰκείᾳ γνώμῃ, ἤ προστάξῃ λαβεῖν ἤ αὐτός ἐκεῖνος αὐτοχείρως παρέξῃ σοι.

κε΄. Μή δῷς ἄνευ τοῦ κατά Θεόν πατρός σου ἐλεημοσύνην ἐξ ὧν χρημάτων εἰσήνεγκας, ἀλλά μηδέ διά μεσίτου σου λαβεῖν τινα ἐξ αὐτῶν παρ' ἐκείνου θελήσῃς. Κρεῖττον γάρ πτωχόν καί ξένον εἶναί τε καί ἀκούειν σε ἤ σκορπίζειν χρήματα καί διδόναι τοῖς πένησι, εἰσαγωγικόν ὄντα πίστεως δέ ἀκραιφνοῦς τό πάντα ὡς ἐν χειρί Θεοῦ ἤ τοῦ πνευματικοῦ πατρός ἀναθέσθαι βουλήσει.

κστ΄. Μή δή λαβεῖν ὕδατος αἰτήσῃ ποτόν, εἰ καί συμβῇ σε φλέγεσθαι, μέχρις ἄν οἴκοθεν κινηθείς ὁ πνευματικός σου πατήρ προτρέψηται. Ἄγχε γάρ σεαυτόν καί βιάζου ἐν πᾶσι, πείθων καί λέγων τῷ λογισμῷ «*Εἰ θέλει ὁ Θεός*» καί εἰ ᾖς ἄξιος τοῦ πιεῖν, ἀποκαλύπτει πάντως τῷ πνευματικῷ σου πατρί καί λέγει σοι «*Πίε*» καί τηνικαῦτα πίεσαι μετά καθαροῦ συνειδότος, εἰ καί παρά τόν καιρόν ἡ ὥρα ἐστίν.

κζ΄. Ὁ πεῖραν ἐσχηκώς πνευματικῆς ὠφελείας καί ἀνόθευτον πίστιν κτησάμενος, μάρτυρα τῆς ἀληθείας τόν Θεόν προβαλλόμενος εἶπεν «*Ἐθέμην τοιοῦτον ἐν ἐμαυτῷ λογισμόν ὡς μήτε φαγεῖν μήτε πιεῖν αἰτήσασθαί ποτε τῷ πατρί μου ἤ πάρεξ αὐτοῦ μεταλαβεῖν τινος τό καθόλου, ἕως ἄν ὁ Θεός πληροφορήσῃ αὐτόν καί προστάξῃ μοι καί οὕτως ἔχων οὐδέποτε, φησί, τοῦ σκοποῦ μου ἀπέτυχον*».

κη΄. Ὁ πίστιν κτησάμενος ἐναργῆ πρός τόν κατά Θεόν πατέρα αὐτοῦ, βλέπων αὐτόν, αὐτόν βλέπειν λογίζεται τόν Χριστόν καί συνών ἤ ἀκολουθῶν αὐτῷ, Χριστῷ συνεῖναι καί ἀκολουθεῖν βεβαίως πιστεύει. Ὁ τοιοῦτος οὐκ ἐπιθυμήσει ἑτέρῳ τινί ὁμιλῆσαί ποτε, οὐ προτιμήσει τι τῶν τοῦ κόσμου πραγμάτων ὑπέρ τήν ἐκείνου μνήμην ὁμοῦ καί ἀγάπην. Τί γάρ καί μεῖζον ἤ ὠφελιμώτερον ἐν τῇ παρούσῃ καί ἐν τῇ μελλούσῃ ζωῇ τοῦ συνεῖναι Χριστῷ; Τί δέ καί ὡραιότερον ἤ γλυκύτερον τῆς θέας αὐτοῦ; Εἰ δέ καί ὁμιλίας ἀξιοῦται τῆς παρ' αὐτοῦ, πάντως ζωήν τήν αἰώνιον ἐκ ταύτης ἀρύεται.

κθ΄. Ὁ ἐκ διαθέσεως τούς λοιδοροῦντας ἤ ἀδικοῦντας ἤ μισοῦντας καί ἀποστεροῦντας αὐτόν ἀγαπῶν καί ὑπέρ τούτων εὐχόμενος, εἰς προκοπήν ἐν ὀλίγῳ μεγάλην ἀνέρχεται. Ἐν αἰσθήσει γάρ καρδίας τοῦτο γινόμενον εἰς ἄβυσσον ταπεινώσεως καί εἰς δακρύων πηγάς τό λογιζόμενον καταφέρει, ἐν οἷς καταποντίζεται τό τριμερές τῆς ψυχῆς ἀνάγει δέ εἰς οὐρανόν ἀπαθείας τόν νοῦν καί θεωρητικόν ἀπεργάζεται καί τῇ γεύσει τῆς ἐκεῖθεν χρηστότητος πάντα σκύβαλα τά τοῦ παρόντος βίου ἡγεῖσθαι ποιεῖ καί αὐτήν δέ τήν τροφήν καί τήν πόσιν μή ἐνηδόνως ἤ συχνοτέρως προσίεσθαι.

λ΄. Πίστιν ἐναργῆ ἔδειξεν ὁ καί τό τόπον, ἐν ᾧ ὁ ὁδηγός καί πατήρ αὐτοῦ ἵσταται, ὡς ἅγιον εὐλαβούμενος καί τόν κονιορτόν τῶν ποδῶν αὐτοῦ χερσί λαμβάνων ζεόντως καί ἐπιχέων τῇ ἑαυτοῦ κεφαλῇ καί τῇ καρδίᾳ προσαλείφων, ὡς ἴαμα τῶν τούτου παθῶν καί τῶν ἁμαρτημάτων καθαρτικόν, ἐκείνῳ δέ αὐτῷ μή προσεγγίσαι τολμῶν μηδέ ἁπλῶς προσψαῦσαί τινος τῶν αὐτοῦ χιτώνων ἤ σκεπασμάτων ἄνευ τῆς ἐκείνου προστάξεως καί μεταχειριζόμενός τι τῶν ἐκείνου, μετά φόβου καί μετά αἰδοῦς τοῦτο ποιεῖ, ἀνάξιον ἑαυτόν κρίνων μή μόνον τῆς τούτων θέας καί λειτουργίας, ἀλλά καί τῆς ἐν τῇ κέλλῃ αὐτοῦ διαγωγῆς.

λα΄. Πολλοί μέν τῷ βίῳ τούτῳ καί τοῖς τοῦ βίου πράγμασιν ἀποτάσσονται, ὀλίγοι δέ καί τοῖς θελήμασιν ἑαυτῶν περί ὧν καί ὁ θεῖος λόγος καλῶς ἀποφαίνεται «*Πολλοί μέν κλητοί*» λέγων «*ὀλίγοι δέ ἐκλεκτοί*».

λβ΄. Ὅταν μετά πάσης κάθῃ ἐπί τραπέζης τῆς ἀδελφότητος καί νοερῶς σοι σκιά τά πάντα τοῖς ὀφθαλμοῖς ὑπογράφωνται καί τοῦ ἡδέος τῶν βρωμάτων οὐκ ἐπαισθάνῃ, ἀλλ' ὅλην ἔχεις τήν ψυχήν τῷ θαύματι ἔκπληκτον καί τοῖς δάκρυσιν ἔμπλεον, τότε γίνωσκε τήν τοῦ Θεοῦ σοι χάριν οὕτω ταῦτα ὑποδεικνύειν διά τήν ἐκ τοῦ φόβου πολλήν σου ταπείνωσιν, ὅπως, ἰδών τά ποιήματα τοῦ Θεοῦ καί διδαχθείς τῶν αἰσθητῶν τήν ἀδράνειαν, εἰς ἀγάπην τῶν νοητῶν μετεγκεντρίσῃς τόν φόβον σου. Καί αὕτη ἐστίν ἡ πνευματική γνῶσις, ἥν καί λεγομένην ἀκούεις, ἥτις μέσον τοῦ φόβου καί τῆς ἀγάπης εὑρίσκεται καί ἀπό τούτου εἰς ταύτην διαβιβάζει ἀνεπαισθήτως καί ἀκινδύνως τόν ἄνθρωπον.

λγ΄. Οὐκ ἐνδέχεται ἄλλως τήν εἰς Θεόν τελείαν ἀγάπην ἀναφαίρετον κτήσασθαί τινα εἰ μή κατά τό μέτρον τῆς πνευματικῆς γνώσεως αὕτη δέ κατά μικρόν αὐξάνεται τῇ πρακτικῶς πονούσῃ καθ' ἑκάστην ψυχῇ. Τοῦτο γάρ εἰδώς καί ὁ Ἀπόστολος ἔφη «*Ἀπό γάρ τοῦ μεγέθους καί τῆς καλλονῆς τῶν κτισμάτων ἀναλόγως ὁ γενεσιουργός θεωρεῖται*».

λδ΄. Μέγεθος οὐρανοῦ καί γῆς πλάτος καί τῶν ἄλλων ἁπάντων τούς λόγους οὐδείς ἀξίως καταμαθεῖν δύναται τοῖς αἰσθητοῖς ὀφθαλμοῖς. Τά γάρ ὑπερβαίνοντα καί νοῦν καί διάνοιαν, πῶς ὀφθαλμοί κατανοῆσαι σώματος ἐξισχύσουσι; Μόλις γάρ καί νοῦς καθαρθείς λογισμῶν καί ἐλευθερωθείς τῶν προλήψεων, ἐλέει τε καί χάριτι Θεοῦ φωτισθείς, κατά τό μέτρον τοῦ φωτισμοῦ καί τήν θεωρίαν τῶν ὄντων ἀξίως δυνήσεται κατιδεῖν.

λε΄. Ὥσπερ ἐν νυκτί τοῖς αἰσθητοῖς ὀφθαλμοῖς ἐν ἐκείνῳ τῷ τόπῳ βλέπομεν μόνον ἔνθα ἄν τοῦ φωτός τόν λύχνον ἀνάψωμεν, ὁ δέ λοιπός ἅπας κόσμος τό καθ' ἡμᾶς νύξ ἐστιν, οὕτω τοῖς ἐν νυκτί ἁμαρτημάτων καθεύδουσιν ὁ ἀγαθός δεσπότης φῶς μικρόν γίνεται, Θεός ὤν τοῖς πᾶσιν ἀχώρητος, φειδόμενος τῆς ἀσθενείας ἡμῶν. Καί τότε αἴφνης ἀναβλέπων ὁ ἄνθρωπος καί θεωρῶν τήν φύσιν τῶν ὄντων, ὡς οὔποτε αὐτήν ἐθεάσατο, ἐκπλήττεται καί ἀνωδύνως αὐτόματα προχέει τά δάκρυα, δι' ὧν καθαίρεται καί βαπτίζεται τό δεύτερον βάπτισμα, βάπτισμα ἐκεῖνο, ὅ λέγει διά τῶν εὐαγγελίων ὁ Κύριος «*Ἐάν μή τις γεννηθῇ δι' ὕδατος καί πνεύματος, οὐ μή εἰσέλθῃ εἰς τήν βασιλείαν τῶν οὐρανῶν*». Καί πάλιν «*Ἐάν μή τις γεννηθῇ ἄνωθεν*», ἄνωθεν δέ εἰπών, τήν ἐκ τοῦ πνεύματος ᾐνίξατο γέννησιν.

λστ΄. Τό πρότερον βάπτισμα ἔχει τό ὕδωρ προϋπογράφον τά δάκρυα, ἔχει τό μύρον τοῦ χρίσματος προσημαῖνον τό νοητόν μύρον τοῦ Πνεύματος. Τό δέ δεύτερον οὐκέτι τύπος τῆς ἀληθείας, ἀλλ' αὐτή ἐστιν ἡ ἀλήθεια.

λζ΄. Οὐ πράξεων μόνον πονηρῶν ἀπέχεσθαι δεῖ ἀλλά ἀλλά καί λογισμῶν καί ἐννοιῶν ἐναντίων χρή σπουδάζειν τόν ἀσκητήν ἐλεύθερον εἶναι, ἐνδιατρίβειν δέ ἀεί ταῖς ψυχωφελέσι καί πνευματικαῖς ἐνθυμήσεσιν, ἵν' οὕτως ἀμέριμνος ἀπό τῶν βιωτικῶν διαμείνῃ.

λη΄. Ὥσπερ ὁ ὅλον αὐτοῦ ἀπογυμνώσας τό σῶμα, ἐάν καλύμματί τινι κεκαλυμμένους ἔχῃ τούς ὀφθαλμούς καί μή θελήσῃ ἆραι καί ἀποσείσασθαι αὐτό, οὐ δύναται ἀπό μόνης τῆς γυμνότητος τοῦ λοιποῦ σώματος ἰδεῖν τό φῶς, οὕτω καί ὁ πάντων τῶν ἄλλων πραγμάτων ὁμοῦ καί χρημάτων καταφρονήσας καί αὐτῶν ἀπαλλαγείς τῶν παθῶν, εἰ μή καί τῶν βιωτικῶν ἐνθυμήσεων καί τῶν πονηρῶν ἐννοιῶν ἐλευθερώσῃ τόν τῆς ψυχῆς ὀφθαλμόν, οὐκ ὄψεταί ποτε τό νοητόν φῶς, αὐτόν τόν Κύριον ἡμῶν Ἰησοῦ Χριστόν καί Θεόν.

λθ΄. Ὥσπερ κάλυμμα ἐν ὀφθαλμοῖς ἐπιτεθέν, οὕτω λογισμοί κοσμικοί καί βιωτικαί ἐνθυμήσεις ἐν διανοίᾳ ἤγουν ἐν ὀφθαλμῷ ψυχῆς γίνονται. Καθόσον οὖν ἐαθῶσι χρόνον, οὐ βλέψομεν ἐπάν δέ ἐξαρθῶσι τῇ τοῦ θανάτου μνήμῃ, τότε τρανῶς ἴδωμεν τό φῶς τό ἀληθινόν, ὅ φωτίζει πάντα ἄνθρωπον εἰς τόν ἄνω κόσμον ἐρχόμενον.

μ΄. Ὁ ἐκ γενετῆς ὤν τυφλός οὐ νοήσει οὐδέ πιστεύσει τῶν γραφομένων τήν δύναμιν, ὁ δέ βλέψαι ποτέ καταξιωθείς συμμαρτυρήσει εἶναι ἀληθῆ τά λεγόμενα.

μα΄. Ὁ βλέπων τοῖς αἰσθητοῖς ὀφθαλμοῖς οἶδε πότε μέν νύξ, πότε δέ ἡμέρα ἐστίν ὁ δέ τυφλός τά ἀμφότερα ἀγνοεῖ. Καί ὁ πνευματικῶς ἀναβλέψας καί τοῖς νοεροῖς ὁρῶν ὀφθαλμοῖς, θεασάμενος τό ἀληθινόν καί ἄδυτον φῶς, ὅταν ἐκ ῥαθυμίας εἰς τήν προτέραν ἀποστραφῇ τύφλωσιν καί τοῦ φωτός ἀποστερηθῇ, εὐαισθήτως αἰσθάνεται τῆς τούτου στερήσεως καί πόθεν αὕτη συνέβη γενέσθαι οὐκ ἀγνοεῖ. Ὁ δέ γε μένων τυφλός ἐκ γενετῆς οὐδέν τῇ πείρᾳ καί τῇ ἐνεργείᾳ περί τούτων ἐπίσταται, εἰ μή τι ἐξ ἀκοῆς ἀκούσῃ καί μάθῃ περί ὧν ἐθεάσατο, καί διηγήσεται ἄλλοις ἅπερ ἀκήκοεν, αὐτοῦ καί τῶν ἀκουόντων μή εἰδότων περί ποίων πραγμάτων ἀλλήλοις προσδιαλέγονται.

μβ΄. Ἀδύνατον καί τήν σάρκα τῷ κόρῳ τῶν βρωμάτων κατεμπιπλᾶν καί πνευματικῶς τῆς νοερᾶς καί θείας ἐπαπολαύειν χρηστότητος. Ὅσῳ γάρ τήν γαστέρα τις θεραπεύσει, κατά τοσοῦτον ἐκείνης ἑαυτόν ἀποστερήσει καθόσον δέ τό σῶμα ὑπωπιάσει, ἀναλόγως καί τῆς πνευματικῆς τροφῆς τε καί παρακλήσεως ἐμπλησθήσεται.

μγ΄. Καταλείψωμεν πάντα τά ἐπί τῆς γῆς, μή πλοῦτον μόνον καί χρυσόν καί τάς ἄλλας ὕλας τοῦ βίου, ἀλλά καί τήν ἐπιθυμίαν τήν πρός αὐτά τέλεον ἀπό τῶν ψυχῶν ἡμῶν ἀπελάσωμεν. Μισήσωμεν μή τάς ἡδονάς μόνον τοῦ σώματος, ἀλλά καί τάς ἀλόγους κινήσεις αὐτοῦ, καί νεκρῶσαι τοῦτο διά πόνων σπουδάσωμεν διά τοῦτο γάρ ἐνεργοῦνται τά τῆς ἐπιθυμίας καί εἰς ἔργον ἐξάγονται, καί ζῶντος αὐτοῦ, ἀνάγκη πᾶσα νεκράν τήν ψυχήν ἡμῶν εἶναι καί δυσκίνητον πρός πᾶσαν Θεοῦ ἐντολήν ἤ καί παντελῶς ἀκίνητον.

μδ΄. Καθάπερ ἡ φλόξ τοῦ πυρός εἰς ὕψος ἀεί αἴρεται, ὡς ἐάν στρέψῃς τήν ὕλην ἀφ᾽ ἧς ἀνάπτεται, οὕτω καί ἡ τοῦ κενοδόξου καρδία ταπεινωθῆναι οὐ δύναται, ἀλλ᾽ ὡς ἐάν εἴπῃς αὐτῷ τά τῆς ὠφελείας αὐτοῦ, μᾶλλον καί μᾶλλον ἐπαίρεται ἐλεγχόμενος γάρ ἤ καί νουθετούμενος, ἀντιλέγει σφοδρῶς, ἐπαινούμενος ἤ καί παρακαλούμενος, ἀνυψοῦται

κακῶς.

με΄. Ἄνθρωπος μεμελετηκώς ἀντιλέγειν ἑαυτῷ δίστομός ἐστι μάχαιρα, ἀναιρῶν ἀγνώστως τήν ἰδίαν ψυχήν καί τῆς αἰωνίου ζωῆς ἀλλότριον αὐτήν ἐργαζόμενος.

μστ΄. Ὁ ἀντιλέγων ὅμοιός ἐστι τῷ ἑκουσίως ἔκδοτον ἑαυτόν ποιοῦντι τοῖς ὑπεναντίοις τοῦ βασιλέως ἐχθροῖς. Ἡ γάρ ἀντιλογία ἁρπάγιόν ἐστι, δέλεαρ ἔχον τήν δικαιολογίαν, δι' ἧς ἀπατώμενοι, τό ἄγκιστρον καταπίνομεν τῆς ἁμαρτίας, ὑφ' οὗ καί ἁρπάζεται εἴωθεν, ὡς ἀπό τῆς γλώττης καί τοῦ λαιμοῦ, ὑπό τῶν πνευμάτων τῆς πονηρίας ἡ ἀθλία ψυχή καί ποτέ μέν εἰς ὕψος ὑπερηφανίας ἀνάγεσθαι, ποτέ δέ εἰς χάος ἀβύσσου ἁμαρτίας καταποντίζεσθαι καί μετά τῶν ἐξ οὐρανοῦ ἐκπεπτωκότων καταδικάζεσθαι.

μζ΄. Ὁ ἀτιμαζόμενος ἤ ὑβριζόμενος καί σφόδρα ἀλγῶν τήν καρδίαν γινωσκέτω ἐκ τούτου ὅτι τόν παλαιόν ὄφιν περιφέρει ἐγκόλπιον. Εἰ μέν οὖν μετά σιωπῆς ὑπομείνῃ ἤ μετά πολλῆς ἀποκριθήσεται ταπεινώσεως, ἀσθενῆ τοῦτον καί ἐκλελυμένον εἰργάσατο. Εἰ δέ μετά πικρίας ἀντείπῃ ἤ καί λαλήσῃ μετά θρασύτητος, δέδωκεν ἰσχύν τῷ ὄφει τόν ἰόν ἐκχέαι ἐν τῇ καρδίᾳ αὐτοῦ καί ἀνημέρως τά ἐντός αὐτοῦ κατεσθίειν, ὡς ἐντεῦθεν καθ' ἑκάστην ἐνδυναμούμενον αὐτόν κατάβρωμα ποιεῖσθαι τήν ἐπ' ἀγαθοῖς διόρθωσιν καί ἰσχύν τῆς ἀθλίας τούτου ψυχῆς, καί ζῆν μέν αὐτόν ἔκτοτε τῇ ἁμαρτίᾳ, νεκρόν δέ παντελῶς εἶναι τῇ δικαιοσύνῃ.

μη΄. Ἐάν ἀποτάξασθαι βουληθῇς καί τήν εὐαγγελικήν πολιτείαν ἐκδιδαχθῆναι, μή ἀπείρῳ μηδέ ἐμπαθεῖ διδασκάλῳ ἑαυτόν ἐκδῷς, ἵνα μή ἀντί εὐαγγελικῆς διαβολικήν πολιτείαν ἐκδιδαχθῇς, ἐπειδή καλῶν μέν διδασκάλων καλά τά μαθήματα, κακῶν δέ κακά καί σπερμάτων πονηρῶν πάντως πονηρά τά γεώργια.

μθ΄. Εὐχαῖς καί δάκρυσι τόν Θεόν καθικέτευσον πέμψαι σοι ὁδηγόν ἀπαθῆ τε καί ἅγιον ἐρεύνα δέ καί αὐτός τάς θείας γραφάς, μάλιστα τάς τῶν ἁγίων πατέρων πρακτικάς συγγραφάς, ἵνα ταύταις ἀντιπαρατιθείς τά παρά τοῦ διδασκάλου καί προεστῶτός σοι διδασκόμεθα, ὡς ἐν κατόπτρῳ βλέπειν δύνασαι ταῦτα καί καταμανθάνειν, καί τά μέν συνᾴδοντα ταῖς θείαις γραφαῖς ἐγκολποῦσθαι καί κατέχειν τῇ διανοίᾳ, τά δέ νόθα καί ἀλλότρια διακρίνειν καί ἀποπέμπεσθαι, ἵνα μή πλανηθῇς. Πολλοί γάρ, ἴσθι, πλάνοι καί ψευδοδιδάσκαλοι ἐν ταῖς ἡμέραις ταύταις γεγόνασιν.

ν΄. Πᾶς ὁ μή βλέπων, ἄλλους δέ ὁδηγεῖν ὑπισχνούμενος, πλάνος ἐστί καί τούς ἑπομένους αὐτῷ εἰς βόθρον ἀπωλείας ἐντίθησι κατά τήν τοῦ Κυρίου φωνήν «*Τυφλός τυφλόν ἐάν ὁδηγῇ, ἀμφότεροι εἰς βόθυνον ἐμπεσοῦνται*».

να΄. Ὁ τυφλός πρός τό ἕν τυφλός ὅλως πρός πάντα ἐστίν, ὁ δέ βλέπων ἐν τῷ ἑνί ἐν θεωρίᾳ τῶν πάντων ἐστί τῆς θεωρίας τε πάντως ἀπέχεται, καί ἐν τῇ θεωρίᾳ τῶν πάντων γίνεται, καί τῶν θεωρουμένων ἔξω ἐστίν ἐν τῷ ἑνί οὗτος ὤν τά πάντα ὁρᾷ, καί ἐν πᾶσιν ὤν οὐδέν τῶν πάντων ὁρᾷ.

νβ΄. Ὁ βλέπων ἐν τῷ ἑνί διά τοῦ ἑνός καί ἑαυτόν καί πάντας καί ἅπαντα καθορᾷ, καί κεκρυμμένος ὢν ἐν αὐτῷ, οὐδέν τῶν πάντων ὁρᾷ.

νγ΄. Ὁ μή τήν εἰκόνα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τοῦ ἐπουρανίου ἀνθρώπου τε καί Θεοῦ, ἐν τῷ λογισμῷ καί νοερῷ ἀνθρώπῳ εὐαισθήτως καί γνωστῶς ἐνδυσάμενος, αἷμα μόνον ἐστίν ἔτι καί σάρξ, πνευματικῆς δόξης αἴσθησιν μή δυνάμενος διά τοῦ λόγου λαβεῖν, καθάπερ καί οἱ ἐκ γενετῆς τυφλοί τό τοῦ ἡλίου φῶς διά λόγου μόνον γνῶναι οὐ δύνανται.

νδ΄. Ὁ ἀκούων οὕτως καί βλέπων καί αἰσθανόμενος οἶδε τῶν λεγομένων τήν δύναμιν, ὡς ἤδη τήν εἰκόνα φορέσας τοῦ ἐπουρανίου καί εἰς ἄνδρα τέλειον ἀνελθών τοῦ πληρώματος τοῦ Χριστοῦ καί ὁ οὕτως ἔχων δύναται καί καλῶς ὁδηγεῖν ἐν τῇ ὁδῷ τῶν τοῦ Θεοῦ ἐντολῶν τό ποίμνιον τοῦ Χριστοῦ. Ὁ δέ μή εἰδώς καί ἄλλως ἔχων πρόδηλός ἐστιν ὅτι οὐδέ τά αἰσθητήρια τῆς ψυχῆς τετρανωμένα καί ὑγιῆ ἐπιφέρεται, ᾧ καί μᾶλλον καλῶς ἕξει τό ἄγεσθαι ἤ τό ἄγειν ἐπικινδύνως.

νε΄. Ὁ τῷ διδασκάλῳ καί ὁδηγῷ αὐτοῦ ὡς Θεῷ ἀτενίζων ἀντιλέγειν οὐ δύναται. Εἰ δέ οἴεται καί λέγει ἀμφότερα ἔχειν, ἴστω, πεπλάνηται ὁποίαν γάρ οἱ τοῦ Θεοῦ πρός τόν Θεόν ἔχουσι τήν διάθεσιν ἀγνοεῖ.

νστ΄. Ὁ πιστεύων ἐν τῇ χειρί τοῦ ποιμένος αὐτοῦ τήν ἑαυτοῦ ὑπάρχειν ζωήν καί τόν θάνατον οὐκ ἀντείποι ποτέ ἡ δέ τούτων ἄγνοια ἀντιλογίαν γεννᾷ, τήν πρόξενον τοῦ νοητοῦ καί αἰωνίου θανάτου.

νζ΄. Πρό τοῦ λαβεῖν τήν ἀπόφασιν τόν κατάδικον, τόπος δίδοται ἀπολογίας αὐτῷ λαλεῖν τῷ δικαστῇ περί ὧν ἔπραξεν μετά δέ γε τήν τῶν πρακτέων φανέρωσιν καί τήν τοῦ δικαστοῦ ἀπόφασιν, οὐδέν ἤ μικρόν ἤ μέγα τοῖς βασανίζουσιν ἀντιλέγει.

νη΄. Πρό τοῦ εἰσελθεῖν εἰς τοῦτο τό δικαστήριον τόν μοναχόν καί φανερῶσαι αὐτοῦ τά ἐγκάρδια, ἴσως ἀντιλέγειν ἔξεστιν αὐτῷ, τά μέν κατά ἄγνοιαν τά δέ καί ὡς οἰομένῳ κρύπτειν τά ἑαυτοῦ. Μετά δέ τήν τῶν λογισμῶν ἀποκάλυψιν καί εἰλικρινῆ ἐξαγόρευσιν οὐκ ἔξεστιν ἀντιλέγειν τῷ μετά Θεόν δικαστῇ καί ἐξουσιαστῇ αὐτοῦ μέχρι θανάτου ποτέ. Ὁ γάρ μοναχός ἐν τούτῳ κατ' ἀρχάς εἰσελθών τῷ δικαστηρίῳ καί ἀπογυμνώσας τά κρυπτά τῆς καρδίας αὐτοῦ πέπεισται ἐκ προοιμίων, εἴ γε καί ὁπωσοῦν γνῶσιν κέκτηται, ὅτι μυρίων ὑπάρχει θανάτων ἄξιος, καί διά τῆς ὑπακοῆς αὐτοῦ καί τῆς ταπεινώσεως πάσης τιμωρίας καί κολάσεως λυτρωθῆναι πιστεύει, εἰ ὡς ἀληθῶς ἄρα τοῦ μυστηρίου τόν τρόπον ἐπίσταται.

νθ΄. Ὁ ἀνεξάλειπτα ταῦτα φυλάττων ἐν τῇ ἑαυτοῦ διανοίᾳ τήν καρδίαν οὐδέποτε κινηθήσεται, παιδευόμενος ἤ νουθετούμενος ἤ ἐλεγχόμενος, ἐπειδή ὁ ἐμπίπτων τοῖς τοιούτοις κακοῖς, λέγω δέ τῇ ἀντιλογίᾳ καί ἀπιστίᾳ τῇ πρός τόν πνευματικόν πατέρα αὐτοῦ καί διδάσκαλον, εἰς πέταυρον καί βυθόν ᾅδου ἔτι ζῶν ἐλεεινῶς καταφέρεται καί

οἶκος τοῦ Σατανᾶ καί πάσης αὐτοῦ τῆς ἀκαθάρτου δυνάμεως γίνεται, ὡς ἀπειθείας καί ἀπωλείας υἱός

ξ΄. Παρακαλῶ σε τόν τῆς ὑπακοῆς <υἱόν> ταῦτα στρέφειν συνεχῶς ἐν τῇ διανοίᾳ σου καί πάσῃ σπουδῇ ἀγωνίσασθαι τοῦ μή κατελθεῖν ἐν τοῖς εἰρημένοις τοῦ ᾅδου κακοῖς, ἀλλ' οὕτω δέεσθαι τοῦ Θεοῦ θερμῶς καθ' ἑκάστην καί λέγειν «*Θεέ καί Κύριε τῶν ἁπάντων, ὁ πάσης πνοῆς καί ψυχῆς ἔχων τήν ἐξουσίαν, ὁ μόνος ἰάσασθαί με δυνάμενος, ἐπάκουσόν μου τῆς δεήσεως τοῦ ταλαιπώρου καί τόν ἐν ἐμοί ἐμφωλεύοντα δράκοντα τῇ τοῦ παναγίου σου Πνεύματος ἐπιφοιτήσει θανατώσας ἀφάνισον κἀμέ πτωχόν καί γυμνόν πάσης ὑπάρχοντα ἀρετῆς τοῖς τοῦ ἁγίου μου πατρός ποσί μετά δακρύων προσπεσεῖν ἀξίωσον καί τήν ἁγίαν αὐτοῦ ψυχήν εἰς συμπάθειαν τοῦ ἐλεῆσαί με ἕλκυσον. Καί δῷς, Κύριε, ταπείνωσιν τῇ καρδίᾳ μου καί λογισμούς πρέποντας ἁμαρτωλῷ συνθεμένῳ σοι μετανοεῖν, καί μή εἰς τέλος ἐγκαταλείψῃς ψυχήν ἅπαξ συνταξαμένην καί ὁμολογήσασαν καί ἀντί παντός τοῦ κόσμου ἐκλεξαμένην καί προτιμησαμένην σε. Οἶδας γάρ, Κύριε, ὅτι θέλω σωθῆναι, εἰ καί ἡ πονηρά μου συνήθεια ἐμπόδιόν μου καθίσταται ἀλλά δυνατά σοι, Δέσποτα, πάντα ὅσα παρά ἀνθρώποις ἀδύνατα*».

ξα΄. Οἱ καλόν τόν θεμέλιον τῆς πίστεως καί ἐλπίδος ἐν τῇ αὐλῇ καταβαλόντες τῆς εὐσεβείας μετά φόβου καί τρόμου, καί ἐπί τήν πέτραν τῆς ὑπακοῆς τῶν πνευματικῶν πατέρων τούς πόδας ἀσαλεύτους ἐρείσαντες, καί ὡς ἐκ Θεοῦ στόματος τά παρ' ἐκείνων ἐντελλόμενα ἀκούοντες, καί τῷ θεμελίῳ τούτῳ τῆς ὑπακοῆς ἀδιστάκτως ἐποικοδομοῦντες αὐτά ἐν ταπεινώσει ψυχῆς, εὐθύς κατορθοῦσι, καί κατορθοῦται αὐτοῖς τό μέγα τοῦτο καί πρῶτον κατόρθωμα, τό ἑαυτούς ἀπαρνήσασθαι. Τό γάρ πληροῦν ἀλλότριον θέλημα καί μή τό ἑαυτοῦ, οὐ μόνον ἀπάρνησιν τῆς ἰδίας ψυχῆς, ἀλλά καί νέκρωσιν τήν πρός τόν κόσμον ἅπαντα ἐμποιεῖ.

ξβ΄. Τῷ τῷ ἑαυτοῦ πατρί ἀντιλέγοντι συγχαίρουσι δαίμονες, τῷ δέ μέχρι ταπεινουμένῳ θανάτου θαυμάζουσιν ἄγγελοι ἔργον γάρ τοῦ Θεοῦ ὁ τοιοῦτος ἐργάζεται, ἐξομοιούμενος τῷ Υἱῷ τοῦ Θεοῦ, τῷ τήν ὑπακοήν πεπληρωκότι τῷ ἰδίῳ πατρί μέχρι θανάτου, θανάτου δέ σταυροῦ.

ξγ΄. Ὁ πολύς καί ἄκαιρος συντριμμός τῆς καρδίας σκοτίζει καί θολεῖ τήν διάνοιαν, καί τήν μέν καθαράν εὐχήν καί ταπείνωσιν ἀπό τῆς ψυχῆς ἐξαφανίζει, πόνον δέ καρδιακόν ἐμποιεῖ, ἐντεῦθεν δέ σκληρότητα καί πώρωσιν ἄπειρον διά δέ τούτων τήν ἀπόγνωσιν τοῖς πνευματικοῖς οἱ δαίμονες πραγματεύονται.

ξδ΄. Ὁπηνίκα σοι ταῦτα ὑπαντήσωσι, μοναχέ, εὕρῃς δέ ζῆλον καί πόθον τελειότητος ἐν τῇ ψυχῇ σου πολύν, ὡς ἐπιθυμεῖν σε πᾶσαν μέν ἐντολήν πληρῶσαι τοῦ Θεοῦ καί μηδέ μέχρις ἀργοῦ λόγου παραπίπτειν καί ἁμαρτάνειν, μηδενός δέ τῶν πάλαι ἀπολειφθῆναι ἁγίων κατά πρᾶξιν καί γνῶσιν καί θεωρίαν, ὁρᾷς δέ σαυτόν κωλυόμενον παρά τοῦ ὑποσπείροντος τά τῆς ἀθυμίας ζιζάνια μή ἐλάσαι εἰς τοσοῦτον ὕψος τῆς ἁγιωσύνης ἐν τῷ ὑποβάλλειν αὐτόν ἐν σοί λογισμούς καί λέγειν «*Ἀδύνατόν σοι μέσον τοῦ κόσμου*

*σωθῆναι φυλάξαι πάσας τάς ἐντολάς ἀνελλιπῶς τοῦ Θεοῦ*», τότε σύ ἐν μιᾷ καθίσας κατά μόνας γωνίᾳ, σύστειλον σεαυτόν καί ἐπισύναξόν σου τόν λογισμόν καί δός ἀγαθήν βουλήν τῇ σῇ ψυχῇ καί εἰπέ «*Ἵνα τί περίλυπος εἶ, ἡ ψυχή μου, καί ἵνα τί συνταράσσεις με; Ἔλπισον ἐπί τόν Θεόν ὅτι ἐξομολογήσομαι αὐτῷ. Σωτήριον γάρ τοῦ προσώπου μου οὐχί τά ἔργα μου, ἀλλ᾽ ὁ Θεός μού ἐστι*». Τίς γάρ ἐξ ἔργων νόμου δικαιωθήσεται; Οὐ δικαιωθήσεται γάρ ἐνώπιόν σου πᾶς ζῶν. Ἀλλ᾽ ἐκ πίστεως τῆς εἰς αὐτόν τόν Θεόν μου ἐλπίζω σωθῆναι διά τῆς ἀφάτου αὐτοῦ εὐσπλαγχνίας δωρεάν «*Ὕπαγε ὀπίσω μου, Σατανᾶ, Κυρίῳ τῷ Θεῷ μου προσκυνῶ καί αὐτῷ ἐκ νεότητός μου λατρεύω, τῷ δυναμένῳ με σῶσαι ἐν μόνῳ τῷ ἐλέει αὐτοῦ. Ἀπόστηθι οὖν ἀπ᾽ ἐμοῦ ὁ Θεός ὁ ποιήσας με κατ᾽ εἰκόνα καί καθ᾽ ὁμοίωσιν αὐτοῦ καταργήσει σε*».

ξε'. Ὁ Θεός ἐξ ἡμῶν οὐδέν ἕτερον ἐπιζητεῖ τῶν ἀνθρώπων ἀλλ᾽ ἤ τό μή ἁμαρτάνειν, καί μόνον τοῦτο δέ οὐκ ἔστιν ἔργον νόμου ἀλλά φυλακή ἀπαράβατος τῆς εἰκόνος καί τοῦ ἄνωθεν ἀξιώματος, ἐν οἷς, κατά φύσιν ἑστῶτες καί τόν χιτῶνα φοροῦντες λελαμπρυσμένον τοῦ Πνεύματος, ἐν τῷ Θεῷ μένομεν καί αὐτός ἐν ἡμῖν, θέσει θεοί καί υἱοί Θεοῦ χρηματίζοντες, ἐν τῷ φωτί τῆς γνώσεως τοῦ Θεοῦ σημειούμενοι.

ξστ΄. Ἀκηδία καί βάρος τοῦ σώματος, ἐξ ὀκνηρίας καί ἀμελείας προσγενόμενα τῇ ψυχῇ, τοῦ συνήθους ἀφιστῶσι κανόνος καί σκότωσιν τῇ διανοίᾳ προξενοῦσι καί ἀθυμίαν, ὡς ἐντεῦθεν δειλίας καί βλασφημίας λογισμούς ἐπιπολάζειν ἐν τῇ καρδίᾳ καί μηδέ ἐν τῷ συνήθει τόπῳ τῆς προσευχῆς εἰσελθεῖν τόν ὑπό τοῦ δαίμονος τῆς ἀκηδίας πειραζόμενον δύνασθαι, ἀλλά καί ὀκνεῖν αὐτόν καί κατά τοῦ ποιητοῦ τῶν ἁπάντων ἐνθυμεῖσθαι παράλογα. Γνούς οὖν τήν αἰτίαν καί πόθεν σοι ταῦτα ἐπῆλθον, σπουδαίως εἴσελθε εἰς τόν συνήθη τόπον τῆς προσευχῆς σου, καί τῷ φιλανθρώπῳ Θεῷ προσπεσών δεήθητι μετά στεναγμοῦ καί δακρίων ἐν ὀδύνῃ καρδίας σου τήν ἀπαλλαγήν τοῦ βάρους τῆς ἀκηδίας καί τῶν πονηρῶν λογισμῶν, καί δοθήσεταί σοι ἐμπόνως κρούοντι καί ἐπιμένοντι ἡ τούτων ἐν τάχει ἐλευθερία.

ξζ΄. Ὁ καθαρά τήν καρδίαν κτησάμενος, οὗτος δειλίαν ἐνίκησεν· ὁ δέ ἀκμήν καθαιρόμενος, ποτέ μέν βάλλει αὐτήν, ποτέ δέ βάλλεται ὑπ᾽ αὐτῆς· ὁ δέ μηδόλως ἀγωνιζόμενος, ἤ παντελῶς ἀναισθητεῖ καί ἐν τῷ φίλος εἶναι παθῶν καί δαιμόνων, ὅς πρός τῇ κενοδοξίᾳ καί οἴησιν νοσεῖ δολῶν εἶναί τι μηδέν ὤν, ἤ δειλίας δοῦλος ὑπάρχει καί ὑποχείριος, τρέμων ὡς τῷ φρονήματι νήπιος, καί φοβούμενος φόβον ἐκεῖ ἔνθα φόβος οὐκ ἔστιν οὐδέ δειλία τοῖς φοβουμένοις τόν Κύριον.

ξη΄. Ὁ φοβούμενος τόν Θεόν δαιμόνων ὁρμάς οὐ φοβεῖται οὐδέ τάς ἀσθενεῖς ἐφόδους αὐτῶν ἀλλ᾽ οὐδέ ἀνθρώπων πονηρῶν ἀπειλάς· ὥσπερ δέ τις φλόξ ἤ φλέγον πῦρ ὅλος ὤν, ἐν ἀδύτοις τόποις καί ἀφεγγέσι νυκτός καί ἡμέρας περιϊών, φυγαδεύει τούς δαίμονας, φεύγοντας μᾶλλον αὐτόν, ἤπερ αὐτούς ἐκεῖνος, μή ἐμπρησθῆναι ὑπό τῆς ἐκπεμπομένης ἐξ αὐτοῦ φλογοειδοῦς ἐκτῖνος τοῦ θείου πυρός.

ξθ'. Ὅς τῷ φόβῳ τοῦ Θεοῦ στοιχεῖ, οὗτος μέσον ἀνδρῶν ἀναστρεφόμενος πονηρῶν οὐ φοβεῖται, τόν φόβον αὐτοῦ ἔνδοθεν ἔχων καί φέρων τό ἀκαταμάχητον ὅπλον τῆς πίστεως, μεθ' ἧς ἰσχύει καί δύναται πάντα ὁρᾶν, καί αὐτά τά δοκοῦντα τοῖς πολλοῖς δυσχερῆ καί ἀδύνατα· ἀλλ' ὥσπερ τις γίγας ἐν μέσῳ πιθήκων ἤ λέων βρυχώμενος ἐν μέσῳ κυνῶν καί ἀλωπέκων διάγων, πεποιθών ἐστιν ἐπί Κύριον καί τῷ στερρῷ τοῦ φρονήματος καταπλήττει αὐτούς καί ἐκδειματοῖ τάς φρένας αὐτῶν, ὡς ῥάβδον σιδηρᾶν τόν ἐν σοφίᾳ λόγον ἐπιφερόμενος.

ο'. Μή θαυμάσῃς, ἐάν ὑπό δειλίας κυρευόμενος πάντα φοβούμενος τρέμῃς· ἔτι γάρ ἀτελής εἶ καί ἀνίσχυρος καί ὥσπερ νήπιον τά μορμολύκεια δέδοικας· ἡ γάρ δειλία πάθος ἐστί νηπιῶδες καί καταγέλαστον κενοδόξου ψυχῆς. Πρός τοῦτον οὖν τόν δαίμονα μή θέλε λόγους λέγειν ἤ ἀντιρρήσεις ποιεῖσθαι· τῆς γάρ ψυχῆς τρεμούσης καί κλονουμένης, οὐκ ὠφελήσουσι λόγοι· ἀφείς δέ τούτους, ὅση σοι δύναμις τόν λογισμόν σου ταπείνωσον καί θᾶττον γνώσεις ἠφανισμένην δειλίαν.

οα'. Ὑπό ἀκηδίας ποτέ τις κατασχεθείς, χαῦνον τόν νοῦν καί σκοτεινόν ἔσχε καί ἔκλυτον αὐτοῦ τήν ψυχήν, ὡς μικρόν ἐκ τούτου τό πένθος ἐκλεῖψαι ἀπό τῆς καρδίας αὐτοῦ καί τήν φλόγα ἐν αὐτῷ σβεσθῆναι τοῦ Πνεύματος καί πάντα τόν οἶκον τοῦ σώματος αὐτοῦ πλησθῆναι καπνοῦ· οὐ μήν ἀλλά γάρ καί νάρκωσις μελῶν ἐν αὐτῷ γενομένη, ἐξ ὀκνηρίας εἰς ὕπνον ἄμετρον κατεφέρετο, ὡς ἐξ ἀνάγκης ἐλλείπειν αὐτῷ καί τήν συνήθη ἀκολουθίαν. Πρός ταῦτα δέ δι' ἐγκρατείας ἀνθιστάμενος καί ἀγρυπνίας, ὡς τόν ὕπνον ἐνίκησε, θᾶττον ἡ καρδία αὐτοῦ ἐξ οἰήσεως ἐσκληρύνετο, καί πένθους ἐκλείποντος, ἡ δειλία αὐτῷ ὑπεισήρχετο. Ὡς δέ πάλιν ᾔσθετο ταύτην οὖσαν ἐν αὐτῷ, ἀωρί τῆς κέλλης αὐτοῦ ἔξω ἐγένετο καί εἰς ζοφώδη τόπον καί σκοτεινόν ἀπελθών, στάς τε ἐν αὐτῷ καί τάς χεῖρας εἰς οὐρανούς ἀνατείνας καί τό σημεῖον τοῦ σταυροῦ ἐν ἑαυτῷ ἐκτυπώσας, ὄμμα τε ψυχῆς πρός Θεόν ἀνατείνας, ὡς μικρόν ἐταπείνωσε τόν λογισμόν, εὐθύς ὁ τῆς διελίας ἐξ αὐτοῦ δαίμων ἀπέστη μικρόν. Ὁ δέ κραταιότερος αὐτοῦ, ὁ δεινός τῆς κενοδοξίας ἐχθρός, ὑπέκλεπτε τούτου τόν λογισμόν, κατασπάσαι βουλόμενος αὐτόν καί αὖθις τῷ τῆς δειλίας δαίμονι παραδοῦναι· ὅπερ κατανοήσας, τεθαύμακε καί τόν Θεόν ἐδυσώπει θερμῶς ῥύσασθαι τήν ψυχήν αὐτοῦ ἐκ τῶν τοιούτων παγίδων τοῦ διαβόλου.

οβ'. Πολλή καί πᾶσιν, οἶμαι, δυσνόητος ἡ τούτων συμπλοκή καί κακία καί μέθοδος τῶν δαιμόνων ὑπάρχει. Ἔγνων γάρ τόν τῆς δειλίας δαίμονα τῷ τῆς ἀκηδίας συνερχόμενον καί συγκροτοῦντα, καί τοῦτον ἐκείνῳ βοηθοῦντα καί συναιρόμενον, καί τόν μέν πρῶτον φόβον ἐν τῇ ψυχῇ μετά σκληρότητος ἐμποιοῦντα, τόν ἕτερον δέ σκότωσιν καί πάρεσιν, ἔτι τε πώρωσιν ψυχῆς τε καί νοός καί ἀπόγνωσιν ἐργαζόμενον. Δοκίμιον δέ τοῖς ἀγωνιζομένοις ἡ ἀκηδία, πρόξενος αὐτοῖς ταπεινώσεως γινομένη.

ογ'. Τοῖς προκόψασιν ἐν εὐχῇ ἤ καί ἐπιμελουμένοις εὐχῆς ὁ τῆς ἀκηδίας μάλιστα δαίμων ὡς ἐπί τό πλεῖστον πολεμεῖν εἴωθεν. Οὐδείς γάρ ἕτερος τῶν ἄλλων δαιμόνων κατά τῶν τοιούτων ἰσχύει, εἴτε κατά οἰκονομικήν παραχώρησιν τούτου κατ' αὐτῶν

ἰσχύσαντος, εἴτε καί ἐκ τῶν τοῦ σώματος ἀνωμαλιῶν τήν καθ’ ἡμῶν λαβόντος ἰσχύν, ὥς γε πείθομαι μᾶλλον. Τό δέ λεγόμενόν ἐστι τοιοῦτον· πολλά φαγών καί τόν στόμαχον βαρηθείς καί εἰς κόρον ὑπνώσας, ἐκυρίευσε τοῦ νοός μου τό πάθος καί ἡττήθην· εἶτα πάλιν ὑπέρ τό μέτρον ἐγκρατευσάμενος, τόν νοῦν μου σκοτεινόν καί δυσκίνητον εἰργασάμην καί αὖθις εἰς τό αὐτό περιέπεσα πάθος. Ἔστι δ’ ὅτε καί ἐκ τῆς τοῦ ἀέρος κράσεως, οὐκ οἶδ’ ὅπως εἴπω, καί τῆς ἀχλυώδους παχύτητος τοῦ νοτιαίου ἀνέμου ταῦτα συμβαίνειν τοῖς ἀγωνιζομένοις.

οδ'. Ἀκηδία θάνατος ψυχῆς καί νοός ἐστι. Ταύτην εἰ παρεχώρησεν ὁ Θεός καθ’ ἡμῶν ἐνεργῆσαι κατά τήν δύναμιν αὐτῆς, οὐδείς ἄν ἐσώθη τῶν ἀγωνιζομένων ποτέ. Ἡμέτερον δέ ὅμως ἐστί τό ἀντιστῆναι αὐτῇ κατά τό ἐνόν τῆς δυνάμεως, Θεοῦ δέ τό καί μυστικῶς ἡμᾶς διεγείρειν καί φανερῶς νικητάς ἀποδεῖξαι αὐτῆς. Ἀδύνατον δέ τινα θανόντα ἀναστῆσαι δίχα βοηθείας τοῦ ἐκ νεκρῶν ἑαυτόν ἀναστήσαντος.

οε'. Ὁπηνίκα εἰς οἴησιν κλαπείς ὁ νοῦς ἐν αὐτῇ ἐμβαθύνῃ καί εἶναί τι ἐναγωνίως ἔχων καθ’ ἑαυτόν ὑπολάβῃ, τηνικαῦτα ἡ ἀοράτως αὐτόν φωτίζουσα χάρις ἀφίσταται, καί βραχύ κενόν καταλείψασα, εὐθύς ἐλέγχεται αὐτοῦ ἡ ἀσθένεια, ὥσπερ α'γριών κυνῶν ἐπιδραμόντων αὐτῷ τῶν παθῶν καί καταπιεῖν ζητούντων αὐτόν· οὗ καί ἐξαπορουμένου, μή ἔχοντος δέ ποῦ φυγεῖν καί σωθῆναι, πρός τόν δυνάμενον σῶσαι αὐτόν καταφεύγει διά ταπεινώσεως Κύριον.

οστ'. Ὁ ἔξω γεγονώς τοῦ κόσμου παντός ὡς ἐν ἐρήμῳ ἀβάτῳ καί μεστῇ θηρίων ὄντα κατανοεῖ ἑαυτόν. Ὅθεν φόβῳ ἀρρήτῳ καί τρόμῳ ἀνεκδιηγήτῳ συνεχόμενος, βοᾷ πρός τόν Θεόν, ὡς μέν Ἰωνᾶς, ἐκ τοῦ κήτους καί τῆς θαλάσσης τοῦ βίου, ὡς δέ Δανιήλ, ἐκ τοῦ λάκκου τῶν ἀγρίων παθῶν καί λεόντων, ὡς δέ οἱ τρεῖς παῖδες, ἐκ τῆς καμίνου τοῦ ἐμφύτου τῆς ἐπιθυμίας πυρός τῆς καιομένης, ὡς δέ Μανασσῆς, ἐκ τοῦ χαλκουργήματος τοῦ πηλίνου τούτου καί θνητοῦ σώματος. Οὗ καί εἰσακούων ὁ Κύριος, ῥύεται αὐτόν ἐκ τοῦ βυθοῦ τῆς ἀγνοίας καί τῆς φιλίας τοῦ κόσμου, καθάπερ τόν προφήτην ἐκ τοῦ κήτους ἐκεῖνον, τοῦ μηκέτι παλινοστῆσαι πρός ταῦτα· ῥύεται αὐτόν ἐκ τοῦ λάκκου τῶν πονηρῶν λογισμῶν τῆς ἐπιθυμίας, τῶν ἁρπαζόντων καί κατεσθιόντων τάς τῶν ἀνθρώπων ψυχάς, ὡς τόν Δανιήλ· ἀπό τῶν ἐμπαθῶν προλήψεων τοῦ πυρός, τοῦ καταφλέγοντος καί λυμαινομένου αὐτοῦ τήν ψυχήν καί πρός πράξεις ἀτόπους βίᾳ συνωθοῦντος καί ἕλκοντος, φυλάττει αὐτόν ἀκατάφλεκτον, τῷ Ἁγίῳ Πνεύματι δροσίζων αὐτοῦ τήν ψυχήν, ὡς τούς Ἰσραηλίτας ἐκείνους· καί ἀπό τῆς γεώδους ταύτης καί βαρείας καί ἐμπαθεστάτης σαρκός ἀταπείνωτον διατηρήσας καί ἄπτωτον, υἱόν φωτός καί ἡμέρας αὐτόν ἀπεργάζεται καί τῆς ἀθανασίας ἔνθεν ἤδη ἀπογεύει αὐτόν.

οζ'. Ψυχή ἡ σχετικῶς οἰκοῦσα ἐν τῇ ταπεινώσει ταύτῃ τοῦ σώματος καί τῶν ἡδονῶν τούτου ἀντιποιουμένη καί τῆς δόξης τῶν ἀνθρώπων ἀντεχομένη, ἤ τούτων μέν ἀλογήσασα αἰσθανομένη δέ τοῦ ἀέρος τούτου τῆς εὐθυμίας, πρός πᾶσαν ἀρετήν καί ἐντολήν Θεοῦ ἀκίνητος ὑπάρχει παντάπασι καί ἀπρόθυμος, ὡς καταβαρουμένη καί

πεδουμένη δεινῶς ὑπό τῶν εἰρημένων κακῶν. Ἐπάν δέ, διεγερθεῖσα πόνοις κακοπαθείας καί δάκρυσι μετανοίας, τό βάρος ἀφ’ ἑαυτῆς ἀποσείσηται τῆς σαρκός καί τήν ἅλμην τοῦ γεώδους φρονήματος τοῖς νάμασιν ἀποκλύσηται τῶν δακρύων καί ὑπεράνω τῆς ταπεινώσεως γένηται τῶν ὁρωμένων καί φωτός ἀπολαύσῃ καθαροῦ καί ἐλευθερίας ἀξιωθῇ τῶν τυραννούντων παθῶν, αὐτίκα προφητικῶς καί αὐτή βοᾷ πρός Θεόν· «*Διέρρηξας τόν σάκκον μου καί περιέζωσάς με εὐφροσύνην, ὅπως ἄν ψάλλῃ σοι ἡ δόξα μου καί οὐ μή κατανυγῶ*».

οη'. Τρεῖς μέν ἡ θεία Γραφή τόπους, ἐν οἷς ἐμφιλοχωρεῖν ὁ νοῦς εἴωθεν, ὑποσημαίνεται. Ἐγώ δέ δύο μᾶλλον εἶναί φημι, οὐκ ἐναντία τῇ Γραφῇ δογματίζων, μή γένοιτο, ἀλλά τῆς ἀρχῆς καί τοῦ τέλους τό μέσον οὐκ ἀριθμῶν· οἷόν τι λέγω, ὁ ἐκ πόλεως εἰς πόλιν καί ἀπό χώρας εἰς ἑτέραν μεταβάς χώραν, οὐχί καί τήν ὁδόν αὐτήν ἥν ὥδευσε χώραν ἤ πόλιν καλέσειεν, εἰ καί πολλά τινα καί θαυμαστά κατ’ αὐτήν θεάσεται πράγματα. Ὁ γάρ ἀπό τῆς Αἰγύπτου πρός τήν τῆς ἐπαγγελίας μεταβάς γῆν καί ἐν ταύτῃ κατοικισθείς, πάντων μέν τῶν ἐν μέσῳ μέμνηται καί ταῦτα διηγεῖται τοῖς πᾶσιν· οὐ μέντοι δέ ἀπό πρώτης εἰς δευτέραν, καί ἀπό δευτέρας εἰς τρίτην πόλιν ἤ χώραν μεταβῆναι λέγει, ἀλλ’ ὥσπερ ἀπό δουλείας εἰς ἐλευθερίαν καί ἀπό σκότους εἰς φῶς καί ἀπό αἰχμαλωσίας εἰς τήν τῆς οἰκείας πατρίδος ἀποκατάστασιν. Οὕτω καί ἀπό ἐμπαθείας εἰς ἀπάθειαν καί ἀπό τῆς τῶν παθῶν δουλώσεως εἰς τήν ἐλευθερίαν τοῦ Πνεύματος καί ἀπό τῆς παρά φύσιν προλήψεως, ὅπερ αἰχμαλωσίαν ὁ πνευματικός ἀποκαλεῖ νόμος, εἰς τήν ὑπέρ φύσιν ἐπάνοδον, ἀπό τοῦ βιωτικοῦ πελάγους καί κλύδωνος πρός τήν ἔξω τοῦ κόσμου γαληνιαίαν κατάστασιν, ἀπό τῆς πικρίας τῶν βιωτικῶν μεριμνῶν τε καί θλίψεων εἰς τήν ἀνεκλάλητον γλυκύτητα καί ἀμεριμνίαν γηΐνου παντός πράγματος, ἀπό τῆς περί τά πολλά ἐπιθυμίας περιστάσεώς τε καί τύρβης πρός τό ἕν μόνον καί τήν ὁλικήν σχέσιν αὐτοῦ καί ἀγάπην, ὁ νοῦς ἡμῶν τῶν ἀνθρώπων μεταβαίνειν εἴωθεν.

οθ'. Ἡ μετάβασις τοῦ νοός ἀπό τῶν ὁρωμένων ἐπί τά ἀόρατα καί ἡ ἀπό τῶν αἰσθητῶν ἐπί τά ὑπέρ αἴσθησιν τούτου ἐμφιλοχώρησις λήθην πάντων τῶν ὄπισθεν ἐμποιεῖ. Ταύτην οὖν ἐγώ ἡσυχίαν ὄντως καί ἡσυχίας χῶρον καί τόπον ἀποκαλῶ, εἰς ὅν ὁ ἀνελθεῖν ἀξιωθείς, οὐχ ὡς ὁ Μωϋσῆς ἐπί τοῦ ὄρους τεσσαράκοντα ἡμέρας καί νύκτας τοσαύτας ποιήσας πάλιν ἐκεῖθεν κατενεχθήσεται, ἀλλά καλόν ἐκεῖ εἶναι βεβαιωθείς οὐκέτι πρός τά κάτω καθόλου ἐπιστραφήσεται· οἶκος δέ τῆς Τριάδος ἐντεῦθεν γενόμενος καί αὐτός ἐν τῇ Τριάδι, ὡς ἐν αὐτῷ ὤν τῇ βασιλείᾳ τῶν οὐρανῶν, ἐγκατοικήσει, τῆς ἀγάπης δηλονότι κρατούσης αὐτόν καί μή ἐώσης πεσεῖν.

π'. Οὐχ ὁ ἡσυχάζων μόνος ἤ ὁ ὑποτασσόμενος, ἀλλά καί ὁ ἡγουμενεύων καί ὁ πολλῶν προϊστάμενος καί αὐτός ὁ διακονῶν, ἀμέριμνος ὀφείλει εἶναι, ἤγουν ἐλεύθερος ἀπό πάντων τῶν βιωτικῶν πραγμάτων ἀναμφιβόλως· εἰ γάρ μεριμνῶμεν, παραβάται τῆς τοῦ Θεοῦ ἐντολῆς εὑρισκόμεθα τῆς λεγούσης· «*Μή μεριμνήσητε τῇ ψυχῇ ὑμῶν τί φάγητε ἤ τί πίητε ἤ τί ἐνδύσησθε· ταῦτα γάρ πάντα, τά ἔθνη ἐπιζητεῖ*» καί πάλιν. «*Βλέπετε μήποτε βαρυνθῶσιν αἱ καρδίαι ὑμῶν ἐν κραιπάλῃ καί μέθῃ καί μερίμναις βιωτικαῖς*».

πα'. Ὁ ἐν τοῖς βιωτικοῖς ἔχων πράγμασι τόν λογισμόν μεριμνῶντα οὐκ ἔστιν ἐλεύθερος· ὑπό γάρ τῆς τούτων μερίμνης κατέχεται καί δεδούλωται, κἄν ὑπέρ ἑαυτοῦ μεριμνᾷ ταῦτα κἄν δι᾽ ἑτέρους. Ὁ δέ ἀπό τούτων ἐλεύθερος, οὔτε δι᾽ ἑαυτόν, οὔτε δι᾽ ἑτέρους μεριμνήσει βιωτικῶς, κἄν ἐπίσκοπος κἄν ἡγούμενος κἄν διάκονος εἶναι τύχῃ· ἀλλ᾽ οὐδέ ἀργήσει ποτέ ἤ τινος καταφρονήσει τῶν εὐτελεστέρων καί σμικροτάτων, θεαρέστως δέ ἅπαντα ποιῶν καί πράττων, ἀμέριμνος ἐν πᾶσι διατελέσει καί ἐν τῷ βίῳ παντί.

πβ'. Ἔστι μέριμνα ἄπρακτος καί πρᾶξις ἀμέριμνος, ὡς καί τό ἀνάπαλιν ἀμεριμνία ἔμπρακτος καί ἀργία ἐμμέριμνος, ἅς καί ὁ Κύριος ἐδήλωσεν εἰπών τήν μέν ἐν τῷ εἰπεῖν· «*Ὁ πατήρ μου ἕως ἄρτι ἐργάζεται κἀγώ ἐργάζομαι*» καί πάλιν, «*Ἐργάζεσθε μή τήν βρῶσιν τήν ἀπολλυμένην, ἀλλά τήν μένουσαν εἰς ζωήν αἰώνιον*», οὐκ ἀναιρῶν τό ἐργάζεσθαι, ἀλλά τήν χωρίς μερίμνης ἐργασίαν ἐκδιδάσκων ἡμᾶς· τήν δέ ἐν τῷ αὖθις εἰπεῖν· «*Τίς μεριμνῶν δύναται προσθεῖναι εἰς τήν ἡλικίαν αὐτοῦ πῆχυν ἕνα;*» ἀναιρῶν τήν ἄπρακτον μέριμναν· περί δέ τῆς ἐμπράκτως γινομένης ἔφη· «*Καί περί ἐνδύματος ἤ τροφῆς τί μεριμνᾶτε; οὐχ ὁρᾶτε τά κρίνα τοῦ ἀγροῦ καί τά πετεινά τοῦ οὐρανοῦ πῶς τά μέν αὐξάνει, τά δέ διατρέφεται;*». Οὕτω τήν μέν ἀναιρῶν, τήν δέ βεβαιῶν, ὁ Κύριος διδάσκει ἡμᾶς πῶς δεῖ μή μεριμνῶντας μεμεριμνημένως ἐργάζεσθαι, καί πῶς ἀμερίμνους ὄντας τῆς μή προσηκούσης ἐργασίας ἀπέχεσθαι.

πγ'. Μή καταλύσῃς σου τήν οἰκίαν ἐν τῷ βούλεσθαί σε τήν τοῦ πλησίον οἰκοδομῆσαι· ὅρα γάρ ὡς χαλεπόν τό ἔργον καί δύσκολον, μήποτε προαιρουμένου σου τοῦτο, καί τήν σήν καθαιρήσῃς, καί ἀνοικοδομῆσαι τήν ἐκείνου ἰσχύσῃς οὐδόλως.

πδ'. Ἐάν μή τελείαν ἀπροσπάθειαν τῶν πραγμάτων καί τῶν χρημάτων κτήσῃ τοῦ βίου, μή θελήσῃς οἰκονομίαν ἐγχειρισθῆναι πραγμάτων, ἵνα μή ἁλῷς ἐν τούτοις καί ἀντί τοῦ λήψεσθαι μισθόν διακονίας, κλέπτου καί ἱερόσυλου καταδίκην ὑφέξεις. Εἰ δέ ὑπό τοῦ προεστῶτος πρός τοῦτο ἐκβιασθῇς, ὡς πῦρ μεταχειριζόμενος φλέγον διάκεισο, καί τήν προσβολήν τοῦ λογισμοῦ δι᾽ ἐξαγορεύσεως καί μετανοίας ἀπείργων, ἀβλαβής τῇ τοῦ προεστῶτος εὐχῇ διατηρηθήσῃ.

πε'. Ὁ μή γεγονώς ἀπαθής οὐδ᾽ ὅτι ἐστίν ἀπάθεια οἶδεν, ἀλλ᾽ οὐδέ πιστεύειν εἶναί τινα τοιοῦτον ἐπί τῆς γῆς δύναται. Πῶς γάρ ὁ μή ἑαυτόν ἀπαρνησάμενος πρῶτον καί τό αἷμα προθύμως κενώσας τό ἑαυτοῦ ὑπέρ τῆς μακαρίας ταύτης τῷ ὄντι ζωῆς ἄλλον ὑπονοήσει ταῦτα πεποιηκέναι εἰς τό κτήσασθαι τήν ἀπάθειαν; Οὕτω δέ καί ὁ δοκῶν Πνεῦμα Ἅγιον ἔχειν, μηδέν ἔχων, οὐ πιστεύει ποτέ, τάς ἐνεργείας αὐτοῦ γινομένας ἀκούων ἐν τοῖς τό Πνεῦμα τό Ἅγιον ἔχουσιν, ὅτι ἔστι τις κατά τήν γενεάν ταύτην, ἐπίσης τοῖς ἀποστόλοις Χριστοῦ καί τοῖς ἀπ᾽ αἰῶνος ἁγίοις, θείῳ ἐνεργούμενος καί κινούμενος Πνεύματι ἤ ἐν ὀπτασίᾳ τούτου γνωστῶς καί εὐαισθήτως γινόμενος. Ἕκαστος γάρ ἐκ τῆς οἰκείας καταστάσεως καί τά τοῦ πλησίον κρίνει ὡς ἔχει, εἴτε ἀρετῆς εἰπεῖν εἴτε κακίας.

πστ'. Ἄλλο ἀπάθεια ψυχῆς καί ἄλλο ἀπάθεια σώματος· ἡ μέν γάρ καί τό σῶμα

καθαγιάζει τῇ οἰκείᾳ λαμπρότητι καί τῇ φωτοχυσίᾳ τοῦ Πνεύματος, ἡ δέ αὐτή μόνη καθ' ἑαυτήν εἰς οὐδέν τόν κεκτημένον ὠφελεῖν δύναται.

πζ'. Ἕτερον ἀκινησία τῶν ψυχικῶν τε καί σωματικῶν μελῶν καί ἕτερον κτῆσις ἀρετῶν· ἡ μέν γάρ ἐκ φύσεως πρόσεστιν, ἡ δέ καί τάς φυσικάς κινήσεις ἁπάσας καταστέλλει.

πη'. Οὐκ ἔστι τό μή ἐπιθυμεῖν τινος τῶν τοῦ κόσμου τερπνῶν καί ἡδέων ἴσον τοῦ τῶν αἰωνίων καί ἀοράτων ἐφίεσθαι ἀγαθῶν· ἄλλο γάρ τοῦτο καί ἕτερον ἐκεῖνο· τῶν μέν γάρ προτέρων πολλοί κατεφρόνησαν, τῶν δέ δευτέρων ὀλίγοι τῶν ἀνθρώπων ἐφρόντισαν.

πθ'. Οὐκ εἴ τι τό ἀποστρέφεσθαι καί μή ζητεῖν τήν δόξαν τῶν ἀνθρώπων, τοῦτό ἐστι καί τό τῆς δόξης ἐκκρέμασθαι τοῦ Θεοῦ, ἀλλά πολύ τό μέσον ἐν ἀμφοτέροις· τήν μέν γάρ καί ὑπό παθῶν ἄλλων πολλοί κυριευθέντες ἀπώσαντο, τήν δέ ὀλίγοι λίαν κόπῳ καί πόνῳ πολλῷ λαβεῖν ἠξιώθησαν.

$'. Οὐχ ἕν τό εὐτελεῖ ἐσθῆτι ἀρκεῖσθαι καί μή ἐπιθυμεῖν στολῆς λαμπρᾶς καί τό ἐνδεδῦσθαι τό φῶς ἐστι τοῦ Θεοῦ· τοῦτο γάρ ἕτερον κἀκεῖνο ἄλλο· τοῦ μέν γάρ ὑπό μυρίων ἐπιιθυμιῶν καθελκόμενοί τινες εὐκόλως κατεφρόνησαν, τό δέ μόνοι περιβάλλονται ἐκεῖνοι οἱ ἀνενδότως αὐτό ζητοῦντες διά πάσης κακοπαθείας καί υἱοί φωτός καί ἡμέρας διά τῆς τῶν ἐντολῶν γινόμενοι ἐκπληρώσεως.

$α'. Ἄλλο τό ταπεινολογεῖν καί ἕτερον τό ταπεινοφρονεῖν, καί ἄλλο ταπείνωσις καί ἕτερον τό ἄνθος τῆς ταπεινώσεως, καί ὁ ταύτης καρπός ἄλλο καί τό τοῦ καρποῦ τούτου κάλλος καί τό τοῦ κάλλους ἡδύ ἕτερον, καί ἄλλο παρά ταῦτα αἱ ἐκ τοῦ καρποῦ τούτου ἐνέργειαι. Τούτων δέ τά μέν ἐφ' ἡμῖν εἰσι, τά δέ οὐκ ἐφ' ἡμῖν· καί τά μέν ἐφ' ἡμῖν, τό πάντα νοεῖν, τό πάντα φρονεῖν, τό πάντα λογίζεσθαι καί λέγειν καί πράττειν, ὅσα πρός ταπείνωσιν ἡμᾶς ἄγουσιν· ἡ δέ ἁγία ταπείνωσις καί τά λοιπά αὐτῆς ἰδιώματα, τά χαρίσματα καί αἱ ἐνέργειαι αὐτῆς, δῶρον Θεοῦ καί οὐκ ἐξ ἡμῶν, ὧν καί οὐδείς καταξιωθήσεταί ποτε, ἐάν μή τά ὅσα ἐφ' ἑαυτῷ εἰσι καλῶς προκαταβάλληται σπέρματα.

$β'. Τό μή ἀγανακτεῖν ἐν ἀτιμίαις καί ὕβρεσι καί ἐν πειρασμοῖς καί θλίψεσιν ἄλλο, καί τό ἄλλο τό εὐδοκεῖν ἐν αὐτοῖς, καί τό εὔχεσθαι ὑπέρ τῶν ταῦτα ποιούντων εἰς ἡμᾶς ἕτερον· καί ἄλλο τό ἀπό ψυχῆς αὐτούς ἀγαπᾶν· καί ἕτερον παρά ταῦτα τό νοερῶς ἀνατυποῦν τό πρόσωπον ἑνός ἑκάστου αὐτῶν καί ὡς γνησίους φίλους ἀπαθῶς αὐτούς κατασπάζεσθαι ἐν δάκρυσιν ἀγάπης εἰλικρινοῦς, ἴχνους δηλονότι ἀηδίας καθόλου τινός μή εὑρισκομένου τότε ἐν τῇ ψυχῇ. Μεῖζον δέ τούτων ὧν εἴπομεν, ὅταν καί ἐν αὐτῷ τῷ καιρῷ τῶν πειρασμῶν, τήν ἴσην ἔχῃ τις καί ὁμοίαν ἀναλλοιώτως διάθεσιν πρός τούς κατά πρόσωπον λοιδοροῦντας καί ἐνδιαβάλλοντας καί κατακρίνοντας καί καταδικάζοντας καί ὑβρίζοντας καί ἐμπτύοντας αὐτόν, ἀλλά μήν καί πρός τούς ἐν προσχήματι μέν φιλίας ἔξωθεν διακειμένους, λάθρα δέ τά ὅμοια διαπραττομένους μέν, μή λανθάνοντας δέ. Ἀσυγκρίτως δέ τούτων πάλιν μεῖζον εἶναι ὑπολαμβάνω τό ἐν λήθῃ

παντελεῖ γενέσθαι ὧν ἄν πάθοι τις, καί μήτε ἀπόντων τῶν θλιψάντων αὐτόν μήτε παρόντως μενῆσθαί τινος τῶν γεγονότων, ἀλλ’ ὁμοίως τοῖς φίλοις καί τούτους ἀνεννοίως τῶν συμβάντων προσαποδέχεσθαι ἔν τε συνομιλίαις ἔν τε συνεστιάσεσιν.

$γ'. Οὐχ οἷον τό μεμνῆσθαι Θεοῦ, τοιοῦτον καί τό ἀγαπᾶν τόν Θεόν· οὐδέ οἷον τό φοβεῖσθαι αὐτόν, τοιοῦτον καί τό τηρεῖν τάς αὐτοῦ ἐντολάς· ἄλλο γάρ ταῦτα καί ἄλλο ἐκεῖνα, τελείων δέ ὅμως καί ἀπαθῶν τά ἀμφότερα.

$δ'. Ἄλλο ἡ ἀναμαρτησία καί ἕτερον ἡ τῶν ἐντολῶν ἐργασία· ἡ μέν γάρ ἀγωνιζομένων καί τῶν κατά τό εὐαγγέλιον ζώντων ἐστίν, ἡ δέ πρώτη μόνων τῶν τήν πρώτην κτησαμένων ἀπάθειάν ἐστιν.

$ε'. Οὐκ εἴ τι πάντως ἀργία, τοῦτο καί ἡσυχία· οὐδέ εἴ τι ἡσυχία, τοῦτο καί σιωπή· ἄλλο δέ ταῦτα καί ἄλλο. Ἡ μέν γάρ μή βουλομένων ἐστίν εἰδέναι τίς ἡ τῶν ἀγαθῶν τοῦ Θεοῦ μέθεξις μηδέ τί τῶν καλῶν κατορθῶσαι· ἡ δέ, τῶν εἰς τήν γνῶσιν τοῦ Θεοῦ ποιουμένων ἀεί τήν σχολήν καί παρακαθημένων τῷ λόγῳ τῆς ἐμφύτου σοφίας Θεοῦ καί τά βάθη τοῦ Πνεύματος ἐρευνώντων καί ξένων μυστηρίων ἐν μυήσει γινομένων Θεοῦ. Ἡ δέ τρίτη, τῶν τήν νοεράν ἐργασίαν ἐργαζομένων ἐστίν ἐν προσοχῇ ἐμμερίμνου διανοίας τῶν λογισμῶν.

$στ'. Οὐ ταὐτόν ἀναχώρτησις, ἡ ἐκ τόπου εἰς τόπον μετάβασις, καί αὐτή ἡ ὄντως ἀληθής ξενιτεία, ἀλλ’ ἕτερον καί ἕτερον. Ἡ μέν γάρ, τῶν πυκτευόντων ἐστί καί ἤ διά ὀλιγωρίαν ὑπό ἀστάτου μεταφερομένων νοός ἤ διά ὑπερβολήν θερμότητος [τῶν] ἐφιεμένων ἔτι τῶν κρειττόνων ἀγώνων. Ἡ δέ τῶν ἐσταυρωμένων ἐστί τῷ κόσμῳ καί τοῖς τοῦ κόσμου πράγμασι καί μετά μόνου Θεοῦ καί τῶν ἀγγέλων εἶναι ἀεί ἐπιποθούντων καί μή ἐπιστρεφομένων ὅλως πρός τά ἀνθρώπινα.

$ζ'. Ἕτερον τό ἀνθίστασθαι καί πολεμεῖν τοῖς ἐχθροῖς καί ἕτερον τό τελείως ἡττῆσαι καί ὑποτάξαι καί θανατῶσαι αὐτούς· τό μέν γάρ πρῶτον, ἀγωνιστῶν καί γενναίων τήν ἄσκησιν, τό δέ δεύτερον, ἀπαθῶν καί τελείων.

$η'. Ταῦτα μέν ἅπαντα πράξεις τῶν ἐν φωτί ἀπαθείας περιπατούτνων ἁγίων εἰσίν· οἱ δέ τούτων ἔξω ἑαυτούς εἶναι καταμανθάνοντες μή πλανηθῶσιν ὑπό τινος μηδέ τάς ἰδίας ἀπατῶσι ψυχάς, ἀλλ’ ἰδέτωσαν ὡς ἐν σκότει ματαίως διαπορεύονται.

$θ'. Πολλοί μέν, ἄλλος δι’ ἄλλο τι καί δι’ ἕτερον ἕτερος, πρός ταῦτα ἠπείχθησαν· ὀλίγοι δέ λίαν οἱ μετά ἐμφύτου φόβου καί ἀγάπης Θεοῦ τῆς πράξεως αὐτῶν ἐπεχείρησαν, οἵ καί μόνοι ὑπό τῆς ἄνωθεν χάριτος βοηθούμενοι συντόμως κατορθοῦσι τήν τῆς ἀρετῆς ἐργασίαν καί πρός τά εἰρημένα προσεπεκτείνονται. Οἱ δ’ ἄλλοις ἀφίενται ὡς «*ἐν ἀβάτῳ*» περιπλανᾶσθαι, κατά τό εἰρημένον «*καί οὐχ ὁδῷ*», κατά τό «*Ἐξαπέστειλα αὐτούς κατά τά ἐπιτηδεύματα τῶν καρδιῶν αὐτῶν, πορεύσονται ἐν τοῖς ἐπιτηδεύμασιν αὐτῶν*».

ρ'. Ὁ τούτων ἐν πείρᾳ γεγονώς διά σπουδῆς τῆς καλλίστης γνώσεται τῶν λεγομένων τήν δύναμιν. Ὁ δέ ἄλλως ἔχων τά μέν αἰσθητῶς λεχθέντα νοήσειε, περί δέ τῶν πνευματικῶς καί νοερῶς εἰρημένων, ψιλάς ἕξει τῶν νοημάτων τάς θεωρίας, μᾶλλον δέ ἀναπλάσει ἀναπλάσματα ψευδῆ ἐν τῇ ἑαυτοῦ διανοίᾳ, τῆς δέ ἀληθείας τῶν λεγομένων μακράν ὡς ψευσθείς ἔσται σφόδρα.

ρα'. Ὁπόταν ὑπεράνω τῆς τοῦ σώματος ταπεινώσεως γένῃ διά πόνων καί ἱδρώτων πολλῶν, καί τῶν αὐτοῦ ἐκδύς ἀναγκῶν, κοῦφον αὐτό καί ὡς πνευματικόν περιφέρῃς, ὡς μήτε κόπου μήτε πείνης μήτε δίψης αἰσθόμενον, καί τηνικαῦτα κρεῖττον ἐσόπτρου βλέπεις τόν ὑπέρ νοῦν καί ἀνακεκαλυμμένοις τοῖς ὀφθαλμοῖς δακρύων ὁρᾷς ὅν οὐδείς ἑώρακε πώποτε, καί δακνομένης σου τῆς ψυχῆς τῷ ἐκείνου ἔρωτι, θρῆνον ἀποτελεῖς τοῖς δάκρυσι σύμμικτον· τότε μνήσθητί μου καί ὑπερεύχου τοῦ ταπεινοῦ ὡς μετά Θεοῦ συνάφειαν ἐσχηκώς καί παρρησίαν πρός αὐτόν ἀκαταίσχυντον.

# ΕΤΕΡΑ ΚΕΦΑΛΑΙΑ ΓΝΩΣΤΙΚΑ ΤΕ ΚΑΙ ΘΕΟΛΟΓΙΚΑ κε'

α'. Οὔτε τῷ θεολογοῦντι ἁρμόζει μετάνοια οὔτε τῷ μετανοοῦντι θεολογία· καθόσον γάρ ἀπέχουσιν ἀνατολαί ἀπό δυσμῶν, κατά τοσοῦτον ὑψηλοτέρα ἡ θεολογία τῆς μετανοίας ἐστίν. Ὥσπερ γάρ ἄνθρωπος ὁ ἐν νόσοις καί ἀσθενείαις διάγων ἤ ὡς ῥακοδυτῶν πένης καί κράζων ἐλεημοσύνην, οὕτως ὁ ἐν μετανοίᾳ ὤν καί τά τῆς μετανοίας ἔργα ἐν ἀληθείᾳ ποιῶν χρηματίζει· ὁ δέ γε θεολογῶν ὅμοιός ἐστι τῷ ἐν ταῖς βασιλείοις αὐλαῖς ἀναστρεφομένῳ ἐν λαμπρότητι βασιλικωτάτης στολῆς καί οἰκείῳ ὄντι τῷ βασιλεῖ λαλοῦντί τε αὐτῷ ἀεί καί ἐξ αὐτοῦ καθ' ὥραν ἐνηχουμένῳ τρανῶς τά ἐκείνου προστάγματα καί θελήματα.

β'. Ἡ προσθήκη τῆς γνώσεως τοῦ Θεοῦ ἀγνωσίας τῶν ἄλλων ἁπάντων αἰτία καί πρόξενος γίνεται, οὐ μήν ἀλλά καί αὐτοῦ τοῦ Θεοῦ, καί τό πολύ τῆς ἐλλάμψεως αὐτοῦ παντελής ἀβλεψία, καί ἡ ὑπέρ αἴσθησιν ὑπερτελής αἴσθησις πάντων τῶν ἔξω ταύτης ὄντων ἀναισθησία. Ἡ γάρ ὁποῖα καί ποταπά καί ποῦ καί τίνα καί πῶς τά ἐν οἷς ἐστιν ἀγνοοῦσα καί καταμαθεῖν ἤ κατανοῆσαι ὅλως ταῦτα μή ἐξισχύουσα πῶς αἴσθησις ἔσται; Καί οὐχί μᾶλλον ὑπέρ αἴσθησιν μέν ἐκεῖνα, ὁ δέ νοῦς ἐν αἰσθήσει τῆς ἑαυτοῦ ἀσθενείας ἀναίσθητος πρός τά ὑπέρ αἴσθησιν εὑρεθῇ; «*Ἅ γάρ ὀφθαλμός οὐκ εἶδε καί οὖς οὐκ ἤκουσε καί ἐπί καρδίαν ἀνθρώπου οὐκ ἀνέβη*», πῶς αἰσθήσει ὑποβληθήσονται;

γ'. Ὁ τά ὑπέρ αἴσθησιν ἡμῖν χαριζόμενος Κύριος δίδωσιν ἡμῖν ἄλλην διά τοῦ Πνεύματος αὐτοῦ, ὅπως τῶν ὑπέρ αἴσθησιν αὐτοῦ δωρεῶν καί χαρισμάτων ὑπερφυῶς διά πασῶν τῶν αἰσθήσεων τρανῶς καί καθαρῶς αἰσθανώμεθα.

δ'. Πᾶς ὁ ἀναίσθητος πρός τό ἕν πρός πάντα ἀναίσθητός ἐστιν, ὡς καί ὁ αἴσθησιν ἔχων πρός τό ἕν ἐν αἰσθήσει πάντων ἐστί καί τῆς αἰσθήσεως πάντων ἐκτός ἐστιν. Ἐν τῇ αἰσθήσει πάντων ἐστί καί ὑπό τῆς αἰσθήσεως αὐτῶν οὐ καταλαμβάνεται.

ε'. Ὁ κωφός πρός τόν λόγον κωφός πρός πᾶσαν φωνήν ἐστιν, ὡς καί ὁ ἀκούων τοῦ λόγου πάντων ἀκούει· οὗτος κωφεύων ἐστί πρός πᾶσαν φωνήν, πάντων ἀκούει καί οὐδενός, εἰ μή τῶν ἐν λόγῳ μόνων τούς λόγους ποιουμένων, καί οὐδέ αὐτῶν, ἀλλά τοῦ λόγου μόνου τοῦ ἐν τῇ φωνῇ ἀφώνως φθεγγομένου.

στ'. Ὁ ἀκούων οὕτως καί βλέπων καί αἰσθανόμενος οἶδε τῶν λεγομένων τήν δύναμιν. Ὁ δέ μή εἰδώς πρόδηλός ἐστιν ὅτι οὐδέ τά αἰσθητήρια τῆς ψυχῆς τετρανωμένα καί ὑγιῆ ἐπιφέρεται· οὕτως δέ ἔχων οὔπω ἔγνω ὅτι ἐπόπτης ἐκτίσθη τῆς ὁρωμένης κτίσεως καί μύστης τῆς νοουμένης, ἀλλ' ἐν τιμῇ ὤν, παρασυνεβλήθη καί ὡμοιώθη τοῖς ἀνοήτοις καί ἀχθοφόροις κτήνεσι καί ὁμοιωθείς μένει τοιοῦτος ἔτι μή ἐπαναστραφείς, μή ἐπανακληθείς, ἤ ἐπί τό πρῶτον ἀξίωμα ἀναχθείς κατά τήν δωρεάν τῆς οἰκονομίας τοῦ Δεσπότου καί Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τοῦ Υἱοῦ τοῦ Θεοῦ.

ζ'. Κάτω ὤν μή ἐρεύνα τά ἄνω· πρό δέ τοῦ γενέσθαι σε ἄνω, μή πολυπραγμονήσῃς τά κάτω, ἵνα μή ὀλισθήσας ἀμφοτέρων ἐκπέσῃς, μᾶλλον δέ συναπολειφθῇς τοῖς κάτω.

η'. Καθάπερ ὁ ἀπό πτωχείας ἐσχάτης ὑπό τοῦ βασιλέως εἰς πλοῦτον ἀνενεχθείς, καί περιφανές ἀξίωμα στολήν τε παρ' αὐτοῦ ἐνδυθείς καί πρό προσώπου αὐτοῦ ἵστασθαι κελευσθείς, αὐτόν τε τόν βασιλέα μετά πόθου ὁρᾷ καί ὡς εὐεργέτην ὑπεραγαπᾷ, τήν στολήν τε ἥν ἐνεδύσατο τρανῶς κατανοεῖ καί τό ἀξίωμα ἐπιγινώσκει καί τόν δοθέντα αὐτῷ πλοῦτον ἐπίσταται, οὕτω καί μοναχός ὁ ἀληθῶς ἀπό τοῦ κόσμου καί τῶν ἐν αὐτῷ πραγμάτων ἀναχωρήσας καί προσελθών τῷ Χριστῷ, ἀνακληθείς τε εὐαισθήτως καί πρός ὕψος πνευματικῆς θεωρίας διά τῆς τῶν ἐντολῶν ἐργασίας ἀνενεχθείς, αὐτόν τε τόν Θεόν ἀπλανῶς ὁρᾷ καί τήν γενομένην εἰς αὐτόν ἀλλοίωσιν τρανῶς κατανοεῖ· βλέπει γάρ ἀεί τήν χάριν τοῦ Πνεύματος τήν περιλάμπουσαν αὐτόν, ἥτις ἔνδυμα καλεῖται καί βασίλειος ἁλουργίς, μᾶλλον δ' ὅπερ αὐτός ἐστιν ὁ Χριστός, εἴπερ αὐτόν οἱ εἰς αὐτόν πιστεύοντες ἐπενδύονται.

θ'. Ὁ τόν οὐράνιον πλοῦτον πεπλουτηκώς, τήν παρουσίαν λέγω καί κατασκήνωσιν τοῦ εἰπόντος· «*Ἐγώ καί ὁ Πατήρ ἐλευσόμεθα καί μονήν παρ' αὐτῷ ποιήσομεν*», ἐν γνώσει ψυχῆς ἐπίσταται ὅσης ἀπέλαυσε χάριτος καί ὅσον καί οἷον ἐπιφέρεται ὄλβον κατά τά ἀνάκτορα τῆς καρδίας αὐτοῦ· ὡς γάρ φίλος φίλῳ διαλεγόμενος τῷ Θεῷ, πεπαρρησιασμένος παρίσταται πρό προσώπου τοῦ ἐν ἀπροσίτῳ κατοικοῦντος φωτί.

ι'. Μακάριος ὁ πιστεύων τούτοις, τρισμακάριος ὁ σπεύδων διά πράξεως καί ἀγώνων ἱερῶν καταλαβεῖν τήν γνῶσιν τῶν εἰρημένων· ἄγγελος, ἵνα μή τι πλέον εἴπω, ὁ πεφθακώς διά θεωρίας καί γνώσεως ἐν τῷ ὕψει ταύτης τῆς στάσεως καί πλησίον Θεοῦ ὡς υἱός Θεοῦ γεγονώς.

ια'. Ὅν τρόπον ὁ παρά τόν αἰγιαλόν τῆς θαλάσσης ἱστάμενος βλέπει μέν τῶν ὑδάτων τό ἄπειρον πέλαγος, οὐ μέντοι τό πέρας τούτων καταλαβεῖν δύναται, ἀλλά μέρος τι καθορᾷ, οὕτω καί ὁ εἰς τό ἄπειρον πέλαγος τῆς τοῦ Θεοῦ δόξης διά θεωρίας ἐνατενίσαι ἀξιωθείς καί κατιδεῖν αὐτό νοερῶς, οὐχ ὅσον ἐστίν, ἀλλ' ὅσον ἐφικτόν τοῖς νοεροῖς ὄμμασιν αὐτοῦ τῆς ψυχῆς καθορᾷ.

ιβ'. Ὥσπερ ὁ παρά τήν θάλασσαν ἑστηκώς οὐ μόνον αὐτήν ὁρᾷ, ἀλλά καί εἰς τά ὕδατα αὐτῆς εἰσέρχεται ὅσον βούλεται, οὕτω καί ἐν τῷ φωτί τοῦ Θεοῦ οἱ βουλόμενοι τῶν πνευματικῶν ἐν μεθέξει ἅμα καί θεωρίᾳ, καθόσον δι' ἐφέσεως ἐπειχθῶσι, μετά γνώσεως γίνονται.

ιγ'. Καθάπερ ὁ παρά τάς θαλαττίας ὄχθας ἱστάμενος, ἕως μέν ἔξω τῶν ὑδάτων ἐστίν, ἅπαντα καθορᾷ καί τό πέλαγος τῶν ὑδάτων κατανοεῖ, ἐπάν δέ ἄρξηται εἰσέρχεσθαι ἐν τοῖς ὕδασι καί ἐν ἐκείνοις βαπτίζεσθαι, καθόσον κατέρχεται κατά τοσοῦτον καί τῆς θεωρίας τῶν ἔξω ἀπολιμπάνεται, οὕτω καί οἱ τοῦ θείου φωτός ἐν μεθέξει γενόμενοι, καθόσον εἰς γνῶσιν προκόπτουσι θείαν, εἰς ἀγνωσίαν μᾶλλον κατά ἀναλογίαν

ἐμπίπτουσιν.

ιδ'. Ὥσπερ ὁ εἰς τά ὕδατα τῆς θαλάσσης μέχρι γονάτων ἤ τῆς ὀσφύος γενόμενος ἅπαντα τρανῶς τά ἔξωθεν ὄντα τῶν ὑδάτων ὁρᾷ, ἐπάν δέ εἰς τήν ἄβυσσον κατέλθῃ καί ὅλος αὐτός ὑπό τά ὕδατα γένηται, οὐκέτι τῶν ἔξωθεν ὁρᾶν τι δύναται, εἰ μή τοῦτο μόνον οἶδεν ὅτι ὅλος ἐν τῷ βυθῷ τῆς θαλάσσης ἐστίν, οὕτω συμβαίνει γίνεσθαι καί εἰς τούς κατά προκοπήν πνευματικήν αὐξάνοντας καί εἰς τελειότητα γνώσεως καί θεωρίας ἀνερχομένους.

ιε'. Ὅταν οἱ πρός τήν πνευματικήν προκόπτοντες τελειότητα μερικῶς φωτίζωνται, ἤτοι μόνον ἐλλάμπωνται τόν νοῦν, τότε τήν δόξαν Κυρίου νοερῶς ἐνοπτρίζονται καί ἐπιγνώσεως γνῶσιν καί ἀποκαλύψεις μυστηρίων ὑπό τῆς ἄνωθεν χάριτος μυστικῶς ἐκδιδάσκονται ἀπό τῆς τῶν ὄντων θεωρίας ἐπί τήν τοῦ ὑπέρ τά ὄντα ὄντος ἀναγόμενοι γνῶσιν.

ιστ'. Οἱ τῇ τελειότητι προσεγγίζοντες καί ἔτι βλέποντες ὡς ἐκ μέρους τήν ἀπειρίαν καί ἀκαταληψίαν ὧνπερ ὁρῶσι κατανοοῦντες ἐκπλήττονται· καθόσον γάρ τῷ φωτί τῆς γνώσεως ὑπεισέρχονται, ἐπίγνωσιν τῆς ἑαυτῶν ἀγνωσίας λαμβάνουσιν· ὁπηνίκα δέ τό ἀμυδρῶς πως φαινόμενον αὐτοῖς καί ὡς ἐν ἐσόπτρῳ δεικνύμενον καί μερικῶς ἐλλάμπον αὐτῶν τό νοούμενον, ὀφθῆναι πλέον εὐδοκήσει καί ἑνωθῆναι κατά μέθεξιν τῷ ἐλλαμπομένῳ, ὅλον αὐτόν περιλαμβάνον ἐν ἑαυτῷ, καί ὅλος ἐκεῖνος ἐν τῷ βάθει τοῦ Πνεύματος ὡς ἐν μέσῳ ἀβύσσου φωτοειδῶν ὑδάτων ἀπείρων ἐναπολειφθῇ, τηνικαῦτα εἰς παντελῆ ἀγνωσίαν, ὡς ὑπέρ ἅπασαν γνῶσιν γενόμενος, ἀπορρήτως ἀνέρχεται.

ιζ'. Ἁπλοῦς ὤν ὁ νοῦς, μᾶλλον δέ πάσης ἐννοίας γυμνός καί ἐν ἁπλῷ εἰσδύς ὅλος θείῳ φωτί, ὑπ' αὐτοῦ καλυπτόμενος, οὐκ ἔχει ἄλλο τι τοῦ ἐν ᾧ ὑπάρχει εὑρεῖν, ἵνα καί πρός τήν ἐκείνου κατανόησιν κινηθῇ, ἀλλά μένει ἐν τῷ βυθῷ τοῦ θείου φωτός, ἔξω ὅλως ἀποβλέψαι μή συγχωρούμενος. Καί τοῦτό ἐστιν· «*Ὁ Θεός φῶς ἐστι*» καί φῶς τό ἀκρότατον καί οὗ γενομένοις πάσης θεωρίας ἀνάπαυσις.

ιη'. Ἀκίνητος τηνικαῦτα ὁ ἀεικίνητος νοῦς καί πάντῃ ἀνέννοιος γίνεται, ὁπηνίκα ὅλος ὑπό τοῦ θείου γνόφου καί φωτός καλυφθῇ· πλήν ἐν θεωρίᾳ ὑπάρχει καί αἰσθήσει καί ἀπολαύσει τῶν ἐν οἷς ἐστιν ἀγαθῶν. Οὐ γάρ ὥσπερ ὁ βυθός τῶν τῆς θαλάσσης ὑδάτων, οὕτω καί ὁ βυθός ἐστι τοῦ Ἁγίου Πνεύματος, ἀλλ' ὕδωρ ὑπάρχει ζῶν αἰωνίου ζωῆς. Πάντα δέ τά ἐκεῖσε ἀκατανόητα, ἀνερμήνευτα καί ἀκατάληπτά εἰσιν, ἐν οἷς ὁ νοῦς πάντα τά ὁρώμενα καί νοούμενα διαβάς γίνεται καί ἐν μόνοις ἐκείνοις ἀκινήτως κινεῖται καί στρέφεται, ζῶν ὑπέρ ζωήν ἐν ζωῇ, φῶς ὤν ἐν φωτί καί οὐ φῶς τό καθ' ἑαυτόν· οὐ γάρ ἑαυτόν τότε ἀλλά τόν ὑπέρ αὐτόν καθορᾷ καί ἐκ τῆς ἐκεῖθεν δόξης τήν ἔννοιαν ἀλλοιούμενος ὅλον ἑαυτόν ἀγνοεῖ.

ιθ'. Νεκρός καί οὐ νεκρός ὤν ὁ εἰς μέτρα πεφθακώς τελειότητός ἐστι· ζῶν ἐν ᾧ ὑπάρχει Θεῷ, ὡς μή ζῶν ἑαυτῷ· τυφλός, οὐ φύσει ὁρῶν· πάσης φυσικῆς ὁράσεως

ὑπέρτερος γεγονώς, ὡς καινούς ὀφθαλμούς καί κρείττονας ὑπέρ τούς τῆς φύσεως ἀσυγκρίτως λαβών καί ὑπέρ φύσιν ὁρῶν· ἀνενέργητος καί ἀκίνητος, ὡς πᾶσαν ἑαυτοῦ πληρώσας ἐνέργειαν· ἀνέννοιος, ὡς ἐν τῇ τοῦ ὑπέρ ἔννοιαν ἑνώσει γενόμενος καί καταπαύσας ἔνθα οὐκ ἔστι νοός ἐνέργεια, ἤτοι πρός ἐνθύμησιν ἤ λογισμόν ἤ ἔννοιαν ὅλως κίνησις· τά γάρ ἀκατανόητα καί ἀμήχανα κατανοεῖν ἤ καταμανθάνειν ἀδυνατεῖ καί οἱονεί ἐν τούτοις ἐπαναπαύεται, ἀνάπαυσιν ἐκείνην τήν ἀκινησίαν τῆς μακαρίας ἀναισθησίας, ἐν αἰσθήσει βεβαίᾳ τῶν ἀνεκφράστων δηλονότι ἀπεριέργως ἐντρυφῶν ἀγαθῶν.

κ'. Ὁ μή πρός τό τοιοῦτον μέτρον τῆς τελειότητος φθάσαι καταξιωθείς καί τῶν τοιούτων ἐν κατασχέσει γενέσθαι καλῶν ἑαυτοῦ μόνου καταγινωσκέτω καί μή λεγέτω προφασιζόμενος, ὅτι ἀδύνατόν ἐστι τό πρᾶγμα ἤ ὅτι γίνεται μέν ἡ τελειότης, ἀγνώστως δέ, ἀλλά γινωσκέτω, πληροφορούμενος ὑπό τῶν θείων Γραφῶν, ὅτι τό μέν πρᾶγμα δυνατόν καί ἀληθές ἐστιν, ἔργῳ γινόμενον καί γνωστῶς ἐνεργούμενον, τῇ δέ ἐλλείψει καί ἀργίᾳ τῶν ἐντολῶν αὐτός ἑαυτόν ἕκαστος τῶν τοιούτων κατά ἀναλογίαν ἀποστερεῖ ἀγαθῶν.

κ'. Ὁ μή πρός τό τοιοῦτον μέτρον τῆς τελειότητος φθάσαι καταξιωθείς καί τῶν τοιούτων ἐν κατασχέσει γενέσθαι καλῶν ἑαυτοῦ μόνου καταγινωσκέτω καί μή λεγέτω προφασιζόμενος, ὅτι ἀδύνατόν ἐστι τό πρᾶγμα ἤ ὅτι γίνεται μέν ἡ τελειότης, ἀγνώστως δέ, ἀλλά γινωσκέτω, πληροφορούμενος ὑπό τῶν θείων Γραφῶν, ὅτι τό μέν πρᾶγμα δυνατόν καί ἀληθές ἐστιν, ἔργῳ γινόμενον καί γνωστῶς ἐνεργούμενον, τῇ δέ ἐλλείψει καί ἀργίᾳ τῶν ἐντολῶν αὐτός ἑαυτόν ἕκαστος τῶν τοιούτων κατά ἀναλογίαν ἀποστερεῖ ἀγαθῶν.

κα'. Πολλοί μέν ἀναγινώσκουσι τάς θείας Γραφάς, οἱ δέ καί ἀναγινωσκομένας ἀκούουσιν, ὀλίγοι δέ οἱ καί τῶν ἀναγινωσκομένων τήν δύναμιν καί τήν ἔννοιαν ὀρθῶς εἰδέναι δυνάμενοι· οἵ ποτέ μέν ἀδύνατα εἶναι τά ὑπό τῶν θείων Γραφῶν λεγόμενα ἀποφαίνονται, ποτέ δέ καί ἄπιστα παντελῶς ἡγοῦνται, ἤ καί ἀλληγοροῦσι ταῦτα κακῶς καί τά μέν κατά τόν ἐνεστῶτα χρόνον λεγόμενα ὡς πρός τό μέλλον ἐκβῆναι κρίνουσι, τά δέ περί τῶν μελλόντων εἰρημένα, ὡς ἤδη γεγονότα καί καθ’ ἑκάστην γινόμενα ἐκλαμβάνονται· καί οὕτως οὐκ ἔστι κρίσις ὀρθή ἐν αὐτοῖς οὐδέ διάγνωσις ἀληθής ἐν θείοις καί ἀνθρωπίνοις πράγμασιν.

κβ'. Ὁ Θεός ἐξ ἀρχῆς δύο κόσμους πεποίηκεν, ὁρατόν καί ἀόρατον, ἕνα δέ βασιλέα τῶν ὁρωμένων, τῶν δύο κόσμων ἐν ἑαυτῷ τούς χαρακτῆρας ἐπιφερόμενον κατά γε τό ὁρώμενον καί αὐτό τό νοούμενον. Τούτοις καταλλήλως καί δύο ἐπιλάμπουσιν ἥλιοι, αἰσθητός οὗτος καί νοητός ἄλλος· καί ὅπερ ἐστίν ἐν τοῖς ὁρωμένοις καί αἰσθητοῖς ἥλιος, τοῦτο ἐν τοῖς ἀοράτοις καί νοητοῖς Θεός, ἥλιος γάρ τῆς δικαιοσύνης καί ἔστι καί λέγεται. Ἰδού γοῦν δύο κατά ταῦτα ἥλιοι, εἷς αἰσθητός καί εἷς νοητός, ὥσπερ καί δύο κόσμοι, καθώς εἴρηται· καί ὁ μέν εἷς τῶν δύο, ἤγουν ὁ αἰσθητός κόσμος καί τά ἐν αὐτῷ πάντα,

ὑπό τοῦ αἰσθητοῦ τούτου καί ὁρωμένου ἡλίου φωτίζονται· ὁ δέ ἕτερος, ἤτοι ὁ νοητός καί οἱ ἐν αὐτῷ, ὑπό τοῦ νοητοῦ ἡλίου τῆς δικαιοσύνης καταλάμπονται καί φαιδρύνονται. Τά τε οὖν αἰσθητά ὑπό τοῦ αἰσθητοῦ, τά τε νοητά ὑπό τοῦ νοητοῦ ἡλίου διῃρημένως ἀλλήλων καταφωτίζονται, μηδεμίαν ἐχόντων πρός ἄλληλα ἕνωσιν ἤ γνῶσιν ἤ κοινωνίαν τό σύνολον, μήτε τῶν νοητῶν πρός τά αἰσθητά , μήτε τῶν αἰσθητῶν πρός τά νοητά.

κγ'. Μόνος ἐκ τῶν ὁρωμένων καί νοουμένων ἁπάντων ὁ ἄνθρωπος διπλοῦς ἐκτίσθη παρά Θεοῦ, σῶμα μέν ἔχων ἐκ τεσσάρων συνεστηκός στοιχείων, αἴσθησίν τε καί πνοήν δι’ ὧν τούτων τῶν στοιχείων μετέχει καί ζῇ ἐν αὐτοῖς, ψυχήν δέ νοεράν καί ἄϋλον καί ἀσώματον ἀρρήτως ἐν τούτοις καί ἀνεξιχνιάστως συνηνωμένην καί συγκεκραμένην ἀμίκτως καί ἀσυγχύτως. Ταῦτα δέ ἐστιν ἄνθρωπος εἷς, ζῷον θνητόν καί ἀθάνατον, ὁρατόν καί ἀόρατον, αἰσθητόν καί νοούμενον, ἐποπτικόν τῆς ὁρωμένης κτίσεως, γνωστικόν τῆς νοουμένης. Ὥσπερ γοῦν ἐν τοῖς δυσί κόσμοις οἱ δύο ταῖς ἐνεργείαις διαμερίζονται ἥλιοι, οὕτω καί ἐν τῷ ἑνί ἀνθρώπῳ· ὁ μέν γάρ τό σῶμα, ὁ δέ τήν ψυχήν αὐτοῦ περιλάμπει, καί τοῦ οἰκείου φωτός τῆς μεθέξεως ἕκαστος τό ὑπ’ αὐτοῦ ἐλλαμπόμενον κατά τήν δεκτικήν δύναμιν αὐτοῦ ἤ πλουσίως ἤ ἐνδεῶς μεταδίδωσιν.

κδ'. Ὁ αἰσθητός ἥλιος θεωρεῖται, οὐ θεωρεῖ· ὁ νοητός καί θεωρεῖται παρά τῶν ἀξίων καί πάντας ὁρᾷ καί μᾶλλον τούς ὁρῶντας αὐτόν. Ὁ αἰσθητός οὐ λαλεῖ οὐδέ λαλεῖν τινι δίδωσιν· ὁ νοητός καί λαλεῖ τοῖς ἑαυτοῦ φίλοις καί λαλεῖν τοῖς πᾶσι χαρίζεται. Ὁ αἰσθητός ἐν τῷ αἰσθητῷ κήπῳ λάμψας, τῇ θερμότητι τῶν ἀκτίνων τό ὑγρόν μόνον ἀποξηραίνει τῆς γῆς, οὐ μέντοι γε καί πιαίνει τά φυτά καί τά σπέρματα· ὁ νοητός δέ τά ἀμφότερα ἐν τῇ ψυχῇ ἐπιφανείς κατεργάζεται, τήν ὑγρότητα ξηραίνει τήν τῶν παθῶν, καί τήν βδελυγμίαν τήν ἐξ αὐτῶν ἀποκαθαίρει, καί πιότητα τῇ νοερᾷ ἐμπαρέχει γῇ τῆς ψυχῆς, ἐξ ἧς ἀρδευόμενα τρέφονται κατ’ ὀλίγον τῶν ἀρετῶν τά φυτά.

κε'. Ὁ αἰσθητός ἥλιος ἀνατέλλει καί φωτίζει τόν κόσμον τόν αἰσθητόν καί πάντα τά ἐν αὐτῷ, ἀνθρώπους, θηρία, κτήνη καί εἴ τι ἕτερον, ἐφ’ οἷς ἐπίσης καί τό φῶς ὑφαπλοῖ, δύνει δέ πάλιν καί σκοτεινόν καταλιμπάνει τόν τόπον ὅνπερ κατέλαμπεν. Ὁ νοητός λάμπει ἀεί καί ἔλαμπεν, ὅλος ἐν ὅλῳ τῷ παντί ἀχωρήτως χωρούμενος, ἐκ δέ τῶν ὑπ’ αὐτοῦ κτισθέντων ἀποκεχώρισται καί ὅλος τούτων ἀδιαστάτως διΐσταται, ἐν ὅλῳ ὅλος ἐν τῷ παντί καί οὐδαμοῦ, ἐν ὅλοις ὅλος τοῖς ὁρωμένοις κτίσμασι καί ὅλος τούτων ἐκτός, ὅλος ἐν τοῖς ὁρωμένοις καί ὅλος ἐν τοῖς ἀοράτοις, καί πανταχοῦ ὅλος πάρεστι καί ὅλος οὐδαμῶς οὐδαμοῦ.

# Ἕτερα κεφάλαια θεολογικά καί πρακτικά ρ'.

α'. Ἀπαρχή Χριστός, μεσότης καί τελειότης· ἐν πᾶσι γάρ ὁ ἐν τοῖς πρώτοις, ἔν τε τοῖς μέσοις καί τελευταίοις, ὡς ἐν τοῖς πρώτοις ἐστίν· οὐδέ γάρ ἐστιν ἐν αὐτῷ διαφορά τις ἐν τούτοις, ὥσπερ βάρβαρος, οὐ Σκύθης, οὐχ Ἕλλην, οὐκ Ἰουδαῖος, ἀλλά τά πάντα καί ἐν πᾶσι Χριστός.

β'. Ἡ Ἁγία Τριάς, διά πάντων διήκουσα ἀπό τῶν πρώτων καί μέχρι τῶν ἐσχάτων ὡς ἀπό κεφαλῆς τινος μέχρι ποδῶν, συγκροτεῖ πάντας συγκολλᾷ τε καί συνενοῖ καί συνδεσμεῖ ἑαυτῇ καί συγκροτοῦσα στερρούς καί ἀρραγεῖς ἀπεργάζεται· ἐν ἑνί τε αὐτῶν ἑκάστῳ μία καί ἡ αὐτή δείκνυται γνωριζομένη, ἥτις ἐστίν ὁ Θεός, ἐν ᾧ καί οἱ ἔσχατοι πρῶτοι γίνονται καί οἱ πρῶτοι ὥσπερ οἱ ἔσχατοι.

γ'. Πάντας τούς πιστούς ὡς ἕνα βλέπειν ὀφείλομεν οἱ πιστοί καί ἐφ' ἑνί ἑκάστῳ αὐτῶν εἶναι λογίζεσθαι τόν Χριστόν καί οὕτως τῇ πρός αὐτόν ἀγάπῃ διάκεισθαι, ὡς ἑτοίμους εἶναι ὑπέρ αὐτοῦ τιθέναι τάς ἰδίας ψυχάς. Οὐδέ γάρ τό καθόλου λέγειν ἤ νομίζειν ὀφείλομέν τινα πονηρόν, ἀλλά πάντας ὡς ἀγαθούς ὁρᾷν, ὥσπερ εἴπομεν· κἄν γάρ ὑπό παθῶν ὀχλούμενον ἴδῃς τινά, μή τόν ἀδελφόν ἀλλά τά πάθη μίσησον τά πολεμοῦντα αὐτῷ, κἄν ὑπό ἐπιθυμιῶν καί προλήψεων τυραννούμενον, ἐπί πλεῖον σπλαγχνίσθητι, μήποτε καί αὐτός πειρασθῇς, ὡς ὑπό τροπήν ὤν ὕλης εὐπεριστάτου.

δ'. Ὅν τρόπον αἱ νοεραί τάξεις τῶν ἄνω δυνάμεων ἀπό Θεοῦ κατά τάξιν ἐλλάμπονται ἀπό τῆς πρώτης ταξιαρχίας ἐπί τήν δευτέραν καί ἀπό ταύτης ἐπί τήν ἑτέραν καί καθεξῆς, τῆς θεϊκῆς ἐπί πάσας διερχομένης φωτοβολίας, οὕτω καί οἱ ἅγιοι ἀπό τῶν θείων ἐλλαμπόμενοι ἀγγέλων, τῷ συνδέσμῳ τοῦ Πνεύματος συνδούμενοί τε καί συνενούμενοι, ἰσότιμοι αὐτοῖς καί ἐφάμιλλοι γίνονται. Ἀπό γάρ τῶν προλαβόντων ἁγίων οἱ κατά γενεάν καί γενεάν διά τῆς τῶν ἐντολῶν τοῦ Θεοῦ ἐργασίας ἐρχόμενοι ἅγιοι, τούτοις κολλώμενοι, ὁμοίως ἐκείνοις ἐλλάμπονται, τήν τοῦ Θεοῦ χάριν λαμβάνοντες κατά μέθεξιν, καί ὥσπερ τις γίνονται χρυσῆ ἅλυσις, καθείς τούτων ὄντες γονάτιον ἕν, ἑκάτερος τῷ προλαβόντι τῇ πίστει καί τοῖς ἔργοις καί τῇ ἀγάπῃ συνδούμενος, ὡς εἶναι μίαν αὐτούς καί γίνεσθαι σειράν ἐν ἑνί τῷ Θεῷ μή δυναμένην ταχέως διαρραγῆναι.

ε'. Εἴ τις κίβδηλος ἐξ ὑποκρίσεως, ἤ ἐξ ἔργων ἐπίμωμος, ἤ πρός βραχύ τεθραυσμένος ἐξ ἑνός πάθους, ἤ μικρόν ἐλλιπής ἐξ ἀξελείας ἐν μέρει τυγχάνει, οὐ συγκαταριθμεῖται τοῖς ὁλοκλήροις, ἀλλ' ὡς ἄχρηστος καί ἀδόκιμος ἀποβάλλεται, ἵνα μή ἐν καιρῷ τάσεως διαρραγῆναι ποιήσῃ τόν σύνδεσμον τῆς ἁλύσεως καί δάστασιν ἐν ἀδιαστάτοις καί λύπην ἐν ἀμφοτέροις ἐργάσηται, τῶν μέν ἔμπορσθεν ὑπέρ τῶν ὑστέρων, τούτων δέ ὑπέρ τοῦ χωρισμοῦ τῶν προαγόντων ἀλγυνομένων.

στ'. Ὁ τῆς ἑνώσεως τῆς πρός τόν ἔσχατον πάντων ἁγίων ἐν ἀγάπῃ καί ἐπιθυμίᾳ σφοδρᾷ διά ταεπινοφροσύνης μή ἐφιέμενος, ἀλλά μικράν τινα κεκτημένος πρός αὐτόν

ἀπιστίαν, οὐχ ἑνωθήσεται ὅλως ποτέ οὐδέ καταταγήσεται σύν αὐτῷ τοῖς πρώτοις καί προλαβοῦσιν ἁγίοις, κἄν δοκῇ πᾶσαν ἔχειν τήν πίστιν καί πᾶσαν τήν ἀγάπην πρός Θεόν καί πρός ἅπαντας τούς ἁγίους· ἔξω γάρ βληθήσεται παρ’ αὐτῶν, ὡς μή ἐν τῷ τόπῳ ἐν ᾧ ἐτάγη καί ᾧ συναφθῆναι ὑπό Θεοῦ πρό αἰώνων ὡρίσθη διά ταπεινοφροσύνης καταδεξάμενος.

ζ'. Τοῦ κατά Θεόν πένθους προηγεῖται ταπείνωσις, ἕπεται δέ χαρά καί εὐφροσύνη ἀνέκφραστος· τῇ δέ κατά Θεόν ταπεινώσει περιφύεται ἡ τῆς σωτηρίας ἐλπίς. Καθόσον γάρ ἀπό ψυχῆς ἔχει τις ἑαυτόν πάντων ἀνθρώπων ἁμαρτωλότερον, κατά τοσοῦτον ἡ ἐλπίς συναυξάνει τῇ ταπεινώσει καί θάλλει ἐν τῇ καρδίᾳ αὐτοῦ, βεβαιοῦσα ὅτι διά ταύτης μέλλει σωθήσεται.

η'. Καθόσον εἰς βάθος τις κατέρχεται ταπεινώσεως καί ἑαυτόν ἀπογινώσκει ὡς ἀνάξιον τοῦ σωθήσεσθαι, κατά τοσοῦτον πενθεῖ καί δακρύων ἀφίησι πηγάς· τούτων δέ ἀναλόγως ἡ πνευματικὴ ἀναβλύζει ἐν τῇ καρδίᾳ χαρά, ταύτῃ δέ ἡ ἐλπίς συμπηγάζει καί συναυξάνει καί τήν πληροφορίαν τῆς σωτηρίας βεβαιοτέραν παρέχεται.

θ'. Σκοπεῖν ἑαυτόν ἕκαστον δεῖ καί κατανοεῖν τοῦ μήτε τῇ ἐλπίδι μόνῃ θαρρεῖν δίχα τοῦ κατά Θεόν πένθους καί πνευματικῆς ταπεινώσεως, μήτε τῇ ταπεινοφροσύνῃ καί τοῖς δακρύοις ἄνευ τῆς συνεπομένης τούτοις πνευματικῆς ἐλπίδος τε καί χαρᾶς.

ι'. Ἔστι νομιζομένη ταπείνωσις ἐξ ἀμελείας τε καί νωθρότητος καί τῆς τοῦ συνειδότος σφοδρᾶς καταγνώσεως, ἥν οἱ κεκτημένοι ὡς σωτηρίας λογίζονται πρόξενον· οὐκ ἔστι δέ, τό γάρ χαροποιόν πένθος ταύτῃ συνεζευγμένον οὐ κέκτηται.

ια'. Ἔστι πένθος πνευματικῆς ἐκτός ταπεινώσεως καί τοῦτο ὡς ἁμαρτημάτων καθαρτήριον οἱ οὕτως πενθοῦντες λογίζονται. Καί πλανῶνται ματαίως τοῦτο οἰόμενοι· τῆς γάρ τοῦ Πνεύματος γλυκύτητος ἀπεστέρηνται, τῆς μυστικῶς ἐν τῷ νοερῷ τῆς ψυχῆς ταμιείῳ ἐγγινομένης, καί τῆς χρηστότητος τοῦ Κυρίου οὐ γεύονται· διό καί πρός ὀργήν ταχέως οἱ τοιοῦτοι ἐξάπτονται καί τοῦ κόσμου καί τῶν ἐν τῷ κόσμῳ τέλεον καταφρονῆσαι οὐ δύνανται. Ὁ δέ μή τούτων τελείως καταφρονήσας καί μῖσος ἀπό ψυχῆς πρός ταῦτα κτησάμενος, οὐδέ τήν ἐλπίδα τῆς σωτηρίας αὐτοῦ βεβαίαν ποτέ καί ἀδίστακτον δύναται κτήσασθαι· ἀεί δέ ὧδέ τε κἀκεῖσε ἐν δισταγμῷ περιφέρεται, ἐπί τήν πέτραν μή καταβαλών τό θεμέλιον.

ιβ'. Τό πένθος διπλοῦν ταῖς ἐνεργείαις ἐστί καί, ὡς μέν ὕδωρ, διά τῶν δακρύων πᾶσαν σβεννύει τήν φλόγα τῶν παθῶν καί τήν ψυχήν ἐκκαθαίρει τοῦ ἐξ αὐτῶν μολυσμοῦ· ὡς δέ πῦρ, διά τῆς παρουσίας τοῦ Ἁγίου Πνεύματος ζωοποιεῖ καί ἀναφλέγει καί ἐκπυροῖ καί θερμαίνει τήν καρδίαν καί πρός ἔρωτα καί πόθον Θεοῦ ἐξάπτει αὐτήν.

ιγ'. Βλέπε καί καταμάνθανε τάς ἐν σοί ἐγγινομένας ἐνεργείας ὑπό τε τῆς ταπεινώσεως καί τοῦ πένθους, καί τήν ἐξ αὐτῶν ἐρεύνα προστιθεμένην σοι καθ’ ὥραν ὠφέλειαν. Ἔστι

δέ αὕτη τοῖς εἰσαγωγικοῖς πάσης γηΐνης φροντίδος ἀπόθεσις, πάντων, γονέων, ἰδίων καί φίλων ἀπροσπάθεια καί ἀπάρνησις, πάντων πραγμάτων καί χρημάτων ἀμεριμνία καί καταφρόνησις, οὐ μέχρι ῥαφίδος μόνον, ἀλλά καί μέχρις αὐτοῦ τοῦ σώματος.

ιδ'. Ὅν τρόπον ἐν φλογί καιομένης καμίνου χοῦν ἐπιβαλών τις ταύτην σβεννύει, τόν αὐτόν τρόπον καί αἱ βιωτικαί μέριμναι καί πᾶσα προσπάθεια εὐτελοῦς καί σμικροτάτου πράγματος τήν ἀναφθεῖσαν ἐν ἀρχαῖς θέρμην τῆς καρδίας ἐξαφανίζει.

ιε'. Ὁ τήν τῶν ἔξωθεν πραγμάτων τε καί ἀνθρώπων καί πάντων τῶν ἐν τῷ βίῳ ποιησάμενος ἐν παντελεῖ καρδίας αἰσθήσει μετά χαρᾶς ἄρνησιν, καί λήθην λαβών τῶν τοιούτων, ὡς τεῖχος ὑπερβάς τήν προσπάθειαν, ὡς ξένος τοῦ κόσμου καί τῶν ἐν τῷ κόσμῳ πάντων ὑπάρχει, συνάγων τόν νοῦν ἑαυτοῦ καί μόνην μελέτην ποιούμενος τήν μνήμην τοῦ θανάτου καί ἔννοιαν· διό καί ἀεί τά περί κρίσεως καί ἀνταποδόσεως μεριμνᾷ καί ὅλως ἐν τούτοις αἰχμαλωτίζεται φόβῳ ἀρρήτῳ ἐκ τῶν τοιούτων ἐννοιῶν καί τῆς ἐν αὐτοῖς ἀδολεσχίας βαλλόμενος.

ιστ'. Ὥσπερ τις κατάδικος δεσμά περικείμενος ἐν τῷ θεάτρῳ τοῦ τῇδε βίου γίνεται ὁ τόν φόβον τῆς κρίσεως εἰς βάθος ἐγκυμονήσας. Ἔνθεν τοι καί ὡς ὑπό δημίου τινός τοῦ φόβου συρόμενος καί τήν ἐπί θάνατον ἄγουσαν πορευόμενος φαίνεται, μηδέν λογιζόμενος ἕτερον εἰ μή τόν πόνον μόνον καί τήν ὀδύνην ἥν ὑποστῆναι μέλλει ἐκ τῆς τιμωρίας τῆς αἰωνίου· τοῦτον δέ ἀνεξάλειπτον φέρων ἐν τῇ καρδίᾳ, ὁ ἐξ αὐτοῦ ἐγγινόμενος φόβος οὐδέν ὅλως τῶν ἀνθρωπίνων ἐᾷ μεριμνᾶν αὐτόν· ὡς γάρ ἤδη τῷ ξύλῳ προσηλωθείς καί ταῖς ὀδύναις σφοδρῶς πρός θάνατον συνεχόμενος, οὕτως ἀεί διατελεῖ, μηδέ ἀτενίσαι τούς ὀφθαλμούς εἰς πρόσωπόν τινος συγχωρούμενος, μηδέ τιμῆς ἤ ἀτιμίας ἀνθρώπων λόγον ποιούμενος· πάσης γάρ ἀτιμίας καί ἐξουδενώσεως ἄξιον ἑαυτόν ἀπό καρδίας ἔχων, τῶν ἐπιφερομένων ὕβρεων αὐτῷ οὐ φροντίζει.

ιζ'. Πᾶσαν βρῶσιν καί πόσιν καί καλλωπισμόν ἐνδυμάτων ὁ τόν φόβον ἐγκυμονῶν τοῦ θανάτου βδελύξεται καί ἐνηδόνως οὐ φάγεται ἄρτον, οὐ πίεται ὕδωρ· παρέξει δέ μόνην τήν χρείαν τῷ σώματι, ὅσον μόνον αὔταρκες πρός τό ζῆν, πᾶν θέλημα ἑαυτοῦ ἀπαρνήσεται καί δοῦλον πάντων ἐν διακρίσει τῶν ἐπιταττομένων γενήσεται.

ιη'. Ὁ δοῦλον ἑαυτόν δούς τοῖς κατά Θεόν πατράσιν αὐτοῦ διά τόν φόβον τῆς κολάσεως, οὐ τά κουφίζοντα τόν τῆς καρδίας αὐτοῦ πόνον ἐπιτασσόμενος ἕλοιτο, οὐ τά λύοντα τόν τοῦ φόβου δεσμόν, οὐδέ τοῖς ἐπί τά τοιαῦτα φιλικῶς ἤ κολακευτικῶς ἤ προστακτικῶς ἐνάγουσιν ὑπακούσεται, ἀλλά μᾶλλον τά αὐξάνοντα αὐτόν προτιμήσει καί τά τόν δεσμόν ἐπισφίγγοντα θελήσει καί τά τόν δήμιον ἐνισχύοντα ἀγαπήσει καί ἐν τούτοις ἐμμενεῖ, ὡς μή προσδοκῶν ὅλως ἐλευθερίαν λήψεσθαί ποτε ἐξ αὐτῶν. Ἡ γάρ ἐλπίς τῆς ἀπαλλαγῆς κουφότερον τόν πόνον ἐργάζεται, ὅπερ ἐστίν ἀλυσιτελές τῷ μετανοοῦντι θερμῶς.

ιθ'. Παντί τῷ κατά Θεόν βιοῦν ἀρχομένῳ ἐπωφελές ὁ τῆς κολάσεως φόβος καί ὁ πόνος

ὁ τικτόμενος ἐξ αὐτοῦ. Ὀ δέ τοῦ τοιούτου πόνου καί δεσμοῦ καί δημίου χωρίς ἀρχήν βαλεῖν φανταζόμενος, οὐκ ἐπί ψάμμου μόνον τῶν ἑαυτοῦ πράξεων τόν θεμέλιον κατεβάλετο, ἀλλά καί εἰς ἀέρα οἴεται δίχα θεμελιων συνιστάνειν οἰκίαν, ὅπερ πάντῃ ἀδύνατον. Ὁ γάρ πόνος οὗτος ὅσον οὔπω πᾶσαν χαράν ἀποτίκτει καί ὁ δεσμός οὗτος πάντων ἁμαρτημάτων καί παθῶν δεσμά διαρρήσει καί ὁ δήμιος οὗτος οὐχί θάνατον ἀλλά ζωήν αἰώνιον προξενεῖ.

κ'. Ὅς ἄν μή θελήσῃ ἀποσκιρτῆσαι καί δεικφυγεῖν τόν τικτόμενον πόνον ἀπό τοῦ φόβου τῆς αἰωνίου κολάσεως, ἀλλά προθέσει καρδίας ἀκολουθήσῃ αὐτῷ καί ἐπισφίγξῃ πλέον τά τούτου δεσμά ἑαυτῷ, ἀναλόγως συντομώτερον ὁδεύσει καί πρό προσώπου τοῦ βασιλέως τῶν βασιλευόντων παραστήσει αὐτόν. Τούτου δέ γεγονότος, ἅμα τῷ θεάσασθαι αὐτόν ἀμυδρῶς πως τήν δόξαν αὐτοῦ, εὐθέως λυθήσονται μέν τά δεσμά, ὁ δέ δήμιος φόβος φεύξεται μακράν ἀπ’ αὐτοῦ καί ὁ ἐν τῇ καρδίᾳ αὐτοῦ πόνος τραπήσεται εἰς χαράν καί πηγή γενήσεται βρύουσα αἰσθητῶς μέν δάκρυα ποταμηδόν ἀενάως, νοητῶς δέ γαλήνην, πρᾳότητα καί ἄφραστον γλυκασμόν, ἔτι δέ ἀνδρείαν καί τό πρός πᾶσαν ὑπακοήν ἐλευθερίως καί ἀνεμποδίστως τρέχειν τῶν ἐντολῶν τοῦ Θεοῦ· ὁ τέως τοῖς εἰσαγωγικοῖς ἀδύνατον, τῶν δέ πρός τό μέσον κατά προκοπήν ἀνελθόντων καί ἴδιον, τοῖς δέ γε τελειουμένοις φῶς ἡ πηγή αὕτη, τῆς καρδίας αἴφνης ἀλλοιουμένης καί μεταβαλλομένης, γίνεται.

κα'. Ὁ ἔνδον αὐτοῦ τό φῶς τοῦ παναγίου Πνεύματος ἔχων, μή φέρων τοῦτο ὁρᾶν, εἰς γῆν πρηνής πίπτει, κράζει τε καί βοᾷ ἐν ἐκπλήξει καί φόβῳ πολλῷ ὡς ὑπέρ φύσιν, ὑπέρ λόγον, ὑπέρ ἔννοιαν πρᾶγμα ἰδών καί παθών·καί γίνεται ὅμοιος ἀνθρώπῳ ποθέν ἀναφθέντι τά σπλάγχνα ὑπό πυρός, ὑφ’ οὗ φλεγόμενος καί τῆς φλογός τόν ἐμπρησμόν μή δυνάμενος φέρειν, ὑπάρχει ὥσπερ ἐξεστηκώς· καί μηδέ ἑαυτοῦ γενέσθαι ὅλως ἰσχύων, τοῖς δάκρυσι δέ καταντλούμενος ἀενάως καί ὑπό τούτων καταψυχόμενος, τό πῦρ ἐξάπτει τοῦ πόθου σφοδρότερον. Ἐντεῦθεν δέ ΄τα δάκρυα προχέι πλειόνως καί τῇ τούτων ἐκχύσει πλυνόμενος λαμπρότερον ἀπαστάπτει· ὅτε δέ ὅλως ἐκπυρωθείς ὡς φῶς γένηται, τότε πληροῦται τό φάσκον· «*Θεός θεοῖς ἑνούμενός τε καί γνωριζόμενος*», καί τοσοῦτον ἴσως ὅσον ἤδη τοῖς συναφθεῖσιν ἡνώθη καί τοῖς ἐγνωκόσιν ἀπεκαλύφθη.

κβ'. Καθόσον γνωσθῆναι βουληθῇ παρ’ ἡμῶν ὁ Θεός, κατά τοσοῦτον καί ἀποκαλύπτεται· καθόσον δέ ἀποκαλυφθῇ, ὁρᾶται παρά τῶν ἀξίων καί γινώσκεται. Οὔκ ἔστι δέ τοιοῦτόν τι παθεῖν τινα ἤ ἰδεῖν, εἰ μή πρότερον τῷ παναγίῳ Πνεύματι ἑνωθῇ τις, ταπεινήν, καθαράν, ἁπλῆν καί συντετριμμένην καρδίαν ἐκ πόνων καί ἱδρώτων κτησάμενος.

κγ'. Πρό τοῦ πένθους καί τῶν δακρύων, μηδείς ὑμᾶς κενοῖς ἀπατάτω λόγοις μηδέ πλανῶμεν ἑαυτούς, οὐκ ἔστιν ἐν ἡμῖν μετάνοια οὐδέ ἀληθής μεταμέλεια οὐδέ φόβος Θεοῦ ἐν ταῖς καρδίαις ἡμῶν, οὐδέ κατέγνωμεν ἑαυτῶν, οὐδέ ἐν αἰσθήσει τῆς μελλούσης κρίσεως καί τῶν αἰωνίων βασάνων ἐγένετο ἡ ψυχή ἡμῶν. Εἰ γάρ ταῦτα ἐκτήσατο καί ἐν

τούτοις ἐγένετο, εὐθύς καί δάκρυα κατήγαγεν ἄν· τούτων γάρ χωρίς, οὔτε ἡ σκληρά καρδία ἡμῶν ἀπαλυνθῆναί ποτε δύναται, οὔτε ἡ ψυχή ἡμῶν πνευματικήν ταπείνωσιν κτήσασθαι, οὔτε ταπεινοί γενέσθαι ἰσχύσομεν. Ὁ δέ μή τοιοῦτος γενόμενος ἑνωθῆναι τῷ Πνεύματι τῷ Ἁγίῳ οὐ δύναται· ὁ δέ μή τούτῳ ἐκ καθάρσεως ἑνωθείς, οὔτε ἐν θεωρίᾳ καί γνώσει Θεοῦ γενέσθαι δύναται, οὔτε ἄξιός ἐστι τάς τῆς ταπεινώσεως μυστικάς ἀρετάς ἐκδιδάσκεσθαι.

κδ'. Ὥσπερ τῷ συλλαβίζειν ἄρτι παιδευομένῳ τά γράμματα ὁ τά τῆς ρητορικῆς καί φιλοσοφίας ἐκδιηγούμενος οὐ μόνον οὐδέν ὠφελήσει, ἀλλά καί τῶν ἐναρχθέντων μᾶλλον κατολιγωρῆσαι αὐτόν καί ἀποστῆναι ποιήσει, διά τό μή χωρεῖν τήν διάνοιαν αὐτοῦ τῶν λεγομένων ὅλως τήν δύναμιν, οὕτω καί ὁ τοῖς εἰσαγωγικοῖς τά περί τελειότητος λέγων, καί μᾶλλον τοῖς χαυνοτέροις, οὐ μόνον οὐδέν ὠφελήσει ἀλλά καί εἰς τά ὀπίσω ὑπάγειν ποιήσει. Πρός γάρ τό ὕψος τῆς ἀρετῆς ἀποβλέψαντες καί ὅσον ἀπολείπονται τῆς κορυφῆς αὐτῆς ἐννοήσαντες καί ὡς ἀδύνατον αὐτοῖς ἔσται τό πρός τό ἄκρον αὐτῆς ἀνελθεῖν οἰηθέντες, καί τῶν μερικῶς ἐναρχθέντων ὡς ἀνωφελῶν καταφρονήσουσι καί πρός ἀπόγνωσιν καταδύσουσι.

κε'. Ὅταν οἱ ἔτι κεκρατημένοι καί βασιλευόμενοι ὑπό τῶν παθῶν ἀκούσωσιν ὅτι ὁ κατά Θεόν τέλειος παντός ἀνθρώπωου καί παντός ζῴου καί θηρίου ἀκαθαρτότερον ἑαυτόν ἡγεῖται, ὅς καί ἀτιμαζόμενος χαίρει, λοιδορούμενος εὐλογεῖ, ἀνέχεται διωκόμενος καί ὑπέρ τῶν ἐχθρῶν αὐτοῦ εὔχεται μετά δακρύων καί πόνου καρδίας, παρακαλῶν τόν Θεόν καί ἱκετεύων ὑπέρ αὐτῶν, ἐν πρώτοις μέν ἀπιστοῦσιν, ἑαυτούς ἴσους ἐκείνων συστῆσαι πειρώμενοι· ἔπειτα ὑπό τῶν θείων Γραφῶν ἐλεγχόμενοι καί ὑπό τῶν ταῦτα ἔργῳ ἐπιδειξαμένων ἁγίων ἀνατρεπόμενοι, μή ἰσχύειν ἐν τούτοις ἐφικέσθαι ὁμολογοῦσιν· ὅταν δέ καί δίχα τῆς τούτων ἐκπληρώσεως ἀδύν ατον ἀκούσωσι σωθῆναι αὐτούς, τότε τελείως μή θέλοντες ἐκκοπήν ποιήσασθαι τοῦ κακοῦ καί μετανοῆσαι, ἐφ’ οἷς ἥμαρτον, ἀπογινώσκουσιν ἑαυτῶν.

κστ'. Τούς ὑποκρινομένους τήν ἀρετήν καί τῷ μέν κωδίῳ τοῦ σχήματος ἄλλο φαινομένους, ἄλλο δέ ὄντας κατά τόν ἐντός ἄνθρωπον, πάσης τάχα πεπληρωμένους ἀδικίας, μεστούς ζήλου καί ἐριθείας καί ἡδονῶν δυσωδίας, ὡς ἀπαθεῖς οἱ πλείους καί ἁγίους τιμῶσι, μή κεκαθαρμένον ἔχοντες τόν τῆς ψυχῆς ὀφθαλμόν μηδέ ἐπιγνῶναι δυνάμενοι αὐτούς ἐκ τῶν καρπῶν αὐτῶν· τούς δέ εὐλαβείᾳ καί ἀρετῇ καί ἀφελότητι καρδίας διάγοντας καί ἁγίους ὄντας τῷ ὄντι, ὡς τούς λοιπούς τῶν ἄλλων ἀνθρώπων, παραλογίζονται καί καταφρονοῦντες αὐτῶν παρατρέχουσιν.

κζ'. Τόν λάλον καί ἐπιδεικτικόν διδακτικόν μᾶλλον καί πνευματικόν εἶναι οἱ τοιοῦτοι λογίζονται· τόν δέ σιωπηλόν καί περί ἀργολογίαν ἀκριβαζόμενον ἀγροῖκον καί ἄφωνον ἀποφαίνονται.

κη'. Τόν ἐν Πνεύματι Ἁγίῳ φθεγγόμενον οἱ ὑψηλόφρονες καί τήν ὑπερηφανίαν νοσοῦντες τοῦ διαβόλου ὡς ὑψηλόφρονα καί ὑπερήφανον ἀποστρέφονται, τοῖς λόγοις

αὐτοῦ πληττόμενοι μᾶλλον ἤ κατανυσσόμενοι· τόν δέ ἀπό κοιλίας ἤ ἐκ μαθημάτων τορνολογοῦντα καί τῆς αὐτῶν σωτηρίας καταψευδόμενον ὑπερεπαινοῦσι καί ἀποδέχονται, καί οὕτως οὐδείς ἐν τοῖς τοιούτοις ἐστίν ὁ καλῶς καί ὡς ἔχει τό πρᾶγμα ἰδεῖν καί διακρῖναι δυνάμενος.

κθ'. «*Μακάριοι*», φησίν ὁ Θεός, «*οἱ καθαροί τῇ καρδίᾳ, ὅτι αὐτοί τόν Θεόν ὄψονται*». Καθαράν οὖν καρδίαν οὐχί μία ἀρετή οὐδέ δύο ἤ δέκα πεφύκασιν ἐκτελεῖν, ἀλλά πᾶσαι ὁμοῦ ὡς εἰπεῖν οἱονεί μία τις οὖσα καί εἰς ἄκρον κατορθωθεῖσα· καί οὐδέ οὕτως καθαράν τήν καρδίαν μόναι ποιῆσαι δύνανται, δίχα τῆς παρουσίας καί ἐνεργείας τοῦ Πνεύματος. Καθάπερ γάρ ὁ χαλκεύς τήν μέν τέχνην διά τῶν ἐργαλείων αὐτοῦ ἐπιδείκνυται, δίχα δέ τῆς τοῦ πυρός ἐνεργείας οὐδέν ὅλως εἰς ἔργον κατασκευάσαι δύναται, οὕτω δή καί ὁ ἄνθρωπος πάντα μέν ποιεῖ καί ὡς ἐργαλείοις χρᾶται ταῖς ἀρεταῖς, ἄνευ δέ τῆς τοῦ πνευματικοῦ πυρός παρουσίας ἀνενέργητα μένει καί ἀνωφελῆ, τόν ῥύπον καί τόν ἰχῶρα μή καθαίροντα τῆς ψυχῆς.

λ'. Ὅπου βαθεῖα ταπείνωσις, ἐκεῖ καί δάκρυον δαψιλές· ἔνθα δέ ταῦτα, ἐκεῖ καί ἡ παρουσία τοῦ Ἁγίου καί προσκυνητοῦ Πνεύματος. Ταύτης δέ γενομένης, πᾶσα καθαρότης καί ἁγιωσύνη ἐν τῷ ὑπό τούτου ἐνεργουμένῳ γίνεται, καί ὁρᾶται τούτῳ Θεός, καί ὁ Θεός ὁρᾷ ἐπ’ αὐτόν· «*Ἐπί τίνα γάρ*», φησίν, «*ἐπιβλέψω ἀλλ’ ἤ ἐπί τόν πρᾶον καί ἡσύχιον καί τρέμοντά μου τούς λόγους;*».

λα'. Καταγωνίσασθαι μέν ἄνθρωπος τά πάθη δύναται, ἐκριζῶσαι δέ αὐτά οὐδαμῶς· καί μή ποιῆσαι μέν τό πονηρόν ἐξουσίαν ἔλαβε, μή ἐνθυμηθῆναι δέ αὐτό οὐκέτι. Εὐσέβεια δέ ἐστιν οὐ τό ποιῆσαι μόνον τό ἀγαθόν, ἀλλά καί τό μή λογίζεσθαι πονηρα· ὁ οὖν πονηρά λογιζόμενος καρδίαν καθαράν κτήσασθαι οὐ δύναται· πῶς γάρ, μολυνομένης ἐκ τούτου ὡς ὑπό πηλοῦ κάτοπτρον;

λβ'. Καρδίαν καθαράν τοῦτο εἶναι ὑπείληφα, οὐ τό μή ὀχλεῖσθαι ὑπό πάθους μόνον τινός, ἀλλά καί τό μή ἐννοεῖν πονηρόν τι ἤ βιωτικόν, ὅτε ἄν βουληθῇ τις, ἔχειν δέ μόνην ἐν ἑαυτῷ τήν τοῦ Θεοῦ μνήμην ἐν ἀκατασχέτῳ τῷ ἔρωτι· ἐν γάρ φωτί καθαρῷ καθαρῶς ὁρᾷ Θεόν ὀφθαλμός, μηδενός ἑτέρου τῇ θεωρίᾳ μεσάζοντος.

λγ'. Τοῦτο λέγω εἶναι ἀπάθειαν οὐ τό ἔξω μόνον γενέσθαι τῆς πράξεως τῶν παθῶν, ἀλλά καί τό ἀλλοτριωθῆναι τῆς ἐπιθυμίας αὐτῶν, καί οὐδέ τοῦτο ἀλλά καί τό γυμνωθῆναι ἡμῶν τόν νοῦν ἐκ τῆς ἐννοίας αὐτῶν, ὡς ἄν, ὅτε βουλόμεθα, γινώμεθα ὑπεράνω τῶν οὐρανῶν, ἔξω πάντων γινόμενοι ὁρατῶν τε καί αἰσθητῶν, οἱονεί ἀποκλειομένων ἡμῶν τῶν αἰθήσεων καί τοῦ νοός ἡμῶν εἰς τά ὑπέρ αἴσθησιν ἐμβατεύοντος, συνεπιφερομένου δυνάμει τάς αἰσθήσεις μεθ’ ἑαυτοῦ ὥσπερ τις ἀετός τάς ἑαυτοῦ πτέρυγας.

λδ'. Νοῦς αἰσθήσεων δίχα τάς ἰδίας ἐνεργείας οὐκ ἐπιδείκνυται καί ἄνευ νοός αἱ αἰσθήσεις τάς ἑαυτῶν οὐδαμῶς.

λε'. Καρδία ἐκείνη λέγεται καί ἔστι καθαρά, ἡ μηδεμίαν ἔννοιαν ἤ βιωτικόν λογισμόν ἐν ἑαυτῇ εὑρίσκουσα, ἡ Θεῷ οὕτως ἀνακειμένη καί συνηνωμένη, ὡς μήτε τῶν ἀνιαρῶν μεμνῆσθαι τοῦ βίου μήτε τῶν τούτου χαροποιῶν, ἀλλά διάγειν ὡς εἰς τρίτον ἐν θεωρίᾳ τόν οὐρανόν καί εἰς παράδεισον ἁρπάζεσθαι καί βλέπειν τούς ἀρραβῶνας τῶν ἐπηγγελμένων τοῖς ἁγίοις καλῶν καί αὐτά τά αἰώνια ἀγαθά κατά τό ἐγχωροῦν τῇ ἀνθρωπίνῃ φύσει ἐκεῖθεν τεκμαίρεσθαι. Τοῦτο καρδίας καθαρᾶς ἐπ’ ἀληθῶς σημεῖον καί ἔνδειγμα βέβαιον, ἐν ᾧ τις καί τά μέτρα γινώσκει τῆς καθαρότητος καί ὡς ἐν κατόπτρῳ καθορᾷ.

λστ'. Ὥσπερ ὁ ἔξω τῆς οἰκίας ὤν τούς ἐνδοθεν ἐγκεκλεισμένους οὐχ ὁρᾷ, οὕτως οὐδέ ὁ ἐσταυρωμένος τῷ κόσμῳ, ἤτοι νενεκρωμένος, αἴσθησίν τινα πρός τά ἐν τῷ κόσμῳ πράγματα κέκτηται.

λζ'. Ὅν τρόπον τό νεκρόν σῶμα οὔτε πρός τά ζῶντα οὔτε πρός τά σύν αὐτῷ νεκρά κείμενα σώματα τήν οἱανοῦν αἴσθησιν ἔχει, οὕτως οὐδέ ὁ ἔξω τοῦ κόσμου ἐν Πνεύματι γεγονώς καί σύν Θεῷ ὤν δύναται πρός τόν κόσμον αἴσθησιν ἔχειν ἤ προπάσχειν τοῖς τούτου πράγμασιν, εἰ καί ὑπόκειτα ταῖς ἀνάγκαις τοῦ σώματος.

λη'. Πρό θανάτου θάνατος, καί πρό τῆς ἀναστάσεως τῶν σωμάτων ψυχῶν ἀνάστασις γίνεται, ἔργῳ, δυνάμει, πείρᾳ καί ἀληθείᾳ. Τοῦ γάρ θνητοῦ φρονήματος ὑπό τοῦ ἀθανάτου νοός ἐξαφανιζομένου καί τῆς νεκρότητος τῆς ζωῆς ἐκδιωκομένης, ἡ ψυχή ὡς ἐκ νεκρῶν ἀναστᾶσα ἑαυτήν ὁμολογουμένως ὁρᾷ, καθάπερ οἱ ἐξ ὕπνου ἀνστάντες βλέπουσιν ἑαυτούς· καί τόν αὐτήν ἀναστήσαντα ἐπιγινώσκει Θεόν, ὅν κατανοοῦσα καί ᾧ εὐχαριστοῦσα, ἐξίσταται τῶν αἰσθήσεων καί τοῦ κόσμου παντός, ἀφράστου ἡδονῆς πληρουμένη, καί καταπαύει ἐν αὐτῷ πᾶσαν κίνησιν αὐτῆς νοεράν.

λθ'. Τά μέν εἰσφέρεται παρ’ ἡμῶν, τά δέ δίδονται ἡμῖν ἄνωθεν ἐκ Θεοῦ. Ὅσῳ γάρ διά πόνων καί ἱδρώτων ἱερῶν καθαιρόμεθα, λαμπρυνόμεθα διά φωτός κατανύξεως· καί ὅσῳ τῷ φωτί λαμπρυνόμεθα, τοῖς δάκρυσιν καθαιρόμεθα, τό μέν οἴκοθεν παρεισάγοντες, τό δέ διδόμενον ἀντιλαμβάνοντες ἄνωθεν.

μ'. Πολλοί τά ἑαυτῶν εἰσενεγκόντες τά ἐκ Θεοῦ συνήθως οὐκ ἔλαβον· καί δῆλον ἐξ ὧν ὁ Κάϊν καί ὁ Ἠσαῦ πεποιήκασι καί πεπόνθασι. Εἰ γάρ μή ὀρθῷ λογισμῷ καί εὐσεβεῖ διαθέσει καί πίστει θερμῇ καί πολλῇ ταπεινοφροσύνῃ τά παρ’ ἑαυτοῦ τις προσενέγκῃ, οὐκ ἄν ἐπιβλέψῃ Θεός ἐπ’ αὐτόν, οὐκ ἄν τά προσφερόμενα ἀποδέξηται· εἰ δέ μή ταῦτα, οὐδέ τά παρ’ ἑαυτοῦ ἀντιπαράσχοι τῷ οὕτω προσφέροντι.

μα'. Νεκρός ὁ κόσμος καί οἱ τοῦ κόσμου πρός τούς ἁγίους εἰσίν· ὅθεν οὐδέ βλέποντες βλέπουσι τά καλά αὐτῶν ἔργα, οὐδέ ἀκούοντες ὅλως ἰσχύουσι συνιέναι τούς ἐν Πνεύματι Ἁγίῳ λεγομένους θείους λόγους αὐτῶν. Ἀλλ’ οὐδ’ οἱ πνευματικοί τῶν κοσμικῶν καί πονηρῶν ἀνθρώπων ἰδεῖν τά πονηρά ἔργα ἤ τούς ἐμπαθεῖς λόγους αὐτῶν χωρῆσαι ἐν ἑαυτοῖς δύνανται, ἀλλά βλέποντες καί οὗτοι τά ἐν κόσμῳ οὐ βλέπουσι καί

ἀκούοντες τά τῶν κοσμικῶν ὡς οὐκ ἀκούοντες τῇ αἰσθήσει διάκεινται· καί οὕτως οὐδεμία κοινωνία τούτοις πρός τά ἐκείνων ἤ ἐκείνοις πρός τά τῶν πνευματικῶν γίνεται.

μβ'. Καθάπερ φωτός καί σκότους σαφής ἡ διαίρεσις καί ἡ μίξις ἀδύνατος· «*Ποία γάρ*», φησί, «*κοινωνία φωτί πρός σκότος ἤ ποία μερίς πιστῷ μ ετά ἀπίστου*», οὕτως, καί ἐν τοῖς Πνεῦμα Ἅγιον ἔχουσι, τοσαύτη ἡ ἀπ’ ἀλλήλων διάστασις καί ὁ χωρισμός πρός τούς μή ἔχοντάς ἐστιν. Οἱ μέν γάρ ἐν τῷ οὐρανῷ ἔχουσι τό πολίτευμα, ἄγγελοι ἐξ ἀνθρώπων ἤδη γενόμενοι, οἱ δέ ἐν τῷ προγονικῷ σκότει καί τῇ σκιᾷ τοῦ θανάτου ἔτι κάθηνται προσηλωμένοι τῇ γῇ καί τοῖς ἐν γῇ πράγμασι· καί οἱ μέν, τῷ νοητῷ καί ἀνεσπέρῳ φωτί, οἱ δέ μόνῳ τῷ αἰσθητῷ περιλάμπονται· καί οἱ μέν ἑαυτούς καί τούς πλησίον ὁρῶσιν, οἱ δέ καί ἑαυτούς καί τούς πλησίον καθ’ ἑκάστην ὁρῶντες ἀποθνήσκοντας ἀγνοοῦσιν ὅτι ἄνθρωποί εἰσι καί ὡς ἄνθρωποι ἀποθνήσκουσι· καί ἀγνοοῦντες, οὐ πιστεύουσι περί κρίσεως οὐδέ ὅτι ἀνάστασις ἔσται καίἀνταπόδοσις τῶν βεβιωμένων ἑκάστῳ.

μγ'. Εἰ μέν Πνεῦμα Ἅγιόν ἐστί σοι, πάντως ἐκ τῶν ἐν σοί γινομένων αὐτοῦ ἐνεργειῶν γνωρίσεις ἅ λέγει περί αὐτοῦ ὁ Ἀπόστολος· φησί γάρ· «*Ὅπου Πνεῦμα Κυρίου, ἐκεῖ ἐλευθερία*» καί ὅτι· «*Τό μέν σῶμα νεκρόν δι’ ἁμαρτίαν, τό δέ πνεῦμα ζωή διά δικαιοσύνην*» καί ὅτι· «*Οἱ τοῦ Χριστοῦ τήν σάρκα ἐσταύρωσαν σύν τοῖς παθήμασι καί ταῖς ἐπιθυμίαις*». Ὅσοι γάρ ἐβαπτίσθησαν ἐν Πνεύματι Ἁγίῳ ὅλον τόν Χριστόν ἐνδεδυμένοι εἰσί καί υἱοί εἰσι φωτός καί ἐν φωτί ἀνεσπέρῳ περιπατοῦσι καί βλέποντες τόν κόσμον οὐ βλέπουσι καί ἀκούοντες τά τοῦ κόσμου οὐκ ἀκούουσιν. Ὥσπερ γάρ γέγραπται περί τῶν σαρκικῶν ἀνθρώπων ὅτι βέποντες οὐ βλέπουσι καί ἀκούοντες περί θείων πραγμάτων οὐ σινιῶσιν οὐδέ χωρεῖν δύναται τά τοῦ Πνεύματος, μωρία γάρ αὐτοῖς εἰσιν, οὕτω μοι νοήσεις καί περί τῶν Πνεῦμα Ἅγιον ἐχόντων ἐν ἑαυτοῖς· σῶμα φοροῦσιν ἀλλ’ οὐκ εἰσίν ἐν σαρκί· «*Ὑμεῖς γάρ*», φησίν, «*οὐκ ἐστέ ἐν σαρκί ἀλλ’ ἐν πνεύματι, εἴπερ Πνεῦμα Θεοῦ οἰκεῖ ἐν ὑμῖν*»· νεκροί εἰσι τῷ κόσμῳ καί ὁ κόσμος αὐτοῖς· «*Ἐμοί γάρ*», φησί, «*κόσμος ἐσταύρωται κἀγώ τῷ κόσμῳ*».

μδ'. Ὁ ταῦτα εἰδώς ἐνεργούμενα ἐν αὐτῷ τά σημεῖα καί θαύματα ὄντως θεοφόρος καί σημειοφόρος ἐστί, τόν Θεόν ἔχων, ἤγουν αὐτό τό πανάγιον Πνεῦμα ἔνοικον, λαλοῦν καί ἐνεργοῦν ἐν αὐτῷ τά εἰρημένα ὑπό τοῦ Παύλου. Ὁ δέ μήπω ταῦτα ἐν ἑαυτῷ ἐγνωκώς, μή ἀπατάσθω, σάρξ ἐστιν ἔτι καί αἷμα, ὑπό τόν ζόφον δηλονότι τῶν ἐπιθυμιῶν τῆς σαρκός καλυπτόμενος· σάρξ δέ καί αἷμα βασιλείαν Θεοῦ, ἥτις ἐστί τό Πνεῦμα τό Ἅγιον, οὐ κληρονομεῖ.

με'. Ἀπό μέν τοῦ θείου βαπτίσματος τήν τῶν ἡμαρτημένων λαμβάνομεν ἄφεσιν καί τῆς πρώην κατάρας ἐλευθερούμεθα καί τῇ παρουσίᾳ τοῦ Ἁγίου Πνεύματος ἁγιαζόμεθα, τήν δέ τελείαν χάριν κατά τό· «*Ἐνοικήσω ἐν αὐτοῖς καί ἐμπεριπατήσω*», οὐ τότε· τοῦτο γάρ τῶν βεβαιοπίστων καί ἐκ τῶν ἔργων ταύτην ἐπιδεικνύντων ἐστί. Μετά γάρ τό βαπτισθῆναι ἡμᾶς πρός πονηράς καί αἰσχράς πράξεις ἐκκλίνοντες καί αὐτόν τόν

ἁγιασμόν εἰς ἅπαν ἀποβαλλόμεθα, μετανοίᾳ δέ καί ἐξομολογήσει καί δάκρυσι κατά ἀναλογίαν τήν ἄφεσιν πρότερον τῶν ἡμαρτημένων λαμβάνομεν καί οὕτω τόν ἁγιασμόν μετά τῆς ἄνωθεν χάριτος.

μστ'. Ἀπό μέν τῆς μετανοίας ἔκπλυσις τοῦ μολυσμοῦ τῶν αἰσχρῶν γίνεται πράξεων, μετά δέ ταύτην, μετοχή Πνεύματος Ἁγίου· οὐχ ἁπλῶς δέ, ἀλλά κατά τήν πίστιν καί τήν διάθεσιν καί τήν ταπείνωσιν τῶν ἐξ ὅλης μετανοούντων ψυχῆς· οὐ μόνον δέ, ἀλλά καί μετά τό τελείαν τήν ἄφεσιν τῶν ἡμαρτημένων παρά τοῦ πατρός καί ἀναδόχου λαβεῖν. Διά τοῦτο καλόν καθ' ἑκάστην μετανοεῖν κατά τήν κελεύουσαν ἐντολήν· τό γάρ «*μετανοεῖτε, ἤγγικε γάρ ἡ βασιλεία τῶν οὐρανῶν*» ἀόριστον ἡμῖν ὑπεμφαίνει τήν ἐργασίαν.

μζ'. Ἡ χάρις τοῦ παναγίου Πνεύματος ταῖς τῷ Χριστῷ νυμφευομέναις ψυχαῖς ὡς ἀρραβών δίδοται· καί καθάπερ ἀρραβῶνος χωρίς οὐκ ἔχει ἀσφαλῶς ἡ γυνή τήν μετά τοῦ ἀνδρός συνάφειαν μέλλειν ποτέ βεβαίως γενήσεσθαι, οὕτως οὐδέ ψυχή βεβαίαν λαμβάνει πληροφορίαν ποτέ τοῦ μετά τοῦ δεσπότου αὐτῆς καί Θεοῦ εἰς αἰῶνας συνέσεσθαι, ἤ μυστικῶς καί ἀνεκφράστως αὐτῷ συνάπτεσθαι, καί τοῦ ἀπροσίτου κάλλους ἐπαπολαύειν αὐτοῦ, εἰ μή τῆς χάριτος αὐτοῦ τόν ἀρραβῶνα λάβῃ καί γνωστῶς αὐτόν ἐν ἑαυτῇ κτήσηται.

μη'. Ὅν τρόπον οἱ γραφόμενοι συμβολικοί χάρται εἰ μή ὑπογραφάς ἀξιοπίστων μαρτύρων δέξωνται, οὐκ ἔστιν ὁ ἀρραβών βέβαιος, οὕτως οὐδέ πρό τῆς ἐργασίας τῶν ἐντολῶν καί τῆς τῶν ἀρετῶν κτήσεως ἀσφαλής ἡ τῆς χάριτος ἔλλαμψις γίνεται. Ὅπερ γάρ ἐν τοῖς συμφώνοις οἱ μάρτυρες, τοῦτο ἐπί τοῦ πνευματικοῦ ἀρραβῶνος ἡ τῶν ἐντολῶν ἐργασία καί αἱ ἀρεταί καθεστήκασι· τελείαν γάρ διά τούτων λαμβάνει τήν τοῦ ἀρραβῶνος κατάσχεσιν ἕκαστος τῶν μελλόντων σωθήσεσθαι.

μθ'. Πρῶτον οἱονεί τά σύμφωνα γράφονται διά τῆς ἐργασίας τῶν ἐντολῶν, εἶτα ὑπό τῶν ἀρετῶν ἐπισφραγίζονται καί ὑπογράφονται· καί τηνικαῦτα ἐπιδίδωσι τόν δακτύλιον ὁ νυμφίος Χριστός τῇ νύμφῃ ψυχῇ, ἤγουν τόν ἀρραβῶνα τοῦ Πνεύματος.

ν'. Ὥσπερ ἡ νύμφη πρό τοῦ γάμου τόν ἀρραβῶνα μόνον παρά τοῦ νυμφίου λαμβάνει, τήν δέ συμφωνηθεῖσαν προῖκα καί τάς ἐν αὐτῇ ὑποσχεθείσας δωρεάς μετά τόν γάμον λαβεῖν ἀπεκδέχεται, οὕτω δή καί ἡ νύμφη τῶν πιστῶν ἐκκλησία καί ἡ ψυχή ἑνός ἑκάστου ἡμῶν πρῶτον ὑπό τοῦ νυμφίου Χριστοῦ τόν ἀρραβῶνα μόνον λαμβάνει τοῦ Πνεύματος, τά δέ αἰώνια ἀγαθά καί τήν τῶν οὐρανῶν βασιλείαν μετά τήν ἐνθένδε ἀποδημίαν λαβεῖν ἀπεκδέχεται, πληροφορουμένη διά τοῦ ἀρραβῶνος ὡς ἀδιάψευστα τά συμπεφωνημένα αὐτῇ ἔσονται.

να'. Καθάπερ βραδύνοντος τοῦ νυμφίου ἐν ἀποδημίᾳ, ἤ ἀπασχολουμένου ἐν ἑτέραις τισίν ὑποθέσεσι καί τόν γάμον τέως ὑπερτιθεμένου ποιῆσαι, ἐάν ὀργισθεῖσα ἡ νύμφη τῆς ἐκείνου ἀγάπης καταφρονήσῃ καί τόν ἀρραβωνικόν χάρτην ἤ ἀπαλείψῃ ἤ διαρρήξῃ,

ἐκπίπτει τῶν πρός τόν νυμφίον ἐλπίδων εὐθύς, οὕτω καί ἐπί τῆς ψυχῆς πέφυκε γίνεσθαι. Ἐπάν γάρ εἴπῃ τις τῶν ἀγωνιζομένων· «*Ἕως πότε κακοπαθεῖν ὀφείλω;*» καί τῶν ἀσκητικῶν πόνων κατολιγωρήσῃ καί διά τῆς ἀμελείας τῶν ἐντολῶν καί ἐγκαταλείψεως τῆς διηνεκοῦς μετανοίας οἱονεί ἀπαλείψῃ καί διαρρήξῃ τά σύμφωνα, εὐθύς ἐκπίπτει καί τοῦ ἀρραβῶνος καί τῆς πρός Θεόν ἐλπίδος τελείως.

νβ'. Ὥσπερ ἡ νύμφη ἐάν πρός ἕτερον τήν ἀγάπην τοῦ ἁρμοσθέντος αὐτῇ νυμφίου μετάθηται καί συγκοιτασθῇ αὐτῷ φανερῶς ἤ λαθραίως, οὐ μόνον οὐδέν ἐκ τῶν ὑποσχεθέντων αὐτῇ παρά τοῦ νυμφίου ἐλπίσει λαβεῖν, ἀλλά καί τιμωρίαν καί μέμψιν τήν ἐκ τοῦ νόμου προσδοκήσει ἀξίως, οὕτω δή καί ἐπί ἡμῶν γίνεσθαι πέφυκεν. Ἐάν μετάθηταί τις τήν ἀγάπην τοῦ νυμφίου Χριστοῦ πρός ἄλλου τινός ἐπιθυμίαν πράγματος φανερῶς ἤ λαθραίως καί κρατηθῇ ἡ καρδία αὐτοῦ ἐν αὐτῷ, μισητή ἔσται τῷ νυμφίῳ καί βδελυκτή καί ἀνάξια τῆς συναφείας αὐτοῦ· εἴρηκε γάρ· «*Ἐγώ τούς ἐμέ φιλοῦντας ἀγαπῶ*».

νγ'. Ὁ ἀρραβών ἐν τοῖς κεκτημένοις αὐτόν ἄφθεκτος γίνεται, ἀκατανοήτως κατανοούμενος, ἀκρατήτως κρατούμενος, ἀοράτως ὁρώμενος, ζῶν καί λαλῶν καί κινούμενος καί τόν κεκτημένον κινῶν, ἀφιπτάμενος τοῦ ἐν ᾧ ἐσφραγισμένως περιέχεται κιβωτίου καί πάλιν ἀνελπίστως ἐντός αὐτοῦ εὑρισκόμενος, ὡς μήτε τήν παρουσίαν βεβαίαν μήτε τήν ὑποχώρησιν ἀνεπίστροφον νομίζειν τόν κεκτημένον ποιεῖν· καί οὕτως, μή ἔχων αὐτόν ὡς ἔχων ἐστί, καί ἔχων ὡς μή ἔχων, ὁ κεκτημένος τοῦτον διάκειται.

νδ'. Ὅν τρόπον ἔνδοθεν οἰκίας νυκτός ἱσταμένου τινός, κεκλεισμένων αὐτῆς τῶν θυρῶν πάντοθεν, ἐάν μίαν διανοίξῃ θυρίδα καί ἀστραπή τοῦτον αἴφνης περιλάμψῃ λαμπρά, μή φέρων ἐκεῖνος τοῖς ὀφθαλμοῖς ταύτης τήν ἀπαυγήν εὐθύς ἀσφαλίζει μύων τους ὦπας καί συστέλλεται ἐφ᾽ ἑαυτόν, οὕτω δή ἐγκεκλεισμένης καί τῆς ψυχῆς ἐν τοῖς αἰσθητοῖς, ἐάν ἔξωθεν τούτων ποτέ ὡς διά θυρίδος τῷ νοΐ παρακύψῃ, ὑπό τῆς ἀστραπῆς τοῦ ἐν αὐτῇ ἀρραβῶνος, φημί δή τοῦ Ἁγίου Πνεύματος, καταστραφεῖσα, τήν λαμπηδόνα μή φέρουσα τοῦ ἀστέκτου φωτός, εὐθύς καί τόν νοῦν καταπλήττεται καί ὅλη ἐφ᾽ ἑαυτήν συστέλλεται, φεύγουσα ὡς εἰς οἰκίαν τινά ὑπό τά αἰσθητά καί ἀνθρώπινα.

νε'. Δέον ἕκαστον ἐκ τῶν τοιούτων σημείων κατανοεῖν, εἰ τόν ἀρραβῶνα τοῦ Πνεύματος ἐκ τοῦ νυμφίου καί δεσπότου Χριστοῦ εἴληφε· καί εἰ μέν ἔλαβε, σπουδαζέτω τοῦτον κατέχειν· εἰ δέ μήπω τοῦτον λαβεῖν ἠξιώθη, σπουδασάτω διά τῶν ἀγαθῶν ἔργων καί πράξεων καί θερομάτης μετανοίας λαβεῖν αὐτόν καί φυλάξαι διά τῆς ἐργασίας τῶν ἐντολῶν καί τῆς τῶν ἀρετῶν ἐπικτήσεως.

νστ'. Καθάπερ ἡ στέγη πάσης οἰκίας διά τῶν θεμελίων καί τῆς λοιπῆς κτίσεως ἵσταται, ὡσαύτως δέ καί τά θεμέλια διά τό τήν στέγην βαστάζειν καταβάλλονται ὡς ἀναγκαῖα καί χρήσιμα, καί οὔτε στέγη δίχα θεμελίων συνίσταται πέφυκεν, οὔτε θεμέλιοι ἄνευ στέγης τῷ βίῳ χρειώδεις ἤ ὠφέλιμοι ὅλως εἰσίν· οὕτω καί ἡ τοῦ Θεοῦ χάρις διά τῆς τῶν ἐντολῶν συντηρεῖται ἐργασίας καί αἱ πράξεις τῶν ἐντολῶν διά τήν τοῦ Θεοῦ δωρεάν ὡς

θεμέλιοι καταβάλλονται, καί οὔτε ἡ χάρις τοῦ Πνεύματος παραμένειν ἡμῖν πέφυκεν ἄνευ τῆς τῶν ἐντολῶν ἐργασίας, οὔτε ἡ τῶνἐντολῶν ἐργασία ἄνευ τῆς χάριτος τοῦ Θεοῦ χρήσιμος ἤ ὠφέλιμος ἐστιν ἡμῖν.

νζ'. Ὅν τρόπον ἡ ἄστεγος οἰκία ἡ ὑπό ἀμελείας τοῦ κτίσαντος οὕτως ἐαθεῖσα οὐ μόνον ἄχρηστός ἐστιν, ἀλλά καταγέλωτα τῷ κτίσαντι προξενεῖ, οὕτω καί ὁ τούς θεμελίους τῆς ἐργασίας τῶν ἐντολῶν καταβαλλόμενος καί τοίχους ὑψηλῶν ἀρετῶν ἀναστήσας, ἐάν μή καί τήν χάριν τοῦ Πνεύματος ἐν θεωρίᾳ καί γνώσει ψυχῆς λήψεται, ἀτελής ἐστι καί παρά τῶν τελείων κατελεούμενος. Ἐκ γάρ τῶν δύο τούτων αἰτιῶν ταύτης πάντως ἐστέρηται· ἤ γάρ τῆς μετανοίας ἠμέλησεν, ἤ πρός τήν τῶν ἀρετῶν συλλογήν ὡς πρός ἄπειρον ὕλην ἀπειρηκώς, ἐνέλειψέ τινα τῶν δοκούντων μέν ἡμῖν ἐλαχίστων, ἀναγκαίων δέ ὄντων πρός τόν ἀπαρτισμόν τοῦ οἴκου τῶν ἀρετῶν, ὡς μή δύνασθαι ἄνευ ἐκείνων διά τῆς τοῦ Πνεύματος χάριτος στεγασθῆναι αὐτόν.

νη'. Εἰ διά τοῦτο ἐπί τῆς γῆς ὁ Υἱός τοῦ Θεοῦ καί Θεός κατῆλθεν ἵνα δι’ ἑαυτοῦ καταλλάξῃ γνωστῶς ἡμᾶς ἐχθρούς ὄντας τῷ ἰδίῳ Πατρί καί συνάψῃ γνωστῶς ἡμᾶς ἑαυτῷ διά τοῦ τοῦ Ἁγίου καί ὁμοουσίου αὐτοῦ Πνεύματος, ὁ ταύτης ἐκπίπτων τῆς χάριτος ἄλλης ποίας τεύξεται; Πάντως οὐδέ κατηλλάγῃ αὐτῷ οὐδέ τήν μετ’ αὐτοῦ ἕνωσιν διά τῆς μετουσίας τοῦ Πνεύματος ἔσχηκεν.

νθ'. «*Εἰσαγάγῃ τις πῦρ ἐν κόλπῳ*», φησίν ὁ Σοφός, «*τά δέ ἱμάτια οὐ κατακαύσει;*» Ἐγώ δέ φημί· τίς τό ἄστεκτον καί οὐράνιον πῦρ ἐν καρδίᾳ δεξάμενος, οὐ πυρωθήσεται καί λαμπρυνθήσεται καί τάς τῆς θεότητος αὐγάσει καί αὐτός ἀστραπάς κατά ἀναλογίαν τῆς καθάρσεως καί τῆς μετοχῆς τοῦ πυρός· ἡ γάρ μετοχή τῇ καθάρσει, τῇ δέ μεθέξει συνέπεται κάθαρσις· τούτου δέ γενομένου, Θεός ὅλος κατά χάριν ὁ ἄνθρωπος γίνεται.

ξ'. Τῶν μέν ἐμπαθῶν ἐπιθυμιῶν καί ἡδονῶν ὁ μετασχών τοῦ Ἁγίου Πνεύματος ἀπαλλάττεται, τῶν δέ τῆς φύσεως σωματικῶν ἀναγκῶν οὐ χωρίζεται. Καί ὡς μέν ἐλευθερωθείς τῶν δεσμῶν τῆς ἐμπαθοῦς ὀρέξεως καί συναφθείς τῇ ἀθανάτῳ δόξῃ τε καί γλυκύτητι, ἀδιαλείπτως ἄνω τε βιάζεται εἶναι καί σύν Θεῷ διάγειν καί μηδέ πρός βραχύ τῆς ἐκείνου θεωρίας καί ἀκορέστου τρυφῆς ἀφίστασθαι· ὡς δέ τῷ σώματι καί τῇ φθορᾷ ἐμπεδούμενος, ὑπ’ αὐτοῦ κατασπᾶται καί σύρεται καί πρός τά γήϊνα ἐπιστρέφεται, τοσαύτην ὑπέρ τούτου τηνικαῦτα τήν λύπην δέχεται, ὅσην οἶμαι ἁμαρτωλοῦ ψυχήν ἔχειν χωριζομένην ἀπό τοῦ σώματος.

ξα'. Ὥσπερ τῷ φιλοσωμάτῳ καί φιλοζώῳ, τῷ φιληδόνῳ καί φιλοκόσμῳ, ὁ χωρισμός τῶν τοιούτων θάνατός ἐστιν, οὕτως τῷ φιλάγνῳ καί φιλοθέῳ, τῷ φιλαΰλῳ καί φιλαρέτῳ, θάνατος τῷ ὄντι ἡ ἐκ τῶν τοιούτων μικρά τῆς διανοίας διάστασις. Εἰ γάρ ὁ τόν αἰσθητον τοῦτο φῶς ὁρῶν, ἐάν πρός μικρόν μύσῃ τούς ὀσθαλμούς ἤ κατακαλυφθῇ τούτους ὑφ’ ἑτέρου, ἄχθεται καί λυπεῖται καί φέρειν ὅλως τοῦτο οὐ δύναται, καί μάλιστα ἐάν ἀναγκαῖά τινα καί παράδοξα ἦν ὁρῶν· πόσῳ μᾶλλον ὁ ἐν Ἁγίῳ φωτιζόμενος Πνεύματι

καί τά ἀγαθά ἐκεῖνα ὁρῶν, ὕπαρ καί νοερῶς, γρηγορῶν καί καθεύδων, ἅ ὀφθαλμός οὐκ εἶδε καί οὖς οὐκ ἤκουσε καί ἐπί καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, εἰς ἅ παρακύψαι καί ἄγγελοι ἐπιθυμοῦσιν, ἐάν ἀποσπασθῇ ἐκ τῆς τῶν τοιούτων θεωρίας ὑπό τινος, λυπηθήσεται καί θλιβήσεται; Θάνατος γάρ αὐτῷ δοκεῖ τοῦτο καί ἀλλοτρίωσις εἰκότως τῆς αἰωνίου ζωῆς.

ξβ'. Διπλοῦς ὤν ὁ ἄνθρωπος, ἐκ ψυχῆς καί σώματος τήν σύστασιν ἔχων, καί κόσμος αὐτῷ παρόμοιος γέγονεν ὁρατός καί ἀόρατος, ἑκάστῳ δηλονότι τούτων τά ἔργα καί αἱ φροντίδες τῶν ἔργων ἁρμοδίως ἀφορισθεῖσαι.Ἔνθεν τοι καί περί ὄψεων καί ὀνειράτων τοῦτο ἀληθές εἶναι ὑπέλαβον· ἐν οἷς γάρ ἡ ψυχή ἐνασχολεῖται γρηγοροῦσα ἤ ἐμβατεύει, ἐν τούτοις καί κατά τούς ὕπνους ἤ ἐμματαιάζει ἤ ἐμφιλοσοφεῖ· εἴτε γάρ περί ἀνθρωπίνων φροντίζει πραγμάτων ἐμματαιάζουσα ὀνείροις ἐνασχολεῖται εἴτε περί θείων καί οὐρανίων ἐμμελετῶσα ὄψεσιν ἐμβατεύει καί ὁράσεσι, κατά τό ὑπό τοῦ Προφήτου λεγόμενον, ἐμφιλοσοφεῖ, «*καί οἱ νεανίσκοι αὐτῶν ὁράσεις ὄψονται*», οὐκ ἐξαπατωμένη, ἀλλ' ἀληθείαις ἐνατενίζουσα καί ἀποκαλύψεσι πιστουμένη.

ξγ'. Ὁπηνίκα τό ἐπιθυμητικόν μέρος τῆς ψυχῆς περί πάθη καί μίξεις καί τρυφάς καί ἀπολαύσεις ἐρεθίζεται τοῦ βίου, τοιαῦτα ὡσαύτως βλέπει καί τά ἐνύπνια ἡ ψυχή· εἰ δέ τό θυμικόν αὐτῆς κατά τῶν ὁμοφύλων ἐκθηριοῦται, θηρίων ἐφόδους καί ἑρπετῶν πολέμους καί μάχας ὀνειροπολεῖ, διαπληκτιζομένη ὡς ἐπί δικαστηρίων μεθ' ὧν διαφέρεται· εἰ δέ τό λογιστικόν αὐτῆς ἐπαίρεται ταῖς ἀλαζονείαις καί ὑπερηφανείαις, ἁρπαγάς εἰς ἀέρα πτεροφυεῖς καί θρόνων ὑψηλῶν καθέδρας καί ἡγεμονίας λαοῦ ἐπί ἁρμάτων προερχομένη καί προπεμπομένη φαντάζεται.

ξδ'. Μόνων ἐκείνων εἰσίν ἀληθῆ τά ὁράματα, ἅ οὐδέ χρή καλεῖν ἐνύπνια ἀλλ' ὁράσεις καί ὀπτασίας, ὧν ὁ νοῦς ἁπλοῦς ἐγένετο ἐξ ἐπιδημίας τοῦ Πνεύματος καί ἐλεύθερος ἀπό πάσης ὀχλήσεως καί δουλείας τῶν παθῶν, ὧν ἡ σχολή περί τά θεῖα πᾶσα καί ἡ μελέτη περί μελλόντων ἀμοιβῶν καί ἀνταποδόσεων, ὧν ἡ ζωή ὑπέρ τήν τῶν ζώντων ζωήν ἀμέριμνος, ἀπερίσπαστος, ἥσυχος, καθαρά, μεστή ἐλέους, σοφίας, γνώσεως οὐρανίου καί καρπῶν ἀγαθῶν τῶν γεωργουμένων ὑπό τοῦ Πνεύματος, τῶν δ' ἄλλως καί οὐχ οὕτως ἐχόντων, ψευδῆ καί συγκεχυμένα καί τό ὅλον ἀπάτη σαφής.

ξε'. Πολλοί μέν τόν ἐρημικόν, ἄλλοι δέ τόν μιγάδα ἤγουν τόν κοινοβιακόν ἐμακάρισαν βίον, ἕτεροι δέ τό προΐστασθαι λαοῦ, νουθετεῖν τε καί διδάσκειν καί συνιστᾶν ἐκκλησίας, ἐξ ὧν διάφοροι σωματικῶς τε καί ψυχικῶς πεφύκασι διατρέφεσθαι. Ἐγώ δέ οὐδέτερον τούτων τοῦ ἑτέρου προκρίναιμι, οὐδέ τόν μέν ἐπαίνου τόν δέ ψόγου ἄξιον εἴποιμι ἄν, ἀλλ' ἐν παντί καί ἐν πᾶσιν ἔργοις καί πράξεσιν ὁ διά Θεόν καί κατά Θεόν βίος παμμακάριστος.

ξστ'. Καθάπερ ἐκ διαφόρων ἐπιστημῶν καί τεχνῶν ὁ τῶν ἀνθρώπων συνίσταται βίος, ἄλλου ἄλλην ἐργαζομένου δηλονότι καί συνεισφέροντος, καί ἀλλήλοις οὕτω μεταδιδόντες καί ἐξ ἀλλήλων μεταλαμβάνοντες ζῶσιν οἱ ἄνθρωποι, τάς σωματικάς

χρείας τῇ φύσει παρέχοντες, οὕτως ἔστιν ἰδεῖν καί ἐπί τῶν πνευματικῶν, ἄλλου ἄλλην ἀρετήν μετιόντος καί ἑτέρου ἑτέραν βίου ὁδόν διανύοντος, εἰς ἕνα σκοπόν ἐξ ἀμφοτέρων τούτων οἱ πάντες συντρέχουσιν.

ξζ'. Σκοπός πάντων τῶν κατά Θεόν ἀγωνιζομένων ἐστί τό εὐαρεστῆσαι Χριστῷ τῷ Θεῷ καί τήν καταλλαγήν διά τῆς τοῦ Πνεύματος μετουσίας πρός τόν Πατέρα λαβεῖν καί τήν ἑαυτῶν σωτηρίαν διά τούτου πορίσασθαι· τοῦτο γάρ πάσης ψυχῆς καί παντός ἀνθρώπου σωτηρία ἐστίν· οὗ μή γενομένου, κενός ὁ κόπος καί ματαία ἡ ἐργασία ἡμῶν, ἀνόνητός τε πᾶσα βίου ὁδός ἡ μή πρός τοῦτο τόν ἐν αὐτῇ τρέχοντα φέρουσα.

ξη'. Ἔοικεν ὁ τόν κόσμον ἅπαντα καταλείψας καί πρός τό ὄρος ὡς πρός ἡσυχίαν ἀναχωρήσας κἀκεῖθεν ἐπιδεικτικῶς γράφων πρός τούς ἐν τῷ κόσμῳ, τούς μέν μακαρίζων τούς δέ κολακεύων καί ἐπαινῶν, τῷ γυναικός πόρνης δυσείμονός τε καί παγκάκου διαζευχθέντι καί εἰς χώραν μακράν ἀποδημήσαντι πρός τό ἀπαλλαγῆναι καί τῆς μνήμης αὐτῆς, εἶτα ἐπιλαθομένῳ τοῦ σκοποῦ δι’ ὅν τό ὄρος κατειλήφει καί πρός τούς τῇ πόρνῃ ἐκείνῃ συναναστρεφομένους, ἵν’ εἴπω, καί συμμιαινομένους γράφειν ὀρεγομένῳ καί αὐτούς μακαρίζοντι· ὅς εἰ καί μή τῷ σώματι ἀλλά γε τῇ καρδίᾳ πάντως καί τῷ νοΐ συμπασχει ἐκ προθέσεως τοῖς τοιούτοις ἀποδεχόμενος οἱονεί τῆς μετ’ ἐκείνης αὐτῶν συμπλοκῆς.

ξθ'. Ὅσῳ οἱ ἐν μέσῳ τοῦ κόσμου στρεφόμενοι καί καθαρεύοντες τάς αἰσθήσεις καί τάς καρδίας ἀπό πάσης πονηρᾶς ἐπιθυμίας, ἐπαινετοί καί μακάριοι, τοσοῦτον οἱ ἐν ὄρεσι καί σπηλαίοις ἐνδιαιτώμενοι, εἰ τῶν ἐπαίνων καί μακαρισμῶν καί τῆς δόξης ἐφίενται τῶν ἀνθρώπων, ψεκτοί καί ἀπόβλητοι· ὡς γάρ μοιχεύοντες παρά τῷ τάς καρδίας ἡμῶν ἐρευνῶντι Θεῷ ἔσονται. Ὁ γάρ ἐπιθυμῶν ἀκουσθῆναι τόν βίον αὐτοῦ καί τό ὄνομα καί τήν πολιτείαν ἐν τῷ κόσμῳ, ἐκπορνεύει, κατά τόν πάλαι τῶν Ἰουδαίων λαόν, ἀπό Θεοῦ, ὡς φησίν ὁ Δαβίδ.

ο'. Ὁ πίστει τῇ πρός τόν Θεόν ἀδιστάκτῳ τῷ κόσμῳ καί τοῖς ἐν κόσμῳ ἀποταξάμενος πιστεύει ὅτι ἐλεήμων ἐστί καί οἰκτίρμων ὁ Κύριος καί προσδέχεται τούς ἐν μετανοίᾳ προσερχομένους αὐτῷ. Εἰδώς δέ ὅτι δι’ ἀτιμίας τιμᾷ τούς δούλους αὐτοῦ διά πτωχείας ἄκρας πλουτίζει αὐτούς καί δι’ ὕβρεων καί ἐξουδενώσεως δοξάζει αὐτούς καί διά θανάτου τῆς αἰωνίου ζωῆς μετόχους αὐτούς καί κληρονόμους ἀποκαθιστᾷ, κατεπείγεται ὡς ἔλαφος διψῶσα ἐπί τήν ἀθάνατον πηγήν δι’ αὐτῶν καί πρός τό ἄναντες ἐν αὐτοῖς ὡς ἐν κλίμακι βαίνει, δι’ ἧς ἄγγελοι μέν ἀναβαίνουσι καί κατέρχονται πρός βοήθειαν τῶν ἀνερχομένων. Θεός δέ ἄνωθεν τήν κατά δύναμιν ἡμῶν πρόθεσιν καί σπουδήν ἀναμένων κάθηται, οὐχ ὅτι πονοῦντας ἡμᾶς ὁρᾶν τέρπεται ἀλλ’ ὡς ὄφλημα θέλων τούς μισθούς διδόναι ἡμῖν ὁ φιλάνθρωπος.

οα'. Τούς ἀδιστάκτως αὐτῷ προσερχομένους οὐκ ἐᾷ ὅλως καταπεσεῖν ὁ Κύριος ἀλλ’ ἀδυνατοῦντας βλέπων αὐτούς συνεργεῖ καί βοηθεῖ, ὀρέγων αὐτοῖς χεῖρα δυνάμεως

ἄνωθεν καί πρός ἑαυτόν ἐπανάγει· συνεργεῖ δέ φανερῶς τε ἅμα καί ἀφανῶς, ἀγνώστως καί γνωστῶς, μέχρις οὗ πᾶσαν ἀνελθόντες τήν κλίμακα αὐτῷ προσεγγίσωσι καί ὅλοι ὅλῳ ἑνωθῶσι καί ἁπάντων ἐπιλαθωνται τῶν ἐπιγείων, συνόντες αὐτῷ ἐκεῖσε, εἴτε ἐν σώματι εἴτε καί ἐκτός σώματος, οὐκ οἶδα, καί συμπολιτευόμενοι καί τῶν ἀπορρήτων ἐπαπολαύοντες ἀγαθῶν.

οβ'. Δίκαιόν ἐστι τῇ ζεύγλῃ πρῶτον τῶν ἐντολῶν τοῦ Χριστοῦ ὑποτιθέναι τούς αὐχένας ἡμῶν καί μή παροιστρεῖν μηδέ ὀπισθοποδεῖν, ἀλλ’ ὀρθῶς καί προθύμως μέχρι θανάτου βαίνειν ἐν αὐταῖς καί ἑαυτούς ἡμᾶς νεουργεῖν τόν νέον ὄντως Θεοῦ παράδεισον, μέχρις οὗ μετά Πατρός ὁ Υἱός διά τοῦ Ἁγίου εἰσέλθῃ καί ἐγκατοικήσῃ Πνεύματος ἐν ἡμῖν· καί τηνικαῦτα ὅταν ὅλον αὐτόν κτησώμεθα ἔνοικον καί διδάσκαλον, ᾧ τινι ἄν ἐξ ἡμῶν προστάξῃ καί οἵαν ἐμπιστεύσῃ διακονίαν, ταύτην ἐγχειρισθήσεται καί κατά τό ἐκείνῳ δοκοῦν ποιήσει προθύμως· οὐκ ἔξεστι δέ πρό καιροῦ ταύτην ἐπιζητεῖν ἀλλ’ οὐδέ διδομένην ἐξ ἀνθρώπων λαβεῖν καταδέχεσθαι, ἀλλ᾽ἐμμένειν ταῖς ἐντολαῖς τοῦ δεσπότου ἡμῶν καί Θεοῦ καί τό πρόσταγμα αὐτοῦ ἀπεκδέχεσθαι.

ογ'. Μετά τό ἐγχειρισθῆναι διακονίαν ἡμᾶς θείων πραγμάτων καί ἐν αὐτῇ διαπρέψαι, εἰ ἐπιτραπῶμεν ὑπό τοῦ Πνεύματος πρός ἑτέραν μεταβῆναι διακονίαν ἤ ἐργασίαν ἤ πρᾶξιν, μή ἀντιτείνωμεν. Ὁ γάρ Θεός οὔτε ἀργούς ἡμᾶς εἶναι ἐν μιᾷ καί τῇ αὐτῇ ἐργασίᾳ ἐν ᾗ ἠρξάμεθα μέχρι τέλους ἐμμένειν βούλεται, ἀλλά προκόπτειν καί ἀεικινήτους εἶναι πρός τήν τῶν κρειττόνων ἐπιτυχίαν, τῷ θείῳ δηλαδή καί μή τῷ οἰκείῳ στοιχοῦντας θελήματι.

οδ'. Ὁ τό ἴδιον θέλημα νεκρόν ἐργασάμενος ἀθέλητος πάντως ἐγένετο· ἀθέλητον δέ τῶν ὄντων καί ζώντων καί κινουμένων οὐδέν, εἰ μή μόνα τις εἴποι τά ἀναίσθητα καί ἀκίνητα· τά γάρ φυτά, εἰ καί κινεῖται καί αὔξει ἀλλ’ οὐ λέγομεν φυσικῷ θελήματι τήν κίνησιν ποιεῖσθαι καί τήν αὔξησιν, ἄψυχα γάρ· πᾶν δέ ἔμψυχον καί φυσικόν ἔχει θέλημα. Ὁ οὖν ἀσκήσει καί σπουδῇ τό οἰκεῖον ἀπονεκρώσας θέλημα καί ἀθέλητος γεγονώς πάντως τῆς οἰκείας ἐξέστη φύσεως καί ἐν τῷ θέλειν μηδέν οὐδέ καλόν τι ἤ κακόν δύναται ἐνεργεῖν.

οε'. Ὁ τό ἴδιον θέλημα ἀπονεκρῶσαι σπουδάζων τό τοῦ Θεοῦ ὀφείλει ποιεῖν θέλημα καί ἀντί τοῦ οἰκείου θελήματος τό τοῦ Θεοῦ ἀντεισάγειν ἐν ἑαυτῷ καί ἐμφυτεύειν καί ἐγκεντρίζειν τοῦτο ἐν τῇ καρδίᾳ αὐτοῦ καί πρός τούτοις σκοπεῖν ἀκριβῶς εἰ τά φυτευόμενα καί ἐγκεντριζόμενα, τά μέν εἰς βάθος που ῥιζωθέντα φύει, τά δέ καί συνουλωθέντα καί ἑνωθέντα καί ἕν δένδρον ἐγένετο, εἰ ηὐξήθησαν καί ἐξήνθησαν καί καρπόν ὡραῖον καί γλυκύν πεποιήκασιν, ὥστε ἀγνοηθῆναι παρ’ αὐτοῦ καί τήν προϋποδεξαμένην τόν σπόρον γῆν καί τήν ῥίζαν ἐφ’ ἥν ἐνεκεντρίσθη τό ἀκατανόητον καί ἄφραστον ἐκεῖνο καί ζωηφόρον φυτόν.

οστ'. Ὁ ἐκκόπτων τό ἴδιον θέλημα διά τόν τοῦ Θεοῦ φόβον, ἀγνώστως οὕτως ὡς οὐκ οἶδεν, ὁ Θεός χαρίζεται αὐτῷ τό ἑαυτοῦ θέλημα καί ἀνεξάλειπτον αὐτῷ διατηρεῖ ἐν τῇ καρδίᾳ αὐτοῦ καί διανοίγει τούς ὀφθαλμούς τῆς διανοίας αὐτοῦ τοῦ ἐπιγινώσκειν αὐτό

καί ἰσχύν δίδωσι τοῦ ἐκπληροῦν αὐτό. Ταῦτα δέ ἡ χάρις τοῦ Ἁγίου Πνεύματος ἐνεργεῖ καί χωρίς αὐτῆς γίνεται οὐδέν.

οζ'. Ὅταν πάσῃ ἰσχύϊ, προθυμίᾳ καί προαιρέσει μεθ' ὁρμῆς ἀκατασχέτου τά ὑπ' αὐτοῦ τοῦ Θεοῦ μυστικῶς ἡμῖν καί ἀγνώστως διδασκόμενά τε καί ἐντελλόμενα ἐκπληρώσωμεν μηδέν ὅλως ἐλλείψαντες, τότε ἡμῖν, ὡς πιστοῖς καί ὑπηκόοις, ὡς ἀληθινοῖς μαθηταῖς καί φίλοις, ἀποκαλύπτεται φανερῶς καθώς πάλαι τοῖς ἁγίοις αὐτοῦ μαθηταῖς καί ἀποστόλοις ἀπεκαλύφθη καί πᾶσι τοῖς δι' αὐτῶν πιστεύσασιν εἰς τό ὄνομα αὐτοῦ· καί τότε γινόμεθα υἱοί Θεοῦ κατά χάριν, ὡς φησίν ὁ Παῦλος· «*Ὅσοι Πνεύματι Θεοῦ ἄγονται οὗτοί εἰσιν υἱοί Θεοῦ· εἰ δέ υἱοί, καί κληρονόμοι, κληρονόμοι μέν Θεοῦ, συγκληρονόμοι δέ Χριστοῦ*».

οη'. Τῶν καταξιωθέντων γενέσθαι μετά Θεοῦ ἐν τῇ συναφείᾳ τοῦ Πνεύματος καί τῶν ἀπορρήτων αὐτοῦ ἀγαθῶν ἀπογεύσασθαι οὐδείς δόξης τῆς ἀτίμου καί καταπτύστου ἐρᾷ προσφερομένης αὐτῷ παρά ἀνθρώπων, ἀλλ' οὐδέ χρυσίου ἤ ἱματισμοῦ ἤ λίθων τῶν νομιζομένων παρά τοῖς ἀνοήτοις τιμίων· οὐ πλούτῳ ῥέοντι προστίθεται τῇ καρδίᾳ, οὐ παρά βασιλέων καί ἀρχόντων γνωρίζεσθαι βούλεται, τῶν οὐκ ἀρχόντων ἀλλ' ὑπό πολλῶν κυριευομένων· οὐ μέγα τι τούς τοιούτους ἡγεῖται καί ὑψηλόν, οὐδέ προξένους οἴεται εἶναι αὐτούς πλείονος δόξης τοῖς πλησιάζουσιν αὐτοῖς, οὐδέ τινος οὐδαμῶς ἑτέρου τῶν ἐπιφανῶν καί λαμπρῶν ἀνθρώποις ἐπιθυμήσει, ὡς οὐδέ πλούτου εἰς πενίαν τις κατελθεῖν ἤ ἀπό ἀρχῆς καί ἐξουσίας μεγίστης καί περιβλέπτους ἀξιώματος εἰς ἀδοξίαν ἐσχάτην καί ἀτιμίαν καταπεσεῖν.

οθ'. Εἰ πάντων σου τῶν ἁμαρτημάτων τήν ἄφεσιν ἔλαβες, εἴτε δι' ἐξαγορεύσεως, εἴτε διά τῆς ἀμφιάσεως τοῦ ἁγίου καί ἀγγελικοῦ σχήματος, πόσης σοι τοῦτο ἔσται ἀγάπης καί εὐχαριστίας καί ταπεινώσεως αἴτιον, ὅτι μυρίων ὑπάρχων τιμωριῶν ἄξιος, οὐ μόνον τούτων ἀπηλλάγης ἀλλά καί υἱοθεσίας καί δόξης καί οὐρανῶν ἠξίωσαι βασιλείας. Ταῦτα στρέφων ἐν διανοίᾳ καί διά παντός ἐνθυμούμενος, ἕτοιμος ἔσο καί προπαρασκευάζου μή ἀτιμάσαι τόν σέ τιμήσαντα καί τά μυρίᾳ συγχωρήσαντα πταίσματα, ἀλλ' ἐν πᾶσιν ἔργοις σου δοξάσαι καί τιμῆσαι αὐτόν, ἵνα καί αὐτός σε μειζόνως ἀντιδοξάσῃ, ὅν τιτίμηκεν ὑπέρ ἅπασαν τήν ὁρωμένην κτίσιν, καί φίλον αὐτοῦ γνήσιον ὀνομάσει σε.

π'. Ὅσῳ ψυχή τιμιωτέρα τυγχάνει τοῦ σώματος, τοσοῦτον ὁ λογικός ἄνθρωπος κρείσσων τοῦ παντός κόσμου ἐστί. Μή γάρ, τά μεγέθη τῶν ἐν αὐτῷ κτισμάτων κατανοῶν, διά τοῦτο τιμιώτερά σου ταῦτα εἶναι νόμιζε, ἄνθρωπε, ἀλλά πρός τήν δοθεῖσάν σοι χάριν ἀποβλέψας καί τῆς νοερᾶς καί λογικῆς σου ψυχῆς τήν ἀξίαν καταμαθών, ἀνύμνει τόν ὑπέρ τά ὁρώμενα ἅπαντα τιμήσαντά σε Θεόν.

πα'. Σκοπήσωμεν πῶς δοξάσομεν τόν Θεόν· δοξάζεται δέ παρ' ἡμῶν οὐκ ἄλλως ἤ ὡς παρά τοῦ Υἱοῦ ἐδοξάσθη. Δι' ὧν γάρ ἐκεῖνος τόν ἑαυτοῦ Πατέρα ἐδόξασεν, ἐδοξάσθη δέ καί ὁ Υἱός παρά τοῦ Πατρός δι' αὐτῶν, κἀκεῖνα καί ἡμεῖς σπουδῇ πράξωμεν, ἵνα διά

τούτων δοξάσωμεν τόν Πατέρα ἡμῶν τόν ἐν τοῖς οὐρανοῖς κληθῆναι καταδεξάμενον, καί δοξασθῶμεν παρ’ αὐτοῦ τῇ δόξῃ τοῦ Ἰησοῦ, ᾗ εἶχε πρό τοῦ τόν κόσμον γενέσθαι παρ’ αὐτοῦ· τάδε εἰσίν ὁ σταυρός, ἤγουν ἡ νέκρωσις τοῦ κόσμου παντός, αἱ θλίψεις, οἱ πειρασμοί καί εἴ τι ἕτερον τῶν παθημάτων Χριστοῦ· ἅ ὑποφέροντες ἐν ὑπομονῇ πολλῇ, μιμούμεθα τοῦ Χριστοῦ τά παθήματα καί δοξάσομεν δι’ αὐτῶν τόν Πατέρα ἡμῶν καί Θεόν, ὡς υἱοί αὐτοῦ χάριτι καί συγκληρονόμοι Χριστοῦ.

πβ'. Ψυχή ἡ μή τελείως τῆς σχέσεως καί προσπαθείας τῶν ὁρωμένων εὐαισθήτως ἀπαλλαγεῖσα, τά ἐπισυμβαίνοντα αὐτῇ λυπηρά καί τάς ἐπερχομένας αὐτῇ ἐπηρείας παρά τε δαιμόνων καί ἀνθρώπων ἀλύπως φέρειν οὐ δύναται, ἀλλ’ οἷον συνδεδεμένη τῇ προσπαθείᾳ τῶν ἀνθρωπίνων πραγμάτων, ζημίαις δάκνεται χρημάτων καί ἀποστερήσεσιν ἄχθεται πραγμάτων καί πληγαῖς ἐπιφερομέναις αὐτῆς σώματι σφοδρῶς ὀδυνᾶται.

πγ'. Εἴ τις σχέσεως καί ἐπιθυμίαις τῶν αἰσθητῶν ἀπέρρηξε τήν ψυχήν αὐτοῦ καί Θεῷ ταύτην συνέδησεν, οὐ μόνον τῶν περί αὐτόν χρημάτων καί κτημάτων καταφρονήσει καί ὡς ἐπί ἀλλοτρίοις καί ξένοις στερούμενος αὐτῶν ἀλύπως διατεθῇ, ἀλλά καί τά ἐπιφερόμενα τῷ σώματι αὐτοῦ ἀνιαρά μετά χαρᾶς καί τῆς προσηκούσης εὐχαριστίας ὑπομενεῖ, βλέπων ἀεί, κατά τόν θεῖον ἀπόστολον, τόν μέν ἔξω φθειρόμενον ἄνθρωπον, τόν δέ ἐντός ἡμέρᾳ καί ἡμέρᾳ ἀνακαινούμενον. Ἄλλως δέ οὐκ ἔνι τάς κατά Θεόν θλίψεις μετά χαρᾶς ὑπενεγκεῖν, γνώσεως γάρ τελείας ἐν τούτοις χρεία καί σοφίας πνευματικῆς· ὁ δέ τούτων ἐστερημένος ἐν σκότει ἀγνωσίας καί ἀνελπιστίας ἀεί πορεύεται, μή δυνάμενος τό φῶς τῆς ὑπομονῆς καί τῆς παρακλήσεως ὅλως θεάσασθαι.

πδ'. Πᾶς δοκησίφρων ἐκ μαθηματικῆς ὤν ἐπιστήμης μυστήρια Θεοῦ παρακύψαι καί ἰδεῖν οὐκ ἀξιωθήσεταί ποτε, ἕως ἄν ταπεινωθῆναι πρῶτον θελήσῃ καί μωρός γένηται, σύν τῇ οἰήσει καί ἥν κέκτηται γνῶσιν ἀποβαλών. Ὁ γάρ τοῦτο ποιῶν καί σοφοῖς τά θεῖα ἐν ἀδιστάκτῳ πίστει ἀκολουθῶν, ὑπό τούτων χειραγωγούμενος, συνεισέρχεται μετ’ αὐτῶν ἐν πόλει ζῶντος Θεοῦ, καί ὑπό τοῦ θείου Πνεύματος ὁδηγούμενος καί φωτιζόμενος, ὁρᾷ καί διδάσκεται ἅπερ οὐδείς τῶν ἄλλων ἀνθρώπων εἶδεν ἤ ἰδεῖν ἤ μαθεῖν ποτε δύναται, καί τηνικαῦτα γίνεται Θεοῦ διδακτός.

πε'. Τούς διδακτούς Θεοῦ οἱ μαθηταί τῶν σοφῶν τοῦ αἰῶνος τούτου ἀνθρώπων ἡγοῦνται μωρούς, αὐτοί ὄντες ἐν ἀληθείᾳ μωροί, ἐκ μεμωραμένης σοφίας στομωθέντες τῆς θύραθεν, ἥν ἐμώρανεν ὁ Θεός, κατά τόν θεῖον ἀπόστολον, καί ἥν ἡ θεολόγος φωνή ἐπίγειον οἶδε, ψυχικήν, δαιμονιώδη, μεστήν ἐριθείας καί φθόνου. Ἔξω γάρ ὄντες οἱ τοιοῦτοι τοῦ θείου φωτός, τά ἐν αὐτῷ ἰδεῖν μή δυνάμενοι θαύματα, τούς αὐλιζομένους ἐν τῷ φωτί καί τά ἐν αὐτῷ βλέποντας καί διδάσκοντας ὡς πεπλανημένους λογίζονται, πεπλανημένοι ὄντες αὐτοί καί ἄγευστοι τῶν ἀπορρήτων ἀγαθῶν τοῦ Θεοῦ.

πστ'. Διά τοῦτο μόνον παραβάλλειν καί βλέπειν τοῖς ἐν τῷ κόσμῳ θέλουσιν οἱ χάριτος πεπληρωμένοι καί τετελειωμένοι τῇ γνώσει καί σοφίᾳ τῇ ἄνωθεν, ἵνα μισθόν τινα

προξενήσωσιν αὐτοῖς δι’ ὑπομνήσεως τῶν ἐντολῶν τοῦ Θεοῦ καί δι’ ἀγαθοεργίας, εἴ ἄρα γε ἀκούσωσιν, εἰ ἄρα γε συνήσουσιν καί πεισθήσονται, ἐπειδή οἱ μή τῷ τοῦ Θεοῦ ἀγόμενοι Πνεύματι ἐν τῇ σκοτίᾳ περιπατοῦσι καί οὐκ οἴδασιν οὔτε ποῦ ὑπάγουσιν, οὔτε ἐν τίσι προσκόπτουσι. Τάχα γάρ ποτε ἀνασφήλαντες ἐκ τῆς περιεχούσης αὐτούς οἰήσεως, δέξονται τήν τοῦ Ἁγίου Πνεύματος ἀληθῆ διδασκαλίαν καί τό τοῦ Θεοῦ θέλημα ἀνοθεύτως καί ἀκαπηλεύτως ἀκούσαντες μετανοήσουσι καί ποιήσαντες αὐτό μεταλάβωσί τινος χαρίσματος πνευματικοῦ. Εἰ δέ μή τοιαύτης ὠφελείας γενέσθαι δυνηθῶσιν αὐτοῖς πρόξενοι, θρηνοῦντες τήν πώρωσιν τῆς καρδίας αὐτῶν ὑποστρέφουσιν εἰς τάς καλιάς αὐτῶν, νυκτός καί ἡμέρας εὐχόμενοι ὑπέρ τῆς σωτηρίας αὐτῶν· ὑπέρ γάρ ἄλλου τινός οὐδέποτε λυπηθήσονται οἱ τῷ Θεῷ ἀδιαλείπτως συνόντες καί ὑπερεμπιπλάμενοι παντός ἀγαθοῦ.

πζ'. Ὅτι καί νῦν εἰσιν ἀπαθεῖς καί ἅγιοι καί πεπληρωμένοι τοῦ θείου φωτός, ἀναστρεφόμενοι ἐν μέσῳ ἡμῶν, τοσοῦτον τά μέλη νεκρώσαντες ἑαυτῶν τά ἐπί τῆς γῆς ἐκ πάσης ἀκαθαρσίας καί ἐμπαθεστάτης ἐπιθυμίας, ὡς μή μόνον ἀφ’ ἑαυτῶν ποτε μή λογίζεσθαι ἤ ποιῆσαι ὁρμᾶν τό κακόν ἀλλά μηδέ ὑφ’ ἑτέρου πρός τοῦτο ἑλκόμενοι, ἀλλοίωσίν τινα τῆς παρούσης αὐτοῖς ἀπαθείας ὑφίστασθαι ᾔδεσαν ἄν, εἴπερ εἰδότες ἦσαν τά καθ’ ἑκάστην ἀναγινωσκόμενα θεῖα λόγια καί ψαλλόμενα παρ’ αὐτῶν οἱ τοῖς τοιούτοις τήν μωρίαν ἐπιφημίζοντες καί διαπιστοῦντες περί θείων πραγμάτων διδάσκουσιν ἐν σοφίᾳ τοῦ Πνεύματος. Εἰ γάρ ἐν γνώσει τελείᾳ ἐγένοντο τῆς θείας Γραφῆς, ἐπίστευον ἄν τοῖς ὑπό Θεοῦ λαληθεῖσι καί δωρησθεῖσιν ἡμῖν ἀγαθοῖς· ἐπεί δέ ἀμέτοχοι τῶν τοιούτων ἐξ οἰήσεως καί ἀμελείας εἰσί καλῶν, καί τούς μετεσχηκότας καί περί τοιούτων διδάσκοντας ἀπιστοῦντες ἐνδιαβάλλουσιν.

πη'. Τίς ὁ σκοπός τῆς ἐνσάρκου οἰκονομίας τοῦ Θεοῦ Λόγου, ὁ ἐν πάσῃ τῇ θείᾳ Γραφῇ ἀνακηρυττόμενος καί παρ’ ἡμῶν μέν ἀναγινωσκόμενος, μή ἐπιγινωσκόμενος δέ, ἤ πάντως ἵνα μετεσχηκώς τῶν ἡμετέρων κοινωνούς τῶν ἐκείνου ποιήσῃ ἡμᾶς; Ὁ γάρ Υἱός τοῦ Θεοῦ διά τοῦτο υἱός τοῦ ἀνθρώπου ἐγένετο, ἵνα υἱούς Θεοῦ ποιήσῃ τούς ἀνθρώπους ἡμᾶς, εἰς ὅπερ ἐστί κατά φύσιν ἐκεῖνος ἀνάγων κατά χάριν τό γένος ἡμῶν, γεννῶν ἡμᾶς ἄνωθεν ἐν Πνεύματι Ἁγίῳ καί εὐθύς εἰσάγων ἡμᾶς εἰς τήν βασιλείαν τῶν οὐρανῶν, μᾶλλον δέ ἐντός ἡμῶν ταύτην ἔχειν ἡμῖν χαριζόμενος ὡς μή ἐν ἐλπίσιν εἶναι τοῦ εἰσελθεῖν ἡμᾶς ἐν αὐτῇ ἀλλ’ ἐν κατασχέσει ταύτης ὄντας βοᾶν· «*Ἡμῶν δέ ἡ ζωή κέκρυπται σύν τῷ Χριστῷ ἐν τῷ Θεῷ*».

πθ'. Τό αὐτεξούσιον καί αὐτοπροαίρετον ἡμῶν οὐκ ἀφαιρεῖται τό βάπτισμα, ἀλλ’ ἐλευθερίαν ἡμῖν χαρίζεται τοῦ μηκέτι καί ἄκοντας ἡμᾶς τυραννεῖσθαι ὑπό τοῦ διαβόλου. Ἐφ’ ἡμῖν δέ ἐστι μετά τό βάπτισμα ἤ ταῖς ἐντολαῖς αὐτοθελῶς ἐμμένειν τοῦ εἰς ὅν ἐβαπτίσθημεν δεσπότου Χριστοῦ καί τῇ ὁδῷ πορεύεσθαι τῶν προσταγμάτων αὐτοῦ ἤ ἐκκλίνειν τῆς εὐθείας ταύτης ὁδοῦ καί πρός τόν ἀντίπαλον καί ἐχθρόν ἡμῶν διάβολον διά τῶν πονηρῶν πράξεων παλινδρομεῖν.

Οἱ μετά τό βάπτισμα τοῖς τοῦ πονηροῦ θελήμασιν εἴκοντες καί τά ἐκείνῳ βεβουλευμένα διαπραττόμενοι ἑαυτούς τῆς ἁγίας τοῦ βαπτίσματος μήτρας ἀπαλλοτριοῦσι, κατά τό ὑπό τοῦ Δαβίδ εἰρημένον. Οὐδέ γάρ ἀλλοιοῦται ἡμῶν ἕκαστος ἤ τῆς καθό ἔκτισται μεθίσταται φύσεως, ἀλλά ἀγαθός κτισθείς ὑπό τοῦ Θεοῦ, κακόν γάρ ὁ Θεός οὐκ ἐποίησεν, ἄτρεπτος τῇ φύσει καθό ἔκτισται καί τῇ οὐσίᾳ ὤν, οἷα ἐξ ἑκουσίου γνώμης προαιρεῖται καί θέλει, ταῦτα καί πράττει εἴτε ἀγαθά εἴτε φαῦλα· ὥσπερ γάρ τήν μάχαιραν κἄν ἐπί κακῷ τις αὐτήν κἄν ἐπί καλῷ χρήσηται, τῆς ἰδίας ἐκείνη οὐ μεθίσταται φύσεως ἀλλά μένει σίδηρος ὤν, οὕτω καί ὁ ἄνθρωπος ἐνεργεῖ μέν καί πράττει, ὡς εἴρηται, ἅπερ βούλεται, τῆς δέ οἰκείας οὐκ ἐξίσταται φύσεως.

Οὐ μετά τό ἕνα ἐλεῆσαι σῴζει ἀλλά τό ἑνός καταφρονῆσαι τῷ πυρί παραπέμπει. Τό γάρ «*ἐπείνασα καί ἐδίψησα*» οὐ πρός τό ἅπαξ εἴρηται πάντως, οὐδέ τό ἐν μιᾷ ἡμέρᾳ ἀλλά τό διά βίου παντός δηλοῖ· οὕτω καί τό τραφῆναι Χριστόν, ποτισθῆναί τε καί ἐνδυθῆναι καί εἴ τι ἕτερον τούτοις συνέπεται, οὐ πρός ἅπαξ ἀλλά διά παντός καί ἐν πᾶσιν ὑπό τῶν αὐτοῦ δούλων ταῦτα δέχεσθαι ὁ Κύριος καί Θεός ἡμῶν ὡμολόγησεν.

Τόν ἀμερίστως μεριζόμενον καί αὐτόν ὅλον ὄντα ἑνί ἑκάστῳ τῶν πενομένων, πῶς τινες εἰς ἕνα πένητα περικλείουσιν; Ὑπόθου οὖν ἑκατόν εἶναι πένητας ὡς ἕνα Χριστόν, οὐδέ γάρ μεμέρισται ὅλως ὁ Χριστός. Ὁ γοῦν τοῖς ἐνενήκοντα ἐννέα δούς ἀνά ὀβολόν, τόν δέ ἕνα ὑβρίσας ἤ τύψας ἤ ἐκπέμψας κενόν, τίνι ἆρα ταῦτα πεποιήκεν ἤ πάντως τῷ εἰπόντι καί ἀεί λέγοντι καί εἰπεῖν μέλλοντι, «*Ἐφ' ὅσον ἐποιήσατε ἑνί τούτων τῶν ἐλαχίστων, ἐμοί ἐποιήσατε*»;

Ὁ τοῖς ἑκατόν δούς ἐλεημοσύνην, δυνάμενος δέ καί ἑτέροις δοῦναι, ποτίσαι τε καί θρέψαι, πολλούς παρακαλοῦντας αὐτόν καί βοῶντας ἀποπεμψάμενος, ὡς μή θρέψας Χριστόν κριθήσεται πρός αὐτοῦ, ἐπειδή καί ἐν ἐκείνοις πᾶσιν αὐτός ἐστιν ὁ καί ἐφ' ἑνί ἑκάστῳ τῶν ἐλαχίστων τρεφόμενος πρός ἡμῶν.

Ὁ πᾶσι μέν πάντα τά πρός χρείαν σήμερον παρασχών, αὔριον δέ δυνάμενος τοῦτο ποιῆσαι, ἀμελήσει τινῶν ἀδελφῶν καί λιμῷ καί δίψῃ καί ψύχει ἐάσει διαφθαρῆναι αὐτούς, αὐτόν παρεῖδεν ἀποθανεῖν καί αὐτοῦ κατεφρόνησε τοῦ εἰπόντος· «*Ἐφ' ὅσον ἐποιήσατε ἑνί τούτων τῶν ἐλαχίστων ἐμοί ἐποιήσατε*».

Ἐκ τούτων ἔν ἔστι γνῶναι, ὅπως ἰδιοποιεῖται ὁ Κύριος πάντα τά τῶν πενήτων καί ἀδελφῶν ἡμῶν, πρός μέν τούς δικαίους λέγων· «*Ἐμοί ἐποιήσατε*», πρός δέ τούς ἐξ ἀριστερῶν· «*Ἐμοί οὐκ ἐποιήσατε*». Οὐ γάρ τούς ἐλεηθέντας μόνον παρ' ἡμῶν ὁρᾷ οὐδέ τούς ἀδικηθέντας ἤ πλεονεκτηθέντας καί μυρία ἕτερα παθόντας δεινά, ἀλλά καί τούς παροφθέντας, ὡς ἀρκοῦν τοῦτο εἰς καταδίκην ἡμῶν· οὐ γάρ ἐκείνους ἀλλ' αὐτόν παρορῶμεν τόν τά ἐκείνων ἅπαντα ἰδιοποιούμενον Ἰησοῦν τόν Χριστόν.

Ἐν τούτῳ ἑκάστου πένητος πρόσωπον ἀναλαβεῖν κατεδέξατο καί παντί πένητι ἑαυτόν ἐξωμοίωσεν ἵνα μηδείς τῶν εἰς αὐτόν πιστευόντων τοῦ ἀδελφοῦ αὐτοῦ κατεπαίρηται,

ἀλλ’ ἕκαστος, βλέπων τόν ἀδελφόν αὐτοῦ καί τόν πλησίον ὡς τόν Θεόν αὐτοῦ, ἐλάχιστον ἑαυτόν οὐχί τοῦ ἀδελφοῦ ἀλλά τοῦ πεποιηκότος αὐτόν λογίζοιτο καί ὡς αὐτόν ὑποδέχοιτο καί τιμᾷ, ὡς ὁ Χριστός καί Θεός ἐκένωσε τό ἴδιον αἷμα διά τήν σωτηρίαν ἡμῶν.

Ὁ τόν πλησίον ἔχειν ὡς ἑαυτόν κελευσθείς οὐ μίαν πάντως ἡμέραν ἀλλά διά βίου παντός τοῦτον ἔχειν οὕτως ὀφείλει· καί ὁ παντί τῷ αἰτοῦντι διδόναι προσταττόμενος, τοῦτο ποιεῖν προστάσσεται ἐν πάσῃ τῇ ζωῇ αὐτοῦ, καί ὁ θέλων ἵνα ποιῶσιν εἰς αὐτόν ἄλλοι ἅ βούλεται ἀγαθά, ταῦτα καί αὐτός ποιεῖν ἄλλοις ἀπαιτηθήσεται.

Ὥσπερ οὖν ὁ ἔχων τόν πλησίον ὡς ἑαυτόν οὐδέν πλέον ἔχειν τοῦ πλησίον ἀνέχεται, ἐάν δέ ἔχῃ καί μή μεταδίδωσιν ἀφθόνως, ἕως ἄν καί αὐτός πτωχός γένηται καί τοῖς πλησίον αὐτοῦ ἐξομοιωθῇ, τῆς ἐντολῆς τοῦ Δεσπότου ἐκπληρωτής οὐκ εὑρίσκεται, οὐδέ ὁ τοῖς αἰτοῦσι πᾶσι διδόναι θέλων, ἐάν μέχρις ὀβολοῦ ἤ κλάσματος ἄρτου κεκτημένος, ἀποστρέψῃ τινά τῶν αἰτούντων αὐτόν, οὐδέ ὁ μή ποιῶν τῷ πλησίον ὅσα θέλει ἵνα ἕτερος ποιῇ πρός αὐτόν, οὕτω καί ὁ πάντα μέν πένητα καί ἐλάχιστον θρέψας, ποτίσας, ἐνδύσας καί τά ἄλλα πάντα εἰς αὐτούς ἐργασάμενος, ἑνός δέ μόνου καταφρονήσας καί αὐτόν παριδών, ὡς Χριστόν τόν Θεόν πεινῶντα καίδιψῶντα παριδών καί αὐτός λογισθήσεται.

Φορτικά ταῦτα τοῖς πᾶσιν ἴσως φανήσεται, διό καί δόξουσιν εὔλογα λέγειν ἐν ἑαυτοῖς· «*Τίς ἆρα ταῦτα πάντα ποιῆσαι δύναται, ὥστε πάντας θεραπεῦσαι καί θρέψαι καί μηδόλως τούτων τινά παριδεῖν;*». Ἀλλ’ ἀκουέτωσαν Παύλου διαρρήδην βοῶντος· «*Ἡ γάρ ἀγάπη τοῦ Χριστοῦ συνέχει ἡμᾶς, κρίναντας τοῦτο, ὅτι εἰ εἷς ὑπέρ πάντων ἀπέθανεν, ἄρα οἱ πάντες ἀπέθανον*».

ρ'. Καθάπερ αἱ περιεκτικαί ἐντολαί συμπεριέχουσι πάσας ἐν ἑαυταῖς τάς μερικάς ἐντολάς, οὕτω καί αἱ περιεκτικαί ἀρεταί τάς μερικάς ἐν ἑαυταῖς συμπεριλαμβάνουσιν ἀρετάς. Ὁ γάρ πωλῶν τά ὑπάρχοντα αὐτοῦ ἤ καί διασκορπίζων αὐτά τοῖς πτωχοῖς καί πένης ἐφ’ ἅπαξ γενόμενος πάντα ὑφ’ ἕν τά τῶν μερικῶν ἐντολῶν ἐξεπλήρωσεν· οὐκέτι γάρ χρείαν ἔχει τῷ αἰτοῦντι διδόναι ἤ μή ἀποστραφῆναι τόν θέλοντα δανείσασθαι ἀπ’ αὐτοῦ. Οὕτω καί ὁ ἀδιαλείπτως εὐχόμενος ἐν τούτῳ πάντα συνέκλεισε καί οὐκέτι ἑπτάκις αἰνεῖν τῆς ἡμέρας τόν Κύριον ἤ ἑσπέρας καί πρωΐ καί μεσημβρίας ὑπ’ ἀνάγκην ἐστίν, ὡς ἤδη πάντα πεπληρωκώς ὅσα ἄν κανονικῶς καί ἐν ἀφωρισμένοις καιροῖς καί ὥραις εὐχόμεθά τε καί ψάλλομεν. Οὕτω καί ὁ τόν διδόντα ἀνθρώποις γνῶσιν Θεόν γνωστῶς ἐν ἑαυτῷ κτησάμενος, πᾶσαν ἁγίαν διῆλθε Γραφήν καί πᾶσαν τήν ἐκ τῆς ἀναγνώσεως ὠφέλειαν ἐκαρπώσατο καί οὐκέτι βιβλίων ἀναγνώσεως δεηθήσεται. Πῶς γάρ, ὁ τόν ἐμπνεύσαντα τοῖς τάς θείας γεγραφόσι Γραφάς συνόμιλον κεκτημένος καί παρ’ ἐκείνου μυούμενος τά τῶν ἀποκεκρυμμένων μυστηρίων ἀπόρρητα, ἀλλά βίβλος οὗτος τοῖς ἄλλοις θεόπνευστος ἔσται, καινά τε καί παλαιά φέρουσα μυστήρια γεγραμμένα δακτύλῳ Θεοῦ ἐν αὐτῷ, ὡς πάντα τελέσας καί καταπαύσας ἐν Θεῷ τῇ ἀρχικῇ τελειότητι ἀπό πάντων τῶν ἔργων αὐτοῦ;

# ΔΙΑΛΟΓΟΣ ΣΧΟΛΑΣΤΙΚΟΥ ΠΡΟΣ ΣΥΜΕΩΝ ΤΟΝ ΝΕΟΝ ΘΕΟΛΟΓΟΝ.

1. Ἐρώτ. Τί ἦν ἐν τῷ κόσμῳ πρό τοῦ τόν κόσμον γενέσθαι;

Ἀπάντ. Θεός, ὁ τόν κόσμον ποιήσας.

2. Ἐρώτ. Μήπω ὄντος τοῦ κόσμου, πῶς ἦν ἐν τῷ κόσμῳ;

Ἀπάντ. Ὅτι, καί πρό τοῦ γενέσθαι, ἐν τῷ Θεῷ πάντως ὡς γεγονώς ἦν ὁ κόσμος καθό καί οἱ μήπω παραχθέντες ἄνθρωποι ἐν τῷ κόσμῳ, ὡς ἤδη γεγεννημένοι εἰσί παρά τῷ Θεῷ. Συνέστηκε γάρ ἐν αὐτῷ τά πάντα, καί τά μήπω κτισθέντα, εἰ καί μή καταλαμβάνονται παρ' ἡμῶν.

3. Ἐρώτ. Εἰ οὖν, ὡς λέγεις, ἐν τῷ κόσμῳ ἦν ὁ Θεός πρό τοῦ τόν κόσμον γενέσθαι παρ' αὐτοῦ, τί γέγονεν ὁ Θεός ὅτε τόν κόσμον τοῦτον παρήγαγεν; Ἆρα διέστη τοῦ κόσμου; Ἤ καί αὖθις ἐν τῷ κόσμῳ ἐστίν;

Ἀπαντ. Τόπῳ μέν οὐ διέστη τῶν αὐτοῦ ποιημάτων ὁ ταῦτα ποιήσας Θεός· ποῦ γάρ ὁ πανταχοῦ παρών καί τά πάντα τῆς ἰδίας πληρῶν θεότητος μεταστήσεται; Τῇ δέ φύσει καί οὐσίᾳ καί τῇ ὑποστάσει καί τοῖς λοιποῖς ἰδιώμασι πάσης κτιστῆς ὑπέρκειται φύσεως· καί ἀμετρήτως καί ἀκαταλήπτως ταύτης διέστηκεν.

4. Ἐρώτ. Πῶς, τόπῳ μή διεστηκώς ἀλλά πανταχοῦ, ὡς λέγεις, παρών, ἀποκεχωρισμένος τῶν πάντων ἐστίν;

Ἀπάντ. Δυσνόητον μέν τό ἐρώτημα, οὐ μέντοι γε δύσφραστον· Θεῷ δέ ἀδυνατεῖ οὐδέν· ὅθεν δυνατός ἐστι καί περί τούτων πληροφορῆσαί σε. Ἀλλ' ἄκουε συνετῶς· καθάπερ ὁ νοῦς ἡμῶν τῶν ἀνθρώπων οὔτε συνέχεται ὑπό τοίχων οὔτε τόπῳ περιορίζεται, ἀλλά τό μέν σῶμα οἰκίσκῳ ἐγκλείεται καί δεσμοῖς περισφίγγεται, αὐτός δ' ἐκτός ἐστι τούτων καί ἐλευθερίως πανταχοῦ περίεισιν, μήτε τοῦ σώματος χωριζόμενος μήτε τῆς οἰκίας μακράν γινόμενος, ἀλλ' οἱονεί καί σύνεστι τούτοις κεχωρισμένος καί κεχώρισται ἡνωμένος αὐτοῖς, οὕτω καί ὁ Θεός πανταχοῦ καί ἐν πᾶσίν ἐστιν καί ἔξω πάντων· καί οὐδαμοῦ τῇ φύσει καί τῇ οὐσίᾳ καί τῇ δόξῃ ἐστίν· ἀπερίγραπτος γάρ.

5. Ἐρώτ. Ὁ οὖν ἀπερίγραπτος πῶς τά πάντα πληροῖ; Ὁ δέ τά πάντα πληρῶν, πῶς ἀπερίγραπτος καί οὐδαμοῦ ἐστιν;

Ἀπάντ. Ἔστι μέν οὖν ὁμολογουμένως πανταχοῦ ὁ Θεός καί τά πάντα πληροῖ, οὐ συγκεκραμένος δέ ὅλως τοῖς ὁρωμένοις ἀλλά κεχωρισμένος τῷ τρόπῳ ᾧπερ εἰρήκαμεν· οὐδαμοῦ δέ ἐστι τό καθ' ἡμᾶς· οὐδείς γάρ οἶδεν, οὐδέ οἱ ἄγγελοι, ποῦ ἐστιν ὁ Θεός· εἰ

γάρ ἀκούεις παρεστάναι, ἀλλά τῷ θρόνῳ τῆς δόξης· καί πρός τήν ἐκπεμπομένην λαμπρότητα ἀντιβλέπειν μή ἐξισχύοντες, φόβῳ τά ἑαυτῶν κατακαλύπτουσι πρόσωπα, καί ἐκθαμβούμενοι τόν θεῖον ὕμνον ἀσιγήτως ἀεί ἀναπέμπουσι· τῷ γάρ ἀστέκτῳ τῆς δόξης καταπληττόμενοι, οὐδέ ἐν περινοίᾳ γενέσθαι ἤ ἐννοῆσαι δύνανται, ποῦ ὁ δεσπότης ἤ ὁποῖος αὐτός ἐκεῖνός ἐστιν· εἰ γάρ πρός τήν ἀπαστράπτουσαν αἴγλην ἀντοφθαλμεῖν οὐκ ἰσχύσουσι, πῶς ἄρα πορρωτέρω περιεργάζεσθαι δύναιντ᾽ ἄν; Ὅτι μέν οὖν ἔστιν ὁ Θεός καί πανταχοῦ ἐστι καί τά πάντα πληροῖ, καί οἱ ἄγγελοι καί οἱ καθάραντες ἑαυτούς ἅγιοι ἐλλαμφθέντες καί φωτισθέντες ὑπό τοῦ Ἁγίου Πνεύματος ἴσασι· τό δέ ποῦ ἤ πῶς ἤ ὁποῖός ἐστιν, οὐδείς τῶν ἁπάντων γινώσκει, εἰ μή ὁ Πατήρ τόν Υἱόν καί ὁ Υἱός τόν Πατέρα καί τό Πνεῦμα τό Ἅγιον τόν Πατέρα καί τόν Υἱόν, ὡς συναΐδιον τούτοις καί ὁμοούσιον· ταῦτα γάρ τά τρία, ὡς ἕν ὄντα, καί γινώσκουσιν ἑαυτά καί γινώσκονται ὑπ᾽ ἀλλήλων. Ὡς αὐτός εἶπεν ὁ φύσει Θεός καί Υἱός τοῦ Θεοῦ, «*οὐδείς οἶδε τά τοῦ ἀνθρώπου, εἰ μή τό πνεῦμα τοῦ ἀνθρώπου τό οἰκοῦν ἐν αὐτῷ· οὕτω καί τά τοῦ Θεοῦ οὐδείς οἶδεν, εἰ μή τό Πνεῦμα τοῦ Θεοῦ*»· καί πάλιν· «*οὐδείς γινώσκει τόν Πατέρα, εἰ μή ὁ Υἱός, καί οὐδείς γινώσκει τόν Υἱόν, εἰ μή ὁ Πατήρ καί ᾧ ἄν βούληται ὁ Υἱός ἀποκαλύψαι*».

6. Ἐρώτ. Καί πῶς φησιν ὁ Χριστός, «*μή καταφρονήσητε ἑνός τῶν μικρῶν τούτων· οἱ γάρ ἄγγελοι αὐτῶν διά παντός βλέπουσι τό πρόσωπον τοῦ Πατρός μου τοῦ ἐν οὐρανοῖς*»; Καί πάλιν, «*μακάριοι οἱ καθαροί τῇ καρδίᾳ, ὅτι αὐτοί τόν Θεόν ὄψονται*», σύ δέ λέγεις ὅτι καί οἱ ἄγγελοι ἀγνοοῦσιν ὁποῖος καί ποῦ ἐστιν ὁ Θεός;

Ἀπάντ. Ὥσπερ τοῦ ἡλίου ἐν μεσημβρίᾳ λάμποντος τό ἐκπεμπόμενον μέν ἐξ αὐτοῦ φῶς τρανῶς καθορῶμεν, αὐτόν δέ ἐκεῖνον κἄν ποσῶς κατιδεῖν καί καταμαθεῖν οὐκ ἰσχύομεν, ὅμως δέ βλέπειν αὐτόν ἐπ᾽ ἀληθείας λέγομεν, οὕτω καί οἱ ἄγγελοι καί οἱ ἅγιοι τήν ἀπαστράπτουσαν δόξαν καθορῶντες τοῦ Πνεύματος, ἐν αὐτῇ καί τόν Υἱόν καί τόν Πατέρα ὁρῶσιν· οὐχ οὕτως δέ οἱ ἁμαρτωλοί καί ἀκάθαρτοι· ἐκεῖνοι γάρ τυφλοῖς καί ἀναισθήτοις ἐοίκασιν· ὥσπερ γάρ οἱ τυφλοί τό φῶς τοῦ αἰσθητοῦ ἡλίου λάμπον οὐ βλέπουσιν, οὕτω δή καί αὐτοί τό θεῖον φῶς ἀεί φαῖνον οὐ καθορῶσιν, οὔτε μήν ἐπαισθάνονται τῆς θέρμης αὐτοῦ.

7. Ἐρώτ. Τί οὖν βλέπουσιν οἱ κεκαθαρμένοι τόν νοῦν καί τήν καρδίαν;

Απάντ. Ἐπειδή ὁ Θεός φῶς ἐστι καί φῶς τό ἀκρότατον, ἕτερον οὐδέν ὁρῶσιν οἱ αὐτόν βλέποντες, εἰ μή φῶς· καί τοῦτο δῆλον ἔκ τε τῶν ἰδόντων λάμψαν τό πρόσωπον τοῦ Χριστοῦ ὡς τόν ἥλιον, τά δέ ἱμάτια αὐτοῦ γενόμενα ὡς τό φῶς· καί ἐκ Παύλου τοῦ ἀποστόλου, φῶς ἰδόντος τόν Θεόν καί εἰς τήν αὐτοῦ ἐπίγνωσιν ἐπιστρέψαντος, καί ἐκ μυρίων ἑτέρων ἁγίων.

8. Ἐρώτ. Πῶς οὖν < οὐ > πᾶσιν ὁρᾶται, ἐπεί ἀΐδιον καί ἀειλαμπές φῶς ἐστιν ὁ Θεός;

Ἀπάντ. Ἐπειδή οὕτως ᾠκονόμησεν ἐξ ἀρχῆς ὁ Θεός· ἵνα μηδεμίαν ἔχῃ κοινωνίαν τό

σκότος ἐν τῷ φωτί μηδέ ἐναγής καί βέβηλος μετά τοῦ Ἁγίου καί καθαροῦ. Διό καί ὡς μέγα χάσμα καί τεῖχος δέ αἱ πονηραί ἐνθυμήσεις καί οἱ μάταιοι ἡμῶν διαλογισμοί οἷα δή τεῖχος ὑψηλόν γίνονται καί διιστῶσιν ἡμᾶς ἀπό τοῦ φωτός τῆς ὄντως ζωῆς· ὁ γάρ Θεός φῶς ἐστι καί ζωή ἐστιν· ὅσοι τοιγαροῦν ἐστέρηνται τούτου, νεκροί εἰσι τῇ ψυχῇ καί τοῦ αἰωνίου πυρός καί σκότους συγκληρονόμοι τε καί συμμέτοχοι.

9. Ἐρώτ. Καί οὐκ ἔστι σωτηρίας τυχεῖν τόν μή εἰς ταῦτα πεφθακότα τά μέτρα;

Ἀπάντ. Τοῦ Κυρίου λέγοντος, πολλαί μοναί παρά τῷ Πατρί μού εἰσιν, εὔδηλον ὅτι καί πολλαί σωτηρίας ὁδοί· πᾶσαι δέ ἐν μιᾷ τῇ τῆς μετανοίας ὁδῷ τελειοῦνται διά τῆς τοῦ κακοῦ ἀποχῆς, εἴτε τήν τῆς ἐλεημοσύνης εἴποις εἴτε τήν τῆς ξενιτείας εἴτε πάσης ἑτέρας τοῦ ἀγαθου πράξεως ἐκπλήρωσιν, πρός τήν τῶν κρειττόνων ἐπιτυχίαν.

# ΤΟΜΟΣ ΤΡΙΤΟΣ - ΥΜΝΟΙ ΕΠΙΣΤΟΛΑΙ

# Νικήτα μονάζοντος καί πρεσβυτέρου μονῆς τῶν Στουδίου τοῦ Στηθάτου εἰς τήν βίβλον τῶν θείων ὕμνων τοῦ ὁσίου πατρός ἡμῶν Συμεών.

1. Τό λίαν ἀνατατικόν τε καί διηρμένον αὐτό τε τό ὑπέρ αἴσθησιν τῶν ἐγγεγραμμένων ἐνταῦθα καί τό ὕψος τῆς θεολογίας καί τό βάθος τῆς τούτων ἄντικρυς γνώσεως οὐ πᾶσιν, οἶμαι, καταληπτόν τε καί εὐεπίβατον ἐστι· ταῖς γάρ θείαις ἐμφάσεσι περιαυγαζόμενον τοῦ ἀπροσίτου φωτός, ὑπεράνω πάσης ἀνθρωπίνης συνέσεως ὄν, ἐκείνων ἄρα πρός τήν τῶν ἐγκειμένων κατάληψιν δέεται τῶν τά αἰσθητήρια τῆς ψυχῆς ἐρρωμένων τῇ εὐεξίᾳ τοῦ λόγου καί τόν νοῦν ἐς ὕψος ἐπτερωμένων τῇ τοῦ πνεύματος αὔρᾳ καί ὅλην ὅλως πρός οὐρανούς καί τά βάθη Θεοῦ ἐμβαθύνουσαν ἐχόντων σαφῶς τήν διάνοιαν. Ὅθεν μοι καί ἄγαν εὔκαιρον ἐπωφελές τε καί ἁρμόδιον ἔδοξε τό σέβας εἰκότως ἀφοσιοῦντι τῷ διδασκάλῳ προκατασφαλίσασθαι τούς ἐγκύπτειν ἐνταῦθα βουλομένους τῷ λόγῳ, ἵνα μή τῇ πρός τά βάθη τοῦ πνεύματος ἀπείρῳ ἐπιβολῇ καί τῇ περί τά θεῖα ἀνασκήτῳ ἕξει καί διανοίᾳ βλάβην τούτων τινές, ἀλλά μή ὠφέλειαν εἰς ἑαυτούς ἀναμάξοιντο, κακῶς δηλαδή καί ἀπείρως τά θεῖα καί ὑπέρ αἴσθησιν ἐκλαμβάνοντες.

2. Ἰστέον οὖν, ὅτι τόν εἰς θεολόγων ἀνδρῶν ἐγκυπτειν γραφάς προαιρούμενον καί ἐπί τοῦτο ἔρωτι ἐπειγόμενον ἀναγνώσεως πρῶτα μέν πιστόν ὄντα κόσμον χρή φυγεῖν καί τά ἐν κόσμῳ καθόλου τῷ σώματι καί τῷ πνεύματι καί τήν πρόσυλον ἀπό ψυχῆς ἁμαρτίαν μισῆσαι καί τήν πρόσκαιρον ἀποσείσασθαι τῶν ἡδέων ἀπόλαυσιν· θεῖναί τε θεμέλιον ἀκολούθως καλόν ἐπί τήν ἐρηρεισμένην πέτραν τῆς πίστεως διά πράξεως καί ἐργασίας τῶν ἐντολῶν τοῦ Χριστοῦ καί ἐπί τοῦτον εὐτέχνως τόν οἶκον ἐποικοδομῆσαι τῶν ἀρετῶν καί τόν παλαιόν καί φθειρόμενον ἄνθρωπον κατά τάς ἐπιθυμίας αὐτοῦ ἀποδύσασθαι, καί τόν ἀνακαινούμενον εἰς Χριστόν ἐπενδύσασθαι, ἄρτιον δηλονότι πεφθακότα καί τῇ ἐνδεχομένῃ καλῶς τελειότητι ἀναβεβηκότα εἰς ἄνδρα τέλειον, εἰς μέτρον ἡλικίας τοῦ πληρώματος τοῦ Χριστοῦ· ἔτι δέ προκαθαρθῆναι καί προφωτισθῆναι καί ἐλλαμφῆναι τῷ πνεύματι προθεωρῆσαί τε τήν ἅπασαν κτίσιν ὄμματι νοός καθαρῷ, προκαταμαθεῖν τε καί προκαταστοχάσασθαι τούς λόγους καί τάς κινήσεις αὐτῆς τηλαυγῶς καί ἔξω γενέσθαι τῶν ὁρωμένων τῆς ταπεινώσεως, ὑπεράνω δήπου πάσης σαρκός καί αἰσθήσεως· ἔνθεν τοι καί τό στόμα τρανῶς διανοίξαντα ἑλκύσαι δυνάμει τήν χάριν τοῦ πνεύματος κἀκεῖθεν φωτός ἀγαθοῦ πληρωθῆναι καί κατά τήν ἀναλογίαν τῶν ἐκ καθάρσεως ἐν αὐτῷ γενομένων ἱερῶν ἐμφάσεων ἄνωθεν θεολογῆσαι τρανῶς καί οὕτως, οἷα δή τηλαυγής τήν διάνοιαν, ἐν τοῖς ὧδε γεγραμμένοις ἐγκύψαι, φημί δή τοῖς πονήμασι τῆς ὑψηλοτάτης καί θεολογικωτάτης διανοίας τοῦ μακαριωτάτου καί τρισολβίου πατρός Συμεών.

3. Τόν γοῦν ἔτι κάτω τῷ στήθει καί τῇ κοιλίᾳ συρόμενον, λέγω δή τοῖς χοϊκοῖς φρονήμασι καί ταῖς προσύλοις ἐπιθυμίαις αὐτοῦ, δεδεμένον τε ὑπό τά δεσμά τῆς ἀπατώσης τοῦ κόσμου αἰσθήσεως, ἄναγνον ὄντα καί τάς αἰσθήσεις πεπηρωμένον τῆς

διανοίας δεινῶς, μή κατατολμῆσαι προβεβαιούμεθα τῶν γεγραμμένων ἐνταῦθα τῆς ἀναγνώσεως, ἵνα μή τῷ μετά λήμης τῶν ὀφθαλμῶν εἰς τάς ἀκτῖνας ἐνατενίζοντι τοῦ ἡλίου ἐπίσης ὑπομείνῃ τήν τύφλωσιν καί αὐτήν τήν ἀμυδράν ὅρασιν προσαπολέσῃ τῶν ὀφθαλμῶν· καθαρθῆναι γάρ πρῶτον δεῖ πάσης ἀσθενείας καί λήμης τῶν λογισμῶν καί οὕτω τῷ καθαρῶς καί ὑπεραπείρως εἰς ἄπειρον λάμποντι προσομιλῆσαι καί πλησιάσαι ἡλίῳ, εἴτε τούτῳ δή τῷ αἰσθητῶς καί καθ' ἡμᾶς φαίνοντι εἴτε τῷ τῆς δικαιοσύνης καί ταῖς ἐξ αὐτοῦ τῶν λόγων καί νοημάτων ἐκπεμπομέναις αὐγαῖς· μόνων γάρ ἐκείνων ἐστί τό κατοπτεύειν τά βάθη τοῦ Πνεύματος, τῶν ἐξ ἄκρας δηλονότι καθάρσεως καταλαμπομένων ἀπείρῳ φωτί τοῦ Θεοῦ καί ὁλολαμπῆ τήν διάνοιαν ἅμα καί τήν ψυχήν κεκτημένων, τῶν δέ γε λοιπῶν τά στήθη τύπτειν ἐπωφελές καί ἁρμόδιον καί ἄνωθεν ἐκκαλεῖσθαι τόν ἔλεον.

4. Σκοπεῖν τοίνυν πάντα χρεών τόν τούς λόγους δυνάμενον πιστῶς μελετᾶν τούτου δή τοῦ θείου πατρός καί τούτων τό βάθος ἐξερευνᾶν τήν αὐτοῦ συνετῶς ἔκστασίν τε καί θέωσιν· ὅπως, οἷά περ ἔξω σαρκός καί σώματος καί πάσης αἰσθήσεως ὤν, ἡρπάζετο ἀπό γῆς τῷ πνεύματι εἰς οὐρανούς καί Θεόν, καί θείων ἠξιοῦτο ξενοτρόπως ἀποκαλύψεων, καί τάς ἐνεργείας ἔβλεπεν ἐν ἑαυτῷ τοῦ θείου φωτός θεοπρεπῶς ἐνεργούσας, καί θεωνυμίαις διαφόροις ἔρωτι κάτοχος ὤν τοῦ Θεοῦ ὡς τετρωμένος ὑπό τῆς ἀγάπης αὐτοῦ τοῦτον ἐκάλει καί προσωνόμαζε, Διονύσιον τόν μέγαν ἐν τούτῳ καί μιμούμενος καί ὁμοίως συναρπαζόμενος αὐτῷ ἀπό γῆς· καί γάρ ἐκείνῳ ταὐτόν ἐνεργούμενος ὑπό τοῦ Θείου Πνεύματος καί ὁ ὑψίνους οὗτος ἀνήρ ὡς πάντων τῶν αἴτιον τόν Θεόν ὁμοίως αὐτῷ πολυωνύμως ἐκ πάντων τῶν αἰτιατῶν ἀνύμνει λαμπρῶς, ὡς ἀγαθόν, ὡς καλόν, ὡς σοφόν, ὡς ἀγαπητόν, ὡς Θεόν θεῶν, ὡς Κύριον κυρίων, ὡς ἅγιον ἁγίων, ὡς αἰώνιον, ὡς ὄντα καί ὡς αἰώνων αἴτιον· ὡς ζωῆς χορηγόν, ὡς σοφίαν, ὡς νοῦν, ὡς λόγον, ὡς γνώστην, ὡς προέχοντα πάντας τούς θησαυρούς ἁπάσης γνώσεως, ὡς δύναμιν, ὡς δυνάστην, ὡς βασιλέα βασιλευόντων, ὡς παλαιόν ἡμερῶν, ὡς ἀγήρω καί ἀναλλοίωτον· ὡς σωτηρίαν, ὡς δικαιοσύνην, ὡς ἁγιασμόν, ὡς ἀπολύτρωσιν, ὡς ἐν μεγέθει πάντων ὑπερέχοντα καί ὡς ἐν αὔρᾳ λεπτῇ· καί ἐν ψυχαῖς καί ἐν σώμασι καί ἐν νοῖς αὐτόν εἶναι ἐν οὐρανῷ καί ἐν γῇ καί ἅμα ἐν ταὐτῷ τόν αὐτόν, ἐγκόσμιον, περικόσμιον, ὑπερκόσμιον, ὑπερουράνιον, ὑπερούσιον, ἥλιον, ἀστέρα, πῦρ, ὕδωρ, πνεῦμα, δρόσον, νεφέλην, αὐτόλιθον καί πέτραν, πάντα τά ὄντα, μηδέν ὄντα τῶν ὄντων.

5. Ὅθεν καί αὐτός ὁ πολύς τά θεῖα Διονύσιος ἐν τῷ Περί θείων ὀνομάτων συντάγματι, τῷ τρόπῳ καί τῇ πρός Θεόν ἐκστάσει τοῦ θεσπεσίου τούτου πατρός οἷα δι' ὧν γράφει συμμαρτυρῶν, τοιάδε φησίν· οὕτως οὖν τῇ πάντων αἰτίᾳ καί ὑπέρ πάντα οὔσῃ καί τό ἀνώνυμον ἐφαρμόσει καί πάντα τά τῶν ὄντων ὀνόματα, ἵνα ἀκριβῶς ᾖ τῶν ὅλων βασιλεία καί περί αὐτήν ᾖ τά πάντα καί αὐτῆς ὡς αἰτίας, ὡς ἀρχῆς, ὡς πέρατος ἐξηρτημένα, καί αὐτή κατά τό λόγιον ᾖ τά πάντα ἐν πᾶσι καί ἀληθῶς ὑμνῆται πάντων ὑποστάτις. Καί μετ' ὀλίγα· πάντα δέ ἁπλῶς καί ἀπεριορίστως ἐν ἑαυτῇ τά ὄντα προείληφε ταῖς παντελέσι τῆς μιᾶς αὐτῆς καί παναιτίου προνοίας ἀγαθότησι καί ἐκ τῶν ὄντων ἁπάντων ἐναρμονίως ὑμνεῖται καί ὀνομάζεται.

6. Καί γοῦν οὐ ταύτας μόνας οἱ θεολόγοι τάς θεωνυμίας πρεσβεύουσι τάς ἀπό τῶν παντελῶν ἤ τῶν μερικῶν προνοιῶν ἤ τῶν προνοουμένων, ἀλλά καί ἀπό τινων ἔσθ' ὅτε θείων φασμάτων ἐν τοῖς ἱεροῖς ἀνακτόροις ἤ ἄλλοθί ποι τούς μύστας ἤ τούς προφήτας καταλαμψάντων κατ' ἄλλας καί ἄλλας αἰτίας τε καί δυνάμεις ὀνομάζουσι τήν ὑπερφαῆ καί ὑπερώνυμον ἀγαθότητα καί μορφάς αὐτῇ καί τύπους ἀνθρωπικούς ἤ πυρίνους ἤ ἠλεκτρίνους περιτιθέασι καί ὀφθαλμούς αὐτῆς καί ὦτα καί πλοκάμους καί πρόσωπα καί χεῖρας καί μετάφρενα καί πτερά καί βραχίονας καί ὀπίσθια καί πόδας ὑμνοῦσι, στεφάνους τε καί θώκους καί ποτήρια καί κρατῆρας αὐτῇ καί ἄλλα ἄττα μυστικά περιπλάττουσιν.

7. Εἰς γάρ ἄκρον ὁ θεῖος οὗτος ἐκκαθαρθείς τήν ψυχήν, ὡς ἤδη τά πρός αὐτοῦ γεγραμμένα σάλπιγγος ἠχούσης μεγαλοφωνότερον ἐκβοᾷ, ἠξίωται καί μεγάλων ἀποκαλύψεων καί θεωριῶν ἀπορρήτων καί μυστικῆς ὁμιλίας καί ῥημάτων θείων ἄνωθεν αὐτῷ ξένως ἐνηχηθέντων καί συλλήβδην εἰπεῖν χάριτος ἀποστολικῆς, ὅλος πυρποληθείς ὑπό τοῦ θείου πυρός. Διό καί τῆς θύραθεν ἐπιστήμης τῶν λόγων πάντῃ ἄγευστος καί ἀμαθής ὤν ὑπέρ πάντα ῥήτορα καί σοφόν τῇ εὐροίᾳ τῶν λόγων καί τῇ τῶν νοημάτων δαψιλείᾳ τε καί πυκνότητι εἰς ὕψος ἐμεγαλύνθη σοφίας ὡς τά θεῖα τῷ ὄντι σοφός καί θεολόγος δογματικώτατος.

8. Καί οὐ θαῦμα· ἡ γάρ τοῦ Θεοῦ σοφία διήκει, κατά τόν εἰπόντα, καί χωρεῖ διά πάντων διά τήν καθαρότητα· ἀτμίς γάρ ἐστι τῆς τοῦ Θεοῦ δυνάμεως καί ἀπόρροια τῆς τοῦ παντοκράτορος δόξης εἰλικρινής· μία δέ, φησιν, οὖσα πάντα δύναται καί μένουσα ἐν ἑαυτῇ τά πάντα καινίζει καί κατά γενεάς εἰς ψυχάς ὁσίας μεταβαίνουσα φίλους Θεοῦ καί προφήτας κατασκευάζει· οὐδέν γάρ ἀγαπᾷ ὁ Θεός εἰ μή τόν σοφίᾳ συνοικοῦντα. Διά τοι τοῦτο καί τῶν λόγων τῆς σοφίας ἐπιθυμήσας ἐπόθησε τό κάλλος αὐτῆς· καί ποθήσας, κατά τόν Σολομῶντα, ἐζήτησε διά πόνων φιλοσοφίας τε καί ἀσκήσεως καί εὗρεν αὐτήν· καί εὑρών ηὔξατο μετά δακρύων ἐμπόνως καί ἐδόθη αὐτῷ φρόνησις· καί ἐπεκαλέσατο πίστει βεβαίᾳ καί ἦλθεν ἐπ' αὐτόν πνεῦμα σοφίας· ὅθεν ἀκοίμητον ἔσχε διά βίου παντός τό ἐκ ταύτης ἀτεχνῶς φέγγος, δι' οὗ ἄρα καί ἦλθεν ἐπ' αὐτόν πάντα ὁμοῦ τά ἀγαθά τῆς αἰωνίου ζωῆς καί ἀναρίθμητος πλοῦτος σοφίας καί γνώσεως. Ἀμέλλει καί ἀδόλως παρά Θεοῦ μαθών τά ἀπόρρητα ἀφθόνως τοῖς πᾶσι ταῦτα γράφων παρέχει εἰς πνευματικήν εὐφροσύνην ὁμοῦ καί ὠφέλειαν· οὐ γάρ ὡς ἀγνώμων δοῦλος κατακρύπτει τό δοθέν αὐτῷ πρός Θεοῦ τάλαντον, ἀλλ' ὡς πιστός οἰκονόμος τόν πλοῦτον, ὅν ἐδέξατο ἐξ αὐτοῦ, τῆς ἀκενώτου σοφίας εὐγνωμόνως κατά τό γεγραμμένον οὐ κατορύττει· ἀδόλως τε, φησίν, ἔμαθον ἀφθόνως τε μεταδίδωμι, τόν πλοῦτον αὐτῆς οὐκ ἀποκρύψομαι.

9. Ἔνθεν τοι καί ἄργυρος πεπυρωμένος οὖσα ἡ γλῶσσα αὐτοῦ καί δικαιοσύνης πλήρης ἡ ψυχή αὐτοῦ· τά χείλη αὐτοῦ οἷα δή τῷ ὄντι δικαίου ἠπίστατο ὑψηλά καί στόμα αὐτοῦ ἀπέσταζε χάριτας καί ἀπόρρητον σοφίαν Θεοῦ. Γέγονε δέ τοῦτο ἐκ πολλῆς ἀληθῶς ταπεινοφροσύνης καί καθαρότητος· στόμα γάρ, φησί, ταπεινῶν μελετήσει σοφίαν καί ἐν καρδίᾳ ἀγαθῇ ἀνδρός σοφία, ἐν δέ καρδίᾳ ἀφρόνων οὐ διαγινώσκεται.

Εἶχε γάρ, ταπεινοφροσύνης ὤν ἔμπλεως, διηνεκῶς ἐν μελέτῃ καρδίας τήν τοῦ Θεοῦ σοφίαν, κατά τό εἰρημένον, ἥτις τοῖς ταπεινοῖς τήν καρδίαν, καί οὐ τοῖς ἄφροσι τοῦ κόσμου σοφοῖς καθόλου διαγινώσκεται, καί τό φῶς ἀεί τοῦ Θεοῦ ἦν ἀληθῶς ἡ πνοή αὐτοῦ· ὅ δίκην λύχνου ἔχων ἐν διανοίᾳ, ἅ ἑώρων οἱ ὀφθαλμοί αὐτοῦ νοερῶς, ὡς τό λόγιον, ἔλεγέ τε καί ἀριδηλότατα μετά γνώσεως ἔγραφεν· ἅ, φησίν, εἶδον οἱ ὀφθαλμοί σου, λέγε· καί λέγων ὕμνει σαφέστατα ἐκ τῶν ὄντων τό θεῖον, ὡς ὄν κοινόν πάντων τῶν ὄντων. Οὐ γάρ ἀκοινώτητόν ἐστι καθόλου τό ἀγαθόν οὐδενί τῶν ὄντων, ὥς φησιν ὁ τά θεῖα πολύς Διονύσιος, ἀλλ' ἐφ' ἑαυτοῦ μονίμως τήν ὑπερούσιον ἱδρῦσαν ἀκτῖνα ταῖς ἑκάστου τῶν ὄντων ἀναλόγοις ἐλλάμψεσιν ἀγαθοπρεπῶς ἐπιφαίνεται καί πρός τήν ἐφικτήν αὐτοῦ θεωρίαν καί κοινωνίαν καί ὁμοίωσιν ἀνατείνει τούς νοερούς νόας, ὡς θεμιτόν αὐτῷ καί ἱεροπρεπῶς ἐπιβάλλοντας.

Τοιγαροῦν καί κατά πάντα τοῖς πρός αὐτοῦ θεολόγοις ἑπόμενος, τό μέν ὑπέρ νοῦν καί φύσιν τῆς θεότητος κρύφιον ἀνεξερευνήτοις ὕμνει καί ἱεραῖς νοός εὐλαβείαις, ὥς φησι περί θεολόγων ἀνθρῶν Διονύσιος, τά δέ ἄρρητα σιγῇ τῇ σώφρονι διόλου τιμῶν ἐπί τάς ἐλλαμπούσας αὐτῷ ἐν τοῖς ἱεροῖς νοήμασιν αὐγάς ἀνετείνετο κἀκεῖθεν πλουσίως καταλαμπόμενός τε καί φωτιζόμενος πρός τούς θεαρχικούς καί θεοπρεπεῖς ὕμνους καί πρός τάς ἱεράς ὑμνολογίας ὑπ' αὐτῶν ὑπερκοσμίως ἐτυποῦτο πρός τό καί ὁρᾶν τά συμμέτρως αὐτῷ δι' αὐτῶν δωρούμενα θεαρχικά φῶτα καί τό ἀγαθοδότην Κύριον ὡς ἁπάσης ἱερᾶς ἀρχῆς καί φωτοφαενίας αἴτιον ἐρωτικῶς ἀνυμνεῖν.

Παλαιόν δέ ἄρα τοῦτο καί ἀρχέγονον σοφίας εἶδος καί ἀποτέλεσμα· τοῖς γάρ παλαιοῖς καί πιστοῖς, τήν πάτριον πάλαι φιλοσοφοῦσι φιλοσοφίαν, ἄνωθεν ἡ θείας χάρις τοῦ Πνεύματος οὕτω δι' ὑπερβολήν συγγινομένη καθάρσεως πρός ὕμνους ἐρωτικούς τε καί θείους καί πρός μέτρα λόγων παντοίων ἐκίνει τάς διανοίας αὐτῶν. Ἐκ δή τούτου ποιηταί ᾀσμάτων καί ὕμνων καί μελῶν θείων τοῖς τηνικαῦτα θαυμασίως ἐδείκνυντο· οὐκ ἐκ μαθημάτων δέ ἀναγωγῆς καί τελείας τῶν λόγων ἀσκήσεως πρός τοῦτο σοφῶς τε καί συνήθως ἀπετελοῦντο, ἀλλ' ἐκ φιλοσοφίας τῶν τῆς ψυχῆς τρόπων καί ἐξ ἄκρας ἀσκήσεως καί φυλακῆς τῶν γενικῶν ἀρετῶν . Εἴ τῳ δέ φίλον τό εἰρημένον ἐξ ἐγγράφου πιστωθῆναι αἰτίας, Φίλωνι τῷ Ἰουδαίῳ ἐν τῷ οὕτω πως εἰ γεγραμμένῳ λόγῳ αὐτοῦ Περί βίου θεωρητικοῦ ἤ περί ἱκετῶν ἐντυχέτω καί εἴσεται τό τοῦ λόγου πιστόν ἐξ αὐτῆς. Ἵνα δέ βραδύ τι καί ἡμεῖς λόγιον ἐκεῖθεν ἀναλαβώμεθα πρός τήν τοῦ λόγου βεβαίωσιν, φησίν ἐκεῖνο ὡδί· ὥστε, φησίν, οὐ θεωροῦσι μόνον τά ὑψηλά νοός ἐπιβολαῖς καθαροῦ, ἀλλά καί ποιοῦσιν ᾄσματα καί ὕμνους εἰς τόν Θεόν διά παντοίων μέτρων καί μελῶν, ἀριθμοῖς σεμνοτέροις ἀναγκαίως χαράσσοντες.

Ἅ γοῦν καί τούτῳ δή τῷ πατρί ἐν θεωρυμίαις ὕμνηται θεοφράστως, ταῦτα, φησί Διονύσιος ὁ μέγας, πρός τῶν θείων λογίων μεμύηται, καί πᾶσαν, ὡς εἰπεῖν, τήν ἱεράν τῶν θεολόγων ὑμνολογίαν εὑρήσει τις, ἐπιπόνῳ δηλαδή ψυχῇ καί καθαρᾷ διανοίᾳ τάς θείας γραφάς, ἐρευνῶν, πρός τάς ἀγαθουργούς προόδους τῆς θείας φύσεως ἐκφαντορικῶς καί ὑμνητικῶς τάς θεωνυμίας διασκευάζουσαν, Εἶτα τόν λόγον ἡμῶν τρανότερον

ἐπιβεβαιούμενος οὕτω σαφῶς ἐπιφέρει περί τῶν εἰρημένων ὁ αὐτός καί αὖθις φησι· ταύταις οἱ θεοειδεῖς ἀγγελομιμήτως, ὡς ἐφικτόν, ἑνούμενοι νόες, ταῖς θείαις δηλονότι τῶν ἀγγέλων δυνάμεσιν, ἐπειδή κατά πάσης νοερᾶς ἐνεργείας ἀπόπαυσιν ἡ τοιάδε γίνεται τῶν ἐκθεουμένων νόων πρός τό ὑπέρθεον φῶς ἕνωσις, ὑμνοῦσιν αὐτό κυριώτατα διά τῆς πάντων τῶν ὄντων ἀφαιρέσεως, τοῦτο ἀληθῶς καί ὑπερφυῶς ἐλλαμφθέντες ἐκ τῆς πρός αὐτό μακαριωτάτης ἑνώσεως· ὅτι πάντων μέν ἐστι τῶν ὄντων αἴτιον, αὐτό δέ οὐδέν, ὡς πάντων ὑπερουσίως ἐξῃρημένον.

Εἰδώς οὖν ὁ θεῖος τοῦτο πατήρ Συμών, οἷα δή σοφός θεολόγος, καί ὡς ἀνώνυμον τήν θείαν καί ὑπέρ φύσιν φύσιν ἀνύμνει καί ὡς παντός ὀνόματος ὀμοναζομένου αἰτίαν καί ἀνωνύμως ὑπεριδρυμένην τῶν πάντων ἐθεολόγει· νῦν μέν, ὅσα τῆς παρούσης ἐστί πραγματείας, ἐκ τῶν θεολογιῶν συνάγων καί ὥσπερ τινί κανόνι τοῖς εἰρημένοι χρώμενος πρός αὐτά σκοπῶν ἐπί τήν ἀνάπτυξιν τῶν νοητῶν θεωνυμιῶν προήρχετο· νῦν δέ θεοπτικῇ διανοίᾳ τάς θεοφανεῖς ἐποπτεύων ἐμφάσεις καί θεωρίας, τοῖς ἁγίοις τά ἅγια κατά τήν θείαν τοῦ Ἀποστόλου παράδοσιν παρατιθέμενος, ἀνετάττετο καί τά πρός αὐτοῦ ἱερῶς ἐποπτευθέντα θεῖα θεάματα τοῖς μετ’ αὐτόν χρεωστικῶς, ὡς πρῶτος πρός δευτέρους καί ὑφειμένους, ἀφθόνως ἐν συμμετρίᾳ τῇ κατ’ αὐτούς ὑπέδειξε καί κατ’ ἀξίαν τά ἱερά τοῖς ἐπιστημονικῶς καί ὁλοκλήρως μετασχοῦσι τῆς ἱερατικῆς τελειώσεως μετέδωκε, τῶν ἀμύστων αὐτά γελώτων καί ἐμπαιγμῶν ἐξαιρούμενος, μᾶλλον δέ αὐτούς ἐκείνους, εἴπερ τινές τοιοῦτοί εἰσιν ἄνθρωποι, τῆς ἐπί τούτῳ θεομαχίας ἀπολυτρούμενος, μή ἔκφορα ταῦτα ποιῶν τοῖς πολλοῖς, ἕως ἄν ἐν τοῖς ζῶσιν ἦν καί ἐφαίνετο, κἄν τούτῳ τῷ μεγάλῳ Διονυσίῳ πειθόμενος οὕτω πρός Τιμόθεον γράφοντι· ὅρα δή, φησίν, ὅπως οὐκ ἐξορχήσῃ τά ἅγια τῶν ἁγίων, εὐλαβηθήσῃ δέ καί τά τοῦ κρυφίου Θεοῦ ταῖςνοεραῖς καί ἀοράτοις γνώσεσει τιμήσεις, ἀμέθεκτα μέν αὐτά καί ἄχραντα τοῖς ἀτελέστοις διατηρῶν, ἱεροῖς δέ μόνοις τῶν ἱερῶν μεθ’ ἱερᾶς ἐλλάμψεως ἱεροπρεπῶς κοινωνῶν.

Οὕτω γάρ ὡς ἡ θεολογία καί τοῖς θιασώταις ἡμῖν παραδέδωκε, ταῦτα καί ἡμεῖς, ὡς αὐτῷ μαθητευθέντες καί τό ὕψος καί βάθος καί πλάτος τῆς αὐτοῦ σοφίας εἰδότες, διά τῶν εἰρημένων καί τοῦ παρόντος λόγου τῶν πάντῃ χοντρῶν καί ἀμύστων διαστέλλομεν καί ἀνέκφορα τούτοις εἶναι βουλόμεθα, μόνοις ἐκείνοις ταῦτα δηλαδή σαφῶς ἀναπτύσσοντες τοῖς τά ὦτα πεπετασμένα ἱερῶς ἔχουσιν ἐξ ἐπιμελείας τῶν τρόπων καί συνέσεως θείας καί ἁγίοις ἄντικρυς οὖσιν ἔκ τε τοῦ βίου καί τῆς ἄνωθεν γνώσεως· τοῦτο γάρ καί Παῦλος ὁ θεῖος βούλεται πρός Τιμόθεν οὕτω γράφων· ταῦτα παράθου πιστοῖς ἀνθρώποις, οἵτινες ἱκανοί ἔσονται καί ἑτέρους διδάξαι.

Ὁ γοῦν πρός θεωρίαν ἐκ φιλοσόφου πράξεως ἀναδραμόντες καί εἰς βάθος θεολογικῶν ἐννοιῶν ἀνελθόντες πίστει πρός ταῦτα τήν τῆς ψυχῆς ἔρευναν δότωσαν, καί πολλήν αὐτόθεν, εὖ οἶδα, τρυγήσουσι τήν ὠφέλειαν· οἱ δέ γε λοιποί, ὧν ὁ νοῦς εἰς πολλάς ἑτερότητας διεσκέδασται καί σκότει ἀγνωσίας ἐζόφωτοι, οἱ μηδέ ὅ τι ποτέ ἐστι πρᾶξις καί θεωρίας καί θείων ἀποκάλυψις μυστηρίων εἰδότες, τῆς ἀναγνώσεως τῶν ἐνταῦθα γεγραμμένων ἀλλοτριούσθωσαν· ἀχώρητον γάρ τήν διάνοιαν ἔχοντες τῶν ὑψηλῶν καί

λόγων ἀποκαλύψεων τά θεῖα καταπατεῖν εἰώθασι καί κοινοῦν, πρός μηδέν τῶν ὑπέρ ἡμᾶς ἀνανεύειν δυνάμενοι.

Ἄλλως τε δέ καί ἐπεί πᾶσα ψυχή εἰς ἄκρον ἐκκαθαρθεῖσα καλῶς, ἀθάνατος οὖσα καί νοερά, δυνάμει θείᾳ πρός ἀγγελικάς ζωάς ἀνατείνεται κατά τόν ἱεροφάντην Διονύσιον οὕτω λέγοντα· ἡνίκα γάρ εἰς ἑαυτόν κατά κυκλικήν κίνησιν καί ἑνοειδῆ συνέλιξιν ἀπό τῶν ἔξω τῶν νοερῶν αὐτῆς δυνάμεων γένηται, ὥσπερ ἔν τινί κύκλῳ τό ἀπλανές αὐτῇ ἡ θεία δωρουμένη ἀγαθαρχία καί ἀπό τῶν πολλῶν, τῶν ἔξωθεν, αὐτήν ἐπιστρέφουσα καί συνάγουσα πρῶτον εἰς ἑαυτήν, εἶτα ὡς ἑνοειδῆ γενομένην ἑνοῦσα ταῖς ἑνιαίως ἡνωμέναις δυνάμεσι τῶν ἀγγέλων· δι’ αὐτῶν γάρ ὡς ἀγαθῶν καθηγεμόνων (μετά τούς ἱερούς καί ἁγίους νόας αἱ ψυχαί καί ὅσα ψυχῶν ἀγαθά) ἐπ’ αὐτήν τήν πάντων ἀγαθῶν ἀγαθαρχίαν ἀνάγεται καί τῶν ἐκεῖθεν ἐκβλυζομένων ἀλλάμψεων ἐν μετουσίᾳ γίνεται κατά τήν ἀναλογοῦσαν ἐν αὐτῇ κάθαρσιν καί τῆς τοῦ ἀγαθοειδοῦς δωρεᾶς, ὁπόση δύναμις, μετέχει πλουσίως, οὐκ οἴομαι δίκαιον εἶναι κινδυνεύειν ταύτης τάς ὑψηλάς θεωρίας καί ἐρωτικάς θεολογίας ἀπιστεῖσθαι εἰς ἀκοάς πιπτούσας ὑπό φθόνου βεβυσμένας καίἀπιστίας, ἤ μᾶλλον εἰπεῖν εἰς ψυχάς σκότει ἀγνωσίας σφόδρα κεκαλυμμένας καί ὑπό ἡμιόνων καί ὄνων ἤ δρακόντων καταπατουμένας καί ὄφεων, τῶν ἀκαθάρτων λέγων καί ὀλεθρίων παθῶν· τά γάρ ἅγια ἀμέθεκτά εἰσι πᾶσι τοῖς τόν κυνώδη βίον καί χοιρώδη βιοῦσιν, οἷς οὐ δίδονται ταῦτα, ὡς τό λόγιον, οὔτε μήν οἱ μαργαρῖται ῥιπτοῦνται τοῦ λόγου, τοῖς δέ πρός τό ἴσον ἐξ ἄκρας ἀναγομένοις καθάρσεως τῆς ἁγιότητος μεθεκτά τε εἰσί μεθ’ ἡδονῆς ἀφάτου καί θείας καί ἀναδοτικά τῆς ἐπ’ αὐτά σοφίας τε καί ὑψώσεως ὡς φῶτα φανά καί πυρός τοῦ θείου γεννήματα.

Εἶεν, ἐπεί δέ πρός τοσοῦτον ὕψος ἀνήχθη ἡ θεία τῷ ὄντι καί καθαρωτάτη ψυχή τοῦ καθηγεμόνος ἡμῶν καί τοιούτων ἐμφάσεων ἠξιώθη καί τοιαύτης χάριτος τῆς τῶν ἁλιέων καί ἀποστόλων καί ἐπ᾽αὐτήν τήν πάντων ἀγαθαργίαν ἔφθασε τῇ λαμπρότητι τῆς ἐμπύρου διανοίας αὐτῆς, ἔνθα πᾶσαι ψυχαί τῶν δικαίων ἀνάγονται, καί ἐν μετουσίᾳ τῶν ἐλλάμψεων ταύτης πλουσίως ἐγένετο, καθά δή καί τά ποιήματα καί οἱ ἔρωτες τῶν θείων ὕμνων ἐκβοῶσιν αὐτοῦ, πῶς οὐχ ἁγία τῷ φύσει ἁγίῳ καί τοῖς πάλαι ἁγίοις ἀνακραθεῖσα ὡς φωτί φῶς καί πυρί πῦρ καί ἡλίῳ ἀκτίς, τά δεύτερα τοῖς πρώτοις καί τά ἐν εἰκόσι καί τύποις τοῖς ἀρχετύποις καί ἀληθείαις; Πῶς οὐχ ὑμνητέα καί ὕμνων καί ἐγκωμίων πάντων ἀξία, ἡ ὑπέρ ταῦτα καί ὑπέρ πᾶσαν δόξαν ὁμοῦ γεηράν τε καί ἀνθρωπίνην; Πιπτέτω φθόνος ὁ τοῖς ἀεί νεμεσῶν, καί ὑμνείσθω καί εὐφημείσθω ὁ ὕμνων καί ἐγκωμίων παντοίων ἐπάξιος Συμεών, καθό καί ἐν τῷ ῾Κατά ἁγιοκατηγόρων’ λόγῳ μετά χρήσεων ἱερῶν πλατύτερον ἐξεθέμεθα. Εἰ γάρ αἱ ἀποκαλύψεις αὗται καί αἱ φωναί οὐ φωναί Θεοῦ οὐδέ ψυχῆς ἀποθεωθείσης καί γενομένης ἔξω πάσης τοῦ κόσμου αἰσθήσεως καί ὅλης καθόλου ἁγίας, σχολῇ γ’ ἄν ἄλλο τι τῶν ἀνθρωπίνων καί πρός ἡμῶν τελουμένων διά πάσης σπουδῆς εὐαπόδεκτον ἀποδειχθείη Θεῷ καί ἀνθρώποις ἐπαινετόν, ὅ μή σοφίᾳ καί γνώσει τῇ ἀνωτάτῳ Θεοῦ τό ἐπίδοξον καί λαμπρόν ἐπιφέρεται.

Ταῦτα τοίνυν διά τούς φθόνῳ πρός τά καλά καί ἀπιστίᾳ καί ἀγνωσίᾳ κεκρατμένους

ἡμῖν προετέθη τῶν ἐρωτικῶν καί θείων ὕμνων τοῦ διδασκάλου, ἵν’ ἤ κατά πρώτην εὐθύς ἐπιβολήν ἐντυγχάνοντες τούτοις κρείττονες γένοιντό ποτε καί φθόνου καί βασκανίας ἀνώτεροι, καί δοξάσωσιν, ὡς ἐφικτόν, τόν ἐν πράξει καί λόγῳ καί θεωρίᾳ δοξάσαντα τόν Θεόν καί τό ὄνομα τό ὑπέρ πᾶν ὄνομα ἐν τοῖς ἑαυτοῦ μέλεσιν ἁγιάσαντα, ἤ ὡς τῶν καλῶν ἄγευστοι καί πάντῃ ἀχώρητοι τῶν ὑψηλῶν θεαμάτων διά τήν αὐτοῖς προσοῦσαν παχύτητα τῆς ἐγχειρήσεως καί τῆς τῶν γεγραμμένων ἐνταῦθα περιέργου ἐρεύνης ἀπόσχοιντο.

# Ο ΠΙΝΑΞ ΤΩΝ ΘΕΙΩΝ ΕΡΩΤΩΝ

## ΕΥΧΗ ΜΥΣΤΙΚΗ δι’ ἧς ἐπικαλεῖται τό Πνεῦμα τό Ἅγιον ὁ αὐτό προορῶν.

Ἐλθέ τό φῶς τό ἀληθινόν, ἐλθέ ἡ αἰώνιος ζωή, ἐλθέ τό ἀποκεκρυμμένον μυστήριον, ἐλθέ ὁ ἀκατονόμαστος θησαυρός, ἐλθέ τό ἀνεκφώνητον πρᾶγμα, ἐλθέ τό ἀκατανόητον πρόσωπον, ἐλθέ ἡ ἀΐδιος ἀγαλλίασις, ἐλθέ τό ἀνέσπερον φῶς, ἐλθέ πάντων τῶν μελλόντων σωθῆναι ἡ ἀληθινή προσδοκία, ἐλθέ τῶν κειμένων ἡ ἔγερσις, ἐλθέ τῶν νεκρῶν ἡ ἀνάστασις, ἐλθέ ὁ δυνατός, ὁ πάντα ἀεί ποιῶν καί μεταποιῶν καί ἀλλοιῶν μόνῳ τῷ βούλεσθαι! Ἐλθέ ὁ ἀόρατος καί ἀναφής πάντῃ ἀψηλάφητος, ἐλθέ ὁ ἀεί μένων ἀμετακίνητος καί καθ’ ὥραν ὅλος μετακινούμενος καί ἐρχόμενος πρός ἡμᾶς τούς ἐν τῷ ᾅδη κειμένους, ὁ ὑπεράνω πάντων τῶν οὐρανῶν, ἐλθέ τό περιπόθητον ὄνομα καί θρυλούμενον, λαληθῆναι δέ παρ’ ἡμῶν, ὅπερ εἶς, ἤ γνωσθῆναι, ὁποῖος ἤ ποταπός, ὅλως ἡμῖν ἀνεπίδεκτον. Ἐλθέ ἡ αἰώνιος χαρά, ἐλθέ τό στέφος τό ἀμαράντινον, ἐλθέ ἡ πορφύρα τοῦ μεγάλου Θεοῦ καί βασιλέως ἡμῶν, ἐλθέ ἡ ζώνη ἡ κρυσταλλοειδής καί διάλιθος, ἐλθέ τό ὑπόδημα τό ἀπρόσιτον, ἐλθέ ἡ βασίλειος ἁλουργίς καί αὐτοκρατορική ὄντως δεξιά! Ἐλθέ, ὅν ἐπόθησε καί ποθεῖ ἡ ταλαίπωρός μου ψυχή, ἐλθέ ὁ μόνος πρός μόνον, ὅτι μόνος εἰμί, καθάπερ ὁρᾷς! Ἐλθέ ὁ χωρίσας ἐκ πάντων καί ποιήσας με μόνον ἐπί τῆς γῆς, ἐλθέ ὁ γενόμενος πόθος αὐτός ἐν ἐμοί καί ποθεῖν σε ποιήσας με, τόν ἀπρόσιτον παντελῶς! Ἐλθέ ἡ πνοή μου καί ἡ ζωή, ἐλθέ ἡ παραμυθία τῆς ταπεινῆς μου ψυχῆς, ἐλθέ ἡ χαρά καί ἡ δόξα καί ἡ διηνεκής μου τρυφή!

Εὐχαριστῶ σοι, ὅτι ἕν πνεῦμα ἐγένου μετ’ ἐμοῦ· ἀσυγχύτως, ἀτρέπτως, ἀναλλοιώτως ὁ ἐπί πάντων Θεός, καί αὐτός μοι τά πάντα ἐν πᾶσι γεγένησαι, τροφή ἀνεκλάλητος καί εἰς ἅπαν ἀδάπανος, ἀενάως ὑπερεκχεομένη τοῖς τῆς ἐμῆς ψυχῆς χείλεσι καί ὑπερεκβλύζουσα ἐν τῇ πηγῇ τῆς καρδίας μου, ἔνδυμα ἀπαστράπτον καί καταφλέγον τούς δαίμονας, κάθαρσις διά ἀφθάρτων καί ἁγίων δακρύων ἐκπλύνουσά με, ὧν ἡ σή παρουσία, πρός οὕς παραγίνῃ, χαρίζεται. Εὐχαριστῶ σοι, τό φῶς ἀνέσπερόν μοι γεγένησαι καί ἥλιος ἄδυτος, ποῦ κρυβῆναι μή ἔχων ὁ πληρῶν τῆς σῆς δόξης τά σύμπαντα. Οὐδέποτε γάρ ἀπεκρύβης ἀπό τινος, ἀλλ’ ἡμεῖς ἀεί κρυπτόμεθα ἀπό σοῦ, ἐλθεῖν πρός σέ μή βουλόμενοι. Ποῦ γάρ καί κρυβήσῃ ὁ μηδαμοῦ ἔχων τόπον τῆς σῆς καταπαύσεως; Ἤ διά τί, ὁ μήποτε ἀποστρεφόμενος τῶν πάντων τινά, μήτε τινά αὐτῶν ἐντρεπόμενος; Νῦν οὖν ἐνσκήνωσον, Δέσποτα, ἐν ἐμοί καί κατοίκησον καί μεῖνον ἀδιαστάτως, ἀχωρίστως μέχρι τέλους ἐν ἐμοί τῷ δούλῳ σου, ἀγαθέ, ἵνα κἀγώ εὑρεθῶ ἐν τῇ ἐξόδῳ μου καί μετά τήν ἔξοδον ἐν σοί, ἀγαθέ, καί συμβασιλεύσω σοι, τῷ ἐπί πάντων Θεῷ! Μεῖνον, Δέσποτα, καί μή ἐάσῃς με μόνον, ἵνα ἐρχόμενοι οἱ ἐχθροί μου, οἱ ζητοῦντες ἀεί τοῦ καταπιεῖν τήν ψυχήν μου καί εὑρίσκοντές σε μένοντα ἐν ἐμοί, φεύξωνται παντελῶς καί μή ἰσχύσωσι κατ’ ἐμοῦ, βλέποντές σε, τόν ἰσχυρότερον πάντων, ἔνδοθεν καθήμενον ἐν τῇ οἰκίᾳ τῆς ταπεινῆς μου ψυχῆς. Ναί, Δέσποτα, ὡς ἐμνήσθης μου, ὅτε ἐν τῷ κόσμῳ ἐτύγχανον καί ἀγνοοῦντός μου αὐτός ἐξελέξω με καί ἀπό τοῦ κόσμου ἐχώρισας καί πρό προσώπου τῆς δόξης σου ἔστησας, οὕτω καί νῦν

ἔνδον ἱστάμενόν με εἰς ἀεί καί ἀμετακίνητον ἐν τῇ ἐμοί οἰκήσει σου διαφύλαξον, ἵνα μή βλέπων σε διηνεκῶς ὁ νεκρός ἐγώ ζῶ, καί ἔχων σε ὁ πένης ἀεί πλουτῶ, καί βασιλέων πάντων ἔσομαι πλουσιώτερος, καί ἐσθίων καί πίνων σε καθ' ὥραν ἐπενδυόμενος ἐν ἀνεκλαλήτοις ᾧ καί ἔσομαι ἐντρυφῶν ἀγαθοῖς, ὅτι σύ ὑπάρχεις πᾶν ἀγαθόν καί πᾶσα δόξα καί πᾶσα τρυφή καί σοί πρέπει ἡ δόξα, τῇ Ἁγίᾳ καί Ὁμοουσίῳ καί Ζωοποιῷ Τριάδι, τῇ ἐν Πατρί καί Υἱῷ καί Ἁγίῳ Πνεύματι σεβομένῃ τε καί γνωριζομένῃ καί προσκυνουμένῃ καί λατρευομένῃ ὑπό πάντων νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων, ἀμήν.

## Α'. Περί θείας ἐλλάμψεως καί φωτισμοῦ Πνεύματος Ἁγίου· καί ὅτι εἷς τόπος ὁ Θεός, ἐν ᾧ μετά πότμον τήν ἀνάπαυσιν πάντες οἱ Ἅγιοι ἔχουσι· καί ὅτι ὁ τοῦ Θεοῦ ἐκπίπτων ἐν ἑτέρῳ τόπῳ οὐχ ἕξει τήν ἀνάπαυσιν ἐν τῇ μελλούσῃ ζωῇ.

Τί τό φρικτόν μυστήριον, ὅ ἐν ἐμοί τελεῖται;
Λόγος ἐκφράζειν οὐδαμῶς ἰσχύει, οὐδέ γράφειν
ἡ χείρ μου ἡ ταλαίπωρος εἰς ἔπαινον καί δόξαν
τοῦ ὄντος ὑπέρ ἔπαινον, τοῦ ὄντος ὑπέρ λόγον.
Εἰ γάρ τά νῦν τελούμενα ἐν ἐμοί τῷ ἀσώτῳ
ἄρρητα, ἀνεκλάλητα πέλουσι, πῶς ἐκεῖνος,
ὁ τῶν τοιούτων παροχεύς καί ποιητής, εἰπέ μοι,
ἔπαινον χρῄζει παρ’ ἡμῶν ἤ δόξαν προσλαβέσθαι;
Οὐδέ γάρ δοξασθήσεται ὁ ὤν δεδοξασμένος,
ὡς οὐδέ λαμπρυνθήσεται ἤ φωτός μεταλάβοι
ὁ παρ’ ἡμῶν βλεπόμενος ἥλιος ἐν τῷ κόσμῳ·
φωτίζει, οὐ φωτίζεται· φαίνει, φῶς οὐ λαμβάνει.
Ἔχει γάρ, ὅπερ ἔλαβεν, ἐξ ἀρχῆς, ἐκ τοῦ κτίστου.
Εἰ οὖν ποιήσας ἥλιον Θεός ὁ πάντων κτίστης
ἀνενδεῆ πεποίηκεν, ἄφθονον σέλας φαίνειν
καί μηδαμῶς παρά τινος ἄλλου πλείονος χρῄζειν,
πῶς δόξαν λάβοι παρ’ ἐμοῦ τοῦ τεταπεινωμένου;
Ἀνενδεής γάρ παντελῶς ὁ τοῦ ἡλίου κτίστης,
ὁ ἐμπιπλῶν τά σύμπαντα τῶν ἀγαθῶν ἁπάντων
νεύματι βουλήματι τήν ἰσχύν κεκτημένος.
Ἐν τούτῳ καί ἡ γλῶσσά μου ἐξαπορεῖ ῥημάτων
καί τά τελούμενα ὁ νοῦς ὁρᾷ, οὐχ ἑρμηνεύει·
βλέπει καί βούλεται εἰπεῖν καί λόγον οὐχ εὑρίσκει·
ἀόρατα γάρ καθορᾷ, ἀνείδεα εἰς ἅπαν,
ἁπλᾶ, πάντῃ ἀσύνθετα, ἄπειρα τῷ μεγέθει.
Οὔτε ἀρχήν γάρ καθορᾷ, οὐ τέλος ὅλως βλέπει;
Ἀνακεφαλαιούμενον ὅλον, δοκῶ, ὁρᾶται·
οὐ τῇ οὐσίᾳ πάντως δέ, ἀλλά τῇ μετουσίᾳ.
Ἐκ τοῦ πυρός ἀνάπτεις γάρ καί πῦρ ὅλον λαμβάνεις,
κἀκεῖνο μένει ἄτμητον, ἀνέκλειπτον ὡς πρῴην,
πλήν τό μεταδιδόμενον χωρίζεται τοῦ πρώτου
καί εἰς λαμπάδας γίνεται πολλάς·σωματικόν γάρ.

Ἐκεῖνο δέ πνευματικόν, ἀμέριστον ὑπάρχον,
καί παντελῶς ἀχώριστον καί ἄτμητον ὑπάρχει·
οὐ γάρ μεταδιδόμενον εἰς πολλά διαιρεῖται,
ἀλλά καί μένει ἄτμητον καί ἐν ἐμοί ὑπάρχει·
ἐξανατέλλει ἐν ἐμοί ἔνδοθεν τῆς ταλαίνης
καρδίας μου ὡς ἥλιος ἤ ὡς δίσκος ἡλίου
σφαιροειδής διεκνύμενος, φωτοειδής, ὡς φῶς γάρ.
Οὐκ οἶδα, καθώς εἴρηται, τί εἴπω περί τούτου, καί ἤθελον τοῦ
σιωπᾶν, εἴθε καί ἐδυνάμην, ἀλλά τό θαῦμα φρικτόν κινεῖ μου
τήν καρδίαν
καί ἐξανοίγει στόμα μου τό κατεσπιλωμένον,
καί μή βουλόμενον ποιεῖ λαλεῖν μέ τε καί γράφειν.
Ὁ ἀνατείλας ἄρτι μου ἐν σκοτεινῇ καρδίᾳ,
ὁ δείξας μοι θαυμάσια, ἅ ὀφθαλμοί οὐκ εἶδον,
ὁ κατελθών καί ἐν ἐμοί ὡς εἰς ἔσχατον πάντων,
ὁ ἀποστόλου μαθητήν καί υἱόν ἀποδείξας
ἐμέ, ὅν εἶχεν ὁ δεινός δράκων καί βροτοκτόνος
τό πρίν ἐργάτην ὑπουργόν πάσης παρανομίας,
ὁ πρό αἰώνων ἥλιος ὁ ἐν τῷ ᾅδη λάμψας,
ὕστερον καί φωτίσας μου ψυχήν ἐσκοτισμένην
καί χαρισάμενος ἐμοί ἀνέσπερον ἡμέραν,
τό δύσπιστον τοῖς κατ᾽ ἐμέ ὀκνηροῖς καί ῥαθύμοις,
ὁ πλήσας πάντων ἀγαθῶν τήν ἐν ἐμοί πτωχείαν,
αὐτός καί λόγον δώρησαι καί ῥήματα παράσχου
τοῦ πᾶσι διηγήσασθαι τάς σάς τερατουργίας
καί ἅπερ σήμερον ποιεῖς μεθ᾽ ἡμῶν τῶν σῶν δούλων,
ἵνα καί οἱ καθεύδοντες ἐν σκότει ῥαθυμίας
καί λέγοντες· Ἀδύνατον ἁμαρτωλούς σωθῆναι
καί, ὥσπερ Πέτρον καί λοιπούς ἀποστόλους, ἁγίους,
ὁσίους καί δικαίους τε, αὐτούς ἐλεηθῆναι,
γνώσωσι καί μαθήσωνται, ὅτι εὔκολον τοῦτο
τῇ ἀγαθότητι τῇ σῇ ἦν καί ἐστί καί ἔσται!
Καί οἱ δοκοῦντες ἔχειν σέ, τό φῶς παντός τοῦ κόσμου,
καί μή βλέπειν σε λέγοντες, μή ἐν φωτί διάγειν,
μή λάμπεσθαι, μή καθορᾶν ἀενάως σε, Σῶτερ,
μάθωσιν, ὡς οὐκ ἔλαμψας αὐτῶν ἐν διανοίᾳ,
οὐδέ κατῴκησας αὐτῶν τήν ῥυπαράν καρδίαν
καί μάτην ἐπαγάλλωνται ἐπί κεναῖς ἐλπίσιν
οἰόμενοι θεάσασθαι τό φῶς σου μετά τέλος.
Ὁ ἀραββών ἐντεῦθεν γάρ, ἡ σφραγίς πάντως ὧδε
παρά σοῦ, Σῶτερ, δίδοται τοῖς δεξιοῖς προβάτοις·

εἰ γάρ ἑκάστου θάνατος ὁ συγκλεισμός τυγχάνει
μετά τέλος ἄπρακτα πᾶσιν ἐπίσης ἔστι
καί οὔτε φαῦλον ἤ καλόν δύναταί τις ποιῆσαι,
Σωτήρ μου, πάντως ἕκαστος, ὡς εὑρεθῇ, καί ἔσται.
Τοῦτο φοβεῖ με, Δέσποτα, τοῦτο ποιεῖ με τρέμειν,
τοῦτο ἐκτήκει ἅπαντα τά αἰσθητήριά μου,
ὅτι τυφλός ἀποθανών καί μεταστάς ἐκεῖσε
οὐκέτι τοῦτον ἥλιον αἰσθητῶς θεωρήσει,
εἰ καί τό φῶς τῶν ὀφθαλμῶν ἀναστάς πάλιν λάβοι·
οὕτως οὐδ’ ὁ τόν νοῦν ἔχων τυφλόν, εἰ ἀποθάνοι,
τόν νοητόν θεάσεται ἥλιόν σε, Θεέ μου,
ἀλλά ἐκ σκότους ἐξελθών πρός σκότος ἐνδημήσει
καί εἰς αἰῶνας ἔσεται ἐκ σοῦ κεχωρισμένος.
Μηδείς ἀνθρώπων, Δέσποτα, τῶν εἰς σέ πιστευόντων,
μηδείς τῶν εἰς τό ὄνομα τό σόν βεβαπτισμένων
τό μέγα τοῦτο καί φρικτόν ὑποστήσεται βάρος
τοῦ χωρισμοῦ σου, εὔσπλαχνε· δεινή γάρ αὕτη θλῖψις,
δεινή, ἀνυπομόνητος, αἰώνιος ἡ λύπη.
Τί γάρ καί χεῖρον ἔσεται τοῦ χωρισμοῦ σου, Σῶτερ;
Τί δέ ὀδυνηρότερον ζωῆς διαζευχθῆναι
καί ζῆν ἐκεῖθεν ὡς νεκρός ζωῆς ἐστερημένος,
ἁπάντων τε τῶν ἀγαθῶν ὁμοῦ ἀποστερεῖσθαι;
Σοῦ γάρ ὁ χωριζόμενος παντός καλοῦ στερεῖται·
οὐ γάρ, ὡς ἔστιν ἐπί γῆς τά νῦν, ἔσται καί τότε·
νῦν γάρ οἱ ἀγνοοῦντές σε σωματικῶς τρυφῶσιν
ἐνταῦθα καί ἀγάλλονται ὡς ἄλογα σκιρτῶντες,
ἅπερ δέδωκας ἔχοντες εἰς ἀπόλαυσιν βίου
καί ταῦτα μόνα βλέποντες, οὕτως εἶναι δοκοῦσι
καί τά μετά τήν ἔξοδον τῆς ψυχῆς καί τοῦ βίου.
Ἀλλά κακῶς τεκμαίρονται, ἀλλά κακῶς φρονοῦσιν
οἱ λέγοντες μή μετά σοῦ, ἀλλ’ ἐν ἀνέσει εἶναι
καί τόπον ἑτοιμάζοντες τινά - ὤ ἀφροσύνης! -
μήτε φωτός μετέχοντα καί σκότους ἀμοιροῦντα,
τῆς βασιλείας ἔξωθεν, ἀλλά καί τῆς γεέννης,
καί τοῦ νυμφῶνος πόρρωθεν καί τοῦ πυρός τῆς δίκης,
ἐν ᾧ καί οἱ ταλαίπωροι εὔχονται καταντῆσαι
καί λέγουσι μή χρῄζειν σου τήν αἰώνιον δόξαν
ἤ βασιλείαν οὐρανῶν, ἀλλ’ ἐν ἀνέσει εἶναι.
Φεῦ τῆς αὐτῶν σκοτώσεως, φεῦ τῆς αὐτῶν ἀγνοίας,
φεῦ τῆς ταλαιπωρίας τε καί τῶν κενῶν ἐλπίδων!
Οὐδαμοῦ τοῦτο γέγραπται, οὐδέ γάρ ἔσται τοῦτο,

ἀλλ’ ἐν φωτί μέν ἀγαθῶν οἱ πεπραχότες θεῖα,
ἐν σκότει δ’ ἔσονται ποινῶν οἱ τῶν φαύλων ἐργάται,
μέσον δέ χάσμα φοβερόν ἑκατέρους διεῖργον,
ὡς αὐτός σύ ἐδίδαξας, ὁ ἑτοιμάσας ταῦτα.
Τῷ γάρ μέσον ἐμπίπτοντι ἀνθρώπῳ ὑπέρ πᾶσαν
βάσανον ἔσται φοβεράν τοῦτο καί τιμωρίαν,
εἰς ἄββυσον κολάσεων , εἰς χάος ἀπωλείας
ἐγκυβιστῶντι δυστυχῶς καί καταφερομένῳ,
οὗ ἐπιβῆναι δυσχερές τοῖς οὖσιν ἐν βασάνοις,
ἵνα διαπεράσωσιν ἐν τῇ γῇ τῶν δικαίων,
οἵ προαιροῦνται ἐν πυρί δεινῶς ἀποτεφροῦσθαι
ἤ γάρ εἰς χάος τό φρικτόν ἑαυτούς ἐπιρρῖψαι.
Οἱ οὖν ἐκεῖ εὐχόμενοι γενέσθαι μετά πότμον
πολλῶν δακρύων ἄξιοι τυγχάνουσι καί θρήνων,
ὅτι ὡς κτήνη ἄλογα ὅλως ἀναισθητοῦσι
καί ἑαυτῶν κατεύχονται καί ἑαυτούς πλανῶσιν.
Σύ βασιλεία οὐρανῶν, σύ γῆ, Χριστέ, πραέων,
σύ χλόης ὁ παράδεισος, σύ ὁ νυμφών ὁ θεῖος,
σύ ὁ παστός ὁ ἄρρητος, σύ ἡ τράπεζα πάντων,
σύ εἷς ὁ ἄρτος τῆς ζωῆς, σύ καινότατον πόμα,
σύ καί ὁ κρατήρ τοῦ ὕδατος, σύ καί ζωῆς τό ὕδωρ,
σύ καί λαμπάς καθ’ ἕκαστον ἄσβεστος τοῖς ἁγίοις,
σύ καί χιτών καί στέφανος καί διαιρῶν στεφάνους,
σύ καί χαρά καί ἄνεσις, σύ τρυφή τε καί δόξα,
σύ καί ἡ ἀγαλλίασις, σύ καί ἡ εὐφροσύνη,
καί λάμψει ὥσπερ ἥλιος ἡ χάρις σου, Θεέ μου,
τοῦ Παναγίου Πνεύματος ἐν πᾶσι τοῖς ἁγίοις,
καί λάμψεις ὁ ἀπρόσιτος ἥλιος τούτων μέσον
καί πάντες ἐλλαμφθήσονται κατά ἀναλογίαν
τῆς πίστεως, τῆς πράξεως, ἐλπίδος καί ἀγάπης,
καθάρσεως καί φωτισμοῦ τοῦ ἐκ τοῦ Πνεύματός σου,
Θεέ, μόνε μακρόθυμε καί κριτά τῶν ἁπάντων,
οἷς μοναί λογισθήσονται διάφοροι καί τόποι,
τά μέτρα τῆς λαμπρότητος, τά μέτρα τῆς ἀγάπης,
τῆς θεωρίας τε τῆς σῆς, τό πόσον ἔσται πάλιν
μεγαλειότητος αὐτῆς δόξα, τρυφή καί κλέος
εἰς διαιρέσεις οἰκιῶν καί μονῶν παραδόξων.
Τοῦτο σκηναί διάφοροι, τοῦτο  πολλαί οἰκίαι,
τοῦτο στολαί λαμπρόταται πολλῶν ἀξιωμάτων
καί στέφανοι παμποίκιλοι, λίθοι καί μαργαρῖται
καί ἄνθη τά ἀμάραντα ξένην ἔχοντα θέαν·

τοῦτο καί κλίναι καί στρωμναί καί τράπεζαι καί θρόνοι
καί ἅπαν, ὅπερ εἰς τρυφήν ἡδύτατον ὑπάρχει,
ἦν καί ἐστί καί ἔσεται τό βλέπειν σε καί μόνον.
Οἱ οὖν, καθάπερ εἴρηται, μή  βλέποντες τό φῶς σου,
μή παρά σοῦ βλεπόμενοι, ἀλλά κεχωρισμένοι
τῆς παναγάθου θέας σου, τῶν ἀγαθῶν στεροῦνται.
Ποῦ ἄν εὕρωσιν ἄνεσιν, ποῦ ἀνώδυνον τόπον;
Ἐν τίνι κατοικήσουσιν εὐθεῖς μή γεγονότες;
Σύν τῷ προσώπῳ σου καί γάρ εὐθεῖς κατοικιοῦσι·
μεμόρφωσαι καί γάρ αὐτῶν ἐν τῇ εὐθεῖ καρδίᾳ
καί κατοικοῦσι σύν τῇ σῇ μορφῇ ἐν σοί, Χριστέ μου.
Ὢ θαῦμα, ὤ παράδοξον ἀγαθωσύνης δῶρον!
Ἐν τῇ μορφῇ τῇ τοῦ Θεοῦ τούς ἀνθρώπους γενέσθαι
καί μορφωθῆναι ἐν αὐτοῖς τόν ἀχώρητον πᾶσι,
τόν ἀναλλοίωτον Θεόν, τόν ἄτρεπτον τῇ φύσει,
τόν εἰς πάντας βουλόμενον ἐνοικειν τούς ἀξίους,
ὡς ὅλον ἔχειν ἕκαστον ἐντός τόν βασιλέα,
τήν βασιλείαν τε αὐτήν καί τά τῆς βασιλείας
καί λάμπειν, ὥσπερ ἔλαμψεν ἀναστάς ὁ Θεός μου,
ὑπέρ ἡλίου τάς  βολάς τοῦ ὁρωμένου τούτου
καί οὕτως τῷ δοξάσαντι αὐτούς παρεστηκότες
ἔκθαμβοι διαμείνουσιν ὑπερβολῇ τῆς δόξης
καί προσθήκῃ διηνεκεῖ λαμπρότητος τῆς θείας·
οὐδέ γάρ τέλος ἔσεται προκοπῆς εἰς αἰῶνας,
ἡ στάσις τῆς  προσθήκης γάρ τοῦ ἀτελέστου τέλους
ποιήσει καί κατάληψιν πάντως ἀκαταλήπτου,
καί προσκορής γενήσεται ὁ ἀκόρεστος πᾶσιν.
Ἀλλά τό πλήρωμα αὐτοῦ καί τοῦ φωτός ἡ δόξα
ἄβυσσος ἔσται προκοπῆς, ἀτέλεστος ἀρχή δέ·
καί ὥσπερ ἔχοντες Χριστόν ἔνδον μεμορφωμένον
τούτῳ αὐτῷ παρίστανται λάμποντι ἀπροσίτως·
οὕτω τό τέλος ἐν αὐτοῖς ἀρχή τυγχάνει δόξης,
καί - ἵνα σοι σαφέστερον τό νόημα ποιήσω -
ἐν τέλει ἕξουσιν ἀρχήν καί ἐν ἀρχῇ τό τέλος.
Τόν ὑπερπλήρη νόει μοι ἀνενδεῆ προσθήκης,
τοῦ ἀτελοῦς τό τέλος δέ τούς τρέχοντα μή φθάνειν.
Εἰ γάρ παρέλθῃ οὐρανός ὁ ὁρώμενος οὗτος
καί γῆ καί πάντα τά ἐν γῇ, στοχάσθητι, τί εἶπον·
ἔσται τόπου κατάληψις, ἔνθα τέλος εὑρήσεις·
οὐ λέγω σοι σωματικόν, ἀλλά νοΐ ἰσχύσεις
καταλαβεῖν τό πλήρωμα τοῦ ἀσωμάτου κόσμου·

οὐ κόσμος δέ, ἀλλά ἀήρ ὑπάρχει ὥσπερ πρῴην·
οὐδέ ἀήρ, ἀλλ’ ἄφθεγκτος χῶρος, ὅνπερ τό πᾶν καλοῦσι,
καί ἔστιν ἄβυσσος ἀτέλεστος εἰς ἅπαν,
ἐξ ἴσης ὅλον πάντοθεν, μερῶν ἐξ ἑκατέρων·
τοῦτο τό πᾶν πεπλήρωται θεότητος τῆς θείας.
Οἱ οὖν αὐτοῦ μετέχοντες, ἐν αὐτῷ τε οἰκοῦντες,
πῶς ὅλον περιλάβωσιν, ἵνα καί κορεσθῶσιν;
Ἤ πῶς τοῦ τέλους δράξωνται τοῦ ἀτελοῦς, εἰπέ μοι;
Ἀδύνατον καί πάντῃ δέ ἀμήχανον ὑπάρχει·
οὔτε γάρ ὧδε πέλουσιν ἐν σαρκί τοῖς ἁγίοις,
οὔτε ἐκεῖ ἐν τῷ Θεῷ μεταστᾶσι τοιαύτη
ἔννοια ὅλως ἐν αὐτοῖς ὑπεισελθεῖν ἰσχύει·
καί γάρ κατακαλύπτονται φωτί τῆς θείας δόξης,
ἐλλάμπονται καί λάμπουσι καί τρυφῶσιν ἐν τούτοις
καί ἴσασιν ὡς ἀληθῶς πάσῃ πληροφορίᾳ,
ὡς ἔσεται ἀτέλεστος ἡ τούτων τελειότης
καί ἡ τῆς δόξης προκοπή ἀέναος ὑπάρξει.
Οἱ δέ Θεοῦ ἐκπίπτονες θαυμάζω, ποῦ καί στῶσιν,
ἀπό τοῦ ὄντος πανταχοῦ ἀφεστηκότες πόρρω,
καί ὄντως φρίκης, ἀδελφοί, θαῦμα μεγάλης γέμον,
δεόμενόν τε λογισμοῦ νοός πεφωτισμένου,
ἵνα καλῶς νοήσειε τοῦτο καί μή ἐμπέσῃ
εἰς αἵρεσιν ὡς ἀπιστῶν Θείου Πνεύματος λόγους.
Ἐντός μέν πάντως τοῦ παντός ὑπάρξουσι καί οὗτοι,
ἔξω τοῦ θείου δέ φωτός καί Θεοῦ ὄντως ἔξω·
ὥσπερ γάρ οἱ μή βλέποντες λάμποντος τοῦ ἡλίου,
κἄν ὅλοι περιλάμπωνται, ἔξω φωτός τελοῦσιν,
αἰσθήσει θεωρίᾳ τε κεχωρισμένοι τούτου·
οὕτως ἐστίν ἐν τῷ παντί φῶς τῆς Τριάδος θεῖον
καί μέσον οἱ ἁμαρτωλοί ἐν σκότει καθειργμένοι,
μή βλέποντες, μή αἴσθησιν ὅλως ἔχοντες θείαν,
ἀλλά κατακαιόμενοι αὐτῶν τῇ συνειδήσει
καί καταδικαζόμενοι, ἀπόρρητον τήν θλῖψιν
καί τήν ὀδύνην ἄφθεγκτον ἕξουσιν εἰς αἰῶνας.

## Β΄ Τίς ἡ ἐπί τῷ πατρί τούτῳ γενομένη ἀλλοίωσις καί πῶς καθαρθείς εἰς ἄκρον ἡνώθη Θεῷ καί οἷος ἐξ οἵου ἐγένετο, οἱ πρός Θεόν ἐρωτικοί αὐτοῦ λόγοι δηλοῦσιν ἐνταῦθα· ὅς καί θεολογῶν λέγει πρός τό τέλος περί ἀγγέλων.

Τίς ἡ ἄμετρος εὐσπλαχνία σου, Σῶτερ;
Πῶς ἠξίωσας μέλος σόν με γενέσθαι,
τόν ἀκάθαρτον, τόν ἄσωτον, τόν πόρνον;
Πῶς ἐνέδυσας στολήν με λαμπροτάτην
ἀπαστράπτουσαν αἴγλην ἀθανασίας
καί φῶς ποιοῦσαν ἅπαντά μου τά μέλη;
Σῶμα γάρ τό σόν, τό ἄχραντον καί θεῖον,
ἀπαστράπτει ὅλον πυρί θεότητός σου
ἀναφυραθέν καί συμμιγέν ἀρρήτως·
τοῦτο οὖν κἀμοί ἐδωρήσω, Θεέ μου.
Τό γάρ ῥυπαρόν καί φθαρτόν τοῦτο σκῆνος
τῷ παναχράντῳ ἑνωθέν σώματί σου
καί μιγέν τό αἷμά μου τῷ αἵματί σου
ἡνώθην, οἶδα, καί τῇ θεότητί σου
καί γέγονα σόν καθαρώτατον σῶμα,
μέλος ἐκλάμπον, μέλος ἅγιον ὄντως,
μέλος τηλαυγές καί διαυγές καί λάμπον.
Ὁρῶ τό κάλλος, βλέπω τήν λαμπηδόνα,
ἐνοπτρίζομαι τό φῶς τῆς χάριτός σου
καί τό ἄρρητον ἐκπλήττομαι τῆς αἴγλης
καί ἐξίσταμαι κατανοῶν ἑαυτόν·
ἐκ ποίου οἷος ἐγενόμην, ὤ θαῦμα!
Καί εὐλαβοῦμαι καί ἐμαυτόν αἰδοῦμαι
καί, ὡς σέ αὐτόν, καί τιμῶ καί φοβοῦμαι
καί ἐξαπορῶ, ἐντρεπόμενος ὅλως,
τό ποῦ καθίσω καί τίνι προσεγγίσω
καί ποῦ τά μέλη τά σά προσανακλίνω,
εἰς ποῖα ἔργα, εἰς ποίας ταῦτα πράξεις
ὅλως χρήσωμαι τά φρικτά τε καί θεῖα.
Δός μοι καί λαλεῖν καί πράττειν, ἅπερ λέγω,
ὦ δημιουργέ καί πλαστά καί Θεέ μου!
Εἰ γάρ, ἅ λαλῶ, οὐκ ἐκπληρῶ ἐξ ἔργου,
γέγονα χαλκός ἠχῶν μάτην μεγάλα
καί ἀναισθητῶν πρός τήν ἠχήν τῶν κτύπων·

ἀλλά μή ἀφῇς μηδέ ἐγκαταλίπῃς,
μηδέ πλανᾶσθαι ἐάσῃς με, Σωτήρ μου,
καί ταλαίπωρον, τόν πτωχόν τε καί ξένον,
τόν μυρία σοι τάλαντα χρεωστοῦντα,
ἀλλ' ὥσπερ πάλαι, καί νῦν πατρῴας πάσης,
πατρός, ἀδελφῶν, μητρός, ἰδίων, ξένων
καί ἄλλων πάντων συγγενῶν τε καί φίλων
ἀπεχώρισας ἁμαρτωλόν με ὄντα
καί πάντων τούτων εὐτελέστερον, Σῶτερ,
καί προσελάβου σαῖς ἀχράντοις ἀγκάλαις
τόν ἀγνώμονα φανέντα τοῖς καλοῖς σου.
Οὕτω καί νῦν με ἐλέησον, οἰκτίρμον,
οὕτω μᾶλλον δέ μειζόνως, ὦ Θεέ μου,
καί σπλαχνίσθητι καί περιφύλαξόν με
καί τοῦ θυμοῦ μου πράϋνον τάς κινήσεις
καί ἱκάνωσον τοῦ μακροθύμως φέρειν
πάντα πειρασμόν καί λύπην τήν τοῦ βίου,
ὅσα ἐμαυτῷ προξενῶ κακοφρόνως,
ὅσα δαιμόνων πειράζει φθονερά φύσις
καί οἱ ἀσθενεῖς τούτων τῶν ἀδελφῶν μου
ἔργῳ μοι, λόγῳ προξενοῦσι· φεῦ, οἴμοι,
ὅτι τά ἐμά μέλη με δαπανῶσι,
καί ὀδυνῶμαι δι' αὐτά ταῦτα πάλιν.
Ἄγομαι ποσί κεφαλή λαχών εἶναι,
καί γυμνοποδῶ καί ἀκάνθαις κεντοῦμαι
καί σφόδρα ἀλγῶ τήν ὀδύνην μή φέρων·
τοῖς ἔμπροσθεν εἷς τῶν ἐμῶν ποδῶν βαίνει
καί εἰς τοὐπίσω στρέφεται πάλιν ἄλλος·
ἔνθεν κἀκεῖθεν σύρουσιν, ἕλκουσί με
καί περισκελίζομαι καί πίπτω κάτω.
Ἀκολουθεῖν οὖν οὐκ ἰσχύω τοῖς πᾶσι·
τό κεῖσθαι κακόν καί τό ὁδεύειν οὕτως
χεῖρον πέλει τοῦ κεῖσθαι, ὡς δεινόν ὄντως,
ὡς πάσας ἄλλας συμφοράς ὑπερβαῖνον.
Κύριε, δός μοι κατάνυξιν καί πένθος
ἀξίωσον ἐν τῷ σκότει τοῦ βίου,
ἐν τῷ κόσμῳ τούτῳ τε, τῷ τῆς λύπης χωρίῳ
ἐκδουλεῦσαί σοι καί καλῶς θεραπεῦσαι
καί τάς ἁγίας ἐντολάς σου φυλάξαι.
Εὐχαριστῶ σοι, ὅτι ζῆν δέδωκάς μοι
καί γινώσκειν σε καί προσκυνεῖν, Θεέ μου·

τοῦτο γάρ ζωή, τό σέ γινώσκειν μόνον
Θεόν, κτίστην τε καί ποιητήν ἁπάντων,
ἀγέννητον, ἄκτιστον, ἄναρχον, μόνον,
καί τό σόν υἱόν ἀπό σοῦ γεννηθέντα,
καί ἐκπορευτόν τό Πανάγιον Πνεῦμα,
τήν πανύμνητον τριαδικήν μονάδα,
ἥν τό προσκυνεῖν εὐσεβῶς καί λατρεύειν
ὑπέρ δόξαν ἅπασαν ἄλλην ὑπάρχει,
κἄν ἐπίγειον, κἄν οὐράνιον εἴπῃς.
Τί γάρ ἀγγέλων, τί δέ τῶν ἀρχαγγέλων,
κυριοτήτων, Χερουβίμ, Σεραφίμ τε
καί πασῶν ἄλλων στρατιῶν οὐρανίων
ὑπάρχει δόξα ἤ φῶς ἀθανασίας
ἤ χαρά ἤ ἔλλαμψις ζωῆς ἀΰλου,
εἰ μή τό ἕν φῶς τῆς Ἁγίας Τριάδος
διαιρούμενον τρισσῶς ἀδιαιρέτως,
ὅ ἕν ὑπάρχει ἐν τρισί χαρακτῆρσι,
γινωσκόμενον ἀγνώστως, ὅσον θέλει;
Οὐδέ γάρ ἐνδέχεται κτίσμα τόν κτίστην
οὕτω γινώσκειν ἤ νοΐ βλέπειν ὅλον,
ὡς αὐτός οἶδεν ἑαυτόν κατά φύσιν·
κατά χάριν δέ βλέπουσι καί νοοῦσιν
ἄγγελοι πάντες καί πᾶσα κτιστή φύσις,
οὐ καταλαμβάνοντες, ἀλλά νοοῦντες,
καθό γνωσθῆναι ἤ φανῆναι θελήσει
τοῖς τυφλοῖς τό φῶς ἤ καί βλέπουσι πάντως·
καί γάρ ὀφθαλμός χωρίς φωτός οὐ βλέπει,
ἀλλά καί ὁρᾶν ἐκ τοῦ φωτός λαμβάνει,
ὅτι παρ’ αὐτοῦ καί ἐδημιουργήθη.
Κἄν ἀσώματον, κἄν ἐνσώματον εἴπῃς,
εὑρήσεις πάντα Θεόν πεποιηκότα.
Τά ἐν οὐρανοῖς εἴ τι δι’ ἄν καί ἀκούσῃς,
τά ἐπί τῆς γῆς καί τά ἐν ταῖς ἀβύσσοις,
καί τούτων πάντων μία ζωή καί δόξα,
μία ἔφεσις καί μία βασιλεία,
πλοῦτος, χαρά, στέφανος, νῖκος, εἰρήνη
καί πᾶσα εὐπρέπεια ὑπάρχει ἄλλη,
ἡ ἐπίγνωσις τῆς ἀρχῆς καί αἰτίας,
ὅθεν παρήχθη καί γεγόνασι πάντα.
Τοῦτο σύστασις τῶν ἄνω καί τῶν κάτω,
τοῦτο ἡ τάξις πάντων τῶν νοουμένων,

τοῦτο δούλωσις πάντων τῶν ὁρωμένων,
τοῦτο ἔσχον ἄγγελοι στάσιν βεβαίαν
προσλαβόμενοι γνῶσιν καί φόβον πλείω,
ὅτει πίπτοντα τόν Σατανᾶν ἑώρων
καί τούς σύν αὐτῷ ὑπαχθέντας οἰήσει·
ὅσοι γάρ μόνον ἐπελάθοντο τούτου
καί κατέπεσον ἐπάρσει δουλωθέντες,
ὅσοι δέ τοῦτο πάλιν εἶχον εἰς γνῶσιν,
ἐκουφίζοντο φόβῳ καί τῇ ἀγάπῃ,
προσκολλώμενοι τῷ ἑαυτῶν Δεσπότῃ.
Ὅθεν ἡ ἐπίγνωσις τῆς δεσποτείας
καί τήν προσθήκην τῆς ἀγάπης ἐποίει,
ὅτι καί πλείω τήν ἀστράπτουσαν αἴγλην
καί τρανοτέραν ἑώρων τῆς Τριάδος,
καί τοῦτο πάλιν πᾶσαν ἔννοιαν ἄλλην
ἀπεκρούετο καί ἀτρέπτους ἐποίει
τούς τρεπτήν φύσιν τό κατ' ἀρχάς λαβόντας,
ἐν τῷ ὕψει μένοντας τῶν οὐρανίων.

## Γ'. Τίς ὁ μοναχός καί καί τίς ἡ αὐτοῦ ἐργασία· καί εἰς οἷον ὕψος οὗτος ὁ θεῖος πατήρ θεωρίας ἀνῆλθεν.

Μοναχός, ὅστις ἀμιγής ἐστι κόσμῳ
καί ἀενάως ὁμιλεῖ Θεῷ μόνῳ,
βλέπων βλέπεται, φιλῶν φιλεῖται
καί γίνεται φῶς λαμπόμενος ἀρρήτως·
δοξαζόμενος δοκεῖ πλέον πτωχεύειν
καί προσοικειούμενος ὡς ξένος πέλει.
Ὢ ξένου πάντῃ θαύματος καί ἀφράστου!
Διά πλοῦτον ἄπειρον ὑπάρχω πένης
καί μηδέν ἔχειν δοκῶ πολύ κατέχων
καί λέγω· Διψῶ διά πλῆθος ὑδάτων
καί τίς μοι δώσει, ὅπερ ἔχω πλουσίως,
καί ποῦ εὑρήσως, ὅν ὁρῶ καθ' ἑκάστην;
Πῶς δέ κρατήσω, ὅ ἐντός μου ὑπάρχει
καί ἔξω κόσμου, οὐ γάρ βλέπεται ὅλως;
Ὁ ἔων ὦτα ἀκούειν ἀκουέτω
νοῶν ἀληθῶς ῥήματα ἀγραμμάτου.

## Δ'. Διδασκαλία εἰς μοναχούς ἄρτι ἀποταξαμένους κόσμῳ καί τοῖς ἐν κόσμῳ· καί περί τοῦ, ὁποίαν τις ὀφείλει πίστιν ἔχειν πρός τόν ἴδιον πατέρα.

Ἄφες κόσμον ἅπαντα καί τούς ἐν κόσμῳ·
μόνον προσλαβοῦ τό μακάριον πένθος.
Θρήνησον μόνα τά κακῶς σοι πραχθέντα,
ὅτι ταῦτά σε τοῦ ποιητοῦ τῶν ὅλων
ἀπεστέρησαν, Χριστοῦ καί τῶν ἁγίων.
Μηδενός ἄλλου φροντίσῃς ἐκτός τούτου,
ἀλλά καί τό σῶμά σου ὡς ξένον ἔχε
καί κάτω βλέπε ὡς κατακεκριμένος
καί τήν ἐπί θάνατον ὁδόν βαδίζων
στέναζε ἀεί ἐκ βάθους τῆς καρδίας
Καί τό πρόσωπον μόνοις δάκρυσι πλῦνε.
Τούς δέ πόδας σου, τούς εἰς κακά δραμόντας
μή θελήσῃς ὕδατι νίψαι μηδόλως,
ναί δή, καί τάς χεῖράς σου συνεσταλμένας ἔχε·
ταύτας ἀναιδῶς πρός Θεόν μή ἐκτείνῃς,
ἅς πολλάκις ἥπλωσας εἰς ἁμαρτίαν.
Κράτει προπετοῦς, ὅση δύναμις, γλώσσης
-εὐχερής  καί γάρ αὕτη πρός ἁμαρτίαν -,
ἐπεί δι' αὐτῆς μόνης καί τῶν μεγάλων
πολλοί ἀπεσφάλησαν ὁδοῦ εὐθείας
καί ἀπώλεσαν οὐρανῶν βασιλείαν.
Ταύτης δέ πρῶτον φράξον τάς ἀκοάς σου,
ἀκούειν μηδέν τῶν αἰσχρῶν καί ματαίων,
καί τότε ἴσως κυριεύσεις καί ταύτης.
Ἄκουε μόνας πατρός σου νουθεσίας,
ποιοῦ ταπεινάς πρός αὐτόν ἀποκρίσεις
καί ὡς τῷ Θεῷ λέγε τούς λογισμούς σου
μέχρι προσβολῆς καί μηδέν ἀποκρύψῃς.
μηδέ τι πράξῃς ἄνευ γνώμης τῆς τούτου,
μηδέ κοιμηθῇς μήτε φάγῃς ἤ πίῃς.
Καί ὅτε ταῦτα φυλάξῃς ἐπί χρόνοις,
μηδέν δοκήσῃς μέγα κατωρθωκέναι·
καί γάρ ἔσπειρας ἔν ἱδρῶτι καί κόπῳ,
οὔπω δέ καρπόν τῶν σῶν πόνων ἐδρέψω.
Μή οὖν πλανηθῇς ἤ δόξῃς εὑρηκέναι,

πρίν ἤ ὀφθαλμούς ψυχικούς ἐπικτήσῃ
καί σῆς καρδίας καθαρθῶσι τά ὦτα
τοῖς δάκρυσί σου ἐκπλυθέντα τοῦ ῥύπου
καί πνευματικῶς βλέπειν τε καί ἀκούειν
καί ἀλλοτριοῦσθαι ὅλας αἰσθήσεις ἄρξῃ,
καί γάρ θεάσῃ πολλά τῶν ἀνεκφράστων
καί ἀκούσεις πλείονα πανεξαισίως,
ἅ οὐ δυνήσῃ τῇ γλώσσῃ σου λαλῆσαι.
Φρικτόν οὖν θαῦμα πνευματικῶς ἀκούειν,
καί τό οὕτως βλέπειν δέ θαῦμα θαυμάτων!
Οὐδέν σαρκικόν ἐννοεῖ ποτε ὁ τοιοῦτος,
πατεῖ δέ τήν γῆν ὡς εἰς ἀέρα βαίνων,
πάντα τε ὁρᾷ μέχρι καί τῶν ἀβύσσων
καί κατανοεῖ τά ποιήματα πάντα,
γνωρίζει Θεόν, ἐκπλήττεται τῷ φόβῳ
καί ὡς ποιητήν προσκυνεῖ καί δοξάζει·
μέγα τό γνωρίσαι δέ τήν δεσποτείαν,
κἄν πάντες νομίζωσι τοῦτο εἰδέναι,
ἀπατῶνται δέ πλεῖστοι, μή ἀμφιβάλλῃς!
Τοῦτο ἴσασιν οἱ φωτισθέντες,
οἱ δ’ ἄλλοι πάντες, ὤ τῆς δεινῆς ἀγνοίας,
σκοτεινότεροί εἰσι καί τῶν δαιμόνων.
Ἀλλ’ ὦ Κύριε καί Κτίστα τῶν ἁπάντων,
ὅς ἐποίησας ζῷον θνητόν ἐκ γῆς με
καί ἐτίμησας χάριτι ἀθανάτῳ
καί ζῆν δέδωκας καί λαλεῖν καί κινεῖσθαι
καί δοξάζειν σέ, τόν Δεσπότην τῶν ὅλων,
αὐτός, Δέσποτα, δός μοι τῷ ταλαιπώρῳ
καί προσπίπτειν σοι καί αἰτεῖν τό συμφέρον.
Ἀγνοῶ καί γάρ, πῶς παρήχθην ἐν κόσμῳ
καί τί τά τῇδε, ἅ νομίζουσιν εἶναι·
τίς ἡ ὅρασις ἡ ἐμή, ὦ Θεέ μου,
τί δέ τά ὁρώμενα, εἰπεῖν οὐκ ἔχω,
πῶς ἐματαιώθημεν ἄνθρωποι πάντες
καί κρίσιν ὀρθήν οὐκ ἔχομεν τῶν ὄντων.
Χθές ἦλθον πάντως καί αὔριον ὑπάγω
καί εἶναι δοκῶ ἀθάνατος ἐνταῦθα.
Ἔχειν σε Θεόν ὁμολογῶ τοῖς πᾶσιν,
ἀρνοῦμαι δέ σε τοῖς ἔργοις καθ’ ἑκάστην·
διδάσκομαί σε ποιητήν εἶναι πάντων,
ἄνευ δέ σοῦ βιάζομαι πάντα ἔχειν.

Σύ βασιλεύεις τῶν ἄνω καί τῶν κάτω
κἀγώ μόνος σοι ἀντιπίπτειν οὐ φρίσσω·
δός τῷ ἀπόρῳ, δός μοι τῷ παναθλίῳ
πᾶσαν ἀπορρίψασθαι ψυχῆς κακίαν,
ἥν φυσίωσις, ἥν ἔπαρσις ματαία
συνθλῶσιν ἅμα καί συντρίβουσιν, οἴμοι!
Δός ταπείνωσιν, δός χεῖρα βοηθείας
καί καθάρισον τόν ῥύπον τῆς ψυχῆς μου
καί παράσχου μοι δάκρυα μετανοίας,
δάκρυα πόθου, δάκρυα σωτηρίας,
δάκρυα καθαίροντα ζόφον νοός μου
καί λαμπρόν με ἄνωθεν ἀποτελοῦντα,
τόν ὁρᾶν σε θέλοντα, τό φῶς τοῦ κόσμου,
τό φῶς τῶν ἐμῶν ὀφθαλμῶν, τοῦ ἀθλίου,
καί καρδίαν γέμουσαν κακῶν τοῦ βίου
ἔχοντος πολλῶν ἐκ θλίψεων καί φθόνου
τῶν δραματουργῶν τῆς ἐμῆς ἐξορίας
ἤ, μᾶλλον εἰπεῖν, τῶν ἐμῶν εὐεργετῶν,
τῶν δεσποτῶν μου, τῶν ἐμῶν ὄντως φίλων,
οἷς ἀντί κακῶν δός ἀγαθά, Χριστέ μου,
τά αἰώνια, τά καί πλούσια καί θεῖα,
ἅ ἡτοίμασας εἰς αἰῶνας αἰώνων
τοῖς σέ ποθοῦσι καί φιλοῦσιν ἐκθύμως.

## Ε'. Ἀλφάβητος τοῦ αὐτοῦ κατά στοιχεῖον διπλοῦς προτρέπων καί ὁδηγῶν εἰς τελειότητα βίου ἀναδραμεῖν τόν ἄρτι ἀπό τοῦ κόσμου ἀναχωρήσαντα.

Ἀρχήν ποιήσας Χριστόν καί θερμήν πίστιν
οὕτως ἀναχώρησον ἀπό τοῦ κόσμου.
Βάδιζε φεύγων συγγενεῖς τε καί φίλους,
τοῦτο γάρ ὠφέλιμον τοῖς ἀρχαρίοις.
Γυμνός πρόσελθε τῶν ὑλῶν τῷ ἀΰλῳ,
οὐδέν μεῖζον εὑρήσεις εἰς συμμαχίαν.
Δειλίαν πᾶσαν ἀπό σοῦ ἀπορρίψας,
πρός δυνατόν γάρ προσέφυγες Δεσπότην.
Ἐλπίδα μᾶλλον προσλαβών ἀδιστάκτως,
καί γάρ κήδεται τῶν μικρῶν στρουθίων.
Ζυγόν βάστασον τόν ἐλαφρόν Κυρίου,
πολλή ἡ ἀντίδοσις γάρ τῶν μελλόντων.
Ἡμᾶς βροτούς ἅπαντας σῴζοντας δῶρον,
καί γάρ ἠγοράσθημεν αἵματι θείῳ·
θεούς δεικνύντα δυνάμει τοῦ καλοῦντος,
τοῦτο γάρ ἡ σάρκωσις ἡ τοῦ Δεσπότου,
ἵν’ ἔργῳ γνῷς τῶν ἔργων τάς ἐκβάσεις·
τό πάντων θαυμαστότερον τῶν ὁρωμένων!
Καλόν σοι κέρδος ἐκκοπή θελημάτων,
μάρτυρα δεικνύει σε τῇ συνειδήσει.
Λόγους πατρός σου καί πρστάγματα πρᾶττε,
ὁδηγοῦσι γάρ τήν ὁδόν ἀπροσκόπως
μέχρι θανάτου· ὕψος γάρ τοῦτο μέγα!
Θεός φαίνεται διά σέ τοῦτο πρᾶξας.
Νόμιζε εἶναι εὐτελέστερος πάντων,
τοῦτο πρῶτόν σε ποιεῖ τῆς βασιλείας,
ξένος τε πτωχότερος, ταπεινότερος ἄλλων·
μεγάλα ὄντως, εἰ ταῦτα κατορθώσῃς.
Ὅλος ὑπάρξῃς μιμητής τοῦ Δεσπότου,
τί δέ ὑπάρχει ἀγαθότερον τούτου;
Πάντα κατορθοῖ τό πενθεῖν καθ’ ἑκάστην,
γλυκύ γάρ τοῦτο ὑπέρ βρῶσιν καί πόσιν
ῥεόντων καί ἑστώτων διδάσκον γνῶσιν·
ἀφιστᾷ γάρ πρότερον παντός τοῦ κόσμου.
Σιωπήν ἄσκει, τήν φυλάττουσαν ταῦτα,

ῥίζας κόπτει γάρ ἀνωφελεῖς παντοίας.
Τήν μνήμην ἔχει πάντοτε τοῦ θανάτου·
αὕτη γάρ πρόξενος ταπεινώσεως πέλει·
Ὑφ’ ὧν καθαρθείς καί αὐγασθείς καρδίαν
ὤ τοῦ θαύματος τοῦ ζητουμένου πᾶσι
φῶς ἀξιωθῇς ἰδεῖν καλῶς τό θεῖον,
βέλος γάρ ἐστιν ἄϋλον ἐξ ἀΰλου·
Χριστός δέ ἐστιν ἡ τελεία ἀγάπη,
ὁ ἔχων αὐτήν θέσει Θεός ὑπάρχει,
ψυχάς φωτίζων τάς αὐτόν ἐκζητούσας·
αὗται μόναι ζήσονται, μηδείς πλανάσθω!
Ὢ θεοποιός ἀγάπη, Θεός οὖσα!
Ἔκπληξις τοῦτο καί δυσεύρετον πρᾶγμα.

## ΣΤ'. Τετράστιχα τοῦ αὐτοῦ τόν πρός Θεόν αὐτοῦ ἐντεῦθεν δεικνύοντα ἔρωτα.

Πῶς καί πῦρ ὑπάρχεις βλύζον,
πῶς καί ὕδωρ εἶς δροσίζον,
πῶς καί καίεις καί γλυκαίνεις,
πῶς φθοράν ἐξαφανίζεις;
Πῶς θεούς ποιεῖς ἀνθρώπους,
πῶς τό σκότος φῶς ἐργάζῃ,
πῶς ἀνάγεις ἐκ τοῦ ᾅδου,
πῶς θνητούς ἐξαφθαρτίζεις;
Πῶς πρός φῶς τό σκότος ἕλκεις,
πῶς τήν νύκτα περιδράσσῃ,
πῶς καρδίαν περιλάμπεις,
πῶς με ὅλον μεταβάλλεις;
Πῶς ἑνοῦσαι τοῖς ἀνθρώποις,
πῶς υἱούς Θεοῦ ἐργάζῃ,
πῶς ἐκκαίεις σου τῷ πόθῳ,
πῶς τιτρώσκεις ἄνευ ξίφους;
Πῶς ἀνέχῃ, πῶς βαστάζεις,
πῶς εὐθύς οὐκ ἀποδίδως,
πῶς ὑπάρχων ἔξω πάντων
βλέπεις πάντων τά πρακτέα;
Πῶς μακράν ἡμῶν τυγχάνων
καθορᾷς ἑκάστου πρᾶξιν;
Δός ὑπομονήν σοῖς δούλοις,
μή καλύψῃ τούτους θλῖψις!

## Ζ'. Ἔντευξις τοῦ αὐτοῦ εἰς Θεόν· καί ὅπως Θεῷ συναπτόμενος καί δόξαν Θεοῦ ὁρῶν ἐν ἑαυτῷ ἐνεργοῦσαν ἐξεπλήττετο.

Πῶς σε ἐντός μου προσκυνῶ, πῶς δέ μακράν σε βλέπω,
πῶς ἐν ἐμοί κατανοῶ, ἐν οὐρανῷ δ’ ὁρῶ σε;
Σύ μόνος οἶδας, ὁ ποιῶν ταῦτα καί λάμπων ὥσπερ
ἥλιος ἐν καρδίᾳ μου, τῇ ὑλικῇ, ἀΰλως.
Ὁ διαυγάσας μοι τό φῶς τῆς δόξης σου, Θεέ μου,
διά τοῦ ἀποστόλου σου καί μαθητοῦ καί δούλου,
τοῦ παναγίου Συμεών, αὐτός καί νῦν μοι λάμψον
καί δίδαξον ἐν Πνεύματι ὕμνους ἐκείνῳ ᾆσαι,
καινούς ὁμοῦ καί παλαιούς, θείους καί κεκρυμμένους,
ἵν’ ἐξ ἐμοῦ θαυμαστωθῇ ἡ γνῶσίς σου, Θεέ μου,
καί ἡ σοφία ἡ πολλή παραδειχθῇ μειζόνως·
καί πάντες σε αἰνέσουσιν ἀκούσαντες, Χριστέ μου,
ὅτι καιναῖς ἐγώ λαλῶ γλώσσαις τῇ χάριτί σου.
Ἀμήν, γένοιτο, Κύριε, κατά τό θέλημά σου.
Ἐγώ πονῶ, ἐγώ ἀλγῶ τήν ταπεινήν ψυχήν μου,
ὅταν φανῇ ἐντός αὐτῆς λάμψαν τρανῶς τό φῶς σου·
ὁ πόθος πόνος παρ’ ἐμοί καί καλεῖται καί ἔστιν.
Ἄλγος τῷ μή ἰσχύειν με ὅλον περιλαβεῖν σε
καί κορεσθῆναι, ὡς ποθῶ, ὑπάρχει μοι καί στένω·
ὅμως ὅτι καί βλέπω σε, ἀρκετόν μοι καί τοῦτο
καί δόξα ἔσται καί χαρά καί στέφος βασιλείας,
καί ὑπέρ πάντα τά τερπνά καί ποθεινά τοῦ κόσμου·
τοῦτο καί τῶν ἀγγέλων με ὅμοιον ἀποδείξει,
ἴσως καί μείζοντα αὐτῶν, Δέσποτά μου, ποιήσει.
Εἰ γάρ ἀόρατος αὐτοῖς ὑπάρχεις τῇ οὐσίᾳ,
τῇ φύσει τε ἀπρόσιτος, ἐμοί δέ καθορᾶσαι,
πάντως καί τῇ τῆς φύσεώς σου μίγνυσαί μοι οὐσία·
οὐ γάρ διΐσταται τά σά, οὐ τέμνονται δέ ὅλως,
ἀλλ’ ἡ φύσις οὐσία σου καί ἡ οὐσία φύσις.
Τῆς οὖν σαρκός σου μετασχών τῆς φύσεως μετέχω
καί τῆς οὐσίας ἀληθῶς τῆς σῆς μεταλαμβάνω,
συγκοινωνός θεότητος, ἀλλά καί κληρονόμος
γινόμενος ἐν σώματι, μείζων τῶν ἀσωμάτων
ὑπολαμβάνω, γίνομαι υἱός Θεοῦ, ὡς εἶπας,
οὐ πρός ἀγγέλους, πρός ἡμᾶς δέ, θεούς οὕτω καλέσας·

Ἐγώ εἶπα· Θεοί ἐστε καί υἱοί Ὑψίστου πάντες.
Δόξα τῇ εὐσπλαγχνίᾳ σου καί τῇ οἰκονομίᾳ,
ὅτι ἄνθρωπος γέγονας Θεός ὤν κατά φύσιν,
ἀτρέπτως, ἀσυγχύτως τε μείνας τοῦτο κἀκεῖνο
καί θεόν με πεποίηκας, βροτόν ὄντα τήν φύσιν,
θέσει καί χάριτι τῇ σῇ διά τοῦ Πνεύματός σου
τά διεστῶτα ὡς Θεός παραδόξως ἑνώσας.

## Η'. Τίσι Θεός ἐμφανίζεται καί τίνες ἐν ἕξει γίνονται τοῦ καλοῦ διά τῆς τῶν ἐντολῶν ἐργασίας.

Πῶς βλέπεις κεκρυμμένος ὤν, πῶς ἐφορᾷς τά πάντα,
πῶς οὐχ ὁρᾶσαι παρ' ἡμῶν, ἡμᾶς ὁρᾷς δέ πάντας;
Ἀλλ' οὐχί πάντας, οὕς ὁρᾷς, καί γινώσκεις, Θεέ μου,
ἀλλά τούς ἀγαπῶντάς σε μόνους φιλῶν γινώσκεις
καί κατ' ἐξαίρετον αὐτοῖς σεαυτόν ἐμφανίζεις·
ἥλιος κεκρυμμένος ὤν πάσῃ βροτείᾳ φύσει
ἐξανατέλλεις ἐν τοῖς σοῖς, ὁρᾶσαι παρ' ἐκείνων,
καί ἀνατέλλουσιν ἐν σοί οἱ πρίν ἐσκοτισμένοι
πόρνοι, μοιχοί καί ἄσωτοι, ἁμαρτωλοί, τελῶναι.
Μετανοοῦντες γίνονται υἱοί φωτός σου θείου·
τό φῶς δέ φῶς πάντως γεννᾷ, φῶς οὖν καὐτοί τελοῦσι,
τέκνα Θεοῦ, ὡς γέγραπται, θεοί τε κατά χάριν.
Ὅσοι καλῶς φυλάξουσι τάς θείας ἐντολά σους,
ὅσοι κόσμον ἀρνήσονται τόν μάταιον καί πλάνον,
ὅσοι γονεῖς καί ἀδελφούς μισήσουσιν ἀμίσως,
ὡς ξένους ἡγησάμενοι τῷ βίῳ παροδίτας,
ὅσοι γυμνοί γενήσονται πλούτου τε καί χρημάτων
καί τήν προσπάθειαν αὐτῶν ἀρνήσονται εἰς ἅπαν,
ὅσοι τήν δόξαν τήν κενήν, ἀνθρώπων τούς ἐπαίνους,
ἀπό ψυχῆς βδελύξονται διά τήν τῶν ἄνω δόξαν,
ὅσοι θέλημα ἴδιον ἐξέκοψαν τελείως
καί ὡς ἄκακα πρόβατα ἐγένοντο τοῖς ποιμέσιν,
ὅσοι νεκροί τῷ σώματι πρός πᾶσαν κακήν πρᾶξιν
γεγόνασιν ἱδρώσαντες εἰς ἀρετῶν τούς πόνους
καί μόνῳ τῷ θελήματι ζῶντες τοῦ κυβερνήτου,
ὑπακοῇ νεκρούμενοι, ζωούμενοί τε αὖθις,
ὅσοι τῷ φόβῳ τοῦ Θεοῦ καί μνήμῃ τοῦ θανάτου
καθ' ἑκάστην δακρύουσι νύκτα τε καί ἡμέραν
καί νοερῶς προσπίπτουσι τοῖς ποσί τοῦ Δεσπότου
ἔλεος ἐξαιτούμενοι καί ἄφεσιν σφαλμάτων·
οὗτοι ἐν ἕξει γίνονται τοῦ καλοῦ διά πάσης
τῆς ἐργασίας τῶν καλῶν θρηνοῦντες καθ' ἑκάστην
καί ἐπιμόνως κρούοντες ἔλεος ἐπισπῶνται.
Οὗτοι δεήσεσι συχναῖς, φωναῖς τε ἀλαλήλοις
καί τῶν δακρύων ταῖς ῥοαῖς ψυχήν ἐκκαθαίρουσι·
καθαιρομένην δέ αὐτήν βλέποντες οἱ τοιοῦτοι

πῦρ πόθου προσλαμβάνονται καί πῦρ ἐπιθυμίας,
τοῦ τέλεον θεάσασθαι ταύτην ἐκκαθαρθεῖσαν.
Ἐπεί δέ τέλος τοῦ φωτός εὑρεῖν ἀδυνατοῦσιν,
ἀτέλεστος ἡ κάθαρσις ὑπάρχει τοῖς τοιούτοις·
ὅσον γάρ καθαρθήσομαι καί λαμπρυνθῶ, ὁ τάλας,
ὅσον δ᾽ ἄν καί ὀφθήσεται τό καθαῖρόν με Πνεῦμα,
ἀρχή μοι πάντοτε δοκεῖ καί καθαρμοῦ καί θέας.
Ἐν ἀορίστῳ γάρ βυθῷ, ἐν ἀμετρήτῳ ὕψει
τίς ἐφευρεῖν δυνήσεται μεσότητα ἤ τέλος;
Οἶδα, ὅτι πολύ ἐστι, τό δέ ποσόν οὐκ οἶδα·
ἐπιθυμῶ τοῦ πλείονος καί πάντοτε στενάζω,
ὅτι ὀλίγον τό δοθέν, εἰ καί πολύ ἡγοῦμαι,
πρός τό ὑπονοούμενον μακρόθεν μου τυγχάνειν,
ὅπερ ὁρῶν ἐπιθυμῶ, καί δοκῶ μηδέν ἔχειν,
μή ὅλως αἰσθανόμενος τοῦ δοθέντος μοι πλούτου.
Ὅτι ὁρῶ τόν ἥλιον, οὐ λογίζομαι τοῦτο·
καί πῶς; Ἄκουσον, πίστευσον, ὅπερ ἐγώ πανθάνω·
γλυκύς ἐστιν ὁ ἥλιος, ἀρρήτως ἐν αἰσθήσει
ἕλκων εἰς πόθον τήν ψυχήν ἀνέκφραστον καί θεῖον.
Ὁρῶσα αὕτη φλέγεται καί καίεται τῷ πόθῳ
καί ὅλον τό φαινόμενον κατασχεῖν ἔνδον ταύτης
θέλει, ἀλλά οὐ δύναται καί λυπεῖται ἐν τούτῳ
καί οὐ λογίζεται καλόν ἤ ὁρᾶν ἤ πανθάνειν.
Ὅτε οὖν ὁ ὁρώμενος ἀχώρητος ὤν πᾶσιν,
ἀπρόσιτος ἐπαληθῶς θελήσει ἐλεῆσαι
τήν τεθλιμμένην μου ψυχήν καί τεταπεινωμένην,
αἴφνης, οἷος ὁρᾶταί μοι πρό προσώπου ἐκλάμπων,
τοιοῦτος ὅλος ἐν ἐμοί ὁρᾶται ἐξαστράπτων
καί ὅλος ὅλης με χαρᾶς, πάσης ἐπιθυμίας
ἐμπιπλᾷ καί γλυκύτητος, τόν ταπεινόν, τῆς θείας·
ἀθρόα ἡ μεταβολή, ἡ ἀλλοίωσις ξένη,
τό ἐν ἐμοί τελούμενον ἀνέκφραστον τυγχάνει.
Εἰ γάρ τοῦτον τόν ἥλιον, ὅνπερ πάντες ὁρῶμεν,
ἔνδον ἐν τῇ καρδίᾳ τις ἔβλεψε κατελθόντα
καί ὅλον ἐνοικήσαντα καί λάμποντα ὡσαύτως,
οὐχί νεκρός τῷ θαύματι καί ἄφωνος ὑπῆρξε,
καί πάντες ἐξεπλάγησαν οἱ τοῦτον κατιδόντες;
Ὁ δέ τόν τούτου ποιητήν ὁρῶν φωστῆρος δίκην
ἐντός αὐτοῦ ἐκλάμποντα, ἐνεργοῦντα, λαλοῦντα,
πῶς ἄν οὐκ ἐκπλαγήσεται βλέπων, πῶς ἄν οὐ φρίξει,
πῶς ἄν οὐκ ἀγαπήσειε τόν τήν ζωήν διδόντα;

Ἄνθρωποι τούς ὁμοίους αὐτοῖς ἀνθρώπους ἀγαπῶσιν,
ὅταν τῶν ἄλλων πλέον τι δοκῶσιν ὑπερέχειν·
τόν δέ τῶν πάντων ποιητήν, τόν ἀθάνατον μόνον,
τόν πᾶσι πάντα δυνατόν τίς ἰδών οὐ ποθήσει;
Ἐξ ἀκοῆς πιστεύσαντες ἠγάπησαν οἱ πλείους
καί δι' αὐτόν ἀπέθανον οἱ ἅγιοι καί ζῶσιν·
οἱ δέ καί θέας τῆς αὐτοῦ καί φωτός μετασχόντες,
γνωσθέντες καί γνωρίσαντες αὐτόν, πῶς μή ποθοῦσιν;
Εἰπέ, πῶς οὐ πενθήσουσι δι' αὐτόν ἀενάως,
πῶς οὐ καταφρονήσουσι κόσμου καί τῶν ἐν κόσμῳ;
Πῶς δέ οὐκ ἀπαρνήσονται πᾶσαν τιμήν καί δόξαν,
ὑπέρ τήν δόξαν τήν ἐν γῇ, ὑπέρ πᾶσαν τιμήν δέ
γενόμενοι, τόν ἔξω γῆς, ἔξω τῶν ὁρωμένων πάντων,
μᾶλλον δέ τόν ποιήσαντα τά ὁρώμενα πάντα,
ναί δή καί τά ἀόρατα, ποθήσαντες Δεσπότην
καί δόξαν τήν ἀθάνατον εὑρόντες καί λαβόντες
καί ἔχοντες ἀνελλιπῶς πᾶν ἀγαθόν ἐκεῖθεν,
ἀλλά καί πᾶσαν ἔφεσιν, πᾶσαν ἐπιθυμίαν
τῶν αἰωνίων ἀγαθῶν, τῶν πραγμάτων τῶν θείων;
Ἐξ αὐτῆς κατεπλούτησαν πηγῆς τῆς ἀειζώου,
ἧς κορεσθῆναι, Δέσποτα, δός καί ἡμῖν πλουσίως
καί πᾶσι τοῖς ζητοῦσί σε καίποθοῦσιν ἐκθύμως,
ὡς ἄν τρυφήσωμεν καὐτοί μετά τῶν σῶν ἁγίων
τῶν αἰωνίων ἀγαθῶν εἰς αἰῶνας αἰώνων·
ἀμήν.

## Θ'. Ὅτι ὁ τοῦ Ἁγίου Πνεύματος μέτοχος γεγονώς ὑπό τοῦ φωτός καί τῆς δυνάμεως αὐτοῦ ἁρπαζόμενος ἐπάνω πάντων φέρεται τῶν παθῶν, μή βλαπτόμενος τῷ πλησιασμῷ ὑπ' αὐτῶν.

Αἴ, αἴ, Θεέ, Κύριε, παντοκράτορ!
Τίς χορτασθῇ σου τοῦ ἀοράτου κάλλους,
τίς ἐμπλησθῇ σου τῆς ἀκαταληψίας;
Τίς ἀξίως προρευθῇ τῶν ἐντολῶν σου
καί τό φῶς θεάσεται τοῦ σοῦ προσώπου
μέγα, θαυμαστόν, μή χωρούμενον ὅλως
ἐν τούτῳ τῷ βαρεῖ καί σκοτεινώδει κόσμῳ,
τό τόν ὁρῶντα ἀφαιρούμενον κόσμου
μετά σώματος, ὤ μυστηρίου ξένου!
Τίς ὁ τό τεῖχος παρελθών τῆς σαρκός αὐτοῦ,
τίς ὁ διαβάς τῆς φθορᾶς τό γνοφῶδες
καί κόσμον πάντα καταλείψας ἐκρύβη;
Βαβαί γνώσεως καί λόγων εὐτελείας!
Ποῦ γάρ ἐκρύβη ὁ τόν κόσμον περάσας
καί πάντων ἔξω γενόμενος, ὧν βλέπει;
Λέγε, σοφία σοφῶν ἠθετημένη,
ἵνα μή λέγω, Θεῷ μεμωραμένη,
ὡς φησί Παῦλος καί πᾶς τις Θεοῦ δοῦλος.
Οὗτος ἐπιθυμιῶν ἀνήρ τῶν τοῦ Πνεύματος,
οὗτος σώματι σώμασι πλησιάζων
δύναται τῷ πνεύματι ἅγιος εἶναι·
ἔξω γάρ κόσμου καί τῶν σωμάτων τούτων
οὐδέ ὄρεξίς ἐστι σαρκικοῦ πάθους,
ἀλλ' ἀπαθειά τις. Ὁ ταύτην φιλήσας
καί ἐκ τοῦ φιλήματος ζωήν κερδήσας,
εἰ γάρ καί βλέπεις δῆθεν ἀσχημονοῦντα
καί πρός τήν πρᾶξιν ὥσπερ αὐτομολοῦντα,
νεκρόν τό σῶμα γίνωσκε τοῦτο πράττειν!
Οὐ λέγω δίχα ψυχῆς, δι' ἧς κινεῖται,
ἀλλά τῆς κακῆς ἐκτός ἐπιθυμίας·
ἡ γάρ ἡδονή τῆς καλῆς ἀπαθείας
καί τό ἐξ αὐτῆς φιλοῦν με φῶς ἀρρήτως
ὅλον μου τόν νοῦν ἐξιστῶν ἀφαρπάζει

καί γυμνόν αὐτόν κρατοῦν χειρί ἀΰλῳ
πεσεῖν οὐκ ἐᾷ τῆς αὐτοῦ με ἀγάπης
ἤ ἐννοῆσαι λογισμόν ἐμπαθείας,
ἀλλά κατασπάζεται ἀδιαλείπτως
καί τήν ψυχήν μου ὁ πόθος καταφλέγει
καί οὐκ ἔστιν ἐν ἐμοί αἴσθησις ἄλλη.
Ὅσῳ γάρ κόπρου καθαρώτατος ἄρτος
τιμιώτερος καί ἡδύτερος πέλει,
τοσούτῳ πλέον ἀσυγκρίτως τά ἄνω
ὑπέρ τά κάτω τοῖς καλῶς γεγευμένοις.
Καταισχύνθητι τῶν σοφῶν ἡ σοφία,
ἡ τῆς ὄντως γνώσεως ἐστερημένη!
Ἡ γάρ ἁπλότης τῶν ἡμετέρων λόγων
ἔργῳ κέκτηται τήν ἀληθῆ σοφίαν
Θεῷ πλησιάζουσα καί προσκυνοῦσα,
ἐξ οὗ πᾶσα δίδοται ζωῆς σοφία,
δι᾽ ἧς ἀναπλάττομαι ἤ καί θεοῦμια
Θεόν καθορῶν εἰς αἰῶνας αἰώνων·
ἀμήν.

## Ι'. Ὅτι ὁ θάνατος τῇ λύπῃ καί τῶν στερροτέρων καθάπτεται.

Ἤκουσα πρᾶγμα ξένον καί πλῆρες θάμβους,
φύσιν ἄϋλον, τήν λίθου στερροτέραν,
ἶσον ἀδάμαντος καλουμένου παθοῦσαν,
ὅς μή μαλαχθείς ἤ πυρί ἤ σιδήρῳ
γέγονε κηρός ἐμπλεχθείς τῷ μολύβδῳ.
Ἄρτ’ ἐπίστευσα μικρόν ὕδατος ῥεῦμα
πέτρας τό στερρόν ἐγχρονίζον κοιλαίνειν
καί ὄντως οὐδέν ἄτρεπτον τῶν ἐν βίῳ.
Μηδείς μ’ ἐκ τοῦ νῦν ἀπατᾶν νομιζέτω!
Φεῦ τῷ βλέποντι τά φεύγοντα τοῦ βίου
ὡς κρατούμενα καί τερπομένῳ τούτοις!
Ταῦτα πείσεται, ἅπερ κἀγώ, ὁ τάλας.
Νύξ μ’ ἐχώρισεν ἀδελφοῦ γλυκυτάτου,
τό ἄτμητον φῶς τῆς ἀγάπης τεμοῦσα.

## ΙΑ' Ὅπως ὠράθη αὐτῷ Θεός ὡς Στεφάνῳ καί Παύλῳ τοῖς ἀποστόλοις, ἐνταῦθα ὁ πατήρ ἐκπληττόμενος διηγεῖται.

Τί τό καινόν τοῦ θαύματος τοῦ καί νῦν  γινομένου;
Θεός καί νῦν ἁμαρτωλοῖς ἄρα ὁρᾶσθαι θέλει,
ὁ πάλαι ἄνω ἀναβάς καί καθεσθείς ἐν θρόνῳ,
ἐν οὐρανῷ τῷ πατρικῷ, καί κεκρυμμένος πέλων;
Ἐκρύβη γάρ ἐξ ὀφθαλμῶν τῶν θείων ἀποστόλων
καί μόνος, ὡς ἠκούσαμεν, Στέφανος μετά ταῦτα
ἀνεῳγότας οὐρανούς εἶδε καί τότε εἶπεν·
Ὁρῶ ἑστῶτα τόν Υἱόν ἐκ δεξιῶν τῆς δόξης
τῆς τοῦ Πατρός· καί παραυτά ὡς βλάσφημα λαλήσας
λιθοβολεῖται πρός αὐτῶν τῶν νομοδιδασκάλων
καί θνῄσκει νόμῳ φύσεως καί ζῇ εἰς τούς αἰῶνας.
Πλήν ἦν αὐτός ἀπόστολος, ἦν καί ἁγιασμένος
καί ἔμπλεως τοῦ Πνεύματος ὅλος τοῦ Παναγίου,
ἀρχή δέ τοῦ κηρύγματος καί πλῆθος τῶν ἀπίστων,
οἵ τῷ Χριστῷ πιστεύοντες διά τῶν ἀποστόλων
καί τήν χάριν ἐλάμβανον πίστεως οὖσαν δῶρον.
Νῦν δέ, τί ἄρα βούλεται τό ξένον τοῦτο πρᾶγμα,
τό ἐν ἐμοί γινόμενον, τί δέ ἄν θέλοι εἶναι
ἡ φοβερά κατάπληξις τοῦ νυνί τελουμένου;
Τίς ὁ ἄρτι δεικνύμενος τρόπος φιλανθρωπίας,
ξένος πλοῦτος χρηστότητος, ἄλλη πηγή ἐλέους,
πολύ τό πλέον ἔχουσα τῶν πάλαι γεγονότων;
Πολλοί γάρ ἠλεήθησαν θείᾳ φιλανθρωπίᾳ,
πλήν καί αὐτοί προσέφερον ἴδιόν τι τήν πίστιν,
εἴτε καί ἄλλας ἀρετάς καί πράξεις ἀποδέκτους·
ἐγώ δέ πάντων ἐμαυτόν τούτων ἐστερημένον
κατανοῶν ἐξίσταμαι καί φέρειν οὐκ ἰσχύω
τά εἰς ἐμέ γινόμενα, τόν ἄσωτον ἐκ μήτρας,
παρά Θεοῦ τοῦ κτίσαντος λόγῳ τήν πᾶσαν κτίσιν·
ἅπερ καί φρίττω ἐννοεῖν, πῶς δέ καί λόγῳ γράψω;
Ποία χείρ λειτουργήσειε, ποῖος κάλαμος γράψει,
ποῖος λόγος ἐκφράσειε, ποία γλῶσσα ἐξείποι,
ποῖα χείλη λαλήσουσιν, ἅ ἐν ἐμοί ὁρῶνται
γινόμενα, τελούμενα δι’ ὅλης τῆς ἡμέρας;
Καί γάρ καί ἐν αὐτῇ νυκτί καί ἐν αὐτῷ τῷ σκότει
βλέπω Χριστόν τούς οὐρανούς φρικτῶς ἀνοίγοντά μοι,

αὐτόν τε παρακύπτοντα καί καθορώμενόν μοι
ἅμα Πατρί καί Πνεύματι, φωτί τῷ τρισαγίῳ,
ἕν ὄν ἐν τοῖς τρισί καί ἐν ἑνί τά τρία.
Αὐτά τό φῶς πάντως εἰσί, καί τό φῶς ἕν τά τρία,
ὅ καί ὑπέρ τόν ἥλιον φωτίζει τήν ψυχήν μου
καί καταλάμπει μου τόν νοῦν ὄντα ἐσκοτισμένον.
Οὐ γάρ ἑώρα μου ὁ νοῦς ἐξ ἀρχῆς, ἅ ἑώρα,
ἀλλά τυφλός, πιστεύσατε, ὑπῆρχον καί μή βλέπων,
καί διά τοῦτο πλέον με τό θαῦμα καταπλήττει,
ὅταν πώς μου τόν ὀφθαλμόν τοῦ νοός διανοίγῃ,
καί πως τό βλέπειν δίδωσι καί βλεπόμενον ἔστιν.
Αὐτός γάρ φῶς ἐν τῷ φωτί φαίνεται τοῖς ὁρῶσι
καί οἱ ὁρῶντες ἐν φωτί αὐτόν βλέπουσι πάλιν.
Ἐν φωτί γάρ τοῦ Πνεύματος βλέπουσιν οἱ ὁρῶντες,
καί οἱ ἐν τούτῳ βλέποντες τόν Υἱόν καθορῶσιν·
ὁ δέ Υἱόν ἀξιωθείς ἰδεῖν Πατέρα βλέπει,
Πατέρα δέ ὁ θεωρῶν σύν Υἱῷ πάντως βλέπει.
Ὅπερ καί νῦν, ὡς εἴρηται, ἐν ἐμοί ἐκτελεῖται,
καί τά ἀκατανόητα ποσῶς καταμανθάνω,
καί νῦν μακρόθεν καθορῶ τά ἀθέατα κάλλη
τῷ ἀπροσίτῳ τοῦ φωτός, τῷ ἀστέκτῳ τῆς δόξης
καταπληττόμενος σφοδρῶς, συνεχόμενος τρόμῳ,
πλήν ὅτι μίαν καθορῶ ἐξ ἀβύσσου σταγόνα.
Ὡς ἐν σταγόνι δέ τό πᾶν δείκνυται τῶν ὑδάτων,
ὁποῖον τήν ποιότητα καί ποταπόν τό εἶδος,
ὡς ἐξ ἄκρου τοῦ κρασπέδου ὅλον τό ὕφασμα
καί, ὥς φασιν, ἐξ ὀνύχων τό θηρίον, ὁ λέων,
οὕτως ὅλον ἐν ὀλίγῳ ἀσπαζόμενον βλέπω,
αὐτόν τ᾽ ἐκεῖνον προσκυνῶ, τόν Χριστόν καί Θεόν μου.
Εἶχον δ᾽ ἐν διανοίᾳ μου μικράν παραμυθίαν
τοῦ μή καταφλεχθῆναί με, τοῦ μή κατακαῆναι
ὥσπερ κηρός ἀπό πυρός, ὡς εἶπεν ὁ προφήτης,
τό μακρόθεν ὑπάρχειν με πυρός τοῦ ἀπροσίτου
καί σκότους μέσον ἵστασθαι καί κρύπτεσθαι ἐν τούτῳ,
ὅθεν ὡς ἐξ ὀπῆς μικρᾶς καί ὁρῶν ἰλιγγίων.
Ἐν τούτοις μου διάγοντος καί τόν νοῦν ἀσχολοῦντος
καί οἱονεί ἐν οὐρανῷ δοκοῦντος ἀτενίζειν
καί τρέμοντος, μή πλεῖόν με παραδεχθείς ἐκλείξῃ,
αὐτόν ἐκεῖνον εὕρηκα, ὅν μακρόθεν ἑώρων,
ὅν Στέφανος ἑώρακεν οὐρανῶν ἀνοιγέντων
καί Παῦλος πάλιν ὕστερον ἰδών ἀπετυφλώθη,

ὅλον ὡς πῦρ ἐπ’ ἀληθῶς μέσον ἐμῆς καρδίας.
Θροηθείς οὖν τῷ θαύματι καί τρομάξας μεγάλως
ἐξέστην, ὅλος ἐκλυθείς, ὅλος ἐξαπορήσας,
μή φέρων τε τό ἄστεκτον τῆς δόξης ἀπεστράφην,
ἐν τῇ νυκτί τε ἔφυγον αἰσθήσεων τῶν ὧδε
καί σκεπασθείς τοῖς λογισμοῖς ἀπεκρύβην ἐν τούτοις,
ὥσπερ ἐν μνήματι ἐμβάς, καί ἀντί λίθου τοῦτο
τό σῶμα τό βαρύτατον ἐπιθείς ἐσκεπάσθην
καί ἀπεκρύβην τῷ δοκεῖν τόν πανταχοῦ παρόντα,
τόν πάλαι  με ἐγείραντα νεκρόν καί τεθαμμένον.
Φρίξας γάρ καί μή ἰσχύων βλέπειν αὐτοῦ τήν δόξαν
ὑπεισελθεῖν προῄρημαι καί προσμεῖναι τῷ τάφῳ
καί κατοικεῖν μετά νεκρῶν, ζῶν αὐτός ἐν τῷ τάφῳ,
ἤπερ καταφλεχθῆναί με καί ἄρδην ἀπολέσθαι.
Ἐκεῖ πάντως καθήμενον δεῖ με θρηνεῖν ἀπαύστως,
καί κλαίειν χρή τόν ἄσωτον, ὅτι τοῦ ποθουμένου
ἀπέτυχον καί γέγονα κείμενος ἐν τῷ τάφῳ.
Ζῶν δέ νεκρός, ὑπόγειος, λίθῳ κακαλυμμένος
ζωήν εὗρον, Θεόν αὐτόν, τόν τήν ζωήν διδόντα,
ᾧ πρέπει δόξα καί τιμή νῦν καί εἰς τούς αἰῶνας·
ἀμήν.

## ΙΒ' Περί τοῦ ἑνός κατά πάντα τῆς τρισυποστάτου θεότητος θεολογία· καί δι’ ὧν τῇ ταπεινώσει χρώμενος λέγει περί ἑαυτοῦ, τῶν δοκούντων εἶναί τι ἐντρέπων τήν οἴησιν.

Πῶς, ἅ ποτε ἠφάνισας, ἐν ἐμοί πάλιν ζῶσι
καί σκότους με καί θλίψεως ἐμπιπλῶσι, Θεέ μου;
Πάθη θυμοῦ τε κ αί ὀργῆς, ἐξ ὧν ἐγγίνεταί μοι
ἀναθυμίασις, ἀχλύς ἐπί τήν κεφαλήν μου,
καί πήρωσιν τοῖς νοεροῖς ὄμμασί μου ποιοῦσι,
καί γάρ, ὥσπερ καλύπτονται καί καμμύειν τῷ ζόφῳ,
οἴμοι, καταναγκάζονται, καί σοῦ ἀποστεροῦμαι,
φωτός, οὗ πᾶς ἐφίεται, ὀλίγοι δ’ ἐκζητοῦσιν.
Ἀλλά καί οἱ ἀξιωθέντες σου μετασχεῖν τῶν ἀρρήτων
καί ὑλικῶς μεταλαβεῖν ἐν ἀΰλῳ αἰσθήσει
μυστηρίων τῶν φοβερῶν καί τοῖς πᾶσιν ἀφράστων
γνῶναί τε τήν ἀόρατον ἐν ὁρωμένοις δόξαν
καί τό ξένον μυστήριον, ὅ ἐν κόσμῳ ἐπράχθη,
κομιδῇ ὀλιγώτεροί εἰσιν, εὖ οἶδα, πάντως·
οἵ καί τούτων ἐγένοντο ἐν τρανεῖ θεωρίᾳ
παρά τοῦ ὄντος ἐν ἀρχῇ πρό πάντων τῶν αἰώνων
ἐκ τοῦ Πατρός σύν Πνεύματι Υἱοῦ, Θεοῦ καί Λόγου,
φωτός τρισσοῦ ἐν τῷ ἑνί, ἑνός ἐν τοῖς τρισί δέ.
Ἀμφότερα καί γάρ ἕν φῶς, Πατήρ, Υἱός καί Πνεῦμα,
ἄτμητον ὄν ἐν τοῖς τρισί προσώποις ἀσυγχύτως,
πλήν ἡνωμένοις καί αὐτοῖς κατά τήν θείαν φύσιν
ἀρχῆς, δόξης, δυνάμεως, θελήματος ὡσαύτως.
Τά τρία γάρ ὁρᾶταί μοι, ὡς ἐν ἑνί προσώπῳ
ὡραῖοι δύο ὀφθαλμοί φωτός πεπληρωμένοι·
προσώπου δίχα ὀφθαλμοί πῶς βλέψουσιν, εἰπέ μοι;
Πρόσωπον δ’ ἄνευ ὀφθαλμῶν οὐ χρή πάντως καλεῖσθαι,
λείπεται γάρ τοῦ πλείονος, ἤ εἰπεῖν μᾶλλον ὅλου·
ἥλιος γάρ, εἰ στερηθῇ φωτός τῆς εὐπρεπείας,
ἀπολεῖται πρῶτος αὐτός, ἔπειτα κτίσις πᾶσα,
ἡ ὑπ’ αὐτοῦ τό λάμπεσθαι καί τό βλέπειν λαχοῦσα.
Οὕτω Θεός τοῖς νοητοῖς ἑνός εἰ στερηθείη,
εἴτε Υἱοῦ ἤ Πνεύματος, Πατήρ οὐκέτι ἔσται,
ἀλλ’ οὐδέ ζῶν ὑπάρξειεν ἀποβαλών τό Πνεῦμα,

ἐξ οὗ τοῖς πᾶσι δίδοται καί τό ζῆν καί τό εἶναι.
Σεβέσθω τοίνυν ἅπασα λογική ὄντως φύσις,
ὅση ὑπό τόν ἥλιον, ὅση δ’ ὑπέρθεν τούτου,
φύσιν τήν τρισυπόστατον ἀνερμήνευτον πάντῃ!
Θεοῦ γάρ οὔτε ὄνομα, οὐ φύσιν, οὐκ ἰδέαν,
οὐ μορφήν, οὐχ ὑπόστασιν τῶν ἀνθρώπων τις ἔγνω,
ἵνα εἴπῃ καί γράψῃ καί μεταδῷ τοῖς ἄλλοις,
ἀλλ’ ὥσπερ λάμπων ἥλιος τοῖς νέφεσιν εἰσδύνει
καί οὐχ ὁρᾶται μέν αὐτός, οὐδ’ ὅλως φωτί φαίνει,
ἀλλ’ ἀμυδρόν τοῖς ἐν τῇ γῇ τό φῶς αὐτοῦ παρέχει,
οὕτω μου νόει τόν Θεόν ἀφ’ ἡμῶν κεκρυμμένον
καί σκότος μέγα βαθύ πάντας ἡμᾶς κατέχον.
Ἀλλά τό θαυμαστότερον νόει πάντως ἐνταῦθα·
Θεοῦ γάρ οὐ συστέλλεται τό φῶς, ὡς τοῦ ἡλίου,
ἀλλά λάμπει πανταχοῦ καί φωτίζει τά πάντα·
καί μέσον ἐγώ τοῦ παντός περιέχομαι σκότει
καί τοῦ ἐμέ ποιήσαντος φωτός ἀποστεροῦμια.
Τίς οὖν ἐμέ μή κλαύσειε καί τίς ἄν οὐ πενθήσῃ
καί τίς οὐκ ἄν στενάξειεν ἐπ’ ἐμοί καί δακρύσῃ,
ὅτι Θεός ἐν ἅπασι καί πανταχοῦ ὑπάρχει
καί φῶς ὅλος αὐτός ἐστιν, ἐν ᾧ οὐκ ἔστιν ὅλως
οὐ τροπῆς ἀποσκίασμα, οὐ νυκτός παρουσία,
οὐ σκότος παρεμποδισμός ἐγγίνεται εἰς ἅπαν,
ἀλλ’ ἐφήπλωται τῷ παντί καί ἀπροσίτως λάμπει
καί τοῖς ἀξίοις προσιτός καί ληπτός καθορᾶται,
ὀλίγον μέν, ὡς ἔφαμεν, πρός ὅλην τήν ἀκτῖνα
καί πρός τόν ἥλιον αὐτόν, ὅτε φανεῖται ὅλος,
πολύ δέ πάντως πρός αὐτούς τούς σκότει καθημένους,
ὅτι κατηξιώθησαν μικράν αὐγήν ἰδέσθαι.
Ἐγώ δέ, ὁ ταλαίπωρος, προτιμῶμια τό σκότος
καί μεριμνῶ τά ἐν αὐτῷ καί προστιθῶ τόν ζόφον,
καί γίνεται παχύτερον τῇ ταπεινῇ ψυχῇ μου,
ἐξ οὗ τά πάθη τρέφονται καί ἐν ἐμοί ζωοῦνται
καί δράκοντές μοι γίνονται καί ἑρπετά καί ὄφεις
διαταράσσοντες ἀεί τῆς ψυχῆς μου τά μέλη·
καί γάρ ἡ δόξα δάκνει με, ἡ κενή καί ματαίᾳ,
καί τούς ὀδόντας πέπηγεν ἐν τῇ ἐμῇ καρδίᾳ·
ἐξ ἧς ἀδυνατήσαντος καί ἐκλυθέντος ὅλως
ἦλθον κύνες οἱ ἄγριοι, ἦλθεν θηρίων πλῆθος,
καί εὑρόντα με κείμενον κατεμασήσαντό με.
Τρυφή γάρ καί ὁ ἔπαινος μυελόν καί τά νεῦρα

διέσπασάν μου, τῆς ψυχῆς ἰσχύν καί προθυμίαν.
Ἀφῃρηκότα ἀπ' ἐμοῦ, οἴμοι, πῶς πάντα γράψω;
Οἴησιν δέ καί ὄκνον μοι ὡς λῃστάς ἐπιθέντες,
ἡδονήν τε καί μέριμναν, πῶς ἀνθρώποις ἀρέσω,
ἀπ' ἐναντίας σύροντες διεμερίσαντό με·
ἡ μέν τήν σωφροσύνην μου καί τό νηφάλιόν μου,
ἡ δέ τά ἔργα τά καλά καί πράξεις τάς ἐνθέους
ἐφ' ἑαυτάς δεικνύοντες νεκρόν ἀπέδειξάν με,
οἴησιν, τό παράδοξον καί θαυμαστόν καί μέγα,
καταλιπόντες ἐν ἐμοί τῷ κατερρυπωμένῳ.
Πῶς γάρ, εἰπέ, οὐ θαυμαστόν, πῶς οὐ πλῆρες ἐλέους,
ὅτι τοσαῦτα πάθη με ἐπιπεσόντα αἴφνης
καί πάσης ἀρετῆς γυμνόν καί νεκρόν δείξαντά με
ἔλαθον πάλιν ἐμαυτόν μηδέν τῶν γενομένων
ἐπεγνωκώς, ἀλλ' οἴομαι μείζων πάντων ὑπάρχειν
καί ἀπαθής καί ἅγιος καί σοφός θεολόγος,
δικαίως καί τιμώμενος παρά πάντων ἀνθρώπων,
ἀλλά καί ἐπαινούμενος, ὡς ἄξιος ἐπαίνων
ἅπαντας προσκαλούμενος δοκῶ τιμήν συνάγειν.
Συναγομένων γάρ αὐτῶν ἐγώ φυσῶμαι πλέον
καί συχνῶς περιβλέπομαι, μή πού τις ἀπελείφθη,
ὅστις οὐ παραγένετο καί ἐθεάσατό με·
καί εἴ που εὑρεθείη τις παραβλεψάμενός με,
μνησικακῶ καί λοιδορῶ καί διασύρω τοῦτον,
ὅπως ἀκούσας καί αὐτός μή φέρων μου τούς ψόγους
ἔλθῃ, προσαγορεύσῃ με, φανῇ ὑπόσδονδός μου
καί ὡς κἀκεῖνος χρῄζει μου τῆς εὐχῆς καί ἀγάπης,
καί λέγω πάντας τούς λοιπούς· Ἔρχεται καί ὁ δεῖνα
καί τάς εὐχάς κομίζεται καί τούς λόγους ἀκούει
καί τήν διδασκαλίαν μου - φεῦ μοι τῆς εὐπηθείας!
Πῶς οὖν βλέπω γύμνωσιν τῆς ἀθλιότητός μου
καί τῶν πληγῶν αἰσθάνομαι καί λυποῦμαι καί κλαίω
καί ἴασιν ἐπιζητῶ ἀνακλιθείς ξενῶνι
καί ἰατρούς παρακαλῶ δεικνύς τούς μώλωπάς μου,
ἀπογυμνώσας τε αὐτοῖς καί τά κρυπτά μου πάθη,
ὡς ἄν ξηρία, ἔμπλαστρα καί καύστρας ἐπιθῶσι,
καί ὑπομείνω καρτερῶς διά τήν ἴασίν μου,
ἀλλά καί μᾶλλον προστιθῶ τραύματα καθ' ἑκάστην;
Ἀλλ', ὦ Θεέ μου, οἴκτειρον ἐμέ πεπλανημένον
καί φόβον σου ἐμφύτευσον ἐν τῇ ἐμῇ καρδίᾳ,
ἵνα τόν κόσμον φύγοιμι κατά τάς ἐντολάς σου

καί μῖσος ἕξω πρός αὐτόν καί συσταλῶ ἐμφρόνως,
καί μή ἐάσῃς με, Χριστέ, μέσον τούτου πλανᾶσθαι,
ὅτι σέ μόνον ἀγαπῶ μήπω σε ἀγαπήσας,
καί σοῦ μόνου προσδοκῶ τάς ἐντολάς φυλάττειν,
ὅλως ὤν ἐν τοῖς πάθεσι, μηδέ ἐπεγνωκώς σε.
Τίς γάρ τῶν ἐπιγνόντων σε χρῄζει δόξης τοῦ κόσμου;
Ἄλλο καί γάρ τό θέλημα σαρκός ῥευστῆς ὑπάρχει,
ἕτερον δέ τοῦ Πνεύματος, καί ἄλλο τῆς ψυχῆς μου.
Πλήν οὐ τριπλοῦς, ἀλλά διπλοῦς, ὡς ἄνθρωπος, ὑπάρχω·
ἡ ψυχή μου συνδέδεται ἀρρήτως τῇ σαρκί μου,
πλήν οὐ ζητεῖ τά ἑαυτοῦ ἕκαστον καταλλήλως,
οἷον φαγεῖν τε καί πιεῖν, οἷον τό καθευδῆσαι,
ἅ καί σαρκός θελήματα χοϊκά εἶναι λέγω.
Ἐπεί δέ πάλιν χωρισθέν ψυχῆς οὐδέν ζητεῖ τοιοῦτον,
ἀλλά νεκρόν, ἀναίσθητον, ὥσπερ πηλός τυγχάνει,
τό πᾶν ψυχῆς εἶναι δοκῶ, ἕν θέλημα ἀνθρώπου.
Ὁ οὖν τῷ Θείῳ Πνεύματι τό ἴδιον ἑνώσας
θεοειδής ἐγένετο Χριστόν λαβών ἐν στέρνοις,
Χριστιανός ἀπό Χριστοῦ, Χριστόν μεμορφωμένον
ἔχων ἐν ἑαυτῷ πάντως τόν ἄληπτον καί μόνον,
τόν ἀληθῶς ἀπρόσιτον τοῖς ποιήμασι πᾶσιν.
Ἀλλ’, ὦ φύσις ἀμόλυντε, οὐσία κεκρυμμένη,
φιλανθρωπία ἄγνωστε τοῖς πλείοσιν ἀνθρώποις,
ἔλεος οὐχ ὁρώμενον τοῖς ἀφρόνως βιοῦσιν,
οὐσία ἀναλλοίωτε, ἄτμητε, τρισαγία,
φῶς ἁπλοῦν καί ἀνείδεον, ἀσύνθετον εἰς ἅπαν,
ἀσώματον, ἀχώριστον, ἄληπτον πάσῃ φύσει,
πῶς καθωράθης ὡς ἐγώ, ἐγνώσθης τοῖς ἐν σκότει
καί ἐκρατήθης ἐν χερσί μητρός σου τῆς ἁγίας,
καί ἐδεσμεύθης ὡς φονεύς, ἔπαθες ὡςκακοῦργος
σωματικῶς, ὦ βασιλεῦ, θέλων πάντως με σῶσαι
καί πάλιν ἐπαναγαγεῖν εἰς παράδεισον δόξης;
Τοῦτο οἰκονομία σου, τοῦτο ἡ παρουσία,
τοῦτο ἡ εὐσπλαγχνία σου καί ἡ φιλανθρωπία,
ἡ γενομένη δι’ ἡμᾶς, πάντας ἀνθρώπους, Λόγε,
πιστούς, ἀπίστους, ἐθνικούς, ἁμαρτωλούς, ἁγίους·
κοινή γάρ πάντων γέγονεν ἡ ἐπιφάνειά σου,
σωτηρία καί λύτρωσις ζώντων καί τῶν θανόντων.
Τό δέ κρυπτῶς γινόμενον ἐν ἐμοί τῷ ἀσώτῳ
καί μερικῶς τελούμενον ἐν γνωστῇ ἀγνωσίᾳ
-γνωστῇ μέν πάντως παρ’ ἐμοί, ἀγνώστῳ δέ τοῖς ἄλλοις-,

ποία γλῶσσα λαλήσειε, ποῖος νοῦς ἑρμηνεύσῃ,
ποῖος λόγος ἐκφράσειεν, ἵνα καί χείρ μου γράψῃ;
Φρικτόν γάρ ὄντως, Δέσποτα, φρικτόν καί ὑπέρ λόγον,
ὅτι ὁρᾶταί μοι τό φῶς, ὅ ὁ κόσμος οὐκ ἔχει,
καί ἀγαπᾷ με ὁ μή ὤν ἔνδον τούτου τοῦ κόσμου,
καί ἀγαπῶ τόν μηδαμοῦ ὄντα ἐν ὁρωμένοις.
Ἐπί τῆς κλίνης κάθημαι ἔξωθεν ὤν τοῦ κόσμου
καί μέσον ὤν τῆς κέλλης μου τόν ἔξωθεν τοῦ κόσμου
ὄντα τε καί γενόμενον βλέπω, ᾧ καί ὁμιλῶ
- εἰπεῖν  δέ τόλμα - καί φιλῶ, φιλεῖ με καί ἐκεῖνος,
ἐσθίω, τρέφομαι καλῶς μόνῃ τῇ θεωρίᾳ
καί συνενούμενος αὐτῷ οὐρανούς ὑπερβαίνω
καί τοῦτο οἶδα ἀληθές καί βέβαιον ὑπάρχειν,
τό ποῦ τό σῶμα τότε δέ ὑπάρχει, οὐ γινώσκω.
Οἶδα, ὅτι κατέρχεται ὁ ὑπάρχων ἀκίνητος·
οἶδα, ὅτι ὁρᾶταί μοι ὁ τυγχάνων ἀόρατος·
οἶδα, ὁ πάσης κτίσεως ἀποκεχωρισμένος
ἔνδον αὐτοῦ λαμβάνει με καί ἐν ἀγκάλαις κρύπτει,
καί ἐκ παντός εὑρίσκομαι ἔξω τότε τοῦ κόσμου.
Ἐγώ δέ πάλιν, ὁ βροτός καί μικρός ἐν τῷ κόσμῳ,
ἐντός μου ὅλον καθορῶ τόν ποιητήν τοῦ κόσμου,
καί οἶδα, ὡς οὐ θνήξομαι ἔνδον ζωῆς τυγχάνων,
καί ὅλην ἔχω γτήν ζωήν βλυστάνουσαν ἐντός μου·
ἐν τῇ καρδίᾳ μου ἐστίν, ἐν οὐρανῷ δ᾽ ὑπάρχει,
ὧδε κἀκεῖ ὁρᾶταί μοι ἐπίσης ἀπαστράπτων.
Ὅπως δέ ταῦτα γίνονται, πῶς ἄν καλῶς νοήσω,
πῶς δ᾽ ἐξειπεῖν σοι δυνηθῶ, ὅσα νοῶ καί βλέπω;
Εἰσί γάρ ὄντως ἄφθεκτα καί ἄρρητα εἰς ἅπαν,
ἅ ὀφθαλμός οὐχ ἑώρακεν, οὐκ ἀκήκοεν οὗς δέ,
ἐπί καρδίαν σέ ποτέ οὐκ ἐνέβη σαρκίνην.
Εὐχαριστῶ σοι, Δέσποτα, ὅτι ἠλέησάς με
καί δέδωκας ἰδέσθαι με ταῦτα καί οὕτως γράψαι,
τοῖς μετ᾽ἐμοῦ κηρῦξαί τε τήν σήν φιλανθρωπίαν,
ἵνα καί νῦν μυηθῶσι λαοί, φυλαί καί γλῶσσαι,
ὅτι τούς πάντας ἐλεεῖς θερμῶς μετανοοῦντας
ἴσον τοῖς ἀποστόλοις σου καί πᾶσι τοῖς ἁγίοις,
εὐεργετεῖς τε καί τιμᾷς καί δοξάζεις, Θεέ μου,
ὡς μετά πόθου σέ μόνον βλέποντας, τόν ποιητήν τοῦ
κόσμου,
ᾧ πρέπει δόξα καί τιμή, κράτος, μεγαλωσύνη,
ὡς βασιλεῖ τε καί Θεῷ τοῦ παντός καί Δεσπότῃ

νῦν καί ἀεί διά παντός εἰς αἰῶνας αἰώνων·
ἀμήν.

## ΙΔ'. Εὐχαριστία πρός Θεόν τῶν δωρεῶν ἕνεκα, ὧν παρ’ αὐτοῦ ἠξιώθη· καί ὅτι φρικτόν καί ἀγγέλοις τό τῆς ἱερωσύνης καί ἡγουμενείας ἀξίωμα.

Ἐγώ, κἄν θέλω, Δέσποτα, λαλῆσαι οὐκ ἰσχύω.
Τί γάρ ὅλως καί φθέγξομαι ἀκάθαρτος ὑπάρχων
καί λογισμοῖς καί πράξεσι καί ἐννοίαις ἁπάσαις;
Πλήν τήν ψυχήν τιτρώσκομαι, φλέγομαι τά ἐντός μου
ἐπιθυμῶν λαλῆσαί σοι, κἄν ποσῶς, ὁ Θεός μου.
Βλέπω, καί γάρ ἐπίστασαι τά ἐμά, ὦ Θεέ μου,
ὅτι τά μέλη ἅπαντα σώματος καί ψυχῆς μου
ἐμίανα ἐκ γενετῆς, ὅλος ὤν ἁμαρτία.
Τεκμαίρομαι τό ἔλεος καί τήν φιλανθρωπίαν
καί τά καλά σου τά πολλά, ἅ εἰς ἐμέ εἰργάσω,
καί ἄφωνος καθίσταμαι μικροῦ ἀπογινώσκων
καί θλίβομαι διηνεκῶς λυπούμενος, ὁ τάλας,
ὅτι ἀνάξιός εἰμι τῶν ἀγαθῶν σου πάντων.
Ὁπόταν ἔλθω εἰς ἐμαυτόν καί κατά νοῦν θελήσω
ἀναλογίσθαι, Χριστέ, τά πλήθη τῶν κακῶν μου,
καί ὅτι ἕν ἀγαθόν οὐκ ἔπραξα ἐν βίῳ,
ἀντί δέ τῶν κολάσεων, ὀργῆς σου τῆς δικαίας,
ὧν ὑπομεῖναι ἔμελλον ὡς πολλά σε λυπήσας,
τοσούτων μᾶλλον ἀγαθῶν νῦν κατηξίωσάς με,
ἔρχομαι εἰς ἀπόγνωσιν, φοβοῦμαί σου τό κρῖμα,
ὅτι καί μᾶλλον προστιθῶ πταίσματα καθ’ ἑκάστην,
καί τό πολύ σου ἔλεος καί τήν φιλανθρωπίαν
τρέμω μή τρέψῃς εἰς θυμόν μείζονος τιμωρίας,
ὅτι εὐεργετούμενος ἀχαριστῶ σοι πλέον,
δοῦλος ὑπάρχων πονηρός σου, τοῦ καλοῦ Δεσπότου.
Πάντα οὖν τἆλλα, Κύριε, ὑπομονήν παρεῖχον,
ἐλπίδα προξενοῦντά μοι ζωῆς τῆς αἰωνίου·
οὗ ἕνεκεν καί ἔχαιρον πολλά, ὡς οἶδας μόνος,
θαρρῶν εἰς τήν χρηστότητα καί εἰς τό ἔλεός σου.
Διά γάρ τοῦτο ἐκ παντός ἦρές με ἐκ τοῦ κόσμου
καί πάντων ἀπεχώρισας συγγενῶν τε καί φίλων,
ὅπως καί ἐλεήσῃς με καί σώσῃς με, Χριστέ μου·
τοῦτο πληροφορούμενος παρά τῆς χάριτός σου
εἶχον χαράν ἀπλήρωτον και βεβαίαν ἐλπίδα.
Τά δύο δέ τά ἔσχατα ὅπως εἴπω, οὐκ οἶδα,

ἅ εἰς ἐμέ εὐδόκησας γενέσθαι, Βασιλεῦ μου,
καί τήν ψυχήν μου καί τόν νοῦν λόγου ἀποστεροῦσι
καί ἐνεργείας παύσουσι καί φρονήσεις ἁπάσας,
ἀλλά καί τῷ μεγέθει σου βαρύνουσι τῆς δόξης
καί παύσασθαι παρά μικρόν πείθουσί με, Σωτήρ μου,
μηδέν λαλεῖν,μηδέν ποιεῖν, μηδέ ἅπτεσθαι τούτων,
καί ἀπορῶ ἐν ἐμαυτῷ καί θαυμάζων λυποῦμια.
Πῶς τοῖς τοιούτοις ἐμαυτόν πράγμασιν ἀπορρήτοις
ἐξέδωκα διακονεῖν καί λειτουργεῖν, ὁ τάλας;
Ἐν οἷς ἄγγελοι φρίττουσιν ἀδεῶς ἀτενίσαι,
προφῆται ἐδειλίασαν ἐνωτισθέντες ἅμα
δόξης τό ἀκατάληπτον καί τῆς οἰκονομίας·
ἀπόστολοι καί μάρτυρες καί διδασκάλων πλῆθος
βοῶσι καί κραυγάζουσιν ἑαυτούς ἀναξίους
διαρρήδην κηρύττοντες ἅπασι τοῖς ἐν κόσμῳ.
Ἐγώ δέ πῶς, ὁ ἄσωτος, καί πῶς ἐγώ, ὁ πόρνος,
καί πῶς ἐγώ, ὁ ταπεινός, γενέσθαι ἠξιώθην
καί ἀδελφῶν ἡγούμενος, τῶν θείων μυστηρίων
ἱερουργός καί λειτουργός τῆς ἀχράντου Τριάδος;
Ὅπου γάρ ἄρτος σαρκός καί τοῦ αἵματος, Λόγε,
ἐκεῖ ὑπάρχεις σύ αὐτός, ὁ Θεός μου καί Λόγος,
καί ταῦτα σῶμα γίνεται σόν ἀληθῶς καί αἷμα
ἐπελεύσει τοῦ Πνεύματος καί δυνάμει Ὑψίστου·
καί τολμῶντες ἁπτόμεθα θεοῦ τοῦ ἀπροσίτου,
μᾶλλον δέ τοῦ οἰκοῦντος ἐν φωτί ἀπροσίτῳ,
οὐ μόνον φύσει τῇ φθαρτῇ ταύτῃ καί ἀνθρωπίνῃ,
ἀλλά καί πάσαις νεοραῖς στρατιαῖς τῶν ἀγγέλων.
Τοῦτο οὖν τό ἀπόρρητον, τοῦτο τό ὑπέρ φύσιν
ἔργον τε καί ἐγχείρημα, ὅπερ ποιεῖν ἐτάχθην,
πείθει με καί τόν θάνατον πρό ὀφθαλμῶν μου βλέπειν·
ὅθεν ἀφείς τό ἥδεσθαι τῷ τρόμῳ συνεσχέθην
εἰδώς, ὅτι ἀδύνατον ἐμοί καί πᾶσιν, οἶμαι,
τό κατ᾽ ἀξίαν λειτουργεῖν καί βίον οὕτως ἔχειν
ἀγγελικόν ἐν σώματι, μᾶλλον δ᾽ ὑπέρ ἀγγέλους,
ἵν᾽ ὁ λόγος ἔδειξε καί ἡ ἀλήθεια ἔχει,
καί οἰκειότερος αὐτῶν γένηται κατ᾽ ἀξίαν
ὡς καί χερσίν ἁπτόμενος καί στόματι ἐσθίων,
ὅνπερ ἐκεῖνοι φρίττοντες παρίστανται σύν τρόμῳ.
Τό δέ κρῖμα τῶν ἀδελφῶν, οὕς τέταγμαι ποιμαίνειν,
ποία ψυχή βαστάσειε, ποῖος νοῦς εὐπορήσῃ
ἀκατακρίτως μετελθεῖν ἑνός ἑκάστου γνώμην

καί πάντα τά παρ’ ἑαυτοῦ ἀνελλιπῶς εἰσφέρειν
καί ἐξελέσθαι κρίματος ἑαυτόν τοῦ ἐκείνων;
Οὔ μοί δοκεῖ πως δυνατόν ἀνθρώποις εἶναι τοῦτο·
πείθομαι οὖν βούλομαι μαθητής εἶναι μᾶλλον
ἑνός δουλεύων θέλημα, ἑνός ἀκούων λόγους,
καί ὑπέρ τούτου τοῦ ἑνός μόνον ὑφέξειν λόγους,
ἤ τρόποις καί θελήμασι δουλεύειν τῶν πλειόνων
καί τούτων γνώμας ἐρευνᾶς καί βουλάς ἐξευρίσκειν
καί πράξεις τε καί λογισμούς ἐξιχνιάζειν πλέον,
ἐπεί καί κρίσις μένει με καί δοῦναι μέλλω λόγους,
ἀνθ’ ὧνπερ ἡμαρτήκασιν, οὕς ἔγωγε ποιμαίνειν
λόγοις ἀρρήτοις τοῦ Θεοῦ πάντως ᾑρέθην μόνος.
Ἕκαστος γάρ κριθήσεται καί λόγους πάντως δώσει,
ὧν ἔπραξεν αὐτός, εἴ τι χρηστόν ἤ φαῦλον,
ὑπέρ ἑκάστου λόγον δέ μόνος ἐγώ παρέξω·
καί πῶς σωθῆναι βούλομαι ἤ πῶς ἐλεηθῆναι,
ὁ μηδέ κἄν ὑπέρ ἐμῆς μιᾶς ψυχῆς ἀθλίας
ἔχων ὅλως ἐνδείξασθαι ἔργον πρός σωτηρίαν;
Καί γάρ, πληροφορήθητι, οὐκ ἔχων, ὅ,τι φράσσω,
οὐδέ γάρ ἔπραξά ποτε ἔργον μικρόν ἤ μέγα,
δι’ οὗ καί μέλλω σῴζεσθαι πυρός τοῦ αἰωνίου.
Ἀλλ’ ὦ φιλάνθρωπε Σωτήρ, εὔσπλαγχνε, ἐλεήμων,
θείαν μοι δός τῷ ταπεινῷ δύναμιν, ὥστε λόγῳ,
οὕς δέδωκάς μοι ἀδελφούς, ποιμαίνειν ἐν συνέσει,
καθοδηγεῖν ἐπί νομάς τῶν νόμων σου τῶν θείων
καί ἀνασῴζειν εἰς μονάς τῆς ἄνω βασιλείας
σώους, ἀπήμονας, φαιδρούς τῶν ἀρετῶν τῷ κάλλει,
ἀξίους τε προσκυνητάς τοῦ φοβεροῦ σου θρόνου·
κἀμέ δέ τόν ἀνάξιον προσλαβοῦ ἐκ τοῦ κόσμου,
εἰ καί κατάστικτον πολλαῖς ἁμαρτιῶν αἰκίαις,
ἀλλ’ ὅμως λάτριν ἅμα σόν καί ἀχρεῖον οἰκέτην,
καί τοῖς χοροῖς τῶν ἐκλεκτῶν, οἷς κρίμασι γινώσκεις,
συγκαταρίθμησον ὁμοῦ μετά τῶν μαθητῶν μου,
ἵν’ ἅμα πάντες βλέπωμεν τήν δόξαν σου τήν θείαν
καί τῶν ἀφράστων σου, Χριστέ, ἀγαθῶν ἐντρυφῶμεν.
Σύ γάρ εἶ ἡ ἀπόλαυσις, ἡ τρυφή καί τό κλέος
τῶν ἀγαπώντων σε θερμῶς εἰς αἰῶνας αἰώνων·
ἀμήν.

## ΙΕ'. Ὅπως βλέπων τήν δόξαν τοῦ Θεοῦ ἐνηργεῖτο ὑπό τοῦ Παναγίου Πνεύματος, καί ὅτι τό Θεῖον ἐντός καί ἐκτός ἐστι τοῦ παντός, ἀλλά καί ληπτόν τε καί ἄληπτον τοῖς ἀξίοις, καί ὅτι οἶκος Δαυίδ ἡμεῖς ἐσμεν, καί ὅτι εἰς πολλά γινόμενος ὁ Χριστός καί Θεός ἡμῶν μέλη εἷς ἐστι καί ὁ αὐτός καί μένων ἀμέριστος.

Ἀποκαλυπτομένου σου, Δέσποτα τῶν ἁπάντων,
καί δόξαν τοῦ προσώπου σου τρανότερον δεικνύντος
ὅλος τρόμῳ συνέχομαι ἄνωθεν καθορῶν σε,
ὡς ἐφικτόν ἐστιν ἐμοί, τῷ ταπεινῷ τήν φύσιν,
καί φόβῳ συνεχόμενος ἐκπλήττομαι καί λέγω·
Ὑπέρ κατάληψιν ἐμήν πάντα τά σά, Θεέ μου,
καί γάρ εἰμι ἀκάθαρτος, ἀνάξιος εἰς ἅπαν
τοῦ βλέπειν σε, τόν καθαρόν καί ἅγιον Δεσπότην,
ὅν εὐλαβοῦνται ἄγγελοι καί λειτουργοῦσι τρόμῳ,
καί ἀπό τοῦ προσώπου σου κλονεῖται πᾶσα κτίσις.
Ὅταν δέ ταῦτα εἴποιμι καί ὀφθαλμούς καμμύσω,
τουτέστι κάτω μου τόν νοῦν ἀποστρέψω, μή βλέπειν
ἤ καθορᾶν δυνάμενος τήν ἄστεκτόν σου θέαν,
τότε θρηνῶ στερούμενος τοῦ κάλλους σου, Θεέ μου,
μή φέρων σοῦ τόν χωρισμόν, τοῦ φιλανθρώπου μόνου.
Θρηνοῦντα δέ καί κλαίοντα ὅλον με περιλάμπεις,
βαβαί, καί καταπλήττομαι καί ἐπί πλεῖον κλαίω,
τό πρός ἐμέ σου εὔσπλαγχνον τόν ἄσωτον θαυμάζων.
Τότε βλέπω τοῦ σώματος πολλήν ἀσχημοσύνην
καί τήν ἀναξιότητα ψυχῆς μου τῆς ἀθλίας,
καί ταῦτα τεκμαιρόμενος ἐξίσταμαι κραυγάζων·
Τίς οὖν ἐγώ εἰμι, Θεέ καί ποιητά τῶν ὅλων,
καί τίς ὅλως πεποίηκα ἀγαθόν ἐν τῷ βίῳ,
ἤ ποίαν ὅλως σοῦ ποτε ἐντολήν εἰργασάμην,
ὅτι τοιαύτῃ δόξῃ με τόν ταπεινόν δοξάζεις;
Καί πόθεν ἤ καί διά τί οὕτως με περιλάμπειν,
τόν ἄθλιον, ἠξίωσας ἐν νυκτί καί ἡμέρᾳ;
Μή γάρ ποτε ἐδίψησα σέ ζητῶν, Βασιλεῦ μου,
μή γάρ ἐκακοπάθησα σῶν ἐντολῶν τοῖς πόνοις,
μή πειρασμούς ὑπέμεινα καί μάστιγας, ὡς πάντες

οἱ ταῦτα καρτερήσαντες ἅγιοι ἀπ’ αἰῶνος,
ὅπως ἐκείνοις με, Χριστέ, συναριθμήσας σώσῃς;
Οὐ γάρ τῶν ἔργων με χωρίς σύ ῥᾳθυμοῦντα σώσεις·
κἄν σφόδρα σύ φιλάνθρωπος ὡς πλάστης τῶν ἀνθρώπων,.
Ἀκούω Παύλου λέγοντος νεκράν εἶναι τήν πίστιν
ἔργων χωρίς τυγχάνουσαν καί φρίττω τιμωρίας
πάντως ἐκεῖ μενούσας με, τόν κατημελημένον.
Πῶς οὖν ἐγώ θαρρήσαιμι ὡς πιστός σύν ἐκείνοις
ἀριμνηθῆναι, Δέσποτα, τοῖς  προεργασαμένοις,
ὁ μηδέν μίαν ἐντολήν ποτε τετηρηκώς σου;
Ἀλλ’ οἶδα, πάντα δύνασαι, πάντα ποιεῖς, ὡς θέλεις,
καί τοῖς ἐσχάτοις, Δέσποτα, δίδως ὡς καί τοῖς πρώτοις,
καί πρῶτον, ὤ τοῦ θαύματος, τῶν πρώτων τοῖς ἐσχάτοις.
Ταῦτα πρός σέ λέγοντος, τόν ποιητήν τοῦ κόσμου,
τόν ἄνω πρίν φαινόμενον καί πάλαι με κρυβέντα
καί ὕστερον ἀκτῖσί με ὅλον περικυκλοῦντα,
αἴφνης σε ὅλον ἐν ἐμοί καθορῶ γεγονότα,
τόν ἄνω πρίν φαινόμενον, ἀλλά κρυβέντα πάλιν
νέφει, καθάπερ ἥλιος ἀκτίνων ὅλως δίχα.
Ὡς οὖν ἐκεῖνος προσιτός ἐστι τοῖς καθορῶσι
καί τότε μᾶλλον οἱονεί ὅλος πᾶσιν ὁρᾶται,
οὕτω καί σύ μοι προσιτός κεκρυμμένος ἐντός μου
τυγχάνεις, ὁ ἀπρόσιτος, ὄμμασι νοεροῖς μου,
ὡς οἶδας, ὀπτανόμενος, κατά μικρόν αὐξάνων,
φαιδρότερον δεικνύμενος, φαιδρότερον ἀστράπτων·
ἄλλοτε πάλιν φαίνῃ μοι ἀπρόσιτος εἰς ἅπαν.
Διό καί μεγαλύνω σου τήν ἀκαταληψίαν,
τήν ἀγαθότητα τήν σήν κηρύττων ἐκβοῶ σοι·
Δόξα τῷ οὕτως τήν ἡμῶν δοξάσαντι οὐσίαν,
δόξα τῇ ἀμετρήτῳ σου, Σωτήρ, συγκαταβάσει,
δόξα τῇ εὐσπλαγχνίᾳ σου, δόξα τῇ δυναστείᾳ,
δόξα σοι, ὅτι ἄτρεπτος, ἀναλλοίωτος μένων
ὅλος τε εἶ ἀκίνητος, ἀεικίνητος πέλων,
ὅλος ἐκτός τῆς κτίσεως, ὅλος δ’ ἐν πάσῃ κτίσει,
ὅλος τά σύμπαντα πληροῖς, ὅλος ὤν ἔξω πάντων,
ὑπέρ τά πάντα, Δέσποτα, ὑπέρ ἀρχήν δέ πᾶσαν,
ὑπέρ οὐσίαν ἅπασαν, ὑπέρ φύσεως φύσιν,
ὑπέρ αἰῶνας ἅπαντας, ὑπέρ φῶς ἅπαν, Σῶτερ,
ὑπέρ οὐσίας νοεράς, ἔργον σόν γάρ κἀκεῖναι,
μᾶλλον δέ ἐννοήματός σου τυγχάνουσιν ἔργον.
Σύ γάρ τῶν πάντων εἶ οὐδέν, ἀνώτερος δέ πάντων·

τῶν ὄντων γάρ εἶ αἴτιος ὡς τῶν πάντων κτίστης
καί διά τοῦτο πάντων εἶ ἀποκεχωρισμένος,
ἄνωθέν που νοούμενος ὑπέρ τά ὄντα πάντα,
ἀόρατος, ἀπρόσιτος, ἄληπτος ἀναφής τε,
ἀκατανόητός τε ὤν ἀναλλοίωτος μένεις,
ἁπλοῦς τυγχάνων ὅλος δέ σύ εἶ πεποικιλμένος,
καί ὅλως νοῦς ἀδυνατεῖ δόξης τήν ποικιλίαν
καί ὡραιότητα τοῦ σοῦ κάλλους κατανοῆσαι.
Ὁ οὖν τῶν πάντων ὤν οὐδέν ὡς ὑπεράνω πάντων,
ὁ ἔξω πάντων ὡς Θεός τῶν πάντων σύ ὑπάρχων
ἀόρατος, ἀπρόσιτος, ἄληπτος ἀναφής τε,
αὐτός ἐγένου καί  βροτός, εἰσῆλθες ἐν τῷ κόσμῳ
καί πᾶσιν ὤφθης προσιτός τῇ τῆς σαρκός προσλήψει.
Ἐγνώσθης δέ καί τοῖς πιστοῖς θεότητος τῇ δόξῃ
καί γέγονας αὐτοῖς ληπτός, ὁ ἄληπτος εἰς ἅπαν,
καί ὁρατός ὅλος αὐτός, ὁ ἀόρατος πᾶσιν·
καί εἴδοσαν τήν δόξαν σου, θεότητος τῆς θείας,
μόνοι πιστοί καί βλέπουσιν, οἱ ἄπιστοι δέ πάντες
ἰδόντες σε διέμειναν τυφλοί, τό φῶς τοῦ κόσμου.
Οἱ οὖν πιστοί καί τότε σέ καί νῦν ἀεί ὁρῶσι
καί ἔχουσι μεθ' ἑαυτῶν τόν κτίστην σε τῶν ὅλων
συνόντα συνοικοῦντά τε ἐν σκότει τῷ τοῦ βίου,
ὡς ἥλιόν σε ἄδυτον, ὡς ἄσβεστον λαμπάδα,
μή καταλαμβανόμενος ὅλως ὑπό τοῦ σκότους,
ἀλλά καταφωτίζοντα ἀεί τούς σέ ὁρῶντας.
Ἐπεί δέ σύ, ὡς εἴρηται, ἔξω πάντων ὑπάρχεις
καί, οὕς φωτίζεις, ἔξωθεν ποιεῖς τῶν ὁρωμένων
καί ὥσπερ σύ αὐτόθι ὤν ἄνω σύν τῷ Πατρί σου
ἀδιαστάτως μεθ' ἡμῶν ὅλος αὐτός τυγχάνεις
καί ἐν τῷ κόσμῳ πάλιν ὤν ἀχώρητος εἶ κόσμῳ
- ἐν τῷ παντί γάρ ὤν αὐτός ὑπέρ τό πᾶν τυγχάνεις-,
οὕτως ἡμᾶς τούς δούλους σου τῶν αἰσθητῶν ἐν μέσῳ,
τῶν ὁρωμένων τε ἐντός ὑπάρχοντας ἐξάγεις
καί ἄνω ὅλως μετά σοῦ λαμπομένους φωτί σου
συναναφέρεις καί ποιεῖς ἐκ θνητῶν ἀθανάτους·
καί μένοντες, ὅπερ ἐσμέν, υἱοί τῇ χάριτί σου
ὅμοιοί σοι γινόμεθα, θεοί Θεόν ὁρῶντες.
Τίς οὖν οὐ προσδραμεῖταί σοι, τῷ μόνῳ φιλανθρώπῳ,
τίς οὐκ ἀκολουθήσει σοι, τίς οὐκ ἐκ πόθου φράσει·
Ἰδού, τά πάντα ῥίψαντες ἀκολουθήσομέν σοι,
τῷ συμπαθεῖ, τῷ προσινεῖ, τῷ εὐσπλάγχνῳ Δεσπότη,

τῷ τήν ἡμῶν ἐπιστροφήν ἀεί ἐκδεχομένῳ,
τῷ θανάτῳ μή θέλοντι τῶν σοί προσκεκρουκότων,
τῷ ἐν ἡμῖν τά φοβερά νῦν τελεσιουργοῦντι,
ἅπερ ποτέ ἀκούοντες ἐν οἴκῳ Δαυίδ πάλαι
γενόμενα θαυμάζομεν. Τά δ' ἄν καί εἶεν ταῦτα·
οἶκος Δαυίδ ἡμεῖς ἐσμέν ὡς συγγενεῖς ἐκείνου,
καί γάρ αὐτός σύ γέγονας, ὁ τῶν ἁπάντων κτίστης,
υἱός ἐκείνου, καί ἡμεῖς υἱοί σου κατά χάριν·
σύ συγγενής ἡμῶν σαρκί, ἡμεῖς θεότητί σου.
Λαβών γάρ σάρκα δέδωκας ἡμῖν Πνεῦμα σου Θεῖον,
καί οἶκος εἷς γεγόναμεν Δαυίδ, οἱ πάντες ἅμα,
τῇ ἰδιότητι τῇ σῇ, τῇ πρός σε συγγενείᾳ.
Κύριος οὖν σύ τοῦ Δαυίδ, ἐν πνεύματι τυγχάνεις,
ἡμεῖς δέ τέκνα τοῦ Δαυίδ, σπέρμα θεῖόν σου πάντες·
συναγομένων τε ἡμῶν εἷς γινόμεθα οἶκος,
τουτέστι πάντες συγγενεῖς, ἀδελφοί σου οἱ πάντες.
Καί πῶς οὐ θαῦμα φοβερόν, ἤ πῶς οὐ φρίξει πᾶς τις,
ὁ τοῦτο ὅλως ἐννοῶν, τοῦτο καταμανθάνων,
ὅτι ὑπάρχεις μεθ' ἡμῶν νῦν καί εἰς τούς αἰῶνας
καί οἶκον ἕκαστον ποιεῖς καί ἐνοικεῖς εἰς πάντας
καί οἶκος πᾶσι γίνῃ σύ, καί ἐν σοί ἐνοικοῦμεν,
εἷς, Σῶτερ, ἕκαστος ἡμῶν μετά σοῦ ὅλος ὅλου,
καί μεθ' ἑνός ἑκάστου σύ μόνου μόνος τυγχάνων
καί ὑπεράνωθεν ἡμῶν μόνος ὅλος ὑπάρχεις;
Νῦν οὖν ὑπάρχεις τά φρικτά ἐν ἡμῖν πάντα πράσσων.
Ποῖα φρικτά; Ἀκούσατε ἐκ τῶν πολλῶν ὀλίγα·
εἰ γάρ καί, ἅ εἰρήκαμεν, ὑπέρ ἔκπληξιν πάντα,
ἀλλ' ὅμως ἄρτι ἄκουε φρικτότερα ἐκείνων!
Μέλη Χριστοῦ γινόμεθα, μέλη Χριστός  ἡμῶν δέ,
καί χείρ Χριστός καί ποῦς Χτιστός ἐμοῦ τοῦ παναθλίου,
καί χείρ Χριστοῦ καί ποῦς Χριστοῦ ὁ ἄθλιος ἐγώ δέ.
Κινῶ τήν χεῖρα, καί Χριστός ἡ χείρ μου ἔστιν.
- Ἀμέριστον γάρ νόει μ οι θεότητα τήν θείαν! -
Κινῶ τόν πόδα καί, ἰδού, ἀστράπτει ὡς ἐκεῖνος·
μή εἴπῃς, ὅτι βλασφημῶ, ἀλλ' ἀπόδεξαι ταῦτα
καί τῷ Χριστῷ προσκύνησον τοιοῦτόν σε  ποιοῦντι!
Εἰ γάρ καί σύ θελήσειας, μέλος αὐτοῦ γενήσῃ,
καί οὕτω μέλη ἅπαντα ἑνός ἡμῶν ἑκάστου
μέλη Χριστοῦ γενήσονται, καί Χριστός ἡμῶν μέλη,
καί πάντα τά ἀσχήμονα εὐσχήμονα ποιήσει
κάλλει θεότητος αὐτά κατακοσμῶν καί δόξῃ,

καί γενησόμεθα ὁμοῦ θεοί Θεῷ συνόντες,
ἀσχημοσύνην σώματος ὅλως μή καθορῶντες,
ἀλλ’ ὅλοι ὅλῳ σώματι Χριστῷ ὁμοιωθέντες,
καί μέλος ἕκαστον ἡμῶν ὅλος Χριστός ὑπάρξει.
Εἷς γάρ πολλά γινόμενος εἷς ἀμέριστος μένει,
μερίς ἑκάστῃ δέ αὐτός ὅλος Χριστός ὑπάρχει·
πάντως οὖν οὕτως ἔγνωκας Χριστόν καί δάκτυλόν μου
καί βάλανον - οὐκ ἔφριξας, ἤ σύ καί ἐπῃσχύνθης;
Ἀλλά Θεός σοί ὅμοιος οὐκ ᾐσχύνθη γενέσθαι,
σύ δέ ἐκείνῳ ὅμοιος αἰσχύνῃ γεγονέναι;-
Οὐχί ἐκείνῳ ὅμοιος αἰσχύνομαι γενέσθαι,
ἀλλά ἐκεῖνον ὅμοιον τοῦ ἀσχήμονος μέλους
ῥηθέντα βλασφημίαν σε εἰπεῖν ὑπενοήθην.-
Κακῶς ἄρα ὑπέλαβες, οὐ γάρ ἄσχημα ταῦτα!
Μέλη δέ Χριστοῦ εἰσι κρυπτά, καλύπτονται γάρ,
καί κατά τοῦτο τῶν λοιπῶν σεμνότερα ὑπάρχει
ὡς πᾶσιν ἀθεώρητα τοῦ κρυπτοῦ κρυπτά μέλη,
ἐξ οὗ τό σπέρμα δίδοται ἐν συνουσίᾳ θείᾳ,
θεῖον ἐν θείᾳ τῇ μορφῇ φρικτῶς μεμορφωμένον
ἀπό θεότητος αὐτῆς ὅλης, ὅλος Θεός γάρ,
ὅς συνενοῦται μεθ’ ἡμῶν, ὤ φρικτοῦ μυστηρίου!
Καί γάμος ὄντως γίνεται, ὁ ἄρρητος καί θεῖος·
ἑνί ἑκάστῳ μίγνυται, καί πάλιν ταῦτα λέξω
ὑφ’ ἡδονῆς, καί ἕκαστος ἑνοῦται τῷ Δεσπότῃ.
Εἰ οὖν ὅλῃ ὅλον Χριστόν σαρκί σου ἐνεδύσω,
ἀνεπαισχύντως ἅπαντα νοήσεις, ἅπερ λέγω.
Εἰ δέ οὐδ’ ὅλως ἤ ἐπίβλημα μικρόν, ἀχράντου
χιτῶνος λέγω τοῦ Χριστοῦ, ἐπέβαλες ψυχῇ σου,
ἐν ἱματίῳ παλαιῷ, ἐν ἑνί πάντως τόπῳ
ὑπάρχεις καί αἰσχύνεσαι τά λοιπά πάντα μέλη,
τό σῶμα κεκτημένος δέ ῥυπαρόν ὅλον μᾶλλον,
ἐνδεδυμένος ῥυπαρά, πῶς οὐκ ἐρυθριάσεις;
Ἐμοῦ λαλοῦντος τά φρικτά περί μελῶν ἁγίων
καί δόξαν βλέποντος πολλήν καί τόν νοῦν λαμπομένου
καί χαίροντος καί σαρκικόν μηδέν ἐνθυμουμένου,
σύ μέν τάς σάρκας βλέπει σου τάς κατερρυπωμένας
καί τῷ νοΐ τάς πράξεις σου διέρχῃ τάς ἀτόπους,
καί ὁ νοῦς σου τούτοις ἀεί ὡς σκώληξ ἰλυσπᾶται.
Διό προσάπτεις τῷ Χριστῷ κἀμοί τήν σήν αἰσχύνην
καί λέγεις· Οὐκ αἰσχύνῃ σύ περί τῶν ἀσχημόνων,
μᾶλλον δέ εἰς ἀσχήμονα μέλη Χριστόν κατάγειν;

Ἐγώ δέ πάλιν λέγω σοι· Βλέπε Χριστόν ἐν μήτρᾳ,
καί τά ἐν μήτρᾳ νόησον καί μήτραν ὑπεκδύντα,
καί πόθεν ἐξερχόμενος ὁ Θεός μου διῆλθε!
Καί πλεῖόν τι εὑρήσειας, ὑπέρ ἅ ἐγώ εἶπον,
ἅπερ καί κατεδέξατο εἰς ἡμετέραν δόξαν,
ἵνα μηδείς αἰσχύνηται μιμούμενος ἐκεῖνον
μηδέ, ἅ πέπονθε, λαλῶν ἤ καί αὐτός πανθάνων.
Ἄνθρωπος ὅλος γέγονε καί Θεός ὅλος ὄντως,
εἷς οὗτος, οὐ μεμέρισται, ἀνήρ τέλειος πάντως·
ὁ δέ αὐτός Θεός ἐστιν, ὅλος μέλεσιν ὅλοις.
Οὕτως ἐγένετο καί νῦν ἐν τοῖς ἐσχάτοις χρόνοις
ὁ Συμεών ὁ ἅγιος, Εὐλαβής ὁ Στουδίτης,
οὗτος οὐκ ἐπῃσχύνετο μέλη παντός ἀνθρώπου
οὐδέ γυμνούς τινας ὁρᾶν, οὐδέ γυμνός ὁρᾶσθαι·
εἶχε γάρ ὅλον τόν Χριστόν, ὅλος αὐτός Χριστός ἦν,
καί μέλη ἅπαντα αὐτοῦ καί παντός ἄλλου μέλη
καθ' ἕν καί πάντα ὡς Χριστόν οὗτος ἀεί ἑώρα
καί ἔμενεν ἀκίνητος, ἀβλαβής, ἀπαθής τε,
ὡς ὅλος ὤν Χριστός αὐτός καί Χριστόν πάντας βλέπων
τούς βαπτισθέντας καί Χριστόν ὅλον ἐνδυσαμένους.
Εἰ δέ γυμνός ὑπάρχεις σύ καί σάρξ σαρκός προσψαύσει,
θηλυμανής γεγένησαι ὡς ὄνος ἤ ὡς ἵππος,
ἵνα τί καί τόν ἅγιον τολμᾷς ἐνδιαβάλλειν
καί βλασφημεῖς εἰς τόν Χριστόν, τόν ἡμῖν ἑνωθέντα
καί δόντα τήν ἀπάθειαν δούλοις αὐτοῦ ἁγίοις;
Καί γάρ νυμφίος γίνεται - ἀκούεις; - καθ' ἑκάστην,
καί νύμφαι πάντων αἱ ψυχαί, αἷς ὁ κτίστης ἑνοῦται,
κἀκείνῳ πάλιν αὗται δέ, καί γίνεται ὁ γάμος
πνευματικῶς, θεοπρεπῶς συμμιγνύμενος ταύταις.
Οὐ φθείρει ὅλως, ἄπαγε, ἀλλ' εἰ καί ἐφθαρμένας
λάβοι καί ταύταις ἑνωθῇ, εὐθύς ποιεῖ ἀφθάρτους,
καί βλέπουσι τά πρότερον φθορᾷ μεμολυσμένα
ἅγια πάντα, ἄφθορα, ὅλως συνουλωμένα.
Τόν εὔσπαγχνον δοξάζουσι, ποθοῦσι τόν ὡραῖον
καί τῇ ἀγάπῃ τῇ αὐτοῦ ὅλῃ ὅλαι κολλῶνται,
μᾶλλον δέ σπέρμα ἅγιον, ὡς εἴπομεν, λαβοῦσαι
Θεόν ὅλον ἐντός αὐτῶν μεμορφωμένον κτῶνται.
Τί οὖν οὐχί ἀλήθεια ταυτά εἰσι, πατέρες;
Οὐχί ὀρθῶς ἐξείπομεν περί πραγμάτων θείων,
οὐχί ἀπαραποίητα ταῖς γραφαῖς ἴσως εἶπον;
Εἰ τοίνυν σύ ἐνδέδυσαι σαρκός σου τήν αἰσχύνην

καί νοῦν οὐκ ἀπεγύμνωσας, ψυχήν οὐκ ἀπεδύσω,
τό φῶς ἰδεῖν οὐκ ἴσχυσας σκότει κεκαλυμμένος,
ἐγώ σοι τί ποιήσαιμι, τά φρικτά πῶς σοι δείξω,
πῶς εἰς τόν οἶκον δέ, οἴμοι, τοῦ Δαυίδ εἰσενέγκω;
Ἔστι καί γάρ ἀπρόσιτος τοῖς κατ' ἐμέ ῥαθύμοις,
ἔστιν ὅλος ἀόρατος τυφλοῖς ἐμοί ὁμοίοις,
ἔστι μακράν ἀπίστων τε καί ὀκνηρῶν εἰς ἅπαν,
πονηρῶν πάντων πόρρωθεν, πάντων τῶν φιλοκόσμων·
τῶν κενοδόξων δέ οὕτως ἀσυγκρίτως ἀπέχει
ὡς ὑπέρ ὕψος οὐρανοῦ, ὑπέρ ἀβύσσου βάθος.
Καί τίς ἤ πῶς εἰς οὐρανόν ἀναβήσεται ὅλως,
ἤ ὑπό γῆν κατέλθοι δέ ἀνερευνῶν ἀβύσσους;
Καί μαργαρίτην ἐκζητῶν, ὡς σινάπεως κόκκον
σμικρότατον ὑπάρχοντα, πῶς εὑρεῖν ἐξισχύσει;
Ἀλλ', ὦ παῖδες συνάχθητε, ἀλλ', ὦ γυναῖκες, δεῦτε!
Ἀλλ', ὦ πατέρες, φθάσατε, πρίν ἤ τό τέλος φθάσει,
καί σύν ἐμοί θρηνήσατε καί κλαύσατε οἱ πάντες,
ὅτι ἐν τῷ βαπτίσματι μικροί Θεόν λαβόντες,
μᾶλλον δέ υἱοί Θεοῦ νήπιοι γεγονότες,
ἔξω οἱ ἁμαρτήσαντες ἐβλήθημεν εὐθέως
ἀπό τοῦ οἴκου τοῦ Δαυίδ καί τοῦτο ἀναισθήτως
πεπόνθαμεν, καί δράμωμεν διά τῆς μετανοίας!
Ἐκεῖθεν γάρ εἰσέρχονται οἱ ἐκβληθέντες πάντες,
ἄλλως δ' οὐκ ἔνι ἔνδοθεν εἰσελθεῖν, μή πλανᾶσθε,
οὐδέ ἰδεῖν τά ἐν αὐτῷ τελεσιουργηθέντα,
καί νῦν τελεσιουργούμενα καί εἰς ἀπείρους αἰῶνας
ἐν τῷ Χριστῷ μου καί Θεῷ, ᾧ πρέπει πᾶσα δόξα,
τιμή τε καί προσκύνησις νῦν καί εἰς τούς αἰῶνας.
Ἀμήν.

## ΙΣΤ'. Ὅτι ποθεινόν τε καί ἐπιθυμητόν κατά φύσιν μόνον τό Θεῖον, οὗ ὁ μετέχων πάντων ἐν μετοχῇ γέγονε τῶν καλῶν

Ὢ τί τό πρᾶγμα τό κρυπτόν πάσῃ κτιστῇ οὐσίᾳ,
καί τί τό φῶς τό νοητόν, ὅ τινι οὐχ ὁρᾶται,
καί τίς ὁ πλοῦτος ὁ πολύς, ὅν οὐδείς ἐν τῷ κόσμῳ
εὑρεῖν ὅλως ἐξίσχυσεν ἤ κατασχεῖν εἰς ἅπαν;
Ἔστι γάρ πᾶσιν ἄληπτος, ἀχώρητος τῷ κόσμῳ,
ἔστι καί ἐπιθυμητός, καθ’ ὅσον ὑπερέχει
τῶν ὁρωμένων ὁ αὐτά Θεός κατασκευάσας.
Κατά τοῦτο τιτρώσκομαι τῇ ἀγάπῃ ἐκείνου·
καθ’ ὅσον δ’ οὐχ ὁρᾶταί μοι ἐκτήκομαι τάς φρένας,
τόν νοῦν καί τήν καρδίαν μου φλεγόμενος καί στένων.
Περιπατῶ καί καίομαι ζητῶν ὧδε κἀκεῖσε
καί οὐδαμοῦ τόν ἐραστήν εὑρίσκω τῆς ψυχῆς μου·
καί περιβλέπομαι συχνῶς, ἰδεῖν τόν ποθητόν μου,
κἀκεῖνος, ὡς ἀόρατος, οὐχ ὁρᾶται ὅλως.
Ὅτε δέ ἄρξομαι θρηνεῖν ὡς ἀπελπίσας, τότε
ὁρᾶταί μοι καί βλέπει με, ὁ καθορῶν τά πάντα·
θαυμάζων καταπλήττομαι κάλλους τήν εὐμορφίαν,
καί πῶς ἀνοίξας οὐρανούς διέκυψεν ὁ κτίστης
καί δόξαν μοι παρέδειξε τήν ἄφραστον καί ξένην·
καί τίς ἄρα ἐγγύτερον γενήσεται ἐκείνου
ἤ πῶς ἀνενεχθήσεται εἰς ἀμέτρητον ὕψος;
Λογιζομένου μου, αὐτός εὑρίσκεται ἐντός μου,
ἔνδον ἐν τῇ ταλαίνῃ μου καρδίᾳ ἀπαστράπτων,
πάντοθεν περιλάμπων με τῇ ἀθανάτῳ αἴγλῃ,
ἅπαντα δέ τά μέλη μου ἀκτῖσι καταυγάζων,
ὅλος περιπλεκόμενος, ὅλον καταφιλεῖ με,
ὅλον τε δίδωσιν αὑτόν ἐμοί τῷ ἀναξίῳ,
καί ἐμφοροῦμαι τῆς αὐτοῦ ἀγάπης καί τοῦ κάλλους,
καί ἡδονῆς καί γλυκασμοῦ ἐμπίπλαμαι τοῦ θείου.
Μεταλαμβάνω τοῦ φωτός, μετέχω καί τῆς δόξης,
καί λάμπει μου τό πρόσωπον ὡς καί τοῦ ποθητοῦ μου
καί ἅπαντα τά μέλη μου γίνονται φωτοφόρα.
Ὡραίων ὡραιότερος τότε ἀποτελοῦμαι,
πλουσίων πλουσιώτερος καί δυνατῶν ἁπάντων
ὑπάρχω δυνατώτερος καί βασιλέων μείζων

καί τιμιώτερος πολύ τῶν ὁρωμένων πάντων,
οὐχί τῆς γῆς καί τῶν τῆς γῆς, ἀλλά καί οὐρανοῦ δέ
καί πάντων τῶν ἐν οὐρανῷ, τόν πάντων ἔχων κτίστην,
ᾧ πρέπει δόξα καί τιμή νῦν καί εἰς τούς αἰῶνας·
ἀμήν.

## ΙΖ'. Ὅτι ὁ φόβος γεννᾷ τήν ἀγάπην, ἡ δέ ἀγάπη ἐκριζοῖ τόν φόβον ἀπό τῆς ψυχῆς καί μένει μόνη ἐν αὐτῇ, Πνεῦμα Θεῖον οὖσα καί Ἅγιον.

Πῶς ὑμνήσω, πῶς δοξάσω,
πῶς ἀξίως εὐφημήσω
τόν πολλά παραδραμόντα
ἁμαρτήματα Θεόν μου;
Πῶς εἰς ὕψος ὅλως βλέψω,
πῶς τούς ὀφθαλμούς διάρω,
πῶς ἀνοίξω στόμα, Σῶτερ,
πῶς τά χείλη μου κινήσω;
Πῶς ἐκτείνω μου τάς χεῖρας
πρός τοῦ οὐρανοῦ τό ὕψος,
ποίους λόγους δέ ἐφεύρω,
ποῖα ῥήματα προσάξω;
Πῶς λαλῆσαι δέ τολμήσω,
πῶς τήν ἄφεσιν αἰτήσω
τῶν ἀμέτρων μου πταισμάτων,
τῶν πολλῶν πλημμελημάτων;
Ὄντως ἔπραξα γάρ ἔργα
ὑπέρ ἅπασαν συγγνώμην!
Οἶδας ἅπερ λέγω, Σῶτερ,
πᾶσαν φύσιν ὑπερέβην
παρά φύσιν ἔργα πράξας·
τῶν ἀλόγων ὤφθην χείρων,
πάντων ζῴων ἐναλίων,
πάντων τε κτηνῶν χερσαίων,
ἑρπετῶν τε καί θηρίων
ἐγενόμην ὄντως χείρων
παραβάς τάς ἐντολάς σου
ὑπέρ τήν ἀλόγων φύσιν.
Τό οὖν σῶμά μου μολύνας
καί ψυχήν καταρρυπώσας
πῶς ὀφθῶ σοι, πῶς σε βλέψω,
ὅλως πῶς τολμήσω στῆναι
πρό προσώπου σου, ὁ τάλας;
Πῶς μή φεύξομαι σήν δόξαν
καί τό φῶς τό ἀπαστράπτον

τοῦ Ἁγίου Πνεύματός σου;
Πῶς δέ μόνος οὐ χωρήσω
πρός τό σκότος, ὁ τοῦ σκότους
ἔργα πραξας, καί Ἁγίων
χωρισθήσομαι πληθύος;
Πῶς ἀνέξομαι φωνῆς σου
ἐκπεμπούσης με εἰς σκότος,
ὁ ἐντεῦθεν ἐκ τῶν ἔργων
φέρων μου τήν καταδίκην;
Φρίττων ὅλος, τρέμων ὅλος,
ὅλος φόβῳ καί ἐκπλήξει
συνεχόμενος  βοῶ σοι·
Οἶδα, Σῶτερ, ὅτι ἄλλος
ὡς ἐγώ οὐκ ἔπταισέ σοι,
οὐδέ ἔπραξε τάς πράξεις,
ἅσπερ ἔπραξα ἐγώ ὁ τάλας,
καί παραίτιος καί ἄλλοις
ἐγενόμην ἀπωλείας.
Ἀλλά τοῦτο πάλιν οἶδα,
τοῦτο πέπεισμαι, Θεέ μου,
ὡς οὐ μέγεθος πταισμάτων,
οὐχ ἁμαρτημάτων πλῆθος,
οὐδέ πράξεων αἰσχρότης
ὑπερβήσεται ποτέ σου
τό φιλάνθρωπον καί μέγα,
μᾶλλον δέ ὑπέρ τό μέγα,
ὑπέρ λόγον, ὑπέρ νοῦν τε
ἔλεος, ὅπερ πλουσίως
πρός τούς πταίοντας ἐκχέεις
καί θερμῶς μετανοοῦντας,
καί καθαίρεις καί φωτίζεις
καί φωτός ποιεῖς μετόχους,
κοινωνούς θεότητός σου,
ὁμιλεῖς καί συλλαλεῖς τε
ὥσπερ φίλοις σου γνησίοις·
ὤ χρηστότητος ἀπείρου,
ὤ ἀγάπης ἀνεκφράστου!
Διά τοῦτο καί προσπίπτω
καί θερμῶς ἀναβοῶ σοι·
ὡς τόν ἄσωτον ἐδέξω
καί τήν πόρνην προσελθόντας,

οὕτως δέξαι με, οἰκτίρμον,
ἐκ ψυχῆς μετανοοῦντα,
καί δακρύων μου ῥανίδας
ὡς πηγάς ἀεί βλυζούσας
λογισάμενος, Χριστέ μου,
πλῦνον ἐν αὐταῖς ψυχῆς μου,
πλῦνον καί τοῦ σώματός μου
τάς ἐκ τῶν παθῶν κηλῖδας.
Ἔκπλυνον καί τήν καρδίαν
ἀπό πάσης πονηρίας.
Αὕτη γάρ ἐστιν ἡ ῥίζα
καί πηγή τῆς ἁμαρτίας·
πονηρίᾳ τοῦ σπορέως
πονηροῦ σπορά ὑπάρχει.
Ἔνθα δ’ ἔστι, καί βλαστάνει
καί εἰς ὕψος ἀναβαίνει
καί ἐκφύει πλείστους κλάδους
πονηρίας καί κακίας.
Τούτου ῥίζας ἐκ βαθέων
ἐξανάσπασον, Χριστέ μου,
καί καθάρισον ψυχῆς μου
καί καρδίας τάς ἀρούρας
καί ἐμφύτευσον τόν φόβον
ἐν αὐταῖς, τόν σόν, οἰκτίρμον,
καί ἀξίωσον ῥιζῶσαι
καί καλῶς ἀναβλαστῆσαι,
ὅπως αὐξηθῇ εἰς ὕψος
φυλακῇ τῶν ἐντολῶν σου
προστιθέμενος καθ’ ὥραν.
Τῇ προσθήκῃ δέ δακρύων
προστιθείς ῥοάς βλυζούσας,
ποτιζομένος δ’ ἐκ τούτων
ἐπί πλεῖον καί αὐξάνει
καί, καθ’ ὅσον στερεοῦται,
καί εἰς ὕψος ἀναβαίνει.
Ἀναλόγως συναυξάνει
ἡ ταπείνωσις τῷ φόβῳ,
ταπεινώσει δέ τά πάθη
ἅπαντα ὑποχωροῦσι·
σύν αὐτοῖς δέ καί δαιμόνων
ἀπελήλαται ἡ φάλαγξ,

ἀρεταί δέ πᾶσαι ὥσπερ
βασιλίδι κύκλῳ ταύτης
συνεπόμεναι ὁρῶνται,
οἷα φύλακες καί φίλαι
καί θεράπαιναι δεσποίνης.
Τούτων συναθροισθεισῶν δέ
καί ἑνωθεισῶν ἀλλήλαις,
μέσον τούτων ὥσπερ δένδρον
εἰς ὑδάτων διεξόδους
φόβος σός πεφυτευμένος
ἐξανθεῖ καί κατ᾽ ὀλίγον
δείκνυσί μοι ξένον ἄνθος.
Ὦ Χριστέ μου, ξένον ἄνθος!
Ξένον εἶπον, ὅτι πᾶσα
φύσις κατά γένος τίκτει
καί τῶν δένδρων πάντων σπέρμα
κατά γένος ἐν ἑκάστῳ·
ὁ δέ φόβος σου καί ἄνθος
ξένης φύσεως δεικνύει
καί καρπόν ὁμοίως ξένον
καί ἀλλότριον ἐκείνου.
Ἔστι γάρ ὁ φόβος φύσει
κατηφείας πεπλησμένος
καί τούς τοῦτον κτησαμένους
ἀενάως σκυθρωπάζειν
ἀπεργάζεται ὡς δούλους,
ὡς πολλῶν πληγῶν ἀξίους,
ὡς ἐλπίζοντας καθ᾽ ὥραν
ἐκτομήν τήν τοῦ θανάτου
καί τό δρέπανον ὁρῶντας
καί τήν ὥραν ἀγνοοῦντας
καί μή ἔχοντας ἐλπίδα,
μήτε μήν πληροφορίαν
συγχωρήσεως τελείας,
ἀλλά τρέμοντας τό πέρας,
ἀλλά φρίττοντας τό τέλος
ὡς ἀμφίβολον τῆς δίκης
περιφέροντας ἐκείνης
τήν ἀπόφασιν, Θεέ μου.
Τό γοῦν ἄνθος, ὅπερ φέρει,
ἄφραστον τῷ εἴδει πέλει,

ἀφραστότερον τῷ τρόπῳ·
ἐξανθοῦν γάρ καθορᾶται,
ἀποκρύπτεται δ’ εὐθέως,
ὅπερ φύσεως οὐκ ἔστιν,
ἀλλ’ οὐδέ ἀκολουθίας,
ὑπέρ φύσεως δέ φύσιν,
πᾶσαν φύσιν ὑπεραῖρον.
Τέως δείκνυται ὡραῖον
ἄνθος ὑπέρ πάντα λόγον
καί ἁρπάζει πρός τήν θέαν
τήν ἐκείνου ὅλον νοῦν μου,
μηδενός ἐῶν μεμνῆσθαι,
ἅ παρέχειν οἶδε φόβον,
ἀλλά λήθην  τούτων πάντων
ἀπεργάζεταί μοι τότε
καί ἀφίπταται συντόμως.
Τό δέ δένδρον τό τοῦ φόβου
πάλιν ἄνθους ἔστι δίχα,
καί λυποῦμαι καί στενάζω
καί πρός σέ θερμῶς κραυγάζω
καί τό ἄνθος πάλιν βλέπω
ἐν τοῖς κλαδοις τοῖς τοῦ δένδρου
καί τό ὄμμα, ὦ Χριστέ μου,
πρός τό ἄνθος μόνον ἔχων
οὐχ ὁρῶ τό δένδρον τότε.
Συχνοτέρως δέ τό ἄνθος
ἐπανθοῦν καί πρός ἐκεῖνο
ὅλον με τῷ πόθῳ ἕλκον
εἰς καρπόν ἀγάπης λήγει.
Ὁ καρπός δέ οὗτος πάλιν
οὐκ ἀνέχεται τῷ δένδρῳ
τῷ τοῦ φόβου βασταχθῆναι,
ἀλλά μᾶλλον ὅτε πλήρης
ὡριμάσει, τότε μόνος
δίχα δένδρου καθορᾶται.
Φόβος γάρ ἐν τῇ ἀγάπῃ
οὐχ εὑρίσκεται οὐδ’ ὅλως,
οὐδέ πάλιν δίχα φόβου
ἐν ψυχῇ καρποφορεῖται.
Ὄντως θαῦμα ὑπέρ λόγον,
ὑπέρ ἔννοιαν δέ πᾶσαν,

ὅτι δένδρον μετά κόπου
ἐξανθεῖ καί καρπόν φέρει·
ὁ καρπός αὐτοῦ δέ πάλιν
ὅλον ἐκριζοῖ τό δένδρον,
μένει δ᾽ ὁ καρπός καί μόνος.
Πῶς καρπός τοῦ δένδρου δίχα,
ὅλως ἐξειπεῖν οὐκ ἔχω·
τέως μένει, τέως ἔστιν
ἡ ἀγάπη δίχα φόβου
τοῦ αὐτήν ἀποτεκόντος.
Ἡ ἀγάπη οὖν ὑπάρχει
ὄντως πᾶσα εὐφροσύνη,
καί χαρᾶς καί θυμηδίας
ἐμπιπλᾷ τόν κεκτημένον
καί τοῦ κόσμου ἐν αἰσθήσει
τοῦτον ἔξωθεν ἐκβάλλει,
ὅπερ φόβος οὐκ ἰσχύει
ἀπεργάσασθαι οὐδ᾽ ὅλως.
Ἔνδον γάρ τῶν ὁρωμένων
καί τῶν αἰσθητῶν ὤν ἔνδον,
πῶς τόν ἔχοντα ἰσχύει
τούτων πόρρω βάλλειν ἆρα,
ἐν αἰσθήσει τε συνάψαι
ὅλον ἄν τοῖς ἀοράτοις;
Ὄντως οὐδαμῶς ἰσχύσει!
Τό δέ ἄνθος, ὁ καρπός τε,
ὅν ὁ φόβος ἀποτίκτει,
ἔξωθεν τοῦ κόσμου ἔστιν,
ἅ καί νοῦν ἁρπάζειν οἶδε
καί ψυχήν σύν τούτῳ αἴρειν
καί τοῦ κόσμου ἔξω βάλλειν.
Πῶς, εἰπέ μοι, ἔξω κόσμου
ἡ ἀγάπη ταῦτα βάλλει,
ἤθελον σαφῶς εἰδέναι.
Ἄφραστα, ὡς εἶπον, ταῦτα,
ὅμως πρόσεχε καί λέξω·
Πνεῦμα Θεῖον ἡ ἀγάπη,
παντουργόν φῶς καί φωτίζον,
πλήν οὐκ ἔστιν ἐκ τοῦ κόσμου,
οὐδέ ὅλως τι τοῦ κόσμου,
οὐδέ κτίσμα· ἄκτιστον γάρ

καί κτισμάτων πάντων ἔξω,
ἄκτιστον κτιστῶν ἐν μέσῳ.
Νόει ἅ σοι, τέκνον, λέγω!
Ἔστι γάρ κεχωρισμένον,
τό δέ ἄκτιστον οὐδέπω
κτίσμα δέχεται γενέσθαι·
πλήν εἰ βούλοιτο, καί τοῦτο
δυνατόν αὐτῷ ποιῆσαι.
Γέγονε καί γάρ ὁ Λόγος
Πνεύματος τῇ συνεργίᾳ
καί Πατρός τῇ εὐδοκίᾳ
ἄνθρωπος ἀτρέπτως ὅλος,
ἄκτιστος Θεός ὤν φύσει
γέγονε κτιστός ἀρρήτως
καί τό πρόσλημμα θεώσας
ἔδειξε διπλοῦν μοι θαῦμα
ἀμφοτέραις ἐνεργείαις
καί θελήσεσιν ὡσαύτως·
ὁρατόν ἀόρατόν τε,
κρατητόν ἀκράτητον δέ,
καί δεικνύμενος ὡς κτίσμα
τῶν κτισμάτων μέσον πάντων·
ὡς οὐ κτίσμα δέ τυγχάνων,
ὡς ἐδόκουν, ἠφαντοῦτο·
πλήν οὐδ’ ὅλως ἠφαντοῦτο,
ἀλλ’ ἐν μέσῳ ὤν τῶν πάντων
αἰσθητῶν κτιστῶν ὁ Λόγος
ἑωρᾶτο συνημμένος
τῷ προσλήμματι ὡς κτίσμα.
Προσλαμβάνων δέ τό κτίσμα
καί ἐγκρύπτων ἤ ἀνάγων
εἰς τό ὕψος, εἰς τήν δόξαν
τήν οἰκείαν ὑπέρ λόγον
ἀπεκρύπτετο εὐθέως.
Υοῦτο ἔλεγον ἐκεῖνοι
ἀφαντοῦσθαι τόν Δεσπότην,
τό καθ’ ἑαυτούς δέ πάντως·
ὁ γάρ κτίστης τῶν ἁπάντων
ὤν ἀχώρητος τοῖς πᾶσιν,
ὡς Θεός πάντα πληρῶν δέ,
πῶς ἄν ἄλλως γε κρυβείη;

Μεταστήσεις ἀπό τόπου
τόν Δεσπότην καί πρός ἄλλον
τόπον δώσεις γεγονέναι
ἐξ ὀφθαλμῶν κρυβῆναι
τῶν ἁγίων Ἀποστόλων;
Ἄπαγε, μή ἐξ ἀγνοίας
περιπέσῃς βλασφημίᾳ!
Ἄκουε δέ τῆς ἀγάπης,
εἰ βούλει, τάς ἐνεργείας,
καί μαθήσῃ, πῶς ὑπάρχει
μείζων πάντων ἡ ἀγάπη!
Ποίων πάντων; Οὐκ ἀκούεις
βοῶντος τοῦ Ἀποστόλου;
Τοῦ λαλεῖν ἀγγέλων γλώσσαις
καί ἁπάντων τῶν ἀνθρώπων,
τοῦ τήν πίστιν πᾶσαν ἔχειν,
ὥστε ὄρη μεθιστάνειν,
τοῦ εἰδέναι πᾶσαν γνῶσιν,
βάθος τε τῶν μυστηρίων,
τοῦ σκορπίσαι πάντα πλοῦτον
καί πτωχόν αὐτόν γενέσθαι,
τοῦ καί τό σῶμα εἰς καῦσιν
ὑπέρ τοῦ Χριστοῦ ἐκδοῦναι
μείζων ἔστιν ἡ ἀγάπη.
Καί τοσούτῳ μείζων πέλει,
ὅτι δίχα ταύτης ταῦτα
-εἴτε ἕν εἴτε καί πάντα -
εἰς οὐδέν τῷ κεκτημένῳ
ὄφελος ὅλως ὑπάρχει.
Ὅστις οὖν καί τῆς ἀγάπης
καί τῶν εἰρημένων πάντων
ἀποστέρηται, εἰπέ μοι,
ποῦ φανεῖται, τί ποιήσει,
πῶς πιστόν τοῖς ἐρωτῶσιν
εἰπεῖν ἑαυτόν τολμήσει;
Διά τοῦτο προσεκτέον
λέγοντι περί ἀγάπης.
Κάθημαι ἐν τῷ κελλίῳ
ἐν νυκτί ἤ ἐν ἡμέρᾳ,
συνυπάρχει ἀφανῶς μοι
καί ἀγνώστως ἡ ἀγάπη.

Ἔξω δέ κτισμάτων πάντων οὖσα
ἔστιν αὖ καί μετά πάντων,
ἔστι πῦρ, ἔστι καί αἴγλη,
γίνεται φωτός νεφέλη,
ἥλιος ἀποτελεῖται.
·Ως οὖν πῦρ ψυχήν θερμαίνει
καί καρδίαν μου ἐκκαίει
καί διανιστᾷ πρός πόθον
καί ἀγάπην, τήν τοῦ κτίστου.
Ἱκανῶς δέ πυρωθέντα
ὥσπερ αἴγλη φωτοφόρος
περιΐπταταί με πᾶσα,
φεγγοβόλους ἀφιεῖσα
τῇ ψυχῇ μου τάς ἀκτῖνας
καί τόν νοῦν λαμπρύνουσά μοι
καί πρός θεωρίας ὕψος
ἐπιτήδειον δεικνύει
ὀπτικόν ἐργασαμένη.
Τοῦτο ἦν, ὅπερ προεῖπον
ἄνθος εἶναι τό τοῦ φόβου.
Κατιδών δ' ἐγώ τήν αἴγλην
καί πλησθείς χαρᾶς ἀφάτου
οὐκ ἐχάρην ὅτι εἶδον,
ἀλλ' αὐτή χαρᾶς με θείας
ἐμφορήσασα ἀπέστη
καί συνήρπασε τόν νοῦν μου
καί τήν αἴσθησιν καί πᾶσαν
κοσμικήν ἐπιθυμίαν·
καί κατέτρεχεν ὁ νοῦς μου
καί καταλαβεῖν ἐζήτει
τήν φανεῖσαν αἴγλην πόθῳ.
Ἀλλ' οὐχ εὕρισκε τό κτίσμα,
οὐδ' ἠδύνατο γενέσθαι
τῶν κτισμάτων ὅλως ἔξω,
ἵνα δράξηται τῆς αἴγλης
τῆς ἀκτίστου καί ἀλήπτου.
Ὅμως περιῄει πάντα
καί ἰδεῖν ἐμηχανᾶτο,
ἐξηρεύνα τόν ἀέρα,
οὐρανούς περιεπόλει,
περιήρχετο ἀβύσσους

καί τά ἔσχατα τοῦ κόσμου,
ὡς ἐδόκει, ἐξεζήτει.
Ἀλλ’ οὐδέν ἐν τούτοις πᾶσιν
εὕρισκε, κτιστά γάρ πάντα·
καί ἐθρήνουν καί ἐπένθουν
καί τά σπλάγχνα ἐφλεγόμην
καί ὡς ἔκφρων ἐν ἐκστάσει
γεγονώς οὕτως διῆγον.
Ἦλθεν οὖν, ὡς ἠβουλήθη,
καί νεφέλης ὥσπερ εἶδος
φωτεινῆς ἐπιπεσοῦσα
καί ὅλη πρός τῇ κεφαλῇ μου
ἑωρᾶτο καθημένη
καί κραυγάζειν ἐνεποίει
ἐν ἐκπλήξει γενομένῳ.
Ὅμως πάλιν ἀποσπᾶσα
ἐγκατέλιπέ με μόνον
καί ζητοῦντί μοι ἐμπόνως
ταύτην, αἴφνης ὅλη πάλιν
ἐν ἐμοί γνωστῶς εὑρέθη,
ἐν καρδίᾳ μοῦ τε μέσον
ὡς φωστήρ, ὡς δίσκος ὄντως
τοῦ ἡλίου καθωράθη.
Οὕτω δέ ἀναφανεῖσα
καί γνωστῶς ἀποδειχθεῖσα
ἔτρεψε δαιμόνων στῖφος,
ἀπεδίωξε δειλίαν,
ἐνεποίησεν ἀνδρείαν,
τῆς αἰσθήσεως τοῦ κόσμου
ἀπεγύμνωσε τόν νοῦν μου
καί αἰσθήσεως χιτῶνα
νοερᾶς ἐνέδυσέ με,
ὁρατῶν δ’ ἐχώρισέ με
καί συνῆψεν ἀοράτοις
καί τόν ἄκτιστον ὁρᾶν με
ἐχαρίσατο καί χαίρειν,
ὅτι πάντων ἐχωρίσθην
τῶν κτιστῶν καί ὁρωμένων
καί συντόμως φθειρομένων,
καί ἡνώθην τῷ ἀκτίστῳ,
τῷ ἀφθάρτῳ, τῷ ἀνάρχῳ,

τῷ τοῖς πᾶσιν ἀοράτῳ·
τοῦτο γάρ ἀγάπη πέλει.
Δράμωμεν πιστοί εὐτόνως,
σπεύσωμεν νωθροί ἐμπόνως!
Ὀκνηροί διεγερθῶμεν,
ὅπως ἐγκρατεῖς ἀγάπης,
μέτοχοι δέ ταύτης μᾶλλον
γενησόμεθα καί οὕτως
μεταβῶμεν τῶν ἐνθένδε,
ἵνα σύν αὐτῇ τῷ Κτίστῃ
καί Δεσπότῃ παραστῶμεν,
ἔξωθεν τῶν ὁρωμένων
γεγονότες σύν ἐκείνῃ!
Εἰ δέ μή, τοῖς ὁρωμένοις
καί τοῖς κτίσμασιν ὡς κτίσμα
ὄντες ἐναπολειφθῶμεν
ἐν πυρί τε καί ταρτάρῳ
καί φρικτοῖς κολαστηρίοις,
δίχα ταύτης εὑρεθέντες,
δίχα τῆς ἀγάπης λέγω.
Εἰ δέ καί σωθῆναι ἔνι
δίχα ταύτης, ὦ Χριστέ  μου,
πῶς ὑπάρξει τοῦτο ὅλως;
Οὐδαμῶς γάρ ἔσται τοῦτο!
Τοῦ φωτός εἰ χωρισθῶμεν,
πῶς φευξόμεθα τό σκότος;
Τῆς χαρᾶς εἰ στερηθῶμεν,
πῶς ἀπαλλαγῶμεν λύπης;
Τοῦ νυμφῶνος ὄντες ἔξω
πῶς ἄν ὅλως εὐφρανθῶμεν;
Βασιλείας ἐκπεσόντες,
τῆς σῆς θέας λέγω, Σῶτερ,
ποίαν ἄλλην σωτηρίαν,
ποίαν δέ παραμυθίαν
ἤ ἐν ποίῳ ἄλλῳ τόπῳ
δυνηθῶμεν ἐφευρέσθαι;
Ὄντως οὐδαμοῦ οὐδ’ ὅλως
κἄν δοκῇ τισιν ἀφρόνως,
ἄφρων γάρ ὁ τοῦτο λέγων.
Ἀλλ’ ἀποκριθείς τις ἴσως ἐρεῖ ταῦτα·
Πῶς ἐκτός τῆς βασιλείας,

πῶς ἐκτός δέ τοῦ νυμφῶνος
καί χοροῦ τοῦ τῶν δικαίων
ἄλλος τόπος σωτηρίας
ἤ ἀνέσεως οὐκ ἔσται; -
Ἄφρων, εἶπεν ἡ ἀγάπη,
οὐκ ἀκούεις, ὅτι μίαν
ὁ Ἀδάμ ἐν παραδείσῳ
ἐντολήν, ὁ σός προπάτωρ,
παραβάς ἀπεγυμνώθη
δόξης θείας, καί ἡ Εὔα
σύν αὐτῷ τοῦ παραδείσου
ἐξωρίσθησαν εὐθέως,
ἡδονῆς ἀντιλαβόντες
-ὤ - τόν θάνατον ἀθλίως
καί τόν ἱδρώτων γέμοντα καί πόνων, οἴμοι, βίον,
καί ζῆν καί θνῄσκειν παρ’ αὐτῷ δικαίως ὁρισθέντες;
Οὕτως νόει μοι καί τότε,
ὅτε γένηται ἡ κρίσις,
ὅτι ὅς ἄν εὑρεθείη
δόξης θείας ὡς ἐκεῖνος
ἀληθῶς γεγυμνωμένος,
ἔξω τε τοῦ παραδείσου,
ναί δή, καί τῆς βασιλείας
καί τοῦ νυμφῶνος οὐρανίου
ἐλαθήσεται εὐθέως.
Κἄν ἁμάρτημα μή ἔχῃ,
ἀρετῶν δ’ ὑπάρχῃ δίχα,
ἵσταται γεγυμνωμένος.
Ἀρετῶν πασῶν δέ πρώτη,
βασιλίς τε καί κυρία
ἔστιν ὄντως ἡ ἀγάπη.
Κεφαλή τῶν πάντων ἔστι
καί ἱμάτιον καί δόξα.
Κεφαλῆς χωρίς δέ σῶμα
καί νεκρόν καί ἄπνουν ἔστι.
Σῶμα δέ χωρίς χιτῶνος
πῶς οὐχί γυμνόν ὑπάρξει;
Ἀρεταί χωρίς ἀγάπης
ἕωλοι, ἀνωφελεῖς τε·
καί γυμνός τῆς θείας δόξης,
ὁ μή ἔχων τήν ἀγάπην,

ἀρετάς κἄν πάσας ἔχῃ,
ἵσταται γεγυμνωμένος,
καί τήν γύμνωσιν μή φέρων
κρύπτεσθαι μᾶλλον ἐθέλει.
Τήν αἰσχύνην γάρ ὡς ἔχων
ἔχει καί τήν καταδίκην
καί «*οὐκ οἶδά σε*» ἀκούει
παρά τοῦ κριτοῦ τῶν ὅλων.
Ἦλθεν ἐπί γῆς ὁ κτίστης,
ἔλαβε ψυχήν καί σάρκα,
ἔδωκε δέ Πνεῦμα Θεῖον,
ὅπερ ἔστιν ἡ ἀγάπη.
Εἰ οὖν βούλει καί εἰ θέλεις
τοῦ λαβεῖν τό Θεῖον Πνεῦμα,
πίστευσον Θεῷ τελείως,
ἄρνησαι σαυτόν ὡσαύτως,
ἐπί ὤμων ἀδιστάκτως
ἆρον τόν σταυρόν καί λήψῃ·
θάνον τῇ προθέσει, τέκνον,
ἵνα μέτοχος γενήσῃ
τῆς ζωῆς τῆς ἀθανάτου!
Μή πλανήσωσί σε πλάνοι
ταῖς αὐτῶν ψευδολογίαις,
μετά θάνατον λαμβάνειν
τήν ζωήν τούς τελευτῶντας·
μή πεισθείς καταμελήσῃς
καί ζωῆς οὐ μεταλήψῃ!
Ἄκουσον Θεοῦ τούς λόγους,
ἄκουσον τῶν Ἀποστόλων,
ἄκουσον τῶν διδασκάλων,
τῶν ἐπί τῆς ἐκκλησίας,
τί Χριστός βοᾷ καθ’ ὥραν.
«*Ποταμοί ἐκ τῆς κοιλίας*
*εἰς ἐμέ τῶν πιστευόντων*
*ῥεύσουσι πηγῆς τῆς θείας,*
*ὕδατος τοῦ ἀειζώου.*»
Τί τό ὕδωρ τοῦτο λέγων,
εἰ μή Πνεύματος τήν χάριν;
Καθαρούς δέ τῇ καρδίᾳ
μακαρίζει, λέγων τούτους
ὄψεσθαι Θεόν ἐνταῦθα.

Οἱ Ἀπόστολοι δέ πάντες
καί διδάσκαλοι βοῶσιν
ἀπεντεῦθεν καί τό Πνεῦμα
καί Χριστόν αὐτόν λαμβάνειν,
εἴπερ μέλλοιμεν σωθῆναι.
Ἄκουσον φωνάς Δεσπότου,
ἄκουσον τοῦ Λόγου λόγους,
πῶς δηλοῖ τήν βασιλείαν
τήν τῶν οὐρανῶν λαμβάνειν
ἀπεντεῦθεν τούς ἀνθρώπους.
«*Ὡμοιώθη, λέγων, αὕτη*
*μαργαρίτῃ πολυτίμῳ·*»
μαργαρίτην δέ ἀκούσας
ἆρα τί ὑπολαμβάνεις;
Λίθον εἶναι λέγεις τοῦτον
ἤ κρατούμενον κἄν ὅλως
ἤ ὁρώμενον ποσῶς δέ;
Ἄπαγε τῆς βλασφημίας!
Νοητός καί γάρ ὑπάρχει,
Ἔμπορος εὑρών δέ τοῦτον,
πῶς ἐφεῦρεν, ἄρτι λέξον,
εἰ ἀκράτητος ὑπάρχει,
εἰ ἀόρατος τυγχάνει;
Ποῦ οὖν τοῦτον ὅλως εὗρε,
πῶς κατεῖδε, δίδαξόν με.
Πῶς δέ ἅπαντα πωλήσας
ἐξωνήσατο ἐκεῖνον,
ὅν οὐχ εὗρεν, ὅν οὐκ εἶδεν,
ὅν οὐκ ἔσχεν ἐπί χεῖρας,
ἀλλ’ οὐδ’ ἔλαβεν ἐν κόλπῳ;
Πίστει δέ με μόνῃ πάντως
καί ἐλπίδι ὥσπερ ἔχων
διακείσεται, διδάξεις;
Ἀλλ’ οὐκ εἶπεν ὁ Δεσπότης,
ὥσπερ σύ ὑπολαμβάνεις,
οὐδ’ ἐλπίσι τοῦ εὑρέσθαι
οὐδ’ ἐλπίσι τοῦ λαβέσθαι
τά ὑπάρχοντα πωλῆσαι.
Τί πλανᾶσθε, τί ματαίαις
ἐπερείδεσθε ἐλπίσι;
Τί καί ἄλλοις ἀπωλείας,

ἑαυτοῖς τε τιμωρίας
αἴτιοι σφοδρᾶς γενέσθαι
μάτην βούλεσθε πεισθεῖσιν;
Ἀλλά πρότερον εὑρεῖν σοι
παραινεῖ τόν μαργαρίτην,
καί ἀτίμητον ὡς ὄντα
θεασάμενόν σε τοῦτον
καί αὐτόν τότε πωλήσας
ἅπαντα ἐξαγοράσαι·
σύ δέ λέγεις ἐν ἐλπίσι
καί σαυτόν ἀποδεικνύεις
ὡς οὐ θέλοντα πωλῆσαι
τά ὑπάρχοντα καί ἆραι
οὐρανῶν τήν βασιλείαν,
ἥν ἐντός σου, ἐάν θέλῃς,
ὁ Δεσπότης εἶπεν εἶναι.
Ἴσως δέ πτωχός ὑπάρχεις
καί οὐ κέκτησαι χρυσίον,
οὐδέ κτήματα, οὐ πλοῦτον,
καί ἀκούων, ὅτι πάντων
ὑπαρχόντων διαπράσει
ὁ ἀτίμητος ὠνεῖται
μαργαρίτης, ἵνα λέγῃς
ὅτι· Ἆρα πῶς  μή ἔχων
ὕπαρξιν ἐγώ ἰσχύσω
κτήσασθαι τόν θεῖον τοῦτον
καί ὡραῖον μαργαρίτην;
Περί τούτου οὖν ἀκοῦσαι
συνετῶς παρακαλῶς σε.
Ἐάν ἅπαντα τόν κόσμον
καί τά ἐν τῷ κόσμῳ ἔχῃς
καί σκορπίσας διανείμῃς
ὀρφανοῖς καί χήραις ταῦτα
καί πτωχοῖς ἠπορημένοις,
καί πτωχός αὐτός γενήσῃ,
ὡς ἀντάξιον δέ ὅλως
τίμημα εἰ ἐννοήσῃς
ὅ,τι κατεβάλου, λέγων·
Δότε μοι τόν μαργαρίτην,
δέδωκα γάρ ἅπαντά μου!
παρ’ εὐθύς τοῦτο ἀκούσῃ

λέγοντός σου τοῦ Δεσπότου·
Ποῖα ἅπαντά σου λέγεις;
Σύ γυμνός ἀπό κοιλίας
ἐξελήλυθας μητρός σου
καί γυμνός ἐν τῷ μνημείῳ
πάλιν πάντως εἰσελεύσῃ.
Σά δέ ποῖα λέγεις εἶναι;
Ἄφρων, ὅλως οὐκ αἰσθάνῃ;
Καί οὐ λήψῃ μαργαρίτην,
οὐδέ λάβῃς βασιλείαν.
Ἄν δέ ἅπαντα σκορπίσῃς
τά ὑπάρχοντά σου ὅλως
ἤ πτωχός ὑπάρχῃς λίαν
καί προσέλθῃς λέγων οὕτως·
Ἴδε, Σῶτερ, νῦν καρδίαν
καί ψυχήν συντετριμμένην
καί δεινῶς κολαζομένην
καί σφοδρῶς ἐκκαιομένην!
Ἴδε, Δέσποτα, γυμνόν με,
ἴδε με ἠπορημένον
ἀρετῆς ἁπάσης ξένον
καί πτωχόν ἐν τούτοις λίαν
καί μή ἔχοντά τι δοῦναι
εἰς ἐξώνησίν σου, Λόγε,
καί ἐλέησόν με, μόνε
ἀνεξίκακε Θεέ μου.
Τί γάρ ἄξιον εὑρήσω
ἐν τῷ κόσμῳ, ὦ Θεέ μου,
ὅπερ δώσω εἰς τιμήν σου,
τοῦ ποιήσαντος τά πάντα;
Τί γάρ ἔδωκεν ἡ πόρνη,
τί δέ ὁ ληστής παρέσχεν,
ὁ δέ ἄσωτος, Χριστέ μου,
ποῖον πλοῦτόν σοι προσῆξε;
Ταῦτα λέξον, καί ἀκούσῃ·
Ναί, προσέφερόν μοι δῶρα,
ναί, προσέφερόν μοι πλοῦτον·
δεδωκότες ἅπερ εἶχον,
ἔλαβον τόν μαργαρίτην
τοῦ παντός κρείττω τοῦ κόσμου.
Ταῦτά μοι καί σύ, εἰ βούλει,

κόμισον καί λήψῃ πάντως.
Μετά τούτων πρόσελθέ μοι
καί εὐθύς σοι ὑποδείξω,
ὅνπερ ἔλαβον ἐκεῖνοι
μαργαρίτην, καί χαρήσῃ·
καί ψυχήν αὐτήν εἰ δώσεις,
ἄξιον οὐδέν νομίσεις,
ἄξιον οὐδέν λογίσῃ,
ὅ,τι ὅλως κατεβάλου.
Ἐγώ γάρ, ἐάν προσέλθῃς,
ὡς ἡ πόρνη μοι προσῆλθε,
πάντως ἔχω ἐξουσίαν,
πάντως ἔχω μαργαρίτας,
οὕς ὁ κόσμος, ἐάν λάβῃ,
καί σύν κόσμῳ τούτῳ ἄλλαι
μυριάδες ἄλλων κόσμων,
οὐκ ἐκλείψει μαργαρίτης
μόνος εἷς ἐκ θησαυρῶν μου,
καί παρέξω σοι καί δῶρον,
ὡς ἐκείνῃ παρεσχόμην.
Ταῦτά σοι Θεός προσείπῃ
καί διδάξει, πῶς προσῆλθεν
ὁ λῃστής καί πῶς ἡ πόρνη,
οἱ ᾀδόμενοι ἐν κόσμῳ,
πῶς δέ ἄσωτος εὐθέως
ὑποστρέψας προσεδέχθη.
Πίστει δέ λῃστής ἐσώθη,
ὁ πολλά κακά ποιήσας,
καί δικαίως, ὅτι μόνος
πάντων με ἀρνησαμένων,
πάντων δέ σκανδαλισθέντων
κρεμαμένου μου τῷ ξύλῳ
ὡμολόγησεν ἐκεῖνος
καί Θεόν καί βασιλέα
καί ἀθάνατόν με εἶναι
ἐκ καρδίας ἀνεβόα.
Διά τοῦτο καί πρό πάντων
ἔλαβε τήν βασιλείαν.
Πόρνης δέ τόν πόθον ἆρα
ποῖος λόγος παραστήσει,
ὅν ἐβάσταζεν ἐκείνη

ἐν καρδίᾳ προσελθοῦσα
ὡς Θεῷ μοι καί Δεσπότῃ
ὁρατῶν καί ἀοράτων
καί προσέφερε πλουσίως
ὡς οὐδείς τῶν μέχρι τότε,
ὅν ἰδών ἀπεδεξάμην;
Καί οὐκ ἔλαβον τόν πόθον,
ἀλλ᾽ αὐτῇ τόν μαργαρίτην
δούς ἀφῆκα καί τόν πόθον,
μᾶλλον δέ καί προσανῆψα
καί πυρσόνν εἰς μέγαν ἦρα
καί ἀπέλυσα παρθένων
σεμνοτέραν οὖσαν ταύτην.
Ἄφνω γάρ τόν νόμον πάντα
ὥσπερ τεῖχος διαβᾶσα,
ἤ ὡς κλίμακα τάς πάσας
ἀρετάς ὑπεραρθεῖσα
ἔφθασεν εἰς τέλος νόμου,
ὅπερ ἔστιν ἡ ἀγάπη,
καί ἀπῆλθε μέχρι τέλους
ἄτρωτον τηροῦσα ταύτην.
Ὁ δέ ἄσωτος ὁμοίως
ἐκ καρδίας ἐπιστρέψας
μετενόησε γνωσίως,
καί υἱός μου ὤν τό πρόσθεν
οὐ προσῆλθεν ὡς υἱός μου,
ἀλλ᾽ ὡς εἷς με ἐξῃτεῖτο
τῶν μισθίων μου γενέσθαι.
Οὐ τῷ στόματι δέ μόνον,
ἀλλά καί ψυχῇ ἐλάλει,
καί τοῖς ἔργοις ἐπεδείκνυ
ἅπερ ἔλεγε τοῖς λόγοις.
Ἡ ταπείνωσίς με τούτου
εἵλκυσε πρός εὐσπαγχνίαν
καί ἐπλούτισα εὐθέως
καί ἐδόξασα συντόμως,
ὅτι ἔβλεπον ἐξ ὅλης
προσερχόμενον ψυχῆς μοι,
ὅτι ὄπισθεν οὐδ᾽ ὅλως
- ὡς πολλοί τοῦτο ποιοῦσιν -
ἀπεστρέφετο τάς φρένας.

Οὕτως οὖν, εἰ πᾶς προσέλθοι
καί προσπέσοι μοι γνησίως,
- ἀκουσάτω πᾶσα κτίσις! -
δέξομαι αὐτόν εὐθέως.
Ὅστις δέ μου μετά δόλου
βούλεται λαβεῖν τήν χάριν,
ὑποκρίσει δέ προσέλθοι,
ἤ κακίαν ἔνδον ἔχων
ἤ θαρρῶν αὐτοῦ τοῖς ἔργοις,
κατεχόμενος ἐπάρσει
ἤ φθόνῳ, οὐκ ἔχει ὅλως
μετ' ἐμοῦ, Χριστοῦ, μερίδα.
Ταῦτά σοι Θεός καί πᾶσι
δι' ἡμῶν βοᾷ καθ' ὥραν.
Εἰ δέ βούλει, καί ἐξ ἄλλων
δείξω σοι τρανῶς ἐνταῦθα,
ὅτι δεῖ τήν βασιλείαν
οὐρανῶν λαβεῖν σε ὅλην,
εἰ ἐν ταύτῃ εἰσελθεῖν σε
βούλει καί μετά τό τέλος.
Ἄκουσον Θεοῦ σοι πάλιν
ἐν παραβολαῖς λαλοῦντος·
«*Τίνι ἄρα ὁμοιώσω*
*οὐρανῶν τήν βασιλείαν;*
*Ὁμοία ἐστίν, πρόσεχε,*
*τοῦ σινάπεως τῷ κόκκῳ,*
*ὅν λαβών τις τῶν ἀνθρώπων*
*ἔβαλεν αὐτοῦ εἰς κῆπον,*
*καί ἐβλάστησε καί δένδρον*
*ὄντως γέγονεν εἰς μέγα.*»
Λέγε τοίνυν, ὁ ἀκούων,
τίς ἐστιν ὁ κόκκος οὗτος;
Τί νομίζεις εἶναι τοῦτον;
Λέγε μετά παρρησίας!
Εἰ δέ μή, ἐγώ σοι λέξω
καί τό ἀληθές ἐξείπω·
Πάντως βασιλείαν εἶπε
τήν τῶν οὐρανῶν σοι κόκκον.
Ὁ δέ κόκκος οὗτος ἔστι
Θείου Πνεύματος ἡ χάρις,
ὁ δέ κῆπος ἡ καρδία

ἡ ἑκάστου τῶν ἀνθρώπων,
ἔνθα ὁ λαβών τό Πνεῦμα
βάλλει ἔνδον τε καί κρύπτει
ταῖς λαγόσι ταῖς τῶν σπλάγχνων,
ὡς μηδένα τοῦτο βλέπειν,
καί φυλάττει μετά πάσης
ἀκριβείας, ὅπως φύῃ,
ὅπως γένηται εἰς δένδρον
καί εἰς οὐρανόν ἀνέλθῃ.
Εἰ οὖν λέγεις· Οὐχί ὧδε,
ἀλλά μετά τέλος πάντες
λήψονται τήν βασιλείαν,
οἱ θερμῶς ταύτης ἐρῶντες,
ἀνατρέπεις τοῦ Σωτῆρος
καί Θεοῦ ἡμῶν τούς λόγους.
Τόν γάρ κόκκον εἰ μή λάβῃς,
τόν σινάπεως, ὅν εἶπεν,
εἰ μή βάλῃς σου εἰς κῆπον,
μένεις ὅλως δίχα σπόρου.
Εἰ δέ καί τόν σπόρον λάβοις
καί συμπνίξεις ταῖς ἀκάνθαις
ἤ προδώσεις τοῖς ὀρνέοις
καί ἁρπάσουσι τόν κόκκον
ἤ ἀπότιστον ἐάσεις
κῆπόν σου τῇ ἀμελείᾳ
καί οὐ φύει σου ὁ σπόρος,
οὐ βλαστήσει, οὐ καρπεύσει,
τίς σοι ἐκ τοῦ σπόρου ἔσται
ἡ ὠφέλεια, εἰπέ μοι;
Πότε δέ, εἰ μή ἐνταῦθα,
ἄλλοτε τόν σπόρον λάβοις;
Μετά θάνατον, μοί εἴπῃς,
ἀλλά σφάλλῃ τοῦ εἰκότος·
ποίῳ κήπῳ τότε τοῦτον
κατακρύψεις, ἐρωτῶ σε,
ποίαις δέ ταῖς ἐργασίαις
θεραπεύσεις, ἵνα φύῃ;
Ὄντως ὅλος γέμεις πλάνῃς,
ἀδελφέ, ἠπατημένης!
Ὁ γάρ χρόνος οὗτος ἔργων,
ὁ δέ μέλλων τῶν στεφάνων·

ὧδε σύ τούς ἀρραβῶνας
λαβε, εἶπεν ὁ Δεσπότης,
ὧδε δέξαι τήν σφραγίδα.
Ἀπ’ ἐντεῦθεν τήν λαμπάδα
ἄναψον τήν τῆς ψυχῆς σου,
πρίν σκοτάσῃ, πρίν κλεισθῶσιν
αἱ τῆς ἐργασίας πύλαι.
Εἴπερ φρόνιμος ὑπάρχεις,
ὧδέ σοι καί μαργαρίτης
γίνομαι καί ἐξωνοῦμαι,
ὧδέ σοι καί σῖτος πέλω
καί σινάπεως ὡς κόκκος,
ὧδε γίνομαί σοι ζύμη
καί ζυμῶ τό φύραμά σου,
ὧδε σοι ὡς ὕδωρ πέλω,
γίνομαι καί πῦρ γλυκάζον·
ὧδε καί ἱμάτιόν σοι
καί τροφή καί πόσις πᾶσα,
ἐάν βούλει, γίνομαί σοι.
Ὁ Δεσπότης ταῦτα λέγει.
Εἰ οὖν οὕτως ἐκ τῶν ὧδε
καί τοιοῦτόν με γνωρίσεις,
ἕξεις με κἀκεῖ ἀρρήτως
ἅπαντα γινόμενόν σοι·
εἰ δ’ ἀπέλθῃς ἀγνοῶν μου
χάριτος τάς ἐνεργείας,
μόνον με κριτήν ἐκεῖσε
ἀσυμπάθητον εὑρήσεις.
Ὦ Χριστέ μου καί Θεέ μου,
μή με κατακρίνῃς τότε,
μηδέ δίκῃ ὑποβάλῃς
τόν πολλά σοι ἐπταικότα,
ἀλλά δέξαι με ὡς ἕνα
τῶν ἐσχάτων σου μισθίων
καί ἀξίωσον ἐντεῦθεν
θεραπεῦσαί σε, Σωτῆρ μου,
καί λαβεῖν σου Πνεῦμα Θεῖον,
ἀραββῶνα βασιλείας
καί ἐκεῖθεν ἀπολαῦσαι
τοῦ νυμφῶνος σου τῆς δόξης,
καθορῶντά σε, Θεέ μου,

εἰς αἰῶνας αἰωνίους,
ἀμήν.

## ΙΗ'. Διδασκαλία σύν θεολογίᾳ περί τῶν ἐνεργειῶν τῆς ἁγίας ἀγάπης, ἤγουν αὐτοῦ τοῦ φωτός τοῦ Ἁγίου Πνεύματος.

Τίς ἐξισχύσει, Δέσποτα, περί σοῦ διηγεῖσθαι;
Οἱ ἀγνοοῦντες σφάλλονται μηδέν ὅλως εἰδότες,
οἱ δέ τήν σήν θεότητα ἐπιγνόντες ἐν πίστει
φόβῳ πολλῷ συνέχονται καί ἐξίστανται τρόμῳ
καί τί λέγειν οὐκ ἔχουσιν·ὑπέρ νοῦν γάρ ὑπάρχεις·
πάντα ἀκατανόητα, ἀκατάληπτα πάντα
τά ἔργα καί ἡ δόξα σου καί ἡ ἐπίγνωσίς σου.
Ὅτι μέν εἷς, γινώσκομεν καί τό φῶς σου ὁρῶμεν·
ὁποῖος δέ καί ποταπός, ἅπαντες ἀγνοοῦμεν.
Πλήν τήν ἐλπίδα ἔχομεν καί τήν πίστιν κρατοῦμεν
καί τήν ἀγάπην οἴδαμεν, ἥν ἡμῖν ἐδωρήσω,
ἄπειρον, ἀνεκλάλητον, μηδαμοῦ χωρουμένην,
φῶς οὖσαν, φῶς ἀπρόσιτον, φῶς ἐνεργοῦν τά πάντα.
Τοῦτο καί χείρ σου λέγεται καί ὀφθαλμός καλεῖται
καί στόμα τό πανάγιον καί δύναμις καί δόξα
καί πρόσωπον γνωρίζεται ὡραῖον ὑπέρ πάντα.
Τοῦτο ἥλιος ἄδυτος τοῖς ὑψηλοῖς τά θεῖα,
τοῦτο ἀστήρ ἀειλαμπής τοῖς μή πλέον χωροῦσι·
τοῦτο λύπῃ ἀντίκειται, τοῦτο φθόνον διώκει
καί ζῆλον τόν σατανικόν παντελῶς ἀφανίζει.
Τοῦτο ἐκτήκει ἐν ἀρχῇ καί λεπτύνει καθαῖρον,
ἀποδιώκει λογισμούς καί κινήσεις συστέλλει.
Τοῦτο ἀποκρυπτόμενον παιδεύει ταπεινοῦσθαι
καί διαχεῖσθαι οὐκ ἐᾷ, οὐδέ ῥέμβεσθαι ὅλως.
Τοῦτο πάλιν φαινόμενον κόσμον ἀποχωρίζει
καί λήθην πάντων ἐμποιεῖ ἀνιαρῶν τοῦ βίου.
Τοῦτο καί τρέφει τά πολλά καί τήν δίψαν ἰᾶται
καί δύναμιν χαρίζεται τοῖς καλῶς κοπιῶσι.
Τοῦτο σβέννυσι τόν θυμόν καί ζέσιν τῆς καρδίας
καί οὐκ ἐᾷ ὀργίζεσθαι ἤ ταράσσεσθαι ὅλως.
Τοῦτο φεῦγον διώκεται παρά τῶν τετρωμένων
καί τῇ ἀγάπῃ τῇ πολλῇ ἐκ καρδίας ζητεῖται,
ἐπιστραφέν δέ καί φανέν καί λάμψαν φιλανθρώπως
ἐκκλίνειν τοῖς διώκουσιν, συστέλλεσθαι ποιέ δέ,
καί τό πολλά ἐκζητηθέν ἀποπέμπεσθαι φόβῳ,

ὡς οὐκ ἀξίως τοῦ καλοῦ, τοῦ ὑπέρ πᾶσαν κτίσιν.
Ὢ δώρου, ὢ χαρίσματος θείου καί ἀνεκφράστου!
Τί γάρ καί οὐκ ἐργάζεται, τί δέ καί οὐχ ὑπάρχει;
Τοῦτο τερπνότης καί χαρά, πρᾳότης καί εἰρήνη,
ἔλεος ἀναρίθμητον, ἄβυσσος εὐσπλαγχνίας,
ἀόρατον βλεπόμενον, χωρητόν ἀχωρήτως,
ἀναφές ἀψηλάφητον, κρατητόν ἐν νοΐ μου.
Τοῦτο ἔχων οὐ καθορῶ, θεωρῶν δέ ἀφιέν
τάχος ὁρμῶ τοῦ δράξασθαι, καί ἀφίπταται ἅπαν.
Ἐξαπορῶ καί φλέγομαι καί μανθάνω αἰτεῖσθαι
καί ἐκζητεῖν μετά κλαυθμοῦ ἐν πολλῇ ταπεινώσει
καί μή δοκεῖν ὡς δυνατά τά ὑπέρ φύσιν εἶναι
καί τῆς ἰσχύος τῆς ἐμῆς καί σπουδῆς ἀνθρωπίνης,
ἀλλ’ εὐσπλαγχνίας τοῦ Θεοῦ καί ἐλέους ἀπείρου.
Τοῦτο χρόνον ὀλίγον φαίνεται καί συστέλλεται,
ἕν, ἕν δέ τῶν παθῶν ἐκβάλλει τῆς καρδίας.
Οὐ γάρ δύναται ἄνθρωπος ἐκνικῆσαι τά πάθη,
εἰ μή συμπαραγένηται εἰς βοήθειαν τοῦτο,
οὐδέ πάλιν ἀπό μιᾶς ἅπαντα ἐκδιώκει.
Οὐ γάρ εἰσδέξασθαι χωρεῖ αἴφνης ὅλον τό Πνεῦμα
ὁ ἄνθρωπος ὁ ψυχικός καί ἀπαθής γενέσθαι,
ἀλλ’ ὅταν τά εἰς δύναμιν διαπράξηται πάντα·
γύμνωσιν, ἀπροσπάθειαν, χωρισμόν τῶν ἰδίων,
ἐκκοπήν τοῦ θελήματος καί ἄρνησιν τοῦ κόσμου,
ὑπομονήν τῶν πειρασμῶν καί προσευχήν καί πένθος,
εὐτέλειαν, ταπείνωσιν, ὅσον ἰσχύος ἔχει.
Τότε ὀλίγον ὡς λεπτή αἴγλη καί σμικροτάτη
αἴφνης τόν νοῦν κυκλώσσα εἰς ἔκστασιν ἁρπάζει,
καταλιμπάνουσα ταχύ, ἵνα μή ἀποθάνῃ,
ὥστε τῷ τάχει τῷ πολλῷ μηδέ κατανοῆσαι,
μή κάλλους μνημονεύειν τε συγχωρεῖν τόν ἰδόντα,
ἵνα μή φάγῃ νήπιος τροφήν ἀνδρῶν τελείων
καί παρ’ εὐθύ διαρραγῇ ἤ βλαβῇ καί ἐμέσῃ.
Ἔκτοτε οὖν χειραγωγεῖ, ἐνισχύει, διδάσκει
δεικνυμένη καί φεύγουσα, ὅτε χρῄζομεν ταύτης·
οὐχ ὅταν ἡμεῖς θέλωμεν - τοῦτο γάρ τῶν τελείων -,
ἀλλ’ ὅταν ἀπορήσωμεν καί ἐκλυθῶμεν ὅλως,
ἔρχεται εἰς βοήθειαν, ἀνατέλλει μακρόθεν
καί ταύτην ἐν καρδίᾳ μου ποιεῖ αἰσθάνεσθαί με.
Θροοῦμαι, περισφίγγομαι κρατῆσαι ταύτην θέλων
καί νύξ τά πάντα καί κεναί αἱ ἀθλίαι μου χεῖρες.

Πάντων ἐπιλανθάνομαι καί κάθημαι καί κλαίω
μή ἐπελπίζων ἄλλοτε ταύτην οὕτως ἰδέσθαι.
Ὅτε θρηνήσω δέ πολλά καί παύσασθαι θελήσω
τότε ἐλθοῦσα μυστικῶς κρατεῖ τῆς κορυφῆς μου
καί συγχέομαι δάκρυσιν ἀγνοῶν τίς ὑπάρχει
καί καταυγάζει μου τόν νοῦν φωτί γλυκείῳ σφόδρα.
Ὅταν δέ γνῶ ἥτις ἐστίν, ἀφίπταται συντόμως
καταλιποῦσά μοι τό  πῦρ τοῦ θείου αὐτῆς πόθου,
ὅ γελᾶν οὐκ ἀφίησιν ἤ πρός ἀνθρώπους βλέπειν,
οὐδέ πόθον εἰσδέξασθαι τινός τῶν ὁρωμένων.
Κατά μικρόν ἀνάπτεται, ὑπομονῇ φυσᾶται
καί φλόξ μεγάλη γίνεται οὐρανούς δρασσομένη·
ταύτην σβέννυσιν ἄνεσις, περισπασμός οἰκείων
καί μέριμνα βιωτικῶν, ἐν ἀρχῇ γάρ τυγχάνει.
Ἀνακαλεῖται σιωπήν καί μῖσος πάσης δόξης
τό κυλινδεῖσθαι ἐπί γῆς καί πατεῖσθαι ὡς κόπρον·
ἐπί τούτοις γάρ τέρπεται καί συμπαρεῖναι θέλει,
ταπείνωσιν διδάσκουσα τήν πάντα δυναμένην.
Ὅταν οὖν ταύτην κτήσωμαι ταπεινός γένωμαι,
τότε ὑπάρχει σύν ἐμοί ἀχώριστος κἀκείνη·
ὁμιλεῖ μοι, φωτίζει με, βλέπει με, ἥν καί βλέπω.
Ἐν τῇ καρδίᾳ μοῦ ἐστιν, ἐν οὐρανῷ ὑπάρχει,
ἑρμηνεύει μοι τάς γραφάς καί προστιθεῖ μ οι γνῶσιν,
μυστήρια διδάσκει με, ἅ λαλεῖν οὐκ ἰσχύω,
ἐκ τοῦ κόσμου δεικνύει μοι πῶς αὕτη ἥρπασέ με
καί ἐλεεῖν προστάσσει μοι πάντας τούς ἐν τῷ κόσμῳ.
Τοῖχοι οὖν με συνέχουσι καί σώματι κρατοῦμαι
καί ἔξω τούτων ἀληθῶς εἰμί, μή ἀπιστήσῃς!
Κτύπων οὐκ ἐπαισθάνομαι, φωνάς δέ οὐκ ἀκούω,
οὐδέ φοβοῦμαι θάνατον, παρῆλθον γάρ καί τοῦτον.
Θλῖψιν οὐκ οἶδα, τί ἐστι, κἄν πάντες με λυπῶσιν·
αἱ ἡδοναί πικρία μοι, φεύγουσι πάντα πάθη,
καί φῶς ὁρῶ διά παντός ἐν νυκτί καί ἡμέρᾳ.
Ἡμέρα νύξ μοι φαίνεται καί νύξ ἡμέρα ἔστιν,
καί ὑπνῶσαι οὐ βούλομαι, ζημία γάρ μοι τοῦτο.
Ὅταν δέ πάντα τά κακά περικυκλώσωσί με
καί τῷ δοκεῖν καθέλξωσι καί κατισχύσωσί μου,
ἔξω πάντων εὑρίσκομαι σύν αὐτῇ αἴφνης τότε,
χαροπιῶν καί λυπηρῶν καί ἡδονῶν τοῦ κόσμου·
ἐπαπολαύω τῆς χαρᾶς τῆς ἀρρήτου καί θείας,
κάλλους αὐτῆς κατατρυφῶ, συχνῶς ἀσπάζομαι ταύτην,

καταφιλῶ καί προσκυνῶ, χάριν ἔχω μεγάλην
τοῖς ἐμέ προξενήσασιν ἰδεῖν, ἥνπερ ἐπόθουν,
καί τοῦ ἀφράστου μετασχεῖν φωτός καί φῶς γενέσθαι
καί κοινωνῆσαι τῆς αὐτοῦ δωρεᾶς ἀπ’ ἐντεῦθεν
καί κτήσασθαι τόν χορηγόν τῶν ἀγαθῶν ἁπάντων
καί γενέσθαι ἀνελλιπής ψυχικῶν χαρισμάτων.
Τίς με πρός ταῦτα τά καλά ὡδήγησεν ἑλκύσας,
τίς ἐκ βυθοῦ ἀνήγαγε κοσμικῆς με ἀπάτης;
Τίς ἀπεχώρισε πατρός καί ἀδελφῶν καί φίλων,
συγγενῶν τε καί ἡδονῶν καί τῆς χαρᾶς τοῦ κόσμου;
Τίς μοι ὑπέδειξεν ὁδόν μετανοίας καί πένθους,
ὅθεν ἡμέραν εὕρηκα, τήν μή ἔχουσαν τέλος;
Ἄγγελος ἦν, οὐκ ἄνθρωπος· ἄνθρωπος δ’ ὅμως πέλει
παρ’ οὗ κόσμος ἐμπαίζεται καί ὁ δράκων πατεῖται,
καί τρέμουσιν οἱ δαίμονες τούτου τήν παρουσίαν.
Πῶς σοι ἐξείπω, ἀδελφέ, ἅ εἶδον ἐν Αἰγύπτῳ
θαυμάσια καί τέρατα παρ’ αὐτοῦ γεγονότα;
Ἕν τέως τοῦτο λέξω σοι, οὐ γάρ δύναμαι πάντα.
Κατῆλθε γάρ καί εὗρέ με δοῦλον καί παροικοῦντα
καί εἶπε· Δεῦρο, τέκνον μου, πρός Θεόν σε ἀπάξω!
Ἐγώ δέ εἶπον πρός αὐτόν ἐκ πολλῆς ἀπιστίας·
Καί τί σημεῖον δείξεις μοι, ἵνα με βεβαιώσῃς,
ὅτι αὐτός με δύνασαι ῥύσασθαι ἐξ Αἰγύπτου
καί ἀφαρπάσαι τῶν χειρῶν Φαραώ τοῦ δολίου,
μήπως ἀκολουθήσας σοι μειζόνως κινδυνεύσω;
Πῦρ, ἔφη, μέγα ἄναψον καί ἵν’ εἰσέλθω μέσον,
καί ἄν μή μείνω ἄφλεκτος, μή μοι ἀκολουθήσῃς!
Ὁ λόγος με ἐξέπληξε, τό κελευσθέν ἐποίουν.
καί ἡ φλόξ διανήπτετο, καί αὐτός ἔστη μέσος,
ἀσινής καί ἀλώβητος κἀμέ προσεκαλεῖτο.
Φοβοῦμαι, ἔφην, Δέσποτα, ἁμαρτωλός τυγχάνω!
Ἐξῆλθεν, ἦλθε πρός ἐμέ καί κατησπάσατό με·
Τί ἐφοβήθης, εἶπέ μοι, τί δειλιᾷς καί τρέμεις;
Μέγα τό θαῦμα καί φρικτόν, μείζονα τούτου ὄψει.
Ἐξέστην, εἶπον, Κύριε, ἐγγίζειν οὐ τολμῶ σοι
οὐδέ φανῆναι τοῦ πυρός τολμηρότερος θέλω·
καί γάρ ὁρῶ σε ἄνθρωπον ὑπέρ ἄνθρωπον ὄντα
καί οὐδέ βλέπειν σε τολμῶ, ὅν τό πῦρ ἐσεβάσθη.
Ἐγγύτερόν με ἤγαγεν, ἐνηγκαλίσατό με
καί πάλιν κατεφίλησε φιλήματι ἁγίῳ
καί αὐτός ὅλος ἐμύρισεν ὀσμήν ἀθανασίας.

Ἐπίστευσα, ἠγάπησα ἀκολουθῆσαι τούτῳ
καί δοῦλος ἐπεπόθησα τούτου μόνου γενέσθαι.
Ὁ Φαραώ ἐκράτει με, οἱ δεινοί ἐργοδόται
τήν πλίνθον καί τά ἄχυρα ἠνάγκαζον φροντίζειν·
μόνος οὐκ ἴσχυον φυγεῖν, οὐδέ γάρ εἶχον ὅπλα.
Μωσῆς ἐλάλει τῷ Θεῷ ποιῆσαι τό συμφέρον·
Θεός μαστίζει Αἴγυπτον πληγαῖς δεκαπλασίοις,
καί οὐκ ἐκάμφθη Φαραώ οὐδέ ἀπέλυσέ με·
καί δή πρεσβεύει ὁ πατήρ, καί Θεός ὑπακούει
καί λέγει τῷ θεράποντι λαβεῖν ἐκ τῆς χειρός με
καί ὑπισχνεῖται μεθ' ἡμῶν συμπορεύεσθαι ἅμα,
τοῦ Φαραώ λυτρούμενος καί τῶν κακῶν Αἰγύπτου,
καί θάρσος ἐνεποίησεν εἰς τήν ἐμήν καρδίαν
καί τόλμαν ἐχαρίσατο, Φαραώ μή φοβεῖσθαι.
Οὕτω δή καί ἐποίησεν ὁ τοῦ Θεοῦ ἐργάτης·
ἐκράτησέ μου τῆς χειρός προπορευόμενός μου
καί οὕτως ἀπηρξάμεθα τήν ὁδόν διανύειν.
Κύριε, δός μοι σύνεσιν πρεσβείαις τοῦ πατρός μου
καί λόγον, διηγήσασθαι θαυμάσια χειρός σου,
ἅ ἐξειργάσω δι' ἐμέ, τόν ἄσωτον καί πόρνον,
διά χειρός τοῦ δούλου σου ἐξάγων ἐξ Αἰγύπτου.
Ἔγνω τήν ἀναχώρησιν ὁ βασιλεύς Αἰγύπτου,
ὡς ἑνός κατεφρόνησε καί αὐτός οὐκ ἐξῆλθεν,
ἀλλά δούλους ἀπέστειλεν, οὕς ὑποσπόνδους εἶχεν.
Κατέδραμον, κατέλαβον ἐν ὁρίοις Αἰγύπτου,
πάντες ἐστράφησαν κενοί, πάντες συντετριμμένοι·
ξίφη αὐτῶν κατέκλασαν, ἐκένωσαν τά βέλη,
αἱ χεῖρες ἐξελύθησαν καθ' ἡμῶν ἐνεργοῦσαι,
καί ἡμεῖς διεμείναμεν μηδέν ἀδικηθέντες.
Ὁ στῦλος ἧπτε τοῦ πυρός, παρῆν καί ἡ νεφέλη,
καί μόνοι διηρχόμεθα ἐν ἀλλοτρίᾳ χώρᾳ,
μέσον λῃστῶν, μέσον πολλῶν ἐθνῶν καί βασιλέων.
Ἔμαθε καί ὁ βασιλεύς λαοῦ αὐτοῦ τήν ἧτταν,
ἐμάνη καί ἡγήσατο μεγάλην ἀτιμίαν
παρά ἑνός ἐμπαίζεσθαι καί νικᾶσθαι ἀνθρώπου.
Ἔζευξεν ἅρματα αὐτοῦ καί τόν λαόν ἐπῆρε
καί κατεδίωξεν αὐτός καυχώμενος μεγάλα.
Ἦλθε καί μόνον εὗρέ με κείμενον ἐκ τοῦ κόπου,
(ἠγρύπνει δέ ὁ Μωϋσῆς καί Θεῷ προσωμίλει),
προσέταξε δεθῆναί μου χεῖρας ἅμα καί πόδας
καί τῷ δοκεῖν ἐκράτουν με καί δεσμεῖν ἐπεχείρουν·

ἐγώ δ’ ἐγέλων κείμενος καί εὐχῇ ὡπλιζόμην
καί τῷ σημείῳ τοῦ σταυροῦ πάντας ἀπεκρουόμην,
καί μή τολμῶντες ἅψασθαι ἤ ἐγγύς μου γενέσθαι
πόρρωθέν που ἱστάμενοι ἐδόκουν ἐκφοβεῖν με,
πῦρ ταῖς χερσί κατέχοντες καῦσαί με προσηπείλουν·
μεγάλα τε ἐκραύγαζον καί κτύπους ἀπετέλουν
καί, ἵνα μή καυχήσωνται ὡς μέγα τι ποιοῦντες,
εἶδόν με φῶς γενόμενον πρεσβείαις τοῦ πατρός μου
καί ἄφνω ὑπεχώρησαν ὁμοῦ κατῃσχυμμένοι.
Ἐξῆλθεν ἐκ Θεοῦ Μωσῆς, εὗρέ με θαρσαλέον,
περιχαρῆ καί σύντρομον ἐκ τῆς θαυματουργίας.
Ἠρώτησε τί τό συμβάν, τό πᾶν αὐτῷ ἐξεῖπον,
καί ὅτι· Φαραώ ἦν, βασιλεύς τῆς Αἰγύπτου,
παραγενόμενον νυνί μετά λαοῦ ἀπείρου
καί δῆσαί με οὐκ ἴσχυσεν, ἤθελε δέ με καῦσαι
καί πάντες φλόξ ἐγένοντο, οἱ μετ’ αὐτοῦ ἐλθόντες,
καί κατ’ ἐμοῦ ἐξέπεμπον πῦρ ἐκ τοῦ στόματος αὐτῶν.
Καί ὅτι·Φῶς ἰδόντες με γεγονότα εὐχαῖς σου
σκότος πάντες γεγόνασι καί μόνος εἰμί ἄρτι.
Βλέπε, ἀντεπεκρίθη μοι Μωσῆς, καί μή θαρρήσῃς,
μηδέ τά φανερά βλέπῃς, τά κρυφῇ φοβοῦ μᾶλλον!
Δεῦρο, φυγῇ χρησώμεθα! Οὕτω Θεός κελεύει,
καί πολεμήσει ὁ Χριστός ἀνθ’ ἡμῶν Αἰγυπτίοις.
Ἄγωμεν, ἔφην, Κύριε, οὐ χωρισθήσομαί σου,
οὐ παραβῶ σου ἐντολήν, ἀλλά πάσας φυλαξω·
ἀμήν.

## ΙΘ'. Διδασκαλία σύν θεολογίᾳ, ἐν ᾗ καί περί ἱερωσύνης ἅμα καί ἀπαθοῦς θεωρίας.

Πῶς σου ἐξείπω, Δέσποτα, τά θαυμαστά καί ξένα,
πῶς λόγῳ διηγήσομαι σῶν κριμάτων τά βάθη,
ἅ καθ' ἑκάστην ἐκτελεῖς ἐν ἡμῖν, τοῖς σοῖς δούλοις;
Πῶς παραβλέπεις ἄπειρα τῶν σφαλμάτων μου πλήθη
καί οὐ λογίζῃ, Δέσποτα, τάς τῶν κακῶν μου πράξεις,
ἀλλ' ἐλεεῖς καί σκέπεις με καί φωτίζεις καί τρέφεις
ὡς ἐκπληροῦντα πάσας σου τάς ἐντολάς, Σωτήρ μου;
Οὐ μόνον δέ με ἐλεεῖς, ἀλλά καί πλέον τούτου
καταξιοῖς ἐνώπιον τῆς σῆς παράστασθαί με
δόξης τε καί δυνάμεως καί τῆς μεγαλωσύνης·
προσομιλεῖς μοι καί λαλεῖς λόγους ἀθανασίας
τῷ ἀσθενεῖ καί ταπεινῷ καί τοῦ ζῆν ἀναξίῳ.
Πῶς μου λαμπρύνεις τήν ψυχήν, τήν κατεσπιλωμένην,
καί φῶς αὐτήν ἀποτελεῖς, ἄχραντόν τε καί θεῖον;
Πῶς λαμπροφόρους ἐκτελεῖς τάς ἀθλίας μου χεῖρας,
ἅς ἁμαρτών ἐμόλυνα μολυσμοῖς ἁμαρτίας;
Πῶς ἀλλοιοῖς τά χείλη μου αἴγλῃ θεότητός σου,
ἐξ ἀκαθάρτων ἅγια ταῦτα μετασκευάζων;
Γλῶσσάν μου δέ τήν ῥυπαράν, Χριστέ, πῶς ἐκκαθαίρεις
καί μασησμῷ τῆς σῆς σαρκός σοῦ μέτοχον ἐργάζῃ;
Πῶς καί ὁρᾶν με ἀξιοῖς καί παρ' ἐμοῦ ὁρᾶσθαι
καί ταῖς χερσί μου, ὁ κρατῶν τά σύμπαντα, κρατεῖσθαι,
ὁ πᾶσιν ἀθεώρητος τάξεσιν οὐρανίαις
καί τῷ Μωσῇ ἀπρόσιτος, τῷ ἐν προφήταις πρώτῳ;
Οὐ γάρ ἰδεῖν τό πρόσωπον τό σόν κατηξιώθη,
οὐδ' ἐν ἀνθρώποις ἄλλοις τις, ἵνα μή ἀποθάνῃ.
Σέ οὖν τόν ἀκατανόητον, σέ τόν ἄφραστον μόνον,
σέ τόν ἀχώρητον παντί καί ἀπρόσιτον πᾶσι,
πῶς καί κρατεῖν τε καί φιλεῖν καί ὁρᾶν καί ἐσθίειν
καί ἔχειν ἐν καρδίᾳ μου, Χριστέ, καταξιοῦμαι
καί διαμένω ἄφλεκτος χαίρων ἅμα καί τρέμων
καί ἀνυμνῶν σου τήν πολλήν, Χριστέ, φιλανθρωπίαν;
Οἱ οὖν τυφλοί καί σαρκικοί, οἱ μή γινώσκοντές σε,
ἀναισθητοῦντες, μᾶλλον δέ τήν ἰδίαν δεικνύντες
ἀσθένειαν καί σκότωσιν καί τῶν καλῶν ἁπάντων,
Σῶτήρ μου, ἀποστέρησιν, πῶς τολμῶσι τοῦ λέγειν·

Τί δέ καί χρῄζει ἄνθρωπος ἱερωσύνην ἔχειν,
ἐάν μή ἕν τῶν τριῶν τύτων κερδάνῃ·
ἤ τήν τροφήν τοῦ σώματος ἤ πορισμόν χρυσίου
ἤ θρόνον ἐκ τῶν ὑψηλῶν ἐπισκοπῆς πλουσίας;
Ὢ σκότους, ὤ πωρώσεως, ὤ πτωχείας ἐσχάτης,
ὤ ἀθλιότητος πολλῆς, ὤ ἀγνοίας μεγάλης,
ὤ γεηρῶν τε καί κενῶν ματαίων ὀνομάτων,
ὤ τόλμης, ὤ φρονήματος Ἰούδα τοῦ προδότου!
Ὥς γάρ ἐκείνῳ τά φρικτά τοῦ δεσποτικοῦ δείπνου
καί τοῦ ἀχράντου σώματος εἰς οὐδέν ἐλογίσθη,
ἀλλά κρεῖσσον ἡγήσατο ἀργύρια ὀλίγα,
οὕτω καί οὗτοι τά φθαρτά τῶν ἀφθάρτων καί θείων
προτιμῶντες ἐκλέγονται τήν ψυχικήν ἀγχόνην.
Εἴπατέ μοι, ὦ μάταιοι, εἰ ἐπίστασθε τοῦτο!
Τίς τόν Χριστόν κτησάμενος ἑτέρου πλέον χρῄζει
τινός ἆρα τῶν ἀγαθῶν τοῦ παρόντος αἰῶνος;
Τίς τήν χάριν τοῦ Πνεύματος ἔχων ἐν τῇ καρδίᾳ
οὐχί Τριάδα τήν σεπτήν ἐν αὐτῷ κατοικοῦσαν
κέκτηται, τήν φωτίζουσαν καί Θεόν ἐκτελοῦσαν;
Τίς δέ Θεός γενόμενος χάριτι τῆς Τριάδος
καί δόξης καταξιωθείς τῆς ἄνω τε καί πρώτης,
πλέον τι ἐννοήσειεν ἐνδοξότερον ἆρα
τοῦ λειτουργεῖν τε καί ὁρᾶν τήν ἀνωτάτω φύσιν,
τήν παντουργόν, τήν ἄφραστον, τήν ἀπρόσιτον πᾶσιν;
Ἤ τίνος ἐπιθυμήσειε λαμπροτέρου ἐν βίῳ,
τῷ τε τούτῳ, λογίσθητι, τῷ ὀλιγοχρονίῳ,
ἤ τῷ ἄλλῳ, μοί νόησον, τῷ μή ἔχοντι τέλος;
Εἰ ᾔδεις τό κρυπτόμενον βάθος τῶν μυστηρίων,
οὐκ ἄν με κατηνάγκαζες ταῦτα λαλεῖν ἤ γράφειν.
Φρίττω γάρ εὐλαβούμενος ἐγχαράττων τά θεῖα
καί γράμμασι σκιαγραφῶν τά ἀπόρρητα πᾶσιν.
Εἰ ἐθεάσω τόν Χριστόν, εἰ ἔλαβες τό Πνεῦμα
καί προσηνέχθης τῷ Πατρί διά τούτων τῶν δύο,
γινώσκειν εἶχες ἅ λαλῶ καί ἅ σοι ἐξηγοῦμαι,
καί ὅτι μέγα καί φρικτόν καί ἐπέκεινα πάσης
δόξης τε καί λαμπρότητος, ἀρχῆς καί ἐξουσίας,
πλούτου τε καί δυνάμεως καί πάσης βασιλείας
τό λειτουργεῖν ἐν καθαρᾷ καρδίας συνειδήσει
τῇ καθαρᾷ καί Ἁγίᾳ καί ἀχράντῳ Τριάδι.
Μή γάρ μοι εἴπῃς σώματος τήν ἀναμαρτησίαν
καί, ὧν τό βάθος οὐ νοεῖς, παράξῃς μαρτυρίας,

ἀλλ’ ἅπερ εἶπεν ὁ Θεός διά τῶν Ἀποστόλων
καί Βασιλείου τοῦ σοφοῦ, τοῦ πυρίνου τήν γλῶτταν,
καί Χρυσοστόμου τε πατρός τάς ἁπλᾶς μαρτυρίας
καί Γρηγορίου τοῦ καλῶς ταῦτα θεολογοῦντος
ἄκουσον καί πιστώθητι, ποταπόν χρή ὑπάρχειν
τόν λειτουργοῦντα τῷ Θεῷ, τῷ ποιητῇ τῶν πάντων!
Καί ἐκ τῆς καταξιώσεως καί ἐκ τῆς ἀρετῆς σου
ἔχεις τοῦ ἀξιώματος τό μέγεθος θαυμάσαι.
Μή πλανηθῆτε, ἀδελφοί, μή τολμήσητε ὅλως
ἅψασθαι ἤ προσελθεῖν τό ἀπροσίτῳ φύσει.
Ὅς γάρ οὐκ ἀποτάξεται κόσμῳ καί τοῖς ἐν κόσμῳ
καί τήν ψυχήν ἀρνήσεται τήν ἑαυτοῦ καί σῶμα
καί ὅλος γένηται νεκρός ταῖς αἰσθήσεσι πάσαις
μηδέν προσβλέπων ἐμπαθῶς τῶν ἡδέων τοῦ βίου,
μηδενός ὅλως ἐπιθυμῶν τῶν τοῦ κόσμου πραγμάτων
μηδέ ἐνηδυνόμενος λόγοις τισίν ἀνθρώπων,
ὅς οὐ κωφός τε καί τυφλός γένηται τοῖς τοῦ κόσμου
πράγμασί τε καί ἤθεσι, πράξεσί τε καί λόγοις
ὁρῶν μέν ὅσα ὀφθαλμός φύσει ὁρᾶν ἰσχύει,
μηδέν δέ ἔνδοθεν ἐῶν εἰσελθεῖν ἐν καρδίᾳ
καί τύπους τούτων καί μορφάς ἀνιστορεῖσθαι ταύτην
ἀκούων δ’ ὅσα ἀκοή δέχεται ἀνθρωπίνη,
καί μένων ὥσπερ ἄψυχος καί ἀναίσθητος λίθος,
μή ἠχήν, μή τήν δύναμιν τῶν φωνῶν μεμνημένος,
οὐ δύναται τήν μυστικήν καί ἀναίμακτον θύειν
Θεῷ θυσίαν καθαρῶς τῷ καθαρῷ τήν φύσιν.
Ὅταν γάρ ταῦτα αἰσθηθῇ ποιεῖν ἐν ἀληθείᾳ,
ἀπεχωρίσθη τοῦ παντός κόσμου καί τῶν τοῦ κόσμου
καί γνώσει καί πιστεύσει μοι, ἅ μέλλω πάλιν γράφειν.
Τόν ἀέρα τόν σκοτεινόν, ὅν Δαυίδ τεῖχος λέγει
καί θάλασσαν ὠνόμασαν τοῦ βίου οἱ Πατέρες,
ὑπερέβη, ἐπέρασεν, εἰσῆλθεν εἰς λιμένα,
ἐν ᾧ πᾶς ὁ γενόμενος πᾶν ἀγαθόν εὑρίσκει.
Ἐκεῖ γάρ ὁ παράδεισος, ἐκεῖ ζωῆς τό ξύλον,
ἐκεῖ ὁ ἄρτος ὁ γλυκύς, ἐκεῖ πόμα τό θεῖον,
ἐκεῖ ὁ ἀνεξάντλητος πλοῦτος τῶν χαρισμάτων.
Ἐκεῖ ἡ βάτος καίεται μή καταφλεγομένη
καί τῶν ποδῶν μου λύονται πέδιλα εὐθέως·
ἐκεῖ θάλασσα ῥήγνυται καί διέρχομαι μόνος
καί ὁρῶ ἐν τοῖς ὕδασιν ἐχθρούς ποντιζομένους·
ἐκεῖ τό ξύλον θεωρῶ ἐν τῇ ἐμῇ καρδίᾳ

βαλλόμενον καί τά πικρά πάντα μεταποιοῦνται·
ἐκεῖ τήν πέτραν βλύζουσν μέλι ἐκαρπωσάμην
καί ἡ ψυχή μου ἔκτοτε θλίψεως οὐ μετέσχεν·
ἐκεῖ εὕρηκα τόν Χριστόν, τόν παροχέα τούτων,
καί ἠκολούθησα αὐτῷ ἐξ ὅλης τῆς ψυχῆς μου·
ἐκεῖ τό μάννα ἔφαγον καί ἄρτον τῶν Ἀγγέλων
καί οὐδενός ἐπεθύμησα τῶν ἀνθρωπίνων ἔτι·
ἐκεῖ τήν ῥάβδον Ἀαρών τήν ξηράν ἐξανθοῦσαν
εἶδόν τε καί ἐθαύμασα Θεοῦ τερατουργίας·
ἐκεῖ τήν στεῖράν μου ψυχήν εἶδον καρποφοροῦσαν
καί πῶς τό ξύλον τό ξηρόν ποιεῖ καρπόν ὡραῖον·
ἐκεῖ τήν βορβορώδη μου καί ἄσωτον καρδίαν
ἐθεασάμην καθαράν καί ἁγνήν καί παρθένον
καί τό· Χαῖρε, ἀκούουσαν, ἡ κεχαριτωμένη,
μετά σοῦ γάρ ὁ Κύριος καί ἐν σοί εἰς αἰῶνας!
Ἐκεῖ τό· Νίψαι, ἤκουσα, κολυμβήθρα δακρύων!
καί ποιήσας ἐπίστευσα καί ἀνέβλεψα αἴφνης·
ἐκεῖ ἐτάφην μνήματι ταπεινώσει τελείᾳ,
καί παρεγένετο Χριστός ἀμετρήτῳ ἐλέει
καί λίθον ἦρε τόν βαρύν ἐκεῖθεν τῶν κακῶν μου
καί εἶπε· Δεῦρο, ἔξελθε ὡς ἐκ τάφου τοῦ κόσμου!
Ἐκεῖ, πῶς ἔπαθεν, εἶδον, ἀπαθῶς ὁ Θεός μου
καί πῶς νεκρός ἐγένετο ἀθάνατος ὑπάρχων
καί ἀνέστη τοῦ μνήματος μή λύσας τάς σφραγίδας.
Ἐκεῖ τήν μέλλουσαν εἶδον ζωήν καί ἀφθαρσίαν,
ἥν ὁ Χριστός χαρίζεται τοῖς αὐτόν ἐκζητοῦσι,
καί βασιλείαν οὐρανῶν οὖσαν ἐντός μου εὗρον,
ἥτις ὑπάρχει ὁ Πατήρ, ὁ Υἱός καί τό Πνεῦμα,
θεότης ἀδιαίρετος ἐν τρισί τοῖς προσώποις,
ἥν οἱ μή προτιμήσαντες ἀντί παντός τοῦ κόσμου
καί δόξαν ἡγησάμενοι καί τιμήν τε καί πλοῦτον
τό προσκυνεῖν, τό λειτουργεῖν καί παρίστασθαι μόνον
ἀνάξιοι τυγχάνουσι καί τῆς ἀχράντου θέας
καί τῆς τρυφῆς καί τῆς χαρᾶς καί τῶν καλῶν ἁπάντων,
ὧν οὐ μή μεταλάβωσι μετάνοιαν μή σχόντες,
εἰ μή πάντα ὡς εἴπομεν, γένωνται διδαχθέντες
καί πάντα πράξωσι σπουδῇ, ἅ εἶπεν ὁ Θεός μου,
καί τότε μόλις τις πολλῷ φόβῳ καί εὐλαβείᾳ,
εἰ ὁ Θεός κελεύσειεν, ἁπτέσθω τῶν ἀψαύστων.
Οὐδέ γάρ πᾶσιν ἔξεστι λειτουργεῖν τοῖς τοιούτοις,
ἀλλ’ εἰ καί πᾶσαν δέξεται τοῦ Πνεύματος τήν χάριν

καί καθαρός ἀπό μητρός ὑπάρχει ἁμαρτίας,
εἰ μή Θεοῦ κελεύσματι καί ἐκλογῇ ἐκείνου,
πληροφοροῦντος τήν αὐτοῦ ψυχήν ἐλλάμψει θείᾳ
καί ἐμπυρίζοντος αὐτήν πόθῳ θείας ἀγάπης,
οὐκ ἄν δοκῇ μοι εὔλογον ἱερουργεῖν τά θεῖα
καί τῶν ἀψαύστων καί φρικτῶν ἅπτεσθαι μυστηρίων,
οἷς πρέπει δόξα καί τιμή καί προσκύνησις πᾶσα
νῦν καί ἀεί διά παντός, εἰς πάντας τούς αἰῶνας.

## Κ'. Εὐχαριστία καί ἐξομολόγησις σύν θεολογίᾳ· καί περί δωρεᾶς καί μετουσίας Πνεύματος Ἁγίου.

Ὤφθης δι᾽ ἐμέ ἐπί γῆς ἐκ Παρθένου,
ὁ πρό αἰώνων ἀόρατος ὑπάρχων,
καί σάρξ ἐγένου καί ἄνθρωπος ἐδείχθης,
ὁ ἀπροσίτῳ φωτί ἐνειλημμένος,
καί περιγραπτός τοῖς πᾶσιν ἐνομίσθης,
ὁ παντάπασιν ἀχώρητος ὑπάρχων,
ὅν οὐκ ἰσχύει λόγος ἅπας ἐκφράσαι,
νοῦς δέ βιαζόμενος δράσσεται πόθῳ
καί κρατεῖν οὐ δύναται συστελλόμενος φόβῳ
καί πάλιν ζητεῖ καιόμενος τά ἔνδον,
φαντασθείς δέ σου βραχύ τῇ λαμπηδόνι
τρόμῳ ἀποπέμπεται καί χαρᾷ χαίρει.
Στέγειν γάρ οὐ δύναται φύσις ἀνθρώπων
ὅλον σε τρανῶς καθορᾶν, τόν Χριστόν μου,
εἰ καί ὅλον σε πιστεύομεν λαμβάνειν
ἐκ τοῦ Πνεύματος, οὗ διδώς, ὁ Θεός μου,
καί τῶν ἀχράντων αἵματος καί σαρκός σου,
ὧν κοινωνοῦντες σε κρατεῖν καί ἐσθίειν
ἀδιαιρέτως, Θεέ, ὁμολογοῦμεν
καί ἀσυγχύτως· οὐ γάρ μεταλαμβάνεις
φθορᾶς ἤ ῥύπου, ἀλλ᾽ ἐμοί μεταδίδως
τῆς σῆς ἀφθάρτου καθαρότητος, Λόγε,
καί ἀποπλύνεις τόν ῥύπον τῶν κακῶν μου
καί ἐκδιώκεις ζόφον ἁμαρτιῶν μου
καί τῆς καρδίας καθαίρεις μου τό αἶσχος
καί τῆς κακίας ἐκλεπτύνεις τό πάχος
καί φῶς ποιεῖς με, τόν πρίν ἐσκοτισμένον,
καί ὡραῖόν με κατ᾽ ἄμφω ἀπεργάζῃ·
αἴγλῃ περιλάμπεις με ἀθανασίας
καί ἐκπλήττομαι καί καίομαι τά ἔνδον
ἐπιθυμῶν σε αὐτόν προσκυνῆσαι.
Ὅτε δέ τοῦτο ἐνθυμηθῶ ὁ τάλας,
ὤ τοῦ θαύματος, ἐν ἐμοί σε εὑρίσκω
καταμένοντα, κινούμενον, λαλοῦντα
καί ἄφωνόν με τότε ἀποτελοῦντα
τῇ καταπλήξει δόξης τῆς ἀπροσίτου.

Θάμβος οὖν συνέχει με καί ἀπορία,
ὅτι τόν πάντα συνέχοντα παλάμῃ
συνεχόμενον ἐν καρδίᾳ μου βλέπω.
Ἀλλά τί σου, Χριστέ μου, τό ξένον τοῦ ἐλέους,
τίς ἡ ἄπειρος συγκατάβασις, Λόγε;
Τί πρός τήν ἐμήν ἐλήθυθας πτωχείαν,
πῶς καί εἰσῆλθες εἰς ῥυπῶσαν οἰκίαν,
ὁ ἀπροσίτῳ οἰκῶν φωτί, Θεέ μου;
Πῶς δέ καί τηρεῖς ἀκατάφλεκτον ταύτην,
πῦρ ὑπάρχων ἄστεκτον φύσει βροτείᾳ;
Τί δέ ποιήσω ἄξιόν σου τῆς δόξης
καί τί εὑρήσω πρός τοσαύτην ἀγάπην;
Τί σοι προσάξω, τῷ τοιαύτῃ με δόξῃ
καί τιμῇ δοξάσαντι, τόν ἀνάξιον;
Ὅν γάρ ἄνθρωποι βλέπειν ἀπαξιοῦσιν,
ἀλλ’ οὐδέ λαλεῖν οὐδέ συνεστιᾶσθαι
ὅλως ἐμοί βούλονται τῷ παναθλίῳ,
σύ ὁ πνοήν ἅπασαν τρέφων καί φύσιν,
ὁ τοῖς Σεραφείμ ἀπρόσιτος ὑπάρχων,
ὁ πάντων κτίστης, ποιητής καί δεσπότης
οὐ μόνον ὁρᾷς καί λαλεῖς μοι καί τρέφεις,
ἀλλά καί τήν σήν οὐσιωδῶς μοι σάρκα
κατηξίωσας καί κρατεῖν καί ἐσθίειν
καί τό αἷμά σου τό πανάγιον πίνειν,
ὅ ἐξεχύθη δι’ ἐμέ σοῦ σφαγέντος.
Διάκονόν τε καί λειτουργόν καί μύστην
τούτων με κατέστησας, ὅνπερ γινώσκεις,
ὁ πάντα εἰδώς, πρίν ποιήσεις αἰῶνας
καί πρίν παράξεις τι τῶν μή βλεπομένων
- τά γάρ ὁρατά ὕστερον συνεστήσω -,
τόν ἁμαρτωλόν, ἄσωτον, τόν τελώνην,
ληστήν, φονέα ἐμαυτοῦ γεγονότα,
ψεύστην τῶν καλῶν, ἐργάτην ἀνομίας
καί πασῶν τῶν σῶν ἐντολῶν παραβάτην.
Σύ οὖν ἀληθῆ ταῦτα εἶναι γινώσκεις·
πῶς ἐνώπιον ὀφθῶ σου, ὦ Χριστέ μου,
πῶς δέ τῇ σῇ πλησιάσω τραπέζῃ;
Πῶς τοῦ ἀχράντου σώματός σου κρατήσω,
ὁ χεῖρας ἔχων πάντῃ ἐσπιλωμένας;
Πῶς ὑμνήσω σε, πῶς ἄλλοις μεσιτεύσω
μή ἔχων ἐκ πίστεως καί καλῶν ἔργων

τήν πρός σέ ἀγάπησιν καί παρρησίαν,
ἀλλ’ ὑπόχρεως αὐτός ὤν, ὥσπερ οἶδας,
πολλῶν ταλάντων, πολλῶν ἀνομημάτων;
Ὁ νοῦς ἀπορεῖ, ἠσθένησεν ἡ γλῶσσα
καί λόγος οὐδείς εὑρίσκεταί μοι, Σῶτερ,
τά σά ἐξειπεῖν ἀγαθότητος ἔργα,
ἅ ἐποίησας εἰς ἐμέ τόν σόν δοῦλον.
Φλέγονται δέ μου ὡς ἐκ πυρός τά ἔνδον
καί οὐ δύναμαι σιωπῶν ὑποφέρειν
τό μέγα βάρος τῶν πολλῶν δωρεῶν σου.
Ὁ τά στρουθία φωναῖς λαλεῖν ποιήσας
δώρησαι κἀμοί λόγον, τῷ παναθλίῳ,
ἵνα τοῖς πᾶσιν ἐγγράφως καί ἀγράφως
διηγήσωμαι, ἅ εἰς ἐμέ εἰργάσω
διά ἔλεος ἄπειρον, ὁ Θεός μου,
καί διά μόνην τήν σήν φιλανθρωπίαν.
Καί γάρ ὑπέρ νοῦν φρικτά τε καί μεγάλα
πέλουσιν, ἅπερ παρέσχες μοι τῷ ξένῳ,
τῷ ἀμαθεῖ, τῷ πτωχῷ, τῷ ἀπαρρησιάστῳ,
τῷ ἀπό παντός ἀπερριμένῳ ἀνθρώπου.
Γονεῖς οὐ προσεῖχόν μοι φυσικῇ τῇ ἀγάπῃ,
οἱ ἀδελφοί καί φίλοι μου πάντες ἐνέπαιζόν μοι,
ἀγαπᾶν γάρ με λέγοντες ἐψεύδοντο εἰς ἅπαν.
Οἱ συγγενεῖς, οἱ ἔξωθεν, οἱ ἄρχοντες τοῦ κόσμου
τοσοῦτόν με ἀπεστρέφοντο καί ἠνείχοντο βλέπειν,
ὅσον συναπολέσαι με ταῖς αὐτῶν ἀσεβείαις.
Πολλάκις ἐπεθύμησα δόξης ἀναμαρτήτως
καί οὔπω ταύτην εὕρηκα ἐν τῷ παρόντι βίῳ·
ἡ δόξα γάρ ἡ κοσμική, καθώς ἐβεβαιώθην,
καί δίχα ἄλλης πράξεως ἁμαρτία τυγχάνει.
Ποσάκις ἐπεθύμησα ἀνθρώπους ἀγαπᾶν με
καί ἔχειν οἰκειότητος πρός αὐτούς παρρησίαν,
καί οὐδείς μου ἠνέσχετο τῶν ἀγαθά φρονούντων·
ἄλλοι δέ μᾶλλον ἤθελον βλέπειν με καί γνωρίζειν,
ἐγώ δέ τούτους ἔφευγον ὡς τῶν κακῶν ἐργάτας.
Ταῦτα οὖν πάντα, Δέσποτα, καί ἄλλα τούτων πλείω,
ἅ οὐδέ λέγειν εὐπορῶ, οὐδ’ ἀπομνημονεύειν,
σύ εἰς ἐμέ, τόν ἄσωτον, προνοῶν ἀπειργάσω,
ἵνα ἑλκύσῃς ἐκ βυθοῦ καί κοσμικοῦ με σκότους
καί τῆς ἀπάτης, τῆς δεινῆς, τῶν τοῦ βίου ἡδέων.
Οἱ ἀγαθοί με ἔφευγον διά τό ἔξω σχῆμα,

τούς δέ φαύλους ἐξέφευγον οἰκείᾳ προαιρέσει·
ἠγάπων γάρ, ὡς εἴρηται, δόξαν καί πλοῦτον κόσμου
καί φαντασμόν ἐνδύματος καί βλακευμάτων ἤθη.
Οὐκ οἶδα δέ τί φθέγξομαι, οὐκ οἶδα τί σοι εἴπω·
φοβοῦμαι γάρ καί τό λαλεῖν καί γράφειν τά τοιαῦτα,
μή περιπέσω τοῖς ἐμοῖς λόγοις καί ἁμαρτήσω,
καί ἔσται ἀνεξάλειπτον τό ψευδῶς γεγραμμένον.
Ὅταν προσεκαλεῖτό με εἰς ἔργα τις μανίας
καί ἁμαρτίας, ἀληθῶς, τοῦ πλάνου κόσμου τούτου,
ἔσωθεν ἡ καρδία μου συνελέγετο ὅλη
καί ὥσπερ κατεκρύπτετο ἑαυτήν αἰδουμένη,
συνεχομένη ἀφανῶς πάντως χειρί σου θείᾳ.
Καί τά μέν ἄλλα ἅπαντα ἠγάπων τά τοῦ βίου,
ὅσα τε ὄψιν τέρπουσι καί λεαίνουσι λάρυγγα
καί σῶμα καλλωπίζουσι, τό φθειρόμενον τοῦτο.
Τάς πράξεις δέ τάς μυσαράς καί ἀσελγεῖς ὀρέξεις
σύ δή ἐκ τῆς καρδίας μου ἀπήλειψας, Θεέ μου,
καί μῖσος ἐνεποίησας πρός ταῦτα τῇ ψυχῇ μου·
εἰ καί τῇ προαιρέσει μου προσεκείμην ἐν τούτοις,
καί ὄρεξίν τε ἄπρακτον καί πράξεις ἀνορέκτους
ἐποίεις μᾶλλον ἔχειν με - θαῦμα μέγιστον πάντῃ -
καί πάντων ἀπεχώρισας οἰκονομίᾳ θείᾳ
βασιλέων, ἀρχόντων τε καί πλουσίων τοῦ κόσμου.
Πολλῶν πολλάκις καί ἐμοῦ θελήσαντος εἰς ταῦτα
αὐτός βουλήν οὐκ εἴασας τινός ἐν τούτοις στῆναι,
ἄλλους δοξάζειν λέγοντας καί πλουτεῖν με ἐν βίῳ
μῖσος ἐμίσουν, Δέσποτα, μῖσος ἀπό καρδίας,
ὡς μήτε συντυχίαν με κινεῖν ποτε πρός τούτοις,
οἵ καί μανέντες βάκλοις με σφοδρῶς ἔτυψαν μᾶλλον·
ἄλλοι δέ λοιδορίαις με πρός πάντας ἐλοιδόρουν
ἐργάτην εἶναι λέγοντες πάσης παρανομίας,
θέλοντες διαστρέψαι με ἀπό ὁδοῦ εὐθείας·
τάς πράξεις γάρ ἐξέφευγον, ἵνα μή λοιδορῶμαι,
αὐτοί δέ ἐλοιδόρουν με, ὅπως εἰς πράξεις ἔλθω,
εἰ ἄρα καί τόν ἔπαινον τόν τῶν ἀνθρώπων χρῄζω,
οἵ προσετίθουν λέγοντες πάντοτε λοιδορεῖν με,
ἕως ἄν εἰς τό φρόνημα τό ἐκείνων συνέλθω.
Τοῖς δέ τήν δόξαν λέγουσι διδόναι τήν τοῦ κόσμου
οὕτως ἀνταποκρίνεσθαι δέδωκάς με, Σωτήρ μου·
Εἰ πᾶσαν δόξαν, ἔλεγον, τήν τοῦ κόσμου ἐκράτεις
καί στέφος σου τῇ κορυφῇ βασιλείας ὑπῆρχε,

τοῖς δέ  ποσί σου κόκκινον ἦν ὑποδεδεμένον
καί τούτων πάντων αἴφνης με κύριον ἀπειργάσω,
αὐτός δέ ἔστης παγανός, δοῦλός μου θέλων εἶναι,
οὐκ ἄν ταῖς πονηρίαις σου καί τοῖς φρονήμασί σου
ὅλως συνεκοινώνησα ἤ συνῆλθον ἐν βίῳ.
Ποῖος χάρτης χωρήσειε τάς σάς εὐεργεσίας
καί τά καλά σου τά πολλά, ἅ εἰς ἐμέ εἰργάσω;
Εἰ γάρ μυρίαι γλῶσσαί μοι δοθήσονται καί χεῖρες,
οὐκ ἄν ἰσχύσω ἐξειπεῖν ἤ περί πάντων γράψαι·
εἰσί γάρ πάντως ἄβυσσος ἐν ἀπείρῳ τῷ  πλήθει,
εἰσίν ἀκατανόητα τῷ τῆς δόξης μεγέθει,
καί ἀσθενῶ τόν λογισμόν, πονῶ μου τήν καρδίαν,
ὅτι λαλεῖν οὐ δύναμαι περί σοῦ, ὁ Θεός μου.
Ὅταν γάρ, ἅπερ ἔπραξα, ἐνυμηθῶ, ὁ τάλας,
ὅσα μοι ἐβοήθησας, ἐξ οἵων με ἐξείλου
καί πόσων, Σῶτερ, μέ κακῶν ἅπερ διεπραξάμην,
ἀλλ’ ὡς πολλά ποιήσαντα ἀγαθά καί μεγάλα
καί καθαρόν ἀπό μητρός ἁγίας κολυμβήθρας
οὕτως καί προσελάβου με, οὕτως ἐτίμησάς με,
οὕτως με κατεκόσμησας στολῇ τῇ βασιλείῳ,
ὅλος τρόμῳ συνέχομαι καί ἐξίσταμαι χαίρων
καί ἄφωνος καθίσταμαι καί ἐκλύομαι σφόδρα,
ὅτι θεός ἐδόθης μοι, ὁ ποιητής τοῦ κόσμου,
ἀνθρώπῳ λίαν μυσαρῷ καί βδελυκτῷ τοῖς πᾶσιν
ἀνθρώποις τε καί δαίμοσιν ὡς ἤδη γεγονότι
καί ὑπερβάντι πράξεσιν ἔργων ἀτοπωτάτων
κἀκείνους. Οἴμοι τῷ αἰσχρῷ καί ῥυπαρῷ - πῶς εἴπω;-
ἡνώθης μοι, φιλάνθρωπε, ἀμέτρῳ εὐσπλαγχνίᾳ,
ὁ καθαρότητι πολύς, ἁγιωσύνῃ μείζων,
δυνάμεις τε ἀσύγκριτος καί ἀνείκαστος δόξῃ,
καί συγκατῆλθεν ἄνωθεν ἀφ’ ὕψους ἀμετρήτου
ἕως ἐσχάτου τῶν πυλῶν ᾅδου ἁμαρτιῶν μου
καί σκότους τῆς πτωχείας μου καί οἴκου συμπτωθέντος
ἀπό πολλῶν ἀνομιῶν, μεγίστης ἀμελείας
ἠμελημένου παντελῶς καί γε ῥερυπωμένου,
ὅς πρότερον ἀνέστησας ἐμέ κείμενον κάτω
καί ἐπί πέτραν ἔστησας τῶν θείων ἐντολῶν σου
καί λούσας ἐκαθάρισας βορβόρου τῶν κακῶν μου
καί χιτῶνα ἐνέδυσας λευκόν ὑπέρ χιόνα,
τόν οἶκόν τε ἐσάρωσας τόν κατεσπιλωμένον
καί εἰσελθών ἐνῴκισας, ὦ Τριάς, ὁ Θεός μου,

εἶτα θρόνον με ἀπετέλεσας θεότητός σου θείας
καί οἶκόν ἀπροσίτου σου δόξης καί βασιλείας
καί στάμνον μάννα φέρουσαν τό τῆς ἀθανασίας,
καί λύχνον ἔνδον ἔχοντα φῶς ἄσβεστον καί θεῖον,
πυξίον τε ὡς ἀληθῶς τοῦ καλοῦ μαργαρίτου
καί γάρ ἀγρόν, ἐν ᾧ κέκρυπται ὁ θησαυρός τοῦ κόσμου,
πηγήν, ἐξ ἧς οἱ πίνοντες οὐδέποτε διψῶσιν,
ἥτις καί βλύζει μάλιστα ὕδωρ δεκαπλασίως
καί τούς ἐν πίστει πίνοντας ἐκτελεῖ ἀθανάτους,
παράδεισον ξύλον ζωῆς μέσον ἔχοντα πάλιν
καί γῆν περικαλύπτουσαν τόν ἀχώρητον πᾶσι,
σέ, ὅν ἐζήτησά ποτε ἐξ ὅλης μου καρδίας,
καί ἐπεθύμουν περί σοῦ λόγον ἀεί ἀκούειν
καί ἤθελον τήν μνείαν σου ἔχειν ἐν τῇ ψυχῇ μου
καί συχνοτέρως περί σοῦ καί λαλεῖν καί ἀκούειν.
Εἰ γάρ καί πρῴην μου ὁ νοῦς περί σοῦ φαντασθῆναι
καθαρῶς οὐκ ἠδύνατο, πάντῃ ῥερυπωμένος,
οὐδ’ ὀφθαλμοί θεάσασθαι ἤ ἀκοή ἀκοῦσαι,
οὐδ’ ἀναβάσεις δέξασθαι ἡ καρδία μου θείας,
ἀλλά μόνῃ τῇ ἀκοῇ κατεπλήττετο ὅλη
καί φόβῳ συνεστέλλετο ἡ ψυχή μου καί τρόμῳ,
ἀλλ’ ἔνδοθεν ὁρῶσά σε νῦν ἑαυτῆς ἐκπλήττεται
καί ἐνοπτριζομένη σε, ὅσον αὐτῇ γε δίδως,
ὅλον ἐν ὅλῳ τῷ παντί, ὅλον ἐκτός δέ τούτου,
ἐντός τε πάλιν ἑαυτῆς, ὅλον κατανοοῦσα
ὅλον ἀκατανόητον θεότητι τῇ θείᾳ,
τόν τοῖς πᾶσιν ἀόρατον καί ἀποκεκρυμμένον,
σέ τόν ἀπρόσιτον καί προσιτόν μόνοις οἷς ἠβουλήθης,
καθώς αὐτός ἠθέλησας φιλανθρώπως φανῆναι,
τόν Σεραφείμ καί Χερουβίμ καί πᾶσι τοῖς ἀγγέλοις
ἀπρόσιτον καί φοβερόν αὐγῇ φύσεως θείας,
μετά ἀνθρώπων προσιτόν τόν φύσει ἄληπτόν τε,
ὅλη ὅλως ἐξίσταται, ἐκπλήττεται δέ πλέον
τήν ἀγαθότητα τήν σήν καί τήν φιλανθρωπίαν,
ὅτι καθαίρεις ῥυπαράς ψυχάς καί νοῦν φωτίζεις
καί περιδράσσῃ γεώδους καί ὑλικῆς οὐσίας,
ἀνάπτεις τε φλόγα πολλήν ἀγαπήσεως θείας
καί πόθου θείου ἔρωτα οἷα πῦρ μοι ἐμβάλλεις
καί μέχρι τρίτου οὐρανοῦ φθάνειν παρασκευάζεις
καί εἰς παράδεισον ποιεῖς, Σῶτερ, ἁρπάζεσθαί με,
ἐν ᾧ ἀκούω ῥήματα ἄρρητά τε καί ξένα,

ἅ οὐκ ἐξόν βροτοῖς λαλεῖν ἤ λόγῳ ἐξηγεῖσθαι.
Σοί δέ τιμή πρέπει, δόξα καί μεγαλωσύνη,
κράτος αἰώνιον, Χριστέ, τῷ τοῦ παντός Δεσπότῃ
σύν τῷ Πατρί καί Πνεύματι τῷ φύσει Παναγίῳ
νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων·
ἀμήν.

## ΚΑ'. Ἐπιστολή πρός μοναχόν ἐρωτήσαντα· Πῶς χωρίζεις τόν Υἱόν ἀπό τοῦ Πατρός, ἐπινοίᾳ ἤ πράγματι; Ἐν ᾗ εὑρήσεις πλοῦτον θεολογίας ἀνατρεπούσης τήν αὐτοῦ βλασφημίαν.

Ἔλαμψας, ἐξέφανας φῶς τό τῆς δόξης,
φῶς ἀπρόσιτον τῆς σῆς οὐσίας, Σῶτερ,
καί κατηύγασας ψυχήν ἐσκοτισμένην,
μᾶλλον δέ σκότος οὖσαν ἐξ ἁμαρτίας
ὡς τό φυσικόν ἀπολέσασαν κάλλος,
ὡς ἐξ ᾅδου τε ἀνήγαγες κειμένην
καί φῶς ἰδεῖν δέδωκας θείας ἡμέρας
καί τοῦ ἡλίου ἀκτῖσιν ἐλλαμφθῆναι
καί φῶς γενέσθαι ταύτην, ὢ μέγα θαῦμα!
Οὐ πιστεύουσιν οἱ δόξης τῶν ἀνθρώπων
μή καταφρονήσαντες, ὡς ἐνετείλω,
οὐδέ γάρ ἐγεύσαντο δόξης τῆς θείας,
ἥν δέδωκας σύ καί δίδως νῦν, Θεέ μου,
τοῖς ἀπό ψυχῆς ὅλῃ τῇ διαθέσει
σέ ζητήσασι, τήν αἰώνιον δόξαν,
σέ, τόν ἀληθῶς Θεόν δεδοξασμένον,
ὅν τό κατιδεῖν ἀκρότης ἐστί δόξης.
Ὁ δέ ἀεί σε βλέπειν ἠξιωμένος
πάντως ἔλαχεν ἀγγελικῆς ἀξίας,
εἰ καί δέδεται τῇ σαρκί κατά φύσιν.
Εἰ δέ καί μεῖναι παρ’ αὐτῷ κατεδέξω
καί καταμένειν ἐν σοί προσηβουλήθης,
τήν σήν ἐξεπλήρωσας οἰκονομίαν
καί ὅμοιόν σου τόν φθαρτόν ἀπειργάσω
θεόν, ὁ Θεός, ὁ συνυπάρχων φύσει,
ὁ προάναρχος Θεῷ τῷ συνανάρχῳ
Υἱῷ καί Λόγῳ, τῷ ἐκ σοῦ γεννηθέντι,
οὐκ ἐπινοίᾳ ἐκ σοῦ χωριζομένῳ,
ἀλλά πράγματι ἀχωρίστῳ σου ὄντι.
Εἰ δέ καί χωρίζεται, ἀλλ’ οὐ τῇ φύσει,
τῇ ὑποστάσει δέ μᾶλλον, εἴτ’ οὖν προσώπῳ,
τό γάρ πράγματι ἀσεβῶν καί ἀθέων,
τό δ’ἐπινοίᾳ ὅλως ἐσκοτισμένων.

Ἔχει γάρ ὁ νοῦς γεννώμενον τόν λόγον
ἀπαύστως πάντως καί πως κεχωρισμένον·
εἰ δέ γεννᾶται καί προέρχεται ὄντως
καί κεχώρισται ἐνυποστάτῳ λόγῳ,
ἀλλά καί μένει τοῦ γεννήσαντος ἔνδον,
ὅπερ καί κόλπον πατρικόν δεῖ νοῆσαι,
καί διέρχεται εἰς τόν σύμπαντα κόσμον
καί πάντα πληροῖ τοῦ Πατρός ὅλως δίχα
καί σύν τῷ Πατρί ὅλος αὐτός ὑπάρχει,
μετέρχεται δέ πάντως ταῖς ἐνεργείαις
καί τῇ ἐλλάμψει μεταβαίνειν νοεῖται.
Ἐμπεριπατεῖν ἤκουσας γάρ καί μένειν
καί ἀποστρέφειν τό πρόσωπον καί βλέπειν,
κατέρχεσθαί τε καί ἀνέρχεσθαι πάλιν,
παραγίνεσθαί τε καί ἀφίπτασθαι αὖθις
καί ἄλλα πολλά τῆς θείας ἐνεργείας
αἱ θεῖαι γραφαί πᾶσαι δημηγοροῦσιν,
ἅ ἐλάλησεν ἐκπορευθέν τό Πνεῦμα,
τό Πανάγιον, ἐκ τοῦ Πατρός ἀφράστως,
καί ἀπεστάλη δι’ Υἱοῦ τοῖς ἀνθρώποις·
οὐ τοῖς ἀπίστοις οὐδέ τοῖς φιλοδόξοις,
οὐ τοῖς ῥήτορσιν οὐδέ τοῖς φιλοσόφοις,
οὐ τοῖς μαθοῦσι συγγραφάς τῶν Ἑλλήνων,
οὐ τοῖς τά γραφάς ἀγνοοῦσι τάς ἔσω,
οὐ τοῖς ἐξασκήσασι σκηνικόν βίον,
οὐ τοῖς λαλοῦσι τορνευτῶς καί πλουσίως,
οὐ τοῖς λαχοῦσι μεγάλων ὀνομάτων,
οὐ τοῖς τυχοῦσι φιλεῖσθαι παρ’ ἐνδόξων,
οὐ συμπράξασι τοῖς πράξασιν ἀνόμως,
οὐ τοῖς καλοῦσιν οὐδέ τοῖς καλουμένοις,
οὐδέ παίζουσιν οὐδέ τοῖς παιζομένοις,
ἀλλά τοῖς πτωχοῖς πνεύματι καί τῷ βίῳ,
τοῖς τήν καρδίαν καθαροῖς καί τό σῶμα,
τοῖς λόγον ἁπλοῦν καί ἁπλούστερον βίον
καί ἁπλουστέραν κεκτημένοις τήν γνώμην,
τοῖς τήν δόξαν φεύγουσιν ὡς πῦρ γεέννης
καί κολακευτάς ἀπό ψυχῆς μισοῦσιν
(οὐ γάρ δέχεται τό Πνεῦμα κολακείας,
οὐδ’ ἀνέχεται ἀκούειν, ὅ μή ἔστι),
τοῖς πρός μόνην βλέπουσι ψυχῆς τήν δόξαν
καί τῶν ἀδελφῶν τήν σωτηρίαν πάντων

καί μηδέ μικρᾷ καρδιακῇ κινήσει
αἴσθησιν λαμβάνουσι πρός τι τοῦ κόσμου,
ἐπαίνων οἷον ἤ δόξης ἀνθρωπίνης
ἤ πάσης ἄλλης ἡδονῆς εἴτε πάθους.
Οὗτοι γάρ νεκροί καί ζῶντες ἀληθείᾳ,
ὅτι πέλουσιν ἀληθεῖς καί ὡς πλάνοι.
Οὗτοι ταπεινοί πνεύματι καί καρδίᾳ,
πραεῖς τε εἰσί καί ζηλωταί Κυρίῳ.
Οὗτοι ἀσεβεῖς εἰσι τοῖς ἀσεβέσι
καί ὀσμή ζωῆς τοῖς ἐκλεκτοῖς Κυρίου.
Οὗτοι καί πόρνοι τοῖς πόρνοις τῇ καρδίᾳ
καί ἰσάγγελοι τοῖς τήν ψυχήν παρθένοις.
Οὗτοι καί δόξης ἐν μέσῳ ταπεινοῦνται
καί ἐν πενίᾳ εἰσί δεδοξασμένοι.
Οὗτοι καί εὐτέλειαν ὡς βασιλείαν
καί βασιλείαν ὡς πτωχείαν ἡγοῦνται.
Οὗτοι τρώγοντες εἰσίν ἐν ἐγκρατείᾳ
καί νηστεύοντες πᾶν εἶδος ἐμπιπλῶνται.
Οὗτοι οὐ συνέρχονται τῇ ἀδικίᾳ
οὐδέ παριδεῖν δύνανται τεθλιμμένον
καί καταπονούμενον ὑπό πλουσίων.
Οὗτοι πρόσωπον οὐκ αἰδοῦνται ἀνθρώπων,
τό γάρ πρόσωπον ὁρῶσι τοῦ Κυρίου.
Οὗτοι οὐ κλῶνται τοῖς δώροις τήν καρδίαν
καί οὐ παρορῶσι νόμον δικαιοσύνης,
ἔχουσι καί γάρ τόν ἀσύλητον πλοῦτον
καί τά τοῦ κόσμου πάντα λογίζονται ὡς κόπρον.
Οὗτοι ἔχοντες διδάσκαλον τό Πνεῦμα
μήθησιν οὐ χρῄζουσιν ἐκ τῶν ἀνθρώπων,
ἀλλά τῷ φωτί λαμπόμενοι τῷ τούτου
βλέπουσι τόν Υἱόν, ὁρῶσι τόν Πατέρα
καί προσκυνοῦσι Τριάδα τοῖς προσώποις,
τόν ἕνα Θεόν ἡνωμένον τῇ φύσει ἀφράστως.
Οὗτοι μυοῦνται ἐκ τοῦ Πατρός δέ πάλιν,
ὅτι γεννᾶται ὁ Υἱός ἀμερίστως,
ὡς οἶδε μόνον, εἰπεῖν γάρ οὐκ ἰσχύω·
εἰ γάρ ἴσχυον, εἶχε πάντως ὁ λόγος
τά ὑπέρ λόγον καί διάνοιαν φράσαι
καί ἄνω κάτω τά σύμπαντα γενέσθαι.
Εἰ γάρ τό κτίσμα τόν κτίστην καταμάθῃ
καί, οἷός ἐστιν, ὅλον κατανοήσῃ

καί εἰπεῖν λόγῳ γράψαι ἐξισχύσῃ,
γέγονε τοῦ κτίσαντος τό ἔργον κρεῖσσον.
Παῦσον, ἄνθρωπε, φρίξον, βροτέ, τῇ φύσει
καί ἐννόησον, ὅτι μή ὤν παρήχθης
καί τῆς μητρῴας νηδύος παρακύψας
εἶδες τόν κόσμον τόν πρό σοῦ παραχθέντα.
Καί εἰ δυνηθῇς οὐρανοῦ ὕψος γνῶναι
ἤ τήν οὐσίαν ὑποδεῖξαι ὁποία,
τοῦ ἡλίου τε, σελήνης καί ἀστέρων,
ποῦ κεκόλληνται καί πῶς περιπατοῦσιν
ἄψυχα ὄντα καί ἀναισθήτως κινούμενα,
ἤ τῆς γῆς αὐτῆς, ἐξ ἧς αὐτός ἐλήφθης,
ὅρους καί μέτρα, πλάτη τε καί μεγέθη,
καί ἐπί τίνος ἐποχεῖται, εἰ εἶδες,
πάλιν δ᾽ ἐκεῖνο τί ἐστιν ἤ ποῦ τήν βάσιν ἔχει,
ταῦτα εἰ ἔγνως καί καθ᾽ ἕν εὗρες τέλος,
καί τῆς θαλάσσης εἰ μετρήσῃς τήν ψάμμον,
εἴτε σοῦ αὐτοῦ διαγνῶναι τήν φύσιν
καί τῆς σοφίας τό ἔργον ἑρμηνεῦσαι,
τότε καί αὐτόν τόν ποιητήν νοήσεις,
πῶς ἐν Τριάδι ἡ Μονάς ἀσυγχύτως
καί ἐν Μονάδι Τριάς ἀδιαιρέτως.
Ζήτησον Πνεῦμα, ἔξω γενοῦ τοῦ κόσμου!
Μή δῷης ὕπνον ὀφθαλμοῖς τό παράπαν,
μήτε φροντίσῃς τῆς ζωῆς τῆς παρούσης!
Κλαῦσον, πένθησον, ὅν ἀπώλεσας χρόνον!
Ἴσως ὁ Θεός παρακληθῇ καί δώσει,
ὥσπερ τό πρίν δέδωκεν ἰδεῖν τόν κόσμον
καί τόν ἥλιον καί τό φῶς τῆς ἡμέρας,
οὕτω καί τά νῦν λάμψαι καταξιώσει
καί ὑποδεῖξαι τόν νοερόν σοι κόσμον
καί φωτί ἐλλάμψαι σε τῷ τρισηλίῳ,
ὅ εἰ θεάσῃ, τότε γνώσῃ ἅ λέγω·
τότε μαθήσῃ τοῦ Πνεύματος τήν χάριν,
ὅτι καί ἀπόν πάρεστι τῇ δυνάμει
καί παρόν οὐχ ὁρᾶται τῇ θείᾳ φύσει,
ἀλλά καί πάντῃ καί οὐδαμοῦ ὑπάρχει.
Εἰ ζητήσεις αἰσθητῶς ἰδεῖν τοῦτο,
ποῦ ἄν εὑρήσεις; Οὐδαμοῦ, πάντως εἴποις.
Εἰ νοερῶς ἀναβλέψαι ἰσχύσεις,
μᾶλλον δ᾽ ἐκεῖνο τόν νοῦν σου καταλάμψει

καί διανοίξει κόρας τῆς σῆς καρδίας·
τότε πανταχοῦ εἶναι οὐκ ἀπαρνήσῃ,
ἀλλά δι’ αὐτοῦ ἅπαντα διδαχθήσῃ,
εἰ καί ἀμαθής καί ἄγροικος τυγχάνεις.
Εἰ δέ οὐκ ἔγνως ὀφθαλμόν ἀνοιγέντα
τῆς διανοίας τῆς σῆς καί φῶς ἰδόντα,
εἰ οὐκ ᾐσθήθης γλυκύτητος τῆς θείας,
εἰ οὐκ ἐλλάμφθης τῷ Πνεύματι τῷ Θείῳ,
εἰ οὐκ ἔκλαυσας δάκρυα ἀνωδύνως,
εἰ ἐκπληθέντα τόν νοῦν οὐκ ἐθεάσω,
εἰ καθαρθεῖσαν οὐκ ἔγνως σήν καρδίαν
καί ἐκλάμψασαν φαιδράς ἀντανακλάσεις
καί ἀνελπίστως εὗρες Χριστόν ἐντός σου
καί ἐξεπλάγης κάλλος ἰδών τό θεῖον
καί ἐπελάθου φύσεως ἀνθρωπίνης
ὅλον σεαυτόν βλέπων ἠλλοιωμένον,
πῶς περί Θεοῦ λαλεῖν, εἰπέ, οὐ φρίττεις;
Πῶς δέ καί τολμᾷς σάρξ αὐτός ὅλος πέλων
καί μήπω πνεῦμα γεγονώς ὡς ὁ Παῦλος
περί Πνεύματος φιλοσοφεῖν ἤ λέγειν,
ὅ ἐν τοιούτοις μή κατοικεῖν ἀκούεις
διά τό εἶναι σάρκας αὐτούς, ὡς λόγος;
Ἀλλ’ ἔγραψα ταῦθ’ ἵνα γνῷς πῶς πιστεύω,
καί εἰ θελήσεις, πεισθῇς μοι καί στυγνάσῃς.
Εἰ γάρ ἀληθῶς τόν θησαυρόν οὐκ ἔχεις,
ὅνπερ ὁ κόσμος οὐ δύναται χωρῆσαι,
εἰ οὔπω ἔλαβες δόξαν τῶν ἁλιέων,
ἥν οἱ λαβόντες Θεόν ἔλαβον ὄντως,
καταλείψεις κόσμον καί τά ἐν κόσμῳ,
ὀξυποδήσεις, δράμεις πρό τοῦ κλεισθῆναι
πύλας βίου σοι καί τοῦ τῇδε θεάτρου,
καί διαλυθῇ ἡ πανήγυρις, οἴμοι,
καί συσκοτάσει ἥλιος καί τά ἄστρα
καί γῆ παρέλθει καί ἀνοιχθῇ ὁ ᾅδης
καί τό πᾶν γενήσεται σκότος καί χάος·
καί τότε γνώσῃ, φίλη ψυχή, καί μάθῃς,
ὅτι οἱ μή ἔχοντες Πνεῦμα τό Θεῖον
ἐν διανοίᾳ λαμπάδος δίκην λάμπον
καί ἐν καρδίᾳ ἐνοικοῦν ἀνεκφράστως
τῷ αἰωνίῳ παραπέμπονται σκότει.
Καί γάρ τό Πνεῦμα ὁ Κύριος ὑπάρχει,

Πνεῦμα δ’ ὁ Θεός, ὁ Πατήρ τοῦ Κυρίου,
ἕν πάντως Πνεῦμα, οὐδέ γάρ διαιρεῖται.
Τοῦτο ὁ ἔχων ὄντως ἔχει τά τρία,
ἀλλ’ ἀσυγχύτως, εἰ καί ἀδιαιρέτως.
Ἔστι γάρ Πατήρ· καί πῶς Υἱος ὑπάρξει;
Ἔστι γάρ ἀγέννητος τό κατ’ οὐσίαν,
ἔστι τε Υἱός· καί πῶς γένηται Πνεῦμα;
Πνεῦμα τό Πνεῦμα· καί πῶς Πατήρ φανεῖται;
Πατήρ ὁ Πατήρ, ὅτι ἀεί γεννήτωρ·
πῶς δέ γίνεται ἡ ἀεί γεννησία;
Ὅτι τοῦ Πατρός οὐ χωρίζεται ὅλως
καί ὅλος προέρχεται ἀνερμηνεύτως,
πάντοτε μένει ἐν τῷ πατρικῷ κόλπῳ
καί προέρχεται πάντοτε ἀνεκφράστως.
Υἱός ἐν Πατρί ἀενάως ὁρᾶται
γεγεννημένος, ἀλλά συνηνωμένος·
καί ἐν Υἱῷ γάρ ὁ Πατήρ καθορᾶται
ἀδιαστάτως, ἀτόμως, ἀχωρίστως.
Υἱός ὁ Υἱός, ὅτι ἀεί γεννᾶται
καί πρό αἰώνων ἐστί γεγεννημένος,
προερχόμενος οὐ τέμνεται τῆς ῥίζης,
ἀλλά καί χωρίς ἀχώριστος τυγχάνει
καί ἡνωμένος ὅλος Πατρί τῷ ζῶντι
αὐτός τε ζωή πᾶσι τό ζῆν παρέχων.
Ὅσα ὁ Πατήρ, καί ὁ Υἱός τοσαῦτα·
ὅσα ὁ Υἱός, καί ὁ Πατήρ ὡσαύτως.
Βλέπεω τόν Υἱόν, καί βλέπω τόν Πατέρα,
ὁρᾶται Πατήρ Υἱῷ ἀπαραλλάκτως,
πλήν ὁ μέν γεννᾷ, ὁ δέ ἀεί γεννᾶται.
-Τί χωρίς Πατρός ἐστιν, ὅπερ καί ἔστι;
Τί ἐστιν; εἰπέ, φράσον πᾶσιν ἀνθρώποις-
Θεός ἄναρχος καί ποιητής τῶν πάντων,
εἴ τι γέγονε καί γενήσεσθαι μέλλει.
Θεός τῷ Πατρί ἴσος καί κατ’ οὐσίαν
καί κατά φύσιν καί κατά ἐξουσίαν
καί κατά μορφήν ὄντως καί κατ’ ἰδέαν
καί κατά χρόνον Πατρός οὐδέπω δίχα.
Πῶς προέρχεται; Ὡς ἐκ νοός ὁ λόγος.
Πῶς χωρίζεται; Ὡς φωνή ἐκ τοῦ λόγου.
Πῶς σωματοῦται; Ὡς γραφόμενος λόγος.
Ἐκ τῶν ὑψηλῶν εἰς ταπεινά κατήχθην

καί πρός ἐμαυτόν λυπηθείς ἐγενόμην
καί τό γένος ἔκλαυσα τό τῶν ἀνθρώπων,
ὅτι ζητοῦσι παραδείγματα ξένα
ἐπινοίας τε καί πράγματα, καί λέξεις
παρεισάγουσιν ἀπό τῶν ἀνθρωπίνων
ἐξεικονίζειν δοκοῦντες τήν θείαν φύσιν·
φύσιν, ἥν οὐδείς ἀγγέλων ἤ ἀνθρώπων
ἤ κατιδεῖν ἴσχυσεν ἤ ὀνομάσαι.
Τί γάρ καί καλέσειε τόν κτίστην πάντων;
Ὀνόματα γάρ καί πράγματα καί λέξεις,
πάντα τοῦ Θεοῦ γεγόνασι προστάξει·
ἔθηκε γάρ ὀνόματα τοῖς ἔργοις
ἑκάστῳ τε πράγματι κλῆσιν ἰδίαν,
οὐ πᾶσι δ᾽ αὐτός, ἀλλ᾽ ἔδωκε καί ἔργοις
τοῖς ἔργοις πάλιν ὀνόματα τιθέναι,
καί ἄλλος ἄλλο καί καλεῖ καί καλεῖται,
ὄνομα δ᾽ αὐτοῦ ἡμῖν οὔπω ἐγνώσθη,
εἰ μή ὁ ὤν ἄφραστος Θεός, ὡς εἶπεν.
Εἰ οὖν ἄφραστος, εἰ ὄνομα οὐκ ἔχει,
εἰ ἀόρατος, εἰ ἀποκεκρυμμένος,
εἰ ἀπρόσιτος, εἰ μόνος ὑπέρ λόγον,
ὑπέρ ἔννοιαν οὐ μόνον τήν βροτείαν,
ἀλλά καί αὐτήν τήν τῶν ἀΰλων νόων
-ἔθετο καί γάρ ἀποκρυβήν τό σκότος
καί πάντα τἆλλα ἔνθεν εἰσί τοῦ σκότους,
μόνος δ᾽ ἐκεῖνος ὡς φῶς ἔξω τοῦ σκότους -,
πῶς περί αὐτόν ἐπίνοιαν εἰσάγεις
εἴτε πράγματι χωρισθέντα κατεῖδες;
Πόθεν δέ καί πῶς πεπέρακας τό σκότος
καί μόνος πάντων ἐχωρίσθης κτισμάτων;
Εἰ δέ ταῦτα σά οὐκ εἰσίν, ἀλλ᾽ ἑτέρου,
θαυμάζω τίνος καί μαθεῖν ἐρωτῶ σε·
ἀγγέλου ἤ τινος τῶν ἀΰλων;
Καί οὐκ ἄν ἔγνως, ὅτι καί τά πρόσωπα
καί τούς πόδας ἔχουσι κεκαλυμμένους
πτέρυξι θείαις εὐλαβῶς καί κοσμίως
-εἴ τινας ταύτας πτέρυγας νοήσεις -
τό ἀπρόσιτον μή στέγοντες τῆς δόξης;
Οὐ γάρ τήν φύσιν, ἀλά τῆς δόξης ὁρῶσι δόξαν.
Ἀνθρώπου δέ ποίου εἰπεῖν τολμήσεις;
Τοῦ Ἰωάννου ἤ Παύλου τοῦ μεγάλου;

Ἀλλ’ ὁ μέν βοᾷ καί τοῖς πᾶσι κηρύττει,
ὅτι ἱμάντα μόνον ἤ σφαιρωτῆρα
ὑποδημάτων οὐκ ἐξισχύει λῦσαι·
ὁ δέ εἰς τρίτον οὐρανόν ὡς ἀνῆλθε
καί μετά ταῦτα εἰς παράδεισον ἤρθη,
μή τι σοί μόνῳ εἶπέ τι κατ’ ἰδίαν,
ὅπερ ἔκρυβες καί νῦν βούλει κηρύξαι;
Καί γάρ ἐκεῖνον ἡμεῖς περί τοιούτου
οὐδέν εἰπόντα ἠκούσαμεν ἐγγράφως,
ἀλλά κἀκεῖνος φωνῇ μεγάλῃ λέγει·
Λόγους ἤκουσα, οὕς εἰπεῖν οὐκ ἰσχύω,
φωτί δέ ὁ Θεός ἔνοικεῖ ἀπροσίτῳ.
Ἰωάννης οὖν οὐ λύει σφαιρωτῆρα,
οὐδέ ἱκανός ἱμάντα λῦσαι μόνον,
Παῦλος ῥήματα οὐκ ἴσχυσεν ἐκφράσαι,
ἅπερ ἤκουσεν, ἄρρητα λέγων ταῦτα,
καί τίς, ὁ οὕτως τόν Θεόν ἐρευνήσας,
μείνας ἄφλεκτος φωτί τῷ ἀπροσίτῳ
καί γενόμενος τῆς οἰκίας ἐν μέσῳ
αὐτήν ἐθεάσατο τήν τοῦ Δεσπότου φύσιν,
ἵνα πλέον τι Ἰωάννου καί Παύλου
εἰπεῖν τολμήσει ὁ ἄθλιος ἐκεῖνος;
Τίς γάρ οὐ φρίξει καί τίς οὐ μή πενθήσει
τύφλωσιν καί σκότωσιν τῶν νῦν λεγόντων
καί νεουργούντων αἵρεσιν ὄντως ξένην,
ἀμφικρημνοῦσαν εἰς ἕν βάραθρον πάντας
τούς ἐρωτῶντας καί τούς ἐρωτωμένους;
Εἴτε γάρ ἐπινοίᾳ χωρίσουσι τόν Λόγον,
εἴτε πράγματι, σφάλλουσι κακοφρόνως
πίπτοντες εἰς αἵρεσιν ἀμφοτέρωθεν·
τό γάρ πράγματι τομήν ποιεῖ τοῦ Λόγου,
τό δ’ ἐπινοίᾳ σύγχυσιν ὡς μή χωρίζεσθαι ὅλως.
Φρίξον, ἄνθρωπε, κατάμαθε σαυτόν γε,
εἰπέ περί σοῦ, εἰπέ, εἴ τι καί βούλει!
Ἴσως ὡς Δαυίδ καί σύ ἀναβοήσεις·
Ἐθαυμαστώθη, λέγων, ἡ σή σοφία
καί ἡ γνῶσίς σου ἐξ ἐμοῦ, ὦ Θεέ μου!
Ναί, κατάλιπε τήν φιλοπραγμοσύνην
καί τό βλάσφημον τῶν λέξεων ἀπόθου!
Καί πρῶτον εἰπέ τό, πῶς ἡμεῖς σωθῶμεν,
ἔπειτα λέξον καί, πῶς αὐτός ἐσώθης,

ἵνα μή λόγῳ φανῇς ἡμᾶς διδάσκων,
ἀλλά καί ἔργῳ ποιῶν προθυμοτέρους.
Εἰ μή σεαυτόν μέλλεις καταδικάζειν
καί κατακρίνειν, ὡς μή πράξας ἅ λέγεις,
καί διά τοῦτο ὑπερβωαίνεις τούς λόγους,
ὡς ἀρχήν ποτε μή βαλών ἐν τοιούτοις,
θές τήν πέτραν πρότερον τῶν θεμελίων,
εἰς ἀέρα γάρ οὐ συνίσταται κτίσις!
Τάς ἐντολάς ποίησον Χριστοῦ, τῆς πέτρας,
τοῦ δομήτορος τῆς θείας ἐκκλησίας,
τοῦ νέου λαοῦ τῶν λογικῶν προβάτων.
Πρᾶξον καί λέξον κτίζων ἐπί τῆς πέτρας,
μᾶλλον δέ καί αὐτός ὑπό τῆς πέτρας κτίζου.
Οὗτος καί ποιμήν, οὗτος καί ἀρχιτέκτων,
οὗτος καί θεμέλιος ἔστω σοι βίου.
Τί τῆς ὀροφῆς χρεία πρό θεμελίων;
Οἰκοδομή πρῶτον καί τότε στέγος,
πρᾶξις ἐν γνώσει καί οὕτως θεωρία.
Τί πρό τοῦ τρύγους τόν οἶνον θέλεις πίνειν;
Οὗτος εἰς ἀσκόν παλαιόν οὐ χωρεῖται.
Τί πρό τοῦ σπόρου τά δράγματα συλλέγειν
καί ἄλλοις οἴει μεταδιδόναι μάτην;
Εἰ βούλει, δεῦρο, τῆς ὁδοῦ  μή ἐκπέσῃς,
ἀλλά δίδαξον περί βάθους κριμάτων,
τῶν περί ἡμᾶς, πῶς εὐδρομοῦσιν ἄλλοι
ἴσως πονηροί καί μή Θεόν εἰδότες
πῶς ἄλλοι δυστυχοῦσι Θεόν εἰδότες
καί ὑπό Θεοῦ γινωσκόμενι μόνου,
ἄλλοι πένονται ἴσως εὐχαριστοῦντες,
ἄλλοι δέ πτωχοί φέρουσιν εὐχαρίστως,
πλουτοῦσι δ' ἄλλοι κακῶς ἀγνωμονοῦντες,
ἁρπάζοντες δ' ἕτεροι καί ἀδικοῦντες
οἴονται Θεόν θεραπεύειν ἐκ τούτων,
καί ἄλλα πολλά, ἅ ὁρᾷς καθ' ἑκάστην,
ὅτι βροτοί ποιοῦσι καί πανθάνουσι πάλιν,
καί Θεός ἀνέχεται, ὁ πάντων κτίστης.
Μή τις ἄδικος λογισθῇ τοῖς ἀνόμοις
ἤ τοῖς κατ' ἐμέ οὖσιν ὀλιγοψύχοις;
Εἰπέ, δίδαξον περί κρίσεως θείας,
περί τῆς ὥρας ἐκείνης καί ἡμέρας,
ἐν ᾗ γυμνοί ἅπαντες παρασταθῶμεν

τῷ τοῦ Θεοῦ μου βήματι καί Σωτῆρος
καί τῶν ἐνταῦθα πράξεών τε καί λόγων,
διαλογισμῶν, ἐνθυμήσεων ἅμα,
τούς μισθούς ληψόμεθα τούς κατ’ ἀξίαν·
λέγε, τίς ἐκεῖ πεπαρρησιασμένος
καί τίς ὑπάρξει πάλιν κατῃσχυμμένος;
Ἔχεις τό λέγειν ἄπειρα περί τούτων·
μετά δέ ταῦτα σκόπησον καί τήν κτίσιν,
ἄβυσσον ἄλλην εὑρήσεις γάρ ἐν ταύτῃ!
Ἴδε οὐρανόν, ἥλιον καί τά ἄστρα,
βλέψον εἰς τήν γῆν, τήν μητέρα καί τάφον
ἡμῶν ἁπάντων προστάξει γεγονυῖαν!
Ἐνταῦθα δ’ ἐλθών εἰπέ περί θανάτου,
φιλοσόφησον πολλά καί ἀναγκαῖα,
χρήσιμα φίλοις ἅμα καί συγγενέσιν,
τοῖς πλουσίοις ὡσαύτως καί τοῖς ἐνδόξοις.
Καί μετά πάντων σοί τῷ ἐξηγουμένῳ
μέχρι τελευτῆς ἀρκέσει σοι τοῦ λέγειν
περί τοιούτων πολλῶν καί ἀναγκαίων,
καί ὠφελήσει σε μετά θάνατον ταῦτα.
Ἔπειτα ἴδε τόν περίγειον κόσμον,
τά μέσον τούτου παντοίων ζῴων γένη,
τῶν πτηνῶν τε τάς ποικίλας ὁράσεις,
ἅμα καί φωνάς τῶν εὐτελῶν στρουθίων,
θαλάσσης πλάτη καί μεγέθη καί ὅρους
θαύμασον, ἐκπλάγηθι, φράσον συντόνως!
Ὢ βάθος πλούτου καί γνώσεως τῆς θείας,
ὢ σοφίας σου, Θεέ μου πανοικτίρμον!
Δεῦρο καί συστάληθι ἀπό τῶν ἔξω,
σύναξον τόν νοῦν, σεαυτόν κατανόει,
μᾶλλον δέ τά σά καί σαυτόν φιλοσόφει,
καί ὅσα βλέπεις, εὕροις ἐν ὁρωμένοις
ἕκαστον διδάσκαλον τῆς ἀρετῆς σοι
ἤ τῆς κακίας ἐξεικονίζον πάθος,
ἵν’ ἐκ μεγέθους καί καλλονῆς κτισμάτων
τήν ἀκατανόητον Θεοῦ σοφίαν
καί τόν νοητόν πόλεμον καταμάθοις,
ὅν προεξεικόνισεν ὁ πλάστης πάντων,
καί ὡς μέν ὄφις φρόνησιν πάντως κτήσῃ,
τόν δέ ἰόν ἐμέσῃς τόν τῆς κακίας!
Ὡς δ’ ἵππος δράμῃς ἐν ὁδῷ τῇ δικαίᾳ,

οὐ χρεμετίσῃς πάντως δέ πρός τό θῆλυ!
Κάττα γενήσῃ μῦν νοητόν τηροῦσα,
οὐχ ἁρπάζουσα ὅλως τά τοῦ πλησίον,
οὐδέ κλέπτουσα μοίρας τῶν ἀδελφῶν σου,
ἀλλά καί μυΐ μύας διώξῃς πάντας
τούς ἐναντίους ἀπό τῆς σῆς οἰκίας!
Λύκος οὐ γενήσῃ δέ, λύκους δέ φύγῃς,
μᾶλλον δέ κύων γενήσῃ τοῦ Δεσπότου
καί πνεύσῃς ὅλον θυμόν σου κατ' ἐκείνων
καί ἀνιχνεύσῃς ὁδούς τοῦ σοῦ Δεσπότου·
ἕως ἄν εὕροις, ἕως ἄν καταλάβοις
θύραν τήν θείαν, μή στραφῇς εἰς τοὐπίσω,
καί γένῃ θήρα τῶν νοητῶν θηρίων!
Μίμησαι πτῶκα, εἰ μή δύνασαι κύνα,
καί πέτραν Χριστόν καταφυγήν σου κτῆσαι
καί κρύβηθι, ἔνθα φόβος οὐκ ἔστιν,
ἤ ἔλαφος ἀνάβηθι εἰς τά ὄρη,
τῶν κυνηγετῶν ἀπόδραθι τάς χεῖρας
ἤ πετάσθητι, ὥσπερ καλόν στρουθίον,
καί ὑπέρβηθι τάς παγίδας ἁπάσας!
Πτέρυγας νόει τήν ἁγίαν ἀγάπην,
ἧς ἄνευ οὐδαμοῦ διαβήσῃ·
μίμησαι πῶλον βαστάζοντα τόν κτίστην,
γενοῦ δέ καί βοῦς ἕλκων ἄροτρον θεῖον
καί γλυκεῖαν αὔλακα τέμνων τοῦ λόγου.
Πάντα μίμησαι δίχα τῶν ἐναντίων.
Κακόν ἀλώπηξ, ὑποκρίσει βιοῦσα,
ἕτερον οὖσα καί ἄλλο δεικνυμένη,
προσποιήσει γάρ θνῄσκει, ἵν' ἁρπάσῃ τι·
δεινόν ἡ ἄρκτος·εἴ που ξίφει γάρ λάβῃ,
οὐ παύεται ξέουσα τό τραῦμα ταύτης,
ἕως ἄν αὕτη ἐκ τούτου ἀποθάνῃ·
κακόν ὁ χοῖρος ἀκορέστως ἐσθίων·
κακόν ἡ ἀσπίς· βύει καί γάρ τά ὦτα·
κακά τά κακά, ἅ εἰ ἐρευνᾶν θέλεις
καί εἰ ἐκφυγεῖν, φίλη ψυχή, σπουδάσεις,
εὑρήσεις ὄντως τήν ἀληθῆ σοφίαν.
Ὁδῷ βαδίζων ἔλθεις γάρ πρός τά κρείττω
καί μετά πάντων σεαυτόν καταμάθεις
καί ἐρωτῶντι τότε μοι πάντως φράσεις·
Λόγον, ὅν λαλεῖς, κἀγώ αὐτόν λαμβάνω!

Ἔστι καί ἐν σοί, μεταβαίνει καί πρός με·
ἤ καταλιμπάνει σε κενόν τοῦ λόγου;
Ἐρεῖς· Οἶδα, ὅτι καί πρός με ἦλθε
καί ὅλος ἐστί μετά σοῦ, ὥσπερ πρῴην.
Πῶς οὖν ἀπό σοῦ χωρισθείς πρός με ἦλθε
καί ὅλος μένει ἐν σοί μή χωρισθείς σου;
Εἰπέ μοι τοῦτο καί τόν Θεόν νῦν ἔα,
μή σύμπασα τρομάσῃ κτίσις καί πέσῃ
καί συνθραύσῃ σου τήν σάρκα τήν παχεῖαν
καί συντρίψῃ σου τήν ψυχήν τήν σαρκώδη
καί τόν νοῦν πυρίκαυστον τόν σόν ποιήσῃ,
τόν εἰς μηδέν χρήσιμον κενεμβατοῦντα.
Καί γάρ οὐδέ πράγματι οὐδ᾽ ἐπινοίᾳ
τό ἀμέριστον μερίζεται τοῦ λόγου·
ὁ γάρ ἐν οἴκῳ ἔνδοθεν κεκλεισμένος,
ἔξω δέ τόν νοῦν περιπολοῦντα ἔχων
οὐ κατελείφθη ἄνους ἐν τῇ οἰκίᾳ,
ἀλλά μετ᾽ αὐτοῦ καί ἔξω πάντως ἔστι.
Τόν οὖν χωρισμόν τοῦτον τί ὀνομάσεις;
Πρᾶγμα δή λέξεις ἤ ἐπίνοιαν εἴπῃς;
Εἰ ἐπίνοιαν, πῶς ὅλος ἔστιν ἔξω,
εἰ δέ πρᾶγμα τι, πῶς ἔνδον τῆς οἰκίας;
Καίτοι τί ἐστί τό παράδειγμα τοῦτο
πρός τόν ὑπέρ νοῦν καί διάνοιαν Λόγον;
Ἐκ γάρ τοῦ Πατρός ἀποσταλείς ὁ Λόγος κατῆλθε
καί ἐν γαστρί ἐνῴκησεν ὅλος τῇ τῆς Παρθένου
καί ὅλος ἦν ἐν τῷ Πατρί καί ὅλος ἐν κοιλίᾳ
καί ὅλος ἐν τῷ σύμπαντι ἀχώρητος ὑπάρχων,
μή συσταλείς, μή σμικρυνθείς πάντως εἰσῆλθεν ὅλως
καί μείνας ἀναλλοίωτος μορφήν ἔλαβε δούλου
καί γεννηθείς ἐγένετο ἄνθρωπος κατά πάντα,
ὅλος τήν μήτραν διελθών καί γεγονώς ἐν κόσμῳ,
ὅλος πάλιν ἀναληφθείς, ὅθεν οὐκ ἐχωρίσθη.
Ταῦτα οὖν κατ᾽ ἐπίνοιαν ἤ πρᾶγμα γεγονέναι
ὅλως εἰπεῖν τολμήσειας, τά ἀπόρρητα πᾶσιν
ἀγγέλοις, ἀρχαγγέλοις τε καί πάσῃ κτιστῇ φύσει;
Νοεῖται καί γάρ ἀληθῶς, οὐ φράζεται δέ ὅλως,
οὐδέ καταλαμβάνεται νοΐ πάντως τελείως.
Πῶς οὖν Θεός καί ἄνθρωπος, ἄνθρωπος Θεός πάλιν
καί τοῦ Πατρός ἐστιν Υἱός, ὅλος αὐτοῦ ἀχωρίστως,
καί τῆς Παρθένου γέγονε καί προῆλθεν ἐν κόσμῳ

καί ἔμεινεν ἀχώρητος, ὡς εἴρηται, τοῖς πᾶσιν;
Ἐπινοίᾳ ἤ πράγματι; εἰπέ. Πάντως ἄρτι σιγήσεις·
κἄν γάρ εἰπεῖν θελήσειας, ὁ νοῦς σου λόγον οὐ δώσει
καί μείνῃ ἡ πολύλαλος ἀργήσασά σου γλῶσσα.
Εἰ δέ θελήσειας εἰπεῖν πρᾶγμα τήν θείαν φύσιν,
πάντως εἴπῃς καί ποταπόν, ἐγώ γάρ οὐ γινώσκω.
Δόξα σοι, Πάτερ καί Υἱέ καί τό Ἅγιον Πνεῦμα,
θεότης ἀπερίγραπτε, ἀμέριστε τῇ φύσει,
σέ προσκυνοῦμεν ἅπαντες ἐν Πνεύματι Ἁγίῳ,
οἱ τό Πνεῦμά σου ἔχοντες ὡς παρά σοῦ λαβόντες
καί ὁρῶντες τήν δόξαν σου οὐ πολυπραγμονοῦμεν,
ἀλλ’ ἐν αὐτῷ σε βλέπομεν ἀγέννητον Πατέρα
καί γεννητόν τόν ἀπό σοῦ προερχόμενον Λόγον,
ἄτμητον οὖν, ἀσύγχυτον προσκυνοῦμεν Τριάδα,
ἐν μιᾷ τῇ θεότητι καί ἀρχῇ καί δυνάμει,
ἀμήν.

## ΚΒ'. Εὐχαριστία σύν θεολογίᾳ· καί περί ὧν ἡ θεία χάρις τοῦ Πνεύματος διά τῶν ἐνεργειῶν ὠνόμασται.

Τί τό καινόν μυστήριον, Δέσποτα τῶν ἁπάντων,
ὅ εἰς ἐμέ, τόν ἄσωτον ἐπεδείξω καί πόρνον;
Τί τό κατανοούμενον μέγα θαῦμα ἐντός μου
καί μή περινοούμενον, ἀλλά κεκαλυμμένον;
Ὡς ἄστρον γάρ ὁρᾶταί μοι ἀνατέλλον μακρόθεν
καί πάλιν ὥσπερ ἥλιος μέγας ἀποτελεῖται,
μή ἔχων μέτρον ἤ σταθμόν ἤ ὅρον τῷ μεγέθει,
καί αἴγλη γίνεται μικρά καί φλόξ πάλιν ὁρᾶται
μέσον ἐν τῇ καρδίᾳ μου καί τοῖς ἐμοῖς ἐγκάτοις,
περιστρεφόμενον συχνῶς καί περιφλέγον πάντα
τά ἔνδοθεν τῶν σπλάγχνων μου καί φῶς ταῦτα ποιοῦντα
καί οὑτωσί φθεγγόμενον καί φιλικῶς διδάσκον
ἀπορουμένῳ παντελῶς καί μαθεῖν ἐκζητοῦντι.
Ἐγώ τό ἄστρον τό γλυκύ, ὅπερ ποτέ ἀκούεις
ἀνατελεῖν ἐξ Ἰακώβ, ὑπάρχω μή διστάσῃς,
καί ἥλιός σοι δείκνυμαι μακρόθεν ἀνατέλλων,
ὁ τοῖς δικαίοις ἅπασι φῶς ἀπρόσιτον εἶναι
ἐν τῇ μελλούσῃ βιοτῇ καί ζωῇ αἰωνίᾳ.
Ἐγώ καί αἴγλη δείκνυμαι καί φῶς σοι καθορῶμαι,
ἀκαταφλέκτως φλέγων σου τά πάθη τῆς καρδίας
καί δροσισμῷ γλυκύτητος καί χάριτός μου θείας
ἀποπλύνων τόν ῥύπον σου καί εἰς ἅπαν σβεννύων
ἄνθρακας τούς τοῦ σώματος, ἡδονῶν ἁμαρτίας,
καί πάντα ἐργαζόμενος ἐμῇ φιλανθρωπίᾳ,
ἅ καί πάλαι πεποίηκα ἐν πᾶσι τοῖς ἁγίοις.
Ἐλέησον λυπούμενον, οἴκτειρον τεθλιμμένον,
μή ὀργισθῇς, λαλῆσαί μοι καί πάλιν βουλομένῳ.
Πῶς ἄστρον ἐκ τοῦ Ἰακώβ, ὁ ἀχώρητος πάντῃ,
ὑπάρχεις τε καί γίνῃ σύ μέχρι τοῦ νῦν τοῖς πᾶσι;
Πῶς δέ καί ὥσπερ ἥλιος δείκνυσαι ἀνατέλλων,
ὁ μηδαμοῦ καί πανταχοῦ καί ὑπέρ πᾶσαν κτίσιν
ὤν τε καί κηρυττόμενος ἀόρατος τοῖς πᾶσι;
Πῶς δέ καί αἴγλη γίνῃ σύ καί φλόξ μοι καθορᾶσαι
καί φλέγεις ὕλην, ἄϋλος ὑπάρχων κατ' οὐσίαν;
Πῶς δροσίζεις καί πλύνεις μου τοῦ σώματος τόν ῥύπον,
ὅλος πῦρ ὤν ἀπρόσιτον καί ἄστεκτον ἀγγέλοις;

Πῶς περιπλέκεσαι φθαρτῇ οὐσίᾳ σώματός μου
καί ἀναμίγνυσαι ψυχῇ ἀμίκτως ἀνθρωπίνῃ;
Πῶς δι’ αὐτῆς ἐν τῷ παντί σώματι ἀσυγχύτως
γινόμενος, ὁ ἀναφής, ὅλον θεοποιεῖς με;
Εἶπον καί· μή ἐκπέμψῃς με στυγνόν καί τεθλιμμένον,
Ὢ τόλμη, ὤ παράνοια, ὤ ἀφροσύνης λόγοι!
Πῶς οὕτως ταῦτα ἐρωτᾶν οὐ φρίττεις ἀποτόμως;
Πῶς δέ καί οὐκ αἰσθάνῃ, ἐρωτῶν ἅ γινώσκεις,
ἀλλά τολμᾷς μετά Θεοῦ λαλεῖν ὡς ἐκπειράζων,
καί ἅ οἶδας, ὡς μή εἰδώς προσποιῇ ἐρωτᾶν με
καί γράφειν θέλεις ἅπασιν ἐνδεικτικῶς σήν γνῶσιν;
Ἀλλ’ ὅμως σοῦ ἀνέχομαι φιλανθρώπως ὑπάρχων
καί πάλιν ἐκδιδάσκω σε, λέγων σοι ταῦτα οὕτως·
ἐγώ τῇ φύσει ἄφραστος, ἀχώρητος ὑπάρχω,
ἀνενδεής, ἀπρόσιτος, ἀόρατος τοῖς πᾶσιν,
ἀναφής, ἀψηλάφητος, ἄτρεπτος τήν οὐσίαν,
μόνος ἐν μόνῳ τῷ παντί καί μόνος μετά πάντων
τῶν ἐπιγινωσκόντων με ἐν τῷ τοῦ βίου σκότει·
ἔξω δέ κόσμου τοῦ παντός, ἔξω τῶν ὁρωμένων,
ἔξω τοῦ φωτός τοῦ αἰσθητοῦ, ἡλίου τε καί σκότους,
τόπου τε τῶν κολάσεων καί φρικτῆς καταδίκης,
ἐν ᾧ περιπεπτώκασιν ὑπερήφανοι δοῦλοι
κακῶς τραχηλιάσαντες κατ’ ἐμοῦ, τοῦ Δεσπότου.
Ἐγώ ἀμετακίνητος - ποῦ γάρ καί οὐχ ὑπάρχω,
ἵνα τῇ μεταστάσει μου τόν τόπον καταλάβω;-
Ἐγώ καί ἀεικίνητος εἰμί ἀπεριγράτως -
ποῦ γάρ ἐλθών ζητήσεις με, ἵνα ἐκεῖ με εὕρῃς; -
Ὁ οὐρανός τῷ λόγῳ μου ὡς οὐδέν παρεισήχθη,
ἥλιος, ἄστρα καί ἡ γῆ ὡς πάρεργον μικρόν μοι
γεγένηνται καί τά λοιπά, ὅσα ὁρᾷς, ὡσαύτως.
Οἱ ἄγγελοι μακρόθεν μοι πρό τούτων παραχθέντες
δόξης τήν δόξαν βλέπουσιν, οὐχί δ’ αὐτήν τήν φύσιν·
μόνον γάρ ἐνενόησα παραγαγεῖν δυνάμεις
καί εὐθύς παρείστησαν ὑμνοῦσαί μου τό κράτος,
Σύ κάτω δέ καθήμενος αὐτοῦ, ἐν ἐξορίᾳ,
ὅπου πάντες πεπτώκασιν οἱ πρῶτοι παραβάται,
ὅ τε Ἀδάμ καί σύν αὐτῷ Εὔα, ἡ σή προμήτωρ,
καί ὁ κακός διάβολος, ὁ τούτους ἀπατήσας,
ὅπου τό σκότος τό βαθύ, ὅπου λάκκος ὁ μέγας,
ὅπου ὄφεις οἱ δάκνοντες ὑμῶν ἀεί τάς πτέρνας,
ὅπου τό θρῆνος, τό οὐαί, τό ἄπαυστόν τε πένθος,

ὅπου στένωσις ἅπασα, μέριμνά τε καί λύπη,
θάνατος ἅμα καί φθορά πάντας ὑμᾶς κατέχει,
πῶς ἀμεριμνεῖς, πῶς ἀμελεῖς, εἰπέ μοι;
Πῶς οὐ φροντίζεις τῶν κακῶν, ὧν ἔπραξας ἐν κόσμῳ,
καί μόνην τήν μετάνοιαν περί πολλοῦ ποιεῖσαι
καί σπουδάζεις ἀληθινήν ἐπιδείξασθαι ταύτην
καί ἐρωτᾷς περί αὐτῆς ἐν πολλῇ παρακλήσει
καί ἀκριβῶς ἀνερευνᾷς, πῶς αὐτήν κατορθώσῃς,
ὅπως ἰσχύσῃς δι’ αὐτῆς ἐμῇ φιλανθρωπίᾳ
λαβεῖν μεγάλην ἄφησιν τῶν σῶν ἀνομημάτων;
Ἀλλά ταύτην καταλιπών ζητεῖς τά ὑπέρ φύσιν,
ἐρευνᾷς τά ἐν οὐρανοῖς, μᾶλλον δέ οὐδέ ταῦτα,
ἀλλά ἐμοῦ τοῦ οὐρανόν, ὡς εἴρηται, καί πάντα
παραγαγόντος ὡς οὐδέν, ἐξερευνᾷς τήν φύσιν
καί βούλει τά περί ἐμοῦ, ὡς οὐδείς οἶδεν ἄλλος,
μανθάνειν· ὤ τοῦ θαύματος, ὤ πρόθεσις ἀνθρώπου!
Εἰ γάρ καί ἐμεμψάμην σε, ἀλλ’ ἐπαινέσω πάλιν,
ὅτι καί σύ ἔργον ἐμόν καί ποίημα ὑπάρχεις.
Πῶς ἀπό γῆς, ἀπό πηλοῦ, ἀπό χοός ἐπλάσθης
καί ἐν αὐτῇ κρατούμενος καί μετ’ αὐτῆς διάγων
πάντα οὐδέν λογίζῃ, ἀλλ’ ὡς σκιάν ἡγεῖσαι,
καί παρατρέχεις ἅπαντα καί ἐμέ ζητεῖς μόνον;
Περί ἐμοῦ θέλεις λαλεῖν, δι’ ἐμέ διηγεῖσθαι
καί βλέπειν με, εἰ δυνατόν, διά παντός τοῦ βίου
καί μήτε ὕπνου γεύεσθαι, βρώσεως, πόσεώς τε
ἤ ἐνδύματος σώματος τό καθόλου φροντίζειν.
Ἀλλ’ ὥσπερ δένδρα καθ’ ὁδόν ἱστάμενα καί ξύλα
οὕτως λογίζῃ ἅπαντα τά ἔνδοξα τοῦ κόσμου,
καί παρατρέχεις ὡς οὐδέν ἐν τῇ ὁδῷ τοῦ βίου,
μηδέ περιστρεφόμενος ὄμματι διανοίας
μηδέ ψυχῆς τούς ὀφθαλμούς ἐῶν πρός ταῦτα βλέψαι,
ἀλλ’ ἐμέ φαντάζεσαι καί μέμνησαί μου μόνου
καί ἀγαπᾷς με ὡς οὐδείς τῶν μετά σοῦ συνόντων.
Τίς γάρ μου τῷ ὀνόματι γάννυται τήν καρδίαν
καί διεγείρεται εὐθύς πρός ἀγάπην ἤ πόθον;
Τίς ἀκούσας τήν μνείαν μου πολλάκις λαλουμένην
ἐδάκρυσεν ἀπό ψυχῆς ἐνθυμηθείς με μόνον;
Τίς δέ τούς θείους λόγους μου ἤ τίς τάς ἐντολάς μου
μετά σπουδῆς ἐζήτησε μαθεῖν τε καί φυλάξαι;
Τίς ἐλογίσθη με ὡς σύ Θεόν ἐπάνω πάντων
καί ἐπεθύμησεν εὐθύς ἐμοί μόνῳ δουλεύειν

καί διά τοῦτο καί γονεῖς καί ἀδελφούς καί οἶκον,
γῆν τε ὁμοῦ καί συγγενεῖς καί γείτονας καί φίλους
οὕτως παρελογίσαντο καί οὕτως μοι προσῆλθεν,
ὡς μηδέ θεασάμενος ποτέ τινα ἐκ τούτων,
μηδέ γνωρίσας ἐπί γῆς ἄνθρωπον ἐν τῷ κόσμῳ,
ἀλλ’ ὥσπερ ξένην ἐπιβάς χώραν τινά καί πόλιν
ἑτερογλώσσους ἔχουσαν πάντας τε καί βαρβάρους,
οὕτως ἐν τοῖς συνήθεσι γνωρίμοις τε καί φίλοις,
ἰδίοις τε καί ἄρχουσι καί πλουσίοις τοῦ κόσμου
διάγειν καί διακεῖσθαι μέσον τούτων τυγχάνων;
Ἀλλά ψιλά ταῦτα λεγόμενα καί μικρά ἀναισθήτοις,
μεγάλα δέ καί ὑψηλά ἐμοί ἐπόπτῃ τούτων.
Τίς τῶν μεγάλων ἐπί γῆς ἐξουσιῶν καί θρόνων
ἤ τῶν λεγόντων δι’ ἐμοῦ ἄρχειν καί βασιλεύειν
ἤ τῶν ἐκπροσωπούντων μου τούς θείους ἀποστόλους
τοῦτο ἤ ἐνενόησεν ἤ ἴσχυσε φυλάξαι,
ἵν’ ἐν καιρῷ τηρήσεως ἐντολῆς μου καί νόμου
ὡς ἕνα βλέπει ἅπαντας, συγγενεῖς τε καί ξένους,
πλουσίους, πένητας ὁμοῦ, ἐνδόξους καί ἀδόξους,
τούς δέ γε δυνατούς ἄρα μετά εὐτελεστέρων;
Τίς ὁ δικάσας ἀπαθῶς, λεῖα βλέπων ἐν τούτοις;
Ταῦτα ψυχήν εἰ εὕροιμι φυλάξασαν ἐν κόσμῳ,
ἐν τῇ παρούσῃ μάλιστα γενεᾷ καί ἡμέρᾳ,
ἴσα τῶν ἀποστόλων μου καί προφητῶν δοξάσω,
καί συγκαθήσει μετ’ ἐμοῦ ἐν τῇ ἐμῇ ἐλεύσει,
κρινεῖ γάρ ὡς ἐπί τῆς γῆς δικαίως ἄν καί τότε
καί δόξαν ἀπενέγκηται κριτοῦ νεκρῶν καί ζώντων.
Ταῦτα καλόν τό ἐκζητεῖν καί τά λοιπά σύν τούτοις
καί τηρεῖν, ὅση δύναμις, καί ἀκριβῶς φυλάττειν·
καί τήν ἐμήν μή ἐκζητεῖν φύσιν, υἱέ ἀνθρώπου,
μηδέ τάς ἐνεργείας μου, Πνεύματος τοῦ Ἁγίου,
ὅπως δείκνυται ἥλιος, ὅπως ὁρᾶται ἄστρον
καί μακρόθεν που φαινόμενον καί ὑπερβαῖνον ὄρη,
ἐκ δέ τῷ ἀποκρύπτεσθαι ἀπό τῶν ὀφθαλμῶν σου,
θλῖψιν ἀπαραμύθητον προξενοῦν σοι καί λύπην,
καί ἐν τῷ σέ λογίζεσθαι μηκέτι σοί ὀφθῆναι
ἔνδοθεν εὑρισκόμενον ἐν τῇ σῇ καρδίᾳ
καί ἔκπληξίν σοι καί χαράν νέμον ἀπροσδοκήτως·
μηδ’ ὅτι φλόξ σοι δείκνυται, αἴγλη καί πῦρ ὁρᾶται,
θαυμάζῃς ἤ ἐξερευνᾷς, οὐ γάρ καλόν σοι τοῦτο!
Φῶς οὖν με εἶναι πίστευε ἀσχημάτιστον πάντῃ,

ἁπλοῦν ὅλον, ἀσύνθετον, ἀμέριστον τῇ φύσει,
ἀνεξερεύνητον ὁμοῦ, προσιτόν ἀπροσίτως·
βλέπομαι γάρφ ὡς ἀληθῶς, δείκνυμαι φιλανθρώπως
κατά τό ἐνεχόμενον ἑκάστου τῶν ἀνθρώπων
μετασχηματιζόμενος· οὐκ ἐγώ τοῦτο πάσχω,
ἀλλ' οἱ ὁρῶντες οὕτως με βλέπειν καταξιοῦνται.
Ἄλλως γάρ οὐκ ἰσχύουσιν οὐδέ πλέον χωροῦσιν
καί διά τοῦτο οἱ αὐτοί ποτέ μέν καθορῶσιν
ἥλιον, ὅταν ἔχωσι τόν νοῦν κεκαθαρμένον,
ποτέ δέ ἄστρον, ὅταν ὑπό τόν γνόφον ἄρα
καί τήν νύκτα τοῦ σώματος εὑρεθήσονται τούτου.
Πῦρ δέ καί αἴγλην ποιεῖ με τό ζέον τῆς ἀγάπης.
Ὅταν γάρ ἀναφθῇ ἐν σοί ἄνθραξ ὁ τῆς φιλίας,
τότε κἀγώ τό πρόθυμον ὁρῶν σου τῆς καρδίας
εὑρίσκομαι ἑνούμενος αὐτῷ καί φῶς παρέχων
καί ὥσπερ δεικνύμενος, ὁ τό πῦρ λόγῳ κτίσας.
Αἱ ψυχικαί γάρ ἀρεταί ὑπόκεινται ὡς ὕλη,
ἐν αἷς περιδρασσόμενον φῶς τοῦ Πνεύματος θεῖον
κατά τό ὑποκείμενον τῆς ὕλης καί καλεῖται·
ἴδιον γάρ οὐ κέκτηται ὄνομα ἐν ἀνθρώποις.
Ὅταν οὖν κατανύσσηται ἄνθρωπος καί δακρύῃ,
τότε καί τοῦτο λέγεται ὕδωρ, καί γάρ καθαίρει,
τοῖς δάκρυσιν ἑνούμενον πάντα ῥύπον ἐκπλύνει.
Ὅτε δέ σβέσῃ τόν θυμόν τῆς καρδίας τό πένθος
τῇ συνεργείᾳ τῇ αὐτοῦ, ὠνόμασται πρᾳότης·
πάλιν δέ ἀναπτόμενος κατά τῆς ἀσεβείας
τοῦτο γίνεται δι' αὐτοῦ, ὅπερ ζῆλος καλεῖται,
εἰρήνη δ' αὖθις καί χαρά λέγεται καί χρηστότης,
ὅτι καί τά ἀμφότερα δωρεῖται τῷ πενθοῦντι
καί ὡς πηγήν βλύζειν ποιεῖ τήν χαράν ἐν καρδίᾳ.
Ἐξ ἧς πᾶσα συμπάθεια καί ἐλεημοσύνη
ἐκχεῖται ἔξω ῥέουσα ἀπό ψυχῆς τοῖς πᾶσι,
μάλιστα τοῖς μετανοεῖν θέλουσι καί σωθῆναι·
καί γάρ τούς πάντας ἐλεεῖ, τούτοις δέ καί συντρέχει
καί συνεργεῖ καί συγκροτεῖ καί συμπάσχει ἐν πᾶσιν,
ἑνούμενος κατά ψυχήν αὐτῶν τῇ προαιρέσει
καί τεκμαιρόμενος νοΐ κάλλος τῆς μετανοίας
γνησιεστέραν κέκτηται πρός αὐτούς τήν ἀγάπην.
Ταπείνωσις δέ λέγεται, ὡς τά τοῦ κόσμου πάντα,
ἀλλά καί τήν ψυχήν αὐτήν καί τό ἴδιον σῶμα
καί πρᾶξιν πᾶσαν ὡς οὐδέν ἡγεῖσθαι γινομένην

ἄνθρωπον τόν γευσάμενον τῆς γλυκύτητος τούτου
καί κατιδόντα τοῦ φωτός τό ἀμήχανον κάλλος.
Ταῦτα εἰδώς μηκέτι μου περί τοιούτων λέγειν
ἤ ἑρμηνεύειν σοι λεπτομερῶς δεηθῇς ὅλως!
Φύσει γάρ ἄφθεγκτά εἰσιν, ἀνεκλάλητα πάντῃ,
ἀνθρώποις τε ἀπόρρητα, ἄγνωστα καί ἀγγέλοις
καί κτιστῇ πάσῃ ἄλλῃ τινί οὐσίᾳ ὅλως ἀκατανόητα.
Γνῶθι δέ μόνον τά σαυτοῦ ἤ σαυτόν μᾶλλον πλέον
καί τότε γνώσεις, ὡς ἐγώ ἀκατάληπτος πάντῃ
μόνοις συνών, μόνους φιλῶν τούς ἐμέ ἀγαπῶντας
καί τῶν ἐμῶν ἀεί θερμῶς ἐντολῶν μεμνημένους
καί μηδαμῶς προσκρίνοντας αὐτῶν τι τῶν ῥεόντων·
οἷς ὁμιλῶν συνέσομαι νῦν καί εἰς τούς αἰῶνας,
ἀμήν.

## ΚΓ'. Περί τῆς ἀκαταλήπτου καί ἀπεριγράπτου Θεόητος ἀκριβής θεολογία· καί ὅτι ἀπερίγραπτος οὖσα ἡ θεία φύσις οὔτε ἐντός οὔτε ἐκτός ἐστι τοῦ παντός, ἀλλά καί ἐντός καί ἐκτός ὡς τῶν ὅλων αἰτία· καί ὅτι μόνον κατά νοῦν τῷ ἀνθρώπῳ ληπτόν ἀλήπτως τό Θεῖον ὡς τοῖς ὀφθαλμοῖς αἱ τοῦ ἡλίου ἀκτῖνες.

Ὦ Τριάς, ἡ κτίστις πάντων,
ὦ Θεέ μου μόνῳ,
ἀπερίγραπτε τῇ φύσει,
ἀκατάληπτε τῇ δόξῃ,
ἀνερμήνευτε τοῖς ἔργοις,
ἀναλλοίωτε οὐσίᾳ.
Ὦ ζωή, Θεέ, τῶν πάντων,
ὦ καλῶν ἁπάντων ἄνω,
ὦ ἀρχή ἀνάρχου λόγου,
ὑπεράναρχε Θεέ μου,
ὅς οὐ γέγονας οὐδέπω,
ἀλλά ἦς ἀρχήν μή ἔχων.
Πῶς εὑρήσω τόν ἐντός με
περιφέροντά σε ὅλον;
Τίς μοι δώσει κατασχεῖν σε,
ὅν ἐντός μου περιφέρω;
Πῶς καί ἔξω τῶν κτισμάτων,
πῶς καί ἔσω τούτων πάλιν
καί οὐδ' ἔσω ἦς οὐδ' ἔξω;
Ὡς μέν ἄληπτος οὐκ ἔσω,
ὡς ληπτός δ' ἔξω πέλω
ἀπερίγραπτος δ' ὑπάρχων
οὔτε ἔσω οὔτε ἔξω.
Τίνος γάρ ὁ κτίστης ἔσω,
ποίου δέ, εἰπέ μοι, ἔξω;
Πάντα ἔνδον περιφέρω
ὡς συνέχων πᾶσαν κτίσιν·
πάντων ἔξω δέ τυγχάνω,
πάντων ὤν κεχωρισμένος.
Ὁ γάρ κτίστης τῶν κτισμάτων

πῶς οὐκ ἔσται πάντων ἔξω;
Ὁ πρό πάντων δέ ὑπάρχων
καί πληρῶν τό πᾶν ὡς πλήρης,
πῶς οὐκ ἔσομαι καί κτίσας
ἐν τοῖς κτίσμασί μου πᾶσι;
Πανταχοῦ καί γάρ ὑπῆρχον
ἐν τῷ πᾶν ὡς ὑπερπλήρης
καί πληρῶ τά πάντα κτίσας.
Νόει ἅπερ φθέγγομαί σοι!
Οὐ μετέστην τόπου κτίσας,
οὐδ’ ἡνώθην τοῖς κτισθεῖσιν·
ἀπερίγραπτον δέ ὄντα
ποῦ ποτέ με φήσεις εἶναι;
Οὐ σωματικῶς σοι λέγω,
ἀλλά νοητῶς μοι νόει.
Ζητῶν δέ πνευματικῶς με
ἀπερίγραπτον εὑρήσεις,
οὐδαμοῦ δ’ αὖ κατά τοῦτο,
οὐδέ ἔσω οὐδέ ἔξω,
εἶ καί πανταχοῦ καί ἐν πᾶσιν
ἀπαθῶς καί ἀσυγχύτως·
κατά τοῦτο δ’ἔξω πάντων,
ὅτι καί πρό πάντων ἤμην.
Ἀλλ’ ἀφήσωμεν τήν κτίσιν
ὅλην ταύτην ἥνπερ βλέπεις,
ὅτι λόγου οὐ μετέχει
καί δικαίως πρός τόν λόγον
οἰκειότητα οὐκ ἔχει,
νοῦ παντός ἐστερημένη.
Δῶμεν οὖν οἰκεῖον ζῷον
πρός τόν λόγον τῆς σοφίας,
ἵν’ ὡς νοῦς πρός τήν σοφίαν
καί ὡς λόγος πρός τόν λόγον
συγγενῶς τε καί οἰκείως ἔχον μᾶλλον
σχῇ καλῶς καί κοινωνίαν
τό κτισθέν μετά τοῦ κτίστου,
ὡς τοῦ κτίστου κατ’ εἰκόνα
καί ὁμοίωσιν ὑπάρχον.
Ποῖον τοῦτο λέγω ζῷον;
Ἄνθρωπόν σοι πάντως εἶπον
λογικόν ἐν τοῖς ἀλόγοις

ὡς διπλοῦν ἐξ ἑκατέρων
αἰσθητῶν καί νοουμένων.
Οὗτος μέσον τῶν κτισμάτων
τόν Θεόν γινώσκει μόνος,
τούτῳ μόνῳ ὁ Θεός δέ
κατά νοῦν ληπτός ἀλήπτως,
καθορᾶται ἀοράτως
καί κρατεῖται ἀκρατήτως.
Πῶς ληπτῶς καί πῶς ἀλήπτως,
πῶς δέ καί μικτῶς ἀμίκτως;
Πῶς; εἰπέ μοι, φράσον ταῦτα.
Πῶς τά ἄφραστά σοι φράσω,
πῶς τά ἄρρητά σοι εἴπω;
Ὅμως πρόσεχε καί λέξω·
λάμπει ἥλιος ἀκτῖνας·
αἰσθητόν τοῦτον σοί λέγω,
τόν γάρ ἄλλον οὔπω εἶδες·
τάς γοῦν τούτου βλέπεις ἀκτῖνας
καί ληπταί εἰσι τοῖς ὀφθαλμοῖς σου.
Τό δέ φῶς τῶν ὀφθαλμῶν σου
συνημμένον ἦν τοῖς ὀφθαλμοῖς σου·
ἄρτι λέξον ἐρωτῶντι·
Τό οὖν φῶς σου ταῖς ἀκτῖσι
πῶς ὑπάρχει συνημμένον,
ἐν ἀμίκτῳ μίξει ἔστιν
ἤ συγκέχυνται ἀλλήλοις;
Οἶδα· ἄμικτα καί λέξεις
καί μικτά ὁμολογήσεις
καί ληπτόν τό φῶς μοι εἴπῃς,
ὀφθαλμῶν ἀνεῳγμένων
καί καλῶς κεκαθαρμένων.
Τό δ’ αὐτό, εἰ σύ καμμύσῃς,
ἄληπτον εὐθύς ὑπάρχει,
τοῖς τυφλοῖς οὐ παραμένει,
σύνεστι δέ τοῖς ὁρῶσιν.
Ὅτε δέ δύνει, καί τούτους
ὡς τυφλούς καταλιμπάνει -
ἐν νυκτί καί γάρ ἀνθρώπων
ὀφθαλμοί οὐ καθορῶσιν - ,
ἡ ψυχή οὖν διά τούτων
παρακύπτουσα φῶς βλέπει,

τοῦ φωτός δέ μή παρόντος
ὡς ἐν σκότει πάντως ἔστιν,
ἀνατέλλοντος δέ τούτου
τότε βλέπεις φῶς ἐν πρώτοις,
ἐν φωτί δέ καί τά πάντα,
τό δέ φῶς ἔχων οὐκ ἔχεις·
ἔχεις γάρ, ὅτι καί βλέπεις,
κατασχεῖν δέ μή ἰσχύων
ἤ λαβεῖν αὐτό χερσί σου.
Ἔχεις ὅλως οὐ δοκεῖς τι,
ἐφαπλοῖς τάς σάς παλάμας,
λάμπει ἥλιος ἐν ταύταις
καί κρατεῖν αὐτόν νομίζεις·
τοῦτο λέγω, ὅτι ἔχεις.
Σφίγγεις αἴφνης πάλιν ταύτας
καί ἀκράτητος ὑπάρχει·
οὕτως πάλιν οὐδέν ἔχεις.
Τά ἁπλᾶ ἁπλῶς κρατοῦνται,
κρατητῶς οὐ σφίγγονται δέ,
εἰ καί σῶμα γάρ τῇ φύσει
τοῦτο δή τό φῶς νοεῖται
ὁρωμένου τοῦ ἡλίου,
πλήν καί ἄτμητον ὑπάρχει.
Πῶς οὖν τοῦτον εἰς οἰκίαν
εἰσαγάγεις σήν, εἰπέ μοι;
Πῶς δέ κατασχεῖν ἰσχύσεις,
πῶς τόν ἄληπτον κρατήσεις,
πῶς δέ τοῦτον ὅλον κτήσῃ,
μερικῶς ἤ καί καθόλου;
Πῶς δέ λάβεις τούτου τμῆμα
καί ἐν κόλπῳ κατακρύψεις;
Πάντως οὐδαμῶς, μοί εἴπῃς,
δυνατόν ποτε γενέσθαι!
Εἰ οὖν τούτου, ὅνπερ λόγῳ
καί προστάγματι ὁ κτίστης
ὡς λαμπάδα παρεισῆξε
φαίνειν πᾶσι τοῖς ἐν κόσμῳ,
ἐξειπεῖν ἤ ἐρευνῆσαι
ὅλως φύσιν οὐκ ἰσχύεις,
πῶς καί σῶμα οὗτος ἔστιν,
οὐκ ἀσώματος γάρ πάντως;

Πῶς ληπτός ἐστιν ἀλήπτως,
πῶς καί μίγνηται ἀμίκτως,
πῶς ἀκτῖσι καθορᾶται
καί φωτίζει σε ἐν τούτοις,
ὅν εἰ καί τρανῶς προσβλέψεις,
ὅλον μᾶλλον ἐκτυφλοῖ σε;
Ἀλλά καί τῶν ὀφθαλμῶν σου
ἀπορεῖς τό φῶς εἰπεῖν μοι,
πῶς φωτός ἑτέρου δίχα
ὅλως βλέπειν οὐκ ἰσχύει
καί παντί φωτί ἑνοῦται
καί ὡς φῶς τά πάντα βλέπει.
Ἀπαθές δέ μένει πάντως,
διαιρούμενον τῶν φώτων
καί ἑνούμενον ὡσαύτως
φῶς φωτί ὅλον τυγχάνει·
καί ἡ ἕνωσις ἀφράστως,
ἀσυγχύτως τούτων πέλει,
ἡ διαίρεσις δ’ ὁμοίως
μή καταλαμβανομένη.
Πῶς τοῦ κτίστου τῶν ἁπάντων
ὅλως φύσιν ἐρευνῆσαι,
ἐνεργείας τούτου πάλιν
πῶς μοι λέγεις ἑρμηνεῦσαι,
πῶς εἰπεῖν μοι, πῶς ἐκφράσαι,
πῶς δέ λόγῳ παραστῆσαι;
Πίστει πάντα παραδέχου!
Πίστις γάρ οὐκ ἀμφιβάλλει,
πίστις ὅλως οὐ διστάζει,
πλήν, ὡς λέγω, πάντα ἔστιν.
Ἐναργῶς σοι πάντα λέγω·
οὐδαμῶς τι τῶν ἁπάντων
ἡ δημιουργός τῶν ὅλων ἔστιν
φύσις θεία καί σοφία,
οὐδ’ ἐν πᾶσι· πῶς γάρ ἔσται
τό οὐδέν ὑπάρχον πάντων,
αἴτιον δέ ὄν τῶν πάντων;
πανταχοῦ ἐστι καί ἐν πᾶσι
καί πληροῖ τά πάντα ὅλως
κατ’ οὐσίαν, κατά φύσιν,
καθ’ ὑπόστασιν ὡσαύτως.

Πανταχοῦ Θεός ὑπάρχει
ὡς ζωή ζωήν παρέχων·
τί γάρ ὅλως καί παρήχθη,
ὅ αὐτός οὐ παρεισῆξε;
Μέχρι κώνωπός μοι νόει
καί ἱστοῦ τοῦ τῆς ἀράχνης!
Πόθεν γάρ τοσοῦτον ταύτῃ
χορηγεῖται νῆμα, λέγε;
Ἤ οὐ νήθει, ἀλλ’ ἀκόπως
καθ’ ἑκάστην ἐξυφαίνει,
ἁλιέων σοφωτέρα,
ἰξευτῶν τε πάντων πέλει,
ἐξαπλοῦσα τούς ἱμάντας
καί συνδοῦσα ἐκ μακρόθεν
καί ἐσχάτως μέσον τούτων
ὥσπερ δίκτυον ὑφαίνει
εἰς ἀέρα τήν παγίδα·
καί αὐτή καθεζομένη
ἀπεκδέχεται τήν θήραν,
εἴ που ποθέν παρεμπέσαν
ἁλισθήσεται πτηνόν τι.
Ὁ οὖν μέχρι τούτων πάντων
τῇ προνοίᾳ συνδιήκων
πῶς οὐκ ἔστιν ἐν τοῖς πᾶσι,
πῶς οὐκ ἔστι μετά πάντων;
Ναί, τῶν πάντων μέσον ἔστι,
ναί, καί ἔξω πάντων ἔστιν,
ναί, καί φῶς αὐτός ὑπάρχει
νοητόν, ψυχάς φωτίζον,
ναί, καί ἄδυτος ὑπάρχει·
ποῦ κρυβῇ πληρῶν τά πάντα;
Εἰ δέ σύ τοῦτον οὐ βλέπεις,
γνῶθι σέ τυφλόν ὑπάρχειν
καί φωτός ἐν μέσῳ σκότους
ὅλον σε πεπληρωμένον.
Καθορᾶται γάρ ἀξίοις·
οὐχ ὁρᾶται δέ ὁ πλήρης,
ἀλλ’ ὁρᾶται ἀοράτως,
ὡς ἀκτίς ἡλίου μόνη,
καί ληπτός αὐτοῖς τυγχάνει,
ἄληπτος ὤν κατ’ οὐσίαν.

Ἡ ἀκτίς μέν καθορᾶται,
ἥλιος τυφλοῖ δέ μᾶλλον,
καί ἀκτίς αὐτοῦ ληπτή σοι
ὥσπερ εἴπομεν, ἀλήπτως.
Κατά τοῦτο τοίνυν λέγω·
ὅπερ ἔχων, τίς μοι δώσει;
Ὅλον τοῦτο δηλονότι
τίς, ὅ βλέπω, ὑποδείξει;
Τήν ἀκτῖνα καί γάρ βλέπω,
τόν δέ ἥλιον οὐ βλέπω.
Ἡ δ’ ἀκτίς οὐχ ἥλιός σοι
καί δοκεῖ καί καθορᾶται;
Ταύτην βλέπων ὅλον βλέψαι
τόν γεννήτορα ποθῶ γε·
Οὕτως βλέπων λέγω πάλιν·
τίς μοι δείξει, ὅνπερ βλέπω;
Τάς ἀκτῖνας ἔχων αὖθις
ὅλας ἔνδον τῆς οἰκίας,
λέγω πάλιν· ποῦ εὑρήσω
τήν πηγήν τήν τῶν ἀκτίνων;
Ἡ δ’ ἀκτίς πηγή δ’ αὖ ἄλλη
ἐν ἐμοί σαφῶς ὑπάρχει·
ὤ θαῦμα θαυμάτων ξένον!
Ἄνω ἥλιος ἐκλάμπει ,
ἡ δ’ ἀκτίς ἡλίου αὖθις
ἄλλος ἥλιος ἐν γῆς μοι
φαίνεται καί καταυγάζει·
ὅμοιος ὄντως τοῦ πρώτου
καί ὁ δεύτερος ὑπάρχει.
Τοῦτον ἔχων λέγω ἔχειν,
τόν δέ ἄλλον μου μακρόθεν
καθορῶν ὡσαύτως κράζω·
Τίς μοι δώσει, ὅνπερ ἔχω;
Οὐ γάρ τέτμηνται ἀλλήλων,
οὐ χωρίζονται δέ ὅλως,
καί διΐστανται ἀφράστως.
Πρός τόν ὅλον πόσον ἔχω;
Κόκκον ἕνα ἤ σπινθῆρα!
Καί ζητῶ λαβεῖν τό ὅλον,
εἰ καί ὅλον πάντως ἔχω.
Πῶς τό ὅλον, τί μοι λέγεις;

Ὡς πρός ἄφρονας προσπαίζεις·
παῦσαι παίζειν με, μή λέγε·
οὔ, ἀλλά τό ὅλον ἔχω,
εἰ μηδέν μηδόλως ἔχω!
Πῶς ἤ τί λαλεῖς, θαυμάζω.
Ἄκουσον καί πάλιν λέξω·
πέλαγός μοι νόει μέγα
καί θαλάσσας θαλασσῶν τε,
ἄβυσσον ἀβύσσων πάλιν
κατά νοῦν ὑποζωγράφει.
Εἰ οὖν ἵστασαι πρός τούτοις,
τῇ ἀκτῇ τῶν θαλασσίων,
πάντως ἄν καλῶς μοι εἴποις
καθορᾶν τό ὕδωρ ἄρα,
καί μή  βλέπων ὅλον ὅλως.
Τό γάρ ὅλον, πῶς θεάσῃ,
ἄπειρον τοῖς ὀφθαλμοῖς σου
ἄσχετιν καί ταῖς χερσί σου;
Πάντως, ὅσον βλέπεις, βλέπεις·
εἰ δέ ἔροιτό σε τις δή·
Βλέπεις ὅλας τάς θαλάσσας;
Οὐδαμῶς, ἀποκριθήσῃ.
Πάσας δέ κρατεῖς παλάμῃ;
Οὔ, λέξεις, πῶς γάρ ἰσχύω;
Εἰ δέ ἔροιτό σε πάλιν·
Οὐδέ ὅλως ταύτας βλέπεις;
Λέγεις· Ναί, μικρόν τι βλέπω
καί κρατῶ θαλάσσης ὕδωρ.
Ὅσα οὖν τήν χεῖρα ἔχεις
ἐν τοῖς ὕδασι κρατοῦσαν,
ὅλας ἔχεις τάς ἀβύσσους
συνημμένας τῇ χειρί σου,
οὐ γάρ τέτμηνται ἀλλήλων
καί οὐ πάσας, ἀλλ’ ὀλίγον.
Πρός οὖν πάσας, πόσον ἔχεις;
Ὡς ῥανίδα μίαν εἴπῃς.
Τάς δέ πάσας σύ οὐκ ἔχεις,
καίτοι συνημμένας ἔχεις.
Οὕτω γοῦν κἀγώ σοι λέγω,
ὅτι ἔχων οὐδέν ἔχω
καί πτωχός εἰμι καί πλοῦτον

ἀποκείμενον ὁρῶ μοι.
Ὅτε χορτασθῶ, λιμάσσω,
ὅτε δέ πένομαι, πλουτῶ,
ὅτε πίνω, καί διψῶ,
καί γλυκύ τό πόμα λίαν·
μία γεῦσις πᾶσαν δίψαν
μυριάδων καταπαύει,
καί διψῶ ἀεί τοῦ πίνειν
ὑπέρ κόρον πάντως πίνων.
Σχεῖν ἐπιθυμῶ τό ὅλον
καί πιεῖν, εἰ οἷόν τε,
πάσας τάς ἀβύσσους ἅμα·
ἀδυνάτου τούτου ὄντος
πάντοτε διψεῖν σοι λέγω,
καίπερ ἐν τῷ στόματί μου
πάντοτε τό ὕδωρ ἔστι
ῥέον, βλύζον, περικλύζον.
Ἀλλά βλέπων τάς ἀβύσσους
οὐ δοκῶ τι πίνειν ὅλως·
σχεῖν ἐπιθυμῶν τό ὅλον,
πλουσίως τε πάλιν ἔχων
ὅλον ὅλως ἐν χειρί μου,
πάντοτε πτωχός ὑπάρχω,
μετά τοῦ μικροῦ τό ὅλον
συνημμένον πάντως ἔχων.
Θάλασσα οὖν τῇ σταγόνι,
ἄβυσσοι δέ πάλιν ταύτῃ
τῶν ἀβύσσων συνημμέναι·
μίαν οὖν σταγόνα ἔχων
συνημμένας πάσας ἔχω.
Ἡ σταγών δέ πάλιν αὕτη,
ἥνπερ λέγω σοι κεκτῆσθαι,
ἄτμητος ὑπάρχει ὅλη,
ἀναφής, ἄληπτος πάντῃ,
ἀπερίγραπτος ὡσαύτως,
δυσθεώρητος εἰς ἅπαν,
ἥ Θεός ὅλος ὑπάρχει.
Εἰ οὖν οὕτω καί τοιαύτη
ἔστι μοι ῥανίς ἡ θεία,
ὅλως ἔχειν τί δοκήσω;
Ὄντως ἔχων οὐδέν ἔχω.

Ἄλλως πάλιν σοι ταῦτα λέξω·
Ἥλιος ἀφ’ ὕψους λάμπει
ἐπιβαίνων ταῖς ἀκτῖσι·
μᾶλλον δέ κρατῶ ἀκτῖνα,
ἀναβαίνω τρέχων ἄνω
πλησιάσαι τῷ ἡλίῳ.
Ὅτε δέ καλῶς ἐγγίσω
καί δοκήσω τοῦ προσψαῦσαι,
διαφεύγει μου τάς χεῖρας
ἡ ἀκτίς καί εὐθύς τυφλοῦμια
καί ἐκπίπτω ἀμφοτέρων,
τοῦ ἡλίου καί ἀκτίνων.
Ἀπό ὕψους οὖν ἐκπίπτω,
κάθημαι καί πάλιν κλαίω
καί ζητῶ τήν πρίν ἀκτῖνα.
Οὕτως τοίνυν ἔχοντός μου,
τῆς νυκτός ὅλον τόν ζόφον
αὕτη διασχίσασά μοι
ὡς σχοινίον ἀπό ὕψους
οὐρανίου καταβαίνει.
Δράσσομαι συντόμως ταύτης,
ὡς ληπτήν σφίγγω κρατῆσαι,
καί ἀκράτητος ὑπάρχει·
ὅμως δέ ἀλήπτως ταύτην
καί κρατῶ καί ἀναβαίνω.
Οὕτως οὖν ἀνερχομένῳ
συνανέρχονται ἀκτῖνες,
οὐρανούς δέ ὑπερβαίνω,
οὐρανῶν τούς οὐρανούς τε,
βλέπω ἥλιον δέ πάλιν
ὑπέρ τούτων ἀνωτέρω.
Εἴτε φεύγει, οὐ γινώσκω,
εἴτε ἵσταται, οὐκ οἶδα·
τέως βαίνω, τέως τρέχω,
τέως φθάσαι οὐκ ἰσχύω.
Ὕψους ὑπερβαίνων δ’ ὕψη,
ὑπέρ ὕψωμά τε ἅπαν
γενομένῳ μοι, ὡς δοκῶ,
ἐκ χειρῶν μου αἱ ἀκτῖνες
σύν ἡλίῳ ἀφαντοῦνται
καί εὐθύς εἰς ᾅδου πτῶμα

καταφέρομαι, ὁ τάλας.
Τοῦτο ἔργον, τοῦτο πρᾶξις
τοῖς πνευματικοῖς ὑπάρχει·
ἄνω κάτω, κάτω ἄνω
ἄπαυστος αὐτοῖς ὁ δρόμος.
Ὅταν πέσῃ, τότε τρέχει,
ὅταν τρέχῃ, ἵσταται δέ.
Ὅλος κάτω κεκλιμένος,
ὅλος ὤν ἄνω τυγχάνει·
περιπολῶν οὐρανούς δέ
ἐμπεδοῦται πάλιν κάτω
καί ἀρχή τοῦ δρόμου τέλος,
τό δέ τέλος ἀρχή πέλει.
Ἀτελής ἡ τελειότης,
ἡ δ' ἀρχή γε πάλιν τέλος·
τέλος πῶς; Ὡς Γρηγόριος
θεολογικῶς εἰρήκει·
Ἔλλαμψις ὑπάρχει
τέλος τῶν ποθούντων πάντων,
καί ἀνάπαυσις ἁπάσης
θεωρίας φῶς τό θεῖον.
Τοῦτο οὖν ἰδεῖν ὁ φθάσας
ἀπό πάντων καταπαύει
καί χωρίζεται κτισμάτων·
τόν γάρ κτίστην τούτων βλέπει.
Ὅν ὁ βλέπων ἔξω πάντων
μετά μόνου μόνος ἔστι
καί οὐδέν τῶν πάντων βλέπει
ὁρατῶν ἤ νοουμένων·
μόνην τήν Τριάδα βλέπει.
Τά δ' ἐν ταύτῃ σιωπάσθω,
ἀμυδρῶς καί γάρ ὁρῶνται,
καί ποσῶς κατανοοῦνται.
Κατεπλάγης οὖν ἀκούσας
τά ἐντός τῶν ὁρωμένων;
Εἰ δέ καταπλάγης ταῦτα,
πῶς οὐ μυθολόγος δόξω
τά ἐκτός διατρανῶν σοι;
Ἀνεκλάλητα γάρ πάντῃ
καί ἀνέκφραστα τά θεῖα
καί τά ἐν αὐτοῖς εἰς ἅπαν,

κἄν ὁ λόγος πως ἐκ πόθου
ἐκβιάζεται τοῦ λέγειν
περί πραγμάτων θείων καί ἀνθρωπίνων.
Ἀλλ’ ἐάσας οὖν τά θεῖα
καί εἰπών τι τῶν ἰδίων
ὑποδείξω σοι τῷ λόγῳ
τήν ὁδόν καί καταπαύσω.
Γνῶθί σε διττόν ὑπάρχειν
καί διττούς ἔχεις τούς ὦπας,
αἰσθητούς καί νεορούς τε,
ὡς διττῶν ἡλίων ὄντων
καί διττοῦ φωτός ὡσαύτως,
αἰσθητοῦ καί νοητοῦ τε,
οὕς εἰ βλέπεις, ὡς ἐκτίσθης
κατ’ ἀρχάς ἄνθρωπος ἔσῃ.
Εἰ δέ αἰσθητόν μέν βλέπεις,
νοητόν δέ οὐδαμῶς ἥλιον,
ἡμιθνής τυγχάνεις πάντως,
ὁ ἡμιθνής δέ καί νεκρός,
ἀνενέργητος εἰς πάντα.
Εἰ γάρ ὁ αἰθητῶς μή βλέπων
ἀνενέργητός τις ἔστι,
πόσῳ μᾶλλον ὁ μή βλέπων
τό νοητόν φῶς τοῦ κόσμου
νεκρός ἐστι καί νεκροῦ πλέον;
Ὁ νεκρός ἀναισθητεῖ γε,
ὁ δέ θνήξας ἐν αἰσθήσει,
ὅσην ἕξει τήν ὀδύνην,
μᾶλλον δ’ ἔσεται ὡς θνῄσκων
ἐνωδύνως εἰς αἰῶνας.
Οἱ δέ βλέποντες τόν κτίστην
πῶς οὐ ζῶσιν ἔξω πάντων;
Ναί, τῶν πάντων ἔξω ζῶσι
καί εἰσί τῶν πάντων μέσον
καί ὁρῶνται ὑπό πάντων,
οὐχ ὁρῶνται δέ τοῖς πᾶσιν
ἐν αἰσθήσει τῶν παρόντων·
μέσον μέν εἰσι τῶν πάντων,
ὑπέρ αἴσθησιν δέ τούτων
ἔξω γίνονται τῶν πάντων,
τοῖς ἀΰλοις συναφθέντες

αἰσθητῶν ἀναισθητοῦσιν.
Ὀφθαλμοί καί γάρ ὁρῶσιν
ἐν αἰσθήσει δ’ ἀναισθήτῳ.
Πῶς; εἰπέ μοι. - Λέξω τάχος·
ὡς ὁρῶν τό πῦρ οὐ καίῃ,
οὕτως βλέπω ἀναισθήτως.
Σύ τό πῦρ ὁρᾷς, ὁποῖον,
καί τήν φλόγα πάντως βλέπεις,
οὐκ αἰσθάνῃ δέ ὀδύνης,
ἀλλ’ ὑπάρχεις ἔξω τούτου
καί ὁρῶν οὐ κατακαίῃ
ἀναισθήτως ἐν αἰσθήσει,
ἤ πῶς ἄλλως τοῦτο εἴπῃς;
Οὐ γάρ καίῃ ἀναισθήτως,
ἐν αἰσθήσει δ’ ὅμως βλέπεις.
Τό αὐτό μοι νόει πάσχειν
τόν πνευματικῶς ὁρῶντα·
νοῦς γάρ καθορῶν τά πάντα
ἀπαθῶς καί διακρίνει,
οἷον βλέπει κάλλος ὡραῖον,
ἀλλ’ ἐκτός ἐπιθυμίας.
Τό οὖν πῦρ ἐστι τό κάλλος,
ἡ ἀφή ἐπιθυμία·
εἰ μή σύ τοῦ πυρός ἅψῃ,
πῶς ὀδύνης αἰσθανθήσῃ;
Οὐδαμῶς! Ὁ νοῦς δέ πάλιν,
πρίν κακῶς ἐπιθυμήσει,
τόν χρυσόν ὁρῶν ὡσαύτως
ὡς πηλόν προσβλέψει πάντως,
τήν δέ δόξαν οὐχ ὡς δόξαν,
ἀλλ’ ὡς εἶδος φαντασμάτων
εἰς ἀέρα φαινομένων,
καί τόν πλοῦτον ὥσπερ ξύλα
λογιεῖται ἐν ἐρήμῳ
κατακείμενα στιβάδα.
Τί τά πάντα ἐξηγεῖσθαι,
ἑρμηνεύειν τε πειρῶμαι;
Εἰ μή πείρᾳ καταλάβοις,
γνῶναι ταῦτα οὐκ ἰσχύεις.
Ἀπορῶν δέ γνῶναι φύσεις·
Οἴμοι, πῶς οὐκ οἶδα ταῦτα,

οἴμοι, πόσον ἀπολείπω
τῶν καλῶν ἐν ἀγνωσίᾳ!
καί σπουδάσεις ταῦτα γνῶναι,
ἵνα γνωστικός καλῇ γε.
Εἰ γάρ σεαυτόν οὐκ οἶδας,
ποταπός εἶ, ποῖος πέλεις,
πῶς τόν κτίστην ἐπιγνώσῃ,
πῶς πιστός ὀνομασθήσῃ,
πῶς δέ ἄνθρωπος κληθήσῃ
βοῦς ὑπάρχων ἤ θηρίον;
Ἤ ὡς ἄλογόν τι ζῷον
ἤ καί χείρων τούτων ἔσῃ
ἀγνοῶν τόν κτίσαντά σε.
Τίς ἐκεῖνον μή γινώσκων
λογικός εἰπεῖν τολμήσει,
ὅτι ἔστιν; Οὐ γάρ ἔστι!
Πῶς γάρ, ὅς ἐστέρηται τοῦ λόγου;
Ὁ δ᾽ ἐστερημένος λόγου
εἰς ἀλόγου ἔστι τάξιν,
ποιμανθείς δέ ὑπ᾽ ἀνθρώπων
πάντως ἔσται σεσωσμένος·
εἰ δ᾽ οὐ βούλεται, ἀλλ᾽ ὄρει
καί φαράγγοις προσπελάζει,
βρῶμα ἔσεται θηρίων
ὡς ἀπολωλός ἀρνίον.
Ταῦτα πρᾶττε καί μελέτα,
μή παραρρυῇ, τεκνίον!

## ΚΔ'. Δι' ὧν ἐξομολογούμενος ἐν τῷ παρόντι γράφει λόγῳ, δείκνυσι τό βάθος τῆς ἑαυτοῦ ταπεινώσεως, καί προϊών διδάσκει αὐτήν τόν εἰς μέτρον ἐλάσαντα τελειότητος καί ἀξιωθέντα τοιούτων ἐν θεωρίᾳ ἀποκαλύψεων, Παῦλον τόν θεῖον κἀν τούτῳ μιμούμενος, ἁμαρτωλόν ἑαυτόν ἀποκαλοῦντα καί ἀνάξιον τοῦ καλεῖσθαι ἀπόστολον.

Δίδου μοι, Χριστέ, καταφιλεῖν σούς πόδας.
Δίδου μοι τάς σάς κατασπάζεσθαι χεῖρας,
χεῖρας τάς ἐμέ λόγῳ παραγαγούσας,
χεῖρας τάς πάντα κτισάσας ἀκαμάτως.
Δίδου μοι  βλέπειν τό πρόσωπόν σου, Λόγε,
καί ἀπολαύειν τοῦ ἀπορρήτου κάλλους
καί κατανοεῖν καί τρυφᾶν σου τῆς θέας,
θέας ἀρρήτου, θέας τῆς ἀθεάτου,
θέας τῆς φρικτῆς, ὅμως δίδου μοοι λέγειν
τάς ἐνεργείας αὐτῆς, οὐ τήν οὐσίαν.
Ὑπέρ φύσιν γάρ, ὑπέρ ουσίαν πᾶσαν
ἧς ὅλος αὐτός, ὁ Θεός μου καί κτίστης.
Ἡ δέ ἀπαυγή τῆς δόξης σου τῆς θείας
φῶς ἁπλοῦν ἡμῖν, φῶς γλυκύ καθορᾶται,
φῶς ἀποκαλύπτεται, φῶς συνενοῦται
ὅλον, ὡς οἶμαι, ὅλοις ἡμῖν σοῖς δούλοις,
φῶς πνευματικῶς βλεπόμενον μακρόθεν,
φῶς ἐντός ἡμῶν εὑρισκόμενον αἴφνης,
φῶς ὡσεί ὕδωρ βρύον, ὡς πῦρ τε φλέγον
τῆς, ἧσπερ πάντως καθάψεται, καρδίας·
ἐξ οὗπερ ἔγνων προληφθεῖσαν, Σωτήρ μου,
τήν ταλαίπωρον καί ταπεινήν ψυχήν μου
καί φλεγομένην καί κατακαιομένην.
Πῦρ προσλαβόν γάρ φρυγανώδους οὐσίας
πῶς οὐ φλέξειε, πῶς ἄν οὐ καταναλώσῃ,
πῶς οὐκ ἐμποιήσειεν ἀφύκτους πόνους;
Ὅμως ἀνάψαν, δός μοι τοῦ λέγειν, Σῶτερ,
ἄφραστον εἶδος κάλλους ὡραιοτάτου
δείκνυσι καί τέρπει με καί πόθου φλόγα
ἄστεκτον ἐργάζεται· καί πῶς ὑποίσω,

πῶς ὑπενέγκω, πῶς ὅλως δέ βαστάσω,
ἤ πῶς ἐξείπω τό μέγα θαῦμα τοῦτο,
τό γινόμενον ἐν ἐμοί τῷ ἀσώτῳ;
Οὐ γάρ σιωπᾶν ὑποφέρω, Θεέ μου,
καί λήθης βυθοῖς συγκαλύπτειν τά ἔργα
ἅ ἐποίησας καί ποιεῖς καθ’ ἑκάστην
μετά τῶν θερμῶς ἀεί σε ἐκζητούντων
καί μετανοίᾳ πρός σέ καταφευγόντων,
ἵνα μή κἀγώ, ὡς τό τάλαντον κρύψας
δοῦλος πονηρός, κατακριθῶ δικαίως,
ἀλλ’ ἐκκαλύπτων ταῦτα τοῖς πᾶσι λέγω
καί τά περί σοῦ καί τῆς σῆς εὐσπλαγχνίας
γραφῇ παραδίδωμι καί διηγοῦμαι
ταῖς μετέπειτα γενεαῖς, ὦ Θεέ μου,
ὅπως μαθόντες τό πολύ ἔλεός σου,
ὅ ἐνεδείξω εἰς ἐμέ καί δεικνύεις,
τόν πρίν ἄσωτον, τόν ἀκάθαρτον μόνον,
τόν ὑπέρ πάντας πλέον ἐξαμαρτάνοντα,
μηδείς διστάσῃ, ἀλλά μᾶλλον ποθήσῃ,
μή δειλιάσῃ, ἀλλά χαίρων προσέλθῃ,
μηδέ φοβηθῇ, ἀλλά μᾶλλον θαρρήσῃ
πέλαγος ὁρῶν τῆς σῆς φιλανθρωπίας
καί προσδράμῃ τε καί προσπέσῃ καί κλαύσῃ,
καί τῶν πταισμάτων ἀπολήψεται λύσιν
λέγων ἐν αὐτῷ ὡς ἀληθῶς, Θεέ μου·
Εἰ τόν πάγκακον καί παμπόνηρον τοῦτον
καί πανάσωτον ἠλέησεν ὁ κτίστης,
ὑπέρ ἅπαντας ἀνθρώπους ἁμαρτόντα,
πῶς οὐκ ἄν ἐμέ μειζόνως ἐλεήσῃ,
τόν φειδομένως ποςῶς ἐξαμαρτόντα
καί τάς ἐντολάς οὐ πάσας παραβάντα;
Ἵν’ οὖν εἰδῶσι καί πλῆθος τῶν κακῶν μου,
ὧδε λέξοιμι, οὐ πάντα πάντως, Λόγε,
ἀναρίθμητα καί γάρ ὑπέρ ἀστέρας,
ὑπέρ σταγόνας ὑετοῦ καί θαλάσσης
ψάμμον, κυμάτων πλῆθος κυμαινομένων,
ἀλλ’ ἅπερ βίβλος φέρει τοῦ συνειδότος
καί ἀποθῆκαι περιέχουσι μνήμης
τά δ’ ἄλλα μόνος ἀριθμεῖν αὐτός οἶδας.
Γέγονα φονεύς, ἀκούσατε οἱ πάντες,
ἵνα κλαύσητε συμπαθῶς, τόν δέ τρόπον

εἴασα, λόγου παραιτούμενος μῆκος.
Γέγονα, οἴμοι, καί μοιχός τῇ καρδίᾳ
καί σοδομίτης ἔργῳ καί προαιρέσει.
Γέγονα πόρνος, μάγος καί παιδοφθόρος,
ἐπίορκος ὀμότης καί πλεονέκτης,
κλέπτης, ψεύστης τε καί ἀναιδής, ἅρπαξ - φεῦ μοι -
φιλάργυρός τε, ἰταμός τε καί πάσης
ἄλλης κακίας εἶδος διεπραξάμην.
Ναί, πιστεύσατε, ἀληθῶς λέγω ταῦτα
καί οὐ πλάσματι, οὐδέ σεσοφισμένως!
Τίς οὖν ἀκούσας ταῦτα οὐκ ἐκπλαγείη,
οὐ θαυμάσειε τήν σήν μακροθυμίαν,
ὦ φιλάνθρωπε, οὐ θαμβηθῇ καί λέξει·
Πῶς οὐ διέστη γῆ φυγοῦσα τοῦ φέρειν,
ἐπί τοῦ νώτου μή στέγουσα τόν τάλαν,
καί ζῶντα τοῦτον κατήγαγεν εἰς ᾅδην;
Σκηπτός ἄνωθεν πως δέ οὐ κατενέχθη
καί ἀνάλωσε τόν παραβάτην τοῦτον;
Πῶς δέ οὐρανός οὐ συνέπεσεν ἅμα
καί συνεσβέσθη ἥλιος καί τά ἄστρα
ἐπί τῷ οὕτως καταπεφρονηκότι;
Ὢ τῆς σῆς αὖθις ἀνοχῆς, εἴπῃ, Σῶτερ,
καί τῆς ἀγαθότητος καί τοῦ ἐλέους!
Ὄντως γάρ εἰσιν ὑπέρ συγγνώμην πᾶσαν
αἱ πράξεις αὗται τοῦ   παναθλίου τούτου,
ἅς ὁ ἀκούων πᾶς τις ἀναβοήσει·
τοῦτον ἡ δίκη ἄρα εἴασε ζῶντα;
Καί πῶς δικαία οὖσα κἄν ὅλως τοῦτον
εἶναι κατεδέξατο ἐν γῇ τῶν ζώντων;
Εἰ δ’ ὑπολάβοι ψευδῆ με ἴσως γράψαι,
τούτῳ τήν συγχώρησιν δός ὡς οἰκτίρμων·
ἀγνοῶν γάρ σου τό μακρόθυμον, Σῶτερ,
καί τήν ἄβυσσον τῆς σῆς φιλανθρωπίας,
καί τῶν ἔργων μου τά ἄτοπα ἀκούσας
τήν ψῆφον ἐξήνεγκε δικαίως ταύτην.
Εἰ τοῦτον, λέγων, ἀνεύθυνον ἡ δίκη
καταλέλοιπε, λοιπόν κρίσις οὐκ ἔστι.
Σύ δέ μάλιστα, ὅτι μέλλεις τοῦ κρῖναι,
νῦν μακροθυμεῖς διά τοῦτο, Θεέ μου·
θέλεις γάρ πάντως τήν πάντων σωτηρίαν,
τήν μετάνοιαν ἐκδεχόμενος τούτων

τήν ἐκ τῶν ἔργων, ἀνοχῇ σου δικαίᾳ.
Δικαίου καί γάρ οὐ τούς πίπτοντας παίειν,
χεῖρα δέ μᾶλλον πάντως ὀρέγειν τούτοις,
ὅπερ ποιῶν σύ, ὁ καλός μου Δεσπότης,
οὐκ ἐνέλιπες οὐδέ ποτε ἐλλείψεις.
Ὁ βίος πάλη πάντων ἀνθρώπων πέλει,
δοῦλοι δέ πάντες ἄνθρωποι σοῦ, τοῦ κτίστου·
ἔχομεν δ’ ὅμως μικροί τε καί μεγάλοι
ἔχθρούς ἀσπόνδους, ἄρχοντας τούς τοῦ σκότους.
Εἰ μή οὖν αὐτός ὀρέξεις μᾶλλον χεῖρα,
ἀλλ’ αὐτούς ἡμῶν κατισχύσει ἀφήσεις,
ποῦ τό δίκαιον, ποῦ τό φιλάνθρωπόν σου;
Δοῦλοι γάρ ἡμεῖς γεγόναμεν ἐκείνου
ἰδίᾳ γνώμῃ, ἰδίᾳ προαιρέσει,
αὐτός δέ ἡμᾶς ἐλθών ἐξηγοράσω
τῷ ἀχράντῳ σου αἵματι καί τιμίῳ
καί τῷ σῷ Πατρί προσήγαγες, Θεέ μου,
δῶρον, οὕς ὁρῶν ἐχθρός ὅλως οὐ στέγει,
οὐχ ὑποφέρει τόν φθόνον, ὅνπερ ἔχει,
ἀλλ’ ὠρύεται καθ’ ἡμῶν ὥσπερ λέων
καί περιπατῶν καί βρύχων τούς ὀδόντας
ἀπηνῶς ζητεῖ, ὅντινα καταπίῃ.
Τούς οὖν ὑπ’αὐτοῦ θηρός τοῦ ἀνημέρου
τιτρωσκομένους καί πληγάς δεχομένους
καί τραυματίας, ὦ Χριστέ μου, κειμένους
οὐκ ἐλεήσεις, οὐ συμπαθήσεις μᾶλλον
καί τήν ὑγείαν τήν τούτων ἀναμείνεις,
ἀλλ’ ἐπιπλήξεις, ἀλλά συντρίψεις ὅλως
καί θανατώσεις τούς τοιούτους τελείως;
Δίκαιον καί γάρ, ναί, κἀγώ τοῦτο λέγω,
ὅτι ἄκοντες οὐ κατέχονται οὗτοι,
ἀλλά ἑκόντες ἑαυτούς προδίδουσιν.
Ὅμως πανοῦργος, σοφιστής τε καί κακίας,
ὁ ἀνήμερος καί ποικίλος θήρ οὗτος
προσποιεῖται οὖν τά τῶν φίλων, ὡς φίλος
ὅλον με ζητῶν συλλαβεῖν καί θηρεῦσαι,
τήν ὁρωμένην ζωήν ὑποδεικνύς μοι
τῆς νοουμένης ζωῆς ἀποστερεῖ με.
Τῇ αἰσθήσει κλέπτει με τῶν νῦν παρόντων
καί τῶν μελλόντων ὑποσυλᾷ τόν πλοῦτον.
Ἄλλο τῇ ἔξω φαίνεται θεωρίᾳ,

ἄλλο δέ ἐστι τό κρυπτόμενον, Σῶτερ.
Εἰ δέ ἄνθρωποι τοῦτο μεμαθηκότες
δόλους σχηματίζονται τῇ ὑποκρίσει,
τί ὁ κακίας εὑρετής οὐ ποιήσει,
πῶς οὐ πλανήσει, καί μάλιστα τούς νέους,
πῶς οὐκ ἀπατήσει δέ ἀκάκους ὄντας,
ὅλως ἀπείρους, ὅλως ἀπανουργεύτους,
ὁ προαιρέσει καί Σατᾶν καί πανοῦργος
καί πάντα δόλον εὐμηχάνως εὑρίσκων;
Ὅμως ἅπαντας ἀπατᾷ καί τιτρώσκει,
οὐδείς τάς τούτου ὑπεξέφυγε χεῖρας,
οὐδέ τῶν αὐτοῦ βελῶν καί τοῦ ἐν τούτοις
ἰοῦ ἄγευστος καί ἄτρωτος διῆλθε.
Πάντες ἐξημάρτομεν καί ὑστεροῦμεν
δόξης σου, Χριστέ, τῆς ἀρρήτου καί θείας,
καί δωρεάν σε δυσωποῦμεν τοῦ σῶσαι
καί δικαιῶσαι χάριτι καί ἐλέει,
ὅ ἐξέχεας ἐπ' ἐμέ νῦν πλουσίως,
περί οὗ λέγειν καί γράφειν οὐκ ὀκνήσω.
Πῶς γάρ δυναίμην σιωπῇ ὑποφέρειν
τά γινόμενα καθ' ὥραν, ὦ Θεέ μου,
καί πραττόμενα ἐν ἐμοί τῷ ἀθλίῳ;
Ἄφραστα καί γάρ εἰσιν ἐν ἀληθείᾳ,
ἀκατάληπτα ὑπέρ νοῦν, ὑπέρ λόγον·
καί πῶς ἐξείπω ταῦτα ἤ πῶς ἐκφράσω;
Ἀλλ' οὖν, μή φέρων σιωπᾶν, ἄρτι λέξω·
Θεός ἄναρχος, ἄκτιστος, μόνος πέλεις,
ἐν Υἱῷ καί Πνεύματι Τριάς Ἁγία,
ἀκτάληπτος, ἀπρόσιτος ὑπάρχεις,
κτίστης ὁρωμένης τε καί νοουμένης
κτίσεως καί Κύριος σύ καί Δεσπότης,
ὑπεράνω τε τῶν οὐρανῶν καί πάντων
τῶν ἐν οὐρανῷ, τοῦ οὐρανοῦ τυγχάνεις
μόνος ποιητής, μόνος ἐξουσιάζων,
μόνος τά πάντα φέρων προστάγματί σου
καί θελήματι συνέχων πάντα μόνῳ.
Ἔχεις περί σέ μυριάδας ἀγγέλων,
ἀρχαγγέλων τε χιλίας χιλιάδας,
θρόνους, κυριότητας ἀναριθμήτους,
ἔχεις δυνάμεις, Χερουβίμ Σεραφίμ τε
πολυόμματα, ἀρχάς καί ἐξουσίας

καί πλείους ἄλλους λειτουργούς τε καί φίλους,
Ἔχεις τήν δόξαν ὑπερδεδοξασμένην,
ὥστε μή τολμᾶς ἀδεῶς ἀτενίσαι
τινάς ἐκ τούτων πρός αὐτήν, ὦ Θεέ μου,
μηδέ δύνασθαι φαινομένην ἐνέγκαι
τοῦ προσώπου σου τήν ἀστράπτουσαν αἴγλην.
Πῶς γάρ ἰσχύσει τό ποίημα τήν κτίστην
ὅλον κατιδεῖν, ὅλον κατανοῆσαι;
Οὐδαμῶς οἶμαι δυνατόν εἶναι τοῦτο,
ἀλλ' ὁ ποιητής, καθ' ὅσον ἄν ἐθέλῃ,
φαίνεται καί βλέπεται, παρ' ὧν ἐθέλει,
καί γινώσκεται καί γινώσκει τό κτίσμα,
καί καθορᾶται καί καθορᾷ τοσοῦτον
ὅσον δώσειεν ὁ ποιητής τοῦ βλέπειν.
Εἰ γάρ παρά σοῦ παρήχθησαν, Θεέ μου,
ἔχουσιν ἐκ σοῦ τό εἶναι καί τό βλέπειν
καί τό δύνασθαι λειτουργεῖν σοι ἀμέμπτως.
Ἀλλ' οὖν ἄνω σύ ὑπέρ ἀρχάς ἁπάσας,
αὗται δέ πάλιν περί σέ, τόν Θεόν μου,
ἡμεῖς δέ κάτω ἐν κατωτάτῳ λάκκῳ
- λάκκον οὐ λέγω τόν ὁρώμενον κόσμον,
ἀλλά τό σκότος τῆς ἁμαρτίας ὄντως -,
λάκκῳ πονηρῷ, λάκκῳ ζεζοφωμένῳ,
λάκκῳ καί τάφῳ δεινῶς ἐν κατωτάτῳ,
ὅνπερ ἥλιος οὐ πέφυκε φωτίζειν.
Ἔξω γάρ ἐστι τοῦ ὁρωμένου κόσμου
καί τοῦ μέλλοντος ἡ νύξ τῆς ἁμαρτίας
καί τούς ἐν αὐτῇ ἐμπίμποντας ἀφρόνως
νῦν τε κατέχει καί θανόντας ὡσαύτως
ἕξει δεσμίους εἰς αἰῶνας αἰώνων·
ὧν ἐγώ πρῶτος, ὦ Χριστέ μου, ὑπάρχω,
ὁ συσχεθείς καί καταχθείς ἐν ταύτῃ
καί ἐν πυθμένι αὐτῆς τῷ κατωτάτῳ
εὑρεθείς ἐβόησα· Ἐλέησόν με!
Ἐν ἐπιγνώσει γεγονώς τῶν κακῶν μου -
ἔγνων γάρ τό ποῦ δι' αὐτῶν κατηνέχθην,
οὗ χάριν καί ἔκλαυσα, δακρύων ὄμβρους
ἐξ ὀφθαλμῶν μου κατήγαγον ἐμπόνως - ,
μετενόησα ἐξ ὅλης μου καρδίας
καί ἐκέκραξα φωναῖς ταῖς ἀλαλήτοις.
Καί ἐπήκουσας ἐκ τοῦ ἀφάτου ὕψους

τοῦ ἐν πυθμένι κειμένου κατωτάτῳ,
σκότους ἀπείρου, ἀτελοῦς ἐν τῷ τέλει,
καί τάς  περί σέ καταλιπών δυνάμεις
ἀντιπαρελθών τά ὁρώμενα πάντα
κατῆλθες ἐκεῖ, ἐν ᾧ κείμενος ἤμην.
Ἔλαμψας εὐθύς, ἐδίωξας τό σκότος,
ἤγειράς με σύ ἐμπνεύσει σου τῇ θείᾳ,
ἔστησας εἰς πόδας με τῶν ἐντολῶν σου,
ἔθελξας τῷ κάλλει σου, καί τῇ ἀγάπῃ
ἔτρωσας, ἠλλοίωσας ὅλον με ὅλον.
Εἶδόν σου τό πρόσωπον καί ἐφοβήθην,
καίτοι εὐμενές, εὐπρόσιτόν μοι ὤφθη,
ἡ δέ ὡραιότης σου ἐξέστησέ με
καί ἐξέπληξεν, ὦ Τριάς, ὁ Θεός μου!
Εἷς γάρ χαρακτήρ τῶν τριῶν ἐν ἑκάστῳ,
καί τά τρία ἕν πρόσωπον, ὁ Θεός μου,
ὅς καλεῖται Πνεῦμα, Θεός τῶν πάντων.
Σύ οὖν ἐμφανίσθης ἐμοί, τῷ παναθλίῳ·
πῶς οὐκ ἔμελλον ἐγώ φρίξαι καί δῦναι
καί κατώτερον, οὗ ἤμην, γεγονέναι
καί σκεπασθῆναι πάλιν ὑπό τοῦ σκότους,
ἵν' ἀποκρυβῶ σε, τόν ἄστεκτον πᾶσιν;
Ἀλλά τοῦτο μέν ἔπραττον ἐκ δειλίας ἐγώ,
σύ δέ, Θεέ μου, μᾶλλον περιεπλέκου,
μᾶλλον κατησπάζου με, μᾶλλον ἐνηγκαλίζου
ἔνδον τοῦ κρασπέδου σου τῶν ἱματίων
εἰσάγων ὅλον καί σκέπων με φωτί σου,
καί ἀμνημονεῖν ποιῶν τῶν ὁρωμένων
καί τῶν κατεχόντων με δεινῶν τό πρῴην.
Ὢ μυστηρίων βάθος, ὤ ὕψος δόξης,
ὤ ἀναβασις, ὤ θέωσις, ὤ πλοῦτος,
ὤ λαμπρότης ἄφραστος τῶν λεγομένων!
Τίς καταλαβεῖν ἐκ τῶν λόγων ἰσχύσει
ἤ τό μέγεθος κατανοῆσαι τῆς δόξης;
Ὅς γάρ οὐκ εἶδεν, ἅ ὀφθαλμός οὐκ οἶδε,
καί οὐκ ἤκουσεν, ἅ οὖς οὐκ ἠκηκόει
καί εἰς καρδίαν ἀνθρώπου οὐκ ἀνέβη,
πῶς τῷ γράφοντι περί αὐτῶν πιστεύσει;
Εἰ δέ καί πιστεύσειε, πῶς διά λόγου
ἰδεῖν ἰσχύσει, ἅ ὀφθαλμός οὐκ εἶδε;
Πῶς δέ ἀξίως δι' ἀκοῆς χωρήσει,

ἅ οὐκ ἤκουσεν οὖς ποτε τῶν ἀνθρώπων,
ἵνα καί καλῶς περί αὐτῶν νοήσῃ,
ἐν περινοίᾳ δυνηθῇ τε γενέσθαι,
ὧν ἀμήχανον τοῖς ὁρῶσι τό κάλλος
καί τό εἶδος, τό ἀνείδεον ὑπάρχει
καί ἀκατανόητόν ἐστι τοῖς πᾶσιν,
οἷσπερ ὁρᾶται, ἵνα σοι πάλιν εἴπω;
Τῷ λογισμῷ ταῦτα τίς ἀναπλάττων
οὐκ ἄν ἐκπέσῃ τῆς ἀληθείας πόρρω
καί πλανηθῇ πλάσματι καί φαντασίαις,
εἰκόνας ψευδεῖς συλλογισμῶν οἰκείων,
οἰκείου νοός ἀνιστορῶν καί βλέπων;
Ὥσπερ γάρ ᾅδην καί τάς ἐκεῖ κολάσεις
ἕκαστος φαντάζεται, ὡς ἄν ἐθέλοι,
πλήν οὖν, ὡς εἰσίν, οὐδείς τῶν πάντων οἶδεν,
οὕτως μοι νόει τά ἀγαθά ἐκεῖνα
τά ἐν οὐρανοῖς ἀκατάληπτα πᾶσι
καί ἀθέατα· μόνοις γνωστά δέ ταῦτα
καί θεωρητά, οἷς Θεός ἐκκαλύψει
κατά τό μέτρον τῆς ἀξίας ἑκάστου,
μέτρον πίστεως, ἐλπίδος καί ἀγάπης,
μέτρον φυλακῆς τῶν ἐντολῶν Κυρίου.
Μέτρον ἄλλο δέ πνευματικῆς πτωχείας,
μέτρον τέλειον οὐ μικρόν οὐδέ μέγα.
Ταῦτα γάρ μισεῖ ὁ Θεός οὐκ ἀδίκως,
ἀλλά δικαίως, ὡς οὐ δίκαια πάντως·
τό μέν γάρ μικρόν λείπεται τοῦ δικαίου
ἐν ἀμελείᾳ ἤ καί καταφρονήσει,
μένον ἄχρηστον εὐλόγως καί δικαίως·
τό δέ οὐ  μικρόν, ἀλλά μέγα τυγχάνον
εἰς ἀπόνοιαν φέρει τόν κεκτημένον
καί πάντας ἄλλους βλάπτει τούτῳ χρωμένους.
Δίκαιον μέτρον ταπεινώσεως ἔστι
τό μήτε πάντῃ αὐτοῦ ἀπογινώσκειν,
μήτε οἴεσθαι εἶναί τινα ἐν κόσμῳ
χείρονα ἑαυτοῦ ἐν πράξεσιν ἀτόποις,
κλαίειν τε ἀεί καί θρηνεῖν διά τοῦτο
καί καταφρονεῖν πάντων τῶν ὁρωμένων.
Τοῦτο γάρ ἐστι τεκμήριον τοῦ πένθους,
τοῦ κατά Θεόν ἐκ ψυχῆς γινομένου.
Εἰ δ᾽ ἀντέχεταί τινος τῶν ὁρωμένων,

οὔπω ἑαυτόν ἔγνωκεν ἐν αἰσθήσει,
οὐδέ φόβον ἔλαβεν ἐν τῇ καρδίᾳ
κρίσεως θείας καί πυρός αἰωνίου,
οὐδ᾽ ἐκτήσατο ταπείνωσιν τελεία,
καί διά τοῦτο ἐκπίπτει καί τῆς θέας
καί τῆς δωρεᾶς τῶν ἀγαθῶν ἐκείνων,
ὧνπερ ὀφθαλμός οὐδείς ἀνθρώπων εἶδεν.
Σπεύσωμεν πάντες ταπείνωσιν εὑρέσθαι,
τήν ἀνώνυμον τῶν ψυχῶν ἡμῶν χάριν,
ἥτις οὐκ ἔχει ὄνομα, τῇ δέ πείρᾳ
ἐνωνύμως γίνεται τοῖς κεκτημένοις.
Πρᾶος ὁ Χριστός, ταπεινός τῇ καρδίᾳ·
ἔνοικον τοῦτον ὁ κτησάμενος ἔγνω
ὅτι δι᾽ αὐτοῦ τήν ταπείνωσιν ἔχει,
μᾶλλον δέ αὐτός ἡ ταπείνωσις ἔστι.
Ψυχή ζητοῦσα δόξαν ἐκ τῶν ἀνθρώπων
ταύτην τήν ταπείνωσιν ὅλως οὐκ ἔγνω·
ὁ δέ οἴησιν κἄν ποσῶς κεκτημένος,
πῶς ἐντός αὐτοῦ τήν ταπείνωσιν ἕξει;
Οὐδαμῶς ὄντως! Οἴμοι τῷ παναθλίῳ,
τῷ κενοδόξῳ καί κατεπαιρομένῳ
καί μηδέ μίαν ἀρετήν κεκτημένῳ
καί ἀναισθήτως πάσας παρερχομένῳ
τάς ἡμέρας μου ἐν τῷ παρόντι βίῳ!
Τίς μή κλαύσῃ με, τίς μή σφοδρῶς πενθήσῃ,
ὅτι ἔφυγον κόσμον καί τά ἐν κόσμῳ,
καί τῇ αἰσθήσει κόσμου οὐκ ἐχωρίσθην;
Τό τῶν μοναχῶν περιβέβλημαι σχῆμα
καί ὡς κοσμικός ἀγαπῶ τά ἐν κόσμῳ,
δόξαν, πλοῦτόν τε καί ἡδονάς καί τέρψεις.
Ἐπί τῶν ὤμων τόν σταυρόν Χριστοῦ φέρω
καί ὑποφέρειν τά τοῦ σταυροῦ ὀνείδη
ὅλως ἀπαναίνομαι, ὅλως οὐ θέλω,
ἀλλά ἐνδόξοις ἐμαυτόν παρενείρω
καί σύν ἐκείνοις τό δοξάζεσθαι θέλω.
Ὢ τῆς συμφορᾶς, ὢ τῆς ἀναισθησίας!
Διπλῆς ὑπάρχω ἄξιος κατάδίκης·
πταίσας γάρ πολλά πρότερον ἐν τῷ βίῳ
ἐπηγγειλάμην καλῶς μετανοῆσαι·
νῦν ἐφάνην δέ παραβάτης ἀγνώμων
πάντων τῶν καλῶν, ὧν μοι Θεός παρέσχε,

καί τῶν συνθηκῶν ἀρνητής ἀπεδείχθην
καί ἀνάξιος πάσης φιλανθρωπίας.
Ἀλλ’ ὦ Θεέ μου, ὦ πανοικτίρμον μόνε,
σπεῦσον, πρόφθασον, ἐπίστρεψόν με πάλιν
πρός μετάνοιαν, πρός δάκρυα, πρός πένθος,
ἵνα λούσωμαι καί καθαρθῶ καί ἴδω
λάμψασαν τρανῶς ἐν ἐμοί τήν σήν δόξαν,
ἥν μοι χάρισαι νῦν καί εἰς τούς αἰῶνας
δοξάζοντί σε φωναῖς ἀκαταπαύστοις,
τόν τῶν εἰώνων Ποιητήν καί Δεσπότην.

## ΚΕ'. Περί τῆς γενομένης θεωρίας αὐτῷ τοῦ θείου φωτρός, καί ὅπως τό θεῖον φῶς οὐ καταλαμβάνεται ὑπό σκότους· ἐν οἷς καί διά τήν ὑπερβολήν τῶν ἀποκαλύψεων ἐκπληττόμενος μέμνηται τῆς ἀνθρωπίνης ἀσθενείας καί ἑαυτόν κατακρίνει.

Πῶς διαγράψω, Δέσποτα, προσώπου σου τήν θέαν,
πῶς εἴπω τήν ἀνέκφραστον θεωρίαν τοῦ κάλλους;
Πῶς ὅν ὁ κόσμος οὐ χωρεῖ, γλώσσης φθογγή χωρήσει,
πῶς τις ἐκφράσαι δυνηθῇ τήν σήν φιαλνθρωπίαν;
Καθήμενος γάρ ἐν φωτί λαμπάδος μοι φαινούσης
καί φωτιζούσης τῆς νυκτός τόν ζόφον καί τό σκότος
ἐδόκουν εἶναι ἐν φωτί προσέχων ἀναγνώσει,
λέξεις τε οἷα ἐρευνῶν καί σκοπῶν τάς συντάξεις.
Ὡς οὖν ὑπῆρχον, Δέσποτα, ἀδολεσχῶν ἐν τούτοις,
αἴφνης ἐφάνης ἄνωθεν πολύ μείζων ἡλίου
καί ἔλαμψας ἐξ οὐρανῶν μέχρις ἐμῆς καρδίας.
Τά δ’ ἄλλα πάντα ὡς βαθύ σκότος εἶναι ἑώρων,
στῦλος δέ μέσον φωτεινός, ὅλον τεμών ἀέρα
διῆκεν ἐκ τῶν οὐρανῶν ἕως ἐμοῦ τοῦ τάλα.
Εὐθύς ἐπελαθόμην δέ φωτός τοῦ λυχνιαίου,
οἰκίας ἠμνημόνησα ὅτι ἐντός ὑπάρχω,
ἐν τῷ δοκεῖν ἀέρι δέ τοῦ σκότους ἐκαθήμην,
πλήν καί τοῦ σώματος αὐτοῦ λήθην ἔσχον εἰς ἅπαν.
Ἐλάλουν σοι καί νῦν λαλῶ ἐκ βάθους μου καρδίας·
Ἐλέησόν με, Δέσποτα, ἐλέησόν με, μόνε,
τόν μηδαμῶς μηδέποτε δουλεύσαντά σοι, Σῶτερ,
ἀλλά σε παροργίζοντα ἐκ νέας ἡλικίας.
Πᾶσαν μετῆλθον σαρκικήν καί ψυχικήν κακίαν
καί ἁμαρτίας ἔπραξα ἀμετρήτους, ἀτόπους,
ὑπέρ ἀνθρώπους ἅπαντας, ὑπέρ ἄλογα πάντα,
ἑρπετά καί θηρία τε πάντα ὑπερνίκησας.
Εἰς ἐμέ οὖν τό ἔλεος χρεία ἐνδείξασθαί σε,
τόν καί ἐξαμαρτήσαντα ὑπέρ πάντας ἀφρόνως.
Μή χρῄζειν γάρ ἐλάλησας σύ αὐτός ἰατρείας
τούς ὑγιαίνοντας, Χριστέ, ἀλλά τούς ἀσθενοῦντας·
διό ὡς ἀσθενοῦντά με πολλά καί ἀμελοῦντα
οὕτως πολύ τό ἔλεος ἐπίχεέ μοι, Λόγε!

Ἀλλ’ ὤ φωτός γαυρίαμα, ἀλλ’ ὤ πυρός κινήσεις
ἀλλ’ ὤ φλογός περιδρομαί ἐν ἐμοί τῷ ἀθλίῳ
παρά σῆς σῆς καί παρά σοῦ ἐνεργούμεναι δόξης!
Δόξαν δ’ ἐγώ τό Πνεῦμά σου ἐπίσταμαι καί λέγω,
τό Ἅγιον, τό συμφυές καί ὁμότιμον, Λόγε,
ὁμογενές, ὁμόδοξον, ὁμοούσιον, μόνον
τῷ σῷ Πατρί καί σοί, Χριστέ, ὦ Θεέ τῶν ἁπάντων.
Σοί προσκυνῶν εὐχαριστῶ, ὅτι ἠξίωσάς με,
κἄν ποσῶς ἐπιγνῶναί σου θεότητος τό κράτος.
Εὐχαριστῶ, ὅτι αὐτός καθημένῳ ἐν σκότει
ἀπεκαλύφθης μοι, ἔλαμψας, ἰδεῖν ἠξίωσάς με
τό φῶς τό τοῦ προσώπου σου, τό ἄστεκτον τοῖς πᾶσιν.
Ἔμεινα καθεζόμενος ἐν σκότει μέσον, οἶδα,
μέσον δέ τούτου ὄντι μοι κεκαλυμμένῳ σκότει
ἐφάνης φῶς, ἐφώτισας ὅλον ὅλῳ φωτί με
καί γέγονα φῶς ἐν νυκτί, μέσον σκότους τυγχάνων.
Οὔτε τό σκότος τό σόν φῶς κατέλαβεν εἰς ἅπαν,
οὔτε τό φῶς ἐδίωξε τό ὁρώμενον σκότος,
ἀλλ’ ἀναμίξ, ἀσύγχυτα πάντῃ μεμερισμένα
μακράν ἀλλήλων, ὡς εἰκός, οὐ κεκραμένα ὅλως,
πλήν ἐν ταὐτῷ τά σύμπαντα πληροῦσιν, ὡς νομίζω.
Οὕτως εἰμί ἐν τῷ φωτί, μέσον τυγχάνων σκότους,
οὕτως ἐν σκότει πάλιν δέ μέσον φωτός διάγων,
ἰδού καί μέσον ἐν φωτί, ἰδού καί μέσον σκότους·
καί λέγω· τίς ἐν σκότει μοι φῶς εὑρεῖν μέσον δώσει,
ὅ οὐ χωρεῖ εἰσδέξασθαι; Πῶς γάρ χωρήσει σκότος
φῶς ἐντός καί μή φεύξεται, ἀλλά μενεῖ ἐν μέσῳ
φωτός τό σκότος; Ὤ φρικτοῦ θαύματος,ὁρωμένου
διττῶς διττοῖς τοῖς ὀφθαλμοῖς, σώματος καί ψυχῆς τε!
Ἄκουε ἄρτι· τά φρικτά διττοῦ Θεοῦ σοι λέγω
καί ὡς πρός ἄνθρωπον διττόν ἐμέ γεγενημένα!
Ἀνέλαβε τήν σάρκα μου καί δέδωκέ μοι πνεῦμα,
καί γέγονα κἀγώ Θεός τῇ χάριτι τῇ θείᾳ,
θέσει υἱός πλήν τοῦ Θεοῦ, ὤ ἀξίας, ὤ δόξης!
Ὡς ἄνθρωπος λυπούμενος ἐμαυτόν ταλανίζω
καί τήν ἐμήν ἀσθένειαν κατανοῶ καί στένω,
καί ζῆν ὅλως ἀνάξιος ὑπάρχω, ὡς εὖ οἶδα,
ἐκείνου δέ τῇ χάριτι θαρρῶν, κατανοῶν τε
τό κάλλος, ὅ μοι δέδωκεν, ἐπιτέρπομαι βλέπων.
Ὡς μέν οὖν ἄνθρωπος οἶδα μηδέν ὁρᾶν τῶν θείων,
καί ἀοράτων παντελῶς εἰμί κεχωρισμένος,

τῇ δέ υἱοθεσίᾳ με Θεόν γεγενημένον
καί καθορῶ καί κοινωνός γίνομαι τῶν ἀψαύστων.
Ὡς ἄνθρωπος οὐδέν ἔχων τῶν ὑψηλῶν καί θείων,
ὡς δέ Θεοῦ χρηστότητι νυνί ἐλεημένος
ἔχω Χριστόν, τόν Κύριον, τῶν πάντων εὐεργέτην.
Διό καί πάλιν, Δέσποτα, δεόμενος προσπίπτω·
μή ἀποτύχω τῶν ἐν σοί ἐλπίδων μου μηδόλως,
διαγωγῆς τε καί τιμῆς, δόξης καί βασιλείας,
ἀλλ' ὥσπερ νῦν ὁρᾶσθαί μοι κατηξίωσας, Σῶτερ,
οὕτω καί μετά θάνατον παράσχου μοι σε βλέπειν.
Οὐ λέγω πόσον, εὔσπλαγχνε, ἀλλ' εὐμενῶς, εὐσπλάγχνως
ἱλέῳ σου τῷ ὄμματι, ὡς καί νῦν καθορᾷς με
καί τῆς χαρᾶς σου ἐμπιπλᾷς καί γλυκύτητος θείας.
Ναί, ποιητά καί πλάστα μου, σκέπασόν με χειρί σου,
καί μή ἐγκαταλίπῃς με, ναί, μή μνησικακήσῃς!
Ἀγνωμοσύνην μου πολλήν, Δέσποτα, μή σταθμίσῃς,
ἀλλά ἀξίωσον κἀμέ φωτί σου μέχρι τέλους
καί τῇ ὁδῷ τῶν ἐντολῶν ἀόκνως πορευθῆναι
καί ἐν αὐτῷ σου τῷ φωτί τῶν χειρῶν, πανοικτίρμον,
παραθεῖναι τό πνεῦμά μου, λυτρούμενος ἐχθρῶν με,
σκότους, πυρός, κολάσεων τῶν αἰωνίων, Λόγε!
Ναί, ὁ πολύς ἐν οἰκτιρμοῖς, ἄφατος ἐν ἐλέει,
ἀξίωσον εἰς χεῖράς σου παραδοῦναι ψυχήν μου,
καθώς καί νῦν ἐν τῇ χειρί τῇ σῇ, Σῶτερ, τυγχάνω.
Μή οὖν παρεμποδίσῃ μου τήν ὁδόν ἁμαρτία,
μή περικόψῃ, μή τῆς σῆς ἀποσπάσῃ χειρός με,
ἀλλ' αἰσχυνθήτω ὁ δεινός ἄρχων καί ψυχοφθόρος
ἐντός παλάμης, Δέσποτα, τῆς σῆς ὄντα με βλέπων,
καθά καί νῦν οὐδέ τολμᾷ πλησίον μου γενέσθαι
ὁρῶν ὑπό τῆς χάριτος τῆς σῆς σκεπόμενόν με!
Μή κατακρίνῃς με, Χριστέ, μή εἰς ᾅδην ἀπώσῃ,
μή καταγάγῃς εἰς βυθόν θανάτου τήν ψυχήν μου,
ὅτι τολμῶν τό ὄνομα τό σόν κατονομάζειν,
ὁ ῥυπαρός, ὁ μιαρός καί βέβηλος εἰς ἅπαν·
μή χάνῃ γῆ καί καταπίῃ με, Λόγε, τόν παραβάτην,
τόν μηδέ ζῆν, μηδέ λαλεῖν ὅλως ἄξιον ὄντα.
Μή πῦρ κατέλθῃ ἐπ' ἐμέ καί ἐκλείξῃ με ἄφνω,
ὡς μή Κύριε ἐλέησον! εἰπεῖν συγχωρηθέντα,
μή ὁ πολύς ἐν οἰκτιρμοῖς, ὁ φιλάνθρωπος φύσει,
μή εἰσελθεῖν θελήσειας μετ' ἐμοῦ τοῦ κριθῆναι.
Τί γάρ καί ὅλως φθέγξομαι, ὑπάρχων ἁμαρτία,

τί οὖν καί εἴποιμι ποσῶς, ὁ κατακεκριμένος,
ὁ ἐκ κοιλίας μου μητρός ἀμέτρητά σοι πταίσας
καί μέχρι νῦν ἀναισθητῶν πρός σήν μακροθυμίαν,
ὁ μυριάκις εἰς βυθόν κατενεχθείς τοῦ ᾅδου
κἀκεῖθεν ἀγαθότητι ἀνελκυσθείς σου θείᾳ,
ὁ μέλη καί τάς σάρκας μου ψυχῆς καί σώματός τε
καταρρυπώσας, ὡς οὐδείς ἄλλος τῶν ἐν τῷ βίῳ,
ὁ μανικός τῶν ἡδονῶν ἐραστής ἀναίσχυντος
καί πονηρός καί δόλιος τῇ ψυχικῇ κακίᾳ,
ὁ μίαν σου ὅλως, Χριστέ, ἐντολήν μή φυλάξας;
Τί σοι ἀπολογήσομαι, τί δέ σε καί προσείπω,
ποίᾳ ψυχῇ βαστάσω σου ἐλέγχους, ὦ Θεέ μου;
Εἰ ἀνομίας τάς ἐμάς καί τάς πράξεις γυμνώσεις,
ὦ βασιλεῦ ἀθάνατε, μή δείξῃς πᾶσι ταύτας,
ὅτι φρίττω ἐννοῶν ἔργα νεότητός μου,
τό δέ εἰπεῖν φρίκης μεστόν, ἀνάπλεων αἰσχύνης.
Εἰ γάρ ταῦτα θελήσειας ἐκκαλύψαι τοῖς πᾶσι,
χεῖρον πάσης κολάσεως ἡ ἐντροπή μου ἔσται.
Τίς γάρ τάς ἀσελγείας μου, τίς δέ τάς ἀσωτίας,
τίς τούς βέβηλους ἀσπασμούς, τίς τάς αἰσχράς μου πράξεις,
ἐν αἷς καί νῦν μολύνομαι, ταύτας ἐν νῷ λαμβάνων,
ἰδών οὐκ ἐκπλαγήσεται, ἰδών ὅλως οὐ φρίξει,
ἰδών οὐ κράξει, καί εὐθύς ἀποστραφῇ τάς ὄψεις
καί· Ἆρον, εἴπῃ, Δέσποτα, τόν παμβέβηλον τοῦτον;
Χεῖρας δεθῆναι πρόσταξον καί πόδας τοῦ ἀθλίου
καί ἐμβληθῆναι εἰς τό πῦρ τό ζοφῶδες ἐν τάχει,
μή καθορᾶται παρ’ ἡμῶν τῶν σῶν γνησίων δούλων.
Ὄντως ἀξίως, Δέσποτα, ὄντως δικαίως τοῦτο
κἀκεῖνοι πάντες φθέγξονται καί σύ αὐτός ποιήσεις,
καί εἰς τό πῦρ βληθήσομαι, ὁ ἄσωτος καί πόρνος.
Ἀλλ’, ὁ ἀσώτους κατελθών καί πόρνους σύ τοῦ σῶσαι,
μή καταισχύνῃς με, Χριστέ, ἐν ἡμέρᾳ τῆς δίκης,
ὅτε τά πρόβατα τά σά ἐκ δεξιῶν σου στήσεις
κἀμέ καί τά ἐρίφια ἐκ τῶν ἀριστερῶν σου,
ἀλλά τό φῶς τό ἄχραντον, τό φῶς τοῦ σοῦ προσώπου
τά ἔργα καλυψάτω μου καί γύμνωσιν ψυχῆς μου
καί στολισάτω με φαιδρῶς, ἵνα ἐν παρρησίᾳ
ἀνεπαισχύντως δεξιοῖς καταλεγῶ προβάτοις
καί σύν αὐτοῖς δοξάσω σε εἰς αἰῶνας αἰώνων.
Ἀμήν.

## ΚΣΤ'. Ὅτι ὁ ἐν ἀγνωσίᾳ Θεοῦ ἔτι ζῶν νεκρός ἐστι μέσον τῶν ζώντων ἐν γνώσει Θεοῦ καί ὅτι τοῖς ἀναξίως τῶν μυστηρίων μεταλαμβάνουσιν ἄληπτον τό θεῖον σῶμα καί αἷμα τοῦ Χριστοῦ γίνεται.

Νῦν ἐν τοῖς ζῶσιν ὡς νεκρός, ὦ Δέσποτα, ὑπάρχω
καί ἐν νεκροῖς ὡς ζῶν εἰμι, ἄθλιος ὑπέρ πάντας
ἀνθρώπους τούς ἐπί τῆς γῆς, οὕς ἔκτισας, Θεέ μου.
Τό γάρ νεκρόν ὑπάρχειν με ἐν τοῖς κατά σε ζῶσι
τῶν μή κτισθέντων χείρω με ἀποδείκνυσι πάντως,
τό δ᾽ ἐν νεκροῖς τήν ἄλογον ζωήν ζῆν ὡς τά κτήνη
τῶν μή εἰδότων σε Θεόν ὅμοιον ὄντως πέλει.
Πῶς γάρ οὐκ ἔστιν ὅμοιον, πῶς δέ οὐκ ἔστιν ἶσον;
Εἰ καί δοκῶ εἰδέναι σε, εἰ καί δοκῶ πιστεύειν,
εἰ καί δοκῶ σε ἀνυμνεῖν καί σέ ἐπικαλεῖσθαι-
καί γάρ λαλεῖ τό στόμα μου λόγους, οὕς ἐδιδάχθην,
καί ὕμνους ᾄδω καί εὐχάς, ἅς ἐγγράφως οἱ πάλαι
τό Πνεῦμά σου τό Ἅγιον ἐξέθεντο λαβόντες,-
καί λέγων ταῦτα καί δοκῶν μέγα τι πεπραχέναι
ἀναισθητῶ καί ἀγνοῶ, ὅτι ὥσπερ οἱ παῖδες
μανθάνοντες οὐκ ἴσασι τήν δύναμιν τῶν λόγων,
οὕτως κἀγώ ταῖς προσευχαῖς καί ψαλμοῖς τε καί ὕμνοις
ἐγκαρτερῶν καί ἀνυμνῶν σέ τόν εὔσπλαγχνον μόνον,
τῆς σῆς δόξης καί τοῦ φωτός αἴσθησιν οὐ λαμβάνω,
καί ὥσπερ οἱ αἱρετικοί, οἱ πολλά ἐκμαθόντες,
ἐδόκουν τοῦ εἰδέναι σε, ἐδόκουν σέ γινώσκειν,
ἐδόκουν οἱ πανάθλιοι καί βλέπειν σε, Θεέ μου,
οὕτω κἀγώ πολλάς εὐχάς καί πολλάς ψαλμῳδίας
λαλῶν ἐν μόνῃ γλώσσῃ μου, ἴσως δέ καί καρδίᾳ,
ἐκ τούτων τό τῆς πίστεως ἄκρον ἔχειν νομίζω,
ἐκ τούτων τήν ἐπίγνωσιν πᾶσαν τῆς ἀληθείας
οἴομαι τό καταλαβεῖν καί μηδέν πλέον χρῄζειν·
ἐκ τούτων καί τό βλέπειν σε, τό φῶς τοῦ κόσμου, Σῶτερ,
ἐκ τούτων καί κατέχειν σε καί συνεῖναί μοι λέγω
καί συμμετέχειν φύσεως τῆς θείας σου νομίζω,
καί κατ᾽ ἐμοῦ παραβολάς ἐφευρίσκω καί λόγους
ἀνερευνῶν ἐκ τῆς γραφῆς προβάλλομαι καί λέγω·
Ὁ Κύριος τούς τρώγοντας εἶπεν αὐτοῦ τήν σάρκα

καί τούς τό αἷμα πίνοντας ἐν αὐτῷ καταμένειν,
ἀλλά καί κατοικεῖν αὐτός ἐν αὐτοῖς ὁ Δεσπότης.
Τοῦτο οὖν λέγων ὡς ληπτόν τόν ἄληπτον κηρύττω,
ἐν τῷ ληπτῷ τοῦ σώματος τόν ἄληπτον ὑπάρχειν,
καί κρατητόν καί ὁρατόν τόν ἀκράτητον πάντῃ.
Καί ἀγνοῶ, ὁ δυστυχής, ὅτι ἐν οἷς ἄν θέλῃς,
τῷ αἰσθητῷ καί κρατητῷ καί ὁρατῷ ὑπάρχεις,
αἰσθητός τε καί κρατητός καί ὁρατός, ὁ κτίστης.
Ἐν ἀκαθάρτοις δ' ὡς ἐγώ καί ἀναξίοις μᾶλλον
θεοποιεῖς τό αἰσθητόν σῶμα σοῦ τε καί αἷμα
καί παντελῶς ἀκράτητον, ἄληπτόν τε εἰς ἅπαν
ἀναλλοιώτως ἀλοιοῖς, μᾶλλον δ' ἐν ἀληθείᾳ
πνευματικόν μεταποιεῖς, ἀόρατον, ὡς πάλαι
συγκεκλεισμένων τῶν θυρῶν εἰσῆλθες καί ἐξῆλθες
καί ἄφαντος ἐξ ὀφθαλμῶν ἐν τῇ κλάσει τοῦ ἄρτου
ἐγένου σύ τῶν μαθητῶν, οὕτω καί νῦν τόν ἄρτον
ἀποτελεῖς καί σῶμα σου πνευματικόν ἐργάζῃ.
Κἀγώ δοκῶ κατέχειν σε, κἄν θέλῃς, κἄν μή θέλῃς,
καί κοινωνῶν τῆς σῆς σαρκός καί σοῦ μεταλαμβάνειν
νομίζω καί διάκειμαι ὡς ἅγιος, Χριστέ μου,
καί κληρονόμος τοῦ Θεοῦ καί σός συγκληρονόμος
καί ἀδελφός καί μέτοχος δόξης τῆς αἰωνίου.
Ἐκ τούτου τοίνυν δείκνυμαι ἀναισθητῶν εἰς ἅπαν,
ἐκ τούτου πάντως φαίνεται ἀγνοεῖν με, ἅ ψάλλω,
καί ἅ λαλῶ καί ἅ ἀεί μελετῶ τε καί ᾄδω.
Εἰ γάρ ὅλως ἐγίνωσκον, εἶχον πάντως εἰδέναι,
ὅτι ἀτρέπτως ἄνθρωπος ἐγένου, ὁ Θεός μου,
ἵνα τόν προσληφθέντα με ὅλον θεοποιήσῃς,
οὐχί δέ ἵνα ἄνθρωπος σύ παχύτητι μείνῃς
καί κρατηθῇς ἐν τῇ φθορᾷ, ὁ ἀκράτητος πάντῃ,
ὁ ἄφθαρτος καί ἄληπτος φύσει Θεός ὑπάρχων.
Τοῦτο εἰδώς ὡς ἄληπτον τό σῶμά σου τό θεῖον
καί αἷμά σου τό ἅγιον πιστεύων γεγενῆσθαι
καί πῦρ ὄντως ἀπρόσιτον ἐμοί τῷ ἀναξίῳ,
φρίκῃ καί φόβῳ, τρόμῳ τε τούτων ἄν ἐκοινώνουν,
ἐν δάκρυσι καί στεναγμοῖς ἐμαυτόν προκαθαίρων.
Νῦν δέ ἐν σκότει κάθημαι καί ἀγνοίᾳ, πλανῶμαι,
ἀναισθησίᾳ παντελεῖ κρατούμενος ὁ τάλας.
Ἀλλ' ὅμως ἱκευτεύω σε, ὅμως ἐκδυσωπῶ σε,
προσπίπτων καί παρακαλῶν καί ζητῶν σου τό ἔλεος·
Ἐπίβλεψον ὡς πάντοτε καί νῦν, παμβασιλεῦ μου,

δεῖξον τήν εὐσπλαγχνίαν σου, δεῖξον τό συμπαθές σου,
δεῖξον τό ἀμνησίκακον εἰς ἐμέ τόν τελώνην,
μᾶλλον δέ τόν πανάσωτον, τόν ὑπέρ πᾶσαν φύσιν
ἀλόγων τε καί λογικῶν εἰς σέ ἐξαμαρτόντα.
Εἰ γάρ καί πάντα πέπραχα ἄνομα ἐν τῷ βίῳ,
ἀλλά Θεόν σε, ποιητήν ὁμολογῶ τῶν πάντων,
Θεοῦ Υἱόν σε, τοῦ Θεοῦ ὁμοούσιον σέβω,
τόν γεννηθέντα ἐξ αὐτοῦ πρό πάντων τῶν αἰώνων
καί ἐπ᾽ ἐσχάτων τῶν καιρῶν ἐξ ἁγίας Παρθένου,
τῆς Θεοτόκου Μαριάμ γεννηθέντα ὡς βρέφος
καί γεγονότα ἄνθρωπον, δι᾽ ἐμέ τε παθόντα
καί σταυρωθέντα καί ταφῇ, Σῶτερ, παραδοθέντα
καί ἀναστάντα ἐκ νεκρῶν μετά τρίτην ἡμέραν
καί ἀνελθόντα ἐν σαρκί, ὅθεν οὐκ ἐχωρίσθης.
Οὕτως οὖν με πιστεύοντα, οὕτως σε προσκυνοῦντα
καί πάλιν σε ἐλπίζοντα ἐλθεῖν καί κρῖναι πάντας
καί ἀποδοῦναι ἑκάστῳ, Χριστέ, τά κατ᾽ ἀξίαν,
ἡ πίστις ἀντί ἔργων μοι λογισθήτω, Θεέ μου,
καί μή ζητήσῃς ἔργα με ὅλως τά δικαιοῦντα,
ἀλλά ἡ πίστις μοι αὕτη ἀντί πάντων ἀρκέσει.
Αὕτη ἀπολογήσεται, αὕτη με δικαιώσει,
αὕτη με δείξει κοινωνόν δόξης σου αἰωνίου.
Ὁ γάρ πιστεύων, εἴρηκας, εἰς ἐμέ, ὦ Χριστέ μου,
ζήσεται καί οὐκ ὄψεται θάνατον εἰς αἰῶνας.
Εἰ οὖν ἡ πίστις ἡ εἰς σέ ἀπεγνωσμένους σῴζει,
ἰδού, πιστεύω, σῶσόν με λάμψας φῶς σου τό θεῖον,
καί τήν ἐν σκότει μου ψυχήν καί σκιᾷ τοῦ θανάτου
κατεχομένην, Δέσποτα, ἐπιφανείς φωτίσῃς.
Δός δέ μοι καί κατάνυξιν, πόμα τό ζωηρόν σου,
πόμα πιαῖνόν μου σαρκός καί ψυχῆς τάς αἰσθήσεις,
πόμα εὐφραῖνόν με ἀεί καί ζωήν μοι παρέχον,
οὗ μή στερήσῃς με, Χριστέ, τόν ταπεινόν καί ξένον,
τόν τάς ἐλπίδας ἐπί σέ ἀναθέμενον πάσας.

## ΚΖ'. Ὁποῖον δεῖ εἶναι τόν μοναχόν καί τίς ἡ ἐργασία καί τίς ἡ τούτου προκοπή καί ἀνάβασις.

Ἀπέργασαι παλάτιον τόν τῆς ψυχῆς σου οἶκον,
εἰς κατοικίαν τῷ Χριστῷ καί βασιλεῖ τῶν ὅλων
δακρύων ταῖς ῥανίσι σου, ὀλολυγμοῖς καί θρήνοις
καί τῶν γονάτων κάμψεσι καί στεναγμῶν τῷ πλήθει,
εἰ ἀληθῶς, ὦ μοναχέ, μονάζων εἶναι θέλεις.
Καί τότε οὐ μονάζων ἦς, τῷ βασιλεῖ συνῆς γάρ
καί ἧς μονάζων καθ' ἡμᾶς, ὡς ἐξ ἡμῶν ὑπάρχων
καί χωρισθείς κόσμου παντός· τοῦτο μονάζων πάντως.
Τῷ δέ Θεῷ καί βασιλεῖ ἑνωθείς οὐ μονάζων,
ἀλλά ἁγίων γέγονας συναρίθμιος πάντων,
ἀγγέλων ὁμοδίαιτος καί σύνοικος δικαίων
καί πάντων τῶν ἐν οὐρανῷ συγκληρονόμος ὄντως.
Πῶς οὖν μονάζων ὁ ἐκεῖ τό πολίτευμα ἔχων,
ἔνθα ἐστίν ὁμήγυρις μαρτύρων καί ὁσίων,
ἔνθα χορός τῶν προφητῶν καί θείων ἀποστόλων,
ἔνθα ἡ ἀναρίθμητος πληθύς, ἡ τῶν δικαίων,
ἱεραρχῶν, πατριαρχῶν καί τῶν λοιπῶν ἁγίων;
Ὁ δέ καί ἔχων τόν Χριστόν ἐν ἑαυτῷ οἰκοῦντα,
πῶς μόνος εἶναι λέγεσθαι δύναται, εἴπατέ μοι;
Τῷ γάρ Χριστῷ μου σύνεστιν ὁ Πατήρ καί τό Πνεῦμα,
καί πῶς μονάζων, ὁ τρισί ὡς ἑνί συνημμένος;
Οὐκ ἔστι μόνος ὁ Θεῷ ἑνωθείς, κἄν μονάζῃ,
κἄν ἐν ἐρήμῳ κάθηται, κἄν ἐν σπηλαίῳ ἔστιν·
εἰ δέ μή τοῦτον εὕρηκεν, εἰ δέ μή τοῦτον ἔγνω,
εἰ δέ μή τοῦτον ἔλαβεν ὅλον τόν σαρκωθέντα
Θεόν Λόγον, οὐ γέγονε μοναχός, οἴμοι, ὅλως.
Ὅθεν καί μόνος ἐστί τοῦ Θεοῦ κεχωρισμένος οὗτος,
ἀλλά καί ὁ καθείς ἡμῶν ἐσμέν κεχωρισμένοι
ἀνθρώπων ἄλλων πάντως γε
καί ὀρφανοί δέ ἅπαντες μεμονωμένοι ὦμεν,
εἰ καί δοκοῦμεν ἕνωσιν τῇ συνοικήσει ἔχειν
καί μετ' ἀλλήλων μίγνυσθαι τῇ τῶν πολλῶν συνάξει.
Ψυχῇ γάρ καί τῷ σώματι ἐσμέν κεχωρισμένοι,
ὅπερ καί εἶναι ἀληθές ὁ θάνατος δεικνύει,
ἀποχωρίζων ἕκαστον συγγενῶν τε καί φίλων
καί λήθην πάντων ἐμποιῶν τῶν νῦν ἀγαπωμένων.

Οὕτω κάι νύξ καί ὕπνος τε καί πράξεις αἱ ἐν βίῳ
τήν ἕνωσιν τήν τῶν πολλῶν ὡς εἰκός διαλύει.
Ὁ δέ ποιήσας οὐρανόν δι᾽ ἀρετῆς τήν κέλλαν
τήν ἑαυτοῦ, καί ἐν αὐτῇ καθήμενον τόν κτίστην
τοῦ οὐρανοῦ τε καί τῆς γῆς κατανοεῖ καί βλέπει
καί προσκυνεῖ καί σύνεστιν ἀεί φωτί ἀδύτῳ,
φωτί τῷ ἀνεσπέρῳ τε, φωτί τῷ ἀπροσίτῳ,
οὗ οὐδαμῶς χωρίζεται, οὐ μακρύνεται ὅλως,
οὐκ ἐν ἡμέρᾳ ἤ νυκτί, οὐκ ἐν τροφῇ ἤ πόσει,
ἀλλ᾽ οὐδ᾽ ἐν ὕπνῳ ἤ ὁδῷ ἤ μεταβάσει τόπου,
ἀλλ᾽ ὥσπερ ζῶν οὕτω θανών, μᾶλλον δέ τρανοτέρως
ὅλως ἐκείνῳ σύνεστι τῇ ψυχῇ αἰωνίως.
Πῶς γάρ καί χωρισθήσεται ἡ νύμφη τοῦ νυμφίου,
ἤ ὁ ἀνήρ τῆς γυναικός, ᾗ συνηρμόσθη ἅπαξ;
Ὁ νομοθέντης, λέγε μοι, τόν νόμον οὐ φυλάξει;
Ὁ εἰρηκώς· Καί ἔσονται οἱ δύο εἰς μίαν σάρκα,
πῶς οὐ γενήσεται αὐτός σύν αὐτῇ πνεῦμα ὅλως;
Ἐν τῷ ἀνδρί γάρ ἡ γυνή, ἐν γυναικί ἀνήρ δέ,
καί ἡ ψυχή ἐν τῷ Θεῷ καί Θεός ἐν ψυχῇ δέ
ἑνοῦται καί γνωρίζεται ἐν τοῖς ἁγίοις πᾶσιν.
Οὕτως ἑνοῦνται τῷ Θεῷ οἱ διά μετανοίας
τάς ἑαυτῶν καθαίροντες ψυχάς ἐν κόσμῳ τῷδε,
καί μοναχοί καθίστανται τῶν ἄλλων ὄντες δίχα,
οἵ νοῦν Χριστοῦ λαμβάνουσιν, ὅπερ καί στόμα ἔστι
καί γλῶσσα ὄντως ἀψευδής, μεθ᾽ ἧς προσομιλοῦσι
Πατρί τῷ παντοκράτορι, μεθ᾽ ἧς ἀεί βοῶσιν·
Ὦ πάτερ, ὦ παμβασιλεῦ, ὦ κτίστα τῶν ἁπάντων!
Τούτων ἡ κέλλα οὐρανός, ἥλιος δέ ἐκεῖνοι,
καί τό φῶς ἐστιν ἐν αὐτοῖς, τό ἄδυτον καί θεῖον,
ὅ καί φωτίζει ἅπαντα ἐρχόμενον ἐν κόσμῳ
ἄνθρωπον καί γενόμενον ἐκ Πνεύματος Ἁγίου.
Νύξ οὖν οὐκ ἔστιν ἐν αὐτοῖς· πῶς εἰπεῖν σοι οὐκ ἔχω,
φρίττω γάρ ταῦτα γράφων σοι καί ἐννοῶν δέ τρέμω,
ἀλλά διδάσκω σε τό πῶς ζῶσι καί ποίῳ τρόπῳ
οἱ τῷ Θεῷ δουλεύοντες κἀκεῖνον ἀντί πάντων
μόνον καί ἀγαπήσαντες, μόνῳ καί ἑνωθέντες
καί γεγονότες μοναχοί ὡς μετά μόνου μόνοι,
εἰ καί ἐν δήμῳ παμπληθεῖ εἰσίν ἀπειλημένοι.
Οὗτοι γάρ ὄντως μοναχοί καί μονάζοντες μόνοι,
γυμνοί καί ἐνθυμήσεων καί λογισμῶν παντοίων,
μόνον ὁρῶντες τόν Θεόν ἐν νοΐ ἀνεννοίῳ,

ἐμπεπηγμένῳ ἐν φωτί, ὥσπερ ἐν τοίχῳ βέλος,
ἤ ὡς ἀστήρ ἐν οὐρανῷ, ἤ πῶς εἰπεῖν οὐκ ἔχω.
Ὅμως ὡς ἄλλον φωτεινόν νυμφῶνα κατοικοῦσι
τάς κέλλας καί ἐν οὐρανῷ νομίζουσι διάγειν
ἤ ἀληθῶς διάγουσι, βλέπε, μή ἀπιστήσῃς!
Οὐ γάρ εἰσίν ἐπί τῆς γῆς, εἰ καί τῇ γῇ  κρατοῦνται,
ἀλλ' ἐν φωτί διάγουσι τοῦ μέλλοντος αἰῶνος,
ᾧ κατοικοῦσιν ἄγγελοι, ἐφ' ᾧ περιπατοῦσιν,
ὑφ' οὗπερ διαρπάζονται ἀρχαί καί ἐξουσίαι,
θρόνοι καί κυριότητες πᾶσαι ἐνδυναμοῦνται.
Εἰ γάρ καί ἐπαναπαύεται Θεός ἐν τοῖς ἁγίοις,
ἀλλ' ἐν Θεῷ οἱ ἅγιοι ζῶσί τε καί κινοῦνται,
βαδίζοντες ἐν τῷ φωτί ὥσπερ ἐπί ἐδάφους.
Ὤ θαύματος, ὡς ἄγγελοι καί ὡς υἱοί ὑψίστου
ἔσονται μετά θάνατον, θεοί Θεῷ συνόντες,
τῷ φύσει ὄντι οἱ αὐτῷ θέσει ὁμοιωθέντες.
Τούτων νυνί δέ λείπονται μόνῳ, ὅτι κρατοῦνται
τῷ σώματι καί σκέπονται καί καλύπτονται, οἴμοι,
ὡς δέσμιοι ἐν φυλακῇ τόν ἥλιον ὁρῶντες
καί τάς ἀκτῖνας τάς αὐτοῦ δι' ὀπῆς εἰσιούσας
καί μή δυνάμενοι αὐτόν ὅλον κατανοῆσαι
ἤ κατιδεῖν τῆς φυλακῆς ἔξωθεν γεγονότες,
ἤ παρακύψαντες τρανῶς ἀπιδεῖν εἰς ἀέρα.
Καί τοῦτο ἔστιν, ὅ αὐτούς ἀνιᾷ, ὅτι ὅλον
οὐ καθορῶσι τόν Χριστόν, εἰ καί ὅλον ὁρῶσιν,
οὐδέ δεσμῶν ἰσχύουσι τοῦ σώματος ἐκδῦναι,
εἰ καί παθῶν ἀνείθησαν καί πάσης προσπαθείας,
ἀλλά κρατοῦνται ὑφ' ἑνός τῶν πολλῶν ἀνεθέντες·
ὁ γάρ ὑπάρχων ἐν δεσμοῖς πολλοῖς συνδεδεμένος
οὐδέ ἐλπίζει τῶν πολλῶν τήν λύσιν εὑρηκέναι,
ὁ δέ τά πλεῖστα τῶν δεσμῶν δυνηθείς διακόψαι,
κρατούμενος δέ ὑφ' ἑνός πλέον ἀλγεῖ τῶν ἄλλων,
καί ἐπισπεύδει καί αὐτοῦ ἀεί ζητεῖ τήν λύσιν,
ὅπως ἐλεύθερος φανῇ, ὅπως βαδίζῃ χαίρων,
ὅπως ἀπέλθῃ ἐν σπουδῇ, πρός ὅν τόν πόθον εἶχε,
δι' ὅν καί τήν ἀπόλυσιν τοῦ δεσμοῦ ἐπεζήτει.
Ἐκεῖνον τοίνυν ἅπαντες ζητήσωμεν, τόν μόνον
δυνάμενον ἐκ τῶν δεσμῶν ἡμᾶς ἐλευθερῶσαι.
Ἐκεῖνον καί ποθήσωμεν, ἐκεῖνον οὗ τό κάλλος
πᾶσαν ἐκπλήττει ἔννοιαν, πᾶσαν ἐκπλήττει φρένα,
πᾶσαν τιτρώσκει τε ψυχήν καί πτεροῖ πρός ἀγάπην

καί συγκολλᾷ καί συνενοῖ τῷ Θεῷ ἀενάως.
Ναί, ἀδελφοί μου, δράμετε ταῖς πράξεσι πρός τοῦτον,
ναί, φίλοι, διανάστητε, ναί, μή ἀπολειφθῆτε,
ναί, μή λαλεῖτε καθ' ἡμῶν ἑαυτούς ἀπατῶντες.
Μή λέγετε, ἀδύνατον λαβεῖν τό Θεῖον Πνεῦμα,
μή λέγετε, χωρίς αὐτοῦ δυνατόν τό σωθῆναι,
μή οὖν ἀγνώστως τούτου λέγετέ τινα μετέχειν.
Μή λέγετε, ὅτι Θεός οὐχ ὁρᾶται ἀνθρώποις,
μή λέγετε, οἱ ἄνθρωποι φῶς θεῖον οὐχ ὁρῶσιν,
ἤ ὅτι καί ἀδύνατον ἐν τοῖς παροῦσι χρόνοις.
Οὐδέποτε ἀδύνατον τοῦτο τυγχάνει, φίλοι,
ἀλλά καί λίαν δυνατόν τοῖς θέλουσιν ὑπάρχει,
πλήν ὅσοις βίος κάθαρσιν τήν τῶν παθῶν παρέσχε
καί καθαρόν εἰργάσατο τῆς διανοίας ὄμμα·
τοῖς δ' ἄλλοις ὄντως τύφλωσις, ἁμαρτημάτων ῥύπος,
ὅ καί ἐνταῦθα καί ἐκεῖ θείου φωτός στερήσει
καί, μή πλανᾶσθε, τῷ πυρί καί σκότει παραπέμψει.
Ἴδετε, φίλοι, ποταπός ὡραῖος ὁ Δεσπότης!
Ναί, μή καμμύσητε τόν νοῦν πρός τήν γῆν ἀφορῶντες,
ναί, μή φροντίσι τῶν ἐν γῇ πραγμάτων καί χρημάτων,
ἐπιθυμίᾳ δόξης τε κρατηθῆτε καί τοῦτον
ἐγκαταλείψετε, τό φῶς ζωῆς τῆς αἰωνίου!
Ναί, φίλοι, δεῦτε μετ' ἐμοῦ, συνεπάρθητε δή μοι,
οὐ σώματι, ἀλλά νοΐ καί ψυχῇ καί καρδίᾳ,
ἐν ταπεινώσει κράζοντες πρός τόν καλόν Δεσπότην,
τόν φιλοικτίρμονα Θεόν, τόν φιλάνθρωπον μόνον.
Καί πάντως εἰσακούσεται καί πάντως ἐλεήσει
καί πάντως ἀποκαλυφθῇ καί πάντως ἐμφανίσει
καί φῶς ἡμῖν τό ἑαυτοῦ φαιδρόν καθυποδείξει.
Τί κατοκνεῖτε ταπεινοί, τί καταρρᾳθυμεῖτε,
τί προτιμᾶσθε ἄνεσιν τοῦ σώματος καί δόξαν,
τίν ἄτιμον καί ἄδοξον, τήν κενήν καί ματαίαν;
Τί λέγετε ἀμέριμνον τόν ἐνάρετον βίον;
Οὐκ ἔστιν οὕτως, ἀδελφοί, οὐκ ἔστι, μή πλανᾶσθε,
ἀλλ' ὡς οἱ βίον ἔχοντες καί γυναῖκα καί τέκνα
καί πλούτου ἐφιέμενοι καί δόξης τῆς προσκαίρου
σπουδάζουσι καί τρέχουσι τό δοκοῦν ἐκπληρῶσαι,
οὕτω καί πᾶς μετανοῶν καί πᾶς Θεῷ δουλεύων
ὀφείλει σπεύδειν καί ἀεί ἐμμέριμνος ὑπάρχειν,
ὅπως εὐπρόσδεκτος αὐτοῦ ἡ μετάνοια ἔσται
καί ἡ δουλεία γένηται εὐάρεστος τελεία,

καί τότε ὅλως τῷ Θεῷ οἰκειωθείς ἐκ τούτων
ὅλος ἑνοῦται καί αὐτόν κατά πρόσωπον βλέπει
καί παρρησίαν πρός αὐτόν ἀναλόγως λαμβάνει,
καθ' ὅσον σπεύδει τό αὐτοῦ θέλημα ἐκπληρῶσαι,
ὅπερ ἀξιωθείημεν καί ἡμεῖς τοῦ ποιῆσαι
καί τοῦ ἐλέους μετασχεῖν μετά πάντων ἁγίων,
νῦν μέν καθ' ὅσον ἐφικτόν ἐν τῷ αἰῶνι τούτῳ,
ἐκεῖ δέ ὅλον τόν Χριστόν, ὅλον τό Θεῖον Πνεῦμα,
ἐν τῷ Πατρί ληψόμεθα εἰς αἰῶνας αἰώνων·
ἀμήν.

## ΚΗ'. Περί νοητῆς ἀποκαλύψεως τῶν ἐνεργειῶν τοῦ θείου φωτός καί ἐργασίας νοερᾶς τε καί θείας τῆς ἐναρέτου ζωῆς.

Ἐάσατε τῇ κέλλῃ με μόνον ἐγκεκλεισμένον,
ἄφετέ με μετά Θεοῦ τοῦ μόνου φιλανθρώπου,
ἀπόστητε, μακρύνατε, ἐάσατέ με μόνον
ἀποθανεῖν ἐνώπιον Θεοῦ τοῦ πλάσαντός με.
Μηδείς τῇ θύρᾳ κρούσειε, μηδείς φωνήν ἀφήσῃ,
μηδείς ἐπισκέψατω με τῶν συγγενῶν ἤ φίλων,
μηδείς μου τήν διάνοιαν ἑλκύσας ἀποσπάσῃ
τῆς θεωρίας τοῦ καλοῦ καί ὡραίου Δεσπότου,
μηδείς μοι βρῶμα δώσειε, μή πόμα μοι κομίσῃ.
Ἀρκέσει γάρ μοι τό θανεῖν ἔμπροσθεν τοῦ Θεοῦ  μου,
Θεοῦ τοῦ ἐλεήμονος, Θεοῦ τοῦ φιλανθρώπου,
τοῦ κατελθόντος ἐπί γῆς ἁμαρτωλούς καλέσαι
καί σύν αὐτῷ εἰς τήν ζωήν εἰσαγαγεῖν τήν θείαν.
Οὐ θέλω ἔτι κατιδεῖν τό φῶς τοῦ κόσμου τούτου,
οὐδέ αὐτόν τόν ἥλιον, οὐδέ τά ἐν τῷ κόσμῳ·
βλέπω γάρ τόν Δεσπότην μου, βλέπω τόν Βασιλέα,
βλέπω τόν ὄντως ὄντα φῶς καί παντός φωτός κτίστην,
βλέπω πηγήν παντός καλοῦ, βλέπω αἰτίαν πάντων,
βλέπω ἀρχήν τήν ἄναρχον, ἐξ ἧς παρήχθη πάντα,
δι’ ἧς ζωοῦνται καί τροφῆς ἅπαντα ἐμπιπλῶνται.
Τούτου γάρ τῷ βουλήματι γίνονται καί ὁρῶνται
καί τούτου τῷ θελήματι ἐκλείπουσι τά πάντα.
Πῶς οὖν αὐτόν καταλιπών ἐξέλθω μου τῆς κέλλης;
Ἄφετέ με, θρηνήσομαι καί κλαύσομαι ἡμέρας
καί νύκτας, ἅς ἀπώλεσα ὁρῶν τό φῶς τοῦ κόσμου,
τό αἰσθητόν καί σκοτεινόν, ὅ ψυχήν οὐ φωτίζει,
οὗ καί τυφλοί τούς ὀφθαλμούς δίχα ἐν κόσμῳ ζῶσι
καί μεταστάντες ἔσονται τῶν νῦν βλεπόντων ἴσοι·
ἐν ᾧ κἀγώ πλανώμενος ὅλος ἐνευφραινόμην,
ὅλως δέ εἶναι ἕτερον φῶς οὐκ ἐλογιζόμην,
ὅ καί ζωή, ὡς εἴρηται, ὑπάρχει καί αἰτία
τοῦ εἶναι, ὅ τι καί ἐστίν ἤ γνήσεται ὅλως,
καί ἤμην ὥσπερ ἄθεος ἀγνοῶν τόν Θεόν μου.
Νυνί δέ, ὡς ηὐδόκησεν ἀρρήτῳ εὐσπλαγχνίᾳ
ὀφθῆναι τῷ ἀθλίῳ μοι καί ἀποκαλυφθῆναι,

εἶδον καί ἔγνων ἀληθῶς Θεόν τῶν πάντων εἶναι,
Θεόν, ὅν οὐδείς τῶν ἐν τῷ κόσμῳ εἶδεν ἀνθρώπων.
Ἔξω τοῦ κόσμου γάρ ἐστιν, ἔξω φωτός καί σκότους,
ἔξω ἀέρος καί νοός καί αἰσθήσεως πάσης·
διό οὖν ὑπό τήν αἴσθησιν κατιδών ἐγενόμην.
Οἱ οὖν ὑπό τήν αἴσθησιν ὄντες ἐάσατέ με
μή κέλλαν μόνον κλεῖσαί τε καί ἔνδοθεν καθίσαι,
ἀλλά καί λάκκον ὑπό γῆν ὀρύξαντα κρυβῆναι·
κἀκεί διάγων ἔσομαι ἔξω παντός τοῦ κόσμου,
καί βλέπων τόν ἀθάνατον Δεσπότην μου καί Κτίστην
πόθῳ θανεῖν αἱρήσομαι, εἰδώς ὡς οὐ θανοῦμαι.
Τί οὖν μοι προσεγένετο ὄφελος ἐκ τοῦ κόσμου,
τί δέ καί νῦν κερδαίνουσιν οἱ ὄντες ἐν τῷ κόσμῳ;
Ὄντως οὐδέν, ἀλλά γυμνοί ἐνοικήσουσι τάφοις
καί ἀναστήσονται γυμνοί καί κριθήσονται πάντες,
ὅτι ζωήν τήν ἀληθῆ, ὅτι τό φῶς τοῦ κόσμου,
Χριστόν λέγω, ἐάσαντες ἠγάπησαν τό σκότος
καί ἐν αὐτῷ περιπατεῖν ᾑρετίσαντο πάντες,
οἱ μή τό φῶς δεξάμενοι τό λάμψαν ἐν τῷ κόσμῳ,
ὅπερ ὁ κόσμος οὐ χωρεῖ οὐδέ ἰδεῖν ἰσχύει.
Διό ἐγκαταλείψατε καί ἄφετέ με μόνον,
παρακαλῶ, τοῦ κλαύσασθαι καί ἐκζητῆσαι τοῦτον,
πλουσίως τοῦ δοθῆναί μοι καί ἀφθόνως ὀφθῆναι.
Οὐ μόνον καθορᾶται γάρ, οὐ μόνον θεωρεῖται,
ἀλλά καί μεταδίδοται καί κατοικεῖ καί μένει
καί ἔστιν, ὥσπερ θησαυρός ἐν κόλπῳ κεκρυμμένος,
ὅν ὁ βαστάζων ἥδεται καί βλέπων τοῦτον χαίρει,
δοκεῖ καί πάντας καθορᾶν αὐτόν ἐγκεκρυμμένον.
Ἀλλ’ οὐχ ὁρᾶται ἅπασιν, οὐ ψηλαφᾶται ὅλως,
οὐ κλέπτης τοῦτον δύνασαι συλῆσαι, οὐ λῃστής τε
ἁρπάσαι, εἰ καί κτείνειε τόν βαστάζοντα τοῦτον·
ἄν ἀφελέσθαι βουληθῇ, εἰς μάτην κοπιάσει
ἀνερευνῶν μαρσίππιον, ἀνερευνῶν χιτῶνας,
τήν ζώνην λύων ἀσφαλῶς ἀναζητῶν ἐκεῖνον,
κἄν τήν κοιλίαν τέμνειε, κἄν σπλάγχνα ψηλαφήσῃ,
εὑρεῖν ἐκεῖνον ἤ λαβεῖν ὅλως οὐκ ἐξισχύσει.
Ἔστι καί γάρ ἀόρατος, ἀκράτητος χερσί γε
καί ἀψηλάφητος ὁμοῦ, ψηλαφώμενος ὅλως·
κρατεῖται δ’ ὅμως ἐν χερσί καί τότε τῶν ἀξίων,
τῶν δ’ ἀναξίων ἄπαγε, κεῖται καί ἐν παλάμῃ,
τό τί, ὢ θαῦμα, τό οὐ τί, ὄνομα γάρ οὐκ ἔχει.

Ἐκπλαγείς οὖν καί κατασχεῖν αὐτό ἐπιθυμήσας,
σφίγξας τήν χεῖρα ἔδοξα κρατῆσαί τε καί ἔχειν,
ἀλλά διέδρα μηδαμῶς κατασχεθέν χειρί μου,
καί λυπηθείς ἀνέῳξα τήν πυγμήν τῆς χειρός μου
καί εἶδον πάλιν ἐν αὐτῇ, ὅπερ πρῴην ἑώρων·
ὢ θαῦμα ἀνεκλάλητον, ὢ μυστηρίου ξένου!
Τί μάτην ταραττόμεθα, τί πλανώμεθα πάντες,
τί πρός τό φῶς κεχήναμεν, τό ἀναίσθητον τοῦτο,
οἱ ἐν αἰσθήσει νοερῷ τετιμημένοι λόγῳ;
Τί πρός τάς ὕλας βλέπομεν, τάς φθειρομένας ταύτας,
ἄϋλον ἔχοντες ψυχήν καί ἀθάνατον ὅλην;
Τί δέ ταῦτα θαυμάζομεν ὅλως ἀναισθητοῦντες
καί προτιμῶμεν ὡς τυφλοί τό βαρύ τοῦ σιδήρου
καί μάζης τούτου μέγεθος ὑπέρ μικρόν χρυσίον,
ἤ μαργαρίτην τίμιον ὡς ἀτίμητον χρῆμα,
καί οὐ ζητοῦμεν τόν μικρόν τοῦ σινάπεως κόκκον,
ὅ τιμιώτερόν ἐστι πάντων τῶν ὁρωμένων,
μεῖζον τῶν ἀοράτων τε πραγμάτων καί κτισμάτων;
Τί οὐ διδοῦμεν ἅπαντα καί λαμβάνομεν τοῦτον,
τί δέ καί ζῆν βουλόμεθα μή κεκτημένοι τοῦτον;
Κρεῖσσον θανεῖν, πιστεύσατε, πολλάκις, εἰς οἷόν τε,
καί μόνον τοῦτον κτήσασθαι, τόν μικρόν λέγω κόκκον.
Οὐαί γάρ τοῖς μή ἔχουσιν αὐτόν πεφυτευμένον
ἐν κόλπῳ τῆς ψυχῆς αὐτῶν, λιμώξουσι σφοδρῶς γάρ.
Οὐαί τοῖς μή βλαστήσαντα αὐτόν θεασαμένοις,
ὅτι γυμνοί τε στήσονται ὡς δένδρα φύλλων δίχα.
Οὐαί τοῖς μή πιστεύουσι τῷ λόγῳ τοῦ Κυρίου,
ὡς τοῦτον δένδρον γίνεσθαι καί κλάδους ἀποπέμπειν,
καί ἐκζητοῦσιν ἐν σπουδῇ καί νοός τῇ τηρήσει
τήν καθ’ ἡμέραν αὔξησιν τοῦ μικροῦ τούτου κόκκου,
ὅτι ζημιωθήσονται τούτου τήν ἐργασίαν,
ὡς δοῦλος ὁ τό τάλαντον κατορύξας ἀφρόνως·
ὧν εἷς ὑπάρχω δή κἀγώ, ἀμελῶν ἀσυγχύτως·
ὦ φῶς τό τρισυπόστατον, Πάτερ, Υἱέ καί Πνεῦμα,
ὦ τῆς ἀρχῆς ἡ ἄναρχος ἀρχή καί ἐξουσία,
ὦ φῶς ἀκατονόμαστον ὡς ἀνώνυμον πάντῃ,
ὦ αὖθις πολυώνυμον ὡς ἐνεργοῦν τά πάντα,
ὦ δόξα μία καί ἀρχή, κράτος καί βασιλεία,
ὦ φῶς ὡς ἕν καί θέλημα, γνώμη, βουλή, ἰσχύς τε,
ἐλέησον, οἰκτείρησον ἐμέ τόν τεθλιμμένον!
Πῶς γάρ ἵνα μή θλίβωμαι, πῶς ἵνα μή λυπῶμαι,

τοσαύτης σου χρηστότητος, ἐλέους σου τοσούτου
καταφρονῶν καί ῥαθυμῶν, ὁ ἀγνώμων καί τάλας
καί χαύνως πορευόμενος ὁδῷ τῶν ἐντολῶν σου;
Ἀλλά καί νῦν σπλαγχνίσθητι καί νῦν ἐλέησόν με
καί θέρμην τῆς καρδίας μου ἐξάναψον, Χριστέ μου,
ἥν ἔσβεσεν ἡ ἄνεσις σαρκός μου τῆς ἀθλίας,
ὕπνος καί κόρος τῆς γαστρός καί οἴνου πολλοῦ πόσις.
Ταῦτα καί φλόγα ἔσβεσαν εἰς ἅπαν τῆς ψυχῆς μου
καί τήν πηγήν ἐξήραναν, τήν βρύσιν τῶν δακρύων·
καί γάρ ἡ θέρμη πῦρ γεννᾷ, τό δέ πῦρ αὖθις θέρμην,
καί ἐξ ἀμφοῖν ἀνάπτεται φλόξ, πηγή τῶν δακρύων.
Ἡ φλόξ βλαστάνει νάματα, τά νάματα δέ φλόγα·
ἐν οἷς ἀδολεσχία με ἀνήγαγε τῶν θείων,
μελέτη σου τῶν ἐντολῶν αὖθις καί προσταγμάτων,
ἡ τήρησις μετάνοιαν ὡς συνεργόν λαβοῦσα,
καί ἔστησαν ἐν μέσῳ με τῶν ὄντων καί μελλόντων,
ὅθεν ἐκ τῶν ὁρωμένων τε γεγονώς αἴφνης ἔξω
εἰς φόβον περιέπεσον βλέπων, ὅθεν ἐρρύσθην.
Τά μέλλοντα μακρόθεν δέ ὄντα πάντως ἑώρων,
κἀκεινά μοι καταλαβεῖν ποθοῦντι πῦρ ἀνήφθη
τοῦ πόθου, καί κατά μικρόν φλόξ ἀρρήτως ὡράθη
- ἐν τῷ νοΐ μου πρότερον, ὕστερα δ’ ἐν καρδίᾳ -
καί ἔβλυζε τά δάκρυα ἡ φλόξ τοῦ θείου πόθου
καί ἄφθεγκτον τόν γλυκασμόν σύν αὐτοῖς μοι παρεῖχεν.
Θαρρήσας οὖν ἐν ἐμαυτῷ, ὡς οὐ σβέννυται ὅλως,
καλῶς καί γάρ ἐκκαίεται, εἶπον, καί ῥαθυμήσας
ὕπνῳ καί κόρῳ τῆς γαστρός ἐδουλώθην ἀφρόνως,
ὑποχαλάσας οἴνῳ τε πλειόνως ἐχρησάμην·
οὐ μεθυσθείς, πλήν κορεσθείς, καί εὐθύς ἀπεσβέσθη
τό θαῦμα τοῦτο τό φρικτόν, ὁ ἐγκάρδιος πόθος,
ἡ φλόξ ἡ μέχρις οὐρανοῦ φθάνουσα καί ἐντός μου
ἐκκαιομένη μέν σφοδρῶς, οὐ κατακαίουσα δέ
τήν ἐν τοῖς σπλάγχνοις οὖσάν μου οὐσίαν τήν χορτώδη,
ἀλλ’ ὅλην, ὤ τοῦ θαύματος, εἰς φλόγα μετεποίει,
καί χόρτος ψαύων τοῦ πυρός οὐκ ἐκαίετο ὅλως,
μᾶλλον δέ πῦρ ἐν ἑαυτῷ περιλαμβάνον χόρτον
ἡνοῦτο καί ἀνάλωτον αὐτόν ὅλον ἐτήρει.
Ὦ θείου δύναμις πυρός, ὤ ἐνεργείας ξένης!
Ὁ λύων πέτρας καί βουνούς ἀπό μόνου τοῦ φόβου
καί ἀπό τοῦ προσώπου σου, ὤ Χριστέ, ὁ Θεός μου,
πῶς χόρτῳ ἀναμίγνυσαι θείᾳ ὅλως οὐσίᾳ

φωτί ὅλως ἀστέκτῳ τε ὁ ἐνοικῶν Θεός μου;
Πῶς μένων ἀναλλοίωτος, ἀπρόσιτος εἰς ἅπαν
φυλάττεις ἀκατάφλεκτον τοῦ χόρτου τήν οὐσίαν,
καί ἀναλλοίωτον τηρῶν ἀλλοιοῖς ὅλον τοῦτον,
καί μένων χόρτος ἔστι φῶς, οὐχί τό φῶς δέ χόρτος,
ἀλλά τῷ χόρτῳ σύ τό φῶς ἀσυγχύτως ἑνοῦσαι,
καί χόρτος γίνεται ὡς φῶς μεταβληθείς ἀτρέπτως;
Οὐ φέρω σου τά θαύματα τῇ σιωπῇ καλύπτειν,
οὐ δύναμαι τοῦ μή λαλεῖν τήν σήν οἰκονομίαν,
ἥν μετ᾽ ἐμοῦ ἐποίησας, τοῦ ἀσώτου καί πόρνου·
καί τῆς φιλανθρωπίας σου τόν ἀκένωτον πλοῦτον
μή διηγεῖσθαι ἅπασιν οὐ στέγω, λυτρωτά μου!
Βούλομαι γάρ τόν σύμπαντα κόσμον λαβεῖν ἐκ τούτου
καί μή κενόν τούτου τινά ὅλως καταλειφθῆναι,
πλήν πρῶτον, ὦ παμβασιλεῦ, ἐν ἐμοί πάλιν λάμψον,
ἐνοίκησον καί φώτισον τήν ταπεινήν ψυχήν μου,
δεῖξον θεότητος τῆς σῆς τρανῶς τό πρόσωπόν μοι
καί ἀοράτως ὅλος μοι φάνηθι, ὦ Θεέ μου!
Οὐδ᾽ ὅλως γάρ ὁρᾶσαί μοι, ὅλος δέ φαίνεσαί μοι·
ἄληπτος ὤν ὅλος ληπτός θέλεις καί γίνεσαί μοι,
ἀχώρητος ὤν τῷ παντί μικρόν οὖν ὄντως γίνῃ,
καί ἐν χερσί μου οἱονεί καί ἐν τοῖς χείλεσί μου
ὥσπερ μαζός φωτοειδής καί γλυκασμός ὁρᾶσαι,
ἀστράπτων καί στρεφόμενος, ὤ μυστηρίου ξένου!
Δός μοι σαυτόν οὕτω καί νῦν, ὅπως ἐμφορηθῶ σου,
ὅπως καταφιλήσω σου καί κατασπάσομαί σου
τήν δόξαν τήν ἀπόρρητον, τό φῶς τοῦ σοῦ προσώπου,
καί ἐμπλησθῶ καί μεταδῶ τότε τοῖς ἄλλοις πᾶσι
καί μεταστάς ἔλθω πρός σέ, ὅλος δεδοξασμένος,
ἐκ τοῦ φωτός σου φῶς κἀγώ γεγονώς παραστῶ σοι
καί τότε τούτων τῶν πολλῶν κακῶν ἀμεριμνήσω,
φόβου ἀπαλλαγήσομαι τοῦ μή πάλιν τραπῆναι.
Ναί, τοῦτο δός μοι, Δέσποτα, ναί, τοῦτο χάρισαί μοι,
ὁ τἆλλα πάντα δωρεάν δούς μοι τῷ ἀναξίῳ.
Τούτου γάρ χρεία μάλιστα, τοῦτο τό πᾶν καί ἔστιν·
εἰ γάρ καί νῦν ὁρᾶσαί μοι, εἰ γάρ καί νῦν σπλαγχνίζῃ,
εἰ γάρ καί νῦν φωτίζεις με καί μυστικῶς διδάσκεις
καί σκέπεις καί φυλάττεις με τῇ κραταιᾷ χειρί σου
καί συμπαρῇς καί δαίμονας τρέπεις καί ἀφανίζεις
καί πάντα ὑποτάσσεις μοι καί πάντα μοι παρέχεις
καί ἐμπιπλᾷς τῶν ἀγαθῶν ἁπάντων, ὦ Θεέ μου,

ἀλλά οὐδέν μοι ὄφελος τούτων, εἰ μή μοι δώσεις
ἀνεπαισχύντως παρελθεῖν τοῦ θανάτου τάς πύλας.
Εἰ μή ὁ ἄρχων ἔλθοιε τοῦ σκότους καί τήν δόξαν
ἴδοι συνοῦσάν μοι τήν σήν καί αἰσχυνθῇ εἰς ἅπαν,
ὁ σκοτεινός καταφλεχθείς ἀπροσίτῳ φωτί σου,
καί αἱ δυνάμεις ἅπασαι σύν αὐτῷ ἐναντίαι
τραπήσονται σημείωσιν σφραγῖδος σῆς ἰδοῦσαι,
κἀγώ δέ διελεύσομαι θαρρῶν τῇ χάριτί σου,
ἀτρέμας ὅλος, καί πρός σέ ἐγγίσω καί προσπέσω,
τί μοι τῶν νῦν τό ὄφελος ἐν ἐμοί γινομένων;
Ὄντως οὐδέν, ἀλλά τό πῦρ ἀναψουσί μοι πλέον.
Ὁ γάρ ἐλπίζων ἀγαθῶν καί αἰωνίου δόξης
ἐν μετοχῇ ὑπάρχειν με καί δοῦλόν σου καί φίλον,
εἰ στερηθῶ πάντων ὁμοῦ καί σοῦ αὐτοῦ, Χριστέ μου,
πῶς οὐχί χείρων ἔσται μοι τῶνἀπίστων ἡ θλῖψις,
τῶν μή ἐπεγνωκότων σε, τῶν μή τό φῶς σου λάμψαν
ἰδόντων καί γλυκύτητος τῆς σῆς ἐμφορηθέντων;
Εἰ δέ τυχεῖν μοι γένηται τῶν ἀρραβώνων τούτων
τά τέλη καί τά ἔπαθλα ἀπολήψεσθαι, Σῶτερ,
ἅ ἐπηγγείλω τοῖς εἰς σέ, Χριστέ, πεπιστευκόσι,
τότε κἀγώ μακάριος ἔσομαι καί αἰνέσω
σέ, τόν Πατέρα καί Υἱόν καί τό Ἅγιον Πνεῦμα,
Θεόν τόν ἕνα ἀληθῶς εἰς αἰῶνας αἰώνων,
ἀμήν.

## ΚΘ'. Ὅτι μόνοις ἐκείνοις καταφανῆ τά τῶν θείων πραγμάτων, οἷς διά τῆς μετουσίας τοῦ Ἁγίου Πνεύματος ὅλοις ὅλος ἡνώθη Θεός.

Πόθεν ἔρχῃ, πῶς εἰσέρχῃ,
ἔνδοθεν τῆς κέλλης λέγω
πάντοθεν ἠσφαλισμένης;
Ξένον γάρ καί τοῦτο ἔστιν
ὑπέρ λόγον, ὑπέρ νοῦν τε.
Τό δ' ἐντός μου γίνεσθαί σε
ὅλον αἴφνης καί ἐκλάμπειν
καί φωτοειδῆ ὁρᾶσθαι
ὡς ὁλόφωτον σελήνην,
τοῦτο ἄνουν, ἄφωνόν με
ἀπεργάζεται, Θεέ μου.
Οἶδα, ὅτι σύ ὑπάρχεις
ὁ ἐλθών, ἵνα φωτίσῃς
τούς ἐν σκότει καθημένους,
καί ἐξίσταμαι καί ἔξω
γίνομαι φρενῶν καί λόγων,
ὅτι βλέπω θαῦμα ξένον,
πᾶσαν κτίσιν, πᾶσαν φύσιν,
πάντα λόγον ὑπερβαῖνον.
Ὅμως ἄρτι πᾶσι λέξω,
ἅ χαρίζῃ μοι λαλῆσαι·
Ὦ ἀνθρώπων ἅπαν γένος,
βασιλέων καί ἀρχόντων,
πλούσιοί τε  πένητές τε,
μοναχοί καί κοσμικοί τε,
πᾶσα γλῶσσα γηγενῶν με
νῦν ἀκούσατε λαλοῦντα,
μέγεθος φιλανθρωπίας
τοῦ Θεοῦ διηγούμενον!
Ἥμαρτον αὐτῷ ὡς ἄλλος
ἄνθρωπος οὐδείς ἐν κόσμῳ·
μή με ταπεινώσει ταῦτα
ὑπολάβῃς τις τοῦ λέγειν,
ἀληθείᾳ ἥμαρτον γάρ
ὕπερ ἅπαντας ἀνθρώπους

πᾶσαν πρᾶξιν ἁμαρτίας,
ἵνα συνελών σοι εἴπω,
καί κακίας εἰργασάμην.
Πλήν ἐκάλεσέ με, οἶδα,
καί ὑπήκουσα εὐθέως.
Ποῦ δέ κεκληκέναι τοῦτον
ὑπενόησας εἰπεῖν με;
Μή πρός δόξαν τήν τοῦ κόσμου
ἤ τρυφάς με ἤ ἀνέσεις,
ἀλλά μή πρός πλοῦτον ὅλως
ἤ φιλίαν με ἀρχόντων
ἤ πρός ἄλλο τι τῶν ὧδε
ἐν τῷ βίῳ ὁρωμένων;
Ἄπαγε τῆς βλασφημίας!
Πρός μετάνοιαν δέ εἶπον,
ὅτι κέκληκέ με μᾶλλον,
καί εὐθέως τῷ καλοῦντι
ἠκολούθησα Δεσπότῃ·
τρέχοντι οὖν κατέτρεχον,
φεύγοντι οὖν ἐδίωκον
ὡς τόν λαγωόν ὁ κύων.
Μακρυθέντος ἀπ’ ἐμοῦ δέ
καί κρυβέντος τοῦ Σωτῆρος
οὐκ ἀπήλπιζον ἔγωγε,
οὐδ’ ὡς ἀπολέσας τοῦτον
ἐστρεφόμην εἰς τοὐπίσω,
ἀλλ’ ἐν ᾧ εὑρέθην τόπῳ
καθεζόμενος ἐθρήνουν,
ἔκλαιον καί ἀντεκάλουν
τόν κρυβέντα μοι Δεσπότην.
Οὕτως οὖν κυλινδομένῳ
καί βοῶντί μοι ὡρᾶτο,
ἔγγιστά μου πλησιάσας.
Τοῦτον βλέπων ἀνεπήδων,
ὥρμων δράξασθαι αὐτοῦ δέ,
ἔφευγεν ἐκεῖνος τάχος,
ἔτρεχον ἐγώ εὐτόνως,
ἐδρασσόμην οὖν πολλάκις
τοῦ κρασπέδου τούτου φθάνων,
ἵστατο μικρόν ἐκεῖνος,
ἔχαιρον ἐγώ μεγάλως,

καί ἀφίπτατο, καί πάλιν
κατεδίωκον καί οὕτως
ἀπιόντος, ἐρχομένου,
κρυπτομένου, φαινομένου
οὐκ ἐστράφην εἰς τοὐπίσω,
οὐ κατώκνησα οὐδ’ ὅλως,
οὐκ ἐνέδωκα τοῦ τρέχειν,
οὐδ’ ὡς πλάνον ἡγησάμην
ἤ πειράζοντά με ὅλως,
ἀλλά πάσῃ μοι ἰσχύϊ,
ἀλλά πάσῃ μου δυνάμει
μή ὁρώμενον ἐζήτουν,
τάς ὁδούς περιεσκόπουν
καί φραγμούς, τό ποῦ φανεῖται·
ἐπληρούμην τε δακρύων
καί τούς  πάντας ἐπηρώτων,
τούς ποτε αὐτόν ἰδόντας.
Τίνας δέ ὑπολαμβάνεις
λέγειν με, ὅτι ἠρώτων;
Τούς σοφούς τοῦ κόσμου τούτου
ἤ τούς γνωστικούς με οἴει;
Οὔμενουν, ἀλλά προφήτας,
ἀποστόλους καί πατέρας,
τούς σοφούς ἐν ἀληθείᾳ,
τούς αὐτήν ἐκείνην ὅλην
τήν σοφίαν κεκτημένους,
ὅς ἐστίν αὐτός ἐκεῖνος
ὁ Χριστός Θεοῦ σοφία.
Τούτους οὖν μετά δακρύων
καί σφοδροῦ καρδίας πόνου
ἐπηρώτων τοῦ εἰπεῖν μοι,
ποῦ ποτε αὐτόν κατεῖδον
ἤ ἐν ποίῳ τοῦτον τόπῳ
εἴτε πῶς καί ποίῳ τρόπῳ·
καί λεγόντων μοι ἐκείνων
ἔτρεχον δυνάμει πάσῃ,
οὐκ ἐκάθευδον οὐδ’ ὅλως,
ἀλλ’ ἐβίαζον ἐμαυτόν.
Ὅθεν βλέπων μου τόν πόθον
καθωρᾶτό μοι  μετρίως,
ὅνπερ βλέπων - ὡς προεῖπον -

κατεδίωκον εὐτόνως.
Ὡς οὖν εἶδέ με τά πάντα
εἰς οὐδέν ἡγησάμενον,
ἀλλά πάντα τά ἐν κόσμῳ,
σύν αὐτῷ τῷ κόσμῳ λέγω,
καί τούς ἐν τῷ κόσμῳ πάντας
ὡς μή ὄντας ἐν αἰσθήσει
λογιζόμενον ἐκ ψυχῆς
καί τοῦ κόσμου χωρισθέντα
τῇ τοιαύτῃ διαθέσει,
ὅλος ὅλῳ μοι ὡράθη,
ὅλος ὅλῳ μοι ἡνώθη
ὁ τοῦ κόσμου πέλων ἔξω
καί τόν κόσμον περιφέρων
μετά τῶν ἐν κόσμῳ πάντων
καί χειρί συνέχων μόνῃ
ὁρατά σύν ἀοράτοις.
Οὗτος οὖν, ἀκούσατέ μου,
συναντήσας εὕρατό με·
πόθεν, πῶς ἐλθών, οὐ οἶδα.
Πῶς γάρ ἔμελλον εἰδέναι,
πόθεν ἦλθεν, ὅν ἀνθρώπων
οὐδείς πώποτε οὐκ εἶδεν,
οὔτε ἔγνω ποῦ ὑπάρχει,
ποῦ ποιμαίνει, ποῦ κοιτάζει;
Ὅλως γάρ οὐ καθορᾶται,
ὅλως οὐ κατανοεῖται,
ἐνοικεῖ δέ ἀπροσίτῳ
ἐν φωτί καί φῶς ὑπάρχει
τρισυπόστατον ἀφράστως
ἐν ἀπεριγράπτοις χώροις,
ἀπερίγραπτος Θεός μου,
εἷς Πατήρ, Υἱός ὡσαύτως,
σύν τῷ Πνεύματι τῷ Θείῳ,
ἕν τά τρία καί τά τρία
εἷς Θεός ἀνερμηνεύτως.
Λόγος γάρ οὐκ ἐξισχύει
τά ἀνέκφραστα ἐκφράσαι,
οὐδέ νοῦς σαφῶς νοῆσαι·
τά γάρ ἐν ἡμῖν σοι μόλις
ἐξειπεῖν ποσῶς ἰσχύω,

ἑρμηνεῦσαι δέ σοι ταῦτα
οὔτ’ ἐγώ, οὔτε τις ἄλλος
τοῦτο ὅλως ἐξισχύσει.
Πῶς Θεός τῶν πάντων ἔξω,
τῇ οὐσίᾳ καί τῇ φύσει,
τῇ δυνάμει καί τῇ δόξῃ,
πανταχοῦ δέ πῶς καί ἐν πᾶσι,
κατ’ ἐξαίρετον δέ τούτων
ἐνοικεῖ ἐν τοῖς ἁγίοις
καί σκηνεῖ γνωστῶς ἐν τούτοις
καί οὐσιωδῶς, ὁ πάμπαν
ὑπερούσιος ὑπάρχων;
Πῶς συνέχεται ἐν σπλάγχνοις
ὁ συνέχων πᾶσαν κτίσιν,
πῶς δέ λάμπει ἐν καρδίᾳ,
τῇ σαρκίνῃ καί παχείᾳ,
πῶς καί ἔνδον ταύτης ἔστι,
πῶς καί ἔξω πέλει πάντων
καί πληροῖ αὐτός τά πάντα,
ἐν νυκτί καί ἐν ἡμέρᾳ
καί λάμπει καί οὐ καθορᾶται;
Ταῦτα πάντα νοῦς, εἰπέ μοι,
ὁ ἀνθρώπινος νοήσει
ἤ εἰπεῖν σοι ἐξισχύσει;
Οὔμενουν, οὐκ ἄγγελός σοι,
οὐκ ἀρχάγγελος ἐξείποι,
οὐδέ παραστῆσαι ταῦτα
διά λόγου δυνηθείη.
Ταῦτα οὖν Θεοῦ τό Πνεῦμα,
Θεῖον ὄν, μόνον γινώσκει
καί ἐπίσταται ὡς μόνον
συμφυές καί σύνθρονόν τε
καί συνάναρχον ὑπάρχον
τῷ Υἱῷ καί τῷ Πατρί δέ·
οἷς οὖν λάμψει τοῦτο αὖθις,
οἷς καί συναφθῇ πλουσίως
πάντα δείκνυσιν ἀφράστως,
ἔργῳ σοι τά πάντα λέγω.
Ὥσπερ γάρ τυφλός, εἰ βλέψει,
βλέπει μέν τό φῶς ἐν πρώτοις,
ἔπειτα καί πᾶσαν κτίσιν,

τήν ἐν τῷ φωτί - ὤ θαῦμα! -
οὕτως ὁ λαμφθείς τῷ Θείῳ
Πνεύματι ψυχήν εὐθέως
τοῦ φωτός ἐν μετουσίᾳ
γίνεται καί φῶς θεᾶται,
φῶς Θεοῦ, Θεόν τε πάντως,
ὅς καί δείκνυσι τά πάντα,
μᾶλλον δέ ὅσα κελεύει,
ὅσα βούλεται καί θέλει.
Οὕς φωτίσει τῇ ἐλλάμψει,
τούτοις δίδωσι τό βλέπειν
τά ἐν τῷ φωτί τῷ θείῳ.
Ἀναλόγως τῆς ἀγάπης,
φυλακῆς τῶν ἐντολῶν δέ,
φωτιζόμενοι ὁρῶσι
καί μυοῦνται ἀποκρύφων
μυστηρίων θείων βάθος.
Ὥσπερ εἴ τις ἐν οἰκίᾳ
σκοτεινῇ κρατῶν εἰσέλθοι
ἐν χειρί αὐτοῦ λαμπάδα,
ἤ προάγοντος ἑτέρου
καί κατέχοντος τόν λύχνον,
αὐτός καθορᾷ τά ἔνδον
τῆς οἰκίας ὄντα, οὕτως
ὁ λαμπόμενος ἀκτῖσι
νοητοῦ φαιδρῶς ἡλίου
βλέπει τά τοῖς ἄλλοις πᾶσιν
ἀγνοούμενα καί λέγει,
πλήν οὐ  πάντα, ἀλλά ὅσα
λόγῳ φράσαι δυνηθείη.
Τίς γάρ πώποτε δηλῶσαι
τά ἐκεῖσε ἐξισχύσει
οἷα, ὅσα, ποταπά τε,
ἀκατάληπτά τε ὄντα
καί ἀόρατα τοῖς πᾶσιν;
Ἀνειδέων γάρ τό εἶδος,
τήν ποσότητα ἀπόσων,
κάλλος ἀκατανοήτων
τὶς νοήσει, πῶς μετρήσει,
πῶς εἰπεῖν ὅλως ἰσχύσει;
Τῶν ἀμόρφων τάς μορφάς δέ

πῶς τῷ λόγῳ διαγράψει;
Πάντως οὐδαμῶς, ἐρεῖς μοι.
Ἀλλ’ ἐκεῖνοι μόνοι ταῦτα
ἴσασιν οἱ καθορῶντες.
Διό μή λόγοις, ἀλλ’ ἔργοις
σπεύσωμεν τοῦ ἐκζητῆσαι,
ἰδεῖν τε καί διδαχθῆναι
θείων μυστηρίων πλοῦτον,
ὅν δωρεῖται ὁ Δεσπότης
τοῖς ἐμπόνως ἐκζητοῦσι
καί παντός τοῦ κόσμου λήθην
καί τῶν ἐν αὐτῷ πραγμάτων
ἐναργῶς προσκτησαμένοις.
Ὁ γάρ ἐκζητῶν ἐκεῖνα
ὁλοψύχῳ προαιρέσει,
πῶς οὐχί τῶν τῇδε πάντων
ἀληθῶς ἀμνημονήσει
καί γυμνόν τόν νοῦν ἐκ τούτων
κτήσεται καί πάντων ἔξω
εὑρεθήσεται εὐθέως
μόνος; Ὅν ἰδών ὁ μόνος
Θεός μόνον δι’ ἐκεῖνον
γεγονότα καί τόν κόσμον
ἀρνησάμενον καί πάντα
τά τοῦ κόσμου, μόνος μόνον
εὑρηκώς ἑνοῦται τούτῳ.
Ὦ φρικτῆς οἰκονομίας,
ὤ χρηστότητος ἀρρήτου!
Τά δ’ ἐντεῦθεν μή ἐρώτα,
μή ἐρεύνα, μή ἐκζήτει!
Εἰ γάρ πλῆθος τῶν ἀστέρων
ἤ ὅλως ὑετοῦ σταγόνας
εἴτε ψάμμον ἀριθμῆσαι,
ἀλλά καί λοιπῶν κτισμάτων
τά μεγέθη τε καί κάλλη
ἤ τάς φύσεις καί τάς θέσεις
ἤ τάς τούτων τε αἰτίας,
ὡς εἰσίν, οὐδείς ἰσχύσει
ἤ εἰπεῖν ἤ ἐννοῆσαι,
πῶς τοῦ κτίστου δυνηθείη
ἐξειπεῖν τήν εὐσπλαγχνίαν,

ἥν ἐνδείκνυται, μεθ’ ὧνπερ
ἑνωθῇ ψυχῶν ἁγίων;
Πάντως γάρ θεοῖ κἀκείνας
τῇ ἑνώσει τῇ οἰκείᾳ·
θεωθείσης ψυχῆς τοίνυν
ὁ βουλόμενος τοῦ λέγειν
τρόπους ταύτης ἤ τήν φύσιν,
τήν διάθεσιν, τήν γνώμην,
ἤ τά κατ’ αὐτήν σοι πάντα
διηγεῖσθαι, ὡς οὐκ οἶδε,
ποταπός σοι διά λόγου παραστῆσαι
ὁ Θεός ἐστιν, πειρᾶται.
Ἀλλ’ οὐκ ἔξεστι τοιαῦτα
ἐκζητεῖν τούς ἐν τῷ κόσμῳ
ἤ τούς κατά σάρκα ζῶντας,
ἀλλά πίστει μόνῃ ταῦτα
δεχομένους ἐκμιμεῖσθαι
βίους τῶν ἁγίων πάντων,
δάκρυσι καί μετανοίᾳ
καί λοιπῇ σκληραγωγίᾳ,
πειρασμῶν ὑπομονῇ τε
τρέχειν, ὅπως ἔξω κόσμου
γένωνται, ὡς εἴρηταί μοι,
καί εὑρήσουσιν, ὡς εἶπον,
ἅπαντα ἀπαραλείπτως.
Ἐκπλαγήσονται δ’ εὑρόντες
καί θαυμάσονται, κἀμοῦ δέ
τοῦ ἀθλίου ὑπερεύξονται,
ἵνα τούτων μή ἐκπέσω,
ἀλλ’ αὐτῶν ἐκείνων τύχω,
ὧνπερ καί τυχεῖν ἐπόθουν
καί ποθῶ καί πόθῳ πόθον
ἀμαυρῶ καί ἀπαμβλύνω.
Ἤκουσάς ποτε τοιοῦτον;
Πόθος γάρ πόθον ἀνάπτει
καί τό πῦρ τρέφει τήν φλόγα·
ἐν ἐμοί δ’ οὐκ ἔστιν οὕτως,
ἀλλά - πῶς εἰπεῖν οὐκ ἔχω -
ἔρωτος τό ὑπερβάλλον
σβέννυσι τόν ἔρωτά μου.
Οὐκ ἐρῶ γάρ, ὅσον θέλω,

καί λογίζομαι μηδ’ ὅλως
ἔρωτα Θεοῦ κεκτῆσθαι.
Ἐκζητῶν δέ ἀκορέστως
τοῦ ἐρᾶν με, ὅσον θέλω,
προσαπόλλω καί ὅν εἶχον
ἔρωτα θεοῦ, ὤ θαῦμα!
Ὥσπερ θησαυρόν ὁ ἔχων
καί φιλάργυρος τυγχάνων,
ὅτι μή τά πάντα ἔχει,
οὐ δοκεῖ τι ὅλως ἔχειν,
κἄν πολύ χρυσίον ἔχῃ,
οὕτω δή δοκῶ πανθάνειν
ὁ ταλαίπωρος ἐν τούτῳ,
ὅτι μή ποθῶ, ὡς θέλω,
μηδέ ὅσον πάντως θέλω,
οὐ δοκῶ ποθεῖν κἄν ὅλως.
Τό ποθεῖν οὖν ὅσον θέλω
ὑπέρ πόθον πόθος ἔστι,
καί βιάζω μου τήν φύσιν,
ὑπέρ φύσιν ἀγαπῆσαι·
ἀσθενοῦσα δέ ἡ φύσις
καί αὐτῆς ἀποστερεῖται
ἧσπερ κέκτηται ἰσχύος,
καί νεκροῦται παραδόξως
ζῶν ὁ ἔρως τότε μᾶλλον·
ζῇ γάρ ἐν ἐμοί καί θάλλει.
Πῶς σοι εἴπω, ὅτι θάλλει;
Ἀπορῶ παραδειγμάτων.
Τοῦτο μόνον δέ σοι φράσω,
ὅτι λόγῳ τά τοιάδε
πᾶς ἀδυνατεῖ ἐκφράζειν.
Δῴη ἅπασιν ὁ μόνος
Θεός ὤν καί τῶν τοιούτων,
ἀγαθῶν ὑπάρχων ὄντως
παροχεύς τοῖς ἐκζητοῦσι
μετανοίᾳ τά τοιαῦτα,
τοῖς πενθοῦσι καί θρηνοῦσι
καί καλῶς καθαιρομένοις
ἀπολαῦσαι τῶν τοιούτων,
ἐν μεθέξει γενομένοις
ἀπ’ ἐντεῦθεν ἐν αἰσθήσει

καί συνεκδημῆσαι τούτοις
καί ἐν τούτοις καταπαῦσαι
καί ζωῆς ἐπαπολαῦσαι
αἰωνίου καί τῆς δόξης
κοινωνούς τῆς ἀπορρήτου
διά τούτων εὑρεθῆναι!
Ἀμήν.

## Λ'. Πρός ἕνα τῶν μαθητῶν, ὅτι ταῖς καθαρθείσαις ψυχαῖς διά δακρύων καί μετανοίας προσψαῦσαν τό θεῖον τοῦ Πνεύματος πῦρ δράσσεται αὐτῶν καί πλεον καθαίρει, φωτίζον τά ὑπό τῆς ἁμαρτίας ἐσκοτισμένα μέρη αὐτῶν καί τά τραύματα ἐξιώμενον εἰς τελεῖαν φέρει συνούλωσιν, ὡς τῷ θείῳ κάλλει ὑπεραστράπτειν αὐτάς.

Ἔστι πῦρ τό θεῖον ὄντως,
ὅπερ εἶπεν ὁ Δεσπότης,
ὅτι ἦλθεν ἵνα βάλῃ
ἐπί ποίαν γῆν, εἰπέ μοι·
ἐπί τούς ἀνθρώπους πάντως,
τούς τά γήϊνα φρονοῦντας,
ὅπερ ἤθελε καί θέλει
τοῦ ἀνάπτεσθαι ἐν πᾶσιν.
Ἄκουσον καί γνῶθι, τέκνον,
θείων μυστηρίων θάθος!
Τό οὖν πῦρ τοῦτο τό θεῖον
ποταπόν εἶναι λογίζῃ;
Ἆρα ὁρατόν ἤ κτιστόν
ἤ ληπτόν ὑπολαμβάνεις;
Οὐμενοῦν καί γάρ ὑπάρχεις
ἐν μυήσει τοῦ τοιούτου
καί ἐπίστασαι βεβαίως
ἄληπτον αὐτό ὑπάρχειν,
ἄκτιστον, ἀόρατόν γε,
ἄναρχόν τε καί ἄϋλον,
ἀναλλοίωτον εἰς ἅπαν,
ἀπερίγραπτον ὡσαύτως,
ἄσβεστον, ἀθάνατον,
ἀπερίληπτον πάντῃ,
ἔξω πάντων τῶν κτισμάτων,
τῶν ἐνύλων καί ἀΰλων,
ὁρατῶν καί ἀοράτων,
ἀσωμάτων καί ἐνσάρκων,
ἐπιγείων, οὐρανίων·
τούτων πάντων ἔστιν ἔξω

κατά φύσιν, κατ’ οὐσίαν,
ναί δή, καί κατ’ ἐξουσίαν.
Τοῦτο οὖν ἐν ποίᾳ ὕλῃ
ἐμβληθήσεται, εἰπέ μοι;
Ἐν ψυχαῖς ἐχούσαις ἄρα
ἔλεον δαψιλεστάτως
καί πρό τούτου καί σύν τούτῳ
πίστιν, ἔργα τε τήν πίστιν
βεβαιοῦντα κεκτημέναις
ταύταις, ὡσεί λύχνῳ πλήρει
καί ἐλαίου καί στυπείου
πῦρ ἐμβάλλει ὁ Δεσπότης,
ὅ ὁ κόσμος οὐ κατεῖδεν
οὐδέ κατιδεῖν ἰσχύει
(Κόσμον λέγω τούς ἐν κόσμῳ
καί τά κοσμικά φρονοῦντας).
Ὥσπερ ἅπτει δέ ὁ λύχνος,
ἐν τοῖς αἰσθητοῖς σοι λέγω,
ὅταν τῷ πυρί προσψαύσῃ,
οὕτω καί πνευματικῶς μοι νόει
λέγειν ταῖς ψυχαῖς προσψαύειν
καί ἀνάπτειν πῦρ τό θεῖον.
Πρίν προσψαύσῃ, πῶς ἀνάψει;
Πρίν βληθῇ δέ, πῶς προσψαύσει;
Ὄντως οὐδαμῶς, οὐδ’ ὅλως!
Ὅταν δέ ὁ λύχνος ἅπτῃ
καί τρανῶς φωτίζῃ πάντας,
καί τό ἔλαιον ἐκλείψῃ,
οὐ σβεσθήσεται ὁ λύχνος;
Θέα μοι καί ἄλλο μεῖζον,
ὅ φοβεῖ με πλέον πάντων!
Φαίνοντά μου λύχνον μέγα
ἐν ἐλαίου δαψιλείᾳ,
ἀφθονίᾳ τε στυπείου,
μῦς ἐλθών ἤ ἕτερόν τι
ἤ κατέστρεψε τόν λύχνον
ἤ κατά μικρόν ἐκλεῖξαν
ἔπιε τό ἔλαιόν τε
ἔφαγέ τε τό στυπεῖον
καί τήν λαμπάδα ἔσβεσε.
Τό δ’ ἔτι θαυμαστότερον,

ὅτι τό στυπεῖον ὅλον,
ὅπερ θρυαλλίς καλεῖται,
ἐμπεσόν ἐν τῷ ἐλαίῳ
σβέννυται τό πῦρ εὐθέως,
καί ὑπάρχει μοι ὁ λύχνος
σκοτεινός, ὅλως μή φαίνων·
λύχνον νόει τήν ψυχήν μου,
ἔλαιον τάς ἀρετάς δέ,
τόν δέ νοῦν μου θρυαλλίδα,
ἐν αὐτῷ δέ πῦρ τό θεῖον
φαῖνον καί καταφωτίζον
τήν ψυχήν ὁμοῦ καί οἶκον
ὅλον ὅλου σώματός μου
καί τούς ἐν τῷ οἴκῳ πάντας
λογισμούς καί ἐνθυμήσεις.
Οὕτω φαίνοντος δέ τούτου
ἐάν φθόνος παρεμπέσῃ
ἤ μνησικακίας πάθος
ἤ φιλοδοξίας ἔρως
ἤ ἄλλη τις ἐπιθυμία
ἡδονῆς τινος ἤ πάθους
καί τόν λύχνον καταστρέψῃ
ἤγουν πρόθεσιν ψυχῆς μου,
ἤ τό ἔλαιον ἐκλείξῃ,
τό τῶν ἀρετῶν σοι λέγω,
ἤ ἄλλως θρυαλλίδα
ὄντα μου τόν νοῦν, ὡς εἶπον,
καί ἐν ἑαυτῷ τό θεῖον
ἔχοντα φῶς λάμπον μέγα,
καταφάγῃ πονηραῖς ἐννοίαις τοῦτο
ἤ καί ὅλον ἀπορρίψῃ
ἔνδοθεν ἐν τῷ ἐλαίῳ
ἤγουν ἐν τῷ ἐνθυμεῖσθαι
ἀρετῶν αὐτοῦ τάς πράξεις
καί εἰς οἴησιν ἐντεῦθεν
ἐμπεσών ἐκτυφλωθείη,
καί τόν λύχνον μου ἐκ τούτων
ἤ τυχόν τινος ἐξ ἄλλου,
εἰ συμβῇ ἀποσβεσθῆναι,
ποῦ τό πῦρ ὑπάρχειν τότε
ἤ τί γίνεσθαι εἴπῃς μοι,

παραμένειν ἐν τῷ λύχνῳ
ἤ χωρίζεσθαι τοῦ λύχνου;
Ὢ ἀγνοίας, ὢ μανίας!
Πῶς ἐνδέχεται τόν λύχνον
δίχα τοῦ πυρός ἐξάπτειν,
ἤ τό πῦρ τῆς ὕλης ἄνευ
παραμένειν ἐν τῷ λύχνῳ;
Πάντοτε τό πῦρ τῆς ὕλης
δράσσεσθαι ποθεῖ καί θέλει,
ἀλλ' ἡμῶν ὑπάρχει πάντως
τό προευτρεπίσαι ταύτην
καί παρέξαι εὐπροθύμως
ἑαυτούς ἡμᾶς ὡς λύχνους
ἐν ἐλαίῳ καί παντοίαις
ἀρεταῖς κεκοσμημένους,
τοῦ νοός δέ θρυαλλίδα
εὐθυβόλως προβαλέσθαι,
ἵνα τῷ πυρί προσψαύσῃ
καί κατά μικρόν ἀνάψῃ,
οὕτω τε συμπαραμένῃ
τοῖς αὐτό προσκτησαμένοις.
Ἄλλως γάρ - μηδείς πλανάσθω -
οὐχ ὁρᾶται, οὐ κρατεῖται,
οὐ συνέχεται κἄν ὅλως.
Ἔστι γάρ, καθάπερ εἶπον,
ἔξω τῶν κτισμάτων πάντων,
γίνεται ληπτόν δ' ἀλήπτως
τῇ ἑνώσει τῇ ἀρρήτῳ
καί περιγραπτόν ὡσαύτως
ἐν ἀπεριγράπτῳ τρόπῳ.
Ταῦτα δέ μή λόγοις ὅλως
μηδέ ἐπινοίας ζήτει,
ἀλλά πῦρ λαβεῖν ἐξαίτει,
ὅ διδάσκει καί δεικνύει
ἐναργῶς τοῖς κεκτημένοις
ταῦτα πάντα καί τά τούτων
μυστικώτερα ἀφράστως.
Μυστικώτερα δέ τούτων
ἄκουσον, εἰ βούλει, τέκνον!
Ὅταν λάμψῃ καθώς εἶπον,
καί τό σμῆνος ἐκδιώξῃ

τῶν παθῶν καί ἐκκαθάρῃ
σοῦ τόν οἶκον τῆς ψυχῆς σου,
τότε μίγνυται αὐτῇ ἀμίκτως
καί ἑνοῦται ἀπορρήτως,
ἐνουσίως τῇ οὐσίᾳ
ταύτης ὅλον ὅλῃ πάντως
καί κατά μικρόν λαμπρύνει,
ἐκπυροῖ τε καί φωτίζει
καί, τό πῶς εἰπεῖν οὐκ ἔχω,
γίνονται εἰς ἕν τά δύο,
ἡ ψυχή μετά τοῦ κτίστου
καί ἐν τῇ ψυχῇ ὁ κτίστης
μόνος μετά μόνης ὅλος,
ὁ συνέχων πᾶσαν κτίσιν
ἐν τῇ ἑαυτοῦ παλάμῃ.
Μή διστάσῃς, οὗτος ὅλος
σύν Πατρί καί τῷ Πνεύματι
ἐν μιᾷ ψυχῇ χωρεῖται
καί ψυχήν ἐντός ἐκείνου
ὅλην συμπεριλαμβάνει.
Νόει, βλέπε, σκόπει ταῦτα!
Τό γάρ ἄστεκτόν σοι εἶπον
καί ἀπρόσιτον ἀγγέλοις
φῶς ἐντός ψυχήν κατέχειν,
ἐν ψυχῇ οἰκεῖν δέ αὖθις
καί μή φλέγειν ταύτην ὅλως.
Ἔγνω βάθος μυστηρίου;
Ὁ μικρός ἐν ὁρωμένοις
ἄνθρωπος, σκιά καί κόνις,
ἔχει τόν Θεόν ἐν μέσῳ
ὅλον, οὗ ἐν τῷ δακτύλῳ
ἀποκρέμαται ἡ κτίσις,
καί τό εἶναι πᾶς τις ἔχει
καί τό ζῆν καί τό κινεῖσθαι,
νοῦς ἅπας, ψυχή καί λόγος
λογικῶν ἔχει ἐκ τούτου,
ἀλλά καί ἀλόγων πνεῦμα
καί πάντων ὡσαύτως ζῴων,
νοερῶν καί αἰσθητῶν τε,
τό εἶναι ἐντεῦθεν ἔχει
Τοῦτον ἔχων, ὅστις ἕξει,

καί ἐντός αὐτοῦ βαστάζων
καί ὁρῶν αὐτοῦ τό κάλλος,
πῶς ὑποίσει πόθου φλόγα,
πῶς ἐνέγκῃ πῦρ ἀγάπης,
πῶς θερμόν οὐκ ἀποστάξει
δάκρυον ἐκ τῆς καρδίας,
πῶς τά θαύματα ἐξείπει,
πῶς δέ ταῦτα ἀριθμήσει,
ἅπερ ἐν αὐτῷ τελοῦνται;
Πῶς καί σιωπήσει ὅλως
βιαζόμενος τοῦ λέγειν;
Βλέπει γάρ αὐτόν ἐν ᾅδη,
τοῦ φωτός τῇ λάμψει λέγω·
οὐδείς γάρ ἄλλως ἑαυτόν
τῶν ἐκεῖ καθεζομένων
πρό τοῦ λαμψαι φῶς τό θεῖον
ἑαυτόν ἐπιγινώσκει,
ἀλλ' εἰσίν ἐν ἀγνωσίᾳ
τοῦ ἐν ᾧ κρατοῦνται ζόφου
καί φθορᾶς καί τοῦ θανάτου.
Ὅμως βλέπει, ἔνθα λάμπει,
ἡ ψυχή ἐκείνη λέγω,
καί νοεῖ, ὅτι ἐν σκότει
ὅλη ἦν τῷ δεινοτάτῳ
καί φρουρᾷ ἀσφαλεστάτῃ
βαθυτάτης ἀγνωσίας.
Τότε βλέπει, ἔνθα κεῖται,
ἔνθα ἔστι καθειργμένη,
ὅλον βόρβορον τόν τόπον,
ἀκαθάρτων ἰοβόλων
ἑρπετῶν μεμεστωμένον,
ἑαυτήν δέ δεδεμένην
καί δεσμοῖς κατεσφιγμένην
χεῖρας ἅμα τε καί πόδας
καί αὐχμῶσαν καί ῥυπῶσαν,
τετραυματισμένην ἅμα
δήγμασι τῶν ἑρπετῶν
καί τάς σάρκας οἰδαινούσας
ἑαυτῆς φέρουσαν ἅμα
μετά πλήθους γε σκωλήκων.
Ταῦτα βλέπων πῶς οὐ φρίξει,

πῶς οὐ κλαύσει, πῶς οὐ κράξει
καί θερμῶς μετανοήσει
καί αἰτήσεται ῥυσθῆναι
τῶν δεσμῶν τῶν δεινοτάτων;
Ὄντως πᾶς ὁ ταῦτα βλέπων
καί στενάξει καί θρηνήσει
καί συνέπεσθαι θελήσει
τῷ τό φῶς ἐκλάμψαντι Χριστῷ.
Ταῦτα οὖν ποιῶν, ὡς εἶπον,
καί τῷ λάμψαντι προσπίπτων
- Θέα μοι καλῶς ἅ λέξω! -
ἅπτεται χερσίν ὁ λάμψας
τῶν δεσμῶν μου καί τραυμάτων·
ἔνθα δέ ἡ χείρ προσψαύσει
ἤ δακτύλῳ προσεγγίσει,
λύονται δεσμά εὐθέως,
σκώληκες ἀπονεκροῦνται,
πίπτουσι τά τραύματα δέ,
συνεκπίπτει τούτοις ῥύπος
καί κηλίς μικρά σαρκός μου,
γίνεται συνούλωσίς τε
ἀθρόως ἐπί τοσοῦτον,
ὡς οὐλήν μή καθορᾶσθαι
ὅλως ἐν ἐκείνῳ τόπῳ,
ἀπαστράπτοντα δέ μᾶλλον
ὅμοιον χειρός τῆς θείας
ἀπεργάζεται τόν τόπον.
Θαῦμα ξένον γε, ἡ σάρξ μου,
τῆς ψυχῆς λέγω οὐσίαν,
ναί δή, καί τοῦ σώματός μου,
δόξης θείας μετασχόντα
αἴγλην ἀπαστράπτει θείαν.
Καθορῶν τοῦτο ἐν μέρει
τελεσθέν τοῦ σώματός μου,
πῶς τό ὅλον οὐ ποθήσω
σῶμά μου καί ἱκετεύσω
τῶν κακῶν ἀπαλλαγῆναι
καί ὑγείας, οἵας εἶπον,
δόξης τε τυχεῖν ὡσαύτως;
Ὅμως οὕτως μου ποιοῦντος,
μᾶλλον δέ καί θερμοτέρως,

καί μου καταπληττομένου
ἀναλόγως τῶν θαυμάτων,
χεῖρα τήν αὐτοῦ Δεσπότης,
ὁ καλός, μετακινήσας
τά λοιπά τοῦ σώματός μου
περιέρχεται, καί βλέπω
ταῦτα, ᾧ προέφην τρόπῳ,
καθαιρόμενα καί δόξαν
ἐνδυόμενα τήν θείαν.
Καθαρθέντος οὖν αὐτίκα
καί δεσμῶν ἀπαλλαγέντος,
δίδωσί μοι χεῖρα θείαν,
ἀνιστᾷ με τοῦ βορβόρου,
ὅλος περιπλέκεταί με,
ἐπιπίπτει τῷ τραχήλῳ
- Οἴμοι, πῶς ὑποίσω ταῦτα; -
καί καταφιλεῖ συχνῶς με.
Ἐκλυθέντα δέ με ὅλον
καί ἰσχύν ἀποβαλόντα
- Φεῦ μοι, πῶς χαράξω ταῦτα; -
αἴρει με ἐπί τῶν ὤμων
- ὤ ἀγάπη, ὤ χρηστότης! -
καί ἐξάγει με τοῦ ᾅδου,
τοῦ τε χώρου καί τοῦ ζόφου
καί εἰσάγει με εἰς ἄλλον
εἴτε κόσμον ἤ ἀέρα,
ὅλως ἐξειπεῖν οὐκ ἔχω.
Τοῦτο οἶδα, ὅτι φῶς με
καί βαστάζει καί συνέχει
καί πρός φῶς εἰσάγει μέγα,
οὗ τό μέγα θεῖον θαῦμα
οὐδέ ἄγγελοι ἐκφράσαι
ἤ εἰπεῖν ἐξισχύσουσιν ἀλλήλοις
κἄν ὅλως, ὥς γε δοκῶ.
Γενομένῳ μοι δ’ ἐκεῖσε
ἄλλα μοι δεικνύει πάλιν,
τά ἐν τῷ φωτί, σοί λέγω,
μᾶλλον τά ἐκ τοῦ φωτός δέ,
τήν ἀνάπλασιν τήν ξένην
δίδωσι κατανοεῖν μοι,
ἥν αὐτός ἀνέπλασέ με

καί φθορᾶς ἀπήλλαξέ με
καί θανάτου ἐν αἰσθήσει
ὅλον ἠλευθέρωσέ με
καί ζωήν ἀθάνατόν μοι
ἐδωρήσατο καί κόσμου
τοῦ φθαρτοῦ καί τῶν τοῦ κόσμου
πάντων ἀπεχώρισέ με
καί στολήν ἐνέδυσέ με
ἄϋλον φωτοειδῆ τε,
ὑποδήματα ὡσαύτως
καί δακτύλιον καί στέφος
ἄφθαρτα ἀΐδιά τε,
ἅπαντα ξένα τῶν ὧδε.
Ἐποίησέ με ἀναφῆ,
ἀψηλάφητον, ὤ θαῦμα,
καί ἀόρατον ὁμοίως,
συνημμένον ἀοράτοις.
Οὕτως οὖν με καί τοιοῦτον
ἐργασάμενος ὁ κτίστης
ἐν σκηνῇ εἰσήγαγέ με
αἰσθητῇ, σωματικῇ γε
καί ἐνέκλεισεν ἐν ταύτῃ
καί κατησφαλίσατό με,
καί καταγαγών δ’ ἐν κόσμῳ
αἰσθητῷ καί ὁρατῷ τε
πάλιν ἔθετο βιοῦν με
καί συνεῖναι τοῖς ἐν σκότει
τόν ἀπαλλαγέντα σκότους,
καί καθεῖρχθαι μετ’ ἐκείνων,
τῶν ἐν τῷ βορβόρῳ λέγω·
μᾶλλον δέ διδάσκειν τούτοις,
εἰς ἐπίγνωσίν τε ἄγειν,
ὧν περίκεινται τραυμάτων
καί ὧν δεσμῶν κατέχονται.
Ἐντειλάμενος ἀπῆλθεν.
Ἐγκαταλειφθείς οὖν μόνος,
ἐν τῷ πρῴην σκότει λέγω,
οὐκ ἠρκέσθην, οἷσπερ εἶπον
ὅτι ἐσωρήσατό μοι,
ἀγαθοῖς ἀνεκλαλήτοις
ὅλον με ἀνακαινίσας,

ὅλον με ἀθανατίσας
ὅλον με θεοποιήσας
καί Χριστόν ἀποτελέσας.
Ἀλλ’ ἡ στέρησις ἐκείνου
λήθν πάντων ἐνεποίει
τῶν καλῶν, ὧν εἶπον, τούτων,
καί ἐδόκουν ἐστερῆσθαι.
Διά τοῦτο ὡς τοῖς πρῴην
ἐμπαγείς κακοῖς ἠχθόμην
καί καθήμενος ἐν μέσῳ
τῆς σκηνῆς, ὥσπερ ἐν θήβῃ
ἤ ἐν πίθῳ κεκλεισμένος,
ἔκλαιον, ἐθρήνουν σφόδρα
ἔξωθεν ὅλως μή βλέπων.
Ἐξεζήτουν γάρ ἐκεῖνον,
ἐκεῖνον ὅνπερ ἐπόθουν,
οὗ ἠράσθην, οὗ τῷ κάλλει
ὡραιότητος ἐτρώθην,
ἐφλεγόμην, ἐκαιόμην,
ὅλος ἐνεπυριζόμην.
Οὕτως οὖν διάγοντά με,
ούτω καί δακρύοντά με,
ἐκτηκόμενόν τε ἅμα
καί δεινῶς με μαστιζόμενον
καί βοῶντα κατωδύνως,
τῆς κραυγῆς μου ἐπακούσας,
ἀπό ἀνεικάστου ὕψους
διακύψας καί ἰδών με
κατηλέησε καί αὖθις
κατιδεῖν ἠξίωσέ με
τόν ἀόρατον τοῖς πᾶσιν,
ὅσον ἐφικτόν ἀνθρώπῳ.
Ὅν ἰδών ἐξεθαμβήθην
ἐν οἰκίᾳ καθειργμένος
καί ἐν πίθῳ κεκλεισμένος
καί τοῦ σκότους ὢν ἐν μέσῳ,
οὐρανοῦ καί γῆς σοι λέγω.
Αἰσθητῶς καλῶ γάρ σκότος,
ἐπεί ἅπαντας ἀνθρώπους
καί τάς τούτων διανοίας
αἰσθητοῖς συγκεκραμένας

ἐν τούτοις ὄντας ταῦτα
συγκαλύπτουσι βαρέως.
Ὅμως ὤν ἐν τούτοις εἶδον
τόν προόντα, καθώς εἶπον
καί νῦν ὄντα πάντων ἔξω νοερῶς,
καί ἐθαύμασα, ἐξέστην,
ἐφοβήθην καί ἐχάρην.
Καί κατανοῶν τό θαῦμα,
πῶς τόν ἔξω πάντων ὄντα
ἔνδον ὤν ἐγώ τῶν πάντων
βλέπω μόνος βλέποντά με,
μή γινώσκων, ποῦ ὑπάρχει,
πόσος ἔστι, ποταπός δέ
ἤ ὁποῖος, ὅν καί βλέπω,
ἤ πῶς βλέπω ἤ τί βλέπω·
ὅμως βλέπων ἅπερ εἶδον,
καί θρηνῶν, ὅτι μή γνῶναι
δύναμαι τόν τρόπον τοῦτον
μηδέ ὅλως ἐννοῆσαι
ἤ ποςῶς κατανοῆσαι,
πῶς, ὅν βλέπω, πῶς με βλέπει,
εἶδον πάλιν τοῦτον ἔνδον
τῆς οἰκίας καί τοῦ πίθου
ὅλον αἴφνης γεγονότα,
ἑνωθέντα τε ἀφράστως,
ἀπορρήτως συναφθέντα
καί μιγέντα μοι ἀμίκτως
ὡς τό πῦρ αὐτῷ σιδήρῳ
καί τό φῶς γε τῷ ὑέλῳ,
καί ἐποίησεν ὡς πῦρ με
καί ὡς φῶς ἀπέδειξέ με,
καί ἐκεῖνο ἐγενόμην,
ὅπερ ἔβλεπον πρό τούτου
καί μακρόθεν ἐθεώρουν,
καί οὐκ οἶδα, πῶς σοι φράσω
τό παράδοξον τοῦ τρόπου·
οὐ γάρ ἠδυνήθην γνῶναι,
οὐδέ νῦν γινώσκω πάντως,
πῶς εἰσῆλθε, πῶς ἡνώθη.
Ἑνωθείς δέ, πῶς σοι εἴπω
τίς ἐστιν ὁ ἑνωθείς μοι,

τίνι δέ κἀγώ ἡνώθην;
Φρίττω καί φοβοῦμαι μήπως,
ἐάν εἴπω, ἀπιστήσας
περιπέσῃς βλασφημίᾳ
ἐξ ἀγνοίας καί ψυχήν σου
ἀπολέσῃς, ἀδελφέ μου.
Ὅμως ἕν ἐγώ κἀκεῖνος,
ᾧ ἡνώθην, γεγονότες,
τίνα ἐμαυτόν καλέσω;
Ὁ Θεός διπλοῦς τήν φύσιν,
τήν ὑπόστασιν εἷς ὤν,
διπλοῦν με εἰργάσατο.
Ἐργασάμενος διπλοῦν δέ
διπλᾶ καί ὀνόματα,
ὡς ὁρᾷς, παρέσχε μοι.
Βλέπε τήν διαίρεσιν!
Ἄνθρωπός εἰμι τῇ φύσει,
Θεός δέ τῇ χάριτι.
Ὅρα ποίαν χάριν λέγω
ἕνωσιν τήν μετ᾽ ἐκείνου
αἰσθητῶς καί νοερῶς τε,
οὐσιωδῶς καί πνευματικῶς τε!
Ἀλλά τήν μέν νοεράν ἐξεῖπον
ἕνωσίν σοι διαφόρως
καί ποικίλως, αἰσθητήν δέ
τήν τῶν μυστηρίων λέγω.
Καθαρθείς γάρ μετανοίᾳ
καί τοῖς τῶν δακρύων ῥείθροις,
σώματος τεθεωμένου
ὡς Θεοῦ μεταλαμβάνων
Θεός κἀγώ γίνομαι
τῇ ἑνώσει τῇ ἀφράστῳ.
Ὅρα τό μυστήριον!
Ἡ ψυχή οὖν καί τό σῶμα,
ἵνα ταῦτα πάλιν εἴπω
ἐκ πολλῆς περιχαρείας,
ἕν ἐν οὐσίαις ταῖς δυσί·
ταῦτα οὖν τά ἕν δύο
τοῦ Χριστοῦ μεταλαβόντα
καί τοῦ αἵματος πιόντα
ἀμφοτέραις ταῖς οὐσίαις

καί ταῖς φύσεσιν ὡσαύτως
ἑνωθέντα τοῦ Θεοῦ μου
γίνονται Θεός μεθέξει,
ὁμωνύμως τε καλοῦνται
τῷ ὀνόματι ἐκείνου,
οὗ οὐσιωδῶς μετέσχον.
Λέγεται οὖν πῦρ ὁ ἄνθραξ
καί ὁ σίδηρος ὁ μέλας
πυρωθείς ὡς πῦρ ὁρᾶται.
Εἰ τοιοῦτος οὖν ὁρᾶται,
καί τοιοῦτος ἄν κληθείη·
πῦρ ὁρᾶται, πῦρ κληθείη.
Εἰ μή σεαυτόν τοιοῦτον
ἔγνως, τοῖς περί τοιούτων
μή ἀπίστει λέγουσί σοι,
ἀλλά ζήτησον ἐξ ὅλης
τῆς καρδίας σου καί λήψῃ
μαργαρίτην ἤ σταγόνα
ἤ σινάπεως ὡς κόκκον,
ὡς σπινθῆρα θεῖον σπόρον.
Πῶς ζητήσεις, ὅ σοι λέγω;
Ἄκουσον, σπουδῇ τε πρᾶξον,
καί εὑρήσεις ἐν συντόμῳ·
λάβε μοι σαφῆ εἰκόνα,
τήν τοῦ λίθου καί σιδήρου·
ἔνεστι καί γάρ ἐν τούτοις
τοῦ πυρός ἡ φύσις πάντως,
οὐχ ὁρᾶται δέ κἄν ὅλως.
Συγκρουόμενα δέ ὅμως
συνεχῶς πυρός σπινθῆρας
ἀποπέμπουσι καί πᾶσι
καθορῶνται μέν ἐν πρώτοις,
οὐκ ἀνάπτονται δέ ὅμως,
εἰ μή δράξωνται καί ὕλης.
Ταύτῃ δ' ἑνωθείς ἐκ τούτων
εἷς σπινθήρ μικρός εἰς ἅπαν
ἐξανάπτει κατ' ὀλίγον
καί εἰς ὕψος αἴρει φλόγοα
καί φωτίζει τήν οἰκίαν
καί τό σκότος ἐκδιώκει
καί ποιεῖ τοῦ βλέπειν πάντας,

τούς ἐν τῇ οἰκίᾳ ὄντας.
Εἶδες θαῦμα; Λέγε οὖν μοι·
Πρό τοῦ συνεχῶς κρουσθῆναι
πῶς ἐκπέμψουσι σπινθῆρας;
Ἄνευ δέ σπινθῆρος ὕλη
αὐτομάτως πῶς ἀνάψει;
Πρίν ἀνάψει, πῶς φωτίσει,
πῶς τό σκότος ἐκδιώξει,
πῶς τοῦ βλέπειν σοι παράσχει;
Οὐδαμῶς, μοί πάντως εἴπῃς,
δυνατόν ποτε γενέσθαι.
Οὕτως οὖν καί σύ ποιῆσαι
προθυμήθητι καί λήψῃς
- Τί σοι λέγω, ὅτι λήψῃ; -
θείας φύσεως σπινθῆρα,
ὅν ὡμοίωσεν ὁ κτίστης
πολυτίμῳ μαργαρίτῃ
καί σινάπεως τῷ κόκκῳ.
Τί ποιῆσαι δέ σοι λέγω;
Ἄκουσον ἐμπόνως, τέκνον·
ἔστω σοι ψυχή καί σῶμα
ἀντί λίθου καί σιδήρου,
ὁ δέ νοῦς ὡς αὐτοκράτωρ
τῶν παθῶν ἀδολεσχείτω
πράξεσι ταῖς ἐναρέτοις
καί ἐννοίαις θεαρέστοις
καί ὡς λίθον μέν τό σῶμα,
ὡς δέ σίδηρον τήν ψυχήν
χερσί νοηταῖς κρατήσας
ἑλκυέτω καί ἀγέτω
πρός τάς πράξεις μετά βίας·
βιαστή καί γάρ ὑπάρχει
οὐρανῶν ἡ βασιλεία.
Ποίας πράξεις δέ σοι λέγω;
Ἀγρυπνίαν καί νηστείαν,
θερμήν τε μετάνοιαν,
δακρύων ὄμβρους καί πένθος,
ἄπαυστον θανάτου μνήμην,
ἀδιάλειπτον εὐχήν τε
καί ὑπομονήν πάντοίων
πειρασμῶν ἐπερχομένων·

πρό τούτων πάντων σιωπήν
καί ταπείνωσιν βαθεῖαν
καί ὑπακοήν τελείαν
καί θελήματος ἐκκοπήν.
Τούτοις οὖν καί τοῖς τοιούτοις
ἡ ψυχή ἀδολεσχοῦσα
καί ἀεί συνεχομένη
λαμπηδόνας μέν ἐν πρώτοις
δέχεσθαι ποιεῖ τόν νοῦν σου,
ἀλλά σβέννυται συντόμως,
ὅτι οὔπω ἐλεπτύνθη,
ἵνα καί συντόμως ἅψῃ.
Ὅτε δέ καί τῆς καρδίας
ἅψεται βολίς ἡ θεία,
τότε καί αὐτήν φωτίζει
καί τόν νοῦν ἀποκαθαίρει
καί εἰς ὕψος τοῦτον αἴρει
καί  πρός οὐρανόν ἀνάγει
καί ἑνοῖ φωτί τῷ θείῳ.
Ἅ σοι εἶπον, πρίν  ποιήσῃς,
πῶς, εἰπέ μοι, καθαρθήσῃ;
Πρό τοῦ καθαρθῆναι δέ σε,
πῶς ὁ νοῦς σου λαμπηδόνας
ὑποδέξεται τάς θείας;
Πῶς δέ, λέγε μοι, καί πόθεν
ἄλλοθεν τῇ σῇ καρδίᾳ
ἐμπεσόν τό πῦρ τό θεῖον
ἀναφθήσεται καί ταύτην
ἐξανάψει καί πυρώσει
καί ἑνώσει καί συνάψει
καί ἀχώριστον ποιήσει
τό κτιστόν μετά τοῦ κτίστου;
Οὐδαμῶς ποτέ, μοί φήσεις,
τοῦτο δυνατόν ὑπάρξειν
οὐδενί τῶν γεννηθέντων
ἤ γεννήσεσθαι μελλόντων.
Τά δ’ ἐντεῦθεν μή ἐρώτα!
Εἰ ἑνωθῇς γάρ τῷ φωτί,
πάντα σοι αὐτό διδάξει
καί ἀποκαλύψει πάντα
καί καθυποδείξει, ὅσα

καί συμφέρει τοῦ μαθεῖν σε.
Ἄλλως γάρ ἀδύνατόν σε
τά ἐκεῖσε μαθεῖν λόγῳ·
τῷ Κυρίῳ ἡμῶν δόξα εἰς τούς αἰῶνας τῶν αἰώνων·
ἀμήν.

## ΛΑ'. Περί θεολογίας καί ὅτι ἀνεξερεύνητος ἡ θεία φύσις καί πάντῃ τοῖς ἀνθρώποις ἀκατανόητος.

Κύριε, ὁ Θεός ἡμῶν, Πάτερ, Υἱέ καί Πνεῦμα,
σύ τῇ μορφῇ ἀνείδεος, παγκαλής δέ τῇ θέᾳ,
τῷ ἀμηχάνῳ κάλλει σου ἀμαυρῶν πᾶσαν θέαν,
ὡραῖος ὑπέρ ὅρασιν ὑπέρκεισαι γάρ πάντων.
Ἄποσος ἐν ποσότητι, ὁρώμενος, οἷς βούλει,
οὐσία ὑπερούσιος, ἄγνωστος καί ἀγγέλοις·
ὅτι γάρ ἦς, γινώσκοντες ἐκ τῶν ἐνεργειῶν σου,
ἐπεί αὐτόν ὠνόμασας Θεόν, τόν ὄντως ὄντα,
τοῦτο οὐσίαν λέγομεν, ὑπόστασιν καλοῦμεν·
τό γάρ μή ὄν ἀνούσιον ὄν ἀνυπόστατον πέλει,
καί διά τοῦτο τολμηρῶς ἐνούσιον καλοῦμεν,
ἐνυπόστατον λέγομεν, ὅν οὐδείς ποτε εἶδε,
τόν τρισυπόστατον Θεόν, ἀρχήν ἄναρχον μίαν.
Ἄλλως δέ πῶς τολμήσωμεν οὐσίαν σε καλέσαι
ἤ ὑποστάσεις ἐπί σοῦ τρεῖς μεριστάς δοξάσαι;
Ὁποίαν δέ καί ἕνωσιν ὅλως τίς ἐννοήσει,
εἰ ὁ Πατήρ γάρ ἐν σοί καί σύν ἐν τῷ Πατρί σου
καί ἐξ αὐτοῦ τό Ἅγιοιν προέρχεταί σου Πνεῦμα
καί σύ αὐτός, ὁ Κύριος, τό Πνεῦμά σου ὑπάρχεις,
τό δέ Πνεῦμα ὁ Κύριος κέκλησαι καί Θεός μου
καί ὁ Πατήρ σου Πνεῦμα δέ καί ἔστι καί καλεῖται;
Οὐδείς δέ εἶδε σέ ποτέ ἀγγέλων ἤ ἀνθρώπων,
οὐ ταῦτα ἐθεάσατο, οὐ τόν τρόπον ἐπέγνω.
Πῶς εἴπῃ, πῶς δέ φθέγξοιτο, πῶς χωρισμόν τολμήσῃ
ἤ ἕνωσιν ἤ σύγχυσιν ἤ μίξιν ἤ καί κρᾶσιν,
τό ἕν δέ τρία προσειπεῖν, ἕν πῶς δέ τά τρία;
Διά τοῦτο οὖν, Δέσποτα, ἐξ ὧν εἶπας πιστεύει,
ἐξ ὧν ἐδίδαξας ὑμνεῖ πᾶς πιστός σου τό κράτος,
ἐπεί πάντα τά κατά σέ ἀκατάληπτα πάντῃ,
ἄγνωστα καί ἀνέκφορα τοῖς ὑπό σοῦ κτισθεῖσι.
Καί γάρ ἀκατανόητος ἐστίν ἡ ὕπαρξίς σου,
ὅτι πέφυκας ἄκτιστος, ἐγέννησας δ’ ὡσαύτως·
καί πῶς κτιστός νοήσει σου τῆς ὑπάρξεως τρόπον
ἤ τῆς γεννήσεως τοῦ σοῦ Υἱοῦ, Θεοῦ καί Λόγου,
εἴτε τῆς ἐκπορεύσεως Πνεύματός σου τοῦ Θείου,
ἵνα καί ἕνωσίν σου γνῷ καί χωρισμόν κατίδοι

καί ἀκριβῶς οὐσίας σου τό εἶδος καταμάθοι;
Οὐδείς οὐδέπω εἶδέ σου τούτων τι, ὧνπερ εἶπον.
Οὐ γάρ ἐνδέχεται Θεόν ἄλλον φύσει γενέσθαι,
ἵνα φύσεως τῆς σῆς ἐρευνῆσαι ἰσχύσῃ
οὐσίαν, εἶδος καί  μορφήν, ὑπόστασιν ὡσαύτως,
ἀλλ’ εἶ αὐτός ἐν σεαυτῷ, μόνος Τριάς Θεός εἶ,
μόνος γινώσκων σευτόν, Υἱόν σου καί τό Πνεῦμα
καί ὑπ’ αὐτῶν ὡς συμφυῶν γινωσκόμενος μόνων.
Οἱ δ’ ἄλλοι - ὥσπερ αἰσθητοῦ ἡλίου τάς ἀκτῖνας
καί οὗτοι καλῶς βλέποντες καί τηλαυγῶς ὁρῶντες
ἔνδον οἴκου καθήμενοι εἰσιούσας ὁρῶσιν,
ἐκεῖνοι δέ τόν ἥλιον ὅλως οὐ καθορῶσιν -
οὕτω τῆς δόξης σου τό φῶς, οὕτω τάς λαμπηδόνας,
καί ταύτας ἐν αἰνίγματι νοΐ κεκαθαρμένῳ,
οἱ ἐκ ψυχῆς ζητοῦντές σε βλέπειν καταξιοῦνται·
σέ δέ, ὁποῖος, ποταπός τῇ οὐσίᾳ τυγχάνεις
ἤ πῶς ἅπαξ ἐγέννησας καί γεννᾷς ἀεννάως
καί οὐ χωρίζῃ τοῦ ἐκ σοῦ γεννωμένου, ἀλλ’ ἔστιν
ὅλος ἐν σοί, ὅλος πληρῶν θεότητι τά πάντα,
ὅλος γε μένεις ἐν αὐτῷ τῷ Υἱῷ ὁ Πατήρ δέ
καί σοῦ ἐκπορευόμενον ἔχεις τό Θεῖον Πνεῦμα,
πάντα γινῶσκον καί πληροῦν, Θεός ὄν κατ’ οὐσίαν
καί σοῦ μή χωριζόμενον, ἐκ σοῦ γάρ καί πηγάζει.
Σύ εἶ πηγή τῶν ἀγαθῶν, πᾶν δ’ ἀγαθόν Υἱός σου,
νέμων διά τοῦ Πνεύματος αὐτά πᾶσιν ἀξίως,
εὐσπλάγχνως, φιλανθρώπως τε ἀγγέλοις καί ἀνθρώποις.
Οὐδείς ἀγγέλων εἶδέ σου, οὐδείς ποτε ἀνθρώπων
τήν ὕπαρξιν ἤ ἔγνωκε, καί γάρ ἄκτιστος πέλεις.
Πάντα δέ σύ παρήγαγες· δύναται σε γινώσκειν,
ὅπως ἐκ σοῦ προέρχεται τό Πνεῦμά σου τό Θεῖον
καί οὐ γεννᾷς ὅλως ποτέ, ἅπαξ πάντως γεννήσας,
οὐδέ πηγάζων κένωσιν ἤ μείωσιν ὑπέστης;
Μένεις γάρ ὑπερπλήρης,
ὑπέρ τό πᾶν ἀνελλιπής, ὅλος ἐν ὅλῳ κόσμῳ,
τῷ ὁρατῷ, τῷ νοητῷ, καί ἔξω αὖθις τούτων,
προσθήκην μή δεχόμενος, μηδ’ ἔλλειψιν εἰς ἅπαν
καί εἶ ὅλος ἀκίνητος μένων πάντοτε οὕτως.
Ταῖς ἐνεργείαις οὖν ἀεί ἀεικίνητος πέλεις,
ἔχεις καί γάρ ἀέναον, ὁ Πατήρ, ἐργασίαν·
ἐργάζεται καί ὁ σός Υἱός πάντων τήν σωτηρίαν
καί προνοεῖ καί τελειοῖ καί συνέχει καί τρέφει,

ζαωοποιεῖ, ζωογονεῖ ἐν Πνεύματι Ἁγίῳ.
Ὅσα γάρ βλέπει ὁ Υἱός τόν Πατέρα ποιοῦντα,
ταῦτα ὁμοίως καί αὐτός ἐκτελεῖ, καθώς εἶπεν.
Οὕτως ἀκίνητός τε ὤν, ἀεικίνητός τε πως,
οὔτε κινῇ, οὐχ ἵστασαι, οὔτε καθήσαι πάλιν,
ἀλλά ἀεί καθήμενος ἀεί ἵστασαι ὅλος·
ἱστάμενος δέ αὖθις, ἀεί κινεῖσαι ὅλος,
μή μεθιστάμενός ποτε· ποῦ γάρ καί ἀπελεύσῃ;
Τό πᾶν, ὡς εἴρηται, πληρῶν ὑπέρ τό πᾶν δέ πέλων
πρός ποῖον ἄλλον μεταβῇς ἤ τόπον ἤ καί χῶρον;
Ἀλλ' οὐδέ ἵστασαι, καί γάρ ἀσώματος ὑπάρχεις,
ἁπλοῦς πληρῶν τά σύμπαντα, ἀσχημάτιστος πάντῃ,
ἄϋλος, ἀπερίγραπτος, ἄληπτος ὅλος ἦσθα·
καί πῶς καθῆσθαι εἴπωμεν, πῶς πάλιν ἵστασθαί σε,
πῶς δέ καθῆσθαι φήσωμεν ἤ ἐν ποίῳ σε θρόνῳ,
τόν τῇ χειρί κατέχοντα οὐρανόν καί τήν γῆν δέ,
τά ὑπό γῆν τε ἅπαντα ἰσχύϊ σῇ κρατοῦντα;
Ποῖος θρόνος χωρήσειεν ἤ ποταπή οἰκία,
ἤ πῶς ἤ ποῦ ἐνίδρυται ἤ ποίοις θεμελίοις,
ποίοις δέ στύλοις αἴρεται, τίς ὅλως ἐννοήσει;
Ἀβάλε τοῖς ἀνθρώποις γε καί πάσῃ κτιστῇ φύσει,
τῇ τά τοιαῦτα ἐρευνᾶν περί Θεοῦ τολμώσῃ,
πρίν ἐλλαμφθῇ, πρίν φωτισθῇ, πρίν κατίδῃ τά θεῖα
καί θεωρός γενήσεται τῶν Χριστοῦ μυστηρίων,
ἅ οὔτε Παῦλος κατιδών ἴσχυσεν ὅλως φράσαι,
οὔτε Ἠλίας πρότερον, οὔτε Μωσῆς ὁ μέγας,
ἀλλά τάς ἐντολάς Θεοῦ καί θελήματα μόνα
κατηξιώθη καί αὐτός μαθεῖν καί ἄλλοις φράσαι.
Περί αὐτοῦ δέ τοῦ Θεοῦ πλέον οὐδέν ἀκοῦσαι
κατηξιώθη, μαθεῖν ἤ ὅλως διδαχθῆναι,
εἰ μή ὅτι ὁ ὤν ἐστι Θεός πάντων καί κτίστης,
δημιουργός καί συνοχεύς πάντων τῶν παραχθέντων.
Ἡμεῖς δέ οἱ πανάθλιοι, οἱ σκότει καθειργμένοι
καί σκότος ὅλως πέλοντες ἡδονῶν ἀπολαύσει
καί ἀγνοοῦντες ἑαυτούς, ὅπου καί πῶς κρατοῦνται,
οἱ τεθαμμένοι πάθεσιν, οἱ τυφλοί καί νεκροί τε
τόν ὄντα ὄντως ἄναρχον, ἄκτιστον, Θεόν μόνον,
ἀθάνατον ὑπάρχοντα, ἀόρατον τοῖς πᾶσιν
ἐξερευνῶντες λέγομεν ὡς ἀκριβῶς εἰδότες
περί Θεοῦ, οἱ τοῦ Θεοῦ ὄντες κεχωρισμένοι.
Εἰ γάρ δή καί ἥνωντο αὐτῷ, οὐκ ἄν ποτε ἐτόλμων

περί αὐτοῦ λαλῆσαι βλέποντες, ὅτι πάντα
ἄφραστα, ἀκατάληπτα πέλουσι τά ἐκείνου·
οὐ μόνον τά ἐκείνου δέ, ἀλλά καί τῶν ἐκείνου
ἔργων τά πλείω ἄγνωστα ὑπάρχουσι τοῖς πᾶσι.
Τίς γάρ καί ἑρμηνεύσειε, πῶς ἐξ ἀρχῆς με πλάττει,
ποίαις χερσί τόν χοῦν λαβών ὁ ἀσώματος πάντῃ
στόμα μή ἔχων ὡς ἡμεῖς πῶς ἐνεφύσησέ μοι
καί εἰς ψυχήν ἀθάνατον πῶς ἄρα γέγονέ μοι;
Ἀπό πηλοῦ δέ, λέγε μοι, πῶς ὀστᾶ, πῶς δέ νεῦρα,
πῶς κρέας, πῶς δέ φλέβες μοι, πῶς δερματίς, πῶς τρίχες,
πῶς ὀφθαλμοί, πῶς ὦτα δέ, πῶς χείλεα, πῶς γλῶσσα,
πῶς ὄργανα φωνητικά, ὀδόντως τε στερρότης,
ἔναρθρον λόγον πνεύματι τρανῶς ἀποτελοῦσιν;
Ἀπό ξηρᾶς δέ καί ὑγρᾶς, θερμῆς καί ψυχρᾶς ὕλης
ζῷόν με ἀπετέλεσε μίξει ἐναντίων;
Πῶς οὖν δεσμεῖται νοῦς σαρκί, πῶς σάρξ δέ τῷ ἀΰλῳ
νοΐ συνανακέκραται ἀμίκτως, ἀσυγχύτως,
ἀφύρτως τε νοῦς καί ψυχή προσφέρουσι τόν λόγον
τόν ἐνδιάθετον λαῷ, καί μένουσιν ὡσαύτως
ἄτμητα, ἀναλλοίωτα, ἀσύγχυτα εἰς ἅπαν;
Ταῦτ᾽ οὖν εἰδότες, ἀδελφοί, ἀνερμήνευτα εἶναι
καί πᾶσιν ἀκατάληπτα τά καθ᾽ ἡμᾶς ὑπάρχειν
πῶς τόν ἡμᾶς ποιήσαντα τοιούτους ἐκ μή ὄντων
ἐξερευνᾶν οὐ φρίττομεν ἤ ἐννοεῖν ἤ λέγειν
τά ὑπέρ λόγον, ὑπέρ νοῦν τόν ἡμέτερον ὄντα;
Κτίσματα ὄντες δέ λοιπόν φοβήθητε τόν κτίστην
καί τάς ἐκείνου ἐντολάς μόνας ἐξερευνᾶτε,
τηρεῖν δέ ταύτας σπεύσατε ὑμῶν πάσῃ δυνάμει,
εἰ βούλοισθε καί τῆς ζωῆς κληρονόμοι γενέσθαι.
Εἰ δέ καταφρονήσετε τῶν αὐτοῦ προσταγμάτων
καί τά θελήματα αὐτοῦ παρίδετε, ὡς εἶπε,
καί ἀπειθήσετε αὐτῷ ἐν ἑνί πάντως λόγῳ,
οὐ δόξα, οὐκ ἀξίωμα, οὐ πλοῦτος ἐκ τοῦ κόσμου,
ἀλλ᾽ οὐδ᾽ ἡ γνῶσις ἡ μωρά τῶν ἔξω μαθημάτων,
οὐ σύνταξις, οὐ σύνθεσις καλλιεπείας λόγων,
οὐδ᾽ ἄλλο τι τῶν ἐπί γῆς πραγμάτων ἤ χρημάτων
ὠφέλειαν τήν οἱανοῦν παρέξουσί γε τότε,
ὅτε κρινεῖ τά σύμπαντα καί πάντας ὁ Θεός μου.
Ἀλλ᾽ ὁ παροφθείς λόγος παρ᾽ ἡμῶν τοῦ Δεσπότου
στήσεται κατά πρόσωπον ἑνός ἑκάστου τότε
καί ἕκαστον κατακρινεῖ μή φυλάξαντα τοῦτον.

Οὐκ ἔστι λόγος γάρ ἀργός, ἀλλά ζῶν Θεοῦ λόγος
ζῶντος καί διαμένοντος εἰς αἰῶνας αἰώνων.
Λοιπόν, ἡ κρίσις ἔσεται οὕτως, καθώς καί εἶπον,
ὁμοῦ τε καί τῆς ἐντολῆς, οἴμοι, προσυπαντώσης,
ἐλγχούσης τόν ἄπιστον ἤ πιστόν πάντως ὄντα,
πειθήνιον ἤ ἀπειθῆ τοῖς  λόγοις τοῦ Δεσπότου,
γενόμενον ἐπιμελῶς ἤ καί ἀμεληθέντα,
καί οὕτως χωρισθήσονται οἱ ἄδικοι δικαίων,
οἱ ἀπειθεῖς τῶν τῷ Χριστῷ πάντως ὑπακουσάντων,
τῶν φιλοθέων οἱ νῦν ἀγαπῶντες τόν κόσμον
καί τῶν εὐσπλάγχνων ἄσπαγχνοι καί τῶν ἐλεημόνων
ἀνελεήμονες ὁμοῦ, καί στήσονται οἱ πάντες
γυμνοί καί πλούτου καί τιμῆς καί ἀρχῆς, ἧς ἐν κόσμῳ
ἀπήλαυσαν, καί ἑαυτούς, οἴμοι, κατακρινοῦσιν.
Αὐτικατάκριτοι αὐτῶν γενόμενοι τοῖς ἔργοις
ἀκούσονται δ'· Ἀπέλθετε, μικροί τε καί μεγάλοι,
μή πειθαρχήσαντες ἐμοί, Δεσπότῃ φιλανθρώπῳ!
Ἧς, Δέσποτα, ῥυσθείημεν δικαίας καταδίκης
καί τῆς μερίδος τύχοιμεν τῶν προβάτων σου, Λόγε,
δωρεάν, ὡς μή ἔχοντες ἐλπίδα σωτηρίας.
ἐξ ἔργων, οἱ κατάκριτοι νῦν καί εἰς τούς αἰῶνας.

## ΛΒ'. Ὅτι οἱ ἔνδοξοι τῆς γῆς καί σοβαροί τῷ πλούτῳ περί τήν σκιάν τῶν ὁρωμένων πλανῶνται, οἱ δέ γε τῶν παρόντων καταφρονήσαντες ἐν ἀπλανεῖ μεθέξει τοῦ Θείου γίνονται Πνεύματος.

Ὑπό πιστῶν με, Δέσποτα, λοιδορούμενον βλέπων
ὡς ὑπάρχοντα πλάνον τε καί προπεπλανημένον,
ὅτι τό Πνεῦμα λέγοιμι, τῇ σῇ φιλανθρωπίᾳ
καί τοῦ πατρός μου ταῖς εὐχαῖς, τό Ἅγιον λαβεῖν με,
ἐλέησον καί χάρισαι λόγον, γνῶσιν σοφίαν,
ἵνα οἱ πάντες γνώσωνται οἱ ἀντικείμενοί μοι,
ὅτι τό σόν ἐντός ἐμοῦ λαλεῖ Πνεῦμα τό Θεῖον.
Δός μοι εἰπεῖν, ὡς εἴρηκας, δός κἀμοί, ὡς ὑπέσχου,
οἷς ἀντειπεῖν οὐδείς αὐτῶν ἤ ἀντιστῆναι, Σῶτερ,
ἰσχύσει· σύ γάρ εἶ δοτήρ τῶν ἀγαθῶν ἁπάντων.
Ἐγώ, Χριστέ, κἄν λέγωσι πλανᾶσθαί με, σόν δοῦλον,
οὐδέποτε πεισθήσομαι βλέπων σε, τόν Θεόν μου,
καί καθορῶν τό ἄχραντον πρόσωπόν σου καί θεῖον
καί ἐξ αὐτοῦ δεχόμενος ἐλλάμψεις σου τάς θείας,
λαμπόμενος ἐν πνεύματι νοερούς ὀφθαλμούς μου.
Ἀλλά μή δῴης, ὦ Θεέ, ἅπαντας πλανηθῆναι
τούς νῦν εἰς σέ πιστεύοντας πλάνην τήν ὀλεθρίαν
τοῦ μή πιστεύειν, ὅτι σύ πάντας καί νῦν φωτίζεις
ἐλλάμπων τῆς θεότητος ἀκτῖσι σου τῆς θείας.
Σύ γάρ πολύς ἐν οἰκτιρμοῖς, ἡμεῖς ἐν ἁμαρτίαις·
σύ φῶς οἰκεῖς ἀπρόσιτον, σκότος ἡμεῖς δέ πάντες·
σύ ἔξω εἶ τῆς κτίσεως καί ἡμεῖς ἐν τῇ κτίσει.
Οἱ πλείους δέ τῶν ἐξ ἡμῶν καί τῆς κτίσεως ἔξω
ἐν τῇ αἰσθήσει πέλουσιν ὅλως ἀναισθητοῦντες
καί παρά φύσιν ὄντες δέ ἔξω εἰσίν τῶν πάντων,
οἵ βέποντες οὐ βλέπουσιν, ὁρῶντες οὐχ ὁρῶσιν
οὐδέ Θεοῦ θαυμάσια ἐν νοερᾷ αἰοσθήσει
καταλαβεῖν ἰσχύουσιν, ἀλλ' εἰσί ἔξω κόσμου,
μᾶλλον δ' ἐν κόσμῳ ὡς νεκροί εἰσί καί πρό θανάτου
καί πρό ἐξόδου κάτοχοι ἐν ᾅδῃ κατωτάτῳ.
Οὗτοι οὖν ὄντως  πέλουσιν, οὕς ἡ γραφή γε λέγει,
οἱ ἔνδοξοι, οἱ πλούσιοι, οἱ σοβαροί τοῖς πᾶσιν,
οἱ καί δοκοῦντες εἶναί τι ἐκ τῶν τοιούτων ὅλως,

μή συνιδεῖν ἰσχύοντες τήν ἑαυτῶν αἰσχύνην·
κἄν γάρ σοφίαν κέκτηνται ἐν ἑαυτοῖς τοῦ κόσμου,
δόξαν τε ὡς ἱμάτιον, οἴησιν τήν ματαίαν
ὥσπερ σκηνήν δομήσαντες φρεσί πεπλανημέναις
καί τήν μέν ἐνδυσάμενοι, τήν δέ ἐγκατοικοῦντες,
ὡς ἐν πυθμένι κάθηνται ἐν ᾄδου κατωτάτου
καί ἀγνοοῦσι τόν Θεόν, ἀγνοοῦσι τόν κόσμον
καί τά ἐν κόσμῳ ἅπαντα ποιήματα τοῦ κτίστου.
Τίς γάρ τόν κτίστην γνώσεται, πρίν ἤ τήν κτίσιν ἴδοι
ἐν λόγῳ οἷα λογικός, ἐν νοΐ νοερῶς δέ,
καί ἐν αἰσθήσει νοερᾷ νοερῶς κατοπτεύων;
Τίς δέ; ὁ καθορῶν πνευματικῶς διά Πνεύματος Θείου
μυστικῶς ἐλλαμπόμενος, ὁδηγούμενος θ’ ἅμα,
πρός γνῶσιν τήν τοῦ ποιητοῦ ἀμυδρῶς πως ἀνέλθοι.
Οὕτω γάρ καθαιρόμενος τρανοτέραν τήν γνῶσιν
λαβεῖν ἀξιωθήσεται, ὡς γραφή πᾶσα λέγει.
Οἱ ἐμπαθεῖς, ὡς ἔφην δέ, ἀπόνοιαν ἐκεῖνοι
φοροῦντες ὡς ἱμάτιον, τήν οἴησιν ὡς δόξαν
ἐνδεδυμένοι τέρπονται καί γελῶσι τούς ἄλλους
καί παίζουσιν ἐν ταῖς σκιαῖς τόν τῶν σκυλάκων τρόπον.
Κάρυον εἰ προσρίψειας καί κροτήσειε τρέχον,
ἐπιπηδῶσι, δράσσονται, περιχαίνουσι τοῦτο
καί σύν αὐτῷ κυλίονται καί συσκιρτῶσιν ἅμα·
κἄν φραγελλίου σύρῃ τις πρό ποδῶν τό σχοινίον
συστρέφονται καί πίπτουσι καί πόδας εἰς ἀέρα
ἐκτείνουσι καί πρόξενοι γέλωτος τοῖς ὁρῶσιν
ἀνθρώποις ἐπί τῇ αὐτῶν γίνονται πτώσει πᾶσιν.
Οὕτως οὖν καί οὗτοι δαίμονας τέρπουσιν ἀναισθήτως
ἐν ταῖς οἰκείαις πράξεσι καί ἤθεσιν ὡσαύτως·
οἱ γοῦν τοιοῦτοι, λέγε μοι ἐρωτῶντι, ὡς ἔχεις,
πῶς τά Θεοῦ μυστήρια διηγήσονται ἄλλοις;
Πῶς δέ τό φῶς τῆς γνώσεως φωτισθῶσι κἄν ὅλως
καί ἄλλοις μεταδώσουσιν, εἴτε κρίσιν εὐθεῖαν
ἐν διακρίσει ἀληθεῖ ἐξάξουσι δικαίως,
οἱ σκότος ὡς ἱμάτιον ὄντες ἐνδεδυμένοι,
ἐν αἰσθήσει ἀναίσθητοι, ζωῆς νεκροί ἐν μέσῳ;
Ἀλλ’, ὦ ὑμεῖς φιλόθεοι, ἀκούσατε ῥημάτων
ἀληθινῶν καί θαυμαστῶν, ὧν τό στόμα Κυρίου
καί προλαβόν ἐλάλησε καί νῦν λαλεῖ τοῖς πᾶσιν.
Εἰ μή δόξαν ἀπώσεσθε, εἰ μή ῥίψετε πλοῦτον,
εἰ μή ματαίαν οἴησιν ἐκδύσεσθε εἰς ἅπαν,

εἰ μή τῶν πάντων γένησθε ἔσχατοι ἐν τοῖς ἔργοις
καί ἐν αὐτοῖς τοῖς λογισμοῖς, μᾶλλον δέ ταῖς ἐννοίαις
ἐσχάτους πάντων ἑαυτούς νομίζετε ὑπάρχειν,
οὐκ ἄν δακρύων ὀχετούς, οὐ κάθαρσιν σαρκός τε
κτήσησθε ἤ θεάσησθε πῶς ἐνεργοῦνται ταῦτα.
Λοιπόν, θρηνεῖτε ἑαυτούς, λοιπόν, μετανοεῖτε,
λοιπόν, θερμά προχέετε δάκρυα καθ' ἡμέραν,
ἵν' ὀφθαλμούς ἐκπλύνητε νοερούς τῆς καρδίας,
ἵνα τό φῶς θεάσησθε τό λάμψαν ἐν τῷ κόσμῳ,
ὅ λάμπον κράζει καί βοᾷ· Τό φῶς ἐγώ τοῦ κόσμου
ἤμην, εἰμί καί ἔσομαι καί θέλω καθορᾶσθαι.
Εἰς τοῦτο γάρ ἐλήλυθα σωματικῶς ἐν κόσμῳ,
διπλοῦς ὁ εἷς γενόμενος καί μείνας εἰς ὡσαύτως,
ἵνα Θεόν με ὁρατόν οἱ πιστῶς προσκυνοῦντες
καί τάς ἐμάς φυλάσσοντες ἐντολάς ἀοράτως
ἐλλάμπονται καί νοερῶς μυούμενοι τήν δόξαν
θεότητός μου τῆς φρικτῆς, σαρκός τε προσληφθείσης
καί τό διπλοῦν τῶν φύσεων μυστικῶς καθορῶντες
ὡς ἕνα με τότε Θεόν ἀδιστάκτως ὑμνοῦσιν.
Ἄλλως οὐκ ἔνι γάρ καλῶς ἐμήν οἰκονομίαν,
ἐμήν τε συγκατάβασιν ἐπιγνῶναι καί φρῖξαι
καί προσκυνῆσαι ὡς Θεόν τόν ἐν μορφῇ ἀνθρώπου
γενόμενόν με καί Θεόν μείναντα ἀνεκφράστως·
δύο τό ἕν, ἀμέριστα ὑποστάσει, οὐ φύσει,
εἷς οὖν Θεός ἐγώ εἰμι, τέλειος ἄνθρωπός τε,
ὁλοτελής, ὁλόκληρος, σάρξ, ψυχή, νοῦς καί λόγος·
ἄνθρωπος ὅλος καί Θεός ἐν δυσί ταῖς οὐσίαις,
διπλοῦς ὡσαύτως φύσεσι, διπλαῖς ταῖς ἐνεργείαις,
διπλαῖς καί ταῖς θελήσεσιν ἐν μιᾷ ὑποστάσει,
Θεός ὁμοῦ καί ἄνθρωπος, εἷς εἰμι τῆς Τριάδος.
Οἱ οὕτω με πιστεύσαντες εἶναι καί ἐπιγνόντες
ἐν τῷ καθάραι ἑαυτούς σπουδῇ καί μετανοίᾳ
καί δυνηθέντες κατιδεῖν ἐν καθαρᾷ καρδίᾳ
καί μυηθῆναι νοερῶς ἐμήν οἰκονομίαν,
αὐτοί με ἀγαπήσουσιν ἐξ ὅλης τῆς καρδίας,
αὐτοί δέ καί φυλάξονται πάσας τάς ἐντολάς μου
καταπλαγέντες τήν ἐμήν ἄπειρον εὐσπλαγχνίαν,
αὐτοί μοι καί συνέσονται καί κοινωνοί τῆς δόξης,
τῆς τοῦ Πατρός μου ἔσονται εἰς αἰῶνας αἰώνων·
ἀμήν.

## ΛΓ'. Περί θεολογίας· καί ὅτι οἱ τό κατ’ εἰκόνα φυλάξαντες τάς πονηράς δυνάμεις τοῦ ἄρχοντος τοῦ σκότους καταπατοῦσιν, οἱ δ’ ἄλλοι, οἷς ἐμπαθής ὁ βίος, ὑπ’ αὐτοῦ κρατοῦνται καί βασιλεύονται.

Φῶς ὁ Πατήρ, φῶς ὁ Υἱός, φῶς τό Ἅγιον Πνεῦμα.
Βλέπε τί λέγεις, ἀδελφέ, βλέπε μή παρασφάλῃς!
Ἕν γάρ τά τρία φῶς εἰσιν, ἕν, οὐ κεχωρισμένον,
ἀλλ’ ἡνωμένον ἐν τρισί προσώποις ἀσυγχύτως.
Θεός γάρ ἀδιαίρετος ὅλως ἐστί τῇ φύσει,
καί τῇ οὐσίᾳ ἀληθῶς ὑπέρ πᾶσαν οὐσίαν·
οὐ τῇ δυνάμει τέμνεται, οὐ τῇ μορφῇ, οὐ δόξῃ,
οὐ τῇ ἰδέᾳ, ὅλος γάρ ἁπλοῦν φῶς καθορᾶται.
Ἐν τούτοις ἕν τά πρόσωπα, ἕν αἱ τρεῖς ὑποστάσεις·
τά τρία γάρ ἐν τῷ ἑνί, ἕν τά τριά δέ μᾶλλον,
τά τρία μία δύναμις, τά τρία μία δόξα,
τά τρία μία φύσις γε, οὐσία καί θεότης.
Αὐτά καί φῶς τό ἕν εἰσιν, ὅ φωτίζει τόν κόσμον,
οὐχί τόν κόσμον, ἄπαγε, τόν ὁρώμενον τοῦτον
- οὐδέ γάρ ἔγνωκεν αὐτόν, οὐδέ δύναται γνῶναι
ὁ κόσμος ὁ ὁρώμενος οὐδ’ οἱ τοῦ κόσμου φίλοι·
ὁ γάρ τόν κόσμον ἀγαπῶν ἐχθρός Θεοῦ τυγχάνει -,
ἀλλ’ ὅν αὐτός πεποίηκεν ἄνθρωπον κατ’ εἰκόνα
αὐτοῦ καί καθ’ ὁμοίωσιν, κόσμον ἡμεῖς καλοῦμεν,
ὅτι κοσμεῖται ἀρεταῖς, ἄρχει τῶν ἐπιγείων,
καθώς ἐκεῖνος τοῦ παντός ἔχει τήν ἐξουσίαν,
καί βασιλεύει τῶν παθῶν τοῦτο τό κατ’ εἰκόνα
καί ὑποτάσσει δαίμονας δημιουργούς κακίας,
καταπατεῖ τόν δράκοντα, τόν ἀρχαῖον, τόν μέγαν,
ὥσπερ στρουθίον εὐτελές· καί πῶς; Ἄκουσον, τέκνον!
Ὁ ἄρχων οὗτος ὁ πεσών τοῦ φωτός τῇ στερήσει
ἐν σκότει γέγονεν εὐθύς καί ἔστι μετά πάντων
τῶν σύν αὐτῷ ἐξ οὐρανοῦ πεσόντων ἐν τῷ σκότει
καί βασιλεύει ἐν αὐτῷ, τῷ σκότει, πάντων λέγω,
τῶν κρατουμένων ἐν αὐτῷ δαιμόνων καί ἀνθρώπων.
Πᾶσα ψυχή μή βλέπουσα φῶς τῆς ζωῆς τό λάμπον
ἔν τε ἡμέρᾳ καί νυκτί ὑπ’ αὐτοῦ τιμωρεῖται,
τιτρώσκεται, δαμάζεται, ἄγεται καί δεσμεῖται

καί βέλεσι τῶν ἡδονῶν κεντᾶται καθ’ ἡμέραν.
Εἰ καί δοκεῖ ἀνθίστασθαι, εἰ καί δοκεῖ μή πίπτειν,
ἀλλ’ οὖν ἱδρῶτι σύν πολλῷ, κόπῳ, πόνῳ καί μόχθῳ
ἔχει ἀεί τόν πόλεμον ἀκατάλλακτον τούτου.
Ψυχή δέ  πᾶσα ἡ τό φῶς καθορῶσα τό θεῖον,
ὅθεν ἐκεῖνος πέπτωκε, καταφρονεῖ ἐκείνου
καί λαμπομένη παρ’ αὐτοῦ φωτός τοῦ ἀπροσίτου
καταπατεῖ τόν ἄρχοντα τοῦ σκότους ὥσπερ φύλλα
καταπεσόντα ἐπί γῆν ἀφ’ ὑψηλοῦ τοῦ δένδρου.
Ἐν σκότει γάρ τήν δύναμιν ἔχει καί ἐξουσίαν,
ἐν τῷ φωτί δέ γίνεται πτῶμα νεκρόν εἰς ἅπαν.
Φῶς δέ ἀκούων, πρόσεχε ὁποῖον φῶς σοι λέγω,
μή ὑπολάβῃς λέγειν με τό φῶς τό τοῦ ἡλίου!
Καί γάρ ὁρᾷς ἐν τῷ φωτί τούτου πολλούς ἀνθρώπους
ἐξαμαρτόντας ὡς ἐγώ, δεινῶς μαστιζομένους,
πίπτοντας καί ἀφρίζοντας μεσούσης τῆς ἡμέρας,
καί ἀοράτως πάσχοντας ἐκ πονηρῶν πνευμάτων,
καί τοῦ ἡλίου λαμποντος οὐδέν ἐκ τούτου πλέον
ἐγγίνεται τό ὄφελος τοῖς δαίμοσιν ἐκδότοις.
τοίνυν οὐ λέγω σοι τό φῶς τοῦ αἰσθητοῦ ἡλίου,
οὐ τῆς ἡμέρας, ἄπαγε, οὐ λυχνιαῖον ὅλως,
οὐ τῶν ἀστέρων τῶν πολλῶν, οὐδέ σελήνης φάος,
οὐκ ἄλλου ὅλως ὁρατοῦ ἀπαύγασμα φωτός σοι
παραδηλῶν ἐνέργειαν τοιαύτην ὅλως ἔχειν.
Τά αἰσθητά τούς αἰσθητούς ὀφθαλμούς καί γάρ μόνους
φωτίζουσι καί λάμπουσι φῶτα καί βλέπειν μόνον
παρέχουσι τά αἰσθητά, τά νοητά οὐ μέντοι.
Πάντες οὖν, ὅσοι βλέπουσι τά αἰσθητά καί μόνον,
τυφλοί εἰσι τά νοερά ὄμματα τῆς καρδίας.
Τά νοερά οὖν ὄμματα τῆς νεορᾶς καρδίας
καί νοερῷ φωτίζεσθαι ὀφείλουσι φωτί γε.
Εἰ γάρ ὁ ἔχων σώματος τάς κόρας ἐσβεσμένας
ὅλος ὑπάρχει σκοτεινός, ἀγνοῶν ποῦ ὑπάρχει,
πόσῳ γε μᾶλλον ὁ ψυχῆς ἔχων τυφλόν τό ὄμμα
ἐσκοτισμένος ἔσεται, καί σώματι καί πράξει
μικροῦ νενεκρωμένος δέ καί πνεύματι ὑπάρξει;
Νόησον τοίνυν ἀκριβῶς, ὁποῖον φῶς σοι λέγω!
Οὐ λέγω σοι τήν πίστιν γάρ, οὐ λέγω τήν τῶν ἔργων
πρᾶξιν οὐδέ μετάνοιαν οὐδέ νηστείαν πάντως,
ἀκτημοσύνην οὐδαμῶς, οὐ σοφίαν, οὐ γνῶσιν,
ἀλλ’ οὐδέ τό διδάσκειν· τούτων γάρ οὐδέν ἐστιν,

οὐ φῶς οὐδέ ἀπαύγασμα φωτός, οὗπέρ σοι λέγω,
οὐδέ γε ἡ εὐλάβεια ἡ ἔξωθεν, οὐ σχῆμα
τό ταπεινόν καί εὐτελές· πάντα γάρ ταῦτα πράξεις
καί ἐντολῶν ἐκπλήρωσις, εἴ γε καλῶς τελοῦνται
καί ἐκπληροῦνται, ὡς αὐτός ἐντέλλεται ὁ κτίστης.
Τά δάκρυα κατά πολλούς ἐκχέονται τούς τρόπους
καί ἤ ἐπωφελῆ εἰσιν ἤ καί βλάπτουσι μᾶλλον·
τέως αὐτά καθ' ἑαυτά ἀνόνητα εἰς ἅπαν.
ἡ δ' ἀγρυπνία μοναχῶν οὐκ ἔστι πάντως μόνων,
ἀλλά καί τοῦ κοινοῦ λαοῦ ἔργοις ἀσχολουμένων,
καί ἀγρυπνοῦσι πλείονα ὑφαίνουσαι γυναῖκες,
χρυσοχόοι τε καί χαλκεῖς ἤ μονασταί οἱ πλεῖστοι,
καί διά τοῦτο λέγομεν ὅτι τούτων ἁπάντων
τῶν ἐναρέτων πράξεων οὐδέν φάος καλεῖται.
Ὅπου καί συναγόμεναι εἰς ἕν αἱ πᾶσαι πράξεις
καί ἀρεταί ἀνελλιπῶς φῶς οὐκ εἰσί τό θεῖον,
διΐστανται γάρ ἐξ αὐτοῦ πᾶσαι πράξεις ἀνθρώπων,
καί αὗται μέν αἱ παρ' ἡμῶν ἐκπληρούμεναι πράξεις
τό καθ' ἡμᾶς πρός τούς λοιπούς ζῶντας ἐν πονηρίᾳ
φῶς λέγονται πρός τά καλά κἀκείνους ὁδηγοῦσαι
καί, ὅπερ ἔστιν ἐν ἐμοί σκότος καί ἐκτυφλοῖ με,
φῶς τῷ πλησίον γίνεται καί τοῖς ὁρῶσι λάμπει.
Καί ἵνα μή παράδοξα ὑποπτευθῶ σοι λέγειν,
ἄκουσον, καί λαλήσω σοι αἰνίγματος τήν λύσιν·
νηστεύω ἴσως διά σέ, ἵνα φανῶ νηστεύων,
καί τοῦτο κέντρον μέν ἐμοῦ τοῖς ὀφθαλμοῖς ὑπάρχει
καί ὡς δοκός ἐμπέπηκται μέσον ἐν τούτοις πάντως·
σύ δέ φωτίζῃ βλέπων με, εἰ μή με κατακρίνῃς,
ἀλλ' εἶ μεμφόμενος σαυτόν ὡς γαστρίμαργον πάντως·
πρός γάρ ἐγκράτειαν γαστρός καθοδηγῇ ἐκ τούτου
καί τῆς τρυφῆς ὑπερορᾶν προφανῶς ἐκμανθάνεις.
Πάλιν ἐγώ ἐνδέδυμαι εὐτελῆ καί ῥακώδη
καί μονοχίτων ἐν παντί περιπατῶν νομίζω
δόξαν ἐκ τῶν ὁρώντων με καί ἔπαινον θηρᾶσθαι
καί ὡς ἀπόστολος αὐτοῖς ἄλλος νέος ὁρᾶσθαι,
καί τοῦτο γίνεται ἐμοί πάσης αἴτιον βλάβης
καί σκότος ὄντως καί παχύ νέφος ἐν τῇ ψυχῇ μου·
τούς δέ ὁρῶντάς με λαούς φωτίζει καί διδάσκει
ὑπερφρονεῖν καλλωπισμοῦ, ὑπερφρονεῖν καί πλούτου
καί εὐτελοῦς ἀντέχεσθαι καί τραχείας ἐσθῆτος,
ὅπερ καί ἔστιν ἀληθῶς ἔνδυμα ἀποστόλων.

Οὕτως καί πᾶσαι αἱ λοιπαί τῶν ἀρετῶν γε πράξεις
πράξεις εἰσίν ἐκτός φωτός, ἔργα ἀκτῖνος δίχα,
ὁμοῦ γάρ συναγόμεναι πᾶσαι, ὥσπερ προεῖπον,
καί εἰς τό ἕν γινόμεναι αἱ ἐνάρετοι πράξεις,
εἴπερ καί ἔστι δυνατόν ἐν ἀνθρώπῳ γενέσθαι,
λαμπάδι ἐξωμοίωνται φωτός ἐστερημένῃ.
Ὡς γάρ οὐκ ἔστι λέγεσθαι πῦρ τούς καρβῶνας μόνους,
ἀλλ' οὐδέ πάλιν ἄνθρακας οὐδέ φλόγα τά ξύλα,
οὕτως οὐ πίστις ἅπασα, οὐκ ἔργα οὐδέ πράξεις,
οὐκ ἐντολῶν ἐκπλήρωσις πῦρ, φλόξ ἤ φῶς τό θεῖον
εἰσίν ἄξια λέγεσθαι, οὐ γάρ εἰσι τῷ ὄντι,
ἀλλ' ὅτι δέξασθαι τό πῦρ, τῷ φωτί τε ἐγγίσαι
καί ἀναφθῆναι δύναται ἀπορρήτῳ ἑνώσει,
τοῦτο ὑπάρχει ἀρετῶν ἔπαινός τε καί κλέος.
Καί διά τοῦτο ἄσκησις πᾶσα καί πᾶσαι πράξεις
ἐπιτελοῦνται παρ' ἡμῶν, ἵνα φωτός τοῦ θείου
ὥσπερ λαμπάς μετάσχωμεν, ὡς ἕν κηρίον πάσας
προβαλλομένης τῆς ψυχῆς φωτί τῷ ἀπροσίτῳ·
μᾶλλον δέ ὥσπερ πάπυρος ἐμβάπτεται κηρίῳ,
οὕτω ψυχή ταῖς ἀρεταῖς ἁπάσαις πιανθεῖσα
ὅλη ἀνάψει ἐξ αὐτοῦ, ὅσον ὁρᾶν ἰσχύσει,
ὅσον ἐν οἴκῳ τε αὐτῆς εἰσαγαγεῖν χωρήσει,
καί τότε φωτιζόμεναι αἱ ἀρεταί ὡς θείῳ
φωτί συγκοινωνήσασαι φῶς καί αὐταί καλοῦνται,
μᾶλλον δ' εἰσί καί αὗται φῶς φωτί συγκεκραμέναι,
περιαυγάζουσί τε φῶς ψυχήν αὐτήν καί σῶμα
καί λάμπουσί γε ἀληθῶς πρῶτον τῷ κεκτημένῳ
καί τότε πᾶσι τοῖς λοιποῖς τοῖς ἐν σκότει τοῦ βίου·
οὕς φώτισον ἐν Πνεύματι, Χριστέ, τῷ Παναγίῳ
καί κληρονόμους ποίησον οὐρανῶν βασιλείας
μετά πάντων ἁγίων σου, νῦν καί εἰς τούς αἰῶνας·
ἀμήν.

## ΛΔ'. Ὅτι ἡ τοῦ Παναγίου Πνεύματος ἕνωσις πρός κεκαθαρμένας ψυχάς ἐν αἰσθήσει τρανῇ, ἤγουν ἐν ἐπιγνώσει γίνεται καί, ἐν αἷς ἄν γένηται, φωτοειδεῖς ὁμοίας ἑαυτόῦ καί φῶς αὐτάς ἀπεργάζεται.

Διΐσταται τῶν ὁρατῶν ὁ ἀόρατος πάντως
καί τῶν κτισμάτων ὁ αὐτά πρῶτον κατασκευάσας
καί τῶν φθαρτῶν ὁ ἄφθαρτος, τό σκότος τοῦ φωτός τε,
καί μίξις τούτων γέγονε, ὅτε Θεός κατῆλθε.
Τά διεστῶτα τότε γάρ ἥνωσεν ὁ Σωτήρ μου,
ἀλλ’ οἱ τυφλοί τήν ἕνωσιν οὐκ εἶδον, οἱ νεκροί δέ
λέγουσι ταύτης αἴσθησιν μηδ’ ὅλως ἐσχηκέναι,
καί ζῆν καί βλέπειν οἴονται, ὤ μανίας ἐσχάτης,
καί ἀπιστοῦντες λέγουσιν· Οὐδείς τῇ  πείρᾳ τοῦτο
ἔγνωκεν ἤ ἔπαθεν, οὐκ εἶδεν ἐν αἰσθήσει,
ἀλλ’ ἀκοῇ καί διδαχῇ λόγων γίνεται μόνων.
Ἀλλ’ ὦ Χριστέ μου, δίδαξον εἰπεῖν με τί πρός ταῦτα
καί τῆς ἀγνοίας τῆς πολλῆς καί ἀπιστίας τούτους
ἐκσπᾶσαι καί χαρίσασθαι ἰδεῖν σε, φῶς τοῦ κόσμου!
Ἀκούσατε καί σύνετε, πατέρες, θείους λόγους
καί γνώσεσθε τήν ἕνωσιν ἐν γνώσει γινομένην
καί ἐν αἰσθήσει ἐκ παντός καί  πείρᾳ καί ὁράσει.
Θεός ἐστιν ἀόρατος, ὁρατοί δ’ ἡμεῖς πάντως·
εἰ οὖν αὐτός τοῖς ὁρατοῖς θελήματι ἑνοῦται,
ἕνωσις ἄρα γίνεται ἀμφοτέρων ἐν γνώσει.
Εἰ δέ ἀγνώστως εἴποιας τοῦτο καί ἀναισθήτως,
πάντως νεκρῶν ἡ ἕνωσις καί οὐ ζωῆς πρός ζῶντας.
Κτισμάτων κτίστης ὁ Θεός, κτιστοί δ’ ἡμεῖς ὡσαύτως·
εἰ οὖν τῷ κτίσματι Θεός ὁ κτίσας συγκατέλθῃ
καί ἑνωθῇ καί γίνηται ὡς ὁ κτίστης τό κτίσμα,
αἴσθησιν  ὄντως λάβοιεν ἀληθοῦς θεωρίας,
ὅτι τῷ κτίστῃ τό κτιστόν ἀπορρήτως ἡνώθη.
Εἰ δέ μή τοῦτο δώσομεν, ἀπόλωλεν ἡ πίστις
καί ἡ ἐλπίς ἠφάνισται τῶν μελλόντων εἰς ἅπαν,
ἀνάστασις οὐκ ἔσεται οὐδ’ ἡ καθόλου κρίσις.
Ἐπειδή καί τά κτίσματα, ὡς λέγεις, ἀναισθήτως
τῷ ποιητῇ ἑνούμεθα μηδέν γνωστῶς νοοῦντες,
καί κινδυνεύει γε Θεός κατά σέ, ὡς οὐκ ἔστι

ζωή οὐδέ ζωήν ἡμῖν ἑνούμενος παρέχει.
Πάλιν ὁ κτίστης ἄφθαρτος, τά κτίσματα φθαρτά δέ·
καί γάρ οἱ ἁμαρτήσαντες οὐχί τό σῶμα μόνον,
ἀλλά καί τάς ψυχάς αὐτάς εἰς φθοράν παρεισῆξαν,
καί σώματι καί ψυχῇ κατά τόν λόγον τοῦτον
φθαρτοί ἐσμεν, ὡς τῇ φθορᾷ τοῦ νοητοῦ θανάτου
κρατηθέντες ὁμοῦ πάντες καί τῇ τῆς ἁμαρτίας.
Εἰ οὖν ὁ φύσει ἄφθαρτος ἑνωθῇ τῷ φθαρτῷ μοι,
ὄντως ἕν τούτων ἔσεται, ὧνπερ λέγει σοι μέλλω·
ἤ γάρ ἐμέ μεταβαλεῖ καί ἄφθαρτον ποιήσει
ἤ πρός φθοράν μεταβληθῇ ὁ ἄφθαρτος· καί οὕτως
ἴσως ἐγώ οὐ γνώσομαι ἐκείνου πεπονθότος
καί γεγονότος ὡς ἐγώ· ἐγώ δ’ εἰ γένωμαί γε
ἄφθαρτος ὅλος ἐκ φθαρτοῦ κολληθείς τῷ ἀφθάρτῳ,
πῶς ἄν οὐκ αἰσθανθήσομαι, πῶς ἄν αὐτῇ τῇ πείρᾳ
οὐκ ἴδω οὐδέ γνώσομαι γεγονώς, ὅ οὐκ ἤμην;
Τό γάρ εἰπεῖν ὅτι Θεός ἑνούμενος ἀνθρώποις
οὐ μεταδίδωσιν αὐτοῖς τῆς θείας ἀφθαρσίας,
ἀλλά ἐκείνων τῇ φθορᾷ συγκατασπᾶται μᾶλλον,
τοῦ ἀνωλέθρου ὄλεθρον ὁ λέγων δογματίζει
καί βλασφημεῖ καί τῆς ζωῆς αὐτός ὅλως ἐκπίπτει.
Εἰ δέ τοῦτο ἀδύνατον, δέξαι μᾶλλον τό ἄλλο
καί ἀφθαρσίας μετασχεῖν σπούδασον πρό τοῦ τέλους.
Τό φῶς ὑπάρχει ὁ Θεός, οἱ ἐν σκότει ἡμεῖς δέ,
ἤ ἀληθέστερον εἰπεῖν, ἡμεῖς αὐτοί τό σκότος·
οὐδέ γάρ λάμψει ἀλλαχοῦ ὁ Θεός, μή πλανᾶσθε,
εἰ μή ἐν μόναις ταῖς ψυχαῖς, αἷς ἑνωθῇ πρό τέλους·
τοῖς δ’ ἄλλοις, εἰ καί λάμψειεν οἱ κήρυκες, ὡς εἶπον,
ὡς πῦρ αὐτοῖς φανήσεται ἀπρόσιτον εἰς ἅπαν,
τό ἔργον δοκιμάσει τε, ὁποῖον τό ἑκάστου,
καί πάλιν χωρισθήσεται τούτων ὡς ἀναξίων,
ἐκεῖνοι δ’ ἀπολήψονται κόλασιν ἐπαξίαν.
Ὅμως ἐνταῦθα καί ἐκεῖ φῶς ψυχῶν αὐτός μόνος,
ἡμεῖς δέ σκότος τάς ψυχάς ἔχοντες ἀφωτίστους·
εἰ οὖν τό φῶς τό τῶν ψυχῶν ἑνωθῇ τῇ ψυχῇ μου,
ἐκεῖνο συσβεσθήσεται καί γενήσεται σκότος
ἤ ἡ ψυχή μου ὡς τό φῶς ἔσεται φωτισθεῖσα.
Τό φῶς γάρ, ὅταν ἀναφθῇ, φεύγει εὐθύς τό σκότος,
καίτοι ἐστί τοῦ αἰσθητοῦ φωτός ἐκεῖνο ἔργον.
Εἰ δέ τό φῶς παραχθέν ἐνεργεῖ σοι τοιαῦτα
καί ὀφθαλμούς φωτίζει σου καί ψυχήν κατευφραίνει

καί, ἅ τό πρίν οὐκ ἔβλεπες, χαρίζεται ὁρᾶν σοι,
τί οὐ ποιήσει ἐν ψυχῇ λάμψας ὁ τούτου κτίστης,
ὁ «*Γενηθήτω φῶς*» εἰπών καί εὐθύς παρεισήχθη;
Τί δοκεῖ οὖν σοι, εἰ λάμψει νοερῶς ἐν καρδίᾳ
ἤ ἐν νοΐ ὡς ἀστραπή ἤ ὡς ἥλιος μέγας,
ἐμποιῆσαι δυνήσεται ψυχῇ τῇ ἐλλαμφθείσῃ;
Οὐχί φωτίσει ταύτην γε καί γνωρίσαι παρέξει
ἐν ἐπιγνώσει ἀκριβεῖ αὐτόν, ὅστις ὑπάρχει;
Ναί, ὄντως οὕτως γίνεται, οὕτως ἐπιτελεῖται,
οὕτως ἀποκαλύπτεται τοῦ Πνεύματος ἡ χάρις
καί δι’ αὐτοῦ καί ἐν αὐτῷ ὁ Υἱός σύν Πατρί τε·
καί τούτους βλέπει, ὥς ἐστι δυνατόν κατιδέσθαι,
καί τότε τά περί αὐτῶν ἐξ αὐτῶν ἀπορρήτως
διδάσκεται καί φθέγγεται καί πᾶσιν ἄλλοις γράφει
καί δόγματα θεοπρεπῆ ἐκτίθεται, ὡς πάντες
οἱ προλαβόντες ἅγιοι διδάσκουσι πατέρες·
οὕτως γάρ ἐδογμάτισαν τό σύμβολον τό θεῖον,
τοιοῦτοί τε γενόμενοι, ὡς εἴπομεν, κἀκεῖνοι
μετά Θεοῦ τά τοῦ Θεοῦ ἐφθέγξαντο καί εἶπον.
Τίς γάρ ἐθεολόγησε τριαδικήν μονάδα
ἤ τίς αἱρέσεις ἔτρεψε μή γεγονώς τοιοῦτος
ἤ τίς ἐκλήθη ἅγιος μή μετασχών Ἁγίου
Πνεύματος; Οὐδείς πώποτε. Ὥς καί τό φῶς αἰσθήσει
τό νοητόν προσγίνεσθαι πέφυκεν, οἷς προσέσται.
Οἱ δ’ ἀναισθήτως λέγοντες τούτου μεταλαμβάνειν,
αὐτοί τῷ ὄντι ἑαυτούς καλοῦσιν ἀναισθήτους,
ἡμεῖς δέ καί νεκρούς ὄντας ζωῆς ἐστερημένους,
εἰ καί δοκοῦσιν ἔτι ζῆν, ὤ πλάνης, ὤ μανίας!
Ἀλλ’, ὦ φῶς, λάμψον εἰς αὐτούς, λάμψον, ὅπως ἰδόντες
πεισθῶσιν ὄντως ὅτι φῶς σύ ἀληθές ὑπάρχεις,
καί οἷς ἑνοῦσαι, ὥσπερ φῶς, ὁμοίους σοι ἐργάζῃ.
Λάμπω καθώς καί πάντοτε τῶν τυφλῶν πρό προσώπου,
ἀλλά ἰδεῖν οὐ βούλονται, καμμύουσι δέ μᾶλλον
καί ἀναβλέψαι πρός ἐμέ οὐ θέλουσιν, ὦ τέκνον.
Πρός δέ καί ἀποστρέφονται τάς ὄψεις ἀλλαχόθεν,
κἀγώ συμπεριστρέφομαι, τούτων ἔμπροσθεν στήκω,
κἀκεῖνοι πάλιν ἀλλαχοῦ ἐκπέμπουσι τό ὄμμα
καί ὅλως τοῦ προσώπου μου τό φῶς οὐ καθορῶσι.
Τούτων οἱ μέν καλύπτονται καλύμμασι τάς ὄψεις,
οἱ δέ καί ἔξω φεύγουσι μισήσαντές με πάντως.
Τί οὖν τούτους ποιήσαιμι, ἀξαπορῶ εἰς ἅπαν·

τό ἀβουλήτως γάρ αὐτούς καί βίᾳ τάχα σῶσαι,
καί τοῦτο θλῖψις δόξειε, μή θέλοντας σωθῆναι.
Τό γάρ καλόν θελήματι ἔσται καλόν τῷ ὄντι,
τό δ᾽ ἀβουλήτως ἀγαθόν οὐκ ἀγαθόν ὑπάρξει,
καί διά τοῦτο θέλοντας καί ὁρῶ καί ὁρῶμαι
καί βασιλείας τῆς ἐμῆς ποιῶ συγκληρονόμους,
τούς δέ μή θέλοντας ἐῶ θέλοντας ἐν τῷ κόσμῳ,
καί γίνονται κριταί αὐτοί ἑαυτῶν πρό τῆς δίκης,
ὅτι ἐμοῦ ἐκλάμποντος φωτός τοῦ ἀπροσίτου
αὐτοί τό σκότος ἑαυτοῖς προεξένησαν μόνοι,
φῶς ἰδεῖν μή θελήσαντες καί μείναντες ἐν σκότει.

## ΛΕ'. Ὅτι πάντες οἱ ἅγιοι ἐλλαμπόμενοι αὐγάζονται καί τήν δόξαν τοῦ Θεοῦ καθορῶσιν, ὡς θεμιτόν ἀνθρωπίνῃ φύσει Θεόν ὁρᾶν.

Βλέψον ἄνωθεν, Θεέ μου,
καί εὐδόκησον φανῆναι
καί πτωχῷ προσομιλῆσαι.
Ἀποκάλυψον τό φῶς σου
διανοίξας οὐρανούς μοι,
ἄνοιξον τόν νοῦν μου μᾶλλον,
εἴσελθε καί νῦν ἐντός μου.
Λάλησον, καθάπερ πάλαι,
διά ῥυπαρᾶς μου γλώσσης,
περί ὧν τινες λαλοῦσιν,
ὅτι νῦν οὐδείς ὑπάρχει,
ὅς Θεόν γνωστῶς κατεῖδεν,
οὐδέ γέγονε πρό τούτου
παρεκτός τῶν ἀποστόλων.
Ἀλλ’ οὐδέ αὐτούς ἐκείνους
λέγουσι τρανῶς ἰδέσθαι
τόν Θεόν σου καί Πατέρα,
ἀλλά ἄγνωστον τοῖς πᾶσιν,
ἀθεώρητον ὡσαύτως
δογματίζουσιν ὑπάρχειν,
προβαλλόμενοι τό ῥῆμα
τοῦ ὑπερηγαπημένου
μαθητοῦ σου Ἰωάννου
λέγοντος· Θεόν οὐδέπω
ἑωράκει τις ἀνθρώπων.
Ναί, Χριστέ μου, λέξον τάχος,
ἵνα μή τοῖς ἀσυνέτοις
ἔγωγε δόξω ληρεῖν.
Γράφε, εἶπεν, ἅπερ λέγω,
γράφε καί μή κατοκνήσῃς.
Ἦ Θεός ἐγώ πρό πάντων
ἡμερῶν, ὡρῶν καί χρόνων,
ἀλλά καί αἰώνων πάντων
καί τῶν ὁρωμένων πάντων
νοουμένων τε κτισμάτων.

Ἤμην ὑπέρ νοῦν καί λόγον,
ὑπέρ ἔννοιάν τε πᾶσαν
μόνος μετά μόνου μόνος,
καί οὐδέν τῶν ὁρωμένων,
ἀλλ᾽ οὐδέ τῶν ἀοράτων
ἦν πρό τοῦ γενέσθαι ὄντως.
Μόνος ἄκτιστος ἐγώ
σύν Πατρί καί Πνεύματί μου
μόνος ἄναρχος ὑπάρχω
ἐξ ἀνάρχου τοῦ Πατρός μου·
ἀγγέλων δέ οὐδείς οὐδέπω,
ἀλλ᾽ οὐδέ τῶν ἀρχαγγέλων,
οὐ τῶν ἄλλων τε ταγμάτων
εἶδέ μου ποτέ τήν φύσιν
οὐδ᾽ αὐτόν ἐμέ τόν κτίστην
ὅλον, οἷόσπερ τυγχάνω.
Μόνην δέ ἀκτῖνα δόξης
καί ἀπόρροιαν φωτός μου
καθορῶσι καί θεοῦνται.
Ὡς γάρ ἔσοπτρον ἡλίου
τάς ἀκτῖνας δεδεγμένον
ἤ κρυστάλλινος ὡς λίθος
ἐλλαμφθείς ἐν μεσημβρίᾳ,
οὕτως δέχονται ἀκτῖνας
τῆς θεότητός μου πάντες.
Ὅλον δέ με κατιδέσθαι
οὔπω τις κατηξιώθη,
οὐκ ἀγγέλων, οὐκ ἀνθρώπων,
οὐ δυνάμεων ἁγίων.
Ἔξω γάρ εἰμι τῶν πάντων
καί ἀόρατος τοῖς πᾶσιν,
οὐ φθονῶν δέ τούτοις πάντως,
ὅπως μή με καθορῶσιν,
οὐδ᾽ ὡς ἀκαλλής ὑπάρχων
κρύπτομαι τοῦ μή φανῆναι,
ἀλλά ἄξιος οὐδείς μου
τῆς θεότητος εὑρέθη,
οὐδέ γέγονε τοῦ κτίστου
ἰσοδύναμον τό κτίσμα.
Τοῦτο γάρ οὐδέ συμφέρει·
μικράν δ᾽ ὁρῶντες ἀπαυγήν

ὄντως εἶναί με μυοῦνται
καί γινώσκουσι Θεόν με
τόν αὐτούς παραγαγόντα,
καί ἐκπλήξει με καί φόβῳ
ἀνυμνοῦντες λειτουργοῦσιν.
Οὐκ ἐνδέχεται Θεόν γάρ
ἄλλον φύσει παραχθῆναι
ἰσοδύναμον τοῦ κτίστου
οὐδ᾽ ὁμοφυῆ ἐκείνου,
οὐδέ δυνατόν γάρ ὅλως
ὁμοούσιον τοῦ κτίστου
τό κτιζόμενον γενέσθαι.
Τῷ ἀκτίστῳ τό κτιστόν γάρ
πῶς ποτε ἐξισωθείη;
Τοῦ ἀεί ὡσαύτως ὄντος
καί ἀνάρχου καί ἀκτίστου
τά κτιζόμενα ἐλάττω·
καί γάρ εἶναι μαρτυρήσεις
καί τοσοῦτον διαφέρειν,
ὅσον ἅμαξα καί πρίων
τοῦ αὐτά τεκτηναμένου.
Πῶς οὖν ἅμαξα τόν ταύτην
τεκτηνάμενον ἐκμάθοι;
Πῶς δέ πρίων τόν κινοῦντα
ἐπιγνώσεται, εἰπέ μοι,
εἰ μή τούτοις δώσει γνῶσιν,
εἰ μή ὅρασιν ἐνθείη
ὁ αὐτά κατασκευάσας,
ὅ ἀδύνατον ὑπάρχει
τοῦτο πᾶσι τοῖς κτισθεῖσιν;
Οὐδείς ἀνθρώπων ὅλως οὖν,
οὐδείς καί τῶν ἀγγέλων
τοῦ διδόναι πνεῦμα ἄλλοις
ἔλαβε τήν ἐξουσίαν
ἤ ζωήν αὐτοῖς παρέχειν,
ὁ δέ Κύριος τῶν πάντων
ἔχων ἐξουσίαν μόνος,
μόνος ἔχων δυναστείαν,
ὡς πηγή ζωῆς ὑπάρχων
ἔμψυχα παράγει ζῷα,
οἷα πάντως καί θελήσει,

καί χαρίζεται ἑκάστῳ
ὡς τεχνίτης, ὡς δεσπότης,
ὅσα βούλεται καί θέλει,
ᾧ ἡ δόξα καί τό κράτος
νῦν, ἀεί καί εἰς αἰῶνας τῶν αἰώνων,
ἀμήν.

## ΛΣΤ'. Εὐχαριστία ὑπέρ τῆς ἐξορίας καί τῶν θλίψεων, ὧν ὑπέστη ἐν τῷ κατ’ αὐτόν διωγμῷ.

Εὐχαριστῶ σοι, Κύριε, εὐχαριστῶ σοι, μόνε
καρδιογνῶστα, βασιλεῦ δίκαιε, πανοικτίρμον!
Εὐχαριστῶ σοι, ἄναρχε, παντοδύναμε Λόγε,
ὁ κατελθών ἐπί τῆς γῆς καί σαρκωθείς Θεός μου
καί γεγονώς, ὅπερ οὐκ ἦς, ἄνθρωπος ὅμοιός μου
δίχα τροπῆς καί ῥεύσεως καί πάσης ἁμαρτίας,
ἵνα παθών ὁ ἀπαθής ὑπ’ ἀνόμων ἀδίκως
ἀπάθειαν παράσχῃς μοι τῷ κατακεκριμένῳ
ἐν τῷ μιμήσασθαι τά σά παθήματα, Χριστέ μου.
Δικαία οὖν ἡ κρίσις σου καί ἡ πρόσταξις ἅμα,
ἥνπερ προσέταξας ἡμᾶς φυλάσσειν, πανοικτίρμον.
Αὕτη δ’ ἐστίν ἡ μίμησις τῆς ταπεινώσεώς σου,
ἵν’ ὥσπερ ἔπαθες αὐτός ἀναμάρτητος πέλων,
οὕτως ἡμεῖς ὑποίσωμεν ἁμαρτήσαντες πάντα,
καί πειρασμούς καί διωγμούς καί μάστιγας καί θλίψεις
καί τελευταῖον θάνατον παρά τῶν παρανόμων.
Σύ δαιμονᾶν γάρ ἤκουσας καί πλάνος ἐνομίσθης
ἀθέοις καί ἀντίθεος καί παραβάτης νόμου.
Σύ ὡς κακοῦργος συλληφθείς καί δεθείς μόνος ἤχθης,
πάντων καταλιπόντων σε μαθητῶν τε καί φίλων.
Σύ καί παρέστης τῷ κριτῇ ὡς κατάκριτος, Λόγε,
καί κρίσιν, ἥν ἐξήνεγκε κατά σου, κατεδέξω.
Σύ καί λαλήσας ῥάπισμα παρά δούλου ὑπέστης
καί σιωπήσας θάνατος εὐθύς κατεδικάσθης.
Οἱ λόγοις σου γάρ μάχαιρα τοῖς ἀνόμοις ὑπῆρχον,
ἡ σιωπή δέ, βασιλεῦ, καταδίκης αἰτία·
διό μή φέροντες ὁρᾶν σέ τόν δίκαιον μόνον
οἱ ἄδικοι θανάτῳ σε παρέδωκαν αἰσχίστῳ.
Ὅθεν ἐτύφθης κεφαλήν καί ἀκάνθαις
ἐστεφανώθης, χλαῖνάν τε κοκκίνην ἐνεδύσω.
Ἐνεπτύσθης τό πρόσωπον, οἴμοι, καί ἐνεπαίχθης,
Χαῖρε! ἀκούσας παικτικῶς, βασιλεῦ, ὑπ’ Ἑβραίων.
Σύ τόν σταυρόν ἐβάστασας, Σῶτερ, ἐπί τῶν ὤμων
καί προσεπάγης ἐν αὐτῷ ἀνυψωθείς, Θεέ μου.
Χεῖρας ἡλώθης πόδας τε, καί ὄξος ἐποτίσθης
καί τήν πλευράν ἐνύγης σου τῇ λόγχῃ, πανοικτίρμον.

Ταῦτα ἡ γῆ μή φέρουσα ἐκλονεῖτο τῷ φόβῳ
καί τούς νεκρούς τούς ἐν αὐτῇ ἀπεδίδου ἐν τάχει·
ὁ ἥλιος εἰς αἷμα δέ μετεστράφη ὁρῶν σε
καί ἡ σελήνη ζόφωσιν ἐνεδύσατο τότε.
Τό καταπέτασμα τοῦ ναοῦ τοῦ τότε διεσχίσθη
ἀπό τῶν ἄνω γεγονός δύο ἕως τῶν κάτω,
καί οὐδέν οἱ παράνομοι τούτων συνῆκαν ὅλως,
ἀλλά καί τάφῳ κείμενον φύλακας ἐφιστᾶσι
καί τόν λίθον σφραγίζουσι σέ κατασχεῖν δοκοῦντες.
Σύ οὖν ἀνέστης, Δέσποτα, ἰδίᾳ ἐξουσίᾳ
καί τάς σφραγίδας ἔλιπες σώας τοῖς παραβάταις·
ἀγγέλων παρουσία δέ ἐκύλισε τόν λίθον
καί τούς ἐκεῖ φυλάσσοντας κατέπληξε τῷ φόβῳ,
καί οὐκ ἠθέλησεν ποσῶς τοῦ συνιέναι ὅλως,
ἀλλ’ ἔμειναν τυφλώττοντες τόν νοῦν καί τήν καρδίαν
πεπωρωμένην τήν αὐτῶν ἔχοντες μέχρι τέλους.
Τί οὖν ὑπάρχει μέγα μοι, εἰ ταῦτα κἀγώ πάθω,
ἅπερ αὐτός σύ πέπονθας ἀναμάρτητος πέλων
ὑπέρ τοῦ κόσμου, Δέσποτα, ἵνα τόν κόσμον σώσῃς,
ὁ ἁμαρτήσας πάμπολλα ἐκ νέας ἡλικίας
καί παροργίσας σε, Χριστέ, ἐν ἔργοις τε καί λόγοις;
Μέγα μοι ὄντως, μᾶλλον δέ καί ὑπέρ πᾶσαν δόξαν,
ὅτι με μέτοχον ποιεῖ δόξης σου τῆς ἀρρήτου
ἡ κοινωνία τῶν παθῶν, ἡ μίμησις τῶν ἔργων,
καί πρόξενος θεότητος ἡ ταπείνωσις πέλει
ἡ σή τοῖς μετά γνώσεως ταύτην μετερχομένοις.
Εὐχαριστῶ σοι, Δέσποτα, πάσχων μᾶλλον ἀδίκως,
εἰ δέ δικαίως, ἔστω μοι εἰς ἔκτισιν πταισμάτων,
εἰς κάθαρσιν ἀμέτρων μου, Χριστέ, πλημμελημάτων,
καί μή ἐάσῃς μοι ποτέ πόνους ἐπενεχθῆναι
ὑπέρ δύναμιν, Δέσποτα, ἤ πειρασμούς ἤ θλίψεις,
ἀλλά ἀεί μοι χάρισαι τήν ἔκβασιν, Θεέ μου,
καί τήν ἰσχύν τοῦ δύνασθαι ὑπενεγκεῖν τάς λύπας.
Σύ γάρ ὑπάρχεις τῶν καλῶν ὁ παροχεύς ἀρχῆθεν
τοῖς ἐκ ψυχῆς προσπίπτουσι τῷ σῷ κράτει ἀξίως,
τῆς πίστεως, τῶν ἔργων τε καί τῶν χρηστῶν ἐλπίδων
παρέχων τά χαρίσματα, τάς δωρεάς τε πάσας
τοῦ Θείου καί προσκυνητοῦ Πνεύματός σου, οἰκτίρμον,
νῦν καί ἀεί καί πάντοτε εἰς αἰῶνας αἰώνων,
ἀμήν.

## ΛΖ'. Δέησις καί προσευχή τοῦ αὐτοῦ πρός Θεόν τῆς ἐκείνου ἕνεκα βοηθείας

Δέσποτα Χριστέ, Δέσποτα ψυχοσῶστα,
Δέσποτα Θεέ πάντων τῶν ὁρωμένων
ἀοράτων τε δυνάμεων, ὡς κτίστης
τῶν ἐν οὐρανῷ πάντων, τῶν ὑπεράνω
τοῦ οὐρανοῦ τε καί οὐρανῶν ἁπάντων,
τῶν ὑπό γῆν τε καί τῶν ἐν γῇ ὡσαύτως!
Σύ εἶ Κύριος τούτων, Θεός τε καί Δεσπότης,
σύ τῇ χειρί σου περικρατεῖς τήν κτίσιν,
ὅτι ἐν αὐτῇ περιέχεις τά πάντα.
Χείρ σου, Δέσποτα, δύναμις ἡ μεγάλη,
ἥ τό θέλημα τοῦ σοῦ Πατρός πληροῦσα
καί δημιουργεῖ, ἐργάζεται καί κτίζει
καί οἰκονομεῖ τά καθ’ ἡμᾶς ἀρρήτως·
αὕτη οὖν κἀμέ νυνί παραγαγοῦσα
ἐκ τοῦ μή ὄντος πεποίηκε τοῦ εἶναι,
ὅε καί γεγονώς ἤμην ἐν τῷδε κόσμῳ
ἀγνοῶν ὅλως σέ, τόν καλόν Δεσπότην,
σέ, τόν κτίστην μου, σέ, ὦ δημιουργέ μου,
καί ὥσπερ τυφλός ὑπῆρχον ἐν τῷ κόσμῳ
καί ὡς ἄθεος, ἀγνοῶν τόν Θεόν μου.
Αὐτός οὖν ἐλεήσας καί ἐπεσκέψω
καί ἐπεστρέψας λάμψας ἐν σκότει φῶς μοι
καί ἑλκύσας με πρός ἑαυτόν, ὦ πλάστα,
ἐξαγαγών τε ἐκ κατωτάτου λάκκου,
σκότους τῶν παθῶν, σκότους τοῦ βαθυτάτου
ἐπιθυμιῶν καί ἡδονῶν τοῦ βίου
ἔξειξας ὁδόν, δέδωκας ὁδηγόν μοι
πρός τάς ἐντολάς τάς σάς καθοδηγοῦντα.
Ὧ ἀκολουθῶν ἄφροντις διετέλουν,
ἔχαιρον χαράν οὐ λαλουμένην, Λόγε,
ὁρῶν κατά πόδας σου ἀκολουθοῦντα
καί προσομιλοῦντά σοι πολλάκις τοῦτον.
Ἀλλά καί βλέπων σε, τόν καλόν Δεσπότην,
τῷ ὁδηγῷ μου καί πατρί συμπαρόντα
ἄφραστον εἶχον ἀγάπην τε καί πόθον,
ὑπέρ πίστιν τε καί ἐλπίδα ὑπῆρχον

καί· Ἰδού, ὁρῶ τά μέλλοντα, ἔλεγον,
καί τῶν οὐρανῶν πάρεστι βασιλεία
καί τά ἀγαθά ἅ ὀφθαλμός οὐκ εἶδεν,
οὖς οὐκ ἤκουσε, πρό ὀφθαλμῶν μου βλέπω,
ἔχων τε αὐτά καί τί πλέον ἐλπίσω,
ἤ τήν πίστιν μου ἐν ἄλλοις ποίοις δείξω;
Μεῖζον γάρ ἄλλο ὑπέρ ταῦτα οὐκ ἔσται.
Ἐν τούτοις ὄντος καί τούτοις ἐντρυφῶντος
ἔλαβες ἐκ γῆς τόν πατέρα μου, οἴμοι,
ἦρας ὁδηγόν ἐμόν ἐξ ὀφθαλμῶν μου,
ὦ φιλάνθρωπε, καί κατέλιπας μόνον,
πάντως ὀρφανόν, πάντως μεμονωμένον,
πάντως ἐκ πάντων ἀβοήθητον ὄντα,
καί ποίμνης, οἴμοι, προστάτην καί ποιμένα,
τόν ὡς ἀληθῶς ἀπροστάτευον ξένον
ἔστησας αὐτός τοῖς κρίμασιν, οἷς οἶδας.
Διά τοῦτο σέ ἄρτι καθικετεύω,
ἄρτι δέομαι, ἀντιβολῶ προσπίπτων·
μή ἀποστραφῇς, μή με ἐγκαταλίπῃς
μηδέ ἀφῇς με, ὦ Δέσποτά μου, μόνον!
Οἶδας τῆς ὁδοῦ τήν δύσβατον πορείαν,
οἶδας τῶν ληστῶν τήν καθ’ ἡμῶν μανίαν,
οἶδας τήν πληθύν τῶν πονηρῶν θηρίων,
οἶδας τήν ἐμήν ἀσθένειαν, Χριστέ μου,
καί τήν ἄγνοιαν, ἥν ὡς ἄνθρωπος ἔχω.
Πλήν οὐδ’ ἄνθρωπος ὅλως δοκῶ ὑπάρχειν,
ἀλλά ἀνθρώπων πολύ ἀπολιμπάνειν·
κατά πάντα γάρ πάντων ἔσχατος πέλω
καί ἐλάχιστός εἰμι ὄντως ἀνθρώπων πάντων.
Ἐπίχεέ μοι, βασιλεῦ καί Θεέ μου,
τό ἔλεός σου, ἐξαιτοῦμια, τό μέγα,
ἵνα τά ἐμά ὑστερήματα, Σῶτερ,
καί ἐλλείματα τοῦτο ἀναπληρώσῃ
καί σῶον ὅλον ἄνθρωπόν με ποιήσῃ
ὑστερούμενον οὐδέν τῶν ἀναγκαίων
καί οὕτω στήσῃ ἐνώπιόν σου, Λόγε,
ἀκατάκριτον, ἄμεμπτόν με σόν δοῦλον,
ἀνυμνοῦντά σε εἰς αἰῶνας αἰώνων,
ἀμήν.

## ΛΗ'. Περί θεολογίας· καί ὅτι ὁ νοῦς τῆς ὕλης τῶν παθῶν καθαρθείς ἀΰλως τόν ἄϋλον καί ἀόρατον καθορᾷ.

Ποίαν ὁδόν ὁδεύσοιμι, ποίαν ἐκκλίνω τρίβον;
Ποίαν ἀνέλθω κλίμακα, ποίαν εἰσέλθω πύλην
ἤ πῶς ἀνοίξω θύραν δέ καί ποίου κουβουκλίου;
Ὁποίας δέ καί ποταπῆς ἔνδον οἰκίας εὕρω
τόν ἐν χειρί τά σύμπαντα καί παλάμῃ κρατοῦντα;
Ὄρος εἰς ποῖον ἀναβῶ, ἐκ ποίου τε τοῦ μέρους
καί ποῖον ἄρα σπήλαιον ἐκεῖσε ψηλαφήσω
ἤ ποῖον ἕλος διελθών τόν πανταχοῦ παρόντα
καί ἄληπτον τυγχάνοντα ἀόρατόν τε ὄντα
τοῦ κατιδεῖν ἀξιωθῶ καί κατασχεῖν, ὁ τάλας;
Εἰς ποῖον ᾅδην καταβῶ, εἰς οὐρανόν δέ ποῖον
ἀνέλθω καί εἰς ἔσχατα ποίας θαλάσσης ἆρα
γενόμενος εὑρήσαιμι τόν ἀπρόσιτον πάντῃ,
τόν πάμπαν ἀπερίγραπτον, ἀφηλάφητον ὅλον,
τό ἄϋλον ἐν ὑλικοῖς, τόν κτίστην ἐν τῇ κτίσει,
τόν ἄφθαρτον ἐν τοῖς φθαρτοῖς, εἰπέ μοι, πῶς εὑρήσω;
Πῶς δ’ ἔξω κόσμου γένωμαι, ὁ τυγχάνων ἐν κόσμῳ,
πῶς τῷ ἀΰλω συναφθῶ, ὁ συνημμένος ὕλῃ;
Πῶς τῷ ἀφθάρτῳ συμπλακῶ, φθαρτός ὅλος ὑπάρχων,
ὁ ἐν θανάτῳ τῇ ζωῇ πῶς ὅλως πλησιάσω,
τῷ ἀθανάτῳ ὁ νεκρός τῶς ἆρα προσπελάσω;
Ὁ χόρτος ὅλος τῷ πυρί πῶς προσψαῦσαι τολμήσω;
Ἀλλ’ ὅμως ἄρτι ἄκουε τῶν ἀπορρήτων λύσιν!
Πρό τοῦ γενέσθαι οὐρανόν, πρό τοῦ γῆν παραχθῆναι
Θεός ὑπῆρχεν, ἡ Τριάς, μόνος μεμονωμένος,
φῶς ἄναρχον, φῶς ἄκτιστον, φῶς ἄφραστον εἰς ἅπαν,
ὅμως Θεός ἀθάνατος, ἀτελεύτητος, μόνος,
ἀΐδιος, αἰώνιος, ἀγαθώτατος ἄγαν.
Νόει καλῶς μόνον Θεόν ἐν ἀρχῇ τήν Τριάδα
ὑπερανάρχως οὖσαν μέν, ὑπέρ ἀρχήν τε πᾶσαν
ἀνείκαστον, ἀμέτρητον ὕψει, βάθει καί πλάτει,
τοῦ τε μεγέθους καί φωτός πέρας μή κεκτημένον.
Οὐκ ἦν ἀήρ, καθάπερ νῦν, οὐκ ἦν σκότος οὐδ’ ὅλως,
οὐ φῶς, οὐχ ὕδωρ, οὐκ αἰθήρ, οὐκ ἄλλο τι  τῶν ὄντων·
πνεῦμα δέ μόνον ὁ Θεός, φωτοειδές εἰς ἅπαν,
ὁμοῦ τε παντοδύναμον καί ἄϋλον ὑπῆρχεν.

Ἐποίησεν ἀγγέλους δέ, ἀρχάς καί ἐξουσίας,
τά Χερουβίμ καί Σεραφίμ, κυριότητας, θρόνους
καί τά ἀκατονόμαστα τάγματα λειτουργοῦντα
αὐτῷ καί παριστάμενοα ἐν φόβῳ τε καί τρόμῳ.
Ὕστερον δέ παρήγαγεν οὐρανόν ὡς καμάραν,
ὑλικόν καί ὁρώμενον, αἰσθητόν καί παχύν τε
καί ἐν ῥιπῇ ἐξέτεινε τοῦτον, ὡς εἶδε μόνος.
Γῆν τε ὁμοῦ καί ὕδατα καί ἁπάσας ἀβύσσους
μέσον αὐτοῦ ἐν τῷ αὐτῷ ἐννοήματι μόνῳ
πεποίηκεν, οἷα καί νῦν πάντα ἡμῖν ὁρῶνται.
Καί ἔμεινεν, ἔνδον τό φῶς τό ἄϋλον μή ἔχων,
ὁ οὐρανός ἐκτανυσθείς αἰσθητός , καθώς εἶπον,
οὐ περιέκοψε φωτός ἀΰλου λαμπηδόνας.
Ἔνυλος γάρ, ὡς εἴρηται, ὤν, τῶν ἀΰλων ἔξω,
οὐ τόπῳ πάντως, φύσει δέ εὑρέθη καί οὐσίᾳ.
Ἐνύλων γάρ ὁ ἄϋλος ἔστι κεχωρισμένος,
οὐκ ἔχων τόπον ἴδιον, ἀπερίγραπτος γάρ ὤν·
αὐτός λόγῳ τά σύμπαντα ἐν ἑαυτῷ παράγει
καί φύσει ἔστι τῶν κτιστῶν πάντῃ κεχωρισμένος
καί φέρων πάντα ἐν αὐτῷ ἔξω ἐστί τῶν πάντων.
Ὥσπερ γάρ νοῦς καί ἄγγελος τοίχοις καί θύραις ἔξω
οἰκίας οὐκ ἀπείργονται οὐδέ κρατοῦνται ἔνδον,
οὕτως ὁ τούτων ποιητής ὅλως οὐκ ἔξω πέλει,
οὐκ ἔνδοθεν τοῦ οὐρανοῦ οὐδ’ ἐν ἑτέρῳ τόπῳ,
ἀλλ’ ἔστι πάντως πανταχοῦ Θεός κεχωρισμένος
ἐνύλων πάντων καί κτιστῶν ὑπ’ αὐτοῦ παραχθέντων.
Ἐγένετο οὖν οὐρανός ἔνυλος καί διέστη
τῇ φύσει, καθώς εἴρηται, τοῦ φωτός τοῦ ἀΰλου
καί ἔμεινε δίχα φωτός, οἶκος καθάπερ μέγας.
Ὁ δέ Δεσπότης τοῦ παντός τόν ἥλιον ἀνῆψε
καί τήν σελήνην, αἰσθητοῖς αἰσθητῶς ὅπως λάμπῃ,
δέδωκε δέ καί ἐν χερσί φῶς ἐν νυκτί τοῦ φαίνειν,
ἀπό σιδήρου λίθου τε τικτόμενον ἀρρήτως.
Ἐκεῖνος δέ παντός φωτός ἐστί κεχωρισμένος,
ὑπέρφωτος, ὑπέρλαμπρος, ἄστεκτος πάσῃ κτίσει·
ὡς γάρ ἡλίου λάμποντος οὐ φαίνονται τά ἄστρα,
οὕτως, εἰ λάμψαι βουληθῇ ἡλίου ὁ Δεσπότης,
οὐχ ὑποστήσεται πᾶς ζῶν ἀνατολήν τήν τούτου.
Διό συνέζευξε τόν νοῦν τῷ χοΐ τῷ ἐνύλῳ
καί ἐν ἐνύλοις τέθηκεν ἡμᾶς ἀνθρώπους πάντας,
ἵν’ ἐν βεβαίᾳ πίστει γε καί ἐντολῶν τηρήσει

τόν, ὅνπερ συνεχέαμεν παραβάσεως ζόφῳ,
νοῦν ἄϋλον ἐν ὑλικῶν παθῶν ἐπιθυμίᾳ
καί γεύσει τῇ τῶν ἡδονῶν ἐκκαθάραντες αὖθις,
τό ἄϋλον ἐν ὑλικοῖς ἀΰλως καθορῶμεν
φῶς, ὅπερ εἶπον, ὅτι ἦν Θεός ὑπερανάρχως,
ἀόρατον τοῖς αἰσθητοῖς ὀφθαλμοῖς καί ἐνύλοις,
ἀπρόσιτον τοῖς νοεροῖς ὄμμασι τῆς καρδίας.
Θαυμάζω γάρ πῶς ἡ ψυχή, ὅλη ἄϋλος οὖσα
καί νοερόν τόν τοῦ νοός ὀφθαλμόν κεκτημένη,
ὥσπερ θυρίσι γε δυσίν αἰσθητῶς κεχρημένη
τοῦ σώματος τοῖς ὀφθαλμοῖς παρακύπτουσα βλέπει
δι' αὐτῶν πάντα ὁρατά καί πάλιν ὑποστρέφει,
τά νοητά καί ἄϋλα ἀΰλως καθορῶσα,
μέσον δ' ἀφθάρτων καί φθαρτῶν ἀρρήτως κρατουμένη·
ὑπό μέν τῶν καθέλκεται πρός ἡδονάς, πρός πάθη,
ὑπό δέ τῶν πρός οὐρανόν πτερουμένη ἐκεῖσε
μένειν μέν ἐκβιάζεται, κατασπᾶται δέ ὅμως
καί πάλιν ἀναφέρεσθαι ἀεί θερμῶς σπουδάζει
ἀεροβάμων θέλουσα εἶναι ἐξ ὁρωμένων.
Ὡς γάρ παγίδας βλέπουσα τά ἐν τῷ κόσμῳ πάντα
φοβεῖται ὅλως ἐν τῇ γῇ πατῆσαι ἤ καθίσαι,
ἵνα μή πάντως ἐμπαγῇ κρατηθεῖσα ἐν τούτοις
καί γένηται κατάβρωμα θηρίων ἀνημέρων.
Τοιοῦτος ὁ τῶν εὐσεβῶν καί πιστῶν καί ἁγίων
ἁπάντων βίος, ὅνπερ χρή ἐκμιμεῖσθαι τούς πάντας,
ἵνα καί σύν αὐτοῖς Χριστῷ, Θεῷ, κριτῇ τῶν πάντων
ἀμέμπτως παραστήσονται καί κοινωνοί τῆς δόξης
καί βασιλείας τῆς αὐτοῦ ἔσονται εἰς αἰῶνας,
ἀμήν.

## ΛΘ'. Ὅτι ὁ πόθος καί ἡ πρός Θεόν ἀγάπη ὑπερβαίνει πᾶσαν ἀγάπην καί πάντα πόθον ἀνθρώπινον· βαφείς δέ ὁ νοῦς τῶν καθαιρομένων ἐν τῷ φωτί τοῦ Θεοῦ ὅλος θεοῦται καί νοῦς ἐκεῖθεν χρηματίζει Χριστοῦ.

Ἀμήχανον τό κάλλος σου, ἀσύγκριτον τό εἶδος,
ἡ ὡραιότης ἄφατος, ὑπέρ λόγον ἡ δόξα,
τό ἦθος, Δέσποτα Χριστέ, τό ἀγαθόν καί πρᾷον
τῶν γηγενῶν ὑπέρκειται τάς ἐννοίας ἁπάντων,
καί διά τοῦτο ὁ πρός σέ πόθος καί ἡ ἀγάπη
πᾶσαν ἀγάπην τῶν βροτῶν ὑπερνικᾷ καί πόθον.
Καθ' ὅσον γάρ ὑπέρκεισαι τῶν ὁρωμένων, Σῶτερ,
κατά τοσοῦτον ὁ πρός σέ πόθος ὑπάρχει μείζων
καί συγκαλύπτει ἅπασαν ἀνθρωπίνην ἀγάπην
καί ἔρωτας τῶν σαρκικῶν ἡδονῶν ἀποτρέπει,
ἐπιθυμίας πάσας δέ ἀποκρούεται τάχος·
σκότος γάρ ὄντως τῶν παθῶν ἐπιθυμία πέλει
καί νύξ βαθεῖα τῶν αἰσχρῶν ἁμαρτιῶν ἡ πρᾶξις,
φῶς δέ ὁ ἔρως ὁ πρός σέ καί ἡ ἀγάπη, Σῶτερ.
Διό ἐξανατέλλουσα ἐν ψυχαῖς φιλοθέοις
εὐθύς ἡμέραν ἐμποιεῖ ἀπαθείας, Θεέ μου,
ἀποδιώκουσα παθῶν καί ἡδονῶν τό σκότος·
ὤ θαῦμα, ὤ παράδοξον ἔργον Θεοῦ ὑψίστου
καί μυστηρίων δύναμις τῶν κρυπτῶς τελουμένων!
Σύ καί τά ἄφθαρτα ἡμῖν καί τά φθαρτά χαρίζῃ,
σύ καί τά γήϊνα, Θεέ, σύν τοῖς ἐπουρανίοις,
τά ἐνεστῶτά τε ὁμοῦ καί τά μέλλοντα, Λόγε,
ὡς πάντων πάντως ποιητής, ὡς ἔχων ἐξουσίαν
τῶν οὐρανίων, Δέσποτα, καί τῶν καταχθονίων·
καί πῶς ἡμεῖς οἱ ἄθλιοι ἀγαπῶμεν ἀνθρώπους
ὑπέρ σέ πλέον καί αὐτοῖς δουλούμεθα ἀθλίως,
ἵνα μικρά ληψόμεθα καί φθαρτά παρ' ἐκείνων
καί αὐτοῖς ἐκδιδόαμεν ψυχάς ἡμῶν ἀθλίας
καί σώματα ὡς ἄτιμα σκεύη τοῦ καταχρᾶσθαι;
Καί μέλη ὄντες, Δέσποτα, σοῦ τοῦ πάντων Δεσπότου
ἁγίου, πάντως ἅγια αὐτοκρατοῦς Δεσπότου,
τοῖς πονηροῖς οὐ φρίττομεν δαίμοσιν αὐθαιρέτως
ῥίπτειν αὐτούς εἰς ἄτιμα τῆς ἁμαρτίας ἔργα;

Τίς οὖν μή κλαύσῃ τῶν πιστῶν καί γνησίων σου δούλων,
τίς μή θρηνήσῃ τῆς πολλῆς αὐθαδείας τήν τόλμαν;
Τίς δέ μή φρίξῃ τήν πολλήν ἀνοχήν σου, Θεέ μου,
τίς μή τρομάσῃ κρίσεως ἀνταπόδοσιν θείας,
τό ἄστεκτον καί ἄσβεστον πῦρ, οἴμοι, τό τῆς γεέννης,
ἔνθα κλαυθμός τε καί βρυγμός ὑπάρχει τῶν ὀδόντων
καί πόνος ἀπαράκλητος καί ἄφραστος ὀδύνη;
Ἀλλ', ὦ ἥλιε ἡλίου καί σελήνης,
ἀστέρων πάντων καί φωτός καί παντός ἄλλου κτίστα,
τούτων ἔξω με κρύψον ἐν τῷ φωτί σου,
ἵνα μόνον σέ βλέπων ἐν τῷ φωτί σου
κόσμον μή ὁρῶ μηδέ τά ἐν τῷ κόσμῳ,
ἀλλά βλέπων ἔσομαι ὡς μή βλέπων
καί ἀκούων ὡς μή ἀκούων, Λόγε,
καί καθώσπερ πάσχουσιν οἱ ἐν τῷ σκότει
καθεζόμενοι τῶν ἡδονῶν τοῦ βίου,
φιλοδοξίας σκότει κεκαλυμμένοι,
βλέποντες οὐ βλέπουσι δόξαν σου θείαν
καί ἀκούοντες οὐ συνιοῦσιν ὅλως
τάς ἐντολάς σου καί τά προστάγματά σου,
οὕτως κἀγώ ἔσομαι ἐν τῷ φωτί σου
μή βλέπων κόσμον μηδέ τά ἐν τῷ κόσμῳ.
Τίς γάρ ἰδών σε καί ἀστραφθείς αἰσθήσεις
ἐκ τῆς δόξης σου, ἐκ φωτός σου τοῦ θείου,
οὐκ ἠλλοιώθη νοῦν, ψυχήν καί τάς φρένας,
καί βλέπειν ἄλλως καί ἀκούειν ὡσαύτως,
Σῶτερ, κατηξίωται πανεξαισίως;
Ἐμβάπτεται γάρ ὁ νοῦς ἐν τῷ φωτί σου
καί λαμπρύνεται καί φῶς ἀποτελεῖται
ὅμοιον τῆς δόξης σου, καί νοῦς καλεῖται
σός ὁ τοιοῦτος ἀξιωθείς γενέσθαι,
καί νοῦν ἔχειν σόν τότε καταξιοῦται
καί ἕν μετά σοῦ γίνεται ἀχωρίστως·
καί πῶς μή βλέπει ὥσπερ σύ καί ἀκούει
πάντα ἀπαθῶς; Πῶς δέ ἐπιθυμήσει
Θεός γεγονώς αἰσθητοῦ τινος ὅλως
ῥευστοῦ καί φθαρτοῦ πράγματος εἴτε δόξης,
ὁ ὑπεράνω γεγονώς τούτων πάντων
καί ὑπέρ πᾶσαν δόξαν τήν ὁρωμένην;
Ὑπεράνω γάρ πάντων τῶν ὁρωμένων
ὁ γενόμενος καί Θεῷ πλησιάσας,

μᾶλλον δέ Θεός καί αὐτός χρηματίσας,
πῶς ἐν τῶν κάτω κειμένων δόξαν ὅλως
ἤ τρυφήν θελήσειεν ἐπιζητῆσαι;
Ταῦτα γάρ αὐτῷ αἰσχύνη ὄντως πέλει,
ὕβρις, ἐξουδένωσις καί ἀτιμία.
Δόξα δέ αὐτῷ καί τρυφή τε καί πλοῦτος
Θεός, ἡ Τριάς, καί τά Θεοῦ καί θεῖα,
ᾧ πρέπει πᾶσα δόξα, τιμή καί κράτος
ἀεί τε καί νῦν καί εἰς πάντας αἰῶνας,
ἀμήν.

## Μ'. Ὁμολογία τῆς χάριτος τῶν τοῦ Θεοῦ δωρεῶν· καί ὅπως ὁ ταῦτα γράφων πατήρ ὑπό τοῦ Ἁγίου ἐνηργεῖτο Πνεύματος· καί διδασκαλία ῥηθεῖσα ὑπό Θεοῦ, τοῦ τί δεῖ ποιοῦντα τινά, τῆς τῶν σωζομένων σωτηρίας τυχεῖν.

Πάλιν ἐκλάμπει μοι τό φῶς, πάλιν τρανῶς ὁρᾶται,
πάλιν ἀνοίγει οὐρανούς, πάλιν τέμνει τήν νύκτα,
πάλιν παράγει ἅπαντα, πάλιν ὁρᾶται μόνον,
πάλιν ἁπάντων ἔξω με ποιεῖ τῶν ὁρωμένων,
τῶν αἰσθητῶν ὡσαύτως δέ, βαβαί, ἀποχωρίζει.
Πάλιν ὁ πάντων οὐρανῶν ὑπεράνω τυγχάνων,
ὅνπερ οὐδείς ἑώρακε πώποτε τῶν ἀνθρώπων,
μή διανοίγων οὐρανούς, μή διατέμνων νύκτα,
μηδέ ἀέρα διϊστῶν μηδέ στέγην οἰκίας
ἀτόμως ὅλος  μετ' ἐμοῦ γίνεται, τοῦ ἀθλίου,
ἔνδοθεν τοῦ κελλίου μου, ἔνδοθεν τοῦ νοός μου
καί μέσον τῆς καρδίας μου, ὤ φρικτοῦ μυστηρίου!
Μενόντων πάντων ὡς εἰσί, παραγίνεται πρός με
τό φῶς καί ἀναφέρει με τῶν πάντων ὑπεράνω,
καί μέσον πάντων ὄντων με ἔξω ποιεῖ πάντων.
Οὐκ οἶδα εἰ καί σώματι, τέως δ' ἐκεῖσε ὅλος
ἐπ' ἀληθείας γίνομαι, ἔνθα φῶς ἐστι μόνον,
ἁπλοῦν, ὅ βλέπων γίνομαι ἁπλοῦς τῇ ἀκακίᾳ.
Ταῦτά σου τά παράδοξα, Χριστέ μου, τῶν θαυμάτων,
ταῦτα τῆς δυναστείας σου καί τῆς φιλανθρωπίας
τά ἔργα, ἅπερ εἰς ἡμᾶς ποιεῖς τούς ἀναξίους·
διά τοῦτο οὖν φόβος σου συνέχει με καί τρέμω
καί μεριμνῶ διηνεκῶς καί δαπανῶμαι σφόδρα,
τό τί ἀνταποδώσω σοι, τό τί σοι προσενέγκω
ἀντί τοσούτων δωρεῶν, τοσαύτης εὐσπλαγχνίας,
ἀναριθμήτων δωρεῶν, ὧν εἰς ἐμέ εἰργάσω.
Μηδέν δ' εὑρίσκων ἐν ἐμοί, μηδέν ἐμόν ἐν βίῳ,
ἀλλά τά πάντα δοῦλα σά, ἔργα πάντα χειρῶν σου,
μειζόνως καταισχύνομαι, μειζόνως ὀδυνῶμαι,
μειζόνως, Σῶτερ, δυσωπῶ μαθεῖν, τί δεῖ ποιῆσαι,
ἵνα καί θεραπεύσω σε, ἵνα εὐαρεστήσω,
ἵν' εὑρεθῶ ἐνώπιον ἀκατάκριτος, Σῶτερ,
τοῦ βήματός σου τοῦ φρικτοῦ ἐν ἡμέρᾳ τῆς δίκης.

Ἄκουσον τί ποιήσειε πᾶς ὁ μέλλων σωθῆναι,
μᾶλλον δέ πρῶτος πάντων σύ ὁ καί παρακαλῶν με.
Σήμερον, δόξον, τέθνηκας, σήμερον ἀπετάξω,
σήμερον κόσμον ἅπαντα νόμισον καταλεῖψαι!
Σήμρον φίλους, συγγενεῖς, δόξαν ματαίαν πᾶσαν
ἀφείς ὁμοῦ ἀπάρνησαι καί μέριμναν τῶν κάτω
καί ἐπί ὤμων τόν σταυρόν ἆρον, σφοδρῶς τε σφίγξον
καί μέχρι τέλους βάστασον τῶν πειρασμῶν τούς πόνους,
ὀδύνας τε τῶν θλίψεων καί λυπηρῶν τούς ἥλους
περιχαρῶς κατάδεξαι, ὥσπερ στέφανον δόξης,
τῶν ὕβρεων ταῖς λόγχαις δέ βαλλόμενος καθ’ ὥραν
καί λιθαζόμενος σφοδρῶς ἁπάσαις ἀτιμίαις
δάκρυα ἀντί αἵματος προχέων ἔσῃ μάρτυς,
καί ἐμπαιγμούς καί ῥαπισμούς φέρων παντευχαρίστως
τῆς ἐμῆς ἔσῃ κοινωνός θεότητος καί δόξης.
Ἐάν δέ  πάντων ἔσχατον σεαυτόν ἀποδείξῃς
καί δοῦλον καί διάκονον, πρῶτον ἐκείνων πάντων
ὕστερον ἀποδείξω σε, καθάπερ ὑπεσχόμην.
Εἰ ἀγαπήσεις τούς ἐχθρούς καί πάντας τούς μισοῦντας,
τῶν ἐπηρεαζόντων τε ἐκ ψυχῆς ὑπερεύξῃ
καί ἀγαθοποιήσειας τούτους κατά τό δυνατόν σοι,
ὅμοιος ὄν τως γέγονας τοῦ ὑψίστου πατρός σου
καί τήν καρδίαν καθαράν κτησάμενος ἐκ τούτων
ἐν ταύτῃ ὄψει τόν Θεόν, ὅν οὐδείς ποτε εἶδεν.
Εἰ δέ καί διωχθῆναί σε ὑπέρ δικαιοσύνης
γένηται, τότε σκίρτησον, ὅτι ἡ βασιλεία
τῶν οὐρανῶν σή γέγονε, καί ποῖον τούτου μεῖζον;
Ταῦτα καί τούτων πλείονα, ἅπερ ἐνετειλάμην,
πρᾶξον καί ἄλλους δίδαξον, καί σύ καί πάντες ἄλλοι
οἱ εἰς ἐμέ πιστεύοντες, εἰ βούλοισθε σωθῆναι
καί σύν ἐμοί αὐλίζεσθαι εἰς αἰῶνας αἰώνων.
Εἰ δέ γε ἀπαναίνεσθε καί δυσανασχετεῖτε,
αἰσχύνην τε λογίζεσθε ταῦτα καί ἀτιμίαν
παθεῖν καί θεῖναι τάς ψυχάς ὑπέρ τῶν ἐντολῶν μου,
τί καί αἰτεῖσθε τοῦ μαθεῖν πῶς δεῖ ὑμᾶς σωθῆναι
ἐν ποίαις τε ταῖς πράξεσιν ἐμοί οἰκειωθῆναι;
Τί δέ με καί Θεόν ὑμῶν ὀνομάζετε ὅλως,
τί καί πιστεύειν οἴεσθε εἰς ἐμέ ἀσυνέτως;
Ἐγώ γάρ ταῦτα δι’ ὑμᾶς ἔπαθον ἑκουσίως·
ἐσταυρώθην, ἀπέθανον θάνατον τῶν κακούργων,
καί δόξα κόσμου γέγονε, ζωή τε καί λαμπρότης,

καί νεκρῶν ἐξανάστασις καί καύχημα ἁπάντων
τῶν πιστευσάντων εἰς ἐμέ τά εἰς ἐμέ ὀνείδη,
καί ὁ ἀσχήμων θάνατος ἔνδυμα ἀφθαρσίας
καί ἀληθοῦς θεώσεως πᾶσι πιστοῖς ὑπῆρξε.
Διό καί οἱ μιμούμενοι τά ἐμά σεπτά πάθη
συμμέτοχοι ὑπάρξουσι καί τῆς θεότητός μου
καί βασιλείας τῆς ἐμῆς ἔσονται κληρονόμοι,
συγκοινωνοί τε ἀγαθῶν ἀφράστων, ἀπορρήτων
γενήσονται· καί σύν ἐμοί ἔσονται εἰς αἰῶνας.
Τούς δ' ἄλλους τίς μή κλαύσει γε, τίς αὐτούς μή θρηνήσει,
τίς μή σταλάξει δάκρυον ἐκ συμπαθοῦς καρδίας,
τίς μή πενθήσει τήν αὐτῶν πολλήν ἀναισθησίαν,
ὅτι ἀφέντες τήν ζωήν ἑαυτούς τῷ θανάτῳ
παραδεδώκασι Θεοῦ δεινῶς ἀπορραγέντες;
Ὧν τῆς μερίδος ῥῦσαί με, Δέσποτα τῶν ἁπάντων,
καί κοινωνόν γενέσθαι με παθῶν σου τῶν ἀχράντων
ἀξίωσον τόν εὐτελῆ καί ἔσχατόν σου δοῦλον,
ὅπως - ὡς εἴρηκας, Θεέ - καί κοινωνός ὑπάρξω
τῆς δόξης σου καί τῆς τρυφῆς τῶν ἀγαθῶν σου, Λόγε,
νῦν μεν ὡς ἐν αἰνίγματι καί τύπῳ καί ἐσόπτρῳ
τότε δέ ἐπιγνώσομαι, ὅσον καί ἐπεγνώσθην,
ἀμήν.

## ΜΑ'. Εὐχαριστία πρός Θεόν ὑπέρ τῶν παρ’ αὐτοῦ γεγονότων εὐεργεσιῶν καί αἴτησις τοῦ μαθεῖν, τίνος χάριν οἱ τέλειοι γεγονότες ὑπό τῶν δαιμόνων παραχωροῦνται πειράζεσθαι· καί περί τῶν ἀποτασσομένων τῷ κόσμῳ διδασκαλία καί ὑποτύπωσις ῥηθεῖσα παρά Θεοῦ.

Γινώσκεις τήν πτωχείαν μου, οἶδας τήν ὀρφανίαν,
ἐπίστασαι τήν μόνωσιν, ὁρᾷς τό ἀσθενές μου
καί τήν ἀδυναμίαν μου, ὁ πλάσας με Θεός μου
οὐκ ἀγνοεῖς, ἀλλ’ ἐφορᾷς καί τά πάντα γινώσκεις.
Ἴδε καρδίαν ταπεινήν, ἴδε συντετριμμένην,
ἴδε ἐν ἀπογνώσει με ἐγγίζοντα, Θεέ μου,
καί δός ἀφ’ ὕψους χάριν σου, δός Πνεῦμά σου τό Θεῖον.
Δός τόν Παράκλητον, Σῶτερ, πέμψον, καθώς ὑπέσχου,
ἀπόστειλον κἀμοί καί νῦν τῷ προσκαθεζομένῳ
ἐν ὑπερῴω, Δέσποτα, ὑπεράνωθεν ὄντως
παντός γηΐνου πράγματος, ἔξω παντός τοῦ κόσμου
καί σέ ζητοῦντι καί τό σόν Πνεῦμα ἐκδεχομένῳ.
Μή οὖν βραδύνῃς, εὔσπλαγχνε, μή παρίδῃς, οἰκτίρμον,
μή ἐπιλάθῃ τοῦ ψυχῇ ζητοῦντός σε διψώσῃ.
Μή με στερήσῃς τῆς ζωῆς τόν ἀνάξιον ταύτης
μηδέ βδελύξῃ με, Θεέ, καί μή ἐγκαταλίπῃς.
Τά σπλάγχνα σου προβάλλομαι, τό ἔλεος προτείνω
καί τήν φιλανθρωπίαν σου μεσῖτίν σοι προσφέρω.
Οὐκ ἔκαμον, οὐκ ἔπραξα δικαιοσύνης ἔργα,
οὐδέποτε ἐτήρησα μίαν τῶν ἐντολῶν σου,
ἀλλά ἀσώτως ἅπαντα τόν βίον μου μετῆλθον,
πλήν αὐτός οὐ παρεῖδές με, ἀλλά ζητήσας εὗρες
πλανώμενον, ἐπέστρεψας ἐκ τῆς ὁδοῦ τῆς πλάνης
καί ἐπ’ ἀχράντους ὤμους σου φωτί τῆς χάριτός σου
ἐπανεβίβασας, Χριστέ, ἐβάστασας, οἰκτίρμον,
καί κόπου με οὐκ εἴασας ὅλως ἐπαισθανθῆναι,
ἀλλ’ ἐπαναπαυόμενον ὡς ἐν ὀχήματί με
κούφως ὁδεῦσαι δέδωκας τάς ὁδούς τάς τραχείας,
ἕως ἀποκατέστησας μάνδρᾳ τῶν σῶν προβάτων,
ἕως συνήνωσας τοῖς σοῖς καί κατέταξας δούλοις.
Κηρύττω σου τόν ἔλεον, ὑμνῶ τήν εὐσπλαγχνίαν,
εὐχαριστῶν θαυμάζω σου χρηστότητος τόν πλοῦτον·

ἀνακληθείς δέ παρά σου, ὡς εἴρηται, Θεέ μου,
καί νῦν ὑπάρχων, ὡς δοκῶ, ὅλος δεδουλωμένος,
προσηλωμένος τῷ φωτί καί σοί κεκολλημένος,
κρατούμενος τῷ πόθῳ σου, δεδεμένος ἀγάπῃ,
ἐξαπορῶ, ἐκπλήττομαι καί γινώσκειν οὐκ ἔχω·
πῶς ἄρα θλῖψις ἅπτεται ψυχῆς μου τῆς ἀθλίας,
πῶς λύπη ἐπεισέρχεται, πῶς ὅλον με ταράττει,
πῶς με τῆς σῆς ἀποστερεῖ γλυκύτητος, Θεέ μου,
καί τῆς χαρᾶς χωρίζει με ἡ τῶν γηΐνων θλῖψις;
Τί με τοσοῦτον πταίσαντα καί ἐξημαρτηκότα
ἤ τί σε παροργίσαντα ἐπί πλεῖον, Χριστέ μου,
καταλιμπάνεις, ἀγαθέ, τοῦ λυπεῖσθαι  μειζόνως
ὑπέρ τό πρῴην, ὅτε ἦν ἐμπαθής ἡ ψυχή μου;
Εἰπέ καί δίδαξόν με νῦν κριμάτων σου τό βάθος,
εἰπέ καί μή βδελύξῃ με ἀναξίως λαλοῦντα,
ὁ πάλαι συνεσιαθείς ἁμαρτωλοῖς καί πόρναις
καί συνδειπνήσας, Δέσποτα, ἀσώτοις καί τελώναις.
Πρός ταῦτα ὁ Δεσπότης μοι ἀπεκρίθη καί εἶπεν·
Ἐγώ ἀπό τοῦ κόσμου σε ὡς νήπιον βαστάσας
ἐν ταῖς ἀγκάλαις ἔφερον - πάντως ὅ λέγω οἶδας -.
Ἐγώ καί ἐσπαργάνουν σε ὅλον μέλεσι πᾶσι
καί γάλακτι ἐξέτρεφον ὑπέρ βρῶσιν καί πόσιν
- ἄφραστα γάρ τά κατ᾽ ἐμέ, ἀνερμήνευτα πάντῃ - ,
παιδαγωγῷ τε δέδωκα - τίνα ὅν λέγω οἶδας -
καί ὡς  παιδίον σε μικρόν αὐξάνοντα καθ᾽ ὥραν
ἐξυπηρέτησε καλῶς, ἀνέθρεψεν ἀξίως.
Πρόσηβος ἤδη γέγονας, καί δή καί νεανίσκος·
οὐκ ἀγνοεῖς δέ καί αὐτός ἀεί σύν σοί με ὄντα
καί συναυξάνοντα ἐν σοί καί περισκέποντά σε,
ἕως πάσας διήμειψας καλῶς τάς ἡλικίας.
Νῦν οὖν οὐχί ἐνήλικος, ἀνήρ δέ μᾶλλον ὄντως
γενόμενος καί τέλειος πρός γῆρας ἤδη κλίνας,
πῶς βούλει, ὥσπερ νήπιος,  νῦν ἀγκαλοφορεῖσθαι,
πῶς αἰτεῖς σπαργανοῦσθαί σε καί βαστάζεσθαι πάλιν;
Πῶς γάλακτι ἐκτρέφεσθαι ὑπό παιδαγωγῷ τε
εἶναί σε; Οὐκ ἐρυθριᾷς ταῦτα λέγειν, εἰπέ μοι;
Ἀνήρ ὑπάρχων ἄλλοις σύ ὑπηρέτει καί τρέφε
καί τά πρός αὔξησιν αὐτῶν ἐπιτήδευε πάντα.
Πρός τούς ἐχθρούς ἀνθίστασο καί πληττόμενος πλῆττε.
Οἶδας ἐχθρούς οὕς λέγω σοι, δαιμόνων παρατάξεις.
Λαμβάνων κροῦε ἀφειδῶς, πίπτων πάλιν ἐγείρου,

τοῖς πεμπομένοις βέλεσι βάλλειν αὖθις μή φείσῃ
τούς βάλλοντας καί κατά σοῦ ταῦτα μηχανωμένους,
ἀλλά ἀνελπιστίᾳ σε τιτρώσκοντες ἐκεῖνοι
ἐλπίδι τιτρωσκέσθωσαν ἐκ σοῦ ἐκπεμπομένῃ,
ὀργῇ δέ σε πυγμίζοντες καί θυμῷ συνωθοῦντες
ὑπό πρᾳότητος τῆς σῆς ῥαπιζέσθωσαν ὄψεις,
ἔξωθεν ἐκβαλλέσθωσαν, πόρρω τῆς σῆς οἰκίας.
Μή γάρ, ὡς εἶπον, νήπιον ἤ παιδίον τυγχάνεις,
μή γάρ ἀδυναμίᾳ σοι ψυχῆς καί νῦν ὑπάρχει,
μή γάρ ἐξασθενῇ σου νοῦς ἄρτι πρός ἀντιστάσεις;
Οἶδας καί φεύγειν τούς ἐχθρούς καί νικᾶν αὐτούς πάλιν
καί πολεμῶν γάρ ἔχεις με συνεργόν καί προστάτην
καί φεύγων σκέπην κραταιάν, ὀχυράν κέκτησαί με·
καί λυπεῖ σε τῶν ἐν γῇ, ποῖον τούτων, εἰπέ  μοι;
Χρυσίον ἤ ἀργύριον ἤ λίθοι τῶν τιμίων;
Καί τίς ἐμοῦ λαμπρότερος ἤ τίς ἐκλάμπων πλέον
ἤ ποῖος λίθος, ὡς ἐγώ, ἀτίμητος εἰς ἅπαν;
Χωρίων δέ σε στέρησις ἤ ἔνδεια τοῦ σίτου
εἴτε τοῦ οἴνου ἔκλειψις ἐκταράσσουσιν ὅλως;
Καί τίς ἄλλος παράδεισος οἷος ἐγώ τυγχάνει
ἤ γῆ τῶν κάτω καί ῥευστῶν ὡς ἡ γῆ τῶν πραέων;
Ποῖος δέ ἄρτος ἕτοιμος ἤ οἶνος ἐν τῷ κόσμῳ
οἷα ἡ χάρις ἡ ἐμή, οἷον Πνεῦμα τό Θεῖον,
οἷος ὁ ἄρτος τῆς ζωῆς, ὅνπερ ἐγώ παρέχω,
τό σῶμα καί τό αἷμά μου, τοῖς καθαρᾷ καρδίᾳ
καί πίστει ἀδιστάκτῳ με μετά φόβου καί τρόμου
ἐσθίουσι καί πίνουσι νοερῶς αἰσθητῶς τε;
Ποία τρυφή, ποία χαρά, ποία δόξα, εἰπέ μοι,
μείζων ὑπάρχει ἐπί γῆς, ὡς ἐμέ μόνον βλέπειν,
ἐμέ ὡς ἐν αἰνίγματι ἐνοπτρίζεσθαι μόνον,
ἐμοῦ τῆς δόξης καθορᾶν τήν ἀπαυγήν καί μόνην
καί δι’ αὐτῆς διδάσκεσθαι ταῦτα καί πλείω τούτων
ἀκριβῶς, ὅτι Θεός κτίστης ἐγώ τῶν πάντων,
εἰδέναι καί κατανοεῖν, ὅτι μοι κατηλλάγη
ἄνθρωπος καθεζόμενος ἐν λάκκῳ κατωτάτῳ,
ἀμέσως τε προσομιλεῖ φίλος ὥσπερ πρός φίλον
μισθίου τάξιν ὑπερβάς καί δουλείας τόν φόβον,
ἀκαματί δουλεύων μοι, ἀγάπῃ θεραπεύων,
ὑπακοῇ τῶν ἐντολῶν προσοικειούμενός μοι.
Οὐ λέγω τῶν μισθωτικῶς ἐμοί ἐκδουλευόντων
οὐδέ τῶν πάλιν δουλικῶς ἐμοί προσερχομένων,

ἀλλά τῶν φίλων καί γνωστῶν καί υἱῶν μου τάς πράξεις·
αἵτινες καί πεφύκασιν αὗται, γράφε συντόμως.
Τό πάντων εὐτελέστερον ἡγεῖσθαι τῶν ἐν κόσμῳ
οὐ μόνον τῶν συνασκητῶν καί κοσμικῶν ἀνθρώπων,
ἀλλά γε καί τῶν ἐθνικῶν ἑαυτόν ὄντως χείρω·
τό ἔκπτωσιν λογίζεσθαι ζωῆς τῆς αἰωνίου
μιᾶς παράβασιν μικράν ἐντολῆς ἐλαχίστης·
τό τά παιδία τά μικρά ὥσπερ τελείους ἄνδρας
καθορᾶν τε καί προσκυνεῖν καθάπερ τούς ἐνδόξους·
τό τοῖς τυφλοῖς ὡσαύτως δέ τήν τιμήν ἀπονέμειν
ὡς ἀνωθεν ὁρῶντός μου πάντων ἀνθρώπων πράξεις
καί ταῦτα δι’ἐμέ ποιεῖν, ἅπερ καί πάλιν γράφε.
Τό μή ἔχειν κατά τινος ὅλως ἐν τῇ καρδίᾳ
μέχρι ψιλῆς κινήσεως ἤ μικρᾶς ὑπονοίας·
τό εὔχεσθαι ἀπό ψυχῆς μετά πόνου καρδίας
ἐκ συμπαθείας τούς εἰς σέ ἁμαρτάνοντας πάντας,
ὡσαύτως καί τούς εἰς ἐμέ τά τοιαῦτα τολμῶντας,
μετά δακρύων ἐξαιτῶν ἐπιστροφήν τήν τούτων·
τό εὐλογεῖν  μεθ’ ἅμα δέ τούς σέ καταρωμένους
καί ἐπαινεῖν τούς φθόνῳ σέ ἀεί λοιδορουμένους
καί τούς ἐπηρεάζοντας ὡς εὐεργέτας ἔχειν,
τούς δέ μή καθυπείκοντας μήθ’ ὑπακούοντάς σου,
ὡς ὅλως ἀρνουμένους με τόν ἑαυτῶν Δεσπότην,
θρηνεῖν καί κλαίειν συνεχῶς· οὕς νουθετῶν μή παύσῃ.
Ὁ γάρ ὑμᾶς δεχόμενος ἐμέ δέχεται, εἶπον,
καί ὁ ἀκούων δέ ὑμῶν πάντως ἐμοῦ ἀκούει·
ὁ δέ μή τρόμῳ τούς ὑμῶν λόγους καί παραινέσεις
δεχόμενος καί ἐκπληρῶν αὐτούς μέχρι θανάτου,
οὐ μή μου κοινωνήσειε δόξης τῆς αἰωνίου,
οὐ μή καταγήσεται σύν τῷ ἐσταυρωμένῳ,
ἐμοί τῷ ὑπακούσαντι Πατρί μέχρι θανάτου,
οὐ μή σταθῇ ἐκ δεξιῶν, οὐ μή συγκληρονόμος
τῶν σταυρωσάντων ἑαυτούς γένηται ὁ τοιοῦτος.
Λοιπόν μή παύσῃ νουθετῶν, λοιπόν μή παύσῃ κλαίων,
λοιπόν μή παύσῃ τήν αὐτῶν ἐκζητῶν σωτηρίαν,
ἵνα εἰ ὑπακούσωσι καί εἰ ἐπιστραφῶσιν,
ἕξεις αὐτούς ὡς ἀδελφούς, κερδήσεις τά σά μέλη
καί προσαγάγεις μοι αὐτούς ὑπηκόους γνησίους,
ἵνα κἀγώ εἰσδέξωμαι διά σοῦ καί δοξάσω
καί τῷ ἐμῷ σύν σοί Πατρί προσενέγκω ὡς δῶρα.
Εἰ δέ μή ἀπαρνήσονται θελήματα οἰκεῖα,

εἰ μή καταφρονήσουσι ψυχῶν αὐτῶν, ὡς εἶπον,
εἰ μή νεκροί γνήσονται θελήμασιν οἰκείοις
καί σοῦ ἐν τῷ θελήματι ζήσονται ἐν τῷ βίῳ
διά τοῦ σοῦ τό θέλημα τό ἐμόν ἐκπληροῦντες,
οὐκ ἀπολέσεις σου μισθόν, οὐ στερηθήσῃ τούτου,
ἀλλά διπλοῦν σοι ἀνθ' ἁπλοῦ τοῦτον ἐγώ παρέξω,
ὅτι καί μή εἰσακουόμενος οὐκ ἀπέστης τοῦ λέγειν,
ἀλλά καί μᾶλλον ἐμισοῦ καί μᾶλλον ἀπεστρέφου
καί ἐβδελύσσου παρ' αὐτῶν, ὡς ἐγώ ἐμισήθην
ποτέ καί νῦν δέ δι' αὐτῶν καί τῶν τούτοις ὁμοίων.
Διά τοιούτων βούλομαι ἔργων με θεραπεύειν,
διά τοιούτων σπούδαζε καί τῶν τούτοις ὁμοίων
εὐαρεστεῖν μοι· τούτοις γάρ ἐπευφραίνομαι λίαν.
Μή προτιμήσῃς τό ἀργεῖν μηδέ προκρίνῃς ὅλως
ὑπέρ ψυχῆς ὠφέλειαν ἄλλο τι τῶν ἐν κόσμῳ.
Τί γάρ ὠφεληθήσεται ὁ κερδαίνων τόν κόσμον
ἤ ὁ τούς ὄντας ἐν αὐτῷ παιδεύων ἤ διδάσκων
ἤ καί ὁ σῴζων ἅπαντας, εἰ μή καὐτός σωθείη;
Τίς οὖν ὑπάρχει, εἴτε πῶς ἄλλους σώσας οὐ σώσει
τήν ἑαυτοῦ ὁ ἄθλιος ψυχήν, ἀλλ' ἀπολέσει;
Ὁ παραλύων ἐντολήν ἐμήν Δεσπότου πάντων
καί οἱονεί καταπατῶν καί δι' αὐτῆς ἐκβαίνων
καί παραβαίνων νόμους μου, ὑπερπηδῶν προστάξεις
καί τῆς αὐλῆς τῶν ἐντολῶν καί φραγμοῦ τούτων ἔξω
γενόμενος, εἰ σώσειε κόσμον καί τούς ἐν κόσμῳ,
ξένος ἐμοῦ καί τῶν ἐμῶν πόρρω προβάτων ἔσται,
καί μάλιστα ὡς τόν φραγμόν τῆς αὐλῆς καταλύσας
καί τοῖς προβάτοις ἔξοδον, οὐκ ἐκ τῆς θύρας μόνης,
καί εἴσοδον τήν ἄδικον παρασχών τοῖς θηρίοις,
δίκην ὑποίσει ἄρρητον ὑπέρ ὅλων προβάτων
καί διχοτομηθήσεται καί πυρί καί ταρτάρῳ
καί τῶν σκωλήκων ἔσται κατάβρωμα ὁ τάλας.
Τοῦτο γάρ εἶπεν ὁ Πατήρ δι' Υἱοῦ καί τό Πνεῦμα
ἐλάλησεν, ὅπερ ἐστί τό στόμα τοῦ Δεσπότου·
ἄγγελοι προσευφήμησαν φωναῖς ἀκαταπαύστοις,
οἱ δίκαιοι προσέπεσον ἀκούσαντες καί εἶπον·
Ἀδέκαστος ἡ κρίσις σου, ἀνύποπτος ἡ ψῆφος,
ἀπροσπαθῶς γάρ ἔκρινας, ὦ Θεέ πανοικτίρμον!
Πῶς γάρ ὁ μή τό ἑαυτοῦ θέλημα καταλείψας
καί τοῦ ἐκπροσωποῦντός σε, ὡς τόν σόν τοῦ Δεσπότου,
ἐν προτιμήσει θέμενος καί φυλάξας ἀτρώτως,

ὡς αὐτός σύ ἐτήρησας τοῦ σοῦ Πατρός, οἰκτίρμον,
συγκληρονόμος σου ὀφθῇ συγκοινωνός τε ὅλως,
καί μάλιστα συνθέμενος τοῦτο μέχρι θανάτου,
τό μή ποιῆσαι θέλημα ἔν τινι τό οἰκεῖον,
μή προστεθῆναι αἵματι, μή σάρκα προτιμῆσαι,
ὅπερ ἐστί συγγένεια, σύνδεσμος φυσικός τε,
στοργή συνδοῦσα τούς ἐν γῇ πρός τά ἀπαρνηθέντα
καί ἐπιστρέφουσα αὐτούς ὅλους εἰς τά ὀπίσω;
Οἱ μάρτυρες ἐβόησαν· Κρίσις δικαία ὄντως!
Ὡς γάρ ὁ πρός μαρτύριον ἑαυτόν δούς προθύμως
εἶτα ἐλθόντας συγγενεῖς, γυναῖκάς τε καί παῖδας,
ταῦτα σύν πένθει λέγοντας· Οὐκ ἐλεεῖς σά τέκνα
οὐδέ οἰκτείρεις, ἄσπλαγχνε, γυναικός σου χηρείαν;
Οὐδέ πτωχείᾳ τῇ αὐτῶν συμπαθῶς ἐπικάμπτῃ
οὐδέ ἀπώλειαν αὐτῶν ἐννοεῖς καί οἰκτείρεις,
ἀλλά ἀφίεις ὀρφανά, ξένα, πτωχά, καί χήραν
τήν σήν γυναῖκα, καί σαυτόν προτιμᾷς σῶσαι μόνον;
Καί πῶς οὐχ ὡς φονεύς μᾶλλον μέλλεις κατακριθῆναι,
ὅτι κατέλιπες ἡμᾶς εἰς ἀπώλειαν πάντας
καί σῶσαι μόνην σου ζητεῖς τήν ψυχήν; Οὐκ ὀφείλει
ὅλως αὐτῶν κἄν πρός βραχύ τῆς φωνῆς εἰσακοῦσαι,
ὅλως πρός θρήνους τούς αὐτῶν τήν ἀκοήν προσκλῖναι
καί εἴτε δώροις τά δεσμά καί εἱρκτήν ἀποδράσαι,
ἤ ἀπαρνήσει σου, Χριστέ, τούτων ἀπολυθῆναι,
ἀλά ὡς ἤδη τεθνηκώς ἐμμένειν ταῖς βασάνοις,
ἐγκαρτερεῖν ταῖς φυλακαῖς, λιμῷ τε καί τῷ δίψει,
μή μνημονεύσας τῶν αὐτοῦ πραγμάτων ἤ χρημάτων
μήτε ἐκτός τῆς φυλακῆς τήν ἑαυτόῦ ἐάσας,
εἰ δυνατόν, διάνοιαν κἄν πρός βραχύ γενέσθαι,
ἀλλ’ ἐν αὐτῇ σε καθορᾶν, Δέσποτα τῶν ἁπάντων,
καί τῇ πρός σέ ἀπασχολῶν θεωρίᾳ τάς φρένας,
μέχρι θανάτου καρτερεῖν τῷ σῷ πόθῳ καί μόνῳ,
καί οὔτε τούς ἐκκλίνοντας βλέπειν ὅλως ὀφείλει,
οὐδέ τούς ἀρνουμένους σε καί στρεφομένους πάλιν
ἐπί τόν πρῴην ἔμε τον, ἐπί τάς πρῴην πράξεις,
ἐπί μερίμνας τῶν ἐν γῇ καί γυναικός καί τέκνων,
μηδέ προφάσει οἱᾳοῦν ἐν ἐκείνοις δεσμεῖσθαι·
οὐκέτι γάρ τῆς ἑαυτοῦ ψυχῆς ἐξουσιάζει·
- διό πολλοί τῶν φυλακῶν παρά σοῦ ἀνοιγέντων
καί τῶν δεσμῶν τοῦ σώματος εἰς ἅπαν ἀνεθέντων,
οὐχ εἵλοντο οἱ δοῦλοί σου ὅλως ἔξω γενέσθαι

οὐδέ φυγεῖν, ἀλλ’ ἔμειναν ὡς δεδεμένοι ὄντες -·
οὕτως οὖν, Σῶτερ, καί οἱ νῦν τυγχάνοντες ἐν κόσμῳ
καί κόσμον ἀπαρνούμενοι, συγγενεῖς ὁμοῦ πάντας,
φίλους, ἑταίρους καί πάντα πράγμα τά ἐν κόσμῳ,
καί τά θελήματα αὐτῶν πρό γε τούτων ἁπάντων,
οὐκέτι ὅλως ἑαυτῶν ἔχουσιν ἐξουσίαν,
ἀλλ’ εἰ καί μή κωλύωνται ὑπό τῶν ἡγουμένων,
τήν συνταγήν ὀφείλουσι σοί τηρεῖν τῷ Δεσπότῃ.
Οὐ γάρ ἀνθρώποις ἔφασαν, ἀλλά Θεῷ, φυλάξαι
ὑπακοήν καί δούλωσιν, ἡγουμένοις καί πᾶσι
τοῖς μετ’ αὐτῶν ἐν τῇ μονῇ ἀδελφοῖς συνασκοῦσι.
Νῆσον οὖν ὥσπερ μονήν μέσον θαλάσσης οὖσαν
ὀφείλουσί γε κατοικεῖν καί ἅπαντα τόν κόσμον
αὐτοῖς εἰς ἅπαν ἄβατον νομίζειν καθεστάναι,
ἅτε μεγάλου χάσματος ἐστηριγμένου κύκλῳ
τῆς ἑαυτῶν πάσης μονῆς, ὡς μή τούς ἐν τῷ κόσμῳ
διέρχεσθαι πρός τήν μονήν μήτε τούς ἐν τῇ νήσῳ
διαπερᾶν πρός τούς ἐκεῖ καί προσπαθῶς προσβλέπειν,
μηδ’ ἐν καρδίᾳ ἤ νοΐ τήν τούτων στρέφειν μνήμην,
ἀλλ’ ὡς νεκροί ὀφείλουσι πρός νεκρούς διακεῖσθαι
ἀνεπαισθήτως πρός αὐτούς ἔχοντες τῇ αἰσθήσει,
καί γίνονται ὡς ἀληθῶς ἐθελόθυτοι ἄρνες.
Πρός ταῦτα τά πανάγια ῥήματα τῶν μαρτύρων,
τοῦ πόθου πλήρη καί στοργῆς μεστά πρός τόν Δεσπότην,
ἀκούσαντα τά Χερουβίμ ὕμνησαν καί ἐν φόβῳ·
Δόξα σοι, εἶπον, βασιλεῦ, δόξα σοι, πανοικτίρμον,
ὁ δείξας μάρτυρας ἐν γῇ τῶν τυραννούντων δίχα,
μόνῳ τῷ πόθῳ τῷ εἰς σέ μαρτυροῦντας καθ’ ὥραν!
Ναί, εἶπε πάλιν ὁ Πατήρ δι’ Υἱοῦ καί τό Πνεῦμα
ἔλεξεν· Ὄντως, οἱ Θεόν ἐκ καρδίας φιλοῦντες
καί τῇ ἀγάπῃ τῇ αὐτοῦ μόνῃ προσκαρτεροῦντες
καί τῷ ἰδίῳ θνήσκοντες θελήματι καθ’ ὥραν,
οὗτοι καί φίλοι γνήσιοι, οὗτοι συγκληρονόμοι,
οὗτοι καί μάρτυρές εἰσι τῇ προαιρέσει μόνῃ,
χωρίς ξεσμῶν, ἀναρτισμῶν, ἐσχαρῶν καί λεβήτων
καί κατακαίοντος πυρός καί ξιφῶν τῶν τεμνόντων.
Πρός ταῦτα ὑπερκόσμιαι ὁμοῦ ἅπασαι τάξεις
ἠλάλαξαν· Δικαία σου ἡ κρίσις, πανοικτίρμον,
γραφήτω, σφραγισθήτω τε νῦν καί εἰς τούς αἰῶνας!
Ἀμήν.

## ΜΒ'. Ὅτι οἱ τῷ Θεῷ ἀπ’ ἐντεῦθεν ἤδη διά τῆς τοῦ Ἁγίου Πνεύματος μετουσίας ἑνωθέντες, ἐκδημοῦντες τοῦ βίου εἰς αἰῶνας αὐτῷ ἐκεῖθεν συνέσονται· εἰ δ’ οὖν, ἀλλά τό ἀνάπαλιν τοῖς ἄλλως ἔχουσιν ἐνταῦθα τότε γενήσεται.

Ἀρχή τοῦ βίου τέλος μοι καί τό τέλος ἀρχή μοι.
Τό ὅθεν ἥκω, ἀγνοῶ, τό ποῦ εἰμι, οὐκ οἶδα,
καί ποῦ αὖθις ἀφίξομαι, οὐ γινώσκω, ὁ τάλας.
Γεννῶμαι γῆ ἀπό τῆς γῆς, ἀπό σώματος σῶμα,
ἀπό φθαρτοῦ πάντως φθαρτός, καί θνητός ὅλως πέλων
μικρόν ἐν γῇ χρονοτριβῶ ζῶν ἐν σαρκί καί θνῄσκω
καί βίου ἄλλου ἄρχομαι μεταβαίνων ἐκ τούτου.
Ἐῶ τό σῶμα ἐν τῇ γῇ ἀναστήσεσθαι μέλλον
καί ἀτελεύτητον ζωήν ζήσεσθαι εἰς αἰῶνας.
Νῦν οὖν ἐπίβλεψον, Θεέ, νῦν σπλαγχνίθητι, μόνε,
νῦν με ἐλέησον! Ἰδού, ἐξέλιπεν ἰσχύς μου,
εἰς γῆρας, Σῶτερ, ἤγγισα, εἰς πρόπυλα θανάτου.
Ἄρχων τοῦ κόσμου ἔρχεται ἀναζητῆσαι θέλων
τά ἔργα καί τάς πράξεις μου, τάς αἰσχράς καί βεβήλους·
οἱ δήμιοι παρίστανται ἀπηνῶς με ὁρῶντες
καί πρόσταγμα ἐκδέχονται λαβεῖν  καί κατασπάσαι
εἰς ᾄδου, Σῶτερ, βάραθρον ψυχήν μου τήν ἀθλίαν.
Σύ οὖν ὁ φύσει εὔσπλαγχνος, ὁ φιλάνθρωπος μόνος,
ὁ πανοικτίρμων  Κύριος, ἐλέησόν  με τότε
καί μή μνησικακήσῃς μοι, μή με ἐγκαταλίπῃς,
μή δώσῃς χώραν κατ’ ἐμοῦ ἐχθρῷ μου τῷ δολίῳ,
τῷ καθ’ ἑκάστην ὥραν μοι προσεπαπειλουμένῳ,
ὠρυομένῳ κατ’ ἐμοῦ, τρίζοντι τούς ὀδόντας
καί· Ποῦ θαρρεῖς, μοι λέγοντι, πῶς δέ διαφυγεῖν μου
ἐλπίζεις χεῖρας, ὅτι με καταλιπών προσῆλθες
Χριστῷ κἀμοῦ τάς ἐντολάς ἄρτι παρελογίσω;
Ἀλλ’ οὐκ ἐκφύγεις οὐδαμῶς· ποῦ γάρ καί ἀπελεύσῃ;
Οὐ διαδράσαι πώποτε ὅλως ἐμέ ἰσχύσεις,
τόν τόν Ἀδάμ ἐξάξαντα καί Εὔαν παραδείσου,
τόν καί τόν Κάϊν ἀδελφοῦ ποιήσαντα φονέα,
τόν ἐπί τοῦ κατακλυσμοῦ πάντας ὁμοῦ τῇ πλάνῃ
καί τῷ θανάτῳ τῷ φρικτῷ περιπεσεῖν ἀθλίως
εἰς τέλος δελεάσαντα ταῖς ἐμαῖς ἐξαπάταις,

τόν τόν Δαβίδ πλανήσαντα πρός μοιχείαν καί φόνον,
τόν ἄραντα πρός ἅπαντας πόλεμον τούς ἁγίους
καί πολλούς θανατώσαντα, σύ με πῶς διαδράσαι
ὅλως θαρρεῖς καί προσδοκᾷς, ὁ ἀσθενής εἰς ἅπαν;
Ταῦτα ἀκούων, Δέσποτα καί Θεέ μ ου καί κτίστα,
δημιουργέ μου καί κριτά, ὁ ἔχων ἐξουσίαν
ψυχῆς ἐμῆς καί σώματος ὡς ἀμφοτέρων πλάστης,
φρίττω καί ὅλος δέδοικα, ὅλος τρέμω ὁ τάλας.
Προβάλλεται καί λέγει μοι ὁ δόλιος, Χριστέ  μου,
ὅτι· Ἰδού, οὐκ ἀγρυπνεῖς, ἰδού, οὐκ ἐγκρατεύῃ,
ἰδού, εὐχήν οὐκ κέκτησαι, οὐ ποιεῖς προσκυνήσεις,
κόπους οὐκ ἐπιδείκνυσαι, οἵους πάλαι ἀπήρξω,
καί διά ταῦτα μόνα σε τοῦ Χριστοῦ σε χωρίσω
καί μετ᾽ ἐμοῦ σε λήψομαι ἐν πυρί τῷ ἀσβέστῳ.
Ἐγώ οὖν, οἶδας, Δέσποτα, ὡς οὐδέποτε ἔργοις
ἐπίστευσα ἤ πράξεσι ψυχῆς μου σωτηρίαν,
ἀλλά τῷ σῷ, φιλάνθρωπε, προσέδραμον ἐλέει
θαρρήσας, ὅτι σώσεις με δωρεάν, πανοικτίρμον,
καί ἐλεήσεις ὡς Θεός καθώς ποτε τήν πόρνην
καί ὡς τόν ἄσωτον υἱόν, τό Ἥμαρτον! εἰπόντα.
Οὕτω πιστεύσας ἔδραμον, οὕτω θαρρήσας ἦλθον,
οὕτως ἐλπίσας, Δέσποτα, πρός σέ παρεγενόμην·
καί νῦν μή ἐγκαυχήσηται κατ᾽ ἐμοῦ, τοῦ σοῦ δούλου,
μή εἴπῃ· Ποῦ σου ὁ Χριστός, ποῦ σου ὁ ἀντιλήπτωρ;
Οὐχί ἐκεῖνος σέ αὐτός παρέδωσε χερσί μου;
Εἰ γάρ καί ἀπατήσῃ με  καί αἰχμάλωτον λάβῃ,
οὐ μή τῇ προαιρέσει μου οὐδέ τῇ ῥαθυμίᾳ
τοῦτο προσεπιγράψηται, τῇ δέ ἐγκαταλείψει
σῇ τό  πᾶν ἀναθέμενος τά τοιαῦτα ἐρεῖ μοι·
Ἴδε, εἰς ὅν ἐθάρρησας, ἴδε, εἰς ὅν προσῆλθες,
ἴδε, ὅν οἴου σε φιλεῖν, ὅν οἴου ἀγαπᾶν σε
καί ἀδελφόν καί φίλον σε, υἱόν καί κληρονόμον
ἐνεκαυχῶ κεκτῆσθαί σε, πῶς ἐγκατέλιπέ σε,
εἰς τάς ἐμάς τε, τοῦ ἐχθροῦ, χεῖρας ἐξέδοτό σε
καί αἴφνης ἀπεστράφη σε, αἴφνης ἐμίσησέ σε;
Μή οὖν ἀκοῦσαι ταῦτά με, Σῶτερ, ἐγκαταλείψῃς,
μή ὄνειδος γενήσεσθαι σοῦ ἐάσῃς, Θεέ μου,
μή Βασιλεῦ, μή Κύριε, ὁ τοῦ σκότους με πάλαι
καί τῶν χειρῶν καί φάρυγγος ἐκείνου με ἐξάξας
καί τῷ φωτί ἐλεύθερον τῷ σῷ με παραστήσας.
Σέ γάρ ὁρῶν τιτρώσκομαι τά ἐντός τῆς καρδίας

καί βλέπειν οὐκ ἰσχύω σε καί  μή βλέπειν οὐ φέρω·
ἀπρόσιτον τό κάλλος σου, ἀμίμητον τό εἶδος,
ἀσύγκριτος ἡ δόξα σου, καί τίς ποτέ σε εἶδεν
ἤ τίς ἰδεῖν σε δυνηθῇ ὅλον, σέ, τόν Θεόν μου;
Τό πᾶν γάρ ποῖος ὀφθαλμός κατιδεῖν ἐξισχύσει;
Τόν ὄντα δέ ὑπέρ τό πᾶν ποῖος νοῦς καταλάβῃ,
περιλαβεῖν τε δυνηθῇ ἤ ἐκτανθῆναι ὅλος
πρός ὅλον καί θεάσασθαι τόν συνοχέα πάντων,
τόν πάντων ἔξω καί τό πᾶν καί τά πάντα πληροῦντα
καί ἔξω πάλιν τόν αὐτόν ὅλον ὄντα ἀφράστως;
Ὅμως ὡς ἥλιον ὁρῶ καί ὡς ἄστρον σε βλέπω,
καί ἐν τῷ κόλπῳ φέρω σε, καθάπερ μαργαρίτην,
καί ὡς λαμπάδα βλέπω σε σκεύους ἡμμένην ἔνδον.
Ὅτι δέ οὐ πλατύνεσαι, ὅτι μή ὅλον φῶς με
ἀποτελεῖς καί δείκνυσαι ὅλος μοι, οἷος, ὅσος
ὑπάρχεις, ὅλως οὐ δοκῶ ἔχειν σε τήν ζωήν μου,
ἀλλά θρηνῶ ὥς τις πτωχός γεγονώς ἐκ πλουσίων
καί ἐξ ἐνδόξων ἄτιμος καί μή ἔχων ἐλπίδα.
Τοῦτο οὖν βλέπων ὁ ἐχθρός λέγει μοι· Σύ οὐ σῴζῃ·
καί γάρ ἰδού, ἐκπέπτωκας, ἠστόχησας ἐλπίδων,
ὅτι οὐκ ἔχεις πρός Θεόν ὡς πάλαι παρρησίαν.
Πρός ὅν οὐ βλόγον φθέγγομαι, οὐκ ἀξιῶ, Θεέ μου,
ἀλλ’ ἐμφυσῶ, καί ἄφαντος εὐθύς ἀποτελεῖται.
Οὕτως αἰτοῦμαι, Δέσποτα, οὕτως παρακαλῶ σου
τήν εὐσπλαγχνίαν δώρησαι καί τότε μοι, Σωτήρ μου,
ὅτε ψυχή ἐξέλθῃ μου τοῦ σώματος, ἰσχύσαι
μόνῳ τῷ ἐμφυσήματι ἅπαντας καταισχύναι
τούς κατ’ ἐμοῦ, τοῦ δούλου σου, μέλλοντας ἐπιτρέχειν,
καί διαβῆναι ἀβλαβῆ φρουρούμενον φωτί σου
τοῦ Πνεύματος καί ἔμπροσθεν στῆναι τοῦ βήματός σου,
ἔχοντι χάριν σου, Χριστέ, συνοῦσάν μοι τήν θείαν,
σκέπουσαν, ἀκαταίσχυντον δεικνύουσάν με ὅλον.
Τίς γάρ τολμήσειεν ἄρα ἄμπροσθέν σου ὀφθῆναι,
εἰ μή αὐτήν ἐνδέδυται, εἰ μή αὐτήν ἐντός γε
κατέχει καί φωτίζεται ὑπ’ αὐτῆς; Πῶς τήν δόξαν
τήν ἄστεκτον θεάσασθαι δυνηθῇ πᾶς τις ὅλως;
Δόξαν Θεοῦ γάρ ἄνθρωπος, φύσιν θεότητός τε
φύσις ἀνθρώπου ταπεινή πῶς κατιδεῖν ἰσχύσει;
Ἔστι Θεός γάρ ἄκτιστος, ἡμεῖς κτιστοί δέ πάντες,
ἐκεῖνος πέλει ἄφθαρτος, ἡμεῖς φθαρτοί καί κόνις,
ἐκεῖνος πνεῦμα πέφυκεν, ὑπέρ ἅπαν δέ πνεῦμα

ὡς ποιητής πνευμάτων τε καί Δεσπότης ὑπάρχων,
ἡμεῖς σάρκες χοϊκαί καί γεώδης οὐσία,
ἐκεῖνος πάντων ποιητής, ἄναρχος ἄληπτός τε,
ἡμεῖς σκώληκες ὁμοῦ καί βόρβορος καί τέφρα·
καί τίς ἰσχύσει ἐξ ἡμῶν τοῦτον ποτέ ἰδέσθαι
ἐξ οἰκείας δυνάμεως ἤ ἐνεργείας ὅλως,
εἰ μή αὐτός ἐκπέμψειε Πνεῦμα αὐτοῦ τό Θεῖον
καί δι᾽ αὐτοῦ τῷ ἀσθενεῖ τῆς φύσεως παράσχῃ
ῥώμην, ἰσχύν καί δύναμιν καί ἱκανόν ποιήσῃ
τόν ἄνθρωπον τοῦ κατιδεῖν δόξαν αὐτοῦ τήν θείαν;
Ἄλλως γάρ οὐ θεάσεται οὐδέ ἰδεῖν ἰσχύσει
ἀνθρώπων τις τόν Κύριον ἐρχόμενον ἐν δόξῃ,
καί οὕτως χωρισθήσονται ἄδικοι τῶν δικαίων
καί σκότει καλυφθήσονται ἁμαρτωλοί καί πάντες
ὅσοι μή ἕξουσι τό φῶς ἐν αὐτοῖς ἀπ᾽ ἐντεῦθεν.
Οἱ συνημμένοι δέ αὐτῷ ἐκ τῶν ὧδε καί τότε
μυστικῶς συναφθήσονται τῷ Θεῷ καί γνησίως
καί τῆς αὐτοῦ ὑπάρξουσι μετουσίας ἀχώριστοι·
οἱ δ᾽ ἀπελθόντες τοῦ φωτός αὐτοῦ κεχωρισμένοι
πῶς τότε ἑνωθήσονται ἤ κατά ποῖον τρόπον,
μαθεῖν παρ᾽ ὑμῶν βούλομαι, εἴτε ὑμᾶς διδάξαι·
Θεός γέγονεν ἄνθρωπος, ἡνώθη τε ἀνθρώποις,
μετέσχεν ἀνθρωπότητος καί μετέδωκε πᾶσι
τοῖς εἰς αὐτόν πιστεύουσι καί τήν πίστιν ἐξ ἔργων
δεικνύουσι θεότητος αὐτοῦ τῇ μετουσίᾳ.
Τούτους οὖν εἶπε σῴζεσθαι μόνους τούς μετασχόντας
ἐκείνου τῆς θεότητος, καθώς αὐτός μετέσχε
τῆς ἡμετέρας φύσεως, ὁ ποιητής τῶν πάντων,
Παῦλος ὡς μαρτύρεται Χριστοῦ τήν ἐκκλησίαν
ἕν γενήσεσθαι σῶμά γε δεσποτικόν καί θεῖον,
ἄσπιλον, ἄμωμον ὁμοῦ, ῥυτίδος πάσης δίχα·
οἵτινες ἄν εἶεν οἱ πιστοί, κεφαλή ὁ Χριστός δέ.
Εἰ τοῦτο τοίνυν ἔσεται οὕτως, ὥσπερ καί ἔστι,
τίς ἄρα τότε τολμήσει ῥυπαρός αὐτοῦ προσψαῦσαι
ἤ τίς προσκολληθήσεται ἀνάξιος τυγχάνων;
Εἰ γάρ καί νῦν ἐκβάλλονται τῆς ἐκκλησίας ἔξω
καί μετασχεῖν κωλύονται ἁμαρτωλοί εἰς ἅπαν,
μᾶλλον δέ καί τῆς τῶν θείων θέας ἀποστεροῦνται
οἱ μή πέλοντες ἅγιοι, πῶς οἴμοι τότε ἄρα
τῷ παναμώμῳ σώματι τοῦ Θεοῦ ἑνωθῶσι
καί μέλη γένωνται Χριστοῦ ἐσπιλωμένοι ὄντες;

Οὐκ ἔστι τοῦτο, ἀδελφοί, οὐ γενήσεται ὅλως!
Οἱ δέ τοῦ θείου σώματος ἤγουν τῆς ἀκκλησίας
καί τοῦ χοροῦ τῶν ἐκλεκτῶν χωριζόμενοι, λέγε,
ποῦ ἄρα ἀπελεύσονται, εἰς ποίαν βασιλείαν,
εἰς ποῖον τόπον, φράσον μοι, ἐλπίζουσι σκηνῶσαι;
Πάντως γάρ καί παράδεισος, ὁ Ἀβραάμ τε κόλπος
καί πᾶς τόπος ἀνέσεως τῶν σῳζομένων ἔστιν·
οἱ δέ σῳζόμενοί εἰσιν ἅγιοι πάντως πάντες,
ὡς πᾶσα θεία μαρτυρεῖ γραφή καί ἐκδιδάσκει.
Πολλαί γάρ καί μοναί εἰσιν, ἀλλ' ἐντός τοῦ νυμφῶνος·
καθάπερ γάρ εἷς οὐρανός καί ἐν αὐτῷ ἀστέρες
ἀλλήλων διαφέροντες ἐν τιμῇ τε καί δόξῃ,
οὕτω καί εἷς νυμφών ἐστι καί μία βασιλεία,
ἀλλά γάρ καί παράδεισος καί πόλις ἡ ἁγία
καί πᾶς τόπος ἀνέσεως ὁ Θεός ἐστι μόνος.
Ὡς γάρ οὐκ ἔχει ἄνεσιν ἄνθρωπος ἐν τῷ βίῳ,
ὁ μή μένων ἐν τῷ Θεῷ καί Θεός ἐν αὐτῷ δέ,
οὕτω καί μετά θάνατον ἐκτός ἐκείνου μόνου,
οἴμαι, οὐκ ἔσται ἄνεσις, οὐ τόπος ἄνευ λύπης,
οὐ στεναγμοῦ, οὐ θλίψεως ὅλως ἀπηλλαγμένος.
Σπουδάσωμεν οὖν, ἀδελφοί, σπουδάσωμεν πρό τέλους
προσκολληθῆναι τῷ Θεῷ, τῷ ποιητῇ τῶν πάντων,
τῷ κατελθόντι δι' ἡμᾶς ἐπί γῆς τούς ἀθλίους,
τῷ κλίναντι τούς οὐρανούς καί λαθόντι ἀγγέλους
καί ἐν γαστρί σκηνώσαντι τῆς ἁγίας Παρθένου
καί σαρκωθέντι ἐξ αὐτῆς ἀτρέπτως, ἀνεκφράστως
καί προελθόντι εἰς ἡμῶν ἁπάντων σωτηρίαν.
Ἡ σωτηρία δέ ἡμῶν αὕτη πάντως ὑπάρχει,
καθώς πολλάκις εἴπομεν καί νῦν αὖθις ἐροῦμεν,
οὐχί ἡμεῖς ἐξ ἑαυτῶν, ἀλλά τό θεῖον στόμα
ἐπέφανε τό μέγα φῶς τοῦ μέλλοντος αἰῶνος.
Ἡ βασιλεία οὐρανῶν ἐπί τῆς γῆς κατῆλθε,
μᾶλλον δέ ὁ παμβασιλεύς τῶν ἄνω καί τῶν κάτω
ἐλήλυθεν, ἠθέλησεν ὑμῖν ὁμοιωθῆναι,
ἵν' ἐξ αὐτοῦ ὡς ἐκ φωτός πάντες μεταλαβόντες
φῶτα δειχθῶμεν δεύτερα, ὅμοιά γε τοῦ πρώτου,
καί βασιλείας οὐρανῶν κοινωνοί καί τῆς δόξης
συμμέτοχοι ὑπάρξωμεν ὁμοῦ καί κληρονόμοι
τῶν αἰωνίων ἀγαθῶν, ὧν οὐδείς ποτε εἶδε.
Ταῦτα δ' εἰσίν, ὡς πείθομαι καί πιστεύω καί λέγω,
Πατήρ, Υἱός καί Ἅγιον Πνεῦμα, Τριάς Ἁγία,

τοῦτο πηγή τῶν ἀγαθῶν, τοῦτο ζωή τῶν ὄντων,
τοῦτο τρυφή καί ἄνεσις, τοῦτο στολή καί δόξα,
τοῦτοσ χαρά ἀνέκφραστος καί σωτηρία πάντων
τῶν μετασχόντων τῆς αὐτοῦ ἐλλάμψεως ἀρρήτου
καί κοινωνίαν μετ' αὐτοῦ ἐχόντων ἐν αἰσθήσει.
Ἀκούσατε· Σωτήρ καί γάρ διά τοῦτο καλεῖται,
ὅτι πᾶσιν, οἷς ἑνωθῇ, σωτηρίαν παρέχει,
ἡ σωτηρία δέ ἐστιν κακῶν μέν πάντων λύσις,
καλῶν δέ πάντων ἐν ταὐτῷ εὕρεσις αἰωνία,
ἀπό θανάτου μέν ζωήν, ἀπό δέ σκότους φάος,
ἀπό δουλείας τῶν παθῶν καί πράξεων αἰσχίστων
ἐλευθερίαν παντελῆ πᾶσι χαριζομένη
τοῖς ἑνωθεῖσι τῷ Χριστῷ καί Σωτῆρι τῶν ὅλων.
Οἵ καί τότε πᾶσαν μέν χαράν ἀναφαίρετον κτῶνται,
πᾶσάν γε ἀγαλλίασιν καί πᾶσαν εὐφροσύνην,
οἱ δέ κἄν ὅλως πέλοντες τούτου κεχωρισμένοι
καί μή ζητήσαντες αὐτόν ἤ τούτῳ ἑνωθέντες
μηδέ δουλείας τῶν παθῶν καί θανάτου ῥυσθέντες,
κἄν βασιλεῖς, κἄν ἄρχοντες εἰσί, κἄν μεγιστᾶνες,
κἄν τρυφᾶν κἄν εὐφραίνεσθαι κἄν ἀπόλαυσιν ἔχειν
οἴονται καί νομίζουσιν ἐν ἀγαθοῖς ὑπάρχειν,
ἀλλ' οὐδέποτε κτήσονται τοιαύτην εὐφροσύνην,
οἵαν οἱ δοῦλοι τοῦ Χριστοῦ, οἱ ἐλεύθεροι ἐκ πάντων
ἀτόπων ἐπιθυμιῶν, ἡδονῶν τε καί δόξης
ἔχουσιν ἀνεκλάλητον, ἄφραστον οὖσαν πάντῃ,
ἥν οὐδείς ποτε γνώσεται, οὐ μάθῃ, οὐ κατίδῃ
τῶν μή γνωσίως καί θερμῶς τῷ Χριστῷ κολληθέντων,
ἀνακραθέντων τε αὐτῷ ἐν ἑνώσει ἀρρήτῳ,
ᾧ πρέπει δόξα καί τιμή, αἶνος καί ἅπας ὕμνος
ὑπό πάσης τῆς κτίσεως καί πνοῆς εἰς αἰῶνας,
ἀμήν.

## ΜΓ'. Ὅτι κρεῖσσον τό καλῶς ποιμαίνεσθαι ἤ τούς μή βουλομένους ποιμαίνειν· οὐδέ γάρ ἔσται κέρδος τῷ ἄλλους μέν σπουδάζοντι σῶσαι, ἑαυτόν δέ διά τῆς ἐκείνων ἀπολέσαντι προστασίας.

Εἰπέ, Χριστέ, τῷ δούλῳ σου, εἰπέ, τό φῶς τοῦ κόσμου,
εἰπέ, ἡ γνῶσις τοῦ παντός, εἰπέ, λόγε, σοφία,
ἡ πάντα προγινώσκουσα, ἡ πάντα προειδυῖα
καί τά ἡμῖν συμφέροντα διδάσκουσα ἀφθόνως,
εἰπέ καί δίδαξον κἀμέ ὁδούς σωτηριώδεις
τῶν θελημάτων σου, Σωτήρ, καί θείων προσταγμάτων.
Εἰπέ καί μή παρίδῃς με, μή κρύψῃς, ὦ Θεέ μου,
ἐξ ἀναξίου δούλου σου τό θεῖον θέλημά σου.
Τί κρεῖσσον ἔστι παρά σοῦ, ποῖον εὐάρεστόν σοι
ἀπό τῶν δύο, φράσον μοι, ὦ φιλάνθρωπε Σῶτερ·
τό ἐν μερίμνῃ εἶναί με τῶν τῆς μονῆς πραγμάτων
καί τῶν σωματικῶν χρειῶν τό ἀφθόνως φροντίζειν,
διεκδικεῖν τε ἅπαντα μετ’ ἔχθρας τε καί μάχης,
ἤ τό ἀεί προσκαρτερεῖν μόνῃ τῇ ἡσυχίᾳ
καί συντηρεῖν ἀθόλωτον τόν νοῦν καί τήν καρδίαν
καί δέχεσθαι τῆς χάριτος τῆς σῆς τάς λαμπηδόνας
καί καταυγάζεσθαι ἀεί τάς τῆς ψυχῆς αἰσθήσεις
καί θείους λόγους μυστικῶς ἐνηχεῖσθαι καί ἄλλους
διδάσκειν πρᾴως καί αὐτός διδάσκεσθαι ὡσαύτως·
ὁ λέγω γάρ καί ἑαυτῷ τά λεγόμενα λέγει
καί πρῶτος οὗτος τοῦ ποιεῖν πάντως ταῦτα ὀφείλει.
Ἐκ τούτων τοίνυν λέγε μοι, ὦ Θεέ μου καί πλάστα,
ποῖον ὑπάρχει κρεῖσσόν μοι, ποῖον ἐστί συμφέρον,
ποῖον δέ σοί εὐάρεστον καί τέλειον ὑπάρχει;
Ναί δή, μή κρύψῃς ἀπ’ ἐμοῦ, ὦ πανοικτίρμον Λόγε!
Ἄκουσον ὅπερ ἐρωτᾷς, γράψον ἅπερ ἀκούεις.
Ἐγώ Θεός προάναρχος, ἐγώ Δεσπότης φύσει,
τῶν οὐρανῶν τε Βασιλεύς καί τῶν καταχθονίων
καί πάντες μή βουλόμενοι ἐμοί δοῦλοι τελοῦσι.
Κτίστης τῶν πάντων γάρ ἐγώ καί Κριτής καί Δεσπότης
καί νῦν εἰμι καί ἔσομαι εἰς αἰῶνας αἰώνων·
ἀλλ’ οὐ τόν μή βουλόμενον ποτέ καταναγκάζω,
αὐτεξούσιον θέλω δέ, αὐτοπροαίρετόν γε

τήν τε δουλείαν γίνεσθαι, τόν φόβον ἐνεργεῖσθαι
καί τήν ἀγάπην δείκνυσθαι παρά τῶν ὑπηκόων.
Τοιούτους γάρ τούς δούλους μου ἐπιποθῶ τοῦ εἶναι,
τούς δ’ ἄλλους οὔπω ἔγνωκα οὐδ’ ὑπ’ αὐτῶν ἐγνώσθην·
διό σκληρόν με λέγουσιν, ἀσυμπαθῆ καλοῦσιν,
ἄδικον ὀνομάζουσι τά τοῦ ἀδίκου τέκνα.
Οἱ οὖν ἐμέ ὑβρίζοντες ἐμέ τε λοιδοροῦντες,
ἐμέ κατονειδίζοντες, σοί πῶς ὑποταγῶσιν
ἤ πῶς σε καταδέξονται διδάσκαλον, εἰπέ μοι;
Οἱ λύκοι δέ ποιμένα σε πῶς ἄρα λογιοῦνται
ἤ πῶς ἀκολουθήσουσι φωνῇ σου θῆρες ὄντες;
Ἔξελθε, φύγε καί γενοῦ ἐκ μέσου τῶν τοιούτων,
καί σεαυτόν εἰ σώσειας, σεαυτόν δ’ ἀπολέσεις,
τί σοι τοῦ κόσμου ὄφελος τοῦ διά σοῦ σωθέντος;
Οὐ βούλομαι ποιμαίνειν σε τινά τῶν μή θελόντων.
Ὅρα, ὅτι ἐφύλαξα τοῦτο κἀγώ ἐν κόσμῳ·
τῶν βουλομένων γάρ ἐγώ καί ποιμήν καί δεσπότης,
τῶν δ’ ἄλλων κτίστης μέν εἰμι καί Θεός κατά φύσιν,
οὐ μήν δέ πέλω βασιλεύς, οὐκ ἀρχηγός εἰς ἅπαν
τῶν μή ἀράντων τόν σταυρόν κἀμοί ἀκολουθούντων·
τοῦ ἐναντίου γάρ εἰσι τέκνα, δοῦλοι καί σκεύη.
Βλέπε καί θρήνει δι’ αὐτούς, εἰ δυνατόν, καθ’ ὥραν.
Ἐκ σκότους γάρ καλούμενοι πρός ἀνέσπερον φέγγος,
ἐκ τοῦ θανάτου πρός ζωήν, εἰς οὐρανούς ἐξ ᾅδου,
ἐκ τῶν προσκαίρων καί φθαρτῶν πρός αἰώνιον δόξαν,
ὀργίζονται καί μαίνονται κατά τῶν διδασκάλων
καί κατ’ αὐτῶν συρράπτουσιν ἐπιβουλάς παντοίας
καί προαιροῦνται τοῦ θανεῖν ἤ σκότους ἀποστῆναι
καί τῶν τοῦ σκότους πράξεων, κἀμοί ἀκολουθῆσαι.
Τούτους, εἰπέ, πῶς ποιμανεῖς, πῶς τούτων προηγήσῃ,
πῶς ὁδηγήσεις, λέγε μοι, πρός πῦρ αὐτομολοῦντας,
προστιθεμένους τῷ ἐχθρῷ καί σύν αὐτῷ προθύμως
τά ἐναντία τῶν ἐμῶν προσταγμάτων ποιοῦντας;
Πῶς ποιμανεῖς ὡς πρόβατα, πὼς εἰσάξεις, εἰπέ μοι,
τῶν ἐντολῶν μου πρός νομάς, πρός ὕδωρ θελημάτων
ἐμῶν ἐξάξεις δέ αὐτούς, πρός νοητά τε ὄρη
θεωριῶν τῶν μυστικῶν, δόξης μου τῆς ἀρρήτου,
δι’ ἧς οἱ ταύτην βλέποντες καταφρονοῦσι δόξης
τῆς κάτω καί τῶν αἰσθητῶν πάντων ἀμνημονοῦσι
καί ὡς σκιάν καί ὡς καπνόν ταῦτα πάντα ἡγοῦνται;
Εἰπέ, πῶς τόν ἀντίδικον συνήγορόν σου κτήσῃ,

πῶς τόν πολέμιον ἐχθρόν φίλον σου πείσεις εἶναι;
Εὐκόλως γάρ οἱ φίλοι μέν ἐχθροί γίνονται μᾶλλον
μικράν εὑρόντες πρόφασιν, οἱ ἐχθροί δέ δυσκόλως
γενέσθαι φίλοι δύνανται κἄν εὐεργετηθῶσι,
κἄν δωρεῶν μετάσχωσιν ὑψηλῶν καί μεγάλων·
ἐγκεκριμμένον ἔχουσι τόν ἰόν ἐν καρδίᾳ,
ὅνπερ καιροῦ δραξάμενοι ἐξεμοῦσιν ἀθρόως
καί εὐεργέτας τούς αὐτῶν ἀνηλεῶς, ἀπλάγχνως
ἀποκτεῖναι οὐ φρίττουσιν, ὤ μανίας ἐσχάτης!
Οὗτοι τοῦ Κάϊν μιμηταί, οὗτοι τοῦ Λάμεχ χείρους,
οὗτοι Σαούλ, ὁμότροποι, μιμηταί τῶν Ἑβραίων
καί τοῦ Ἰούδα ζηλωταί, ἀγχόνης κληρονόμοι.
Τούτων ἡγεῖσθαι εἰ ζητεῖς, βλέπε ποῦ καταντήσεις.
Οὐ γάρ ἐπιστραφήσονται, ἔνθα ἄν σύ θελήσῃς,
ἀλλ᾽ ἐν ὁδῷ σε τῇ αὐτῶν ἀναγκάσουσι βαίνειν
καί πρῶτον εἰς ἀπώλειαν ἐμπεσεῖν πρό ἐκείνων
καί κατωτέρω κατελθεῖν εἰς πυθμένα τοῦ ᾄδου
ὡς ἐπακολουθοῦντάς σοι ἔχων πάντως κἀκείνους.
Εἰ δέ μή βουληθῇς αὐτοῖς ὅλως ὁμοιωθῆναι,
συναπαχθῆναί τε αὐτῶν ταῖς βουλαῖς μή θελήσῃς
μηδέ ταῖς πράξεσιν αὐτῶν ταῖς κακαῖς κοινωνῆσαι,
στάσιν, μάχην καί πόλεμον ἀκατάλλακτον ἕξεις.
Ὑφ᾽ ὧν τί σοι γενήσεται, τί δέ συμβήσεταί σοι,
τί κερδανεῖς τε; Ἄκουσον, καί λέξω σοι συντόμως·
πρό πάντων εἶναι δοῦλός μου ὅλως οὐκ ἐξισχύσεις,
ἐμόν γάρ δοῦλον μάχεσθαι οὐ βούλομαι παράπαν.
Μῖσός τε κτήσονται πρός σέ ἄσχετον καί πρός φόνον
ὁρμήσουσι τόν κατά σοῦ φανερῶς καί λαθραίως,
καί τοῦ ἐκείνων κρίματος σύ δώσεις τάς εὐθύνας.
Οὐδέν γάρ ὁ σός θάνατος ὠφελήσει τούς ἄλλους,
καθώς ὑπῆρξεν ὁ ἐμός θάνατος ζωή κόσμου,
ἀλλά κἀκείνοις αἴτιος τοῦ κρίματος γενήσῃ
καί σύ ἀπαρρησίασατος ἐξέλθεις ἐκ τοῦ βίου.
Κρεῖσσον τοίνυν ποιμαίνεσθαι καί μή ποιμαίνειν ὅλως
τοιούτους, ἀλλά μάλιστα τῶν ἰδίων φροντίζειν
καί εὔχεσθαι ὑπέρ αὐτῶν καί ἁπάντων ἀνθρώπων
τοῦ ἐπιστρέψαι καί ἐλθεῖν εἰς ἐπίγνωσιν πάντας,
διδάσκειν τε καί κατηχεῖν τούτων τούς βουλομένους.
Μή ἀναγκάζῃς δέ αὐτούς ποιεῖν ἅπερ διδάσκεις,
ἀλλά τούς λόγους τούς ἐμούς λέγε καί παρακάλει
φυλαττειν τούτους ὡς ζωῆς αἰωνίου προξένους.

Αὐτοί δ’ οἵ λόγοι στήσονται, ὅταν ἔλθω τοῦ κρῖναι,
καί τούτων πάντων ἕκαστον κρινοῦσι κατ’ ἀξίαν,
καί σύ μενεῖς ἀνεύθυνος, ἀκατάκριτος πάντῃ,
ὅτι οὐκ ἔκρυψας ἐμῶν ἀργύριον λογίων,
ἀλλ’ ὅσον εἴληφας αὐτός, κατεβάλου τοῖς πᾶσι.
Τοῦτο ἐμοί ἀποδεκτόν, τοῦτο τῶν ἀποστόλων
καί μαθητῶν μου γέγονε κατά τάς ἐντολάς μου
ἔργον, κηρύξαι με Θεόν εἰς τόν σύμπαντα κόσμον
καί τά ἐμά θελήματα καί τά προστάγματά μου
διδάξαι καί καταλιπεῖν ἐγγράφως τοῖς ἀνθρώποις.
Οὕτως καί σύ ἀγώνισαι ποιῆσαι καί διδάξαι,
τούς δέ μή θέλοντας ἐμῶν λόγων ὅλως ἀκούειν
λέγε, ὡς εἶπον καί ἐγώ πρός τούς τότε εἰπόντας
ὅτι· Σκληρός ὁ λόγος σου καί τίς αὐτοῦ ἀκούειν
δυνήσεται; Καί ἔφην γε· Εἰ μή θέλετε οὕτως,
ὑπάγετε, ὡς βούλεσθε, ἕκαστος καί ποιεῖτε·
τῇ ἐξουσίᾳ τῇ αὐτῶν τό πᾶν καί προαιρέσει
καταλιπών τόν θάνατον ἤ τήν ζωήν ἑλέσθαι.
Οὐδείς γάρ γέγονέ ποτε καλός ἀπροαιρέτως,
οὐδέ πιστός ὁ ἄπιστος καί μή θέλων ὑπάρξει,
οὐδέ φιλόθεός ποτε ὁ φιλόκοσμος ἔσται,
οὐκ ἀβουλήτως ὁ σκαιός μεταστρέψει τήν γνώμην
τήν ἑαυτοῦ καί ἀγαθός γενήσεται εἰς ἅπαν·
οὐδείς γάρ γέγονε κακός φύσει, ἀλλά προθέσει·
οὕτω καί πάλιν ἐκ κακοῦ καί πονηροῦ προθέσει
καί γνώμῃ καλός καί ἀγαθός, εἰ θέλει,
γενήσεται, μή θέλων δέ οὐδαμῶς τοῦτο ἔσται.
Οὐδείς μή θέλων ἀρετήν κατώρθωσεν ἐν κόσμῳ,
οὐδείς μή θέλων σῴζεται· πλέον τούτου μή ζήτει,
σπούδασον σῶσαι δέ σαὐτόν καί τούς ἀκούοντάς σου,
εἰ ἄρα εὕροις ἐπί γῆς ἄνθρωπον τοῦ ἀκούειν
ἔχοντα ὦτα καί τῶν σῶν ἐπακούοντα λόγων.
Οὕτως ποιήσω, Δέσποτα, καθώς προσέταξάς μοι,
ἀλλά τήν σήν βοήθειαν, ἀλλά τήν σήν μοι χάριν
τῷ ἀναξίῳ δώρησαι δούλῳ σου, ὦ Θεέ μου,
ἵνα ἀεί δοξάζω σε καί ἀνυμνῶ σόν κράτος
ἀκαταπαύστοις ἐν φωναῖς εἰς αἰῶνας αἰώνων,
ἀμήν.

## ΜΔ'. Τί ἐστι τό κατ’ εἰκόνα, καί πῶς εἰκότως νοεῖται ὡς τοῦ πρωτοτύπου εἰκών ὁ ἄνθρωπος· καί ὅτι ὁ τούς ἐχθρούς ὡς εὐεργέτας φιλῶν μιμητής ἐστι τοῦ Θεοῦ, Πνεύματος δέ Ἁγίου ἐντεῦθεν μέτοχος γεγονώς θέσει θεός καί χάριτι γίνεται, μόνοις ἐκείνοις γνωριζόμενος, τοῖς ὑπό τοῦ Ἁγίου Πνεύματος ἐνεργουμένοις.

Δόξα, αἶνος, ὕμνος, χάρις
τῷ τήν κτίσιν ἐξ οὐκ ὄντων
εἰς τό εἶναι λόγῳ μόνῳ
καί θελήματι οἰκείῳ
ἅπασαν παραγαγόντι
Θεῷ πάντων, ἐν Τριάδι
ὑποστάσεων, μιᾷ τε
ἀχωρίστοις καί ἀτμήτοις,
μία φύσις, μία δόξα,
μία δύναμις ὑπάρχει,
θέλημά τε ἕν ὡσαύτως.
Αὕτη μόνη κτίσις πάντων,
αὕτη ἐκ πηλοῦ με ὅλον
πλάσασα, ψυχήν τε δοῦσα
ἔθηκεν ἐπί τῆς γῆς με,
δέδωκε τό φῶς τε βλέπειν
καί ὁρᾶν ἐν τούτῳ πάντα
τόνδε τόν αἰσθητόν κόσμον,
ἥλιον, σελήνην λέγω,
τούς ἀστέρας οὐρανόν τε,
γῆν καί θάλασσαν καί πάντα
τά ἐν μέσῳ τούτων ὄντα.
Δέδωκε, καί νοῦν καί λόγον·
ἀλλά πρόσεχε τῷ λόγῳ!
Κατ’ εἰκόνα οὖν τοῦ Λόγου
δέδοται ἡμῖν ὁ λόγος·
λογικοί γάρ ἐκ τοῦ Λόγου
τοῦ ἀνάρχου, τοῦ ἀκτίστου,
τοῦ ἀλήπτου, τοῦ Θεοῦ μου.
Ὄντως κατ’ εἰκόνα ἔστιν

ἡ ψυχή παντός ἀνθρώπου
λογική εἰκών τοῦ Λόγου.
- Πῶς, εἰπέ μοι, δίδαξόν με.
- Ἄκουσον αὐτοῦ τοῦ Λόγου·
ὁ Θεός ἐκ Θεοῦ Θεός Λόγος,
συναΐδιός τε ἔστι
τῷ Πατρί καί τῷ Πνεύματι.
Οὕτως οὖν καί ἡ ψυχή μου
κατ᾽ εἰκόνα τούτου ἔστι,
νοῦν γάρ ἔχουσα καί λόγον
φέρει ταῦτα κατ᾽ οὐσίαν
ἄτμητα ἀσύγχυτά τε,
ὁμοούσια ὡσαύτως,
ἕν τά τρία ἡνωμένως,
ἀλλά καί διῃρημένως.
Πάντοτε καί ἥνωνταί γε
καί εἰσί μεμερισμένα·
ἥνωνται γάρ ἀσυγχύτως
καί μερίζονται ἀτμήτως.
Ἕν ἐκ τούτων εἰ καθέλῃς,
συγκαθεῖλες πάντως πάντα·
ψυχή γάρ ἄνους, ἄλογος,
ἶσον ἔσται τῶν ἀλόγων·
ἄνευ δέ ψυχῆς οὐκ ἔστι
νοῦν ἤ λόγον ὑφεστάναι.
Οὕτως οὖν ἐκ τῆς εἰκόνος
τό πρωτότυπον ἐννόει!
Ἄνευ Πνεύματος οὐκ ἔστι
οὐ Πατήρ, οὐ Λόγος τούτου·
πνεῦμα ὁ Πατήρ δέ ἔστι,
καί Υἱός ὁ τούτου, πνεῦμα,
εἰ καί σάρκα ἐνεδύθη,
καί Θεός τό Πνεῦμα πάλιν·
ἕν γάρ φύσει καί οὐσίᾳ
τά ἀμφότερα τελοῦσιν,
ὥσπερ νοῦς, ψυχή καί λόγος.
Ἀλλ᾽ ὁ μέν Πατήρ τόν Λόγον
ἀπεγέννησεν ἀρρήτως.
Ὥσπερ νοῦς ἐκ τῆς ψυχῆς μου,
μᾶλλον δέ ἐν τῇ ψυχῇ μου,
οὕτως ἐκ Πατρός τό πνεῦμα,

μᾶλλον δ’ ἐν Πατρί καί μένει
καί προέρχεται ἀφράστως.
Ὥσπερ πάλιν δέ ὁ νοῦς μου
πάντοτε γεννᾷ τόν λόγον
καί προφέρει καί ἐκπέμπει
καί γνωστόν ποιεῖ τοῖς πᾶσιν,
οὐ χωρίζεται δέ τούτου,
ἀλλά καί γεννᾷ τόν λόγον
καί ἐντός αὐτόν κατέχει,
οὕτω νόει τόν Πατέρα,
ὅτι ἔτεκε τόν Λόγον,
ὅτι τίκτει ἀενάως,
οὐ χωρίζεται δέ ὅλως
τοῦ Υἱοῦ Πατήρ ὁ τούτου,
ἀλλ’ ἐν τῷ Υἱῷ ὁρᾶται,
καί Υἱός ἐν τούτῳ μένει.
Ταύτην ἀκριβῆ εἰκόνα,
εἰ καί ἀμυδρά τυγχάνει,
καθυπέδειξεν ὁ λόγος,
ἥν οὐδέποτε θεάσῃ,
οὐδ’ οὐ μή κατανοήσῃς,
εἰ μή πρότερον καθάρῃς,
εἰ μή πρότερον ἐκπλύνῃς
τῆς εἰκόνος σου τόν ῥύπον,
εἰ μή κεχωσμένην οὖσαν
ἐν τοῖς πάθεσιν ἐξάξῃς,
ἀποσμήξῃς τε τελείως,
ἀποδύσῃς τε ὡσαύτως
καί λευκάνῃς ὡς χιόνα.
Ὅταν ταῦτα δέ ποιήσῃς
καί καλῶς σαυτόν καθάρῃς
καί εἰκών τελεία γένῃ,
τό πρωτότυπον οὐκ ὄψῃ,
οὐδ’ οὐ μή κατανοήσῃς,
εἰ μή ἀποκαλυφθῇ σοι
διά Πνεύματος Ἁγίου.
Πάντα γάρ Πνεῦμα διδάσκει
ἐν φωτί λάμψαν ἀρρήτῳ,
νοερῶς τά νοητά σοι
ἅπαντα καθυποδείξει,
ὅσον δύνασαι καί βλέπειν,

ὅσον ἐφικτόν ἀνθρώπῳ,
κατά τήν ἀναλογίαν
ψυχικῆς καθάρσεώς σου,
καί Θεῷ ὁμοιωθήσῃ
ἔργων ἀκριβεῖ μιμήσει,
σωφροσύνης καί ἀνδρείας,
ἀλλά καί φιλανθρωπίας,
πειρασμῶν ὑπομονῇ τε
καί τῇ πρός ἐχθρούς ἀγάπῃ.
Τοῦτο γάρ φιλανθρωπίᾳ,
τό ἐχθρούς εὐεργετεῖν σε
καί φιλεῖν αὐτούς ὡς φίλους,
ὡς γνησίους εὐεργέτας,
εὔχεσθαί τε ὑπέρ πάντων
τῶν σοί ἐπηρεαζόντων,
ἴσην τε πρός πάντας ἔχειν
ἀγαθούς καί πονηρούς τε
ἐνδιάθετον ἀγάπην,
ὑπέρ πάντων δέ τιθέναι
τήν ψυχήν σου καθ’ ἑκάστην,
ὑπέρ σωτηρίας λέγω,
καί τοῦ ἕνα που σωθῆναι
ἤ καί πάντας, εἰ οἷόν τε.
Ταῦτα μιμητήν Δεσπότου
ἀπεργάσονταί σε, τέκνον,
καί εἰκόνα ἀληθῆ σε
ἀποδείξουσι τοῦ κτίστου,
μιμητήν τε κατά πάντα
τελειότητος τῆς θείας.
Ὁ δέ κτίστης τότε - πρόσχες,
ὅπερ μέλλω σοι ἐκφράσαι! -
Θεῖον ἀποστείλει Πνεῦμα·
οὐ ψυχήν σοι λέγω ἄλλην,
οἵαν ἔσχες, ἀλλά Πνεῦμα,
τό ἐκ τοῦ Θεοῦ σοι λέγω,
καί ἐμπνεύει καί οἰκήσει
καί οὐσιωδῶς σκηνώσει
καί φωτίσει καί λαμπρύνει
καί ἀναχωνεύσει ὅλον,
τόν φθαρτόν τε ἀφθαρτίσει
καί ἀνανεώσει αὖθις

τόν παλαιωθέντα οἶκον,
οἶκον τῆς ψυχῆς σου λέγω.
Ταύτῃ δέ συναφθαρτίσει
καί τό σῶμα ὅλον ὅλως
καί θεόν σε κατά χάριν
ὅμοιον τοῦ πρωτοτύπου
ἀπεργάσεται, ὤ θαῦμα,
ὤ μυστήριον τό πᾶσιν
ἄγνωστον τοῖς ἐμπαθέσιν,
ἄγνωστον τοῖς φιλοκόσμοις,
ἄγνωστον τοῖς φιλοδόξοις,
ἄγνωστον ὑπερηφάνοις,
ἄγνωστον ὄντως ὀργίλοις,
ἄγνωστον καί μνησικάκοις,
ἄγνωστον τοῖς φιλασάρκοις,
ἄγνωστον τοῖς φιλαργύροις,
ἄγνωστον τοῖς φθονεροῖς τε,
ἄγνωστον πᾶσι λοιδόροις,
ἄγνωστον  ὑποκριταῖς γε,
ἄγνωστον καί γαστριμάργοις,
ἄγνωστον τοῖς λαθροφάγοις
καί μεθύσοις τε καί πόρνοις·
ἄγνωστον τοῖς ἀργολόγοις,
ἄγνωστον τοῖς αἰσχρολόγοις,
ἄγνωστον καί τοῖς ῥαθύμοις,
ἄγνωστον τοῖς ἀμελοῦσι
τῆς καθ’ ὥραν μετανοίας,
ἄγνωστον τοῖς μή πενθοῦσιν
ἀενάως καθ’ ἑκάστην
ἄγνωστον ἀνυποτάκτοις,
ἄγνωστον τοῖς ἀντιλόγοις,
ἄγνωστον ἰδιορρύθμοις,
ἄγνωστον τοῖς οἰομένοις
εἶναί τι, μηδέν δέ οὖσιν,
ἄγνωστον τοῖς καυχωμένοις,
ἀλλά μή καί τερπομένοις
ἐπί σώματος μεγέθει
ἤ δυνάμει εἴτε κάλλει
ἤ χαρίσματι ἑτέρῳ
οἱῳδήποτέ σοι λέγω·
ἄγνωστον τοῖς μή καρδίαν

καθαράν προσκτησαμένοις,
ἄγνωστον τοῖς μή αἰτοῦσιν
ἐν θερμότητι καρδίας
τοῦ λαβεῖν τό Θεῖον Πνεῦμα,
ἄγνωστον τοῖς ἀπιστοῦσιν
ὅτι δίδοται καί ἄρτι
τοῖς ζητοῦσι Πνεῦμα Θεῖον.
Ἀπιστία γάρ ἀπείργει
καί διώκει Πνεῦμα Θεῖον·
ἀπιστῶν τις οὐκ αἰτεῖται,
μή αἰτῶν οὐδέ λαμβάνει,
μή λαβών νεκρός ὑπάρχει.
Τόν νεκρόν δέ τίς μή κλαύσει,
ὅτι ζῆν δοκεῖ νεκρός ὤν;
Οἱ νεκροί νεκρούς οὐδέπω
οὔτ᾽ ἰδεῖν οὔτε θρηνῆσαι
ὅλως δύνανται· οἱ ζῶντες
τούτους βλέποντες πενθοῦσι.
Θαῦμα γάρ ὁρῶσι ξένον,
ζῶντας τούς νενεκρωμένους,
ἀλλά καί περιπατοῦντας,
τούς τυφλούς βλέπειν δοκοῦντας
καί κωφούς δέ ὄντως ὄντας
καί ἀκούειν οἰομένους·
ζῶσι γάρ καί καθορῶσι
καί ἀκούουσιν ὡς κτήνη,
ὡς ἀνόητοι νοοῦσιν
ἐν αἰσθήσει ἀναισθήτῳ,
ἐν ζωῇ νενεκρωμένῃ.
Ἔστι γάρ καί ζῆν μή ζῶντα,
ἔστι βλέποντα μή βλέπειν
μηδ᾽ ἀκούοντα ἀκούειν.
Πῶς, εἰπέ μοι; Λέξω τάχος·
ὅσοι ζῶσι κατά σάρκα,
ὅσοι βλέπουσι τά τῇδε
καί ὠσί σαρκίνοις μόνοις
θείων λόγων ἀκροῶνται,
οὗτοι κατά πνεῦμα πάντες
κωφοί, τυφλοί καί νεκροί γε.
Οὐδέ γάρ ἐκ Θεοῦ γεγέννηνται
ὅλως, ἵνα καί ζῶσί γε,

ἀλλ’ οὐδ’ ἔλαβον τό Πνεῦμα
οὐδ’ ἀνέβλεψαν τάς κόρας,
οὐ κατεῖδον φῶς τό θεῖον·
τούτου δέ μή γνεομένου
ἔμειναν κωφοί εἰς ἅπαν.
Οἱ τοιοῦτοι δέ, εἰπέ μοι,
πῶς Χριστιανοί κληθῶσιν;
Ἄκουε τοῦ θείου Παύλου
ταῦτά σοι σαφῶς δηλοῦντος,
μᾶλλον δέ Χριστοῦ λαλοῦντος·
Ἄνθρωπος ἐκ γῆς ὁ πρῶτος
χοϊκός ἐκτίσθη πάντως,
ἄνθρωπος ὁ δεύτερος δέ
ἐκ τῶν οὐρανῶν κατῆλθε.
Πρόσεχε τοῖς λεγομένοις·
οἷος οὖν ὁ πρῶτος πέλει
χοϊκός καί οἱ ἐκ τούτου
πάντες χοϊκοί γεννῶνται·
οἷος δέ Χριστός ὑπάρχει
ἐπουράνιος Δεσπότης,
ἐπουράνιοι καί πάντες
οἱ αὐτῷ  πεπιστευκότες,
ἄνωθεν δέ γεννηθέντες,
βαπτισθέντες δέ ὡσαύτως
Πνεύματι τῷ Παναγίῳ·
οἷον ἔστι τό γεννῆσαν
Θεός ὄντως, ἐξ αὐτοῦ τε
οἱ γεννώμενοι τοιοῦτοι
ἐκ Θεοῦ θεοί θετοί γε
καί υἱοί ὑψίστου πάντες,
ὥς φησι τό θεῖον στόμα.
Ἤκουσας Θεοῦ τούς λόγους,
ἤκουσας πῶς ἐκ τῶν ἄλλων
τούς  πιστούς ἀναχωρίζει,
πῶς σημεῖον γνώρισμά τε
δέδωκε τοῖς αὐτοῦ δούλοις,
ἵνα μή πλανῶνται λόγοις
ἀλλοτρίων διδασκάλων;
Ἐκ τῆς γῆς, φησίν, ὁ πρῶτος,
ὅτι χοϊκός ἐκτίσθη,
ὁ δεύτερος ἄνθρωπος δέ,

τῶν ἁπάντων ὁ Δεσπότης,
ἐκ τῶν οὐρανῶν κατῆλθε.
Θάνατον πᾶσιν ὁ πρῶτος
προεξένησεν ἀνθρώποις
καί φθοράν τῇ παραβάσει·
ὁ δέ δεύτερος τῷ κόσμῳ
ἐδωρήσατο καί νῦν δέ
ἅπασι πιστοῖς παρέχει
φῶς, ζωήν καί ἀφθαρσίαν.
Ἤκουσας, ἅπερ σοι λέγει
ὁ τῶν οὐρανίων μύστης;
ἤκουσας Χριστοῦ λαλοῦντος
δι᾽ αὐτοῦ καί τούς ἀνθρώπους
ἐκδιδάσκοντος ὁποῖοι
οἱ αὐτῷ πεπιστευκότες
καί τήν πίστιν ἐκ τῶν ἔργων
ἐνδεικνύμενοι τελοῦσι;
Μή οὖν ἀμφίβαλλε λοιπόν·
εἰ Χριστιανός ὑπάρχεις,
οἷος ὁ Χριστός ὑπάρχει
ἐπουράνιος, τοιοῦτος
καί αὐτός ὀφείλεις εἶναι·
μή ὑπάρχων δέ τοιοῦτος,
πῶς Χριστιανός κληθήσῃ;
Εἰ γάρ οἷος ὁ Δεσπότης
ἐπουράνιος ὑπάρχει,
καί τοιούτους εἶναι λέγει
τούς αὐτῷ πεπιστευκότας
πάντως γε ἐπουρανίους,
ὅσοι κοσμικά φρονοῦσι,
ὅσοι κατά σάκρα ζῶσιν,
οὐκ εἰσί τοῦ ἐκ τῶν ἄνω
κατελθόντος Θεοῦ Λόγου,
ἀλλά τοῦ ἐκ γῆς πλασθέντος
χοϊκοῦ ἀνθρώπου πάντως.
Οὕτω φρόνει, οὕτως ἔχε,
οὕτω  πίστευε, καί ζήτει
ἵνα γένησαι τοιοῦτος
ἐπουράνιος, ὡς εἶπεν
ὁ ἐξ οὐρανῶν φοιτήσας
καίδιδούς ζωήν τῷ κόσμῳ.

Οὗτος ἔστι καί ὁ ἄρτος,
ὁ ἐκεῖθεν καταβαίνων,
ὅν οἱ τρώγοντες οὐδ’ ὅλως
θάνατόν ποτε ὁρῶσιν·
ἐπουράνιοι γάρ ὄντες
εἰς ἀεί ἔσονται πάντως
τήν φθοράν ἀποδυθέντες,
ἀφθαρσίαν δ’ ἐνδυθέντες,
θάνατον ἀποβαλόντες
καί ζωῇ προσκολληθέντες.
Ἀθάνατοι γάρ, ἄφθαρτοι
γίνονται καί διά τοῦτο
ἐπουράνιοι καλοῦνται.
Τίς γάρ ἀπό τοῦ αἰῶνος
ἐχρημάτισε τοιοῦτος,
τῶν Ἀδάμ υἱῶν σοι λέγω,
πρίν ἐξ οὐρανοῦ κατέλθῃ
ὁ Δεσπότης τῶν ἁπάντων
οὐρανίων, ἐπιγείων;
Οὗτος ἔλαβε τήν σάρκα
τήν ἡμῶν καί Πνεῦμα Θεῖον
δέδωκε, καθώς πολλάκις
εἴπομεν, καί τοῦτο πάντα
ὡς Θεός ἡμῖν παρέχει.
Ποῖα πάντα; Ἅ πολλάκις ὑμῖν εἶπον,
ἀλλά καί τά νῦν ἐξείπω.
Γίνεται ὡς κολυμβήθρα
θεία φωτοειδεστάτη,
πάντας συμπεριλαμβάνει
τούς ἀξίους, οὕς ἐφεύροι
ἔνδοθεν, καί πῶς ἐξείπω, πῶς ἐκφράσω
τά γινόμενα ἀξίως;
Δός μοι λόγον, ὁ ψυχήν μοι
χαρισάμενος Θεός μου.
Θεός ὄν τό Θεῖον Πνεῦμα,
οὕς ἐντός αὐτοῦ ἄν λάβῃ,
ἀναπλάττει τούτους ὅλως,
ἐξανακαινίζει τούτους,
καινουργεῖ τε παραδόξως.
Πῶς καί τίνα γε τόν τρόπον
οὐ μεταλαμβάνει ὅλως

τοῦ ἐκείνων αὐτό ῥύπου;
Ὥς οὐδέ τό πῦρ μετέχει
τῆς σιδήρου μελανίας,
μεταδίδωσι δ’ ἐκείνῳ
πάντα τά αὐτῷ προσόντα,
οὕτω καί τό Θεῖον Πνεῦμα
ἄφθαρτον ὄν ἀφθαρσίαν
καί ἀθάνατον ὑπάρχον
δίδωσιν ἀθανασίαν,
φῶς τε ἄδυτον τυχάνον
φῶς ἀποτελεῖ τούς πάντας
ἐν οἷσπερ κατασκηνώσει,
καί ζωήν αὐτοῖς παρέχει.
Ὥς Χριστοῦ ὁμοφυές τε,
ὁμοούσιον ὡσαύτως
καί ὁμόδοξον ὑπάρχον
καί συνηνωμένον πέλον,
τούτους τοῦ Χριστοῦ ὁμοίους
ἀπεργάζεται εἰς ἅπαν.
Οὐ φθονεῖ γάρ ὁ Δεσπότης
ἴσους ἑαυτῷ ὀφθῆναι
τούς βροτούς χάριτι θείᾳ,
οὐδ’ ἀπαξιοῖ γενέσθαι
ὁμοίους αὐτῷ τούς δούλους,
ἀλλά τέρπεται καί χαίρει
καθορῶν ἡμᾶς τοιούτους
ἐξ ἀνθρώπων γεγονότας
κατά χάριν, ὡς ἐκεῖνος
πέφυκε καί ἔστι φύσει.
Εὐεργέτης γάρ ὑπάρχων
βούλεται ἡμᾶς τοιούτους
εἶναι, οἷος καί ἐκεῖνος.
Εἰ γάρ μή τοιοῦτοι ὦμεν
ὅμοιοι ἐν ἀκριβείᾳ,
πῶς ἐσόμεθα ἐκείνῳ
ἡνωμένοι, καθώς εἶπε,
πῶς δέ ἐν αὐτῷ μενοῦμεν,
μή ὑπάρχοντες τοιοῦτοι,
πῶς δ’ αὐτός ἐν ἡμῖν μείνῃ
οὖσι τούτου ἀνομοίοις;
Τοῦτο οὖν σαφῶς εἰδότε

σπεύσατε λαβεῖν τό Πνεῦμα
τό ἐκ τοῦ Θεοῦ καί Θεῖον,
ἵνα γένησθε τοιοῦτοι,
οἵους ἔδειξεν ὁ λόγος,
ἐπουράνιοι καί θεῖοι,
ὅσους εἶπεν ὁ Δεσπότης,
ἵνα καί τῆς βασιλείας
γένησθε τῆς οὐρανίου
κληρονόμοι εἰς αἰῶνας.
Εἰ δέ μή τοιοῦτοι ἦτε
ἤ γένησεσθε ἐνταῦθα
ἐπουράνιοι, ὡς εἶπον,
πῶς τούς οὐρανούς οἰκῆσαι
ὅλως οἴεσθε σύν τούτῳ;
πῶς δέ καί εἰς βασιλείαν
μετά τῶν ἐπουρανίων
εἰσελθεῖν καί βασιλεῦσαι
καί συνέσεσθαι τῷ πάντων
Βασιλεῖ τε καί Δεσπότῃ;
Δράμετε σπουδῇ οὖν πάντες,
ἵνα καταξιωθῶμεν
ἔνθοθεν τῆς βασιλείας
τῆς τῶν οὐρανῶν γενέσθαι
καί Χριστῷ συμβασιλεῦσαι,
τῷ Δεσπότῃ τῶν ἁπάντων,
ᾧ πρέπει πᾶσα δόξα
σύν Πατρί καί Πνεύματί τε
εἰς αἰῶνας τῶν αἰώνων,
ἀμήν.

## ΜΕ'. Περί θεολογίας ἀκριβεστάτης· καί ὅτι ὁ μή ὁρῶν τό φῶς τῆς τοῦ Θεοῦ δόξης χείρων τυγχάνει τυφλῶν.

Ὦ φιλοικτίρμον Θεέ μου, ποιητά μου,
λάμψον πλεῖόν μοι τό ἀπρόσιτον φῶς σου,
ἵνα μου χαρᾶς ἐμπλήσῃς τήν καρδίαν.
Ναί, μή ὀργισθῇς, ναί, μή ἐγκαταλίπῃς,
ἀλλά αὔγασον ψυχήν μου τῷ φωτί σου·
τό γάρ φῶς σου σύ, ὁ Θεός μου, τυγχάνεις.
Εἰ γάρ κέκλησαι πολλοῖς καί διαφόροις
τοῖς ὀνόμασιν, ἀλλ' ἕν αὐτός ὑπάρχεις·
τοῦτο δέ τό ἕν ἄγνωστον πάσῃ φύσει
καί ἀόρατον καί ἄφραστον τυγχάνει,
ὅ παραδεικνύμενον πάντα καλεῖται.
Τοῦτο οὖν τό ἕν τρισυπόστατος φύσις,
μία θεότης, μία τε βασιλεία,
μία δύναμις, ἕν ἡ Τριάς γάρ πέλει.
Τριάς μία γάρ ὁ Θεός μου, οὐ τρία,
τρία ὅμως δέ τό ἕν καθ' ὑποστάσεις,
ὁμοφυεῖς ἀλλήλαις οὖσας τῇ φύσει,
ὁμοδυνάμους ὅλως, ὁμοουσίους,
ἀσυγχύτως μέν ὑπέρ νοῦν ἡνωμένας,
ἀδιαιρέτως δ' αὖθις διαιρουμένας,
εἰς ἕν τά τρία καί τό ἕν γε εἰς τρία.
Εἷς γάρ ἐστιν ὁ ποιήσας τά πάντα
Ἰησοῦς Χριστός σύν Πατρί τῷ ἀνάρχῳ,
συνανάρχῳ τε Πνεύματι τῷ Ἁγίῳ.
Ἕν οὖν ἡ Τριάς ἀμερίστως εἰς ἅπαν,
ἐν τῷ ἑνί τά τρία δέ, ἐν τοῖς τρισί τό ἕν δέ,
μᾶλλον δέ ἕν τά τρία μοι καί τό ἕν τρία πάλιν·
νόει, προσκύνει, πίστευε νῦν καί εἰς τούς αἰῶνας.
Τό ἕν γάρ τοῦτο φαντασθέν, λάμψαν καί καταυγάσαν,
μεταληφθέν, μεταδοθέν πᾶν ἀγαθόν ὑπάρχει·
διό οὐχ ἕν, ἀλά πολλά καί παρ' ἡμῖν καλεῖται·
φῶς καί εἰρήνη καί χαρά, ζωή, τροφή καί πόσις,
ἔνδυμα, περιβόλαιον, σκηνή καί θεῖος οἶκος,
ἀνατολή, ἀνάστασις, ἀνάπαυσις λουτρόν τε,
πῦρ, ὕδωρ, ποταμός, πηγή ζωῆς καί ῥεῖθρον,
ἄρτος καί οἶνος, ἡ καινή τῶν πιστῶν καρυκεία,

ἡ πανδαισία, ἡ τρυφή ἥν μυστικῶς τρυφῶμεν,
ἥλιος ὄντως ἄδυτος ἄστρον ἀειλαμπές τε,
λαμπάς ἐντός ἐκλάμπουσα τῆς ψυχικῆς οἰκίας.
Τοῦτο τό ἕν πολλά ἐστι καθαιροῦν τε καί κτίζον,
τοῦτο τό ἕν τά σύμπαντα παρήγαγε τῷ λόγῳ
καί πνεύματι δυνάμεως συνέχει ταῦτα πάντα.
Τοῦτο τό ἕν τόν οὐρανόν καί τήν γῆν ἐκ μή ὄντων
παρήγαγεν, οὐσίωσε, συνέστησεν ἀρρήτως,
τοῦτο τό ἕν τόν ἥλιον, σελήνην καί τά ἄστρα
θελήματι πεποίηκε, θαῦμα καινόν καί ξένον.
Τοῦτο τό ἕν τετράποδα, ἑρπετά καίθηρία
καί πετεινά παντοδαπά καί ἐνάλια πάντα
τῇ προστάξει παρήγαγε, καθώς ὁρῶνται πάντα.
Ἔσχατον δέ ἐποίησεν ἐμέ ὡς βασιλέα
καί πάντα ταῦτα δέδωκεν ἐμοί πρός θεραπείαν
ὡς δοῦλα καί τήν χρείαν μοι δουλικῶς ἐκπληροῦντα.
Πάντα οὖν τούτου τοῦ ἑνός Θεοῦ τῶν ὅλων, λέγω,
τό  πρόσταγμα ἐφύλαξε καί εἰσέτι φυλάττει,
κἀγώ μόνος, ὁ ἄθλιος, ἀχάριστος ἐδείχθην,
ἀγνώμων καί ἀνήκοος Θεοῦ, τοῦ πλάσαντός με
καί ταῦτα πάντα τά καλά ἀφθόνως παρασχόντος,
τήν ἐντολήν τε παραβάς ἀχρεῖος ἐγενόμην
καί χείρων πάντων τῶν κτηνῶν ἀπεφάνθην, ὁ τάλας,
καί παρετράπην τῆς ὁσοῦ τῆς εὐθείας καί θείας
καί τῆς δοθείσης δόξης μοι ἐκπέπτωκα ἀθλίως
καί ἐξεδύθην τήν στολήν τήν φωτεινήν καί θείαν,
καί ἐν τῷ σκότει γεγονώς νῦν ἐν τῷ σκότει κεῖμαι,
καί ἀγνοῶ ὅτι φωτός εἰμί ἐστερημένος,
καί· Ἴδε, λέγω, ἥλιος τήν ἡμέραν φωτίζει,
καί βλέπω τοῦτον· τῆς νυκτός ἐλθούσης πάλιν δύνει,
κἀγώ ἀνάπτω μοι κηρούς καί λαμπάδα καί βλέπω.
Καί τί τῶν πάντων ἔχει μου ἀνθρώπων πλέον ἄλλος;
Οὕτως γάρ πάντως βλέπουσιν ἄνθρωποι ἐν τῷ κόσμῳ
καί τούτου πλέον οὐδαμῶς καθορᾷ τις ἀνθρώπων.
Ταῦτα οὖν λέγων ψεύδομαι καί ἐμαυτόν ἐμπαίζω
καί ἐμαυτόν, Σῶτερ, πλανῶ κατ’ ἐμαυτόν κομπάζων,
μή θέλων γνῶναι ἐμαυτόν, ὅτι τυφλός τυγχάνω,
μή θέλων κοπιάσαι τε, μή θέλων ἀναβλέψαι,
μή θέλων ὁ κατάκριτος τήν τύφλωσίν μου γνῶναι.
Λέγω δέ· Τίς ἑώρακε Θεόν, τό φῶς τοῦ κόσμου;
Καί τοῦτο λέγων, Δέσποτα, ἀναισθητῶ εἰς ἅπαν

μή συνιείς ὅτι κακῶς λογίζομαι καί λέγω.
Ὁ γάρ τό φῶς σου μή ὁρῶν, καί βλέπειν ὅλως λέγων,
μᾶλλον δέ καί ἀδύνατον λέγων ὑπάρχειν τοῦτο,
τό κατιδεῖν σου, Δέσποτα, τό φῶς τῆς θείας δόξης,
πάσας ἀρνεῖται τάς γραφάς προφητῶν, ἀποστόλων,
τούς σούς τε λόγους, Ἰησοῦ, καί τήν οἰκονομίαν.
Εἰ γάρ ἐξ ὕψους ἔλαμψας, ἐπέφανας ἐν σκότει
καί παρεγένου, εὔσπλαγχνε, ἐν κόσμῳ μετ' ἀνθρώπων,
ἀναστραφῆναι καθ' ἡμᾶς θελήσας φιλανθρώπως
καί φῶς τοῦ κόσμου σευτόν ἀψευδῶς ἔφης εἶναι,
ἡμεῖς δέ οὐχ ὁρῶμέν σε, οὐχί τυφλοί εἰς ἅπαν,
τυφλῶν τε ἀθλιώτεροι τυγχάνομεν, Χριστέ μου;
Ναί, ὄντως, ναί, ὡς ἀληθῶς καί νεκροί καί τυφλοί τε
ὑπάρχομεν μή βλέποντες σέ ζωοποιόν φάος.
Τόν ἥλιον τόν αἰσθητόν οἱ τυφλοί οὐχ ὁρῶσιν,
ἀλλά καί ζῶσι, Δέσποτα, καί ὁπωσοῦν κινοῦνται·
οὐ γάρ ζωήν χαρίζεται, ἀλλά τό βλέπειν μόνον.
Σύ δέ ὑπάρχων ἅπαντα τά καλά, ἀεί δίδως
ταῦτα τοῖς δούλοις σου τοῖς βλέπουσι τό φῶς σου,
ὡς ὤν ζωή καί τήν ζωήν παρέχεις σύν τοῖς ἄλλοις
ἅπασι, λέγω, τοῖς καλοῖς, ἅπερ αὐτός τυγχάνεις.
Ὁ ἔχων σε ὡς ἀληθῶς ἔχει ἐν σοί τά πάντα.
Μή στερηθῶ σου, Δέσποτα, μή στερηθῶ σου, κτίστα,
μή στερηθῶ σου, εὔσπλαγχνε, ὁ ταπεινός καί ξένος·
ξένος γάρ, ὡς εὐδόκησας, καί πάροικος ἐνταῦθα
οὐ προαιρέσει γέγονα, οὐ θελήσει μου ξένος,
ἀλλά τῇ χάριτι τῇ σῇ ἐμαυτόν ἔγνων ξένον
τῶν ὁρωμένων νοερῶς ἐλλαμφθείς τῷ φωτί σου
καί γνούς ὅτι πρός ἄϋλον καί ἀόρατον κόσμον
μετάγεις, κατοικίζεις τε τό ἀνθρώπινον φῦλον,
μερίζεις τε καί διαιρεῖς ἀξίους κατοικίας
ἑκάστῳ, ὡς ἐφύλαξεν, Σωτήρ, τάς ἐντολάς σου.
Διά τοῦτο οὖν δέομαι σύν σοί με κατατάξαι,
εἰ καί πολλά ἐξήμαρτον ὑπέρ πάντας ἀνθρώπους
καί ἄξιος κολάσεως εἰμί καί τιμωρίας,
ἀλλά με ἱκετεύοντα δέξαι ὡς τόν τελώνην
καί ὡς τήν πόρνην, Δέσποτα, εἰ καί μή ἴσως κλαίω,
εἰ μή ὁμοίως πόδας σου ταῖς θριξί μου ἐκμάσσω,
εἰ μή στενάζω καί θρηνῶ, Χριστέ, παραπλησίως·
ἀλλά ἐκβλύζεις ἔλεος καί βρύεις εὐσπλαγχνίαν,
πηγάζεις ἀγαθότητα, δι' ὧν ἐλέησόν με.

Ναί, ὁ παγείς τάς χεῖράς σου, ναί, ὁ παγείς τούς πόδας
ἐν τῷ σταυρῷ καί λογχευθείς τήν πλευράν, πανοικτίρμον,
ἐλέησον καί ῥῦσαί με πυρός τοῦ αἰωνίου,
καλῶς καταξιώσας με ἐντεῦθέν σοι δουλεῦσαι,
ἀκαταγνώστως τότε δέ στῆναι ἐνώπιόν σου
καί προσδεχθῆναι ἔνδοθεν τοῦ νυμφῶνός σου, Σῶτερ,
ἔνθα συνευφρανθήσομαι σοί, τῷ καλῷ Δεσπότῃ,
ἀνεκλαλήτῳ χαρᾷ εἰς πάντας τούς αἰῶνας,
ἀμήν.

## ΜΣΤ'. Ἐξομολόγησις εὐχῇ συνημμένη· καί περί συναφείας Πνεύματος Ἁγίου καί ἀπαθείας.

Ἐμάκρυνα, φιλάνθρωπε, ηὐλίσθην ἐν ἐρήμῳ
καί ἀπεκρύβην ἀπό σοῦ, τοῦ γλυκέος Δεσπότου·
ὑπό τήν νύκτα γεγονώς τῆς τοῦ βίου μερίμνης
πολλά ἐκεῖθεν δήγματα καί τραύματα ὑπέστην,
πολλάς πληγάς ἐπανελθών φέρω ἐν τῇ ψυχῇ μου
καί κράζω ἐν ὀδύνῃ μου καί πόνῳ τῆς καρδίας·
Ἐλέησον, οἰκτείρησον ἐμέ τόν παραβάτην!
Ὦ ἰατρέ φιλόψυχε καί φιλοικτίρμον μόνε,
ὁ δωρεάν τούς ἀσθενεῖς καί τετραυματισμένους
ἰώμενος, ἰάτρευσον μώλωπας, τραύματά μου.
Στάλαξόν σου τό ἔλαιον τῆς χάριτος, Θεέ μου,
καί τάς πληγάς μου ἄλειψον, ἐξάλειψον τά ἕλκη,
συνούλωσον καί σύσφιγξον τά παραλελυμένα
μέλη μου καί ἀφάνισον τάς οὐλάς πάσας, Σῶτερ,
καί τέλεον ὑγίωσον ὅλον με ὡς τό πρῴην,
ὅτε οὐκ ἦν μοι μολυσμός, ὅτε οὐκ ἦν μοι μώλωψ,
οὐδέ πληγή φλεγμαίνουσα, οὐ κηλίς, ὦ Θεέ μου,
ἀλλά γαλήνη καί χαρά, εἰρήνη καί πρᾳότης,
ἁγία τε ταπείνωσις καί ἡ μακροθυμία,
ὑπομονῆς ὁ φωτισμός καί τῶν καλλίστων ἔργων·
ὑπομονή καί δύναμις ἀήττητος εἰς ἅπαν.
Ἐξ οὗ πολλή παράκλησις δακρύων καθ' ἑκάστην,
ἐξ οὗ ἡ ἀγαλλίασις ἐν τῇ ἐμῇ καρδίᾳ,
ὥσπερ πηγή ἀνέβρυεν, ἔρρεεν ἀενάως
καί ῥεῖθρον ἦν μελισταγές, εὐφροσύνης τε πόμα,
διηνεκῶς στρεφόμενον ἐν στόματι νοός μου.
Ὅθεν ὑγιεία ἅπασα, ὅθεν ἡ καθαρότης,
ὅθεν ἡ ῥύψις τῶν παθῶν καί λογισμῶν ματαίων,
ὅθεν ἡ ἀστραπήμορφος ἀπάθεια συνῆν μοι
καί συνεγίνετο ἀεί - πνευματικῶς μοι νόει
ὁ ταῦτα διερχόμενος, μή μολυνθῇς ἀθλίως -
ἄφατον ἐμποιοῦσά μοι ἡδονήν συνουσίας
καί γάμου πόθον ἄπειρον, ἑνώσεως ἐνθέου,
ἐξ ἧς κἀγώ μεταλαβών ἀπαθής ἐγενόμην,
ἐκπυρωθείς τῇ ἡδονῇ, φλεχθείς αὐτῆς τῷ πόθῳ
καί τοῦ φωτός μετέσχηκα, ναί, καί φῶς ἐγενόμην,

πάθους παντός ἀνώτερος, ἐκτός κακίας πάσης.
Οὐ γάρ προσψαύει τῷ φωτί τῆς ἀπαθείας πάθος
ὡς οὐδ’ ἡλίῳ ἡ σκιά ἤ τῆς νυκτός τό σκότος.
Τοιοῦτος οὖν γενόμενος, τοιοῦτός τε ὑπάρχων
ὑπεχαυνώθην, Δέσποτα, ὡς ἐμαυτόν θαρρήσας,
μερίμνῃ ὑπεσύρην τε τῶν αἰσθητῶν πραγμάτων,
φροντίδι τε βιωτικῶν κατέπεσα, ὁ τάλας,
καί ψυχρανθείς ὡς σίδηρος μελανός ἐγενόμην
καί ἐγχρονίσας κείμενος ἰόν προσελαβόμην.
Καί διά τοῦτό σοι βοῶ πάλιν καθαρισθῆναι
αἰτούμενος, φιλάνθρωπε, καί εἰς τό πρῴην κάλλος
ἀνενεχθῆναι καί τοῦ σοῦ φωτός καταπολαῦσαι
νῦν τε καί ἀεί καί εἰς πάντας τούς αἰῶνας,
ἀμήν.

## ΜΖ'. Περί νοητοῦ παραδείσου τηλαυγῆς θεωρία· καί περί τοῦ ἐν αὐτῷ ξύλου ζωῆς.

Εὐλογητός εἶ, Κύριε, εὐλογητός εἶ, μόνε,
εὐλογητός εἶ, εὔσπλαγχνε, ὑπερευλογημένε,
ὁ δούς ἐν τῇ καρδίᾳ μου τό φῶς τῶν ἐντολῶν σου
καί ἐμφυτεύσας ἐν ἐμοί τό τῆς ζωῆς σου ξύλον
καί δείξας με παράδεισον ἄλλον ἐν ὁρωμένοις,
ἐν αἰσθητοῖς μέν νοητόν, νοητόν δ' ἐν αἰσθήσει.
Συνήνωσας γάρ τῇ ψυχῇ ἄλλον Πνεῦμά σου Θεῖον,
ὅπερ καί ἐνεσκήνωσας ἐν τοῖς ἐμοῖς ἐγκάτοις·
τοῦτο τό ξύλον τῆς ζωῆς ὄντως ὑπάρχει μόνον,
τοῦτο, ἐν ᾗπερ φυτευθῇ γῇ εἴτ' οὖν ψυχῇ ἀνθρώπου
καί ἐν καρδίᾳ ῥιζωθῇ, παράδεισον δεικνύει
ταύτην εὐθύς λαμπρότατον, πᾶσι κεκοσμημένον
φυτοῖς ὡραίοις δένδροις τε καί καρποῖς διαφόροις,
πεποικιλμένον ἄνθεσι καί μυριπνόοις κρίνοις.
Ταῦτα δ' εἰσί ταπείνωσις καί χαρά καί εἰρήνη,
πρᾳότης καί συμπάθεια, πένθος, ὄμβροι δακρύων
καί ξένη τέρψις ἐν αὐτοῖς, αἴγλη τῆς χάριτός σου
ἅπασιν ἐπιλάμπουσα τοῖς ἐν τῷ παραδείσῳ.
Σύ εἶ κρατήρ προχέων μοι ζωῆς τά νάματά σου,
καί λόγους θείας γνώσεως ἀφθόνως ἐμπαρέχεις.
Ἐπάν δέ σύ μή βουληθῇς, ἀλλ' ἀντιλέγεις ταῦτα,
ἄνους ἐγώ, ἀναίσθητος ὥσπερ λίθος τυγχάνω.
Ἡ σάλπιγξ ἄνευ πνεύματος οὐδέποτε ἠχήσει·
οὕτω κἀγώ σου ἄνευθεν ὡς ἄψυχος ὑπάρχω.
Δίχα ψυχῆς ἀδύνατον ἐνεργεῖν τι τό σῶμα·
οὕτως οὐ δύνατι ψυχή δίχα τοῦ Πνεύματός σου
κινεῖσθαι καί τάς ἐντολάς τάς σάς, Σῶτερ, φυλάττειν,
οὐδέ ὁρᾶν σε δύναται οὐδέ παρίστασθαί σοι,
οὐδέ ὑμνεῖν τήν δόξαν σου συνετῶς, ὦ Θεέ μου.
Διά τοῦτο οὖν σοι βοῶ καί διά τοῦτο κράζω·
Ὁ ἄνω ὤν σύν τῷ Πατρί καί μεθ' ἡμῶν τυγχάνων
οὐχ' ὥς τινες λογίζονται, τῇ ἐνεργείᾳ μόνῃ,
οὐδ' ὡς νομίζουσι πολλοί, τῷ θελήματι μόνῳ,
οὐδέ δυνάμει μόνῃ σου, ἀλλά καί τῇ οὐσίᾳ,
εἴπερ οὐσίαν ἐπί σοί τολμητέον τοῦ λέγειν
ἤ ἐννοεῖν, ἀθάνατε, ὑπερούσιε μόνε!

Εἰ γάρ ὑπάρχεις ἀληθῶς ἀνερμήνευτος ὅλως,
ἀόρατος, ἀπρόσιτος, ἀκατανόητός τε,
ἀναφής, ἀψηλάφητος, ἄληπτος ὅλως, Σῶτερ,
πῶς σε προσονομάσωμεν, πῶς δέ σε καί οὐσίαν
ποταπήν τε καί ὁποίαν τολμήσωμεν εἰπεῖν σε;
Ὄντως οὐδέν τῶν πάντων γάρ ὑπάρχεις, ὦ Θεέ μου,
ἀλλά τά πάντα ἔργα σά ἐξ οὐκ ὄντως παρήχθη·
μόνος δ’ ὑπάρχεις ἄκτιστος, μόνος ἄναρχος, Σῶτερ,
Τριάς Ἁγία καί σεπτή, ὁ Θεός τῶν ἁπάντων,
καί φῶς παρέδειξας ἡμῖν δόξης σου τῆς ἀχράντου.
Αὐτό καί νῦν παράσχου μοι ἀδιάστατον, Σῶτερ,
δός μοι ἀεί σε δι’ αὐτοῦ ἐνοπτρίζεσθαι, Λόγε,
καί κάλλος τό ἀμήχανον καλῶς κατανοεῖν σου,
ὅπερ ἀκατανόητον παντάπασιν ὑπάρχον
ὑπερεκπλήττει μου τόν νοῦν, ἐξιστᾷ μου τάς φρένας
καί πῦρ ἐν τῇ καρδίᾳ μου σῆς ἀγάπης ἀνάπτει.
Τοῦτο δ’ ἀποτελούμενον εἰς φλόγα θείου πόθου
τρανοτέραν δεικνύει μοι τήν δόξαν σου, Θεέ μου.
Ἥν προσκυνῶν αἰτοῦμαί σε, Υἱέ Θεοῦ, παράσχου
καί νῦν καί ἐν τῷ μέλλοντι ἀδιαδόχως ἔξειν
καί δι’ αὐτῆς σε τόν Θεόν καθορᾶν αἰωνίως.
Μή δός μοι δόξαν, Δέσποτα, ἐν κόσμῳ τήν ματαίαν,
μή πλοῦτον ἀπολλύμενον, μή τάλαντα χρυσίου,
μή θρόνου ὕψος, μή ἀρχήν τῶνδε τῶν φθειρομένων.
Τοῖς ταπεινοῖς με σύζευξον, τοῖς πτωχοῖς τε καί πρᾴοις,
ἵνα κἀγώ γενήσομαι καί ταπεινός καί πρᾷος,
καί τήν διακονίαν μου, εἰ μή πρός τό συμφέρον
καί πρός τήν σήν ἀρέσκειαν καί τήν σήν θεραπείαν
μετέρχομαι, εὐδόκησον ἐξεωθῆναι ταύτης
καί μόνας, Δέσποτα, θρηνεῖν τάς ἐμάς ἁμαρτίας,
τῆς κρίσεώς τε μεριμνᾶν τῆς δικαίας σου μόνης,
καί πῶς ἀπολογήσομαι πολλά σε παροργίσας.
Ναί, ὁ ποιμήν ὁ συμπαθής, ὁ ἀγαθός καί πρᾷος,
ὁ θέλων πάντας τούς εἰς σέ πιστεύοντας σωθῆναι,
ἐλέησον, εἰσάκουσον δεήσεώς μου ταύτης·
μή ὀργισθῇς, μή πρόσωπον ἀπ’ ἐμοῦ ἀποστρέψῃς,
ἀλλά τό σόν με δίδαξον θέλημα ἐκπληρῶσαι.
Οὐ γάρ ζητῶ τό θέλημα τό ἐμαυτοῦ γενέσθαι,
ἀλλά τό σόν, ἵνα καί σέ θεραπεύσω, οἰκτίρμον.
Ὁρκίζω σε, ἐλέησον, ὁ φύσει ἐλεήμων,
καί τό συμφέρον ποίησον ψυχῆς μου τῆς ἀθλίας,

ὅτι Θεός φιλάνθρωπος αὐτός ὑπάρχεις μόνος,
ἄκτιστος, ἀτελεύτητος, παντοδύναμος ὄντως,
πάντων ζωή καί πάντων φῶς τῶν σέ ἀγαπησάντων
καί παρά σοῦ, φιλάνθρωπε, λίαν ἀγαπωμένων.
Οἷς με συντάξαις, Δέσποτα, καί δόξης σου τῆς θείας
ἀποτελέσαις κοινωνόν τε καί συγκληρονόμον·
σοί γάρ ἡ δόξα, τῷ Πατρί σύν Υἱῷ συνανάρχῳ,
καί Θείῳ πρέπει Πνεύματι εἰς αἰῶνας αἰώνων,
ἀμήν.

## ΜΗ'. Ὅτι δόξα καί τιμή ἐστι παντί ἀνθρώπῳ ὑβριζομένῳ καί πάσχοντι κακῶς διά Θεοῦ ἐντολήν ἡ ὑπέρ αὐτῆς τῆς ἐντολῆς τοῦ Θεοῦ ἀτιμία· καί διάλογος πρός τήν ἰδίαν ψυχήν, διδάσκων τόν ἀκένωτον πλοῦτον τοῦ Πνεύματος.

Δός μοι τήν αἴσθησιν, Χριστέ, ἥν ἅπαξ ἐδωρήσω,
σκέπασον ταύτῃ με, Σωτήρ, κρύψον ἐντός με ὅλον
καί μή ἐάσῃς αἴσθησιν ἐγγίζειν μοι τοῦ κόσμου,
μή ἔνδοθεν εἰσέρχεσθαι, μή ὅλως με τριτρώσκειν,
τόν δοῦλόν σου τόν ταπεινόν, ὅν ἠλέησας μόνος.
Τῇ γάρ μερίμνῃ τῇ καλῇ αἴφνης ἐπεισπεσοῦσα
ἡ αἴσθησις ἡ κοσμική κακάς ἐπιθυμίας
εὐθέως ἐνεποίησε ψυχῇ μου τῇ ἀθλίᾳ·
δόξαν γάρ ὑποδείκνυσι, πλούτου ὑπομιμνῄσκει,
τοῖς βασιλεῦσί τε τῆς γῆς ἐγγίζειν ἐποτρύνει
ὡς εὐτυχίαν λέγουσα εἶναι τοῦτο μεγάλην.
Ἐκ τούτων οὖν τῶν λογισμῶν, ὥσπερ ὑπό ἀνέμου
ἀσκός ὀγκοῦται καί τό πῦρ ἀνάπτεται εἰς φλόγα,
οὕτως ἐκείνη ἡ ψυχή φυσωμένη ὀγκοῦται
καί διατείνεται σφοδρῶς ἐπιθυμίᾳ δόξης,
πλούτου τε καί ἀνέσεως τῶν κάτω συρομένων,
ἐφίεται δοξάζεσθαι σύν τοῖς δοξασμένοις,
περιφανής τε φαίνεσθαι σύν τοῖς περιφανέσι
καί πλοῦτον κτᾶσθαι σύν αὐτοῖς τοῖς τόν πλοῦτον
κτωμένοις,
ἥνπερ ἐδόξασας αὐτός φωτί σου τῷ ἀρρήτῳ,
ἥνπερ αὐτός ἐστόλισας δόξῃ σου τῇ ἀφράστῳ,
ἥνπερ αὐτός παρέδειξας λαμπρότητά σου θείαν.
Ἡ αἴσθησις αἰχμάλωτον τόν νοῦν αὐτῆς λαβοῦσα
ὑποδεικνύει βασιλεῖς, ὑπομιμνῄσκει δόξης
καί πλοῦτον ὑποδείκνυσι τόν τοῦ παρόντος βίου,
ὀργᾶν πρός ταῦτά τε ποιεῖ τῇ ἐνθυμήσει μόνῃ.
Ὦ σκότους, ὤ πωρώσεως, ὤ λογισμῶν ματαίων,
προθέσεώς τε ῥυπαρᾶς καί ἀναισθήτου γνώμης,
ὅτι λιπών τά ἄρρητα καί ἄφθαρτα τοῦ βλέπειν
τά ἐπί γῆς λογίζομαι καί ταῦτα ἐνθυμοῦμαι!
Οὐ τελευτήσει βασιλεύς; Οὐχί παρέλθει δόξα;
Οὐ πλοῦτος σκορπισθήσεται ὥσπερ χνοῦς ὑπ᾽ ἀνέμου;

Οὐχί διαφθαρήσεται τά σώματα ἐν τάφοις
καί ἄλλοι κυριεύσουσι τῶν ἐν τῇ γῇ χρημάτων
καί μετ' ἐκείνους ἕτεροι καί ἀπ' ἐκείνων ἄλλοι;
Καί τίνος, λέγε μοι, ψυχή, ὁ πλοῦτος ἐγεγόνει,
τίς δέ ἐν κόσμῳ ἴσχυσε μικρόν κερδῆσαι πρᾶγμα,
ἵν' ὥσπερ ζῶν τε καί θανῶν μετ' αὐτοῦ τοῦτο λάβῃ;
Πάντως οὐδένα οὐδαμῶς δεῖξαί μοι εὐπορήσεις,
εἰ μή τούς ἐλεήμονας, τούς μηδέν κτησαμένους,
ἀλλά τά πάντα ἐν χερσί τῶν πενήτων διδόντας.
Ἐκεῖνοι γάρ καί ἔχουσιν ἀσφαλῶς τά δοθέντα,
ἀφ' οὗπερ καί δεδωκάσιν εἰς χεῖρας τοῦ Δεσπότου·
οἱ δ' ἄλλοι πάντες ὡς πτωχοί καί πτωχῶν πάντων χείρους
ὑπάρχουσιν, οἱ ἔχοντες ἀποκείμενον πλοῦτον·
γυμνοί γάρ ὥσπερ πτώματα ῥίπτονται ἐν τοῖς τάφοις
καί τῶν παρόντων ἄθλιοι καί τῶν μελλόντων ξένοι.
Τί οὖν, ψυχή μου, ἐν αὐτοῖς καλόν ὁρῶσα τέρπῃ;
Ποῖον δέ τούτων ἄξιον κρίνεις ἐπιθυμεῖσθαι;
Πάντως οὐκ ἔχεις τί εἰπεῖν, πάντως οὐκ ἀποκρίνῃ.
Οὐαί τοῖς πλοῦτον ἔχουσιν ἐκτεθησαυρισμένον,
οὐαί τοῖς δόξαν θέλουσι λαμβάνειν ἐξ ἀνθρώπων,
οὐαί τοῖς παρενείρουσιν ἑαυτούς τοῖς πλουσίοις
καί μή τήν δόξαν τοῦ Θεοῦ καί τόν ἐκείνου πλοῦτον
καί τό συνεῖναι μετ' αὐτοῦ μόνον ἐπιθυμοῦσιν,
ὅτι ὁ κόσμος μάταιος, τά δ' ἐν τῷ κόσμῳ πάντα
ματαιοτήτων ἔσονται, τά πάντα ματαιότης.
Διό καί παρελεύσονται, Θεός δέ ἔσται μόνος
αἰώνιος καί ἄφθαρτος εἰς ἀεί διαμένων,
καί σύν αὐτῷ δέ ἔσονται οἱ νῦν αὐτόν ζητοῦντες,
οἱ μόνον ἀγαπήσαντες ἐκεῖνον ἀντί πάντων.
Οὐαί δέ τότε τοῖς νυνί τόν κόσμον ἀγαπῶσιν,
ὅτι κατακριθήσονται ἐν αὐτῷ εἰς αἰῶνας.
Οὐαί, ψυχή, τοῖς θέλουσι τήν δόξαν τῶν ἀνθρώπων,
ὅτι τῆς δόξης τοῦ Θεοῦ ἀποστεροῦνται.
Οὐαί, ψυχή, τοῖς ἔχουσι τόν πλοῦτον συνηγμένον,
ὅτι ἐπιθυμήσουσιν ἐκεῖ τυχεῖν ῥανίδος.
Οὐαί, ψυχή, τοῖς ἔχουσιν ἐπ' ἄνθρωπον ἐλπίδα,
ὅτι αὐτός τεθνήξεται καί σύν αὐτῷ ἐλπίδες,
καί τότε εὑρεθήσονται μή ἔχοντες ἐλπίδα.
Οὐαί, ψυχή, τοῖς ἔχουσιν ἀνάπαυσιν ἐνταῦθα,
ὅτι ἐκεῖθεν ἕξουσιν αἰώνιον τήν θλῖψιν.
Εἰπέ, ψυχή μου, τί λυπῇ, τί ζητεῖς τῶν ἐν βίῳ,

εἰπέ μοι, καί διδάξω σε ἑνός ἑκάστου χρείαν
καί μάθε καί διδάχθητι τό καλόν ἐν ἑκάστῳ.
Θέλεις, εἰπέ, δοξάζεσθαι, θέλεις καί ἐπαινεῖσθαι;
Ἄκουσον τοίνυν, τί τιμή, τί δέ καί ἀτιμία·
τιμή τό πάντας μέν τιμᾶν, τόν Θεόν δέ πρό πάντων
καί τάς ἐκείνου ἐντολάς ἐπικτᾶσθαι ὡς πλοῦτον,
ὑβρίζεσθαί τε δι' αὐτάς, δι' αὐτάς λοιδορεῖσθαι
καί δι' αὐτάς ὀνειδισμούς ὑποφέρειν παντοίους.
Ὅταν γάρ πράγματί τινι, ψυχή, ἐπιχειρήσῃς,
ἵνα τιμήσῃς τόν Θεόν, ἵνα αὐτόν δοξάσῃς
καί διά τοῦτο ὑβρισθῇς καί ἐξουδενωθήσῃ,
τότε τιμῆς ἐπέτυχε καί δόξης τῆς ἑστώσης,
ὅτι ἡ δόξα τοῦ Θεοῦ ἐπί σε πάντως ἥξει.
Τότε σε καί οἱ ἄγγελοι ἐπαινέσουσι πάντες,
ὅτι ἐτίμησας Θεόν, ὅν ὑμνοῦσιν ἐκεῖνοι.
Θέλεις, ψυχή μου, κτήσασθαι ἱματισμόν καί πλοῦτον;
Ἄκουσον, ἄρτι δείξω σοι τόν αἰώνιον πλοῦτον·
δάκρυσον, μετανόησον, καταφρόνησον πάντων,
γενοῦ πτωχή τῷ πνεύματι, γενοῦ καί τῇ καρδίᾳ,
γενοῦ ἀκτήμων χρήμασι, γενοῦ τοῦ κόσμου ξένη,
γενοῦ τῶν θελημάτων σου ἐχθρά τῶν ἐναντίων
καί μόνου τοῦ θελήματος γενοῦ τοῦ σοῦ Δεσπότου
καί ἀκολούθησον αὐτοῦ τοῖς ἴχνεσιν εὐτόνως.
Καί τότε σχολαιότερον βαδίσας ὁ Δεσπότης
θέλων καταληφθήσεται ὑπό σοῦ τῆς ἀθλίας·
αὐτόν δ' ἰδοῦσα βόησον καί κραύγασον μεγάλως,
αὐτός δ' ἐπιστραφήσεται ὄμματι τῷ ἱλέῳ
καί βλέψει καί παράσχει σοι μικρόν αὐτόν ἰδέσθαι
καί πάλιν καταλείψει σε κρυβείς ἐξ ὀφθαλμῶν σου.
Τότε θρηνήσεις, τάλαινα, τότε κλαύσεις ἐμπόνως,
τότε αἰτήσεις θάνατον μή φέρουσα τόν πόνον,
μή στέγουσα τόν χωρισμόν τοῦ γλυκέος Δεσπότου.
Αὐτός ἐξαποροῦσαν δέ ὁ ἀγαθός ἰδών σε
καί σφοδρῶς ἐπιμένουσαν τῷ κλαυθμῷ καί τῇ λύπῃ
πάλιν αἴφνης φανήσεται, πάλιν σε καταυγάσει,
πάλιν καθυποδείξει σοι τόν ἀκένωτον πλοῦτον,
τήν δόξαν τήν ἀμάραντον τοῦ πατρικοῦ προσώπου,
καί εὐφρανεῖ σε ὡς τόν πρίν καί χαρᾶς σε ἐμπλήσει
καί οὕτω καταλείψει σε τῆς χαρᾶς πεπλησμένην.
Κατά μικρόν δέ ἡ χαρά τοῖς ἐκ τοῦ κόσμου λόγοις
καί λογισμοῖς ἐκλείψει σε καί προσέσται σοι λύπη,

καί οὕτω πάλιν ὡς τό πρίν ἔσῃ σφοδρῶς θρηνοῦσα
καί κοκυτῷ κραυγάζουσα κἀκεῖνον ἐκζητοῦσα,
τόν εὐφροσύνην πάροχον, τόν τῆς χαρᾶς δοτῆρα,
τόν πλοῦτον τόν ἱστάμενον καί ἀεί ὄντως ὄντα.
Οὕτω σου τήν προαίρεσιν δοκιμάζοντος βλέπε,
μή ἀποκάμῃς, ὦ ψυχή, μή στραφῇς εἰς τοὐπίσω,
μή εἴπῃς· Μέχρι πότε μοι ἄληπτος οὕτως ἔσται;
Μή εἴπῃς· Τί φαινόμενος εὐθύς κρύπτετααι πάλιν
καί ἕως πότε κόπους μοι οὐκ ἐλεεῖ παρέχειν;
Μή εἴπῃς· Πῶς δέ δύναμαι κοπιᾶν μέχρι τέλους;
καί κατοκνήσῃς, ὦ ψυχή, ἐκζητεῖν τόν Δεσπότην,
ἀλλ’ ὡς πρός θάνατον σαυτήν ἅπαξ, ψυχή, ἐκδοῦσα
μή ψηλαφήσῃς ἄνεσιν, μή ἐκζητήσῃς δόξαν,
μηδέ τρυφήν τοῦ σώματος, μή συγγενῶν φιλίαν,
μή περιβλέψῃ δεξιᾷ, μή εὐωνύμᾳ ὅλως,
ἀλλ’ ὡς ἐνήρξω, μᾶλλον δέ θερμοτέρως δραμοῦσα
σπεῦσον ἀεί καταλαβεῖν, δράξασθαι τοῦ Δεσπότου.
Κἄν μυριάκις ἄφαντος, τοσαυτάκις φανής σοι
γένηται, καί ὁ ἄληπτος οὕτως ἔσται ληπτός σοι,
μυριοντάκις, μᾶλλον δέ ἕως πνέεις ὅλως,
προθυμοτέρως ζήτησον καί πρός ἐκεῖνον δράμε.
Καί γάρ οὐ καταλείψει σε, οὐκ ἐπιλήσεταί σου,
κατά μικρόν δέ μάλιστα ἐπί πλεῖον φανεῖται
καί συχνοτέρως σοι, ψυχή, συνέσται ὁ Δεσπότης
καί καθαρθεῖσαν τέλεον τοῦ φωτός τῇ ἐλλάμψει
ὅλος αὐτός ἐλεύσεται, αὐτός ἐγκατοικήσει,
αὐτός καί ἔσται μετά σοῦ ὁ τόν κόσμον ποιήσας,
καί πλοῦτον ἕξεις ἀληθῆ ὅν ὁ κόσμος οὐκ ἔχει,
ἀλλ’ οὐρανός καί οἱ ἐκεῖ ἐναπογεγραμμένοι.
Εἰ οὕτω σοι γενήσεται, εἰπέ, τί πλέον θέλεις;
Εἰπέ, ψυχή ἀχάριστε, εἰπέ, ψυχή ἀγνῶμον,
εἰπέ, ψυχή μου ταπεινή, τί τούτων μεῖζον ἔστιν
ἐν οὐρανοῖς εἴτ’ ἐν τῇ γῇ, ἵν’ ἐκεῖνο ζητήσῃς;
Τοῦ οὐρανοῦ ὁ ποιητής καί τῆς γῆς ὁ Δεσπότης
καί πάντων τῶν ἐν οὐρανῷ καί πάντων τῶν ἐκ κόσμῳ
κτίστης, κριτής καί βασιλεύς αὐτός ὑπάρχων μόνος
ἐν σοί ὑπάρχει κατοικῶν, ὅλος δεικνύμενός σοι,
ὅλος ἐλλάμπων σε φωτί καί κάλλος ὑποφαίνων
τό τοῦ προσώπου, καί αὐτόν ἐκτυπώτερον βλέπειν
καί παρέχων σοι καί κοινωνόν δόξης σε τῆς ἰδίας
ἀπεργαζόμενος. Εἰπέ, τί τούτου μεῖζον ἄλλο;

Πάντως οὐδέν μοί προσερεῖς. Ἐγώ δέ πάλιν λέγω·
Τοιαύτης δόξης, ὦ ψυχή, σύ καταξιωθεῖσα
τί ἔτι κέχηνας πρός γῆν, τί δέ θέλγῃ τοῖς ὧδε,
τί τοῖς φθαρτοῖς προστέτηκας τά ἄφθαρτα λαβοῦσα,
τί τοῖς παροῦσι πρόσκεισαι τά μέλλοντα εὑροῦσα;
Ἐκεῖνα σπούδασον, ψυχή, διηνεκῶς κεκτῆσθαι,
ἐκείνοις ὅλην σεαυτήν προσκόλλησον, ψυχή μου,
ἵνα καί μετά θάνατον ἐν αὐτοῖς εὑρεθήσῃ
τοῖς αἰωνίοις ἀγαθοῖς, οἷς ἐντεῦθεν ἐκτήσω,
καί σύν αὐτοῖς τῷ ποιητῇ παραστῇς καί Δεσπότῃ
εὐφραινομένη σύν αὐτῷ εἰς αἰῶνας αἰώνων,
ἀμήν.

## ΜΘ'. Ὅτι ἔστιν ὅτε καί διά τῆς εἰς τόν πλησίον ἐπιμελείας καί διορθώσεως συγκατασπᾶσθαι τόν διδάσκαλον εἰς τήν ἐνοῦσαν ἐκείνῳ τοῦ πάθους ἀσθένειαν.

Ἐλέησόν με, Κύριε, ἐλέησόν με, μόνε,
ὁ ἐκ νηπίας με, Σωτήρ, σκεπάσας ἡλικίας,
ὁ πάμπολλά μοι πταίσαντι, ἐν ἐπιγνώσει ὄντι,
οἰκείᾳ ἀγαθότητα ἅπαντα συμπαθήσας,
ὁ κόσμου με ῥυσάμενος τοῦ δεινοῦ καί ματαίου
καί συγγενῶν καί φίλων τε καί ἡδονῶν ἀτόπων
κἀνταῦθα ἀξιώσας με ὡς ἐν ὄρει καθίσαι
καί δείξας μοι τήν δόξαν σου τήν θαυμαστήν, Θεέ μου,
καί Πνεύματος ἐμπλήσας με τοῦ Θείου σου, Χριστέ μου,
καί φωτισμοῦ πνευματικοῦ ὅλον με ἐμφορήσας.
Αὐτός ἀμεταμέλητον τήν χάριν σου, Θεέ μου,
παράσχου μοι τῷ δούλῳ σου εἰς τέλος ὁλοκλήρως.
Μή ἀντανέλῃς, Δέσποτα, μή ἀποστρέψῃς, κτίστα,
μηδέ παρίδῃς ἅπαξ με πρό προσώπου σου στήσας
καί κατατάξας ἐν τοῖς σοῖς δούλοις με καί σφραγίσας
σφραγίδι σου τῆς χάριτος σόν με ἐπονομάσας.
Μή πάλιν ἀπορρίψῃς με, μή πάλιν ἀποκρύψῃς
τό φῶς τό τοῦ προσώπου σου, κἀμέ καλύψῃ σκότος
καί καταπίῃ ἄβυσσος καί σύσχῃ οὐρανός με,
ὅν ὑπεράνωθεν αὐτοῦ ἀνήγαγες, Σωτήρ μου,
καί σύν ἀγγέλοις, μᾶλλον δέ σύν σοί τῷ πάντων κτίστῃ
συνεῖναι κατηξίωσας καί συναγάλλεσθαί σοι
καί βλέπειν τήν ἀσύγκριτον τοῦ σοῦ προσώπου δόξαν
τοῦ ἀπροσίτου τε φωτός εἰς κόρον ἀπολαύειν
καί χαίρειν καί εὐφραίνεσθαι ἄρρητον εὐφροσύνην
τῇ συνουσίᾳ, Δέσποτα, τῆς σῆς ἀφράστου αἴγλης.
Κατατρυφῶν δέ τοῦ φωτός ἐκείνου τοῦ ἀρρήτου
ἐσκίρτων, ἔχαιρον σύν σοί τῷ ποιητῇ καί πλάστῃ,
ἀμήχανον κατανοῶν κάλλος τοῦ σοῦ προσώπου.
Ἐπεί δέ πάλιν πρός τήν γῆν κατήγαγον τόν νοῦν μου,
πεφωτισμένος ὤν ἐν σοί, οὐκ ἔβλεπον τόν κόσμον
οὐδέ τά ὄντα πράγματα, Δέσποτα, ἐν τῷ κόσμῳ,
ἀλλ᾽ ὑπεράνω τῶν παθῶν καί μεριμνῶν ὑπῆρχον
καί πράγματι στροβούμενος καί τά κακά ἐλέγχων.
Οὐκ ἐκοινώνουν μέν τό πρίν κακίαις ἀνθρωπίναις·

ὡς δ’ ἐγχρονίσας ἐν αὐτοῖς τά ἄλλων προεθέμην
καί φιλονείκοις, Δέσποτα, συναπήχθην ἀνδράσιν,
ἐλπίδι διορθώσεως μετέσχον τῆς κακίας
καί σκότους, οἴμοι, τῶν παθῶν μετέλαβον ἀφρόνως
καί κρατηθείς ὑπό θηρῶν ἀγρίων κινδυνεύω.
Ἄλλους ἐκσπᾶσαι θέλων γάρ λύμης γε τῆς ἐκείνων
αὐτός πρῶτος κατάβρωμα γέγονα τοῖς θηρίοις.
Ἀλλά προφθάσας οἴκτειρον, ἀλλά ταχύνας ῥῦσαι
τόν διά σέ, φιλάνθρωπε, ἐν τούτοις ἐμπεσόντα.
Κατά τήν σήν γάρ ἐντολήν τέθεικα, ἐλεῆμον,
ψυχήν τήν παναθλίαν μου ὑπέρ τῶν ἀδελφῶν μου·
εἰ οὖν ἐτρώθην, δύνασαι ἰάσασθαί με, Σῶτερ,
εἰ ἐκρατήθην παρ’ ἐχθρῶν αἰχμάλωτος ὁ τάλας,
ἀλλά αὐτός ὡς δυνατόν καί ἰσχυρός εἰς ἅπαν
ἰσχύεις ἐκλυτρώσασθαι θελήματί σου μόνῳ·
εἰ καί θηρίων στόμασι καί χερσί κατελήφθην,
ἀλλά φανέντος θνήξονται εὐθύς, ἐγώ δέ ζήσω.
Ναί, ὁ πολύς ἐν οἰκτιρμοῖς, ἄφατος ἐν ἐλέει,
ἐλέησον, οἰκτείρησον ἐμέ τόν πεπτωκότα.
Κατῆλθον ἐν τῷ φρέατι ῥύσασθαι τόν πλησίον
καί συγκατέπεσα κἀγώ, δικαιοκρίτα Σῶτερ·
μή με ἐάσῃς κείμενον εἰς τέλος ἐν τῷ βόθρῳ.
Ναί, οἶδα ὡς προσέταξας, πανοικτίρμον Θεέ μου,
ὅτι χρή πάντως ῥύεσθαι τόν ἀδελφόν θανάτου
καί ἁμαρτίας δήγματος, ἀλλ’ οὐ δι’ ἁμαρτίας
συναπολέσθαι μετ’ αὐτοῦ· ὅ πέπονθα ὁ τάλας
καί ῥᾳθυμήσας πέπτωκα ἐμαυτῷ γε θαρρήσας·
ἀλλά κἀκεῖνον ῥύεσθαι καί ἐμαυτόν ὡσαύτως,
εἰ δέ μή, μένειν ἄνωθεν καί θρηνεῖν τόν πεσόντα
καί φεύγειν, ὅση δύναμις, τό πεσεῖν σύν ἐκείνῳ.
Ἀλλ’ οὖν καί νῦν ἀνάστησον, ἀνάγαγε τοῦ χάους
καί στῆσον ἐπί πέτραν με, Χριστέ, τῶν ἐντολῶν σου
καί δεῖξον πάλιν μοι τό φῶς, ὅ οὐ χωρεῖ ὁ κόσμος,
ἀλλ’ ἔξω κόσμου καί φωτός ὁρατοῦ καί ἀέρος
τοῦ αἰσθητοῦ καί οὐρανοῦ αἰσθητῶν τε ἁπάντων
ἀποτελεῖ γε τόν αὐτό, Σῶτέρ μου, καθορῶντα·
εἴτε χωρίς τοῦ σώματος, εἴτε σύν τούτῳ ὅλως,
μή ἐπιστάμενος, Θεέ, κατά τήν τότε ὥραν,
δοκῶ δέ, ὥσπερ ἄϋλος φωστήρ ὑπάρχων τότε
τῷ κάλλει τε τοῦ νοητοῦ λαμπόμενος ἡλίου,
τό ἑαυτοῦ οὐ καθορᾶν ἰσχύει φῶς αἰσθήσει,

ἐκεῖνον μόνον δέ ὁρᾷ τόν ἄδυτον φωστῆρα
ἀμήχανον κατανοῶν κάλλος αὐτοῦ τῆς δόξης,
καί ἐκπληττόμενος σφοδρῶς καταμαθεῖν οὐκ ἔχει,
οὔτε κατανοήσασθαι τόν θεωρίας τρόπον,
τό πῶς ἤ ποῦ ὁ πανταχοῦ ἀνερμηνεύτως πέλων
ὁρᾶται, περιγράφεται, θέλων ἐν τοῖς ἁγίοις.
Τοῦτο δέ ἴσμεν ἅπαντες τῶν τοιούτων οἱ μύσται,
ὅτι τοῦ κόσμου ἔξωθεν τότε ἐν ἀληθείᾳ
γινόμεθα καί μένομεν, ἄχρις αὐτό ὁρῶμεν,
καί πάλιν εὑρισκόμεθα ἐν σώματι καί κόσμῳ.
Μεμνημένοι δέ τῆς χαρᾶς καί τοῦ φωτός ἐκείνου
καί τῆς γλυκείας ἡδονῆς θρηνοῦμεν καί πενθοῦμεν,
ὥσπερ παιδίον νήπιον καθορῶν τήν μητέρα
καί μεμνημένον γάλακτος γλυκασμοῦ κλαυθμυρίζει,
ἕως ἐκείνου δράξηται καί εἰς κόρον θηλάσῃ.
Τοῦτο αἰτούμεθα καί νῦν, τοῦτό σε δυσωποῦμεν,
τοῦτο προσπίπτομεν λαβεῖν ἀναφαίρετον, Σῶτερ,
ὅπως καί νῦν τρεφώμεθα, πανοικτίρμον, ἐκ τούτου
τοῦ ἄρτου τοῦ ἐξ οὐρανοῦ νοητῶς κατιόντος
καί πᾶσι τοῖς μετέχουσι ζωῆς μεταδιδόντος,
καί ἀπιόντος, καί πρός σέ τήν πορείαν ποιοῦντες
συνοδοιπόρον ἕξωμεν, βοηθόν τε καί ῥύστην
καί σύν αὐτῷ καί δι’ αὐτοῦ προσαχθῶμέν σοι, Σῶτερ,
καί ἐν τῇ κρίσει τῇ φρικτῇ τάς ἡμῶν ἁμαρτίας
αὐτό σκεπάσῃ, Δέσποτα, τοῦ μή ἐκκαλυφθῆναι,
μηδέ φανῆναι ἅπασιν ἀγγέλοις καί ἀνθρώποις,
ἀλλά καί ἱμάτιον ἡμῖν γένηται λαμπροφόρον
καί δόξα καί διάδημα εἰς αἰῶνας αἰώνων,
ἀμήν.

## Ν'. Περί θεωρίας Θεοῦ καί θείων πραγμάτων καί Ἁγίου Πνεύματος παραδόξου ἐνεργείας· καί περί τῶν ἰδίων τῆς Ἁγίας καί ὁμοουσίου Τριάδος· καί ὅτι ὁ μή φθάσας εἰσελθεῖν εἰς τήν βασιλείαν τῶν οὐρανῶν οὐδέν ὠφεληθήσεται, κἄν ἐκτός γένηται τῶν τοῦ ᾅδυο κολάσεων.

Τί τό ἐν ἐμοί παρά σοῦ εἰργασμένον,
ὦ τῶν πάντων αἴτιε Θεέ καί μέδον;
Τί γάρ καί εἴπω, τί δ' ἄρα ἐννοήσω;
Μέγα μέν ἐμοί τό ὁρώμενον θαῦμα,
ἄγνωστον δ' ἐστί καίἀόρατον πᾶσι.
Ποῖον τοῦτο, λέξον μοι; Πιστῶς ἐξείπω·
σκότει καί σκιᾷ, αἰσθητοῖς καί αἰσθήσει,
κτίσει ἐνύλῳ, αἵματι καί σαρκί τε
κρατοῦμαι, συμπέρφυρμαι, Σῶτερ, ὁ τάλας.
Ἐν τούτοις δ' ὄντα δυστυχῶς καί ἀθλίως
ἔκπληξις συνέχει με θέλοντα φράσαι·
βλέπω νοερῶς· ποῦ, τί ἤ πῶς, οὐκ οἶδα.
Τό γάρ πῶς ἀνέκφραστόν ἐστιν εἰς ἅπαν,
τό δέ ποῦ γνωστόν καί ἄγνωστον δοκεῖ μοι·
γνωστόν μέν, ὅτι ἐν ἐμοί καθορᾶται
καί μακρόθεν δείκνυται αὐτό γε πάλιν,
ἄγνωστον δ' ὅμως ὡς κἀμέ συναπάγον
ἐν τῷ μηδαμοῦ μηδαμῶς ὅλως τόπῳ
καί τῶν αἰσθητῶν λήθην μοι ἐμπαρέχον
καί τῶν ὑλικῶν πάντων καί βλεπομένων
ἔξω με γυμνόν καί σώματος ἐξάγον.
Τί οὖν ἐστι τό ἐνργοῦν μοι ταῦτα,
ὅπερ καί βλέπειν εἶπον; Εἰπεῖν οὐκ ἔχω.
Ὅμως ἄκουε καί συνήσεις τό πρᾶγμα·
ἔστιν οὖν ἀκράτητον τοῖς πᾶσι πάντῃ,
ἔστι καί ληπτόν καί μεθεκτόν ἀξίοις,
μεταδοτικόν, συνημμένον ἀλήπτως,
ἥνωμένον τε καθαροῖς ἀσυγχύτως,
ἀνακεκραμμένον τε ἀμίκτῳ μίξει
ὅλον ὅλοις γε τοῖς ἀμέμπτως βιοῦσι.

Τοῦτο ἐν ἐμοί δίκην λαμπάδος φαίνει,
μᾶλλον δέ πρῶτον εἰς οὐρανούς ὁρᾶται
καί τῶν οὐρανῶν ἀμέτρως ὑπεράνω,
ἀμυδρῶς πάνυ ἀοράτως ὁρᾶται.
Ὅτε δέ ἐγώ ἐμπόνως ἐκζητήσω
καί ἐπιμόνως αἰτήσομαι τοῦ λάμψαι,
ἤ τρανότερον ἐκεῖσε καθορᾶται
κάμέ τῶν κάτω χωρίζει καί συνάπτει
τῇ ἐκείνου λαμπρότητι ἀρρήτως,
ἤ ἐντός μου δείκνυται ἀθρόον ὅλον,
φῶς σφαιροειδές, γαληνόν τε καί θεῖον,
ἄμορφον, ἀνείδεον μορφῇ ἀμόρφῳ,
ὁρώμενόν τε καί λαλοῦν πρός με ταῦτα·
Τίς εἰς οὐρανούς εἶναί με περιγράφεις
κἀκεῖ τε ζητεῖς καί κατοικεῖν νομίζεις;
Τί με ἐπί γῆς εἶναι ὑπολαμβάνεις
καί μετά πάντων συνεῖναι διαγγέλλεις
καί πανταχοῦ με νομοθετεῖς ὑπάρχειν;
Τό οὖν πανταχοῦ μέγεθός μοι προσάπτει,
ἀμέγεθες δέ τό παράπαν ὑπάρχω·
ὑπερμεγέθη γνῶθι γάρ μου τήν φύσιν.
Τό δ’ ἐπί τῆς γῆς περιγραφήν ἐμφαίνει,
πάντως δ’ ἀπερίγραπτος καθάπαξ πέλω.
Τό δέ λέγειν σε συνεῖναί με τοῖς πᾶσιν,
ἄγνοιαν σαυτοῦ δήλην ποιεῖς τοῖς πᾶσι·
συνεῖναι γάρ με τοῖς ἁγίοις ἀκούεις
αὐτόν ὅλον με οὐσίᾳ ἐν αἰσθήσει,
θεωρίᾳ τε, ἀλλά καί μετουσίᾳ,
σύν τῷ Πατρί μου καί Πνεύματι τῷ Θείῳ,
καί ἐπαναπαύεσθαι σαφῶς ἐν τούτοις.
Εἰ οὖν καθ’ ἕνα εἴπῃς ἡμᾶς συνεῖναι,
πολλούς ποιήσεις εἰς πολλούς μερισθέντας·
εἰ ἕνα φράσῃς, πῶς ὁ εἷς καί καθ’ ἕνα,
μᾶλλον δέ ὁ εἷς πῶς καί ἄνω καί κάτω,
μετά δέ πάντων πῶς ὁ αὐτός συνέσται;
Τό πᾶν ὁ πληρῶν πῶς ἐν ἑνί οἰκήσει,
ὁ ὤν ἐν ἑνί πῶς καί τό πᾶν πληρώσει;
Ἄκουε μυστήρια Θεοῦ ἀφράστου,
ἄφραστα, παράδοξα καί πάντῃ ξένα·
ἔστι μέν Θεός ἀληθῶς, ὄντως ἔστι,
τοῦτο εὐσεβεῖς πάντες ὁμολογοῦσιν,

οὐδέν δέ ἐστιν, ὧν ἡμεῖς ὅλως ἴσμεν,
ἀλλ’ οὐδ’ ἐξ ὧν ἄγγελοι ἴσασιν ἔστι,
κἀν τούτῳ οὐδέν ὁ Θεός ἐστι, λέγω,
τῶν παντων οὐδέν ὡς τῶν ἁπάντων κτίστης,
ἀλλ’ ὑπέρ τό πᾶν. Τίς γάρ ἄν εἴποι
τί ἐστι Θεός, ἵνα καί Ἔστιν, εἴπῃ,
τόδε τυχόν ἤ τόδε; Ἀγνοῶ ὅλως
ὁποῖος, ὁπόσος, ποταπός ἤ πηλίκος·
ὁ οὖν ἀγνοῶν ἐγώ Θεόν, ὁποῖος
μορφήν, εἶδός τε, τό μέγεθος, τό κάλλος,
πῶς ἑρμηνεύσω τάς αὐτοῦ ἐνεργείας,
πῶς μέν ὁρᾶται ἀόρατος ὤν πᾶσι,
πῶς δέ σύνεστι τῇ κτιστῇ πάσῃ φύσει,
πῶς ἐγκατοικεῖ ἐν πᾶσι τοῖς ἁγίοις,
πῶς πληροῖ τό πᾶν καί οὐδαμοῦ πληροῦται,
πῶς ὑπέρ τό πᾶν καί πανταχοῦ ὑπάρχει,
ταῦτα γάρ οὐδείς ὅλως εἰπεῖν ἰσχύσει.
Ἀλλ’, ὦ ἀνθρώπων ὅν οὐδείς ὅλως εἶδεν,
ὦ παμβασιλεῦ, ὑπερεύσπλαγχνε μόνε,
εὐχαριστῶ σοι ἐξ ὅλης μου καρδίας,
ὅτι οὐ παρεῖδές με ἐν σκότει κάτω
κείμενον, ἀλλ’ ἥψω μου χειρί σου θείᾳ,
ἥν ἰδών ἐγώ ἀνέστην εὐθύς χαίρων·
ἔλαμπε καί γάρ φαιδρότερον ἡλίου.
Ἔσπευσα κρατῆσαί γε ταύτην, ὁ τάλας,
καί ἠφαντώθη εὐθύς ἐξ ὀφθαλμῶν μου,
καί πάλιν ὅλος ἐγενόμην ἐν σκότει.
Ἔπεσα πρός τοὔδαφος πενθῶν καί κλαίων,
κυλινδούμενος καί στενάζων ἐμπόνως,
ποθῶν ἰδεῖν σου πάλιν τήν θείαν χεῖρα.
Ἥπλωσας αὐτήν, ὤφθη μοι τρανοτέρως
καί περιπλακείς κατεφίλησα ταύτην·
ὤ χρηστότητος καί πολλῆς εὐσπλαγχνίας!
Χεῖρα δέδωκεν ἀσπάσαθαι ὁ κτίστης
τήν συνέχουσαν τά σύμπαντα τῷ σθένει·
ὤ χαρίσματος, ὤ δωρεᾶς ἀφράστου!
Πάλιν τε ταύτην συνέστειλεν ὁ πλάστης
πάντως δοκιμάζων μου τήν προθυμίαν,
εἰ ποθῶ ταύτην καί τόν ταύτης δοτῆρα,
εἰ καταφρονῶ πάντων καί προτιμῶμαι
ταύτην καί μένω ἐν τῇ ταύτης ἀγάπῃ.

Ἔλιπον εὐθύς κόσμον καί τά τοῦ κόσμου,
ἔμυσα πάσας ὁμοῦ καί τάς αἰσθήσεις,
ὀφθαλμούς, ὦτα, ῥῖνα, στόμα καί χείλη,
πᾶσιν ἔθανον συγγενέσι καί φίλοις,
ναί, ὡς ἀληθῶς ἔθανον τῇ θελήσει,
καί μόνην ἐζήτησα Θεοῦ τήν χεῖρα·
ἰδοῦσα δ' αὕτη οὕτως ποιοήσαντά με,
ἥψατο λάθρα, χειρός ἐκράτησέ μου
καί ὡδήγει με μέσον τοῦ σκότους ὄντα.
Ἠσθανόμην οὖν καί χαίρων ἠκολούθουν,
ἔτρεχον σφοδρῶς ἐν νυκτί καί ἡμέρᾳ,
εὐτόνως ἐβάδιζον σύν προθυμίᾳ,
βαδίζων δ' αὖθις ἀκίνητος ὑπῆρχον
καί τότε μᾶλλον προέκοπτον τοῖς πρόσω,
ὤ μυστηρίων, ὤ ἄθλων, ὤ βραβείων!
Οὕτω τρέχοντα τοῦ σταδίου ἐν μέσῳ
πέφθακεν ἡ χείρ ἀπορρήτως ἐκείνη,
τοῦ ἐμοῦ πρεσβεύσαντος πατρός ἁγίου,
καί τῆς ταλαίνης ἥψατο κεφαλῆς μου
καί δέδωκέ μοι τόν στέφανον τῆς νίκης,
αὕτη δέ μᾶλλον στέφανος γέγονέ μοι,
καί ταύτην  βλέπων ἄφραστον εὐφροσύνην,
ἄφραστον χαράν, ἄφραστον θυμηδίαν
εἶχον - πῶς γάρ οὖ; - κόσμον ὅλον νικήσας
καί τόν τοῦ κόσμου ἄρχοντα καταισχύνας
ἀπό χειρός τε τοῦ Θεοῦ στέφος θεῖον,
μᾶλλον δέ αὐτήν τοῦ τῶν ὅλων Δεσπότου
λαβών - θαῦμα! - ἀντί στεφάνου χεῖρα,
ἥ ἐκλάμπουσα ἑωρᾶτο ἀΰλως,
ἀδιαλείπτως ἐμοί καί ἀνεσπέρως.
Αὕτη μοι μαζός προετείνετο ὥσπερ
καί θηλάζειν μοι γάλακτος ἀφθαρσίας
ὡς υἱῷ Θεοῦ πλουσίως ἐχορήγει,
ὤ γλυκύτητος, ὤ ἡδονῆς ἀφράστου!
Αὕτη καί ποτήριον πόματος θείου
καί ἀθανάτου ῥείθρου ἐγένετό μοι.
Ἐξ οὗ μετασχών καί τροφῆς ἐνεπλήσθην
τῆς οὐρανίου, ἥνπερ ἄγγελοι μόνοι
τρέφονται καί ἄφθαρτοι διατηροῦνται,
φῶτα τοῦ πρώτου δεύτερα τῇ μεθέξει.
Οὕτω καί ἡμεῖς θείας καί ἀπορρήτου

φύσεως γεγόναμεν κοινωνοί πάντες,
τέκνα τοῦ Πατρός, ἀδελφοί τοῦ Χριστοῦ δέ,
Πνεύματι βαπτισθέντες τῷ Παναγίῳ·
πάντως δ᾽ οὐ πάντες ἐπέγνωμεν τήν χάριν,
οὐ τήν ἔλλαμψιν, οὐ μέθεξιν, οὐδ᾽ ὅτι
οὕτως ἐγεννήθημεν, μόλις δέ τοῦτο
τῶν χιλίων εἷς εἴτε καί τῶν μυρίων
ἐν τῇ μυστικῇ ἐπέγνω θεωρίᾳ.
Οἱ δ᾽ ἄλλοι πάντες ἀμβλωθρίδια τέκνα
τόν γεννήσαντα ἑαυτούς ἀγνοῦντες·
ὡς γάρ οἱ νεκροί ὕδατι βαπτισθέντες
εἴτε καί πυρί οὐκ αἰσθάνονται ὅλως,
οὕτως οὐδ᾽ οὗτοι νεκροί τῇ ἀπιστίᾳ
καί τῶν ἐντολῶν πέλοντες τῇ ἀργίᾳ
ἐλλιπεῖς οὐκ ἴσασιν, ὡς πεπόνθασι
τέρας φοβερόν, πίστιν πεπλανημένην,
δοκεῖν ἑαυτόν υἱόν τοῦ Θεοῦ εἶναι
καί μή γνωρίζειν τόν ἴδιον πατέρα.
Εἰ οὖν πίστει τοῦτον σύν γνωρίζειν λέγεις
καί πίστει υἱός Θεοῦ εἶναι νομίζεις,
ἔστω καί ἡ σάρκωσις τοῦ Θεοῦ πίστει,
καί μή ἔργῳ φῇς ἄνθρωπον γεγονέναι
μηδέ αἰσθητῶς αὐτόν ἀποτεχθῆναι.
Εἰ δέ γέγονεν υἱός ὄντως ἀνθρώπου,
υἱόν σε ποιεῖ τοῦ Θεοῦ πάντως ἔργῳ·
εἰ οὐ γέγονεν ἐν φαντασίᾳ σῶμα,
οὐδ᾽ ἡμεῖς πάντως ἐν ἐπινοίᾳ πνεῦμα,
ἀλλ᾽ ὡς ὑπῆρξε σάρξ ἀληθῶς ὁ Λόγος,
οὕτω καί ἡμᾶς μεταμορφοῖ ἀρρήτως
καί τέκνα ποιεῖ Θεοῦ ἐν ἀληθείᾳ.
Ἄτρεπτος θεότητι μείνας ὁ Λόγος
ἄνθρωπος ἐγένετο σαρκός προσλήψει,
ἄτρεπτον τόν ἄνθρωπον σαρκί ψυχῇ τε
τηρήσας πεποίηκεν θεόν με ὅλον,
προσέλαβέ μου τήν κατάκριτον σάρκα
καί θεότητα ὅλην ἐνέδυσέ με,
καί γάρ βαπτισθείς Χριστόν ἐνεδυσάμην
οὐχι αἰσθητῶς, νοητῶς δέ γε πάντως.
Καί πῶς οὐ θεός χάριτί τε καί θέσει,
αἰσθήσει καί γνώσει γε καί θεωρίᾳ,
ὁ τόν τοῦ Θεοῦ Υἱόν ἐνδεδυμένος;

Εἰ ἀγνοίᾳ γέγονεν ὁ Θεός Λόγος
ἄνθρωπος, κἀμέ ἐν ἀγνοίᾳ γενέσθαι
θεόν ὡς εἰκός ὑπονοεῖσθαι πρέπον.
Εἰ δ' ἐν γνώσει, πράξει τε καί θεωρίᾳ
θεός ἄνθρωπος ἐχρημάτισεν ὅλος,
ὅλον με θεόν τῇ Θεοῦ κοοινωνίᾳ
ἐν αἰσθήσει καί γνώσει, οὐχί οὐσίᾳ, μετουσίᾳ δέ
γενέσθαι πάντως χρή φρονεῖν ὀρθοδόξως.
Ὥσπερ ἐγεννήθη γάρ Θεός ἀτρέπτως
ἄνθρωπος ἐν σώματι καί πᾶσιν ὤφθη,
οὕτως ἀφράστως, πνευματικῶς γεννᾷ με
καί ἄνθρωπον μένοντα θεόν ποιεῖ με·
καί ὥσπερ ὁρώμενος σαρκί ἐκεῖνος
τό Θεός εἶναι ἠγνοεῖτο τοῖς ὄχλοις,
οὕτω καί ἡμεῖς, οἷον ἦμεν, τοῖς πᾶσιν
- θαῦμα! - βλεπόμενοι ἄνθρωποι πάντως
τό, ὅπερ γεγόναμεν χάριτι θείᾳ,
οὐ πεφύκαμεν τοῖς πολλοῖς καθορᾶσθαι.
Μόνοις δ' οἷς ὄμμα ψυχῆς κεκαθαρμένον
πρόσεστι, φαινόμεθα ὡς ἐν διόπτρᾳ,
τοῖς δ' ἀκαθάρτοις ὁ Θεός, οὐδ' ἡμεῖς γε
οὔθ' ὁρώμεθα οὔθ' ὅλως γεγενῆσθαι
τοιοῦτοί ποτε πιστεύομαθα πάντως.
Ἄπιστοι καί γάρ τῇ πίστει καί μόνῃ
προσεπερειδόμενοι χωρίς τῶν ἔργων·
εἰ δ' οὐκ ἄπιστοι, τέως νεκροί εἰς ἅπαν,
ὥσπερ ὁ θεῖος ἀπεφήνατο Παῦλος.
Μή ἀπιστήσῃς, ἐμοί δέ λέγε καί σοφῶς ἀποκρίνου.
Ποῖον ἐκ τούτων προτιμήσεις τῶν δύο·
νεκράν γε πίστιν ἔργων ἐστερημένην
ἤ ἀπιστίαν τῆς πίστεως ἐν ἔργοις;
Πάντως ἐρεῖς μοι· Τίς τῶν ἔργων ἡ χάρις
πίστεως δίχα τῆς ὀρθῆς καί τελείας;
Κἀγω σοι πάλιν ἀντιφθέγξομαι· Τί δέ
ὄφελος τῆς πίστεως τῶν ἔργων δίχα;
Εἰ οὖν τά, ἅπερ προειρήκαμεν, γνῶναι
βούλει τε θεός κατά χάριν γενέσθαι,
οὐ λόγῳ, οὐ δοκήσει, οὐκ ἐπινοίᾳ,
οὐ μόνῃ πίστει ἐστερημένῃ ἔργου,
ἀλλά πείρᾳ, πράγματι καί θεωρίᾳ
νοερᾷ καί γνώσει τε μυστικωτάτῃ,

πρᾶξον ἅτινα ὁ Σωτήρ σοι προστάττει
- κἀκεῖνος ταῦτα διά σέ καθυπέστη-,
καί τότε ἴδοις φῶς λαμπρότατον φάναν,
ἀέρι ψυχῆς πάμπαν λελευκασμένῳ,
ἀΰλως τήν ἄϋλον σαφῶς οὐσίαν
ὅλην δι᾽ ὅλου ὄντως διϊκνουμένην,
ἐκ ταύτης δ᾽ ὅλον ὡς ἐν ὅλῳ τό σῶμα
οὔσης καί αὐτῆς  ψυχῆς τῆς ἀσωμάτου,
καί λάμψει τό σῶμά σου ὡς ἡ ψυχή σου,
ἡ ψυχή δ᾽ αὖθις ὡς ἡ λάμψασα χάρις
ἔσεται ἀστράπτουσα, Θεός καθάπερ.
Εἰ δ᾽ ἀποκνήσεις μιμήσασθαι τοῦ κτίστου
τήν ταπείνωσιν, τά πάθη καί τάς ὕβρεις
καί ὑποστῆναι ταῦτα οὐ καταδέξῃ,
εἴτε νοερῶς, αἰσθητῶς δέ γε μᾶλλον,
ἐναπελείφθης - ὤ τῆς ἀβελτηρίας! -
ἐν ζόφῳ καί ταρτάρῳ τοῦ σοῦ σαρκίου,
ὅ φθορά ἐστι - τί γάρ ὑπάρχει ἄλλο,
εἰ μή θάνατος ἐν ἀθανάτῳ σκεύει; -
ἐγκεκλεισμένος μενοῦνγε εἰς αἰῶνας,
πάντων ἀγαθῶν τῶν ἐν φωτί κἀυτοῦ δέ
τοῦ φωτός στερισκόμενος. Οὔπω γάρ λέγω
τό γε καί πυρί βρυγμῷ τῶν ὀδόντων,
κλαυθμῷ τε καί σκώληκι παραδοθῆναι,
ἀλλ᾽ ὡς ἐν πίθῳ τῷ σώματι οἰκῆσαι
μετά τήν ἀνάστασιν, ὡς καί πρό τούτου,
καί μηδαμόθεν ἔξωθεν ἀποβλέπειν
μηδέ φῶς ἐντός εἰσδέχεσθαι παράπαν,
ἀλλ᾽ οὕτω κεῖσθαι τῶν ἐνταῦθα ἡδέων
πάντων στερισκόμενον καί τῶν μελλόντων,
καθώς προεῖπον. Λέγε οὖν ὁ ἀκούων,
ὁ λέγων· Οὐ βούλομαι τῆς βασιλείας
τῆς ἀκηράτου ἔνδον γενέσθαι
οὐδ᾽ ἀπολαύειν τῶν ἀγαθῶν ἐκείνων,
ἀλλ᾽ἔξω μόνον τῆς κολάσεως εἶναι
καί πεῖραν πυρός μή λαβεῖν με κἄν ὅλως.
Τί σοι ὄφελος γενομένῳ, ὡς εἶπον;
Ἀπόκρινέ μοι, σοφώτατε, καί λέγε!
Ἆρα λογίσῃ τιμωρίαν ἑτέραν
εἶναι μείζονα ἤ γενέσθαι ὅλως;
Ἄπαγε, καί γάρ ὡς μόνος ἐν βασάνοις

τότε καί εἶναι καί κολάζεσθαι φήσεις.
Εἰ γάρ καί εἴποις πνευματικόν τό σῶμα
τότε ἀπολήψεσθαι, καί πῶς ὡς πίθῳ
ἐναποκλεισθήσεται ψυχή ἐν τούτῳ;
Ἄκουσον, διδάχθητι, πῶς ἔσται τοῦτο!
Ὥσπερ ὁ σπόρος σπείρεται κατά γένος
- σίτου σοι λέγω καί κριθῆς καί τῶν ἄλλων -
καί κατά γένος αὖθις ἀναβλαστάνει,
οὕτω καί τά σώματα τῶν γε θνῃσκόντων
πίπτουσιν εἰς γῆν, οἷα τύχωσιν εἶναι.
Αἱ οὖν ἐξ αὐτῶν ψυχαί διαζευχθεῖσαι
ἐν τῇ μελλούσῃ τῶν νεκρῶν ἀναστάσει,
τούτων ἑκάστη κατ' ἀξίαν εὑρίσκει
τό κατάλυμα φωτός ἤ σκότους πλῆρες.
Αἱ μέν καθαραί καί φωτός μετασχοῦσαι
καί ἀνάψασαι τάς ἑαυτῶν λαμπάδας
ἔσονται πάντως ἐν φωτί ἀνεσπέρῳ·
αἱ δ' ἀκάθαρτοι καί τυφλά τῆς καρδίας
ἔχουσαι τά ὄμματα καί σκότους πλήρεις,
πῶς ἄρα θεάσονται φέγγος τό θεῖον;
Εἴπῃς οὐδαμῶς· τούτων οὖν, εἰπέ μοι,
τίς δεομένων μετά πότμον ἀκούσει
καί διανοίξει ὀφθαλμούς τούτων, οἴμοι,
τῶν ἑκουσίως βλέψαι μή βουληθέντων
μηδέ ἀνάψαι τήν ψυχικήν λαμπάδα;
Σκότος οὖν ἐκδέξεται ἀφεγγές τούτους.
Τά σώματα δέ, ὡς εἴπομεν, ἐπίσης
φθείρονται καί σήπονται καί τῶν ἁγίων,
ἀλλ' ἐγείρονται, οἷα ταῦτα ἐσπάρη,
σῖτος καθαρός, σῖτος ἡγιασμένος,
τοῦ Ἁγίου Πνεύμτος ἅγια σκεύη·
ὡς ὑπάρξαντα καθαρώτατα πάνυ
ἐξεγείρονται αὖθις δεδοξασμένα,
λάμποντα, ἀστράπτοντα, ὡς φῶς τό θεῖον.
Τούτοις ἐνοικήσασαι ψυχαί ἁγίων
ὑπέρ γε τόν ἥλιον λάμψουσι τότε
καί γενήσονται ὅμοιοι τοῦ Δεσπότου,
οὗτινος ἐτήρησαν τούς θείους νόμους.
Τῶν δ' ἁμαρτωλῶν ἐξανίστανται αὖθις,
οἷα καί αὐτά ἐν τῇ γῇ κατεσπάρη
βορβορώδη, δύσοσμα, σαπρίας πλήρη,

σκεύη βέβηλα, ζιζάνια κακίας,
πάνυ ζοφώδη ὡς τά τοῦ σκότους ἔργα
πράξαντα καί ὄργανα κακῶν παντοίων
χρηματίσαντα τοῦ πονηροῦ σπορέως·
ἐξανίστανται δ’ ἀθάνατα καί ταῦτα
καί πνευματικά, πλήν ἐοικότα σκότει.
Τούτοις οὖν ψυχαί ἄθλιαι ἑνωθεῖσαι,
ζοφώδεις αὗται καί ἀκάθαρτοι οὖσαι,
ὅμοιοι γενήσονται τῷ διαβόλῳ
ὡς τά ἐκείνου μιμησάμεναι ἔργα
καί τάς ἐκείνου τηρήσασαι προστάξεις,
μεθ’ οὗ καί ταχθήσονται πυρί ἀσβέστῳ,
τῷ σκότει καί ταρτάρῳ παραπεμφθεῖσαι,
μᾶλλον δέ αὗται κατά ἀναλογίαν
καταχθήσονται τοῦ βάρους, κατ’ ἀξίαν
τῶν ἁμαρτιῶν, ὧν ἕκαστος βαστάζει
κἀκεῖ διάξει εἰς αἰῶνας αἰώνων.
Οἱ δέ ἅγιοι, ὥσπερ εἴπομεν, πάλιν
τῶν ἀρετῶν ἕκαστος πτεροῖς ἀρθέντες
εἰς ἀπάντησιν καί οὗτοι τοῦ Δεσπότου
ἀναβήσονται, ἕκαστος κατ’ἀξίαν·
ὡς ἑαυτόν τις προευτρέπισε πάντως
ἐγγύθεν ἤ πόρρωθεν ἔσται τοῦ κτίστου,
συνέσται τ’ αὐτῷ εἰς ἀπείρους αἰῶνας
σκιρτῶν καί τερπόμενος ἄληκτον τέρψιν,
ἀμήν.

## ΝΑ'. Ὅτι τοῦ Πνεύματος λάμποντος ἐν ἡμῖν τοῦ Ἁγίου πάντα τά τῶν παθῶν φυγαδεύονται ὡς ὑπό τοῦ φωτός τό σκότος· συστέλλοντος δέ αὐτοῦ τάς ἀκτῖνας, ὑπό τούτων καί τῶν πονηρῶν βαλλόμεθα λογισμῶν.

Τό φῶς σου περιλάμπον με ζωογονεῖ, Χριστέ μου,
τό γάρ ὁρᾶν σε ζώωσις, ἀνάστασίς τε πέλει.
Τό πῶς εἰπεῖν οὐκ ἔχω σου φωτός τάς ἐνεργείας,
πλήν τοῦτο ἔργῳ ἔγνωκα καί γινώσκω, Θεέ μου,
ὅτι κἄν νόσῳ, Δέσποτα, κἄν θλίψεσι κἄν λύπαις
κἄν ἐν δεσμοῖς κάν ἐν λιμῷ κἄν φυλακῇ κρατῶμαι,
κἄν δεινοτέροις ἀλγεινοῖς συνέχωμαι, Χριστέ μου,
τό φῶς σου λάμψαν ἅπαντα ὡς σκότος ἀπελαύνει,
καί ἐν ἀνέσει καί φωτί καί φωτός ἀπολαύσει
αἴφνης ποιεῖ με γίνεσθαι τό Πνεῦμά σου τό Θεῖον.
Τάς θλίψεις ἔγνων ὡς καπνόν, τούς λογισμούς ὡς σκότος,
ὡς βέλη τε τούς πειρασμούς, τάς μερίμνας ὡς ζόφον,
ὡς δέ θηρία τά πάθη χρηματίζοντα, Λόγε,
ἐξ ὧν με ἠλευθέρωσας, ἐξ ὧν ἐρρύσω πάλαι,
κατά μικρόν ἐκλάμψας σου φῶς ἐν ἐμοί τό θεῖον,
καί νῦν ἐν μέσῳ τούτων ὄντα με, Χριστέ, Θεέ μου,
διαφυλάττεις ἄτρωτον, σκέπων με τῷ φωτί σου.
Ἐπεί δέ πταίω πάμπολλα, καθ᾽ ὥραν ἁμαρτάνων,
ἐπεί δέ κατεπαίρομαι, ἐπεί σε παροργίζω,
δέομαι τῆς εὐσπλάγχνου σου παιδεύσεως, Χριστέ μου,
ἥν καί σφοδρῶς αἰσθάνομαι ἐν ἐμοί γενομένην
τοῦ ἀπροσίτου, Δέσποτα, καί παμφαοῦς καί θείου
ὑποχωρήσει ἀπ᾽ ἐμοῦ φωτός τοῦ σκέποντός με.
Ὡς γάρ ἡλίου δύναντος νύξ γίνεται καί σκότος
καί ἐξίασιν ἅπαντα πρός βρῶσιν τά θηρία,
οὕτως ἀποσκεπάζον με, ὦ Θεέ μου, τό φῶς σου,
εὐθύς τοῦ βίου σκότος με, θάλασσα λογισμῶν τε
περικαλύπτει καί παθῶν θηρία κατεσθίει,
καί βέλεσι τιτρώσκομαι τῶν λογισμῶν ἁπάντων.
Ἐπάν δέ πάλιν σπλαγχνισθῇς, ἐπάν κατελεήσῃς,
ἐπάν ἀπακροάσῃ τε τῶν γοερῶν μου θρήνων
καί στεναγμούς ἐνωτισθῇς καί δάκρυα προσδέξῃ
καί ἐπί τήν ταπείνωσιν ἐπιβλέψαι θελήσῃς

ἐμοῦ τοῦ ἁμαρτήσαντος ἀσύγγνωστα, Χριστέ μου,
ἀπό μακρόθεν ὡς ἀστήρ ἀνατέλλων ὁρᾶσαι,
πλατύνεσαι κατά μικρόν οὐκ αὐτός τοῦτο πάσχων
ἀλλά τόν νοῦν τοῦ δούλου σου διανοίγων τοῦ βλέπειν.
Μειζόνως ὥσπερ ἥλιος κατ' ὀλίγον ὁρᾶσαι,
καί γάρ τοῦ σκότους φεύγοντος καί ἀφανιζομένου
ἔρχεσθαί σε λογίζομαι, τόν πανταχοῦ παρόντα·
ὅτε δέ ὅλον, ὡς τό πρίν, περικυκλώσῃς, Σῶτερ,
ὅτε ὅλον σκεπάσῃς με, ὅλον με περιλάβῃς,
ἐλευθεροῦμαι τῶν κακῶν, λυτροῦμαι καί τοῦ σκότους
καί πειρασμῶν καί τῶν παθῶν καί λογισμῶν ἁπάντων,
πληροῦμαι γάρ χρηστότητος, πληροῦμαι εὐφροσύνης
καί καταπίμπλαμαι χαρᾶς, ἀφάτου θυμηδίας,
ὁρῶν φρικτά μυστήρια, ὁρῶν θαύματα ξένα,
ὁρῶν ἅ οὐ τεθέαται ὀφθαλμός οὐδέ βλέψαι
ἀνθρώπου ἐξισχύσειεν, ἀλλ' οὐδέ οὖς ἀκοῦσαι,
ἐπί καρδίαν δέ βροτῶν οὐκ ἀνέβη οὐδ' ὅλως,
καί καταπλήττομαι σφοδρῶς, ἐξίσταμαι ἐν τούτοις
καί πάντων τῶν ἐπί τῆς γῆς ὅλως ἀλλοτριοῦμαι
ἀκαταπαύστοις ἐν φωναῖς ἀνυμνῶν σε, Θεέ μου,
κατανοῶν ἐν ἐμαυτῷ ἀλλοίωσιν τήν ξένην
καί τρόπον ἀντιλήψεως χειρός παντοδυνάμου,
πῶς λάμψει μόνου σου φωτός καί τῇ ἐπιφανείᾳ
πᾶσαν λύπην ἐδίωξας, ἐξήρπασας τοῦ κόσμου
καί ἑνωθείς μοι μυστικῶς εἰς οὐρανόν εὐθύς με
ἀποκατέστησας ἐκεῖ, ἔνθα οὐκ ἔστι λύπη,
οὐ στεναγμός, οὐ δάκρυον, οὐκ ὄφις δάκνων πτέρναν,
καί ἔδειξας ἀκάματον, ἀταλαίπωρον τρίβον
τήν ἐναντίαν, τήν στενήν, τήν δύσβατον ἀνθρώποις
ἤ, ἀληθέστερον εἰπεῖν, ἄβατον πᾶσιν οὖσαν.
Τίς γάρ ποτε ἐξίσχυσεν ἤ τίς ποτε ἰσχύσει
ἀνθρώπων εἰς τόν οὐρανόν ἐν σώματι γενέσθαι
ἤ καί χωρίς τοῦ σώματος, ποίοις πτεροῖς πετάσας;
Ἠλίας ἅρματι πυρός ἐπήρθη καί πρό τούτου
Ἐνώχ, ἀλλ' οὐκ εἰς οὐρανούς, ἐν ἑτέρῳ δέ τόπῳ,
οὐχί αὐτός ἀφ' ἑαυτοῦ, πλήν ὅμως μετετέθη.
Τί δέ πρός τά γινόμενα ἐν ἡμῖν εἰσί ταῦτα;
Πῶς ὅλως ἔσται σύγκρισις σκιᾶς καί ἀληθείας,
ἤ πνεύματος λειτουργικοῦ καί δουλικοῦ, εἰπέ μοι,
πρός πνεῦμα τό δεσποτικόν καί παντουργόν καί θεῖον,
τό στερεοῦν καί δυναμοῦν πᾶσαν κτιστήν οὐσίαν;

Τά μέν γάρ ἄλλα ποίημα, ποιητής δ’ αὐτό μόνον,
ὡς τοῦ Πατρός ἀχώριστον καί τοῦ Υἱοῦ ὡσαύτως.
Θεός τά τρία, εἷς Θεός ἡ Τριάς καί γάρ ἔστιν·
αὕτη τό πᾶν οὐσίωσεν, ἔκτισεν αὕτη πάντα,
αὕτη τόν Λόγον καί Υἱόν τοῦ Πατρός ἐν τῷ κόσμῳ
κατά τήν σάρκα ἔκτισεν εἰς ἡμῶν σωτηρίαν,
ἀχώριστον τοῦ τε Πατρός καί τοῦ Πνεύματον ὄντα.
Σαρκοῦται δέ τοῦ Πνεύματος ὄντως τῇ ἐπελεύσει
καί γίνεται ὅπερ οὐκ ἦν, ἄνθρωπος ὅμοιός μοι,
πλήν ἁμαρτίας καί πάσης ἐκτός γε ἀνομίας,
Θεός ὁμοῦ καί ἄνθρωπος ὁρώμενος τοῖς πᾶσιν,
ἔχων τό Πνεῦμα τό Θεῖον αὐτοῦ συνόν τῇ φύσει,
μεθ’ οὗ νεκρούς ἐζώωσε, τυφλῶν ἤνοιξε κόρας,
λεπρούς τε ἐκαθάρισε δαίμονας ἀπελάσας.
Οὗτος σταυρόν ὑπενεγκών καί θάνατον ὡσαύτως
ἐξαναστάς ἐν Πνεύματι ἀνελήφθη ἐν δόξῃ
καί τρίβον τήν εἰς οὐρανούς ἐνεκαίνισε πᾶσι
τοῖς εἰς αὐτόν πιστεύουσιν ἐν ἀδιστάκτῳ πίστει,
καί Πνεῦμα τό Πανάγιον ἐξέχεε πλουσίως
εἰς πάντας τούς δεικνύοντας τήν πίστιν ἐκ τῶν ἔργων
καί νῦν ἀφθόνως τοῦτό γε ἐκχεῖ πρός τούς τοιούτους,
θεοποιεῖ τε δι’ αὐτοῦ, οἷς συναφθῇ ἀθρόον,
καί ἐξ ἀνθρώπων ἀλλοιοῖ τούτους ἀναλλοιώτως
καί τέκνα δείκνυσι Θεοῦ, ἀδελφούς τοῦ Σωτῆρος,
συγκληρονόμους μέν Χριστοῦ, Θεοῦ δέ κληρονόμους,
θεούς Θεῷ συνόντας γε Πνεύματι ἐν Ἁγίῳ,
δεσμίους μέν μόνῃ σαρκί, πνεύματι δ’ ἐλευθέρους,
συνανιόντας τῷ Χριστῷ εἰς οὐρανούς εὐκόλως,
ὅλον τε τό πολίτευμα κεκτημένους ἐκεῖσε
ἐν θεωρίᾳ τῶν καλῶν, ὧν ὀφθαλμοί οὐκ εἶδον.
Τί οὖν τό ἅρμα τοῦ πυρός, τό Ἠλίαν ἁρπάσαν,
τί ἡ Ἐνώχ μετάθεσις ὑπάρχουσι πρός ταῦτα;
Ἐγώ δοκῶ, ὡς θάλασσα τμηθεῖσα ῥάβδῳ πάλαι
καί μάννα ἐκ τοῦ οὐρανοῦ κατελθόν, τύπος μόνον
καί ἀληθείας σύμβολα ταῦτα πάντως ὑπῆρχον
- ἡ θάλασσα βαπτίσματος, τό μάννα τοῦ Σωτῆρος -,
οὕτω κἀκεῖνα σύμβολα τούτων εἰσί καί τύπος,
ἀσύγκριτον ὑπεροχήν κεκτημένων καί δόξαν,
ὅσον κτιστοῦ τό ἄκτιστον ὑπερέχει τῇ φύσει.
Τό μάννα γάρ, ὅ λέγεται ἄρτος, τροφή ἀγγέλων,
ὅ ἔφαγον οἱ ἄνθρωποι ἐν τῇ ἐρήμῳ τότε,

ἐξέλιπεν, ἀπώλετο, ἀπέθανόν τε πάντες
καί ὅσοι τοῦτο ἔφαγον· ζωῆς γάρ οὐ μετεῖχεν.
Ἡ σάρξ δέ τοῦ Δεσπότου μου τεθεωμένη οὖσα,
ζωῆς μεστή τε πέλουσα πάντας ζωῆς μετόχους
τούς τρώγοντας ἀποτελεῖ καί ποιεῖ ἀθανάτους·
διαβιβάζει τε αὐτούς οὐ πέλαγος θαλάσσης,
οὐδ' ἐξ Αἰγύπτου μεθιστῶν πρός ἄλλην γῆν μετάγει
φθαρτούς καρπούς προφέρουσαν καί αὖθις τοῖς ἀνθρώποις,
ἀλλ' οὐδέ τεσσαράκοντα ἐπί χρόνοις βαδίζειν
διακελεύεται ἡμᾶς ὁ λυτρωτής τοῦ κόσμου,
ἵνα καί καταλάβωμεν γῆν τῆς ἐπαγγελίας,
ἀλλ' ἀδιστάκτῳ πίστει γε βαπτισθέντας ἀθρόον,
αἵματός τε καί τῆς αὐτοῦ σαρκός μεταλαβόντας
ἀπό θανάτου εἰς ζωήν, εἰς φῶς τε ἀπό σκότους,
ἀπό τῆς γῆς εἰς οὐρανούς ἀναφέρει εὐθέως.
Πρότερον ἀπεκδύσας με φθορᾶς καί τοῦ θανάτου
καί ὅλον ἐλευθερώσας με ἐν αἰσθήσει καί γνώσει,
- τό δέ πάντων φρικτότερον! - οὐρανόν καινόν ἔδειξέ με
καί ἐν ἐμοί κατῴκησεν ὁ τῶν ἁπάντων κτίστης,
οὗπερ οὐδείς τῶν πρόπαλαι ἁγίων ἠξιώθη.
Ἐλάλει γάρ γό πρότερον διά Πνεύματος Θείου
καί ἐνεργείᾳ τῇ αὐτοῦ τά θαύματα ἐποίει,
οὐσιωδῶς δέ οὐδαμῶς νινι Θεός ἡνώθη
πρό τοῦ γενέσθαι ἄνθρωπον τόν Χριστόν καί Θεόν μου.
Λαβών γάρ σῶμα δέδωκεν αὐτοῦ Πνεῦμα τό Θεῖον,
οὐσιωδῶς ἑνοῦται δέ δι' αὐτοῦ πιστοῖς πᾶσι
καί γίνεται ἀχώριστος ἡ ἕνωσις ἡ τούτων.
Φεῦ μοι! - στενάζω γάρ πικρῶς τήν τῶν ἀνθρώπων πλάνην -
.
Πῶς οὐ πιστεύομεν Χριστῷ, πῶς οὐκ ἀκολουθοῦμεν,
πῶς οὐ ποθοῦμεν τήν ζωήν, πῶς τόν ἐκείνου πλοῦτον
τόν ἄσυλον, τόν ἄφθαρτον, τήν δόξαν τήν ἀγήρω
διαγωγῆς τῆς μετ' αὐτοῦ, πῶς οὐκ ἐπιθυμοῦμεν;
Πῶς τοῖς φθαρτοῖς προσκείμενοι νομίζομεν σωθῆναι,
οἱ μή φιλοῦντες τόν Χριστόν πλεῖον τῶν ὁρωμένων
μηδέ ἐλπίζοντες αὐτῷ συνεῖναι μετά πότμον;
Ἀλλά ἀναισθητότεροί εἰσι ξύλων τε καί τῶν λίθων.
Ἀλλ', ὦ Χριστέ μου, ῥῦσαί με τῆς τούτων ἀλογίας
καί σέ φιλεῖν ἐκδίδαξον, τήν ζωήν πιστῶν πάντων.
Σοί γάρ σύν τῷ Πατρί καί Πνεύματί σου Θείῳ
δόξα πρέπει καί αἴνεσις, τιμή προσκύνησίς τε

νῦν καί ἀεί ὡς βασιλεῖ εἰς αἰῶνας αἰώνων,
κα΄τῶν ἁπάντων ποιητῇ, Θεῷ τε καί Δεσπότῃ,
ἀμήν.

## ΝΒ'. Περί θεολογίας· καί ὅτι τῷ μή ἀλλοιωθέντι τῇ τοῦ Ἁγίου Πνεύματος μετουσίᾳ καί γεγονότι θέσει ἐν γνώσει Θεῷ διδάσκειν τά θεῖα τούς ἀνθρώπους οὐκ ἔξεστι.

Τίς μου παραμυθήσεται τόν πόνον τῆς καρδίας;
Πόνον δ᾽ εἰπών ἐδήλωσα τόν τοῦ Σωτῆρος πόθον,
ὁ πόθος δέ τοῦ Πνεύματος ἐνέργεια τυγχάνει,
μᾶλλον δ᾽ αὐτοῦ οὐσιωδῶς ἐστίν ἡ παρουσία,
ἐνυποστάτως ἐν ἐμοί φῶς ἐντός ὁρωμένη·
τό φῶς δ᾽ ἀσύγκριτόν ἐστιν, ὁλον ἄφθεγκτον πέλει.
Τίς με χωρίσει αἰσθητῶν, ὧν ἀπηλλάγην ἅπαξ
καί ἀπεκρύβην ἐξ αὐτῶν γεγονώς ἔξω κόσμου;
Τίς μοι δώσει γαλήνην γε καί ἡσυχίαν πάντων,
ἵνα τοῦ κάλλους κορεσθῶ καί τῆς ἐκείνου θέας,
οὗ τό ἀκατανόητον ἀναφλέγει τόν πόθον,
ὁπόσον δέ καταληπτόν, ἐνυπόστατος πόθος.
Ἀγάπη γάρ οὐκ ὄνομα, ἀλλά οὐσία θεία,
μεταληπτή καί ἄληπτος, θεϊκή δέ γε πάντως·
τό μεθεκτόν καταληπτόν, τούτου τό πλεῖον οὔπω.
Διά τοῦτο οὖν εἶπόν σοι καταληπτόν τόν πόθον
καί ἐνυπόστατον αὐτόν ὡς μεθεκτόν ληπτόν τε·
πᾶν γάρ ληπτόν καί μεθεκτόν οὐσία πάντως πέλει
ἐνυποστάτως μεθεκτή, ὡσαύτως καί ληπτή τε.
Τό γάρ ἀνούσιον οὐδέν καί λέγεται καί ἔστιν,
ἡ θεία δέ καί ἄκτιστος ὑπερούσιος φύσις
ὡς τῆς οὐσίας τῶν κτιστῶν ὑπερέχουσα πάντων
καλεῖται ὑπερούσιος, πλήν ἐνούσιος πέλει
καί ἐνυπόστατος ἐστιν, ὑπέρ οὐσίαν πᾶσαν,
καί πρός ὑπόστασιν κτιστήν ἀσύγκριτος γε πάντῃ
νοεῖται, ἔστιν ὅλη γάρ ἀπερίγραπτος φύσει·
τό μή περιγραφόμενον ὑπόστασιν πῶς εἴπῃς;
Τό δ᾽ ἀνυπόστατον οὐδέν, καί πῶς μεταληπτόν μοι;
Εἰ δ᾽ ἀπιστεῖς, τόν Παῦλόν σοί μαρτυροῦντα παρέξω
καί τά ἀμφότερα πιστά εἶναι σοί βεβαιοῦντα·
ὅταν γάρ λέγῃ τόν Χριστόν ἐντός ἔχειν λαλοῦντα
καί Πνεύματι φθεγγόμενον αὐτόν τῷ Παναγίῳ,
μεταληπτόν, περιγραπτόν εἶναι λέγει τό θεῖον,
ἀπεριγράπτως ἐν αὐτῷ συμπαρόν καί ἀλήπτως.
Ὅταν δέ φῶς ἀπρόσιτον οἰκοῦντα παρεισάγῃ

καί μαρτυρῇ μηδέποτε ὑπ’ ἀνθρώπου ὀφθῆναι,
τότε τό ἀπερίγραπτον καί ἄληπτον ἐμφαίνει·
ὅ γάρ οὐδείς ἑώρακε πώποτε τῶν ἀνθρώπων,
πῶς ἤ μετέλαβεν αὐτοῦ ἤ προσέψαυσεν ὅλως;
Πάντως ἐρεῖς μοι· οὐδαμῶς, εἰ μή φιλονεικοίης.
Ὅταν δέ πάλιν εἴπῃ σοι· ὁ Θεός, ὁ ἐκ σκότους
φῶς λάμψαι πάλαι προειπών, ὅς ἔλαμψεν ἐντός μου,
ποῖόν σοι ἄλλον παριστᾷ Θεόν, εἰπέ, νοῆσαι,
εἰ μή ἐκεῖνον τόν τό φῶς τό ἄστεκτον οἰκοῦντα
καί ὅν οὐδέπω οὐδαμῶς οὐδείς ἀνθρώπων εἶδεν;
Αὐτός γάρ ὑπερούσιος ἄκτιστος ὤν τό πρόσθεν
σάρκα τε ἀνελάβετο καί κτιστός μοι ὡράθη,
ὅλον θεώσας με αὐτός τόν προσληφθέντα ξένως.
Οὕτω πιστεύεις, λέγε μοι, καί πάντως οὐ διστάζεις;
Εἰ οὖν Θεός γενόμενος ἄνθρωπος, ὡς πιστεύεις,
τόν ἄνθρωπον ἐθέωσεν ἐμέ τόν προσληφθέντα,
θέσει θεός γενόμενος τόν φύσει Θεόν βλέπω
ἐκεῖνον, ὅν οὐδείς ποτε ἀνθρώπων ἠδυνήθη
ἰδεῖν, ἀλλ’ οὐδέ δύναται ὅλως τοῦ κατιδέσθαι.
Τόν Θεόν οὖν οἱ δεξάμενοι τῆς πίστεως τοῖς ἔργοις
καί θεοί χρηματίσαντες Πνεύματι γεννηθέντες,
αὐτόν ἐκεῖνον βλέπουσι τόν ἑαυτῶν πατέρα,
τόν ἐνοικοῦντα τῷ φωτί ἀεί τῷ ἀπροσίτῳ·
ἔνοικον ἔχοντες αὐτοί ἐν ἑαυτοῖς οἰκοῦντα
οἰκοῦσιν αὐτοί γ’ ἐν αὐτῷ τῷ πάμπαν ἀπροσίτῳ.
Τοῦτο πίστις ἡ ἀληθής, τοῦτο Θεοῦ τό ἔργον,
τοῦτο σφραγίς Χριστιανῶν, τοῦτο μέθεξις θεία,
τοῦτο ἐστίν ἡ μετοχή καί ἀρραβών ὁ θεῖος,
τοῦτο ὑπάρχει ἡ ζωή, τοῦτο ἡ βασιλεία,
τοῦτο τό ἔνδυμά ἐστιν, ὁ χιτών τοῦ Κυρίου,
ὅνπερ οἱ βαπτιζόμενοι ἐπενδύονται πίστει,
οὐχί ἀγνοίᾳ, λέγω σοι, οὐδέ ἀναισθησίᾳ,
ἀλλά διά τῆς πίστεως ἐν αἰσθήσει καί γνώσει.
Ἵνα μή λέγῃς· Τόν Χριστόν ἐνδεδύσθαι πιστεύω·
οὐ λέγω· Τοῦτο πίστευε· ἀλλά· Πίστεως ἔργον
καί πίστεως βεβαίωσιν καί πίστεως σφραγῖδα
καί πίστεως τελείωσιν ἀναμφίβολον ἔχε
ἐκ τοῦ ἐνδύσασθαι Χριστόν ἐν αἰσθήσει καί γνώσει
ἐκλάμποντα, ἀστράπτοντα θεότητος τῇ δόξῃ
καί τρανοτάτῳ ἐν φωτί ὅλον σε ἀλλοιοῦντα,
ἀναλλοιώτως μένοντα διπλοῦν ἐξ ἑκατέρων,

θέσει Θεόν, τῇ φύσει δέ ἄνθρωπον ὅλον ὄντα.
Τοιοῦτος δέ γενόμενος ὅλος, καθώς σοι εἶπον,
τότε ἐλθέ καί σύν ἡμῖν στῆθι, ὦ ἀδελφέ μου,
ἐπ’ ὄρους θείας γνώσεως, θείας τε θεωρίας,
καί ἀκουσόμεθα ὁμοῦ πατρικῆς φωνῆς, οἴμοι,
ὁπόσον ἀπολείπομεν τῆς θεϊκῆς ἀξίας,
ὁπόσον δέ ἀπέχομεν ζωῆς τῆς αἰωνίου.
Ὅσον ἀπέχει οὐρανός τῶν γῆς καταχθονίων
καί τῶν ἐκεῖσε δυστυχῶς πάλαι κεκρατημένων,
τοσοῦτον ἤ καί πλέον γε ἀπέχομεν οἱ πάντες
ὄντως ἀξίας τοῦ Θεοῦ καί θείας θεωρίας,
κἄν σύν ἐκείνῳ κατοικεῖν λέγωμεν παραδόξως
καί τόν οἰκοῦντα ἐν φωτί τῷ ἀπροσίτῳ ἔχειν
ἐν ἑαυτόῖς καί μένοντα καί κατοικοῦντα ὅλον·
καί θέλομεν καθήμενοι ἐν τοῖς καταχθονίοις
φιλοσοφεῖν τά ὑπέρ γῆν καί τά ἐν οὐρανῷ γε
καί οὐρανῶν ὑπέρτερα, ὡς ἀκριβῶς εἰδότες,
καί διηγεῖσθαι ἅπασι καί γνωστικοί καλεῖσθαι,
θεολόγοι τε ἀκριβεῖς καί μύσται τῶν ἀρρήτων,
ὅπερ καί ἔνδειγμά ἐστι πάντως ἀναισθησίας.
Ὁ γεννηθείς γάρ δυστυχῶς ἐν τοῖς καταχθονίοις
καί σκότος ὅλος κατοικῶν τοῦ ἐνεστῶτος κόσμου,
φῶς τε μή θεασάμενος τοῦ μέλλοντος αἰῶνος,
ὅ πάντως ἔλαμψεν ἐν γῇ ἀενάως λάμπει,
καί λέγων τά ἐν οὐρανῷ φρονεῖν καί εἰδέναι,
βλέπειν τε πάντα τά ἐκεῖ καί τούς ἄλλους διδάσκειν,
οὐχί ἀναίσθητός ἐστι καί πλέον ἄρα τούτου;
Ὥς γάρ τυφλός φιλονεικῶν τούς βλέποντας καί λέγων·
Τό νόμισμα χαλκοῦν ἐστιν, ἡ σφραγίς ἄλλου πέλει,
τά ἐν αὐτῷ δέ γράμματα δηλοῖ τάδε καί τάδε,
ὄντως παράδοξόν ἐστι τοῖς ἀκούουσι τέρας
καί τό νόμισμα βλέπουσι χρυσοῦν εὔροιζον πάνυ
καί τήν σφραγῖδα ἀληθῆ τοῦ βασιλέως οὖσαν,
ἀπαραποίητον αὐτοῦ δεικνῦσαν τήν εἰκόνα,
καί τήν γραφήν τό ὄνομα δηλοῦσαν τό ἐκείνου,
οὕτω γε πάσχοντες ἡμεῖς οὐ δοκοῦμέν τι πάσχειν,
οὐδ’ αἰσχυνόμεθά τινα ἤ αὐτούς τούς ἁγίους
καί τούς ἀγγέλους ἄνωθεν τά καθ’ ἡμᾶς ὁρῶντας,
ἀλλά πληροῦται εἰς ἡμᾶς ὁ λόγος τοῦ Κυρίου,
ὁ λέγων ὅτι· Βλέποντες οὐ βλέπουσι, καί αὖθις·
Ἀκούοντες τά ψυχικά ὦτα βύουσι μᾶλλον

καί οὐδαμῶς ἀκούουσι τοῦ Πνεύματος τούς λόγους,
καί γάρ ὠσίν ἀκούουσι σωματικῶς σαρκίνοις,
ὦτα πνευματικά καρδάς δέ κεκαλυμμένα
ἔχουσι καί οὐ δύνανται ὅλως Θεοῦ ἀκούειν.
Οὐδαμῶς γάρ ἰσχύουσιν ἀφ’ ἑαυτῶν διάραι
κάλυμμα τῆς ἐπάρσεως καί τῆς ἀναισθησίας,
αὐτοί γάρ τοῦτο ἑαυτοῖς ἐπέθεντο θελήσει,
καί βούλονται καλύπτεσθαι ὀφθαλμούς τε καί ὦτα,
καί διά τοῦτο οἴονται καί βλέπειν καί ἀκούειν.
Εἰ δέ γε τις ἐρεῖ αὐτοῖς· Ἀκούσατέ μου, τέκνα,
καί ἄρατε τό κάλυμμα ἐκ τῆς ὑμῶν καρδίας·
καί πρός αὐτά τά ῥήματα ἀγριαίνουσιν, ὅτι
μή πατέρας ἐκάλεσεν, ἀλλά τέκνα προσεῖπε,
καί μῖσος μᾶλλον πρός αὐτόν ἐκ τῶν λόγων προσκτῶνται
καί συνιδεῖν οὐ δύνανται τό προσόν αὐτοῖς πάθος,
μᾶλλον δέ πάθη τά τόν νοῦν σκοτίζοντα καί φρένας
καί τοῦ Θεοῦ χωρίζοντα τούς προληφθέντας ἤδη,
οἵ δοῦλοι τῆς οἰήσεως καί ὑπερηφανίας
θελήσει χρηματίσαντες καί αἰχμαλωτισθέντες
τό θέλημα τό ἴδιον ἀεί ἀποπληροῦσιν.
Οὗτοι ἀφέντες νόμους τοῦ Θεοῦ ἑαυτοῖς εἰσι νόμος,
καί οὐ Θεῷ ἀλλ’ ἑαυτόῖς λατρεύουσιν, ὤ τόλμης,
ἀντί τῆς δόξης τοῦ Θεοῦ τήν ἰδίαν ζητοῦντες
καί στῆσαι ταύτην σπεύδοντες πᾶσιν ἔργοις καί τρόποις.
Δόξα οὖν πέλει τοῦ Χριστοῦ ὁ σταυρός καί τά πάθη,
ἅ καθυπέστη δι’ ἡμᾶς, ἵνα ἡμᾶς δοξάσῃ·
ταῦτα δ’ οὐ βούλονται παθεῖν, ὡς ἔπαθεν ἐκεῖνος,
καί παραιτοῦνται μέτοχοι δόξης Θεοῦ γενέσθαι
τῷ παραιτεῖσθαι τό παθεῖν, ὡς ἔπαθεν ἐκεῖνος,
καί θέλουσιν, οἴμοι, τιμήν μᾶλλον τήν ἐξ ἀνθρώπων
καί χωρισμόν ἀπό Θεοῦ ἑκουσίως αἱροῦνται.
Ἀλλ’, ὦ Χριστέ μου, λύτρωσαι τούς εἰς σέ πεποιθότας
κενοδοξίας μιαρᾶς καί ὑπερηφανίας
καί συμμετόχους ποίησον παθῶν σου καί τῆς δόξης
καί καταξίωσον ἡμᾶς ἀχωρίστους σου εἶναι
νῦν τε καί εἰς τούς μέλλοντας αἰῶνας τῶν αἰώνων.
Ἀμήν.

## ΝΓ'. Κατά διάλεκτον Θεοῦ καί τοῦ πατρός τῶν λόγων ὁ λόγος· καί ὅπως ὑπό τοῦ Ἁγίου Πνεύματος ἐλλαμπόμενος ὁ θεῖος οὗτος πατήρ ὡμίλει Θεῷ καί ὑπ’ ἐκείνου ἐμυσταγωγεῖτο τά θεῖά τε καί ἀνθρώπινα.

Ἴδε μου, Χριστέ, τήν θλῖψιν,
ἴδε μου τήν ἀθυμίαν,
ἴδε μου καί τήν πτωχείαν.
Ἴδε τήν ἀσθένειάν μου
καί οἰκτείρησόν με, Λόγε!
Λάμψον μοι καί νῦν ὡς πάλαι
καί καταύγασον ψυχήν μου·
φώτισον τούς ὀφθαλμούς μου
τοῦ ὁρᾶν σε, φῶς τοῦ κόσμου,
τήν χαράν, τήν εὐφροσύνην,
τήν ζωήν τήν αἰωνίαν,
τήν τρυφήν τήν τῶν ἀγγέλων,
βασιλείαν οὐρανῶν τε
καί παράδεισόν σε ὄντα,
στέφανον τόν τῶν δικαίων
καί κριτήν καί βασιλέα.
Τί τό πρόσωπόν σου κρύπτεις;
Τί χωρίζῃ μου, Θεέ μου,
ὅς οὐ θέλεις χωρισθῆναι
πώποτε τῶν σέ φιλούντων;
Τί με φεύγεις, τί με καίεις,
τί με τέμνεις καί συντρίβεις;
Οἶδας, ὅτι ἀγαπῶ σε
καί ἀπό ψυχῆς ζητῶ σε.
Ἀποκάλυψον, ὡς εἶπας,
καί ἐμφάνισον σαυτόν μοι.
Οἶδα γάρ ἀληθινόν σε,
ἔγνωκα ὡς ἀψευδής εἶ
καί φιλεῖς τούς σέ φιλοῦντας
καί προσομιλεῖς ὡς φίλοις
οὐ σκιᾷ οὐδέ ἐμφάσει,
οὐδ’ ὡς νοῦς νοΐ ἑτέρῳ,
ἀλλ’ ὡς λόγος ὤν ἀρχῆθεν,

ἐνυπόστατος ζωή τε,
ἐκ πατρός γεγεννημένος
καί αὐτῷ συνηνωμένος
καί συνόμιλος ἀφράστως.
Οὕτως οὕς αὐτός γεννήσεις
Πνεύματί σου τῷ Ἁγίῳ
καί υἱούς σου ἀποδείξεις,
μᾶλλον μέν οὖν ἀδελφούς σου
καί Θεοῦ υἱούς, Πατρός σου,
τούτοις καί συνομιλεῖς τε
καί αὐτούς ὁρῶν ὁρᾶσαι
ὑπ᾽ αὐτῶν ἐκείνων πάλιν.
Δεῖξον οὖν τήν εὐσπλαγχνίαν,
δεῖξον τήν φιλανθρωπίαν
καί τό ἔλεός σου, Σῶτερ,
Ποίων ἄρα τῶν κτισμάτων;
Τῶν ἐνύλων καί ἀΰλων·
ἔνυλα γάρ, ἅπερ βλέπεις,
ἄϋλοι δέ ἄγγελοί γε.
Μέσον τούτων οὖν, σοί λέγω,
ζῷον ἄνθρωπος, διπλοῦν δέ·
ἐν αἰσθητοῖς μέν ἄϋλον,
ἐν ἀΰλοις αἰσθητόν δέ.
Τοῦτον οὖν ὡς αἰσθητόν μέν
κύριον τῶν ὁρωμένων
καί δεσπότην εἰργασάμην,
δοῦλα ὡς ὁρατά πάντα
αὐτῷ μόνῳ ὑποτάξας,
ὅπως βλέπῃ μου τά ἔργα
καί δοξάζῃ με τόν κτίστην·
ὡς δέ λογικόν τε ὄντα
καί νοερῶς καθορῶντα,
δέδωκα αὐτόν ὁρᾶν με
καί ἐκ τούτου τῶν ἀγγέλων
ἐν ἀξίᾳ καθεστᾶναι.
Βλέπε, σύνες, τί σοι εἶπον·
ἄνθρωπος διπλοῦς ὑπάρχων
ἔβλεπε τοῖς αἰσθητοῖς μέν
ὀφθαλμοῖς τά κτίσματά μου,
τοῖς νοεροῖς δέ πρόσωπον
ἔβλεπεν ἐμοῦ τοῦ κτίστου,

ἐθεώρει μου τήν δόξαν
καί ὡμίλει μοι καθ’ ὥραν.
Ὅτε δέ τήν ἐντολήν μου
παραβάς ἀπό τοῦ ξύλου
ἔφαγεν, ἀπετυφλώθη
καί ἐγένετο ἐν σκότει
τοῦ θανάτου, καθώς εἶπον,
ὅπερ λέγεται κρυβῆναι·
τοῦτο γάρ ἐκεῖνος τότε
ὑπενόησεν ἀφρόνως.
Ποῦ γάρ εἶχέ με κρυβῆναι
ἤ ἐν ποίῳ τόπῳ, λέγε;
Σύ δέ νῦν λογίζῃ χεῖρον,
ἀφρονέστερον ἐκείνου,
ὅτι κρύπτομαι μή θέλων
ὁραθῆναί σοι εἰς ἅπαν.
Εἰ γάρ μή ὁρᾶσθαι θέλω,
τί καί ἐν σαρκί ἐφάνην;
Τί δέ καί κατῆλθον ὅλως;
Τί δέ καί ὠράθην πᾶσι;
Μή ἀγνόει μου τάς πράξεις,
μηδέ τάς οἰκονομίας·
ὁ Ἀδάμ τυφλωθείς πρῶτον
ἐλεγχθείς καί διδαχθείς τε
ὑπ’ ἐμοῦ μετανοῆσαι
οὐκ ἠθέλησεν, ἀλλ’ ὅλως
ἀταπείνωτος εὑρέθη,
εἶπε δέ μᾶλλον· Ἡ γυνή
ἥμαρτεν, ἥν δέδωκάς μοι,
ὡσανεί τῆς ἁμαρτίας
αἴτιόν με ἀποφήνας.
Ὁμοίως πάλιν ἡ γυνή
ᾐτιάσατο τόν ὄφιν,
καί οὐδείς ἡμαρτηκέναι
ὡμολόγησεν οὐδ’ ὅλως.
Διά τοῦτο ἐξεβλήθη
τῆς τρυφῆς τοῦ παραδείσου
καί ἔμεινεν ἐν αἰσθητοῖς
μόνοις μετά τῶν ἀλόγων,
ἄλογος ἐκ λογικῶν τε
γεγονώς καί ἔνυλός γε,

χωρισθείς ἐκ τῶν ἀΰλων.
Θαῦμα ξένον· ὥσπερ σῶμα,
γέγονεν ὀμμάτων δίχα
ἡ ψυχή ἐκτυφλωθεῖσα
καί Θεόν μή καθορῶσα.
Σῶμα μέν, εἰ τυφλωθείη,
ὑπό τῆς ψυχῆς κινεῖται·
ἡ ψυχή δέ τυφλωθεῖσα
ποίαν κίνησιν εὑρήσει;
Ζῆν δέ πῶς ὅλως ἰσχύσει;
Οὐδαμῶς, ἀλλά θανεῖται
θάνατον εἰς τόν αἰῶνα,
ὅπερ ἔπαθον, ὡς εἶπον,
οἱ πρωτόπλαστοι ἀνοίᾳ
καί κατῆλθον εἰς τόν ᾅδην
καί εἰς φθοράν κατήχθησαν, οὕσπερ κατελεήσας
ἄνωθεν ἐγώ κατῆλθον·
ἀόρατος ὤν πάντῃ
πάχους καί σαρκός μετέσον
καί ψυχήν ἀνελαβόμην,
Θεός ὤν ἀναλλοιώτως
ἐγενόμην σάρξ, ὁ Λόγος.
Ἐκ σαρκός ἀρχήν λαβών δέ
ἄνθρωπος ὠράθην πᾶσιν.
Διά τί οὖν ὅλως τοῦτο
ἠνεσχόμην τοῦ ποιῆσαι;
Ὅτι ἐπί τούτῳ πάντως
ἔκτισα, καθώς καί εἶπον,
τόν Ἀδάμ τοῦ καθορᾶν με.
Ἐπειδή δέ ἐτυφλώθη,
ἐξ ἐκείνου τε οἱ πάντες
τούτου ἀπόγονοι ἅμα,
οὐχ ὑπέφερον, αὐτός μέν
εἶναι ἐν τῇ θείᾳ δόξῃ,
παρορᾶν δέ τυφλωθέντας
τῇ τοῦ ὄφεως ἀπάτῃ,
οὕσπερ ἔκτισα χερσί μου.
Ἀλλά ὅμοιος ἀνθρώποις
ἐγενόμην κατά πάντα,
αἰσθητός τοῖς αἰσθητοῖς γε,
καί ἡνώθην τούτοις θέλων.

Βλέπεις, πόσον πόθον ἔχω
τοῦ ὁρᾶσθαι παρ’ ἀνθρώπων,
ὡς καί ἄνθρωπος γενέσθαι
θελῆσαι καί ὁραθῆναι.
Πῶς οὖν εἶπας κρύπτεσθαί με
ἀπό σοῦ καί μή ὁρᾶσθαι;
Ὄντως λάμπω, ἀλλ’ οὐ βλέπεις.
Πρόσεχε τῷ μυστηρίῳ·
ἔβλεπε θεότητός μου
δόξαν ὁ Ἀδάμ καί ἔζη,
παραβάς δ’ ἀπετυφλώθη
καί εὐθύς ἀπενεκρώθη
μή θελήσας μεταγνῶναι,
μηδ’ εἰπών· Ἡμάρτηκά σοι.
Διά τοῦτο οὖν ἐνδίκως
ἀποστρέφειν κατεκρίθη
εἰς τήν γῆν, ἐξ ἧς ἐλήφθη·
ὕστερον δέ τοῦτο πάντως
ὡς ἀπόφασις ἐδόθη
καί τοῖς πᾶσιν ἐλογίσθη
ἄφυκτος ὡς τιμωρία.
Ἀλλ’ οὐκ ἔστι τιμωρία,
μᾶλλον δέ εὐεργεσία.
Οὐ γάρ εἴασα συνεῖναι
τό φθαρτόν σύν τῷ ἀφθάρτῳ.
Χεῖρον ἦν γάρ τοῦ λυθῆναι
τό δεδέσθαι αἰωνίως
καί ἀθάνατον ὑπάρχειν
τό κακόν ἐν ἀμφοτέροις.
ἡ ψυχή γάρ ἐκπεσοῦσα
τῆς ζωῆς γε τῆς ἐνταῦθα,
πάλιν τε, εἴπερ τό σῶμα
τό φθειρόμενον ὑπῆρχε
φέρουσα συνηνωμένον,
πῶς οὐκ ἦν θανάτου χεῖρον,
χωρισμοῦ ψυχῆς, σοί λέγω;
Δύο οὖν εἰσι θάνατοι,
σώματός τε καί ψυχῆς.
Ὁ θανών ψυχῇ, εἰπέ μοι,
καί φθαρτόν ἐκ τούτου σῶμα
περιφέρων ἡνωμένον,

κατ’ ὀλίγον τε γηράσκον
καί λυόμενον καί ῥέον,
εἰ μή ἔμελλε λυθῆναι
τούτου τε καί χωρισθῆναι
ἡ ψυχή, ἀλλ’ αἰωνίως
ἦν συνδεδεμένη τούτῳ,
πῶς οὐ χείρων πάσης ἄλλης
τιμωρίας τῆς ἐν ᾅδη
αὕτη ἡ ζωή ὑπῆρχε;
Βλέπε μοι τούς ὑπό νόσου
ἱερᾶς κατεχομένους,
πῶς αἱ σάρκες αἱ ἐκείνων
φθείρονται καί δαπανῶνται,
πῶς χειρῶν, ποδῶν τε δίχα
καί ὀμμάτων καί χειλέων
καί ῥινῶν εἰσι καί ὤτων,
πῶς ἀκίνητοι εἰς ἅπαν,
πῶς καί ἄλαλοι κωφοί τε
ταῖς φωναῖς ταῖς ἀλαλήτοις
τόν Θεόν ἐπικαλοῦνται
ταύτης τῆς σαρκός λυθῆναι.
Εἰ γάρ οὕτως εἰς αἰῶνας,
ἵνα πάλιν εἴπω, εἶναι
ἐκληρώσατο, οὐ χεῖρον
τοῦ θανεῖν τό ζῆν ὑπῆρξε;
Οὕτως οὖν εὐεργεσία
γέγονεν ἡ τιμωρία,
μᾶλλον δέ οὐ τιμωρία,
ἀλλ’ οἰκονομία θεία.
Ὁ γάρ θάνατος ἀνθρώπων
θάνατος πραγμάτων πέλει·
θάνατος φροντίδων λύσις,
θάνατος ἐλευθερία
νόσων καί παθῶν παντοίων,
θάνατος ἁμαρτημάτων
ἐκκοπή καί ἀδικίας,
θάνατος ἀπαλλαγή τε
τῶν κακῶν τοῦ βίου πάντων,
τοῖς βιώσασι καλῶς δέ
πρόξενος χαρᾶς ἀλήκτου
καί τρυφῆς τῆς ἀϊδίου

καί φωτός τοῦ ἀνεσπέρου.
Ὅμως πρό τοῦ χωρισθῆναι
ἐκ τοῦ σώματος, σοί λέγω,
βλέπε τάς εὐεργεσίας,
βλέπε τάς οἰκονομίας,
μάνθανε τάς δωρεάς μου.
Ἐφανέρωσα τῷ κόσμῳ
ἐμαυτόν καί τόν Πατέρα
καί ἐξέχεα πλουσίως
τό Πανάγιόν μου Πνεῦμα
ἐπί πᾶσαν ὄντως σάρκα,
καί τό ὄνομά μου πᾶσιν
ἀπεκάλυψα ἀνθρώποις,
καί τοῖς ἔργοις, ὅτι κτίστης
καί δημιουργός ὑπάρχω,
ἔδειξα καί νῦν δεικνύω
πάντα, ἅ ποιῆσαι ἔδει,
ἀμήν.

## ΝΔ'. Ὅτι ἑκάστῳ τῶν ἀνθρώπων δέδωκεν ὁ Θεός προσφυῶς καί πρός τό συμφέρον τό χάρισμα διά Πνεύματος Ἁγίου εἰς τό ἐνεργεῖν, οὐχ ὥσπερ αὐτός θέλει, ἀλλ' ὡς ὑπ' αὐτοῦ προωρίσθη, εἰς τό μή κενόν εἶναι μέσον τῆς ἐκκλησίας αὐτοῦ.

Τό ποίημα τοῦ ποιητοῦ τί ποτ' ἄν γνοίη δίχα;
Τήν γνῶσιν γάρ, ἥν ἔλαβε, πάντως ἀπαιτηθείη,
πρᾶξίν τε καί ἐνέργειαν δικαίως καί πρεπόντως,
καί γάρ σκαπάνη, δρέπανον, μάχαιρά τε καί πρίων,
ἀξίνη, ῥάβδος, λόγχη τε, φάσγανόν τε καί τόξον,
βέλος καί πάντα τά λοιπά ἐργαλεῖα ἐν βίῳ,
ἕκαστον τήν ἐνέργειαν κέκτηται τήν ἰδίαν,
ἀλλ' οὐκ ἀφ' ἑαυτοῦ λαβόν, ἐξ ἡμῶν δέ γε πάντως.
Ὁ γάρ τεχνίτης ἕκαστον, πρός ὅπερ ἄν ἐθέλοι,
κατασκευάζει ἐνεργεῖν ἐργαλεῖον ἐντέχνως.
Διό θερίζειν λήϊα οὐκ ἔξεστι σκαπάνη,
οὐδέ δρεπάνῳ τεκτονεῖν, οὐδ' ἐν μαχαίρᾳ κτίζειν,
οὐ σκάπτειν μετά πρίονος, οὐ ῥάπτειν τῇ ἀξίνῃ,
οὐ τέμνειν ξύλα ῥάβδῳ γε, λόγχῃ δ' οὐ πρίζειν θέμις,
οὐδέ φασγάνῳ σφενδονεῖν, οὐκ ἐν τῷ τόξῳ τέμνειν,
ἀλλ' ἁρμοζόντως ἑκάστῳ χρή πρός ἕκαστον χρᾶσθαι.
Εἰ δ' οὐ πρός ἅ γεγόνασιν, ἀλλ' ἄλλως χρήσῃ τούτοις,
ἀπόλωλεν ὁ βίος σοι καί πᾶσα πρᾶξις πάντως.
Οὕτως οὖν μοι νόει καί Θεόν ἡμᾶς πεποιηκέναι
ἐν ἔργοις ἕκαστον πιστόν ἐνεργεῖν ἐν τῷ βίῳ,
τούς μέν διδάσκειν θέμενος, τούς δέ πάντως
μανθάνειν,
ἄλλους τοῦ ἄρχειν τῶν πολλῶν, τούς δέ ὑπείκειν τούτοις·
καί οἷς μέν σοφίαν δέδωκεν, οἷς δέ γνῶσιν καί λόγον,
τό προφητεύειν ἄλλοις δέ, τό λαλεῖν γλώσσαις ἄλλοις,
θαυματουργεῖν ἑτέροις δέ καί ἐνεργεῖν δυνάμεις·
ἄλλους προστάτας ἔδειξε. Πνευματικά δέ ταῦτα,
ἀλλ' εἴπωμεν καί ἕτερα χαρίσματα τοῦ κτίστου,
ἅ τοῖς ἀνθρώποις δέδωκεν, ἑκάστῳ κατ' ἀξίαν·
τόν μέν ἀνδρεῖον σώματι, τόν δέ ὡραῖον μᾶλλον
πεποίηκε καί ἕτερον εὐφωνότερον ἄλλων,
ἁπλῶς τε ἐχαρίσατο ἑκάτῳ τῶν ἀνθρώπων

τό κατ’ ἀξίαν δώρημα καί πλεονέκτημά γε,
ὡς οἶδε μόνος ὁ Θεός, ὁ τῶν ἁπάντων κτίστης,
εἰς τό χρησίμως ἐνεργεῖν ἐν τῷ βίῳ ἀρρήτως.
Διό πρός τέχνην ἕκαστος οὐχ οἵαν αὐτός θέλει,
ἀλλά πρός οἵαν ἔκτισται, ἐπιτηδείως ἔχει,
καί πρός αὐτήν διάκειται προσφυῶς καί οἰκείως,
καί ἴδοις ἄν τόν πλευστικόν εὐτέχνως τά πελάγη
θαλάσσης διαπλέοντα καί τερπόμενον μᾶλλον
ὑπέρ τόν ἵππῳ σοβαρῷ ἐφεζόμενον ἄνδρα
καί γεωργόν γῆς αὔλακας τέμνοντα τῷ ἀρότρῳ,
τό ζεῦγός τε ὁ τῶνβοῶν τῶν συνεργαζομένων
πολύ κρεῖσσον νομίζοντα βασιλικοῦ τετρώρου,
ὅθεν καί χαίρει ταῖς χρησταῖς κατεντρυφῶν ἐλπίσιν.
Ὁ στρατιώτης πάλιν δέ ἑαυτόν ὑπέρ πάντας
γεωργούς τε καί πλευστικούς καί χειροτέχνας μείζω
ἡγεῖται καί ὡς ἔνδοξος ἐναβρύνεται τρέχων
ἐπί σφαγήν καί θάνατον ἄωρον καταλύσαι.
Οὗτος οὖν οὐκ ἀνέξεται κώπην ὅλως ἐλάσαι,
οὐδέ κρατῆσαι δίκελλαν, οὐδέ τέκτων γενέσθαι,
οὐ ναύτης οὐδέ γεωργός, οὐ γεηπόνος εἶναι
αἱρήσεται· ἀλλ’ ἕκαστος, πρός ὅ, καθάπερ εἶπον,
τό ἐνεργεῖν ἀπό Θεοῦ ἔλαβεν, ἐνεργήσει,
ἄλλως δέ οὐ δυνήσεται ἄνθρωπος ἐν τῷ βίῳ
ὅλως τι διαπράξασθαι ἤ τήν ἀρχήν θελῆσαι.
Ἰδού γάρ, αὖθις λέγω σοι ἅπερ καί πρῴην εἶπον·
ὥσπερ οὐκ ἔξεστί ποτε τῶν εἰρημένων πάντων
ἐργαλεῖον ἀφ’ ἑαυτοῦ κινηθῆναι πρός πρᾶξιν
ἤ ἐνεργῆσαί τι ἄνευ χειρός ἀνθρώπου,
τοῦ αἴροντος καί δι’ αὐτοῦ κατασκευάζοντός τι,
οὕτως οὐδέ ὁ ἄνθρωπος ἄνευ χειρός τῆς θείας
ἐννοῆσαί τι δύναται ἀγαθόν ἤ ποιῆσαι.
Ἰδού γάρ, ὁ τεχνίτης με κατεσκεύασε Λόγος,
οἷον αὐτός ἠθέλησε καί ἔθηκεν ἐν κόσμῳ.
Πῶς οὖν, εἰπέ, δυνήσομαι φρονῆσαι ἤ ποιῆσαι
ἤ ὅλως ἐνεργῆσαί τι θείας ἰσχύος ἄνευ;
Ὁ νοῦν μοι χαρισάμενος, οἷον ἤθελε πάντως,
αὐτός καί δίδωσι φρονεῖν ὅσα συμφέρειν οἶδε,
καί ἐνεργεῖν παρέχει μοι δύναμιν, ἅπερ θέλει.
Εἰ οὖν αὐτά ποιήσαιμι πλείονα πάντως δώσει,
καί τελεώτερα φρονεῖν παράσχει φιαλνθρώπως·
εἰ δέ καταφρονήσαιμι καί αὐτῶν τῶν ὀλίγων

τῶν καταπιστευθέντων μοι, τήν στέρησιν δικαίως
ὄντως καθυποστήσομαι παρά Θεοῦ τοῦ δόντος
καί ἄπρακτος γενήσομαι, ἄχρηστον ἐργαλεῖον,
ὡς μή θελήσας ἐντολάς ἐργάσαθαι τοῦ κτίστου,
ἀλλ᾽ ὀκνηρίᾳ ἐμαυτόν ἐκδούς καί ῥαθυμίᾳ·
καί διά τοῦτο ἔρρμμαι τῶν χειρῶν τοῦ Δεσπότου,
ἀπειθείᾳ τῇ πρός αὐτόν καί ἀνυποταξίᾳ
χρησάμενος ἐκβέβλημαι τοῦ ὄντως παραδείσου,
μακράν γενόμενος Θεοῦ καί χειρῶν τῶν ἁγίων.
Εὑρών λοιπόν με κείμενον ὁ παμπόνηρος ὄφις
καί τῇ ἀργίᾳ τῶν καλῶν προδεδομένον ὅλον,
δολίως κατηχρείωσε πᾶσιν ἔεργοις ἀτίμοις,
οἷσπερ ἐνηδυνόμενος καί χαίρων ὠπτανόμην,
ἀνθ᾽ ὧν λυπεῖσθαί με ἐχρῆν καί θρηνεῖν τε καί κλαίειν,
ὅτι πρός ἅπερ ἔκτισμαι ἐνεργεῖν, ἑκουσίως
ἀπέστην ὁ ταλαίπωρος, καί αὐτοπροαιρέτως
τοῖς παρά φύσιν ἅπασιν ἐμαυτόν ἐξεδόμην,
χερσί βεβήλοις τοῦ ἐχθροῦ ἐμπεσών παναθλίως,
ὑφ᾽ οὗπερ καί κρατούμενος καί κινούμενος ὅλως,
καί ἀντιστῆναι πρός αὐτόν μή ἰσχύων, ὁ τάλας,
- πῶς γάρ καί ἀντιστήσεσθαι εἶχον νεκρός ὑπάρχων;-
πάσης κακίας ὄργανον, πάσης  παρανομίας
καί ἐργασίας πονηρᾶς δόκιμον ἐργαλεῖον
γέγονα, ὁ ταλαίπωρος, ἀπατηθείς δολίως·
κατέχων γάρ με τῇ χειρί καί δυνατῶς ἑλκύων
κοπραγωγοῖς ἐρρύπου με καί παντοίοις βορβόροις
καί δυσωδίαις με πικραῖς ἐνέβαλε καί τούτοις
ἐποίει ἐνευφραίνεσθαι, ὤ τῆς ἀναισθησίας!
Πρός ἁρπαγάς, πρός φθόνους τε, πρός θανάτους ἀδίκους,
πρός λοιδορίας, πρός ὀργάς, πρός πᾶν εἶδος κακίας,
ἵνα σοι εἴπω συνελών, ἐνεργοῦντά με εὗρε,
μᾶλλον δ᾽ ἐχρήσατο αὐτός ἐμοῦ μή βουλομένου.
Ἀφ᾽ οὗ γάρ καί ἀπέρριψα ἐμαυτόν ἑκουσίως
ἐκ τῆς χειρός τῆς τοῦ Θεοῦ καί τῶν αὐτοῦ ἁγίων,
καί ἥρπασέ με ὁ δεινός ἄρχων καί ψυχοφθόρος
καί τῇ ἐκείνου με χειρί κατέσχε θέλοντός μου,
οὐκέτι τοῦ μή ἐνεργεῖν ἴσχυον τά ἐκείνου,
ἀλλά ἐν πᾶσι τοῖς αὐτοῦ θελήμασιν ἐνήργουν.
Οὐκ οἶδε γάρ ἀντιλέγειν τό ξίφος τῷ κρατοῦντι,
ἀλλ᾽ ὅπου ἄν καί βούληται, ὁ κρατῶν τούτῳ χρᾶται.
Ὁ οὖν ποιήσας  με Θεός ἄνωθεν ἐπιβλέψας

καί τοῦ τυράννου τῇ χειρί κρατούμενον ἰδών με
ᾠκτείρησεν, ἀφήρπασε τῆς ἐκείνου χειρός με
καί πάλιν με εἰσήγαγεν εἰς παράδεισον θεῖον,
εἰς ἐμπελῶνα τόν αὐτοῦ, εἰς γεωργῶν τε χεῖρας
παρέδωκεν ἁγίων με τοῦ ἐνεργεῖν τά θεῖα,
ἐργάζεσθαι τάς ἀρετάς, τάς ἐντολάς φυλάσσειν
καί τῶν ἁγίων τῆς χειρός παρεκτός  μή κινεῖσθαι,
ἵνά μή πάλιν με εὑρών ὁ κακίας ἐργάτης
ἔξω χειρός διάγοντα ἁγίας ἀφαρπάσῃ
καί τά αὐτοῦ με ἐνεργεῖν αὖθις παρασκευάσῃ.
Οἱ καλοί οὖν με γεωργοί καί συμπαθεῖς λαβόντες
καί ταῖς χερσί ταῖς ἑαυτῶν ὅλον τό θέλημά μου
ἄραντες, ταπεινώσει με εὐθύς καί μετανοίᾳ
ἐνεργεῖν τε ἐπέτρεψαν καί πενθεῖν ἀενάως.
Ταῦτα γάρ, εἶπόν μοι, τέκνον, τά τρία οἱ τηροῦντες
καί ἐπιμένοντες αὐτῶν τῇ καλῇ ἐργασίᾳ
συντόμως, ὡς οὐκ ἴσασιν, ἀνάγονται πρός δόξαν,
κάθαρσιν καί ἀπάθειαν καί θεωρίαν θείαν,
καί ταῖς χερσί τοῦ δυσμενοῦς ἁλίσκονται οὐδέπω,
ἀλλ᾽ ἐκ Θεοῦ συγχώρησιν πάντων ἁμαρτημάτων,
σφαλμάτων πάντων τε ὁμοῦ λαμβάνουσι καί οὕτως
υἱοί ὑψίστου γίνονται καί θεοί κατά χάριν
καί ἐργαλεῖα εὔχρηστα, πᾶν καλόν ἐνεργοῦντα,
μᾶλλον δέ θεῖοι γεωργοί ἄλλους καθοδηγοῦντες
πρός πράξεις ὄντως ἀγαθάς, πρός ἔργα σωτηρίας.
Τούτοις - πάντες ἀκούσατε! - πιστεύσας καί ποιήσας
καί ταῖς χερσί τῶν τοῦ Θεου γεωργῶν τε καί δούλων
κατά τήν πρόσταξιν αὐτοῦ ἐμαυτόν ἐκδούς ὅλον,
ἀπαραλλάκτως ἐν ἐμοί πάντα ἐκβεβηκότα
εὕρηκα καί ἐθαύμασα καί τοῖς πᾶσι κραυγάζω,
μεγαλοφώνως ἐκβοῶν καί παραινῶν καί λέγων·
οὐδέ γάρ φέρω σιωπῇ ταῦτα καταχωννύειν·
Δράμετε, ὅσοι τοῦ Θεοῦ καί τῶν αὐτοῦ ἁγίων
ἑαυτούς ἐπαισθάνεσθε τῶν χειρῶν ὄντας ἔξω.
Σπεύσατε καί κολλήθητε τούτοις ἀδιασπάστως
πίστει, ἀγάπῃ τε θερμῇ καί ὅλῃ προαιρέσει,
ῥίψατε ἅπαν φρόνημα καί θέλημα οἰκεῖον
καί ταῖς ἐκείνων γε χερσί τάς ψυχάς ὑμῶν δότε,
ὡς ἐργαλεῖα ἄψυχα, μηδέν ἐκτός ἐκείνων
ποιοῦντες ἤ κινούμενοι ἤ ἐνεργοῦντες ὅλως.
Τό δέ ἐκείνων φρόνημα ὑμέτερον γινέσθω,

ὡσαύτως καί τό θέλημα τό ἅγιον ἐκείνων,
ὡς ὄν τοῦ Θεοῦ θέλημα παρ’ ὑμῶν ἐκπληρούσθω
καί οὕτως σύντομον ὁδόν ἀπρόσκοπόν τε ὅλως
ὁδεύσαντες γενήσεσθε φίλοι Θεοῦ ὑψίστου,
καί βασιλείας οὐρανῶν ἀγαθῶν τε ἀφράστων
κληρονόμοι ὀφθήσεσθε ἐν ὀλίγαις ἡμέραις.
Ἅμα τῷ ἐπιβῆναι γάρ τῆς ὁδοῦ τῆς εὐθείας
ἅπασι συναρίθμιοι γενήσεσθε ἁγίοις,
καί μακαρίους ἅπαντας βροτούς ἡμαρτηκότος
καί ταύτην διοδεύσαντος τήν ὁδόν τήν τραχεῖαν,
τήν στενήν τε καί σύντομον καί ἀκίνδυνον οὖσαν,
πρός πλάτος τε ἀπάγουσαν ζωῆς τῆς αἰωνίου,
ὡς ὑποδείξαντος ὑμῖν ὑπερεύξασθε πάντες,
οἱ εὐπροθύμως ἐν αὐτῇ θελήσαντες βαδίσαι
καί κατά πόδας τοῦ Χριστοῦ θερμῶς ἀκολουθῆσαι,
ἵνα κἀγώ τε καί ὑμεῖς εὑρεθῶμεν ἐν ταύτῃ,
ἀμέμπτως πορευόμενοι ἄχρι τέλους τοῦ βίου,
ἀλλά καί ὅσοι τόν Χριστόν ἰδεῖν ἐπιποθοῦσιν,
ὅπως ὁμοῦ μετά χαρᾶς τά σώματα λιπόντες
πρός τήν ἐκεῖ κατάπαυσιν, πρός πλάτος παραδείσου
χωρήσωμεν καί τῆς ζωῆς δειχθῶμεν κληρονόμοι
καί τοῦ Θεοῦ ἀχώριστοι καί πάντων τῶν ἁγίων
ἐν Χριστῷ τῷ μονογενεῖ Υἱῷ καί Θεῷ Λόγῳ
μετά τοῦ Θείου Πνεύματος, τῆς Ἁγίας Τριάδος
ἐσόμεθα νῦν καί ἀεί καί εἰς πάντας τούς αἰῶνας τῶν
αἰώνων,
ἀμήν.

## ΝΕ'. Ὅτι τοῖς τό ἅγιον φυλάξασι βάπτισμα καθαρόν παραμένει τό Πνεῦμα τό Ἅγιον· ἀπό δέ τῶν μολυνάντων αὐτό ἀπανίσταται.

Σύ με γινώσκεις, ὦ Χριστέ, πάσης παρανομίας
ἐργάτην, ἀλλά καί κακῶν ὄντως παντοίων σκεῦος·
ὅπερ οἶδα πάντωσα κἀγώ καί πέπλησμαι αἰσχύνης,
καί ἐντροπῆς καί θλίψεως ὀδύνη με κατέχει,
καί πόνος ὁ ἀφόρητος κρατεῖ μου τήν καρδίαν,
ἀλλά τό φῶς σου λάμψαν μοι μυστικῶς τοῦ προσώπου
τούς λογισμούς ἐδίωξεν, ἀπήλειψε τόν πόνον
καί χαράν ἀντεισήγαγε τῇ ταπεινῇ ψυχῇ μου.
Θέλω οὖν θλίβεσθαι, Χριστέ, καί θλῖψις οὐ κολλᾷ μοι,
καί θλίβομαι, μή διά ταύτην μᾶλλον
ἀπόλωμαι καί τῆς χαρᾶ στερηθῶ τῆς μελλούσης.
Ἀλλά με ταύτης, Δέσποτα, μηδέποτε στερήσῃς,
μή νῦν, μή ἐν τῷ μέλλοντι αἰῶνι, Βασιλεῦ μου.
Χαρά γάρ τοῦ προσώπου σου ἡ θεωρία ἔστιν,
οὐ γάρ ὑπάρχεις ἀγαθόν ἅπαν, Θεέ μου, μόνον,
ἀλλά καί τοῖς ὁρῶσί σε πᾶν ἀγαθόν παρέχεις,
μετουσίᾳ μεθέξει τε ἐμπιπλᾷς, οὕσπερ βλέπεις,
οὐ μόνον ἐν τῷ μέλλοντι - φεῦ τούς τοῦτο λαλοῦντας! -
ἀλλά καί νῦν ἐν σώματι τούς ὄντας σου ἀξίους,
ἤγουν καθάραντας αὐτούς διά τῆς μετανοίας
ὁρᾷς, ὁρᾶν σε δέ τρανῶς κἀκείνοις ἐμπαρέχεις
οὐδαμῶς ἐν φαντάσματι ἤ νοός ἐνθυμήσει,
ἀλλ’ οὐδέ μνήμῃ τῇ ψιλῇ, ὥς τινες αὖ νοοῦσιν,
ἀλλ’ ἀληθείᾳ πράγματος θείου καί φρικτοῦ ἔργου,
εἰς ἀποπλήρωσιν ὄντως οἰκονομίας θείας·
τηνικαῦτα γάρ ἕνωσιν ποιεῖς τῶν διεστώτων
σύ ὁ Θεός, ἁμαρτωλῶν πάντων ὤν σωτηρία.
Οἱ γάρ τό βάπτισμα σό σόν λαβόντες ἐκ νηπίων
καί ἀναξίως ζήσαντες τούτου κατά τόν βίον
ἕξουσι τό κατάκριμα πλεῖον τῶν ἀβαπτίστων,
ὡς εἶπας, ἐνυβρίσαντες στολήν σου τήν ἁγίαν·
καί τοῦτο, Σῶτερ, βέβαιον καί ἀληθές γινώσκων,
δέδωκας τήν μετάνοιαν εἰς κάθαρσιν δευτέραν
καί ὅρον ταύτης τέθηκας τοῦ Πνεύματος τήν χάριν,
ἥνπερ ἐν τῷ βαπτίσματι ἐλάβομεν τό πρῶτον·

καί γάρ οὐ μόνον ὕδατι τήν χάριν εἶπας εἶναι,
ἀλλά καί μᾶλλον Πνεύματι Τριάδος ἐπικλήσει.
Ἐπεί οὖν βεβαπτίσμεθα παῖδες ἀναισθητοῦντες,
ὡς ἀτελεῖς καί ἀτελῶς δεχόμεθα τήν χάριν,
τῆς πρώτης παραβάσεως λαμβάνοντες τήν λύσιν·
καί τούτου μόνου, ὡς δοκῶ, ἕνεκα καί τελεῖσθαι
προσέταξας, ὦ Δέσποτα, λουτρόν τοῦτο τό θεῖον,
ὅπερ οἱ βαπτιζόμενοι ἐντός τοῦ ἀμπελῶνος
εἰσέρχονται λυτρούμενοι τοῦ σκότους καί τοῦ ᾅδου,
καί τοῦ θανάτου καί φθορᾶς ὅλως ἐλευθεροῦνται
- ὁ ἀμπελών παράδεισος νοεῖταί μοι καί ἔστιν,
ἐξ οὗπερ ἐκπεπτώκαμεν πάλιν ἀνακληθέντες -·
καί ὥσπερ τότε ὁ Ἀδάμ ἦν πρό τῆς ἁμαρτίας,
οὕτω καί πάντες γίνονται οἱ γνώσει βαπτιθέντες
πλήν τῶν οὐ λαβόντων αἴσθησιν  νοεράν ἀναισθήτως,
ἥνπερ ποιεῖ ἐρχόμενον ἐνεργείᾳ τό Πνεῦμα.
Ὁμοίως καί τάς ἐντολάς ἐργάζεσθαι οἱ πάντες,
ὡς ὁ Ἀδάμ, ἐλάβομεν καί φυλάσσειν ὡσαύτως
ἐν πνεύματι πνευματικόν νόμον οὖσας καί θεῖον,
ἐν σώματι σωματικῶς τελούμενον ἐν πράξει.
Διπλοῦς γάρ ὤν ὁ ἄνθρωπος διπλοῦ δέεται νόμου·
οὗ γάρ καί ἀμελήσειεν, ἐκπίπτει καί τοῦ ἄλλου.
Ψυχή γάρ μόνη τά καλά ἐνεργεῖν οὐκ ἰσχύει
ἔργα, τό σῶμα πρᾶσσον δέ δίχα γνώσεως θείας
ὡς βοῦς κάμνων λογίζεται ἤ ἀχθοφόρον ζῷον.
Οἱ οὖν ἐν ἀμπελῶνί σου εἴτ' οὖν ἐν παραδείσῳ
διά βαπτίσματος τοῦ σοῦ ἀνακληθέντες ἅμα
καί ὅλως ἀναμάρτητοι ἤ καί ἁγιασμένοι
εἰσελθόντες, ἐγένοντο ὥσπερ Ἀδάμ ὁ πρῶτος·
εἶτα προσαμελήσαντες τοσαύτης σωτηρίας
καί τηλικαύτης σου, Χριστέ, ἀφάτου προμηθείας
χείρονα ὑπέρ τόν Ἀδάμ ἔργα πεποιηκότες,
καταφρονήσαντες ὁμοῦ καί σῆς φιλανθρωπίας,
μή ἔργον λογισάμενοι φρικτῆς οἰκονομίας
τό λουτρόν τοῦ βαπτίσματος ἐν Πνεύματι Ἁγίῳ.
Ἆρά γε, ὥσπερ οἴονται οἱ πολλοί τῶν ἀνθρώπων,
καταληφθῶσιν ἔνδοθεν εἶναι καί ἁμαρτάνειν,
καί ἐασθῶσιν ἅγιοι πάλιν οἱ μολυνθέντες
καί τόν χιτῶνά σου κακῶς σπιλώσαντες, Σωτήρ μου,
καί τούτων ἔνδοθεν οἰκεῖν τῆς ῥυπαρᾶς καρδίας
ὁ καθαρός, ὁ ἅγιος κἄν ποσῶς καταδέξῃ;

Ἄπαγε, εἶπεν ὁ Θεός, μή μοι γένοιτο, τέκνον!
Οἶδας γάρ, ὡς βεβάπτισαι καί σύ, ἀλλ’ ἐμολύνθης
καί ὡς παιδίον ἥμαρτες, ὡς ἄφρων ἐπλανήθης,
καί οἶδας, πόσα ἔκλαυσας, πόσα δέ συνετρίβῃς,
πῶς τε τόν κόσμον ἅπαντα ἀπηρνήσω καί μόλις
δυσωπηθείς ταῖς προσευχαῖς Συμεών τοῦ πατρός σου,
ἀρχῆθεν μόνῳ τῷ νοΐ, ἐν νοερᾷ αἰσθήσει,
φωνῆς τε κατηξίωσα, ἔπειτα καί ἀκτῖνος,
καί μετά τοῦτο αἴγλη σοι ἐφάνην φιλανθρώπως.
Εἶτα νεφέλη γέγονα μικρά πυρός ἐν εἴδει,
τῇ κεφαλῇ σου ἄνωθεν ἐπικαθεζομένη,
καί θεωρίαν μόνην σοι τοῦ εἴδους παρειχόμην,
καί τῇ ἐκπλήξει δάκρυα σύν πολλῇ κατανύξει,
φλέγων τό πάχος τῆς σαρκός, τῆς κεφαλῆς τόν ζόφον,
ὡς καί καέντος ἐν πυρί ὀσμήν γενέσθαι τούτων
κρέατος τοίνυν ἐξ αὐτῆς γενομένην, ὡς οἶδας.
Τά μετά ταῦτα δέ κακά καί τήν στενοχωρίαν,
ὅσην τότε ὑπέμεινας, σύ πάντως ἐπελάθου.
Ἀλλ’ οὖν ἐγώ ἐπίσταμαι, ὁ εἰδώς Θεόν πάντα,
τήν πίστιν, τήν ταπείνωσιν τήν εἰς τόν σόν πατέρα
καί τοῦ θελήματος τοῦ σοῦ τήν ἄρνησιν εἰς ἅπαν,
ὅπερ μαρτύριον ἐμοί λογίζεται καί ἔστιν.
Ὁ γάρ μή ἔχων θέλημα ἴδιον πάντως θνῄσκει,
ἐν τῷ ἐμῷ δ’ εὑρίσκεται θελήματι καί ζῇ γάρ.
Μόλις οὖν οὕτως ὄντος σου κἀκείνου καθ’ ἑκάστην
βιάζοντος τοῖς δάκρυσι τόν ἀγαθόν με φύσει,
συχνότερόν σοι φαίνεσθαι ἠρξάμην, ὥσπερ οἶδας,
κατά μικρόν σου τήν ψυχήν καθαίρων μετανοίᾳ
καί καταφλέγων τῶν παθῶν ἀποκειμένας ὕλας,
οὐ σαρκικάς, οὐχ ὑλικάς, ἀλλ’ ἀΰλους ἀκάνθας
ὡς νέφη, ζόφον ὡς παχύν, ὁμίχλην τε καί σκότος,
νηστείᾳ λεπτυνθέντος σου δηλαδή καί τοῖς πόνοις
τῆς ἀγρυπνίας, τῆς εὐχῆς, πάσης κακοπαθείας,
καί ἀενάως δάκρυσι θερμοῖς ἐκπλυνομένου
ἐν τῇ εὐχῇ, ἐν τῇ τροφῇ, ἐν τῷ ποτῷ δέ μᾶλλον,
καί μόλις σε χωρητικόν ἀπειργασάμην σκεῦος,
οὐ μόνον δέ χωρητικόν, ἀλλά κεκαθαρμένον,
πυρός ἐν μέσῳ μένειν τε ἀκατάφλεκτον πρόσεχε!
Τοιοῦτον οὖν ποιήσας σε, ὅπερ ἑώρας τότε
περιπετόμενον ἐν σοί φῶς καί περικυκλοῦν σε
εἰσῆλθεν ὅλον ἐντός σου ἀπρόσιτον ὄν φύσει

καί τήν καλήν ἀλλοίωσιν ξένως ἠλλοίωσέ σε.
Τοῦτο οὖν, εἰ μή ἅπασιν ἔργοις με θεραπεύεις,
ἀλλά μικρόν εἰσδέξῃ λογισμόν ἐν καρδίᾳ
ἤ ἀηδίαν πρός τινα εὐλόγως ἤ ἀλόγως,
πρός δέ καί λόγου προσβολήν ἤ πονηρᾶς ἐννοίας
εἰ μή μετανοήσειας θερμῶς μετά δακρύων
καί ἐξορίσεις ἀπό σοῦ ταῦτα τῇ μετανοίᾳ,
ἀλλά καί πᾶσαν πονηράν ἐνθύμησιν καρδίας,
οὐ παραμένειν πέφυκε· Πνεῦμα γάρ ἐστι Θεῖον,
ἐμοί συνόν καί τῷ Πατρί ὡς ὁμοούσιόν μοι,
λάθρα δ’ αἴφνης ἀφίπταται, ὡς ἥλιος εἰσδύσας,
καί κρυβηθέν ὡς ἐν ῥιπῇ ὀφθαλμοῦ, οὐχ ὁρᾶται.
Πῶς οὖν ὑπάρξει ἐν ψυχῇ μηδ’ ὅλως καθαρθείσῃ,
μή εἰς συναίσθησίν ποτε ἐλθούσῃ μετανοίας;
Ἤ πῶς καί ὑπενέγκοιτο πυρός ἀστέκτου φύσιν
ἀκάνθας γέμουσα παθῶν ψυχή καί ἁμαρτίας,
οὐσίαν πῶς χωρήσειεν ἀχώρητον εἰς ἅπαν,
πῶς σκότος οὖσα συγκραθῇ φωτί τό ἀπροσίτῳ
καί μή ἀφανισθήσεται αὐτοῦ τῇ παρουσίᾳ;
Οὐκ ἔστι, τέκνον, οὐδαμῶς δυνατόν ὅλως τοῦτο!
Ἐγώ κτισμάτων πάντων γάρ εἰμί κεχωρισμένος·
ἐπεί δέ κτίσμα γέγονα, τῶν ἁπάντων ὁ κτίστης,
σαρκί καί μόνον ὅμοιος ὑπῆρξα τοῖς ἀνθρώποις,
ψυχήν ἀναλαβόμενος καί νοῦν ὁμοίως τούτοις.
Οὐδέ γάρ πάντας ἐν ταὐτῷ τότε θεούς ἀνθρώπους
πεποίηκα, ἀλλ’ ἄνθρωπος ἐγενόμην ἐγώ μέν·
τῇ πίστει δέ καί τῶν ἐμῶν ἐντολῶν τῇ τηρήσει,
ἀλλά καί τῷ βαπτίσματι, ἐν θείᾳ μεταλήψει
τῶν φρικτῶν μυστηρίων μου πᾶσι ζωήν δωροῦμαι.
Ζωήν δ’ εἰπών ἐδήλωσα τό Πνεῦμα μου τό Θεῖον·
πλήν τοῦτο γινωσκέτωσαν, καθώς εἶπεν ὁ Παῦλος,
οἱ ἔχοντες τό Πνεῦμά μου ἐν ταῖς αὐτῶν καρδίαις,
λάμπον καί κράζον ἔχουσι πρός τόν ἐμόν Πατέρα,
καί πρός με λέγει δι’ αὐτῶν· Ὦ ἀββᾶ, ὁ πατήρ μου!
Ὡς τέκνα γάρ γεγόνασι Θεοῦ καί παρρησίᾳ
γνωρίζοντές με βλέπουσι καί πατέρα καλοῦσι·
λέγει δέ καί πρός ἕκαστον τῶν αὐτό νῦν ἐχόντων
ἐν ἑαυτοῖς παναληθῶς· Ὦ τέκνα, μή φοβεῖσθε!
Ἰδού ἐγώ, ὡς βλέπετε, ἐντός ὑμῶν ὑπάρχω
καί σύνειμι, καί τῆς φθορᾶς ἅπαξ καί τοῦ θανάτου
ἐλευθερῶ καί δείκνυμι τίνος τέκνα καί φίλους

ὑμᾶς, ἰδού, πεποίηκ· χαίρετε ἐν Κυρίῳ!
Τοῦτο οὖν ἔσται ἀληθές σημεῖον τοῖς ἀνθρώποις,
ὅτι Θεοῦ γεγόνασιν υἱοί καί κληρονόμοι,
ὅτι λαβόντες ἔχουσι τό Πνεῦμά μου τό Θεῖον,
ἐντεῦθέν τε Χριστιανοί χρηματίζουσιν ὄντως
ἀληθείᾳ καί πράγματι, οὐκ ὀνόματι μόνῳ.
Ταῦτα πιστά καί ποθεινά τυγχάνουσι, Χριστέ μου·
οὕσπερ προέγνωκας σαφῶς καί δέδωκας γενέσθαι
συμμόρφους τῆς εἰκόνος σου ἐν Πνεύματι τῷ Θείῳ,
καί πάντῃ δυνατά ἐστιν αὐτοῖς ὡς κεκλημένοις
εἰς τήν χαράν τήν ἄφραστον ὑπό σοῦ εἰς αἰῶνας.
Τοῖς δέ λοιποῖς ἀδύνατα πᾶσι δοκοῦσι ταῦτα,
οἵ καί διαβάλλοντες ἀπιστοῦσιν εἰς ἅπαν
φρεναπατοῦντες ἑαυτούς, ἤ καί παραμυθεῖσθαι
οἴονται οἱ παράφρονες ἐπί κεναῖς ἐλπίσιν,
ὑψηγοροῦντες ὡς κομψοί τοῖς ἐπηρμένοις λόγοις,
καί πρός τά φίλα ἑαυτῶν ἀλληγοροῦντες ταῦτα
τῶν φοβερῶν σου ἐντολῶν καταφρονοῦσιν ὅλως.
Σέ γάρ ζητεῖν οὐ θέλουσιν, ἔχειν γάρ σε δοκοῦσιν·
εἰ δέ ὁμολογήσουσι μή ἔχειν σε, Θεέ μου,
τότε σε πάντῃ ἄληπτον κηρύσσουσι τοῖς πᾶσι,
καί ὡς οὐδείς θεάσασθαι ἰσχύει σε ἀνθρώπων,
οὐδέ ὑπάρχει ὁ αὐτῶν ὑπερέχων ἐν γνώσει.
Ἤ γάρ τοῖς πᾶσί τε ληπτόν καί προσιτόν ἀνθρώποις,
ἤ ἄληπτον, ἀπρόσιτον διδάσκουσί σε πάντῃ·
ὅμως ἐν ἀμφοτέροις δέ σφάλλονται, μή νοοῦντες
τά θεῖα καί ἀνθρώπινα, ἐσκοτισμένοι ὄντες.
Οἷς βράβευσον φῶς γνώσεως, δός χεῖρα φόβου θείου,
δός ἀναστῆναι τῆς κακῆς ὑπονοίας τοῦ λάκκου
καί εἰς συναίσθησιν ἐλθεῖν ὅτι ἐν λάκκῳ κεῖνται,
ἐν σκότει καί καθέζονται, φῶς θεῖον οὐχ ὁρῶντες.
Ὅ μαρτυροῦσιν ὅτι νῦν εἰσίν οἱ βλέποντές σε.
Οἷς εἰ μή λάμψῃ σου τό φῶς καί ἴδωσιν ἐν γνώσει,
πῶς ἄν πιστεύσωσι τρανῶς ὅτι ἀξίοις φαίνῃ
καί συλλαλεῖς καί συνοικεῖς νῦν καί εἰς τούς αἰῶνας
αὐτοῖς ὡς φίλοις, ὡς πιστοῖς δούλοις σου, καθώς εἶπας;
Ἀλλά πιστῶν σύ εἶ Θεός, οὐχί δέ καί ἀπίστων,
οὗ χάριν πρός αὐτούς ὅλως οὐκ ἐπιβλέπεις.
Τοῖς γάρ ἀπαρνουμένοις σε καί λέγουσι μή λάμπειν
τό φῶς σου τό ἀΐδιον εἰς ψυχάς τῶν ἀξίων,
πῶς σου φωτός τό πρόσωπον ὑποδείξῃς, Σωτήρ μου;

Οὐδαμῶς, εἰ μή κτήσονται πίστιν πολλήν, ὡς εἶπας,
καί τόν νόμον φυλάξουσι τόν θεῖόν σου προθύμως
μέχρι θανάτου ἑαυτούς διά σέ ἐκδιδόντες
εἰς ἐργασίαν ἀληθῆ τῶν σοφῶν ἐντολῶν σου.
Τοῦτο οὖν τό σωτήριον πάντων τῶν σῳζομένων,
ὁδός οὐκ ἔστιν ἄλλη δέ, ὡς εἶπας, ὦ Θεέ μου.
Δός ἔλεος, δός ἔλεος δεομένοις σου, Σῶτερ,
νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων.
Ἀμήν.

# ΝΣΤ'. Εὐχή πρός Θεόν ἐπί τοῖς γεγονόσιν εἰς αὐτόν, ἱκετήριός τε ὁμοῦ καί εὐχαριστήριος.

Κύριε, δός μοι σύνεσιν, Κύριε, δός μοι γνῶσιν,
Κύριε, δίδαξον κἀμέ ποιεῖν τάς ἐντολάς σου.
Κἄν ἥμαρτον ὡς ἄνθρωπος ὑπέρ ἄνθρωπον, οἶδας,
ἀλλά σύ τῇ οἰκείᾳ σου, Θεέ μου, εὐσπλαγχνίᾳ
ἠλέησάς με τόν πτωχόν, τόν ὀρφανόν ἐν κόσμῳ,
καί ἐποίησας, Δέσποτα, ὅ μόνος σύ γινώσκεις·
ἀπό πατρός καί ἀδελφῶν, συγγενῶν τε καί φίλων,
ἀπό γῆς τῆς γενέσεως, ἐξ οἴκου γονικοῦ μου
ὡς ἐξ Αἰγύπτου σκοτεινῆς, ὡς ἐξ ᾅδου μυχῶν με
- οὕτω γάρ ἐμοί δέδωκας, τῷ εὐτελεῖ σου δούλῳ,
περί ἐκείνων ἐννοεῖν καί λέγειν ἐν συνέσει -
ἀποχωρίσας, εὔσπλαγχνε, καί προσλαβόμενός με
καί τῇ χειρί σου τῇ φρικτῇ κρατήσας ἤγαγές με,
εἰς ὅν ηὐδόκησας ἐν γῇ γενέσθαι μου πατέρα,
καί τοῖς ποσί προσέρριψας αὐτοῦ καί ταῖς ἀγκάλαις.
Κἀκεῖνός με προσήγαγε τῷ σῷ Πατρί, Χριστέ μου,
καί σοί διά τοῦ Πνεύματος, ὦ Τριάς, ὁ Θεός μου,
κλαίοντα ὡς τόν ἄσωτον καί προσπίπτοντα, Λόγε,
καθώς αὐτός ἐπίστασαι, ὅτι ἐδίδαξάς με,
καί σύ οὐκ ἀπηξίωσας υἱόν σου με καλέσαι.
Ὢ ἀναξίου στόματος καί ῥυπαρῶν χειλέων,
ὤ λόγου γλώσσης πενιχρᾶς ὑμνεῖν σε ἀπορούσης,
εὐχαριστεῖν τε καί λαλεῖν τάς σάς εὐεργεσίας,
ἅς εἰς ἐμέ τόν ὀρφανόν ἐποίησας καί ξένον,
ξένον ὑπάρχοντα ἐν γῇ. Οἱ γάρ σοί κόσμου ξένοι,
τά δέ γε σά καί τά τῶν σῶν ὀφθαλμοί οὐχ ὁρῶσιν,
γλῶσσα λαλεῖν οὐ δύναται, οὐδέ κόσμος χωρῆσαι.
Διά τοῦτο οὖν, Δέσποτα, μισεῖ ἡμᾶς ὁ κόσμος,
ἀποδιώκει, λοιδορεῖ, φθονεῖ, μαίνεται, κτείνει
καί πάντα πράσσει καθ’ ἡμῶν περιπίπτων ἐν τούτοις·
ἡμεῖς δέ, ὡς εὐδόκησας, οἱ ταπεινοί σου δοῦλοι
ἐν ἀσθενείᾳ ἰσχυροί, ἐν πενίᾳ πλουτοῦμεν,
ἐν πάσῃ θλίψει χαίρομεν ὄντες ἔξω τοῦ κόσμου.
Ἡμεῖς, ὦ Δέσποτα, σύν σοί, κόσμος δ’ ἔχει τό σῶμα.
Λοιπόν, πλανᾶται ὁ τυφλός πηλόν κατέχων μόνον,
ὅς οὐδ’ αὐτόν κερδήσειε· δώσει γάρ, ὡς ὑπέσχου,

ἐν τῇ ἐσχάτῃ σάλπιγγι πνευματικόν καί τοῦτον,
καί τότε μόνος τά κακά τά ἴδια κερδήσει
σύν τοῖς ὁμόφροσιν αὐτοῦ καί τυφλοῖς φιλοκόσμοις.

## ΝΖ'. Ὅτι ὁ τόν Θεόν ἐξ ὅλης ποθήσας ψυχῆς μισεῖ τόν κόσμον.

Σκιᾷ κρατοῦμαι καί ἀλήθειαν βλέπω,
ὅ οὐδέν ἐστιν ἤ ἐλπίς ἡ βεβαία.
Ποίαν οὖν ἐλπίς; Ἥν ὀφθαλμοί οὐκ εἶδον.
Αὕτη τί ἐστι; Ζωή, ἥν ἅπαντες ποθοῦσιν.
Ἡ δέ ζωή τί ἤ Θεός κτίστης πάντων;
Τοῦτον πόθησον καί μίσησον τόν κόσμον.
Κόσμος θάνατος, τί γάρ ἄρρεστον ἔχει;

## ΝΗ'. Διδασκαλία κοινήν σύν ἐλέγχῳ πρός πάντας· βασιλεῖς, ἀρχιερεῖς, ἱερεῖς, μονάζοντας, λαϊκούς, ὑπό στόματος λαληθεῖσα καί λεγομένη Θεοῦ.

Ὦ Χριστέ, παράσχου μοι λόγους σοφίας,
λόγους γνώσεως καί συνέσεως θείας.
Σύ γάρ οἶδάς μου τό ἀσθενές τοῦ λόγου
καί ἀμέτοχον μαθήσεως τῆς ἔξω·
σύ ἐπίστασαι, ὅτι σέ μόνον ἔχω
ζωήν καί λόγον καί γνῶσιν καί σοφίαν,
σωτῆρα Θεόν καί προστάτην ἐν βίῳ
καί ἀναπνοήν τῆς ταπεινῆς ψυχῆς μου,
ὁ ξένος ἐγώ καί ταπεινός τοῖς λόγοις.
Σύ εἶ ἡ ἐλπίς μου, σύ ἡ ἀντίληψίς μου,
σύ ἡ σκέπη μου, σύ ἡ καταφυγή μου,
σύ τό καύχημα, ὁ πλοῦτός μου, ἡ δόξα.
Σύ ἐκ τοῦ κόσμου ἠθέλησάς με, Λόγε,
κατ' εὐσπλαγχνίαν προσλαβέσθαι τόν ξένον,
τόν ἀνάξιον, τόν εὐτελῆ καί χείρω
παντός ἀνθρώπου, παντός ἀλόγου ζῴου,
καί διά τοῦτο θαρρῶν σου τῷ ἐλέει
καί αἰτοῦμαί σε καί λαλῶ καί προσπίπτω·
δός λόγον εὐθῆ, δός ἰσχύν, δός μοι κράτος
εἰπεῖν πρός πάντας τούς σοί ἀνακειμένους
καί λατρεύοντάς σοι, βασιλεῦ τῶν πάντων,
λαλῆσαι μύσταις, ἄρχουσί τε καί λάτραις,
τοῖς δοκοῦσί σε βλέπειν καί θεραπεύειν
καί δουλεύειν σοι ὡς Δεσπότῃ γνησίως.
Ἄνθρωποι πάντες, βασιλεῖς καί δυνάσται,
ἱερεῖς, ἐπίσκοποι, μονασταί καί μιγάδες,
μή ἀπαξιώσητε φωνῆς ἀκοῦσαι
καί λόγων ἐμοῦ τοῦ εὐτελοῦς ἀνθρώπου,
ἀλλά καρδίας ἀνοίξατέ μοι ὦτα
καί ἀκούσατε καί σύνετε, τί λέγει
ὁ πάντων Θεός καί πρό πάντων αἰώνων,
ὁ ἀπρόσιτος, ὁ μόνος παντοκράτωρ,
οὗ ἐν τῇ χειρί πνοή πάντων τῶν ὄντων·
Βασιλεῖς! Καλῶς ποιεῖτε πολεμοῦντες τά ἔθνη,
ἐάν μή αὐτοί τά τῶν ἐθνῶν ποιοῦντες

ἔργα καί ἔθη καί βουλάς τε καί γνώμας
καί διά πολλῶν ἔργων ὑμῶν καί λόγων
ἀπαρνῆσθε μέ, τόν ὑμῶν βασιλέα.
Κρεῖσσον ἦν ὑμῖν λόγους ἐμούς φυλάσσειν
ὀρθῶς τε ποιεῖν τάς ἐντολάς μου πάσας,
καί ἐν πτωχείᾳ τῇ μακαριζομένῃ
τόν ἀπράγμονα μεταδιώκειν βίον.
Τί γάρ ὄφελος διεκδικεῖν τόν κόσμον
ἀπό θανάτου καί προσκαίρου δουλείας,
αὐτούς δέ δούλους καί παθῶν καί δαιμόνων
τοῖς ἔργοις ὑμᾶς γίνεσθαι καθ’ ἑκάστην
καί κληρονόμους τοῦ πυρός τοῦ ἀσβέστου;
Πάντα γάρ καλά, ὅσα τις ἄλλα πράσσει
ἔργα δι’ ἐμέ καί τήν πρός τόν πλησίον
συμπάθειάν τε καί ἐλεημοσύνην,
πρῶτον δέ πάντων, εἰ ἑαυτόν οἰκτείρῃ
καί τούς λόγους  μου πάσῃ σπουδῇ φυλάξῃ
καί μετάνοιαν ἐνδείξηται γνησίαν
ὑπέρ τῶν πρῴην ἴσως ἐξειργασμένων,
ἔπειτ’ ἐν τούτοις μηκέτι ἐπιστρέψῃ,
ἀλλ’ ἐμμένῃ μου τοῦ Δεσπότου τοῖς λόγοις,
τοῖς προστάγμασι καί νόμοις ἀληθείας,
καί οὕτως ποιῇ ἀπαραβάτως πάντα
μέχρι θανάτου καί  μηδέν ψιλόν λόγον,
μηδέ κεραίαν μίαν τῶν γεγραμμένων
παραβλέψηται· τοῦτο γάρ μοι θυσία,
τοῦτό μοι θυμίαμα καί προσφορά καί δῶρον·
χωρίς δέ τούτων ἐθνικῶν ὑμεῖς χείρους.
Τῶν ἐπισκόπων οἱ πρόεδροι, σύνετε,
οἱ ὄντες ἐκσφράγισμα ἐμῆς εἰκόνος,
οἱ συλλαλεῖν μοι ἀξίως τεταγμένοι,
οἱ τῶν δικαίων ὑπερκείμενοι πάντων
ὡς ὄντες εἰς ὄνομα τῶν μαθητῶν μου
κἀμοῦ φέροντες τόν θεῖον χαρακτῆρα,
οἱ καί τοῦ κοινοῦ ἐλαχίστου συλλόγου
τήν ἐξουσίαν τοιαύτην εἰληφότες,
οἵαν ἔλαβον ἐκ τοῦ Πατρός ὁ Λόγος,
ὁ καί σαρκωθείς, Θεός ὤν κατά φύσιν,
καί διπλοῦς γενόμενος ταῖς ἐνεργείαις,
ταῖς θελήσεσι, ταῖς φύσεσιν ὡσαύτως,
ὅς ἀμέριστος, ἀσύγχυτος ὑπάρχω

Θεός ἄνθρωπος, ἄνθρωπος Θεός πάλιν·
ὡς γάρ ἄνθρωπος χερσίν ὑμῶν κρατεῖσθαι
κατηξίωσα, ὡς Θεός δέ ὑπάρχων
παντάπασιν ἄληπτός  εἰμι πηλίναις
χερσί καί ἀόρατος τοῖς μή ὁρῶσι
καί ἀπρόσιτος ὁ σφαγείς ὑπέρ πάντων,
ὁ διπλοῦς ἐγώ ἐν μιᾷ ὑποστάσει·
τῶν ἐπισκόπων οἱ διά τοῦτο
πάντων κατεπαίρεσθε τῶν ἐλαχίστων
ὡς ταπεινῶν τε καί κάτω καθημένων·
τῶν ἐπισκόπων οἱ πόρρω τῆς ἀξίας,
οὐχ ὧν τῷ λόγῳ καί συντρέχει ὁ βίος
καί σφραγίς ἐστι τῆς τούτων θεοπνεύστου
διδασκαλίας καί θεορρημοσύνης,
ἀλλ᾽ ὧν τῷ λόγῳ ἀντίκειται ὁ βίος
καί οἷς ἄγνωστα τά φρικτά μου καί θεῖα,
οἵ καί κρατεῖν οἴονται ἄρτον πῦρ ὄντα
καί ὡς ψιλοῦ μου καταφρονοῦσιν ἄρτου
καί ψωμόν ὁρᾶν καί ἐσθίειν δοκοῦσι,
τήν ἀόρατον μή ὁρῶντές μου δόξαν·
τῶν ἐπισκόπων οἱ πολλοί ἐξ ὀλίγων,
οἱ ὑψηλοί τε καί τεταπεινωμένοι
τήν κακήν ταπείνωσιν καί ἐναντίαν,
οἱ δόξαν θηρώμενοι τήν τῶν ἀνθρώπων
κἀμέ παραβλέποντες τόν κτίστην πάντων
ὡς πτωχόν καί πένητα ἀπερριμένον,
ἀναξίως ἅπτονται τοῦ σώματός μου
καί ὑπερέχειν τῶν πολλῶν ἐκζητοῦντες
ἀκλήτως εἰσέρχονται ἐμῶν ἀδύτων
ἔνδον, τοῦ νυμφῶνός τε τῶν ἀπορρήτων
ἐπιβαίνουσι χιτῶνος δίχα,
τῆς χάριτός μου, ἥν ἔλαβον οὐδέπω,
καί ἅ μή βλέπειν ἔξωθεν τούτοις θέμις·
καί μακροθυμῶ ὁ φιλάνθρωπος ἄγαν,
βαστάζων αὐτῶν τήν ἀναίσχυντον τόλμαν.
Εἰσέρχονται δέ, ὡς φίλῳ μοι λαλοῦσιν,
ᾧ οὐδ᾽ ὡς δοῦλοι ἐνέμειναν τῷ φόβῳ,
καί δεικνύουσιν ἑαυτούς ὡς οἰκείους,
οἱ μηδέ γνωρίζοντες τήν ἐμήν χάριν,
καί μεσιτεύειν τούς ἄλλους ὑπισχνοῦνται,
οἱ πολλῶν ὑπεύθυνοι πταισμάντων ὄντες.

Ἔξωθεν καλῶς στολίζοντες τό σῶμα
λαμπροί τῷ δοκεῖν καί καθαροί ὁρῶνται,
ψυχάς δέ χείρους πηλοῦ τε καί βορβόρου,
μᾶλλον δέ παντός ἰοῦ θανατηφόρου
κέκτηνται οἱ δείλαιοι ἐν πονηρίᾳ.
Ὥσπερ γάρ πάλαι Ἰούδας ὁ προδούς με
λαβών τόν ἄρτον ἐξ ἐμοῦ ἀναξίως
ἔφαγεν αὐτός ὡς μέρος κοινοῦ ἄρτου,
καί διά τοῦτο ὁ Σατανᾶς εἰσῆλθεν
εἰς τοῦτον εὐθύς καί ἀναιδῆ προδότην
ἀπειργάσατο ἐμοῦ τοῦ διδασκάλου,
ὑπουργόν αὐτόν λαβόμενος καί δοῦλον
καί ἐκπληρωτήν τῶν αὐτοῦ θελημάτων,
οὕτω καί οὗτοι πανθάνουσιν ἀγνώστως,
ὅσοι τολμηρῶς καί αὐθαδῶς τῶν θείων
ἀναξίως ἅπτονταί μου μυστηρίων,
οἱ προὔχοντες μάλιστα τῶν ἄλλων θρόνοις,
οἱ τοῦ βήματος, οἱ τῆς ἱερωσύνης,
οἱ τό συνειδός καί πρό τοῦ βεβλαμμένον
καί μετά τοῦτο πάντως κατεγνωσμένον
ἔχοντες καί βαίνοντες αὐλῇ μου θείᾳ,
καί ἀναισχύντως ἵστανται τοῖς ἀδύτοις
παρρησιαζόμενοι ἐνώπιόν μου,
μηδαμῶς τήν θείαν μου δόξαν ὁρῶντες,
ἥν εἰ ἔβλεπον, οὐκ ἄν τοῦτο ἐποίουν,
οὐδέ πρόπυλα τοῦ ναοῦ μου τοῦ θείου
οὕτως αὐθαδῶς εἰσβῆναι κατετόλμων.
Ταῦτα οὖν πάντα γνώσεται πᾶς ὁ θέλων
ἀληθῆ καί βέβαια τά γεγραμμένα
ἔργων ἐξ αὐτῶν, ὧν ἱερεῖς ποιοῦμεν,
καί ψεῦδος οὐδέν οὐδαμῶς ἄν εὑρήσῃ
καί πεισθήσεται καί καθομολογήσει
ὡς Θεός αὐτός δι᾽ ἐμοῦ ταῦτα εἶπεν.
Εἰ μή τις αὐτά τῶν ποιούντων ὑπάρχει
καί σπεύδει λόγοις ἀπατηλοῖς σκεπάσαι
καί τάς ἰδίας αἰσχύνας συγκαλύψαι,
ἅς ἐνώπιον ἀγγέλων καί ἀνθρώπων
ἀποκαλύψει ὁ τά κρυπτά τοῦ σκότους
ἀποκαλύπτων Κύριος Θεός πάντων.
Ποῖος ἐξ ἡμῶν τῶν νυνί ἱερέων
τάς ἀνομίας ἑαυτοῦ προκαθάρας

οὕτω κατετόλμησεν ἱερωσύνης;
Ποῖος ἄν εἴποι τοῦτο ἐν παρρησίᾳ,
ὅτι κατεφρόνησε δόξης τῆς κάτω
καί διά μόνην ἱερουργεῖ τήν ἄνω;
Ποῖος τόν Χριστόν ἠγάπησε καί μόνον,
καί χρυσόν πάντα καί χρήματα παρεῖδε;
Ποῖος ἠρκέσθη τοῖς κατά χρείαν μόνοις
καί τοῦ πλησίον οὐκ ἐνοσφίσατό τι;
Ποῖος τήν συνείδησιν κατεγνωσμένην
ἑαυτοῦ οὐ κέκτηται ἀπό λημμάτων,
δι’ ὧν ἠπείχθη γενέσθαι ἤ ποιῆσαι,
ὠνησάμενος ἤ πωλήσας τήν χάριν;
Ποῖος οὐ ποέκρινεν ἀξίου φίλον
τόν ἀνάξιον μᾶλλον ἐγκαταστήσας;
Ἑαυτοῦ δέ τίς οὐ σπουδάζει γνησίους
φίλους ἀνθρώπους ἐπισκόπους ποιῆσαι,
ὅπως λαμβάνῃ ἐν ἐξουσίᾳ πάντα
τά ἀλλότρια; Τοῦτο γάρ τῶν μετρίων,
ὅ καί ἀναμάρτητον δοκοῦσιν εἶναι
ἄλλης αἴροντες πράγματα ἐκκλησίας.
Ποῖος διά αἴτησιν τῶν κατά κόσμον
δυναστῶν, φίλων, πλουσίων καί ἀρχόντων
οὐκ ἐχειροτόνησε καί παρ’ ἀξίαν;
Ὄντως οὐδείς σήμερον τούτων ὑπάρχει
ἔχων ἁπάντων καθαράν τήν καρδίαν,
μή κεντούμενος ὑπό τοῦ συνειδότος,
ὅτι πάντως ἕν ἐποίησεν ὧν εἶπον,
ἀλλ’ ἐξαμαρτάνομεν ἀδεῶς πάντες,
μήτε τοῦ κακοῦ ἐκκοπήν μελετῶντες,
μηδέ τοῦ καλοῦ ποιούμενοι τήν πρᾶξιν·
καί διά τοῦτο οὐδέ μετανοοῦμεν
εἰς τό βάθος τῶν κακῶν βαπτισθέντες,
καί ἀναλγήτως ἐγκείμεθα πρός ταῦτα.
Δόξης γάρ ὑπάρχοντες ἄγευστοι θείας
τήν κάτω δόξαν παριδεῖν οὐ δυνάμεθα·
ἔρως δέ δόξης, τῆς τῶν ἀνθρώπων λέγω,
ψυχήν οὐκ ἐᾷ ταπεινωθῆναι ὅλως,
οὐδέ μέμψασθαι ἑαυτήν ἑκουσίως.
Πῶς οὖν, εἰπέ μοι, τούτων οὕτως ἐχόντων,
ὁ δόξαν θηρώμενος τήν τῶν ἀνθρώπων
καί πλούτου δεόμενος τοῦ φθειρομένου,

ὁ ἐπιθυμῶν χρυσίου πλῆθος ἔχειν,
ὁ εἰς ἁρπαγήν ἀκόρεστος τυγχάνων
καί μνησικακῶν τοῖς μή συχνῶς διδοῦσι,
Θεόν ἔνοικον ἔχειν εἰπεῖν τολμήσει
ἤ φιλεῖν Χριστόν ἤ Πνεῦμα Χριστοῦ ἔχειν;
Ὁ δέ μή Χριστόν καί τόν αὐτοῦ Πατέρα
καί τό Πνεῦμα τό Ἅγιον εἰσδεδεγμένος,
γνωστῶς οἰκοῦντα καί ἐμπεριπατοῦντα
τόν ἕνα Θεόν ἐν τῇ αὐτοῦ καρδίᾳ,
πῶς τήν δουλείαν ἐνδείξεται γνησίαν,
ἐκ τίνος δ᾽ ἄλλου τήν ταπείνωσιν μάθῃ
ἤ πῶς διδαχθήσεται θέλημα θεῖον;
Τίς μεσιτεύσει τοῦτον ἤ Θεῷ καταλλάξει
καί παραστήσει ἀνεπαίσχυντον λάτρην
Θεῷ τῷ μόνῳ καθαρῷ καί ἀχράντῳ,
ᾧ τά Χερουβίμ οὐ τολμᾷ ἀτενίσαι,
ὄντι ἀγγέλοις ἀπροσίτῳ τοῖς πᾶσι;
Τίς βεβαιώσει κρατεῖν ἀναμαρτήτως
καί ἱερουργεῖν ἀκατακρίτως τοῦτον
τοῦ ἀμώμου θύματος φρικτήν λατρείαν;
Ποῖος ἄγγελος, ποῖος ἄνθρωπος τοῦτο
εἰπεῖν δύναται ἤ ποιῆσαι ἰσχύσει;
Ἐγώ γάρ λέγω καί μαρτύρομαι πᾶσι
- μηδείς πλανάσθω, μή λόγοις ἀπατάσθω! -
ὅστις πρότερον οὐκ ἀφήσει τόν κόσμον
καί τά τοῦ κόσμου ἀπό ψυχῆς μισήσει
καί μόνον Χριστόν γνησίως ἀγαπήσει
καί ψυχήν αὐτήν δι᾽ αὐτόν ἀπολέσει,
μηδέν μεριμνῶν τῶν εἰς ζωήν ἀνθρώπου,
ἀλλ᾽ ὡς καθ᾽ ὥραν ἀποθνῄσκων τυγχάνει
καί πολλά κλαύσει δι᾽ αὐτόν, καί πενθήσει
κἀκείνου μόνου ἕξει ἐπιθυμίαν
καί διά πολλῶν θλίψεών τε καί πόνων
καταξιωθῇ Πνεῦμα λαβεῖν τό Θεῖον,
ὅ δέδωκε τοῖς θείοις ἀποστόλοις,
ἵνα δ᾽ αὐτοῦ πᾶν ἐκδιώξῃ πάθος,
πᾶσαν δι᾽ ἀρετήν εὐκόλως κατορθώσῃ
καί δακρύων κτήσηται πηγάς ἀφθόνους,
ὅθεν κάθαρσις καί ψυχῆς θεωρία,
ὅθεν τοῦ θείου θελήματος ἡ γνῶσις,
ὅθεν φωτισμός ἐλλάμψεως τῆς θείας

καί θεωρία φωτός τοῦ ἀπροσίτου,
ἐξ οὗ ἡ ἀπάθεια, ἡ ἁγιότης,
δίδοται πᾶσι τοῖς καταξιωθεῖσιν
ὁρᾶν καί ἔχειν τόν Θεόν ἐν καρδίᾳ
καί φυλάττεσθαι παρ’ αὐτοῦ καί φυλάττειν
ἀτρώτους αὐτοῦ τάς ἐντολάς τάς θείας,
ἱερωσύνην καί ψυχῶν προστασίαν
καταδέξασθαι ἤ ἄρξαι μή τολμήσῃ.
Ὥσπερ γάρ Χριστός Θεῷ Πατρί ἰδίῳ
καί προσφέρεται καί ἑαυτόν προσφέρει,
οὕτω καί ἡμᾶς αὐτός τε προσφέρει
καί αὐτός ἡμᾶς οὕτω δέχεται πάλιν.
Ἐπεί εἰς κρῖμα καί κατάκριμα ἔσται
ἡ ἐγχείρησις τῶν τοιούτων πραγμάτων,
φονέως χεῖρον, μοιχοῦ χεῖρον καί πόρνου
καί πάντων ἄλλων ἔστιν ἁμαρτημάτων.
Ταῦτα οὖν πάντα πρός βροτούς νῦν τελοῦνται,
εἰς ἀλλήλους γάρ ἁμαρτάνομεν πάντως·
ὁ δέ τά θεῖα καπηλεύων θρασέως
καί ἀπεμπολῶν τοῦ Πνεύματος τήν χάριν
εἰς αὐτόν πάντως τόν Θεόν ἁμαρτάνει.
Ὁ γάρ καταστάς εἰς πρόσωπον τοῦ Λόγου
οὕτω βιοῦν ὀφείλει ὥσπερ ἐκεῖνος
καί οὕτως· ἀκολούθει! λέγειν ἐκείνῳ.
Αἱ ἀλώπεκες ἔχουσι φωλεούς πάντως
καί τά πετεινά κατασκηνώσεις πάντα,
ἐγώ δ’ οὐκ ἔχω, τήν κεφαλήν ποῦ κλίνω,
ὁ Χριστοῦ λάτρης ἠξιωμένος.
Οὐδέν γάρ ὅλως αὐτός ἴδιον ἔχειν
οὐδέ κεκτῆσθαι ὀφείλει τι τοῦ κόσμου,
εἰ μή τήν τοῦ σώματος χρείαν καί μόνον,
τά δ’ ἄλλα πάντα τοῖς πένησι καί ξένοις
καί τῇ ἑαυτῶν προσήκει ἐκκλησίᾳ.
Εἰ δ’ αὖ τολμήσει εἰς ἰδίας ἐξόδους
ἀκαίρως χρῆσθαι τούτοις μετ’ ἐξουσίας
καί συγγενέσι τά τῶν ξένων χαρίζειν,
οἴκους τε κτίζειν καί ἀγρούς ἀγοράζειν,
καί ἀνδραπόδων ἐπισύρεσθαι πλῆθος,
οὐαί, ὁποῖον τό κατάκριμα τούτου!
Πάντως ἀνθρώπῳ παρεικάζεται οὗτος
τήν τῆς ἰδίας γυναικός ὅλην προῖκα

καταφαγόντι κακῶς ἐξ ἀφροσύνης·
ὅε ἄρα κρατηθείς καί μή ἔχων τοῦ δοῦναι
ταύτην ἀπαιτούμενος χρήματα πάντως
πρός τῇ στερήσει τῆς ἑαυτόῦ συζύγου
καί εἰς φυλακήν πέμπεται καθειρχθῆναι.
Οὕτως οὖν ἐσόμεθα οἱ ἱερεῖς καί λάτραι,
οἱ εἰς ἑαυτούς καί συγγενεῖς καί φίλους
καταχρώμενοι ταῖς τῶν ἐκκλησιῶν εἰσόδοις
καί τῶν πενήτων μή φροντίζοντες ὅλως,
ἀλλ’ οἴκους, βαλανεῖα, μοναστήρια, πύργους
κτίζοντες, προικίζοντες, γάμους ποιοῦντες
καί τῶν ἰδίων ἐκκλησιῶν ὡς ξένων
καταφρονοῦντες καί ἀμελοῦντες τούτων
καί ἐπί μακρούς χωριζόμενοι χρόνους,
οἵ καί διατρίβομεν ἐν ἀλλοτρίᾳ χώρᾳ
ἐῶντες χήρας τάς ἑαυτῶν γυναῖκας,
πρόνοιαν αὐτῶν οὐδεμίαν ποιοῦντες,
οἱ δέ καί καρτεροῦντες εἰς αὐτάς καί οἰκοῦντες,
οὐχ ὅτι τούτων κρατούμεθα τῷ πόθῳ,
ἀλλ’ ὅπως μόνον ζῶμεν ἐκ τῶν προσόδων
ἀφθόνως αὐτῶν καί κατασπαταλῶμεν.
Περί δέ ψυχῆς κάλλους τῆς Χριστοῦ νύμφης,
ποῖος ἐξ ἡμῶν τῶν ἱερέων φροντίζει;
Ἕνα μοι δεῖξον καί εἰς τοῦτον ἀρκοῦμαι.
Ἀλλ’, οὐαί ἡμῖν, τοῦ ἑβδόμου αἰῶνος
θύταις, μοναχοῖς, ἐπισκόπους καί λάτραις,
ὅτι τούς νόμους τοῦ Θεοῦ καί Σωτῆρος
καταπατοῦμεν ὡς μηδενός ἀξίους.
Καί εἴ που φανῇ μικρός εἷς ἐν ἀνθρώποις,
Θεῷ δέ μέγας ὡς αὐτοῦ ἐγνωσμένος,
μή τοῖς πάθεσιν ἡμῶν συγκαταβαίνων,
εὐθύς ἀπελαύνεται ὡς εἷς κακούργων
καί διώκεται παρ’ ἡμῶν ἐκ τοῦ μέσου
καί ἀποσυνάγωγος γίνεται, καθά πάλαι
ὁ Χριστός ἡμῶν παρά τῶν τηνικαῦτα
ἀρχιερέων καί δεινῶν Ἰουδαίων,
ὡς αὐτός ἔφη καί ἀεί τοῦτο λέγει
τῇ λαμπρᾷ φωνῇ τῶν τούτου μεγαλείων·
ἀλλ’ ἔστι Θεός, ὅς αὐτόν ἀνυψώσει
καί προσλάβεται ὡς ἐν τῷ βίῳ,
οὕτως ἐν τῷ μέλλοντι καί συνδοξάσει

πᾶσιν ἁγίοις, οὕς ἐπόθησεν οὗτος.
Ἀλλά τί φησι καί  πρός ἡμᾶς ὁ Λόγος,
τῶν μοναζόντων οἱ δοκοῦντες σπουδαῖοι;
Τό ἐντός μορφώσατε τῇ εὐσεβείᾳ
καί τό ἐκτός μοι καθαρόν πάντως ἔσται,
τό μέν γάρ ὑμῶν εἰς ὠφέλειαν ἔσται
κκαί τῶν ὁρώντων τά καλά ὑμῶν ἔργα,
τό δέ ποθεινόν ἐμοί τῷ κτίστῃ πάντων
καί ταῖς νεοραῖς τάξεσί μου καί θείαις.
Εἰ δέ τόν ἐκτός κοσμεῖτε ἀνδριάντα
τῇ καταστολῇ τῶν ἠθῶν τούτου μόνῃ
καί τοῖς ὁρῶσιν ὑμᾶς δοκεῖτε φίλοι
διά τῆς ἐκτός γυμνασίας τῶν πόνων,
φίλης ἐμῆς δέ τῆς εἰκόνος οὐδ’ ὅλως
ποιεῖσθε λόγον εἰς κάθαρσιν καί κόσμον
αὐτῆς ἐν σπουδῇ καί δάκρυσι καί πόνοις,
δι’ ἧς ἐμοί τε καί πᾶσι καθορᾶσθε
ἄνθρωποι τρανῶς λογικοί τε καί θεῖοι,
ἐοίκατέ μι ὄντως μυδῶσι τάφοις,
καθάπερ ποτέ Φαρισαῖοι, ὡς ἔφην
εἰπών ἐλέγχων τήν ἀφροσύνην τούτων.
Ἔξωθεν λαμπροί, μυδῶντες πλήρεις ἔσω,
νεκροῖς ὀστέοις μεμεστωμένοι φαύλων
καρδίας σαπρᾶς ἐνθυμήσεως, λόγων,
παθῶν, ἐννοιῶν καί μελέτης δολίας.
Τίς γάρ ἐξ ὑμῶν ἐξεζήτησε ταῦτα,
νηστείαν λέγω, σκληραγωγίαν, πόνους,
κόμην αὐχμηράν, σιδήρων καθηλώσεις,
τρίχινον ἔσθος, τύλων πλῆθος γονάτων,
ξηροκοιτίαν, χόρτον εἰς στρῶσιν κοίτης
καί πᾶσαν ἄλλην κακοπάθειαν βίου;
Καλά γε ταῦτα, εἰ καλῶς ἐκτελεῖται
τά τῆς νοερᾶς καί κρυπτῆς ἐργασίας
ὑμῶν ἐν γνώσει καί σοφίᾳ καί λόγῳ·
εἰ δ’ ἐκτός ταύτης ἐπ’ ἐκείνοις μέγα τι
φρονεῖτε ἴσως καί τό εἶναι δοκεῖτε
μηδέν δέ ὄντες ἐκείνης χωρίς, τάχα
λεπροῖς προσεοίκατε, λαμπραῖς ἐσθῆσιν
ἐστολισμένοι τῶν ὁρώντων εἰς πλάνην.
Ἀλλά τοῖς ἐκτός χαίρειν πᾶσιν εἰπόντες
μόνης γενέσθαι τῆς ἐντός ἐργασίας

σπεύσατε θερμῶς ἐν ἱδρῶσι καί πόνοις
θείων ἀρετῶν καί ἱερῶν ἀγώνων,
ἵν’ ὀφθῆτε μοι παρθένοι ταῖς ἐννοίαις,
πεφωτισμένοι τήν διάνοιαν πᾶσαν,
καί ἑνωθῆτε τῷ Λόγῳ μοι ἐν λόγῳ
σοφίας ἐμῆς καί γνώσεως τῆς κρείττω.
Τοῦ ἱεροῦ μου ἡ πληθύς λαοῦ πᾶσα,
δεῦρο σπουδαίως πρός με τόν σόν Δεσπότην.
Δεῦρο, τῶν δεσμῶν λύθητι τῶν τοῦ κόσμου,
μίσησον πλάνην τῶν αἰσθήσεων πᾶσαν,
φύγε τῶν κακῶν τάς αἰτίας ὀξέως,
ἐπιθυμίαν ὁράσεως σαρκός τε,
ἀλαζονείαν φρενῶν τε καί τοῦ βίου
καί πᾶσαν ἄλλην ἐνθύμησιν ματαίαν.
Ἅ γνῶθι κόσμου ὄντα τῆς ἀδικίας,
εἰς ὄλεθρον ἄγοντα τόν κεχρημένον
αὐτοῖς ἐμπαθῶς καί προσπαθῶς ἐν βίῳ
καί ἐχθρόν κἀμοῦ δυστυχῶς ἐκτελοῦντα.
Λαβοῦ τοῦ πόθου τῶν ἐμῶν ἐν καρδίᾳ
θείων πραγμάτων, ἀγαθῶν αἰωνίων,
ὧν σοι σαρκωθείς ἡτοίμασα ὡς φίλῳ,
ἵν’ ᾖς μοι ἀεί συνδαιτυμών ἀφράστως
ἐν τῇ τραπέζῃ τῆς ἐμῆς βασιλείας,
τῆς ἐν οὐρανοῖς μετά πάντων ἁγίων.
Γνῶθι γάρ σαυτόν, ὡς βροτός καί φθαρτός εἶ,
ὀλίγον ζωῆς λείψανον ὤν ἐν βίῳ,
καί ὡς οὐδέν σοι ἕψεται τῶν ἐκ κόσμῳ
λαμπρῶν ἤ τερπνῶν καί ἡδέων ἐντεῦθεν'
πρός τάς ἐκεῖθεν ἀπαίροντι σκηνώσεις
ἤ τά τῶν ἔργων μόνων τῶν ἐν τῷ βίῳ
φαύλων παρά σοῦ ἤ καλῶν ἐργασθέντων.
Καί γνούς τό φθαρτόν καί ἐπίκηρον πάντως,
λιπών τά κάτω, ἄνω δεῦρο, καλῶ σε
πρός με τόν Θεόν τοῦ παντός καί Σωτῆρα,
ἵν’ εἰς αἰῶνας αἰώνων ζήσῃς ὄντως
καί τῶν ἀγαθῶν τῶν ἐμῶν ἐντρυφήσῃς,
ὧν ἡτοίμασα τοῖς ἐμέ ἀγαπῶσιν
ἀεί τε καί νῦν, ἀμήν εἰς τούς αἰῶνας.

# ΕΠΙΣΤΟΛΕΣ.

# ΕΠΙΣΤΟΛΗ Α'. Περί ἐξομολογήσεως.

1. Ἐπέταξας τῇ εὐτελείᾳ ἡμῶν, πάτερ καί ἀδελφέ, ἐρωτηματικῶς εἰπεῖν σοι, «*εἰ ἄρα ἐνδέχεται εἰς μονάζοντας τινας ἐξαγγέλειν τάς ἁμαρτίας αὐτῶν ἱερωσύνην μή ἔχοντας*», προσθείς καί τοῦτο· «*ἐπειδή ἀκούομεν τήν τοῦ δεσμεῖν καί λύειν ἐξουσίαν τοῖς ἱερεῦσι δίδοσθαι μόνοις*». Καί ταῦτα μέν τῆς σῆς φιλοθέου ψυχῆς καί τοῦ διαπύρου πόθου καί φόβου τά ῥήματα καί ψυχωφελῆ ἐρωτήματα. Ἡμεῖς δέ ἀπεδεξάμεθά σου μέν τήν πρός τά καλά πρόθεσιν ὅτι ζητεῖς μανθάνειν περί θείων καί ἱερῶν πραγμάτων, ἡμεῖς δέ οὐχ οἷοί τε τοιαῦτα διακρίνειν καί γράφειν ἐσμέν καί διά τοῦτο σιωπᾶν ἐβουλόμεθα· τό γάρ πενυματικοῖς πνευματικά συγκρίνειν τῶν ἀπαθῶν καί ἁγίων ἐστίν ἀνδρῶν, ὧν ἡμεῖς κατά πολύ βίῳ καί λόγῳ καί ἀρεταῖς διεστήκαμεν.

2. Ἀλλ' ἐπεί «*ἐγγύς*» ὡς γέγραπται «*Κύριος πᾶσι τοῖς ἐπικαλουμένοις αὐτόν ἐν ἀληθείᾳ*» τοῦτον κἀγώ ὁ ἀνάξιος ἐπικαλεσάμενος ἐν ἀληθείᾳ ταῦτά σοι οὐ δι' ἐμῶν λόγων, ἀλλ' ἐξ αὐτῆς τῆς θείας καί θεοπνεύστου γραφῆς λέξω, οὐ διδάσκων ἀλλά τάς μαρτυρίας περί τῶν ἐπερωτηθέντων μοι φέρων ἐξ αὐτῆς σοι, ἵνα ἐξ ἀμφοτέρων τῶν κρημνῶν τῇ τοῦ Θεοῦ χάριτι ἐμαυτόν καί τούς ἀκούοντάς μου διατηρήσω, τοῦ τε τοῦ τό τάλαντον κατακρύψαντος καί τοῦ ἀναξίως τά θεῖα καί κενοδόξως μᾶλλον δέ ἐσκοτισμένως ἐκτιθέντος δόγματα.

Πόθεν οὖν τήν ἀρχήν τοῦ λόγου ποιήσωμεν ἤ ἐκ τῆς ἀνάρχου τῶν πάντων ἀρχῆς; Τοῦτο γάρ ἄμεινον, ἵν' ᾖ καί τά λεγόμενα βέβαια. Οὐ γάρ παρ' ἀγγέλων ἐκτίσθημεν, οὐδέ παρά ἀνθρώπων ἐμάθομεν, ἀλλ' ἐκ τῆς ἄνωθεν σοφίας εἴτ' οὖν τῆς διά τοῦ πνεύματος χάριτος μυστικῶς ἐδιδάχθημεν καί καθ' ὥραν ἀεί διδασκόμεθα, ἥντινα καί νῦν ἐπικαλεσάμενοι λέξωμεν ὧδε, τόν τρόπον πρότερον τῆς ἐξαγορεύσεως καί τήν δύναμιν ἐξειπόντες.

3. Ἐξαγόρευσις τοίνυν οὐδέν ἄλλο ἐστίν ἤ χρεῶν ὁμολογία εἴτ' οὖν ἐπίγνωσις σφαλμάτων καί ἀφροσύνης ἰδίας ἤγουν πτωχείας κατάγνωσις· καθώς ἐν εὐαγγελίοις παραβολικῶς εἶπεν ὁ Κύριος· «*δανειστῇ τινι*», φησίν, «*ἦσαν δύο χρεωφειλέται καί ὁ μέν εἷς ὤφειλεν αὐτῷ δηνάρια πεντήκοντα, ὁ δέ ἕτερος πεντακόσια· μή ἐχόντων οὖν ἀποδοῦναι ἀμφοτέροις ἐχαρίσατο*». Τοιγαροῦν ἅπας πιστός χρεώστης ὑπάρχει τοῦ ἰδίου Δεσπότου καί Θεοῦ καί ὅ παρ' αὐτοῦ ἔλαβε, τοῦτο δή καί ἀπαιτηθῆναι μέλλει ἐπί τοῦ φοβεροῦ καί φρικτοῦ κριτηρίου αὐτοῦ, ὅτε γυμνοί καί τετραχηλισμένοι ἅπαντες, βασιλεῖς ὁμοῦ καί πτωχοί, παριστάμεθα. Τίνα δέ εἰσι τά δοθέντα ἡμῖν παρ' αὐτοῦ ἄκουσον. Πολλά μέν οὖν ἄλλα ἅ οὐδείς ἀνθρώπων ἰσχύσει ἐναριθμῆσαι, τέως δέ τά κρείττω καί τελεώτερα, τήν ἐκ τῆς καταδίκης ἐλευθερίαν, τόν ἐκ τοῦ μιασμοῦ ἁγιασμόν, τήν ἐκ τοῦ σκότους πρός τό ἀνεκλάλητον αὐτοῦ φῶς πρόοδον, τό τέκνα καί υἱούς αὐτοῦ καί κληρονόμους διά τοῦ θείου γενέσθαι βαπτίσματος, τό αὐτόν τόν Θεόν ἐπενδύσασθαι, τό μέλη γενέσθαι αὐτοῦ καί τό Ἅγιον Πνεῦμα λαβεῖν ἐνοικοῦν ἐν ἡμῖν, ὅπερ σφραγίς ὑπάρχει βασιλική, ἐν ᾗ τά ἴδια πρόβατα σφραγίζει ὁ Κύριος - καί τί πολλά

λέγω; - τό ὁμοίους καί ἡμᾶς αὐτοῦ ποιῆσαι καί ἀδελφούς καί συγκληρονόμους αὐτοῦ ἀπεργάσασθαι.Ταῦτα πάντα καί ἄλλα πλείονα τούτων τοῖς βαπτιζομένοις εὐθύς ἀπό τοῦ θείου βαπτίσματος δίδοται, ἅτινα καί ὁ θεῖος Ἀπόστολος θεῖον πλοῦτον καί κλῆρον κατονομάζει.

4. Αἱ δέ ἐντολαί τοῦ Δεσπότου ὥσπερ τῶν ἀπορρήτων τούτων χαρισμάτων καί δωρεῶν ἐδόθησαν φύλακες, οἷα δή ὥσπερ τεῖχος πάντοθεν περικυκλοῦσαι τόν πιστόν καί τόν ἐναποκείμενον θησαυρόν ἐν τῇ ψυχῇ ἄσυλον διατηροῦσαι καί πᾶσιν ἐχθροῖς καί κλέπταις ποιοῦσαι ἀνεπιχείρητον. Ἀλλά γάρ νομίζομεν φυλάττεσθαι παρ' ἡμῶν τάς ἐντολάς τοῦ φιλανθρώπου Θεοῦ καί ἐπί τούτῳ ἀχθόμεθα, ἀγνοοῦντες ὅτι μᾶλλον παρ' ἐκείνων ἡμεῖς φυλαττόμεθα· Ὁ γάρ τάς τοῦ Θεοῦ τηρῶν ἐντολάς οὐκ ἐκείνας ἀλλ' ἑαυτόν διατηρεῖ καί φυλάττει ἀπό τῶν ὁρωμένων καί ἀοράτων ἐχθρῶν, περί ὧν ὡς ἀναριθμήτων ὄντων καί φοβερῶν ὁ Παῦλος ἐδήλωσε λέγων· «*οὐκ ἔστιν ἡμῖν ἡ πάλη πρός αἷμα καί σάρκα ἀλλά πρός τάς ἀρχάς, πρός τάς ἐξουσίας, πρός τούς κοσμοκράτορας τοῦ σκότους τοῦ αἰῶνος τούτου, πρός τά πνεύματα τῆς πονηρίας ἐν τοῖς ἐπουρανίοις*», τά ἐν τῷ ἀέρι δηλονότι, τούτων ἀφανῶς ἀεί παρατασσομένων καθ' ἡμῶν.

Ὁ οὖν φυλάττων τάς ἐντολάς φυλάττεται παρ' αὐτῶν καί τόν ἐμπιστευθέντα αὐτῷ παρά τοῦ Θεοῦ πλοῦτον οὐκ ἀπόλλυσιν· ὁ δέ ἐκείνων καταφρονῶν γυμνός εὑρίσκεται καί εὐχείρωτος τοῖς ἐχθροῖς καί τόν πλοῦτον ἀπολέσας ἅπαντα ὑπόχρεως τῷ βασιλεῖ καί δεσπότῃ γίνεται πάντων ἐκείνων ὧν εἴπομεν, ὑπέρ ὧν ἀνταποδοῦναί τι ἤ ταῦτα εὑρεῖν δυνατόν οὐκ ἔστιν ἀνθρώπῳ· οὐράνια γάρ εἰσι καί ἀπό τῶν οὐρανῶν ἦλθε καί καθ' ἑκάστην ἔρχεται κομίζων καί διανέμων αὐτά τοῖς πιστοῖς, καί ποῦ οἱ λαβόντες καί ἀπολέσαντες εὑρεῖν αὐτά πάλιν δυνήσονται; Ὄντως οὐδαμοῦ. Ὡς οὐδέ ὁ Ἀδάμ ἤ τίς τῶν ἐκείνου υἱῶν ἀνάκλησιν ἑαυτοῦ ἤ τῶν συγγενῶν ἴσχυσεν ἀπεργάσασθαι, εἰ μή ὁ ὑπέρ φύσιν Θεός καί κατά σάρκα υἱός αὐτοῦ γεγονώς, ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός, ἐλθών κἀκεῖνον καί ἡμᾶς τοῦ πτώματος ἐξήγειρε θεϊκῇ δυνάμει, Ὁ δέ μή πάσας τάς ἐντολάς ἀλλά τινάς μέν φυλάττειν δοκῶν, τινάς δέ προδιδούς γινωσκέτω ὅτι κἄν μιᾶς ἀμελήσῃ καί οὕτω τόν πλοῦτον ὅλον ἀπόλλυσιν. Ὑπόθου γάρ μοι δώδεκα ἄνδρας ἐνόπλους εἶναι τάς ἐντολάς καί κυκλόθεν ἱσταμένους καί μέσον αὐτῶν γυμνόν σε ὄντα φυλάττοντας· τοιούτους δέ πάλιν ἄλλους μοι νόει περιστοιχοῦντας πάντοθεν καί ἐπικειμένους ἀντιπάλους πολεμιστάς καί λαβεῖν σε ζητοῦντας καί κατασφάξαι εὐθύς. Εἰ οὖν εἷς ἐκ τῶν δώδεκα θελήματι οἰκείῳ καταπέσειε καί τῆς φυλακῆς ἀμελήσειε καί ὡς θύραν ἀνεῳγμένην τῷ ἀντιπάλῳ τόν τόπον αὐτοῦ ἐάσειε, τί τῶν λοιπῶν ἕνδεκα ἀνδρῶν τό ὄφελος ἔσται, τοῦ ἑνός μέσον εἰσελθόντος αὐτῶν καί σε ἀφειδῶς κατατέμνοντος, ὡς ἐκείνων μή ἐπιστραφῆναι δυναμένων πρός σήν βοήθειαν; Εἰ γάρ καί ἐπιστραφῆναι θελήσουσι κἀκεῖνοι ὑπό τῶν ἀντιδίκων ἀναλωθήσονται. Οὕτως δέ πάντως ἔσται καί ἐπί σοῦ μή φυλάσσοντος τάς ἐντολάς. Ὑπό γάρ ἑνός τρωθέντος σου ἐχθροῦ καί καταπεσόντος πᾶσαι αἱ ἐντολαί ἀφίπτανται ἀπό σοῦ καί κατά μικρόν τήν ἰσχύν ἀφαιρῇ, ἄλλως δέ ὡς ἀγγεῖον οἴνου πεπλησμένον ἤ ἐλαίου, εἰ καί μή πάντοθεν διατρηθῇ, ἀλλ' ἐξ ἑνός μέρους μιᾶς γενομένης ὀπῆς ὅλον τό ἔνδον κατ' ὀλίγον ἀπόλλυσιν, οὕτω καί μιᾶς

ἀμελῶν ἐντολῆς κατά μικρόν καί τῶν ἄλλων ἁπασῶν ἐκπίπτεις, καθώς φησιν ὁ Χριστός· «*τῷ ἔχοντι δοθήσεται καί τά περισσευθήσεται, ἀπό δέ τοῦ μή ἔχοντος καί ἅ δοκεῖ ἔχειν ἀρθήσεται ἀπ' αὐτοῦ*», καί πάλιν· «*ὁ λύσας μίαν τῶν ἐντολῶν τούτων καί διδάξας - διά τῆς παραβάσεως δηλονότι - τούς ἀνθρώπους οὕτω ποιεῖν, ἐλάχιστος κληθήσεται ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν*». Καί ὁ Παῦλος· «*ᾧ γάρ τις ἥττηται, τούτῳ καί δεδούλωται*», καί πάλιν· «*τό δέ κέντρον τοῦ θανάτου ἡ ἁμαρτία*», καί οὐκ εἶπεν ὅτι ἥδε ἤ ἥδε, ἀλλά οἷα δ' ἄν καί εἴη ἡ ἁμαρτία, αὕτη κέντρον τοῦ θανάτου ἐστίν. Κέντρον δέ τοῦ θανάτου τήν ἁμαρτίαν καλεῖ, ὅτι οἱ τιτρωσκόμενοι θνῄσκουσιν. Ἔστιν οὖν πᾶσα ἁμαρτία πρός θάνατον, «*ἅπαξ γάρ ὁ ἁμαρτήσας, ὡς ὁ Παῦλός φησιν, ἤδη τέθνηκεν*», ὑπόδικος γεγονώς χρέους καί ἁμαρτίας, ὑπό τῶν λῃστῶν ἐαθείς κείμενος.

5. Ὁ οὖν ἀποθανών τί ἄλλο εἰ μή τό ἀναστῆναι ἐπιποθεῖ καί ὁ χρεωστῶν καί μή ἔχων ἀποδοῦναι εἰ μή τό λύσιν τοῦ χρέους λαβεῖν καί μή εἰς φυλακήν βληθῆναι, ἕως ἄν τό ὄφλημα ἀποδῷ, ὅπερ καί διά τό μή ἔχειν οὐδέποτε τῆς αἰωνίου φυλακῆς ἤγουν τοῦ σκότους ὑπεξελεύσεται. Οὕτως καί ὁ ὑπό τῶν νοητῶν λῃστῶν συνστριβείς πάντως ἰατρόν ζητεῖ πρός αὐτόν ἐλθεῖν συμπαθῆ τε καί εὔσπλαγχνον. Οὐ γάρ ἔχει ζέοντα τόν τοῦ Θεοῦ φόβον ἐν ἑαυτῷ, ἵνα πρός τόν ἰατρόν ἐκεῖνος μᾶλλον πορεύσηται, ἀλλ' ὑπό τῆς καταφρονήσεως τήν τῆς ψυχῆς δύναμιν ἐκλυθείς κεῖται θέαμα φρικτόν καί ἐλεεινόν τοῖς ὁρῶσι καλῶς, μᾶλλον δέ πνευματικῶς τά ψυχικά παραπτώματα. Ὁ τοίνυν δοῦλος γεγονώς διά τῆς ἁμαρτίας τῷ διαβόλῳ - «*οὐκ οἴδατε γάρ φησιν ὅτι δοῦλοί ἐστε ᾧ ὑπακούετε εἴτε δικαιοσύνης εἰς δικαιοσύνην εἴτε ἀνομίας εἰς ἀνομίαν*» - καί εἰς καταγέλωτα τοῦ Πατρός καί Θεοῦ, καταπάτημα δέ τοῖς ἐχθροῖς τοῖς ἀποστατήσασιν ἀπό Θεοῦ ὁ τοιοῦτος γεγονώς καί γυμνός τῆς βασιλικῆς ἁλουργίδος καί μεμελανωμένος ἀπολειφθείς, ἀντί τέκνου δέ Θεοῦ τέκνον τοῦ διαβόλου γενόμενος, τί διαπράξεται, ἵνα πάλιν ἐν κατασχέσει γένηται ὧνπερ ἐξέπεσεν; Πάντως ὅτι μεσίτην καί φίλον Θεοῦ ζητήσει καί δυνατόν εἰς τό ἀποκαταστῆσαι αὐτόν ὡς τό πρότερον καί τῷ Θεῷ καί Πατρί καταλλάξαι αὐτόν. Ὁ γάρ τῷ Χριστῷ κολληθείς διά τῆς χάριτος καί μέλος αὐτοῦ γεγονώς καί υἱοθετηθείας αὐτῷ εἶτα τοῦτον ἀφείς ὥσπερ κύων εἰς τόν ἴδιον ἔμε τον ἐπιστρέψει, καί ἤ πόρνῃ γυναικί συμπλακῇ ἤ ἑτέρῳ σώματι συναφθῇ, ὡς τόν Χριστόν ἀτιμάσας καί ἐνυβρίσας μετά τῶν ἀπίστων κατακρίνεται, ἐπειδή κατά τόν θεῖον Ἀπόστολον «*σῶμα Χριστοῦ ἐσμεν καί μέλη ἐκ μέρους*». Ὁ οὖν συμπλεκόμενος τῇ πόρνῃ τά μέλη τοῦ Χριστοῦ μέλη πόρνης ποιεῖ. Ὁ δέ τοιαῦτα πεπραχῶς καί οὕτω παρoργίσας τόν Δεσπότην αὐτοῦ καί Θεόν οὐ δύναται ἄλλως καταλλαγῆναι Θεῷ, εἰ μή διά μεσίτου ἀνδρός ἁγίου καί φίλου καί δούλου Χριστοῦ καί διά τῆς ἀποφυγῆς τοῦ κακοῦ.

6. Διά τοῦτο φύγωμεν τήν ἁμαρτίαν πρῶτον· εἰ γάρ καί ταύτης τῷ βέλει τρωθῶμεν, ἀλλά μή ἐγχρονίσωμεν, τῷ ἰῷ ταύτης ὡς μελίτη γλυκαινόμενοι, μηδέ ὡς ἄρκτος πληγεῖσα τό τραῦμα μεῖζον διά τῆς αὐτῆς πράξεως ἐργασώμεθα, ἀλλ' εὐθύς πρός τόν πνευματικόν ἰατρόν δράμωμεν καί τόν ἰόν τῆς ἁμαρτίας διά τῆς ἐξαγορεύσεως ἐξεμέσωμεν, τό δηλητήριον αὐτῆς ἀποπτύσαντες, καί ὡς ἀντιφάρμακον τά διδόμενα τῆς μετανοίας ἐπιτίμια σπουδαίως παρ' αὐτοῦ λάβωμεν καί μετά πίστεως ἀεί θερμῆς ταῦτα

ἐπιτελεῖν καί ἐν φόβῳ Θεοῦ ἀγωνισώμεθα. Πάντες γάρ οἱ τόν ἐμπιστευθέντα πλοῦτον αὐτοῖς κενώσαντες ἅπαντα καί μετά πορνῶν καί τελωνῶν τήν πατρικήν οὐσίαν καταναλώσαντες καί ὑπό πολλῆς αἰσχύνης τό συνειδός αὐτῶν κάτω νεῦον καί μηδέ ἀνανεῦσαι δυνάμενον ἔχοντες, ἀπαρρησίαστοι ὄντες ζητοῦσιν εἰκότως ἄνθρωπον Θεοῦ ἀνάδοχον γενέσθαι τοῦ χρέους αὐτῶν, ἵνα δι᾽ αὐτοῦ προσέλθωσιν αὐτῷ, ὅπερ ὡς οἶμαι γενέσθαι ἀδύνατον ἄνευ μετανοίας εἰλικρινοῦς κάι ἐπιπόνου τοῦ μέλλοντος ἤ καί βουλομένου καταλλαγῆναι Θεῷ. Οὐδέ γάρ ἠκούσθη ποτέ ἤ ἐν ταῖς θεοπνεύστοις γέγραπται γραφαῖς, ἵνα τις ἀναδέξηται ἁμαρτίας ἑτέρου καί ὑπέρ αὐτῶν ἐκεῖνος ἀπολογήσηται μή ἀξίους τῆς μετανοίας τοῦ ἡμαρτηκότος πρῶτον καί ἀναλόγους τοῦ εἴδους τῆς ἁμαρτίας ἐνδειξαμένου καί καταβαλλομένου τούς πόνους καί πεποιηκότος αὐτῆς τούς καρπούς· φησί γάρ ἡ πρόδρομος τοῦ Λόγου φωνή· «*ποιήσατε καρπούς ἀξίους τῆς μετανοίας καί μή δόξητε λέγειν ἐν ἑαυτοῖς, πατέρα ἔχομεν τόν Ἀβραάμ*», ἐπειδή καί αὐτός ὁ Κύριος ἡμῶν περί τῶν ἀνοήτως διακειμένων οὕτως ἔφη· «*ἀμήν λέγω ὑμῖν, κἄν Μωσῆς κἄν Δανιήλ στήσωνται, ὥστε ἐξελέσθαι υἱούς αὐτῶν καί θυγατέρας, οὐ μή ἐξέλωνται*». Τί οὖν ποιήσομεν ἤ τίνα τρόπον πρός ἄφεσιν τοῦ χρέους καί ἀνάκλησιν τοῦ πτώματος οἱ μετανοῆσαι βουλόμενοι ἐπινοησόμεθα; Θεοῦ διδόντος ἀκούσατε, ἵνα πρός ἕκαστον ὑμῶν διαθήσομαι.

7. Μεσίτην, εἰ βούλει, καί ἰατρόν καί σύμβουλον ἀγαθόν ἐκζήτησον, ἵνα μετανοίας μέν τρόπους τῇ ἀγαθῇ συμβουλῇ ἁρμαζόντως ὑπόθηται ὡς σύμβουλος ἀγαθός, ὡς ἰατρός δέ φάρμακον ἑκάστῳ κατάλληλον τραύματι ἐπιδώσει σοι, ὡς δέ μεσίτης δι᾽ εὐχῆς καί τῆς πρός Θεόν ἐντεύξεως ἐνώπιον αὐτοῦ ἐκεῖνος πρόσωπον πρός πρόσωπον παραστάς ὑπέρ σοῦ τό Θεῖον ἐξιλεώσηται. Μή οὖν κόλακα ἤ κοιλιόδουλον εὑρών σύμβουλον καί σύμμαχον ἀγωνίσῃ ποιῆσαι, ἵνα μή τῷ σῷ συνερχόμενος θελήματι οὐχί ὁ Θεός ἀγαπᾷ, ἀλλ᾽ ἅπερ σύ ἀποδέχῃ ταῦτα διδάξῃ σε καί μείνῃς πάλιν ὄντως ἐχθρός ἀκατάλλακτος, μηδέ ἄπειρον ἰατρόν, ὡς ἄν μή τῇ πολλῇ ἀποτομίᾳ και ταῖς ἀκαίραις τομαῖς τε καί καύσεσιν εἰς ἀπογνώσεως βυθόν παραπέμψῃ σε ἤ πάλιν τῇ ὑπερμέτρῳ συμπαθείᾳ νοσοῦντα ἐάσῃ σε καί ὑγιαίνειν οἰόμενον, τό δεινότατον, τῇ αἰωνίᾳ παραδώσει σε κολάσει ὡς οὐκ ἐλπίζεις· τοῦτο γάρ ἡ ἐνταῦθα νόσος τῆς ψυχῆς συναποθνῄσκουσα ἡμῖν προξενεῖ. Μεσίτην δέ Θεοῦ καί ἀνθρώπων οὐκ οἶμαι οὕτως ἁπλῶς εὑρίσκεσθαι. «*Οὐ γάρ πάντες οἱ ἐξ Ἰσραήλ οὗτοι Ἰσραηλῖταί εἰσιν*», ἀλλ᾽ οἱ κατά τό ὄνομα καί αὐτήν τήν τοῦ ὀνόματος δύναμιν ἐναργῶς ἐπιστάμενοι καί νοῦς ὄντες ὁρῶντες τόν Θεόν, οὐδέ πάντες οἱ τῷ τοῦ Χριστοῦ καλούμενοι ὀνόματι ὄντως Χριστιανοί. «*Οὐ γάρ πᾶς ὁ λέγων μοι Κύριε, Κύριε, φησίν ὁ Χριστός, εἰσελεύσεται εἰς τήν βασιλείαν τῶν οὐρανῶν, ἀλλ᾽ ὁ ποιῶν τό θέλημα τοῦ πατρός μου*», ὥσπερ καί «*πολλοί, φησίν, ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἐροῦσί μοι· Κύριε, οὐ τῷ σῷ ὀνόματι δαιμόνια ἐξεβάλομεν, καί ἐρῶ αὐτοῖς· ἀμήν λέγω ὑμῖν, οὐκ οἶδα ὑμᾶς, ἀπέλθατε ἀπ᾽ ἐμοῦ ἐργάται τῆς ἀνομίας*».

8. Διά τοῦτο οὖν προσέχειν δεῖ πάντας ἡμᾶς, ἀδελφοί, τούς τε μεσιτεύοντας τούς τε ἡμαρτηκότας καί αὐτούς τούς βουλομένους καταλλαγῆναι Θεῷ, ἵνα μήτε οἱ μεσιτεύοντες ὀργήν ἀντί μισθοῦ ἐπισπάσωνται, μήτε οἱ προσκεκρουκότες καί καταλλαγῆναι

σπουδάζοντες ἐχθρῷ καί φονεῖ καί πονηρῷ συμβούλῳ ἀντί μεσίτου ἐντύχωσιν. Οἱ γάρ τοιοῦτοι μετά ἀπειλῆς φρικτῆς ἀκούσονται· «*τίς ὑμᾶς κατέστησεν ἄρχοντας καί δικαστάς τοῦ λαοῦ μου*», καί πάλιν· «*ὑποκριτά, ἔκβαλε πρῶτον τήν δοκόν ἐκ τοῦ ὀφθαλμοῦ σου καί τότε διαβλέψεις ἐκβάλλειν τό κάρφος τό ἐν τῷ ὀφθαλμῷ τοῦ ἀδελφοῦ σου*». Δοκός δέ ἐστι πάθος ἕν ἤ ἐπιθυμία τις ἐπισκοτοῦσα τόν ὀφθαλμόν τῆς ψυχῆς. Καί αὖθις· «*ἰατρέ, θεράπευσον σεαυτόν*», καί πάλιν· «*τῷ δέ ἁμαρτωλῷ εἶπεν ὁ Θεός· ἱνατί σύ ἐκδιηγῇ τά δικαιώματά σου καί ἀναλαμβάνεις τήν διαθήκην μου διά στόματός σου; Σύ δέ ἐμίσησας παιδείαν καί ἐξέβαλες τούς λόγους μου εἰς τά ὀπίσω*», καί ὁ Παῦλος φησιν· «*σύ τίς εἶ ὁ κρίνων ἀλλότριον οἰκέτην; Τῷ ἰδίῳ κυρίῳ στήκει ἤ πίπτει· δυνατός δέ ἐστιν ὁ Θεός, διά τοῦ πιστοῦ δούλου αὐτοῦ, στῆσαι αὐτόν*».

9. Διά ταῦτα τοιγαροῦν πάντα φρίττω καί τρέμω, ἀδελφοί καί πατέρες μου, καί παρακαλῶ πάντας ὑμᾶς ἐξασφαλιζόμενος καί ἐμαυτόν διά τῆς πρός ὑμᾶς παρακλήσεως μή καταφρονητικῶς ἔχει περί τά θεῖα ταῦτα καί φρικτά τοῖς πᾶσι μυστήρια μηδέ παίζειν ἐν οὐ παικτοῖς μηδέ κατά τῆς ψυχῆς ἡμῶν διά κενοδοξίαν ἤ φιλοδοξίαν ἤ ἐμπορίαν ἤ ἀναισθησίαν· γίνεται γάρ διά τό ῥαβδί καί πατέρες καλεῖσθαι ἀλλοτρίους ἀναδέχεσθαι λογισμούς. Μή, παρακαλῶ, μή ἀναισχύντως οὕτως ἁπλῶς τήν τῶν ἀποστόλων ἀξίαν ἁρπάζωμεν, ἀπό τοῦ ἐπί γῆς ὑποδείγματος παιδευόμενοι. Εἰ γάρ τῷ ἐκπροσωποῦντι τῷ ἐπιγείῳ βασιλεῖ ἐξομοιωθῆναί τις τολμήσει κατά αὐθάδειαν, καί τά ἐκείνῳ ἐμπιστευθέντα κρατεῖν καί ποιεῖν λάθρα φωραθῇ ἤ καί φανερῶς μετεπαγγέλληται διαπράττεσθαι, αὐτός καί οἱ αὐτοῦ συμμύσται καί ὑπήκοοι τιμωρίαις ἐσχάταις εἰς φόβον τῶν ἄλλων καθυποβάλλονται καί ὡς ἄφρων καί ἀναίσθητος παρά πάντων καταγελᾶται, τί πείσονται εἰς τό μέλλον οἱ τήν τῶν ἀποστόλων ἀξίαν ἀναξίως ἁρπάζοντες;

Ἀλλά γάρ μηδέ μεσῖται τῶν λοιπῶν πρό τοῦ πλησθῆναι ὑμᾶς Πνεύματος Ἁγίου γενέσθαι θελήσητε καί πρό τοῦ γνωρίσαι καί φιλιωθῆναι ὑμᾶς ἐν αἰσθήσει ψυχῆς τῷ βασιλεῖ τῶν ἁπάντων, ἐπειδή οὐδέ πάντες οἱ τόν ἐπίγειον βασιλέα γνωρίζοντες καί τούς ἄλλους εἰς αὐτόν δύνανται μεσιτεύειν. Ὀλίγοι γάρ λίαν τοῦτο δύνανται ποιεῖν, οἵτινες ἐξ ἀρετῆς καί ἱδρώτων ἤτοι δουλειῶν αὐτῶν τῶν τήν πρός αὐτόν παρρησίαν ἐκτήσαντο καί οὐχί μεσίτου κἀκεῖνοι δεόμενοι ἀλλά στόμα πρός στόμα συλλαλοῦντες τῷ βασιλεῖ. Οὐ φυλάξομεν τοιγαροῦν καί ἐπί Θεῷ ταύτην τήν τάξιν, πατέρες καί ἀδελφοί, οὐ τιμήσομεν τόν ἐπουράνιον βαιλέα κἄν ἶσον τοῦ ἐπιγείου, ἀλλ’ ἑαυτοῖς τήν ἐκ δεξιῶν αὐτοῦ καί εὐωνύμων καθέδραν καί πρό τοῦ αἰτήσασθαι καί λαβεῖν προαρπάζοντες χαρισόμεθα; Ὢ τόλμης! Ποία αἰσχύνη ἡμᾶς καταλάβοι; Ὅτι εἰ μή δι’ ἄλλο τι ἐγκληθησόμεθα· ἀλλά γε διά τοῦτο μόνον ὡς καταφρονηταί μετά ἀτιμίας καί τῆς προεδρίας στερηθησόμεθα καί εἰς τό πῦρ τό ἄσβεστον ἀπορριφησόμεθα. Ἀλλ’ ἀρκεῖ ταῦτα πρός νουθεσίαν τῶν προσέχειν ἑαυτοῖς βουλομένων· τούτου γάρ χάριν καί παρεκβατικώτερον τῆς προκειμένης ὑποθέσεως τόν λόγον πεποιήκαμεν.Ἡμεῖς δέ εἴπωμεν ἄρτι, ὅπερ, τέκνον, μαθεῖν ἐπεζήτησας.

Ὅτι γάρ ἐνδέχεται εἰς μοναχόν ἱερωσύνην μή ἔχοντα ἐξαγγέλειν ἡμᾶς, τοῦτο ἀφ’ οὗ

τό τῆς μετανοίας ἔνδυμά τε καί πρόσχημα ἐκ Θεοῦ ἐδωρήθη τῇ κληρονομίᾳ αὐτοῦ καί μοναχοί ὠνομάσθησαν ἐπί πάντας εὑρήσεις γενόμενον, καθώς ἐν ταῖς θεοπνεύστοις τῶν πατέρων γραφαῖς ἐγγράφεται, ἐν αἷς ἐγκύψας εὑρήσεις ὡς ἀληθῆ τά λεγόμενα. Πρό δέ τούτων ἀρχιερεῖς μόνοι τοῦ δεσμεῖν καί λύειν τήν ἐξουσίαν κατά διαδοχήν ὡς ἐκ τῶν θείων ἀποστόλων ἐλάμβανον, τοῦ χρόνου δέ προϊόντος καί τῶν ἀρχιερέων ἀχρειουμένων εἰς ἱερεῖς βίον ἔχοντας ἄμωμον καί χάριτος θείας ἠξιωμένους ἡ φρικτή ἐγχείρησις αὕτη προβέβηκεν· εἶτα καί τούτων ἀναμίξ γενομένων, τῶν ἱερέων ὁμοῦ καί ἀρχιερέων τῷ λοιπῷ ἐξομοιουμένων λαῷ καί πολλῶν ὡς καί νῦν περιπιπτόντων πνεύμασι πλάνης καί ματαίας κενοφωνίαις καί ἀπολλυμένων, μετήχθη, ὡς εἴρηται, εἰς τόν ἐκλεκτόν λαόν τοῦ Θεοῦ, λέγω δή τούς μοναχούς, οὐκ ἐκ τῶν ἱερέων ἤ ἀρχιερέων ἀφαιρεθεῖσα, ἀλλά ταύτης ἑαυτούς ἐκείνων ἀλλοτριωσάντων. «*Πᾶς γάρ ἱερεύς μεσίτης Θεοῦ καί ἀνθρώπων καθίσταται πρός τόν Θεόν, ὡς ὁ Παῦλός φησι, καί ὀφείλει ὥσπερ ὑπέρ τοῦ λαοῦ οὕτως καί ὑπέρ ἑαυτοῦ προσφέρειν θυσίαν*».

Ἀλλ’ ἀνωτέρω τοῦ λόγου ἀρξώμεθα καί ἴδωμεν, πόθεν καί πῶς καί τίσιν ἐξ ἀρχῆς ἡ ἐξουσία αὕτη τοῦ ἱερουργεῖν καί δεσμεῖν καί λύειν ἐδόθη, καί κατά τάξιν ὥσπερ ἠρώτησας οὕτως καί σαφής ἡ λύσις γενήσεται, οὐ σοί μόνον, ἀλλά καί πᾶσιν ἄλλοις ἀνθρώποις. Τοῦ Κυρίου καί Θεοῦ καί Σωτῆρος ἡμῶν εἰπόντος τῷ ξηράν ἔχοντι τήν χεῖρα ὅτι ἀφέωνταί σοι αἱ ἁμαρτίαι σου, ἀκούσαντες οἱ Ἑβραῖοι ἔλεγον· βλασφημίαν οὗτος λαλεῖ· τίς δύναται ἀφιέναι ἁμαρτίας εἰ μή εἷς ὁ Θεός; Οὕτως οὐδέπω ἄφεσις ἐδίδοτο ἁμαρτιῶν, οὐ παρά προφητῶν, οὐ παρά ἱερέων, οὐ παρά τῶν τότε πατριαρχῶν τινος. Διό καί ὡς καινοῦ τινος δόγματος καί πράγματος παραδόξου κηρυσσομένου οἱ γραμματεῖς ἐδυσχέραινον· ὁ δέ Κύριος οὐκ ἐμέμψατο αὐτούς τούτου γε ἕνεκα, ἀλλά μᾶλλον ὅ ἠγνόουν ἐδίδαξεν ὡς Θεόν ἑαυτόν δείξας καί οὐχ ὡς ἄνθρωπον τήν ἄφεσιν τῶν ἡμαρτημένων δωρούμενον· φησί γάρ πρός αὐτούς, ἵνα δέ εἰδῆτε, ὅτι ἐξουσίαν ἔχει ὁ υἱός τοῦ ἀνθρώπου ἀφιέναι ἁμαρτίας, λέγει τῷ ξηράν ἔχοντι τήν χεῖρα· ἔκτεινον τήν χεῖρά σου, καί ἐξέτεινε καί ἀποκατέστη ὑγιής ὡς ἡ ἄλλη, διά τοῦ ὁρωμένου θαύματος τό μεῖζον καί ἀόρατον πιστωσάμενος. Οὕτως τόν Ζακχαῖον, οὕτως τήν πόρνην, οὕτως τόν Ματθαῖον ἀπό τοῦ τελωνίου, οὕτως τόν Πέτρον τρίς ἀρνησάμενον, οὕτως τόν παραλυτικόν, ὅν ἰασάμενος καί μετά ταῦτα εὑρών εἶπεν· ἴδε ὑγιής γέγονας, μηκέτι ἁμάρτανε, ἵνα μή χεῖρόν τί σοι γένηται. Τοῦτο δέ εἰπών ἔδειξεν, ὅτι δι’ ἁμαρτίας ἐκεῖνος εἰς τήν νόσον ἐνέπεσεν καί ταύτης ἀπαλλαγείς ἔλαβεν καί τήν ἄφεσιν τῶν ἰδίων ἁμαρτημάτων, οὐ χρόνων δεηθέντος τούτου τινῶν πολλῶν, οὐ νηστείας, οὐ χαμευνίας, ἀλλ’ ἤ μόνον ἐπιστροφῆς καί πίστεως ἀδιστάκτου καί ἐκκοπῆς τοῦ κακοῦ καί μετανοίας ἀληθινῆς καί δακρύων πολλῶν, ὡς ἡ πόρνη καί ὁ Πέτρος ὁ κλαύσας πικρῶς.

Ἐντεῦθεν ἡ ἀρχή τοῦ μεγάλου τούτου δώρου καί Θεῷ μόνῳ πρέποντος, ὁ καί μόνος ἐκέκτητο· εἶτα τοῖς μαθηταῖς ἀντ’ ἐκείνου καταλιμπάνει τό τοιοῦτον χάρισμα μέλλων πρός τόν οὐρανόν ἀνελθεῖν. Πῶς δέ τήν ἀξίαν ταύτην καί ἐξουσίαν αὐτοῖς ἐπιδέδωκε; Καταμάθωμεν καί τίνας καί πόσους καί πότε. Τούς προκρίτους ἕνδεκα μαθητάς, κεκλεισμένων τῶν θυρῶν καί συνηγμένων ἔνδον ὁμοῦ. Εἰσελθών γάρ καί στάς ἐν μέσῳ

αὐτῶν ἐνεφύσησε καί φησι· «*λάβετε Πνεῦμα Ἅγιον, ἄν τινων ἀφῆτε τάς ἁμαρτίας, ἀφίενται αὐτοῖς, ἄν τινων κρατῆτε, κεκράτηνται*», καί οὐδέν περί ἐπιτιμίων τέως αὐτοῖς ἐντέλλεται, ὡς παρά τοῦ Ἁγίου Πνεύματος μέλλοντος διδάσκεσθαι.

Ὡς οὖν εἴρηται, κατά διαδοχήν οἱ ἅγιοι Ἀπόστολοι τήν ἐξουσίαν ταύτην μετέπεμπον πρός τούς καί τούς θρόνους ἐπέχοντας αὐτῶν, ὡς τῶν τε λοιπῶν οὐδείς οὐδέ ἐννοῆσαί τι τοιοῦτον ἐτόλμα.Οὕτως ἐφύλαττον μετά ἀκριβείας οἱ μαθηταί τοῦ Κυρίου τό δίκαιον τῆς ἐξουσίας ταύτης. Ἀλλ’ ὡς εἴπομεν προϊόντος τοῦ χρόνου συνεχύθησαν καί συνεφύρησαν τοῖς ἀναξίοις οἱ ἄξιοι καί ὑπό τοῦ πλήθους συνεκαλύπτοντο, ἄλλος ἄλλου προέχειν φιλονεικῶν καί τήν προεδρίαν τῇ ἀρετῇ ὑποκρινόμενος. Ἀφ’ οὗ γάρ οἱ τούς θρόνους τῶν Ἀποστόλων ἐπέχοντες σαρκικοί καί φιλήδονοι καί φιλόδοξοι ἀπεφάνθησαν καί εἰς αἱρέσεις ἐξέκλιναν, ἐγκατέλιπεν αὐτούς ἡ θεία χάρις, καί ἡ ἐξουσία αὕτη ἐκ τῶν τοιούτων ἀφῄρηται. Διό καί πάντα τά ἄλλα, ἅ οἱ ἱερουργοῦντες ἔχειν ὀφείλουσιν, ἀφέμενοι, τοῦτο μόνον ἀπαιτοῦνται ἔχειν τό ὀρθόδοξον. Οἶμαι δέ οὐδέ τοῦτο· οὐδέ γάρ ὁ μή παρεισφέρων νεωστί δόγμα εἰς τήν ἐκκλησίαν τοῦ Θεοῦ οὗτος ὀρθόδοξος, ἀλλ’ ὁ βίον τῷ ὀρθῷ λόγῳ κεκτημένος συνᾴδοντα. Τοῦτον δέ καί τόν τοιοῦτον οἱ κατά καιρούς πατριάρχαι καί μητροπολῖται ἤ ζητήσαντες οὐκ ἀπέτυχον ἤ εὑρόντες τόν ἀνάξιον μᾶλλον ἀντ’ ἐκείνου προετιμήσαντο, τοῦτο μόνον αὐτόν ἀπαιτοῦντες τό ἐγγράφως ἐκθέσθαι τό τῆς πίστεως σύμβολον, καί τοῦτο μόνον ἀποδεχόμενοι τό μήτε ὑπέρ τοῦ ἀγαθοῦ ζηλωτήν εἶναι μήτε διά τό κακόν τινι ἀντιμάχεσθαι, εἰρήνην ὥσπερ ἐντεῦθεν τῇ ἐκκλησίᾳ περιποιούμενοι, ὅ χεῖρον πάσης ἔχθρας ἐστί καί μεγάλης ἀκαταστασίας αἴτιον. Ἐκ τούτου οὖν οἱ ἱερεῖς ἠχρειώθησαν καί γεγόνασιν ὡς ὁ λαός. Μή ὄντων γάρ τινων ἐξ αὐτῶν ἅλας, ὡς ὁ Κύριος ἔφη, ἵνα διά τῶν ἐλέγχων σφίγγωσι καί ἀναστέλλωσι κἄν ὁπωσοῦν τόν διαρρέοντα βίον, ἀλλά συγγινωσκόντων μᾶλλον καί συγκαλυπτόντων ἀλλήλων τά πάθη ἐγένοντο χείρους μέν αὐτοί τοῦ λαοῦ, χείρων δέ αὐτῶν ὁ λαός. Τινές δέ τοῦ λαοῦ καί κρείττονες ἀπεφάνθησαν μᾶλλον τῶν ἱερέων, ἐν τῷ ἐκείνων ἀφεγγεῖ ζόφῳ ὡς ἄνθρακες οὗτοι φαινόμενοι. Εἰ γάρ ἐκεῖνοι κατά τόν τοῦ Κυρίου λόγον ἔλαμπον τῷ βίῳ ὡς ὁ ἥλιος, οὐκ ἄν ὡρῶντο οἱ ἄνθρακες διαυγάζοντες, ἀλλ’ ὑπό τοῦ τρανοτέρου φωτός ἠμαυρωμένοι ἐδείκνυντο ἄν. Ἐπεί δέ τό πρόσχημα μόνον καί τό τῆς ἱερωσύνης ἔνδυμα ἐν τοῖς ἀνθρώποις ἐναπελείφθη, τῆς τοῦ πνεύματος δωρεᾶς ἐπί τούς μοναχούς μεταβάσης καί διά τῶν σημείων γνωριζομένης ὡς τόν βίον τῶν Ἀποστόλων διά τῶν πράξεων μετερχομένους, κἀκεῖ πάλιν ὁ διάβολος τά οἰκεῖα εἰργάσατο. Ἰδών γάρ αὐτούς ὅτι ὡς νέοι τινες μαθηταί τοῦ Χριστοῦ αὖθις ἀνεδείχθησαν ἐν τῷ κόσμῳ, καί τῷ βίῳ καί τοῖς θαύμασιν ἔλαμψαν, τούς ψευδαδέλφους καί τά ἴδια σκεύη εἰσαγαγών τούτοις ἀνέμιξε καί κατά μικρόν πληθυνθέντες, ὡς ὁρᾷς, ἠχρειώθησαν καί γεγόνασι μοναχοί πάμπαν ἀμόναχοι.

Οὔτε οὖν τοῖς τῷ σχήματι μοναχοῖς οὔτε τοῖς κεχειροτονημένοις καί εἰς ἱερωσύνης ἐγκαταλεγεῖσι βαθμόν οὔτε τοῖς τῷ τῆς ἀρχιερωσύνης τετιμημένοις ἀξιώματι, πατριάρχαις φημί καί μητροπολίταις καί ἐπισκόποις, ἁπλῶς οὕτως καί διά μόνην τήν χειροτονίαν καί τήν ταύτης ἀξίαν τό ἀφιέναι ἁμαρτίας ἀπό Θεοῦ δίδοται - ἄπαγε! -

ἱερουργεῖν γάρ μόνον αὐτοῖς συγκεχώρηται, οἶμαι δέ οὐδ᾽ αὐτό τοῖς πολλοῖς αὐτῶν, ἵνα μή χόρτος ὄντες ἐκεῖθεν κατακαυθήσονται, ἀλλά μόνοις ἐκείνοις, ὅσοις ἐν ἱερεῦσι καί ἀρχιερεῦσι καί μοναχοῖς τό συγκαταριθμεῖσθαί ἐστι τοῖς τῶν μαθητῶν τοῦ Χριστοῦ χοροῖς διά τήν ἁγνότητα.

Πόθεν οὖν αὐτοί τε οἱ τοῖς εἰρημένοις ἐγκαταλεγέντες ἐκεῖνο νοήσωσι καί οἱ αὐτούς ἐκζητοῦντες τούτους ἀκριβῶς ἐπιγνώσονται; Ὅθεν ὁ Κύριος ἐδίδαξεν οὕτως εἰπών· «*σημεῖα δέ τοῖς πιστεύσασι ταῦτα παρακολουθήσει· ἐν τῷ ὀνόματί μοι δαιμόνια ἐκβάλουσι, γλώσσαις λαλήσουσι καιναῖς - ὅπερ ἐστίν ἡ θεόπνευστος διδασκαλία τοῦ Λόγου καί ὠφέλιμος -, ὄφεις ἀροῦσι, κἄν θανάσιμόν τι πίωσιν, οὐ μή αὐτούς βλάψῃ*», καί πάλιν· «*ἐκ τῶν καρπῶν αὐτῶν ἐπιγνώσεσθε αὐτούς*». Ποίων καρπῶν; Ὧν τό πλῆθος ἀπαριθμούμενος ὁ Παῦλος λέγει· «*ὁ δέ καρπός τοῦ Πνεύματός ἐστιν ἀγάπη, χαρά, εἰρήνη, μακροθυμία, χρηστότης, πίστις, πρᾳότης, ἐγκράτεια*» μεθ᾽ ὧν εὐσπλαγχνία, φιλαδελφία, ἐλεημοσύνη καί τά τούτοις ἑπόμενα· πρός τούτοις· «*λόγος σοφίας, λόγος γνώσεως, χαρίσματα ἰαμάτων καί ἕτερα πλεῖστα, ἅ πάντα ἐνεργεῖ ἕν καί τό αὐτό Πνεῦμα, διαιροῦν ἑκάστῳ καθώς βούλεται*». Οἱ γοῦν τούτων ἐν μετοχῇ γεγονότες τῶν χαρισμάτων - ἤ πάντων ἤ ἐκ μέρους κατά τό συμφέρον αὐτοῖς - ἐν τῷ χορῷ τῶν Ἀποστόλων ἐγκατελέγησαν καί οἱ νῦν τοιοῦτοι ἀποτελούμενοι ἐκεῖσε ἐγκαταλέγονται. Διό καί φῶς εἰσιν οὗτοι τοῦ κόσμου, ὡς αὐτός φησιν ὁ Χριστός· «*οὐδείς λύχνον ἅψας τίθησιν αὐτόν ὑπό τόν μόδιον ἤ ὑπό κλίνην, ἀλλ᾽ ἐπί τήν λυχνίαν, ἵνα φαίνῃ πᾶσι τοῖς ἐν τῇ οἰκίᾳ*». Οὐκ ἐκ τούτων δέ μόνων οἱ τοιοῦτοι γνωρίζονται, ἀλλά καί ἀπό τῆς τοῦ βίου αὐτῶν διαγωγῆς· οὕτω γάρ καί οἱ ζητοῦντες αὐτούς καί αὐτοί ἑαυτόν ἕκαστος ἀκριβέστερον ἐπιγνώσονται, οἷον εἰ καθ᾽ ὁμοιότητα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἀνεπαισχύντως, μᾶλλον δέ ὡς μεγίστην δόξαν ἡγήσαντο τήν εὐτέλειαν καί ταπείνωσιν καί ὡς ἐκεῖνος τήν ὑπακοήν ἀνυποκρίτως εἰς τούς ἑαυτῶν πατέρας καί ὁδηγούς, ἔτι γε μήν καί εἰς τούς πνευματικῶς ἐπιτάττοντας ἐπεδείξαντο, εἰ ἀτιμίας καί ὕβρεις καί ὀνειδισμούς καί λοιδορίας ἀπό ψυχῆς ἠγάπησαν καί τούς ἐπιφέροντας αὐτοῖς ταῦτα ὡς ἀγαθῶν μεγάλων προξένους ἀπεδέξαντο καί ἀπό ψυχῆς μετά δακρύων ὑπέρ αὐτῶν ηὔξαντο, εἰ πᾶσαν δόξαν τήν ἐν τῷ κόσμῳ κατέπτυσαν καί σκύβαλα τά ἐν αὐτῷ τερπνά ἡγήσαντο. Καί τί τά πολλά καί προφανῆ λέγων τόν λόγον μηκύνω; Ἐάν πᾶσαν μέν ἀρετήν, ἥν ἐν ταῖς ἱεραῖς ἀκούωσιν ὑπαναγινωσκομένην γραφαῖς, ταύτην ἑαυτόν ἕκαστος τῶν εἰρημένων εὑρίσκει κατωρθωκότα, πᾶσαν δέ πρᾶξιν τῶν ἀγαθῶν ὡσαύτως μετελθόντα καί ἐπί μιᾷ τούτων ἑκάστῃ τήν προκοπήν, τήν ἀλλοίωσιν, τόν βαθμόν ἐπεγνωκότα καί πρός τό ὕψος τῆς θεϊκῆς δόξης αἰρόμενον, τότε καί ἑαυτόν τις γνώτω μέτοχον Θεοῦ καί τῶν αὐτοῦ χαρισμάτων γεγονότα καί ὑπό τῶν καλῶς ὁρώντων ἤ καί ὑπ᾽ αὐτῶν τῶν ἀμβυωπούντων γνωσθήσεται. Καί οὕτως οἱ τοιοῦτοι εἴποιεν ἄν τοῖς πᾶσιν ἐν παρρησίᾳ· «*ὑπέρ Χριστοῦ πρεσβεύομεν ὡς τοῦ Θεοῦ παρακαλοῦντος δι᾽ ἡμῶν· καταλλάγητε τῷ Θεῷ*». Πάντες γάρ οἱ τοιοῦτοι τάς ἐντολάς τοῦ Θεοῦ ἐφύλαξαν μέχρι θανάτου, ἐπώλησαν τά ὑπάρχοντα αὐτῶν καί διένειμαν τοῖς πτωχοῖς, ἠκολούθησαν τῷ Χριστῷ διά τῆς τῶν πειρασμῶν ὑπομονῆς, ἀπώλεσαν τάς ἑαυτῶν ψυχάς ἕνεκεν τῆς ἀγάπης τοῦ Θεοῦ ἐν τῷ κόσμῳ καί εὗρον αὐτάς εἰς ζωήν αἰώνιον. Εὑρόντες δέ τάς

ἑαυτῶν ψυχάς, ἐν φωτί νοητῷ εὗρον αὐτάς καί οὕτως ἐν τῷ φωτί τούτῳ εἶδον τό ἀπρόσιτον φῶς, αὐτόν τόν Θεόν, κατά τό γεγραμμένον· «*ἐν τῷ φωτί σου ὀψόμεθα φῶς*». Πῶς οὖν ἔστιν εὑρεῖν τινα ἥν ἔχει ψυχήν, πρόσεχε! Ἡ ἑκάστου ψυχή ἐστίν ἡ δραχμή ἥν ἀπώλεσεν οὐχ ὁ Θεός ἀλλ’ ἡμῶν ἕκαστος ἐν τῷ σκότει τῆς ἁμαρτίας βυθίσας ἑαυτόν. Ὁ δέ Χριστός, τό ὄντως φῶς, ἐλθών καί τούς ζητοῦντας αὐτόν συναντῶν, ὡς οἶδε μόνος αὐτός, ἰδεῖν ἑαυτόν αὐτοῖς ἐχαρίσατο. Τοῦτό ἐστιν εὑρεῖν τήν ψυχήν αὐτοῦ τό ἰδεῖν τόν Θεόν καί ἐν τῷ ἐκείνου φωτί αὐτόν γενέσθαι ἁπάσης κτίσεως τῆς ὁρωμένης ἀνώτερον καί τόν Θεόν σχεῖν ποιμένα καί διδάσκαλον, παρ’ οὗ καί τό δεσμεῖν καί λύειν, εἰ βούλει, γνώσεται, καί γνούς ἀκριβῶς προσκυνήσει τόν δεδωκότα καί τοῖς χρῄζουσι μεταδώσει.

Τοῖς τοιούτοις οἶδα, τέκνον, δίδοσθαι τοῦ δεσμεῖν καί λύειν <τήν ἐξουσίαν> ἀπό Θεοῦ Πατρός καί Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ διά τοῦ Ἁγίου Πνεύματος, τοῖς θέσει οὖσιν καί ἁγίοις δούλοις αὐτοῦ. Τοιούτῳ καί αὐτός ἐγώ ἐμαθήτευσα πατρί χειροτονίαν ἐξ ἀνθρώπων μή ἔχοντι, ἀλλά χειρί με Θεοῦ εἴτ’ οὖν πνεύματι εἰς μαθητείαν ἐγκαταλέξαντι κάι τήν ἐξ ἀνθρώπων χειροτονίαν διά τόν παρακολουθήσαντα τύπον καλῶς λαβεῖν με κελεύσαντι, πάλαι ὑπό τοῦ Ἁγίου Πνεύματος ἐπί τοῦτο σφοδρῷ πόθῳ κινούμενον.

Τοιγαροῦν γενέσθαι πρῶτον τοιοῦτοι εὐξώμεθα, ἀδελφοί καί πατέρες, καί οὕτως τοῖς ἄλλοις περί παθῶν ἀπαλλαγῆς καί ἀναδοχῆς λογισμῶν ὁμιλήσωμεν καί τοιοῦτον πνευματικόν ζητήσωμεν. Μᾶλλον μέν οὖν τοιούτους ἐμπόνως ζητήσωμεν ἄνδρας, τούς ὄντας μαθητάς τοῦ Χριστοῦ καί μετά πόνου καρδίας καί δακρύων πολλῶν ἐπί ῥητάς ἡμέρας ἱκετεύσωμεν τόν Θεόν, ἵνα ἀποκαλύψῃ τούς ὀφθαλμούς τῶν καρδιῶν ἡμῶν πρός τό ἐπιγνῶναι, εἴ που καί τοιοῦτός τις ἐν τῇ πονηρᾷ ταύτῃ γενεᾷ ὤν εὑρεθήσεται, ὅπως εὑρόντες αὐτόν ἄφεσιν λάβωμεν δι’ αὐτοῦ τῶν ἁμαρτιῶν ἡμῶν, τοῖς προστάγμασιν αὐτοῦ καί ταῖς ἐντολαῖς ὅλῃ ψυχῇ ὑπακούοντες, καθάπερ ἐκεῖνος, ἀκούσας τάς τοῦ Χριστοῦ, γέγονε μέτοχος τῆς χάριτος καί τῶν δωρεῶν αὐτοῦ, καί τήν ἐξουσίαν τοῦ δεσμεῖν καί λύειν τά ἁμαρτήματα παρ’ αὐτοῦ ἔλαβε τῷ Ἁγίῳ Πνεύματι πυρωθείς, ᾧ πρέπει πᾶσα δόξα, τιμή κάι προσκύνησις σύν τῷ Πατρί καί τῷ μονογενεῖ Υἱῷ εἰς τούς αἰῶνας. Ἀμήν.

# ΕΠΙΣΤΟΛΗ Β'. Πρός Στέφανον Νικομηδείας

Τῷ πανιέρῳ καί ἁγίῳ δεσπότῃ μου, τῷ ἐνδοξοτάτῳ συγκέλλῳ, ὁ διά σοῦ ἐξόριστος καί δεδιωγμένος Συμεών ὁ σός. Ἰδού, πανίερε δέσποτα, τῶν κατά Θεόν σου ἀγώνων καί λόγων τά σπέρματα οἷα πεποιήκασι τά γεώργια, οἷαν μοι δόξαν καί χαράν προεξένησαν, ὅσων μοι στεφάνων γεγόνασιν αἴτια, ὅσης με τῆς εὐφροσύνης ἐνέπλησαν εἰς ὕψος τε πνευματικῆς ἀνήγαγον γνώσεως καί ἐπί πέτραν τούς πόδας μου τοῦ νοός καλῶς προσερείσαντο καί αὐτήν με τήν πέτραν ἐνδύσασθαι παρεσκευάσαν, ἐξ ἧς ἔχω τό ὕδωρ τό ζῶν ἐνυποστάτως βλύζον ἐν ἐμοί, κινούμενον καί λαλοῦν καί γράφειν μέν πρός σέ προτρεπόμενον, πάσης τε θυμηδίας ἐμπιπλῶν καί μή ἐῶν ὅλως με τῶν θανατηφόρων πειρασμῶν ἐπαισθάνεσθαι, ἀλλ’ ὡς τούς τρεῖς παῖδας ἀφλέκτους ἐν τῇ καμίνῳ ἐφύλαξεν, οὕτω κἀμέ, ὡς ἐν σκηνῇ αὐτοῦ κρύπτον, ἄλυπον διατηρεῖ καί ἀπήμαντον. Ὑπέρ ὧν καί εὐχαριστῶ σοι, εὐχαριστῶν τε καί προσευχόμενος οὐδέποτε παύσομαι, Λοιπόν εἴ τινα καί ἕτερα ἔχεις εἰς προσθήκην εὐφροσύνης καί δόξης τῶν ἀγαπώντων σε, μή ἀποκνήσῃς ποιήσασθαι, ὅπως ὁ μισθός σοι πολλαπλασιασθῇ καί ἡ ἀντάμειψις παρά Θεοῦ τοῦ ταῦτα νομοθετήσαντος δαψιλεστέρα σοι γένηται, Ἔρρωσο.

# ΕΠΙΣΤΟΛΗ Γ'. Ἑτέρα πρός Στέφανον Νικομηδείας.

Καλούς μοι στεφάνους ὁ καλός Στέφανος καί δεσπότης μου ἐπί τοῖς ἐμοῖς στεφάνοις πάλιν προσέθετο. Ἀλλά τί σοι ἀνταποδώσομεν ὑπέρ ὧν ἡμᾶς τούς ταπεινούς ἀγαθῇ κινούμενος διαθέσει πεποίηκας καί ποιεῖς καί οἶδ' ὅτι πάλιν ποιήσεις, εὐεργετῶν καθ' ἑκάστην ἡμᾶς ἐπί χρόνοις ἤδη ἑπτά; Τί οὖν σοι ἀπολογησόμεθα τῷ περί τά τοιαῦτα σπουδαίῳ καί φιλοτιμότερον εἰδότι δεξιοῦσθαι τοῖς γλυκέσι σου φαρμάκοις τούς φίλους; Ἀλλά δεόμεθά σου μή στῇς τῆς προθέσεως, μή καταπαύσῃς ἀπό τῶν ἔργων σου· πρόσθες εἰ δοκεῖ τούτοις τά ἔτι γλυκυτέρους τῇ ἐπιτάσει ποιοῦντα τούς πόνους μοι. Ηὔξησάς μοι τό φῶς, τήν χαράν, τήν ἡδύτητα, ἅ καί αὐξήσαις ἔτι πάντως καί ἔτι ποιῶν τά οἰκεῖα καί τῷ φιλουμένῳ τάχιον ἑνώσαις ἡμᾶς Θεῷ, ὑπέρ οὗ φέρω πάντα προθύμως καί δι' ὅν ὁρᾷς τήν ἅλυσιν ταύτην παρά σοῦ τῆς ἐξορίας περίκειμαι. Ἔρρωσο. Τῷ πανιέρῳ καί ἁγίῳ δεσπότῃ μου, ὁ διά σοῦ ἐξόριστος καί τῶν προσόντων γυμνός γεγονώς Συμεών ὁ σός.

# ΕΠΙΣΤΟΛΗ Δ'. Πρός Νικήτα Σταθᾶτον.

Τό πιττάκιόν σου, πνευματικόν ἡμῶν τέκνον, ἐδεξάμεθα μέν, οὐκ ἀπεδεξάμεθα δέ, ἀλλά καί πολλῆς σου τῆς εὐηθείας κατέγνωμεν, ὅτι δή καί τοιαῦτα ὅλως ἐλογίσω περί ἡμῶν, ὡς δόλῳ ποτέ τινι ἤ περιεργίᾳ πρός τό λυπῆσαί με τό χαρτίον σύ ἀπεκράτησας, ἐνεθυμήθην τοῦτο ἤ ἐλογισάμην ἐγώ. Ποῖος γάρ ἐν τούτῳ δόλος ἤ ποία θλῖψίς μοι προσγενήσεταί ποτε, εἰ καί φαίνομαι περί πολλοῦ ταῦτα ποιούμενος; Ἀλλ' ὅτι πάντως ἠγνόουν σε τοῦτο ἔχειν, καί ὑπέλαβον ἐκ καταφρονήσεως τοῦ ὑπουργοῦντός μοι ἴσως τοῦτο ἀπολεσθῆναι ἤ κατά τήν ὁδόν ἤ καί ἄλλως πως, καί εἰς τοῦτο ἐλυπήθην, ἐπεί εἰς σέ, ὅν ὡς ἐμαυτόν ἔχειν ἅπαξ καθωμολόγησα, καί πάντα τά ἐμά σοι ἐθάρρησα, καί διά σοῦ καί πᾶσιν ἄλλοις ἐλπίζων φανερά φανήσεσθαι, καθώς ὁ Χριστός τοῖς ἑαυτοῦ μαθηταῖς ἔλεγεν «*ἅ εἰς τό οὗς ἀκούσατε, κηρύξατε ἐπί τῶν δωμάτων*» ποίαν ὑπόληψιν πονηράν κατά σοῦ εἶχον ἀναλαβέσθαι; Ἐγώ γάρ διά τοῦτό σε καί παρακαλῶ ἐν τετραδίοις μεταγράψαι αὐτά, ἵνα τά σχέδη πάντα σοι καταλείψω. Καί πῶς με τοιαῦτα λογίζεσθαι ὑπέλαβες κατά σοῦ; Ὅμως ὁ Θεός συγχωρήσει σοι τήν ἁμαρτίαν ταύτην, ὅτι ἔξω τῆς ἀγάπης ἡμᾶς εἶναι ἔκρινας τῆς πάντα ὑπομενούσης καί μηδέποτε ἐκπιπτούσης, ἐάν μή τις ἑκουσίως ταύτης ἀποσπασθῇ· ἐκείνη δέ μένει ἄτμητος, ἀδιαίρετος, πάντας τούς βουλομένους ἐπιστρέφειν καί πάλιν κολλᾶσθαι αὐτῇ εὐμενῶς προσδεχομένη καί γνησίως προσκολλωμένη, πολλάκις δέ καί τούς μή βουλομένους ἑλκύουσα καί προσκαλουμένη πρός ἑαυτήν, ᾗ καί σέ, τέκνον, εὔχομαι κολληθῆναι καί ἑνωθῆναι, ἵνα δύνασαι μή λογίζεσθαι τό κακόν ἤ τό ὄν ἤ καί τό μηδόλως ὄν, ἀλλά μένειν σε διηνεκῶς ἐν παντί καί ἐν πᾶσι πρός ἡμᾶς καί πρός πάντας ἀσκανδάλιστον. Ἀμήν.

# Πίναξ Περιεχομένων

ΤΟΜΟΣ ΠΡΩΤΟΣ
Λόγος Α΄. Περί ἀγάπης. Καί ποῖαί εἰσι τῶν πνευματικῶν ἀνδρῶν αἱ ὁδοί καί αἱ πράξεις. Καί μακαρισμός πρός τούς ἔχοντας τήν ἀγάπην ἐγκάρδιον.
Λόγος΄.Β΄. Περί τοῦ φεύγειν τούς λοιμούς καί φθοροποιούς τῶν ἀνθρώπων καί τούς λόγους αὐτῶν ἀποπέμπεσθαι καί πρός τήν ἐργασίαν τῆς ἀρετῆς ἀναστῆναι. Ἔτι δέ καί περί τοῦ δεῖν σκοπεῖν εἰ τά τῶν μακαρισμῶν τοῦ Χριστοῦ ἐν ἑαυτοῖς ἔχομεν. Καί περί δακρύων καί κατανύξεως.
Λόγος Γ΄. Περί τοῦ ὅτι χρή καλῶς ὑποτάσσεσθαι καί μή ἐπιλανθάνεσθαι τῶν συνθηκῶν, ὧν πρός Θεόν συνεθέμεθα. Καί ὅτι οὐ δεῖ γογγίζειν ἐπί ταῖς παννύχοις ἀγρυπνίαις τῶν ὄρθρων.
Λόγος Δ΄. Περί μετανοίας καί κατανύξεως. Καί ἐκ ποίων ταύτην ἔργων κτήσασθαι δυνατόν. Καί ὅτι ἄνευ δακρύων ἀδύνατον εἰς καθαρότητα καί ἀπάθειαν ἐλάσαι τινά.
Λόγος Ε΄. Περί μετανοίας. Καί ὅτι οὐκ ἀρκεῖ ἡμῖν ἡ τῶν ἐνόντων μόνον διάδοσις καί ἡ ἀπογύμνωσις αὐτή τῶν πραγμάτων εἰς κάθαρσιν ψυχῆς, ἐάν μή καί τό πένθος κτησώμεθα. Καί περί τῆς τοῦ Ἀδάμ ἐξορίας. Καί ὅτι εἰ μετενόησε παραβάς, οὐκ ἄν τοῦ παραδείσου ἐξέπεσε. Καί οἷον ἀγαθόν εἰργάσατο αὐτοῦ ἡ μετά τήν ἔκπτωσιν μετάνοια. Καί περί τῆς δευτέρας τοῦ Κυρίου παρουσίας καί τῆς τῶν ἁμαρτωλῶν κατακρίσεως. Καί πρός τό τέλος, ἔλεγχος τῶν ἐν κακίᾳ καί ὑποκρίσει ζώντων.
Λόγος στ΄. Περί ἐργασίας πνευματικῆς. Καί τίς ἦν ἡ ἐργασία τῶν παλαιῶν ἁγίων. Καί πῶς ταύτην κατορθῶσαι δυνάμεθα, ἵνα καί μέτοχοι, ὥσπερ ἐκεῖνοι, τοῦ Παναγίου γενώμεθα Πνεύματος.
Λόγος Ζ΄. Περί προσπαθείας τῆς εἰς τούς συγγενεῖς. Καί τίς ἡ ἀπάτη αὐτῆς καί εἰς οἷον βόθρον καί δεσμόν κατάγει τούς κρατουμένους ὑπ᾽ αὐτῆς. Καί περί ἀπογνώσεως καί τῆς ἐν ταύτῃ διαφορᾶς. Καί τί ἐστι τό «Ὁ πιστεύσας καί βαπτισθείς σωθήσεται, ὁ δέ ἀπιστήσας κατακριθήσεται».
Λόγος Η΄. Περί τελείας ἀγάπης καί τίς ἡ ταύτης ἐνέργεια. Καί ὅτι ἐὰν μή διά σπουδῆς ἐντεῦθεν ἤδη τῆς τοῦ Πνεύματος μεθέξεως γενώμεθα μέτοχοι, οὐδέ πιστοί καί χριστιανοί δυνάμεθα εἶναι, ἀλλ᾽ οὐδέ υἱοί καί τέκνα Θεοῦ χρηματίσωμεν.
Λόγος Θ΄. Περί ἐλεημοσύνης. Καί τίς ἐστιν ὁ πεινῶντα τόν Θεόν τρέφων καί διψῶντα ποτίζων καί καθεξῆς. Καί πῶς τοῦτό τινι κατορθωθήσεται. Καί ὅτι εἰ μή τις καί ἐν ἑαυτῷ ταῦτα πάντα ποιήσει καί θρέψει καί ποτίσει Χριστόν, οὐδέν ὠφεληθήσεται ἐκ τοῦ ταῦτα μόνον ποιεῖν εἰς τούς πένητας, ἑαυτόν δέ ἄτροφον παρορᾷν καί γυμνόν τῆς δικαιοσύνης τοῦ Θεοῦ.
Λόγος Ι΄. Περί μετοχῆς Πνεύματος Ἁγίου καί ἁγιωσύνης καί τελείας ἀπαθείας. Καί ὅτι ὁ ἀγαπῶν τήν ἐξ ἀνθρώπων δόξαν οὐδέν ἐκ τῶν λοιπῶν ἀρετῶν ὠφελεῖται, κἄν πάσας κατώρθωσε.
Λόγος ΙΑ΄. Περί νηστείας. Καί ὅτι οὐ χρή τό τῆς νηστείας ὠφέλιμον ἐν τῇ πρώτῃ καί μόνῃ τῶν νηστειῶν ἑβδομάδι σπουδαίως τηρεῖν καί ἀσπάζεσθαι, ἀλλά τήν ἴσην

καί τήν αὐτήν σπουδήν ἐν πάσαις ταῖς ἑβδομάσι τῶν νηστειῶν ἀναγκαῖον τοῖς σπουδαίοις διατηρεῖν.
Λόγος ΙΒ΄. Περί ἐγκρατείας καί ὑπομονῆς εἰς τήν ἐργασίαν τῶν ἀρετῶν ἐν τῷ καιρῷ τῆς νηστείας. Καί περί σιωπῆς. Καί ὅπως δεῖ ἐν πάσῃ τῇ νηστείᾳ διάγειν τούς ἀγωνιζομένους ἐν ἀληθείᾳ.
Λόγος ΙΓ ΄. Περί τῆς τοῦ Χριστοῦ ἀναστάσεως. Καί ὁποία τίς ἐστιν ἤ πῶς ἐν ἡμῖν γίνεται ἡ ἀνάστασις τοῦ Χριστοῦ καί ἐν αὐτῇ ἡ ἀνάστασις τῆς ψυχῆς. Καί τί τό μυστήριον ταύτης τῆς ἀναστάσεως. Ἐλέχθη μετά τό Πάσχα τῇ δευτέρᾳ τῆς δευτέρας ἑβδομάδος τοῦ Πάσχα.
Λόγος ΙΔ΄. Περί μετανοίας καί ἀρχῆς βίου μοναδικοῦ. Καί πῶς τις ὁδῷ καί τάξει προβαίνων εἰς ἀρετήν ἐν τῇ τῶν ἐντολῶν ἐργασίᾳ εἰς τελειότητα ἔρχεται.
Λόγος ΙΕ΄. Περί ἐμπαθοῦς καί ἀπίστου καί πονηρᾶς διαθέσεως. Καί τίς ἡ ἕνωσις τοῦ Θεοῦ πρός τούς υἱούς τοῦ φωτός καί τίνα τρόπον ἐν αὐτοῖς αὕτη γίνεται. Καί πρός τό τέλος, καταδρομή τῶν ἀναξίως κατατολμώντων τῆς ἀρχιερωσύνης.
Λόγος Ιστ΄. Περί τῶν ἐνεργειῶν τοῦ Πνεύματος τοῦ Ἁγίου. Καί τίς ἡ θεωρία τῶν μυστηρίων αὐτοῦ. Καί ὅπως τοῖς καθαροῖς τήν καρδίαν ἀποκαλύπτονται. Καί διήγησις ἐκ προοιμίων ἐπωφελής περί τινος ὑποτακτικοῦ, λαβόντος Πνεῦμα Ἅγιον ταῖς εὐχαῖς τοῦ πνευματικοῦ αὐτοῦ πατρός.
Λόγος ΙΖ΄. Περί θεωρίας καί ἀποκαλύψεως καὶ πεφωτισμένης εὐχῆς. Καί ὅπως ὁ ὑπό τῆς ἀγάπης κατασχεθείς τοῦ Θεοῦ καί εἰς βάθος ταπεινοφροσύνης ἐλάσας, ἐνεργεῖται ὑπό τοῦ Πνεύματος τοῦ Ἁγίου.
Λόγος ΙΗ΄. Περί μεθόδων τοῦ πονηροῦ, ὧν ὑποβάλλει τοῖς κουφοτέροις καί φιλοπρωτεύουσιν, ὁπόταν ὁ ποιμήν ἐξ ἀνθρώπων γένηται. Καί ὅτι χρή τούς μέν ἀναξίως ἐπιπηδῶντας τῇ ἀρχῇ πάσῃ κωλύειν συνωθεῖν ἐπί τοῦτο καί συνεργεῖν. Καί πρός τῷ τέλει, πρός τόν ποιμένα.
Λόγος ΙΘ΄. Ὅτι οὐ χρή ἐπί μόνοις τοῖς λόγοις καί ταῖς ὑποσχέσεσι θαρρεῖν τῶν ἀνθρώπων, ἀλλ᾽ ἐκ τῶν ἔργων τό πιστόν βεβαιοῦσθαι τῶν λόγων αὐτῶν. Καί οἵα τίς ἐστιν ἡ τῶν ἀληθινῶν διδασκάλων διάθεσις καί ἀγάπη πρός τούς μαθητευομένους αὐτοῖς. Καί ὁποῖα τά σπλάγχνα καί ἡ φροντίς αὐτῶν. Καί ὅπως ὑπέρ αὐτῶν ἐντυγχάνουσι τῷ Θεῷ.
Λόγος Κ΄. Περί ἀποταγῆς καί ἐκκοπῆς θελήματος, πρός τούς αἰτήσαντας γράψαι αὐτοῖς πῶς ὀφείλει τις τόν ἀσκητικόν διανύσαι βίον. Καί ὅτι καλόν ἐπί τούτῳ καί ἐπωφελές ἐμπείρῳ χρήσασθαι ὁδηγῷ ἤγουν πνευματικῷ πατρί εἰς τό αμαθεῖν τά τῆς ἀρετῆς καί τῆς ἀσκητικῆς τέχνης τήν δυσκατόρθωτον ἐργασίαν. Καί περί πίστεως τῆς εἰς τούς πνευματικούς πατέρας καί θεωρίας φωτός, ὑφ᾽ οὗ πᾶσα φωτιζομένη ψυχή προκόπτει εἰς ἀγάπην Θεοῦ.
Λόγος ΚΑ΄. Περί μνήμης θανάτου. Καί οἷον ἀγαθόν τέλος δέδωκεν ὁ τρισόλβιος αὐτοῦ ἀδελφός Ἀντώνιος. Καί πρός τῷ τέλει, ἐπιτάφιος πρός αὐτόν.
Λόγος ΚΒ΄. Περί πίστεως. Καί διδασκαλία περί τῶν λεγόντων μή εἶναι δυνατόν ἐν μέσῳ τῶν βιωτικῶν τό τέλειον φθάσαι τῶν ἀρετῶν. Καί διήγησις ἐκ προοιμίων ἐπωφελής.

Λόγος ΚΓ΄. Περί μετανοίας καί φόβου Θεοῦ. Καί ὁποῖον ἀγῶνα ἔχει ψυχῆς καί πόνον καρδίας ὁ μετά συντετριμμένου τοῦ πνεύματος μετανοῶν. Καί τίνα εἰσίν ἅ λέγει καί πρός τόν φιλάνθρωπον Κύριον εὔχεται.
Λόγος ΚΔ΄. Περί γνώσεως πνευματικῆς. Καί ὅτι ὁ ἐγκεκρυμμένος τοῦ Πνεύματος θησαυρός ἐν τῷ γράμματι τῆς θείας Γραφῆς οὐ πᾶσιν εὔδηλός ἐστι καί τοῖς βουλομένοις, ἀλλά μόνοις τοῖς τόν διανοίγοντα τόν νοῦν κτησαμένοις εἰς τό συνιέναι τάς Γραφάς.
Λόγος ΚΕ΄. Περί ἀλλοιώσεως ψυχῆς τε καί σώματος, τῶν ἐξ ἀέρος, τῶν ἐκ στοιχείων, τῶν ἐκ βρωμάτων καί τῶν δαιμόνων ἐπιγινομένων ἡμῖν.
Λόγος Κστ΄. Περί ἀρχῆς βίου λίαν ἐπωφελοῦς καί σωτηρίου, ἁρμοζούσης τοῖς ἄρτι τῷ κόσμῳ καί τοῖς ἐν κόσμῳ ἀποτασσομένοις καί πρός τόν μοναδικόν ἀποτρέχουσι βίον. Καί διδασκαλίας εἰς ἀρχαρίους λυσιτελεστάτη.
Λόγος ΚΖ΄. Περί τοῦ μή ἀμελῶς ἔχειν περί τήν ἐργασίαν τῶν τοῦ Θεοῦ ἐντολῶν, μηδέ καταφρονεῖν μιᾶς καί μόνης αὐτῶν, ἀλλ’ ἀγωνίζεσθαι τηρεῖν ὁμοῦ πάσας, ἵνα μή ὡς καταφρονηταί ἔξω τοῦ νυμφῶνος ἀποκλεισθῶμεν. Καί περί τοῦ ὑπομένειν γενναίως τούς πειρασμούς.
Λόγος ΚΗ΄. Περί τῆς ἐκ τοῦ Πνεύματος ἐγγινομένης τοῖς ἀγωνιζομένοις καί πρό τοῦ θανάτου ζωοποιοῦ νεκρώσεως. Καί ὅτι οἱ ἐν τῇ χάριτι ὑπέρ τόν νόμον γενόμενοι τήν τοῦ θείου φωτός χάριν γνωστῶς ἐν ἑαυτοῖς λαμβάνουσιν· οἱ γάρ μή λαβόντες ἤδη τοῦτο τό φῶς κατά τήν παροῦσαν ζωήν, μηδέ καθορῶντες αὐτό, ἔτι ὑπό τήν σκιάν τοῦ νόμου εἰσί καί κριθήσονται ὑπ’ αὐτοῦ. Καί ὁποῖον δεῖ εἶναι τόν τε προηγούμενον καί τόν ἱερέα, τόν δεσμεῖν καί λύειν ἄνωθεν λαβόντα τήν ἐξουσίαν. Καί ὅτι τῷ ἀληθῶς ἱερουργοῦντι καί ὑπό τοῦ θείου καταλαμπομένῳ φωτός πάντες κατάδηλοι, αὐτοί τε οἱ Πνεύματι περιπατοῦντες Θεοῦ καί οἱ μήπω τόν χοϊκόν ἐκδυσάμενοι ἄνθρωπον.
Λόγος ΚΘ΄. Περί τοῦ μή δεῖν λέγειν, ὅτι ἀδύνατον νῦν εἰς ἄκρον ἐλθεῖν ἀρετῆς τόν βουλόμενον καί τοῖς πάλαι ἁμιλληθῆναι ἁγίοις. Καί ὅτι πᾶς ὁ τά ἐναντία διδάσκων τῶν θείων Γραφῶν νέαν αἵρεσιν τοῖς πειθομένοις αὐτῷ δογματίζει. Καί περί δακρύων, ὅτι ἐκ φύσεως ἡμῖν τά δάκρυα πρόσεστι.
Λόγος Λ΄. Περί μετανοίας καί ἀρχῆς ἐπαινετοῦ βίου, ὅπως δεῖ τόν μετανοῦντα καθ’ ἑκάστην ποιεῖν. Ἐν ᾧ καί περί δακρύων ἅμα καί κατανύξεως.
Λόγος ΛΑ΄. Περί τοῦ πῶς δεῖ ἕκαστον ἐπισκέπτεσθαι καί τά καθ’ ἑαυτόν ἐπιμελῶς ἐρευνᾷν. Καί πῶς τά ἑαυτοῦ ἀντιπαρατιθέναι χρή ταῖς ἐντολαῖς τοῦ Χριστοῦ.
Λόγος ΛΒ΄. Περί βλασφημίας. Καί ὅτι ὁ λέγων μή δύνασθαί τινα τήν παροῦσαν γενεάν ἐν μετοχῇ τοῦ Ἁγίου γενέσθαι Πνεύματος, ἀλλά καί ὁ διαβάλλων τάς ἐνεργείας τοῦ Πνεύματος καί τῷ ἐναντίῳ ταύτας ἐπιφημίζων, αἵρεσιν νέαν εἰς τήν τοῦ Θεοῦ ἐκκλησίαν ἀνακαινίζει.
Λόγος ΛΓ΄. Περί μετοχῆς Πνεύματος Ἁγίου. Καί ὅτι ἀδύνατον ἄλλως βεβαιωθῆναι τά ἔργα τῆς ἀρετῆς, εἰ μή δι’ ἐπιδημίας τοῦ Πνεύματος, οὗ χωρίς οὐδείς πρός ἀρετήν κατευθύνεται, οὐδέ ἄλλους ὠφελεῖν δύναται ἤ ἀλλοτρίους δέχεσθαι λογισμούς. Καί περί τό ἴσον κατά πάντα καί ὡσαύτως ὄν τῆς Τρισυποστάτου

Θεότητος.
Λόγος ΛΔ΄. Ὅτι οὐκ ἀκίνδυνον τό διδόμενον ἡμῖν παρά Θεοῦ τάλαντον κατορύττειν· χρή γάρ δημοσιεύειν αὐτό καί τοῖς πᾶσιν ὑποδεικνύειν καί τάς εὐεργεσίας Θεοῦ εὐγνωμόνως ἀνακηρύττειν εἰς τήν τῶν ἀκουόντων ὠφέλειαν, κἄν τινες ἀπαρέσκωνται.
Λόγος ΛΕ΄. Τοῦ αὐτοῦ. Εὐχαριστία πρός Θεόν ὑπέρ ὧν ἠξίωται δωρεῶν. Καί εἰσήγησις ὅπως τοῖς κεκαθαρμένοις τῇ καρδίᾳ Θεός ἀεί ἐπιφαίνεται, καί ἐν ποίοις τοῖς πράγμασι καί γνωρίσμασι.
Λόγος Λστ΄. Τοῦ ἁγίου καί μεγάλου πατρός ἡμῶν Συμεών τοῦ Νέου. Εὐχαριστία πρός Θεόν περί τῶν γεγονότων εὐεργεσιῶν εἰς αὐτόν παρ᾽ αὐτοῦ. Ἐν ᾗ καί περί εὐχῆς πνευματικῆς καί τῆς ἐν ταύτῃ προκοπῆς. Καί περί ἐλλάμψεως θείας θεωρίας τε ἀπλανοῦς καί ἀγάπης τῆς πρός Θεόν.
ΤΟΜΟΣ ΔΕΥΤΕΡΟΣ ΒΙΒΛΟΣ ΤΩΝ ΘΕΟΛΟΓΙΚΩΝ
ΘΕΟΛΟΓΙΚΟΣ ΠΡΩΤΟΣ. Καί κατά τῶν τιθεμένων τό πρῶτον ἐπί τοῦ Πατρός.
ΘΕΟΛΟΓΙΚΟΣ ΔΕΥΤΕΡΟΣ. Καί κατά τῶν ἐπιχειρούντων θεολογεῖν ἄνευ Πνεύματος.
ΘΕΟΛΟΓΙΚΟΣ ΤΡΙΤΟΣ. Καί ὅτι, εἴ τι ὁ Πατήρ, τοῦτο καί ὁ Υἱός, καί εἴ τι ὁ Υἱός, τοῦτο καί τό Πνεῦμα τό Ἅγιον, καί ὅτι ἕν ταῦτα πνεῦμα ὁμότιμον, ὁμοούσιον καί ὁμόθρονον.
ΒΙΒΛΟΣ ΤΩΝ ΗΘΙΚΩΝ
ΛΟΓΟΣ Α΄.
α΄. Μερική τις φυσιολογία περί τῆς τοῦ κόσμου κτίσεως καί τῆς πλάσεως τοῦ Ἀδάμ.
β΄. Περί τῆς παραβάσεως καί τῆς ἐξορίας τοῦ Ἀδάμ.
γ΄. Περί τῆς τοῦ Λόγου σαρκώσεως καί κατά τίνα τρόπον δι᾽ ἡμᾶς ἐσαρκώθη.
δ΄. Πῶς αὖθις ἡ κτίσις μέλλει πᾶσα ἀνακαινισθῆναι καί γενέσθαι καινούς οὐρανούς καί καινήν γῆν κατά τόν θεῖον Ἀπόστολον.
ε΄. Ὁποία ἔσται καί ἡ ἐσχάτη λαμπρότης τῆς κτίσεως.
στ΄. Πῶς ἑνοῦνται τῷ Χριστῷ καί Θεῷ καί ἕν γίνονται μετ᾽ αὐτοῦ πάντες οἱ ἅγιοι.
ζ΄. Πῶς δεῖ πληρωθῆναι τόν ἄνω κόσμον καί ὁποῖός τίς ἐστι καί τίνα πληρωθήσεται τρόπον.
η΄. Ὅτι εἰ μή πάντες οἱ προωρισμένοι κατά γενεάς καί γενεάς τεχθήσονται ἕως ἐσχάτης ἡμέρας καί πληρωθήσονται, ὁ ἄνω κόσμος οὐ πληρωθήσεται.
θ΄. Εἰς τό ῥητόν τοῦ Εὐαγγελίου· «Ὡμοιώθη ἡ βασιλεία τῶν οὐρανῶν βασιλεῖ». Καί τίς ἐστιν ὁ γάμος ὁ μυστικός τοῦ Θεοῦ.
ι΄. Ὅτι καί πάντες οἱ ἅγιοι τόν Λόγον τοῦ Θεοῦ ἐν ἑαυτοῖς συλλαμβάνουσι τῇ Θεοτόκῳ παραπλησίως καί γεννῶσιν αὐτόν καί γεννᾶται ἐν αὐτοῖς καί γεννῶνται ὑπ᾽ αὐτοῦ, καί πῶς υἱοί καί ἀδελφοί καί μητέρες αὐτοῦ χρηματίζουσιν.
ια΄. Εἰς τό ῥητόν τοῦ Εὐαγγελίου· «Καί ἀπέστειλε τούς δούλους αὐτοῦ

καλέσαι τούς κεκλημένους εἰς τούς γάμους καί οὐκ ἤθελον ἐλθεῖν».

ιβ΄. Ὅτι οὐ χρή πρό τῆς ἐργασίας τῶν ἐντολῶν καί τῆς εἰς ἀρετήν προκοπῆς τε καί τελειώσεως τά κεκρυμμένα μυστήρια τῆς βασιλείας τῶν οὐρανῶν ἐρευνᾶν τῶν ἀμυήτων τινά· καί ὅτι ἐν τῇ δευτέρᾳ τοῦ Κυρίου ἐλεύσει πάντες ἀλλήλους γνωρίζουσιν οἱ ἅγιοι.

ΛΟΓΟΣ Β΄. Τά κεφάλαια τῆς θεωρίας τοῦ λόγου.

α΄. Προτρεπτικός ἐκ προοιμίων εἰς μετάνοιαν· καί εἰς τό ῥητόν τοῦ Ἀποστόλου· «Οὕς προέγνω, τούτους καί προώρισε» καί εἰς τά ἑξῆς· καί κατά τῶν στρεβλούντων αὐτό τε καί πᾶσαν τήν θείαν Γραφήν.

β΄. Ὅτι πάντες οἱ εἰς Χριστόν πιστεύσαντες προεγνωσμένοι καί προωρισμένοι εἰσίν εἰς τό συμμόρφους γενέσθαι αὐτούς τοῦ Υἱοῦ τοῦ Θεοῦ· καί εἰς τό ῥητόν τοῦ Μωσέως· «Ὅτε διεμέριζε ἔθνη ὁ Ὕψιστος» καί τά ἑξῆς.

γ΄. Ἀνακεφαλαίωσις τῶν ἐν τῷ πρώτῳ λόγῳ ῥηθέντων περί ταῆς τοῦ Ἀδάμ καί τῆς Εὔας καί τῶν ἑπτά ἡμερῶν καί αἰώνων καί τῆς τοῦ παραδείσου φυσικῆς θεωρίας.

δ΄. Περί τοῦ κατακλυσμοῦ καί τίνων εἰκόνες ἦσαν τά ἐν τῇ κιβωτῷ· καί περί τοῦ Ἀβράαμ καί τοῦ κατ' ἐκλογήν λήμματος καί τί ἐστι τό λῆμμα τοῦτο· καί περί τοῦ Ἰσραήλ καί τῆς περιτομῆς.

ε΄. Ὅτι τῷ παραχθέντι πρώτῳ κατ' ἀρχάς κόσμῳ ἕτεροι δύο συνεπεγένοντο, ὧν ὁ ἔσχατος τύπος ἐστί τῶν μετά ταῦτα μελλόντων γενέσθαι, μέσος τις ὤν τῶν ἀρχαίων καί τῶν ἐξ ὕστερον· καί τίνος ἦν εἰκών ἡ τῆς ἐπαγγελίας γῆ καί τά ἑξῆς.

στ΄. Εἰς τό ῥητόν τοῦ Ἀποστόλου· «Εἰ γάρ τό αὐτῶν παράπτωμα πλοῦτος κόσμου γέγονε» καί τά ἑξῆς· καί προσωποποιΐα τῶν ἑκατέρων λαῶν, τῶν ἐθνῶν φημι καί τοῦ Ἰσραήλ.

ζ΄. Ὅτι νέος κόσμος ἡ τοῦ Χριστοῦ Ἐκκλησία καί νέος παράδεισος ἡ πρός αὐτόν πίστις. Καί πρός τούτοις ἀνακεφαλαίωσις τοῦ πρώτου κόσμου, ἀντιπαρατιθεμένων τοῖς ἐν ἐκείνῳ πραχθεῖσι τῶν ἐν τῇ Ἐκκλησίᾳ διά Χριστοῦ τελεσθέντων. Καί πρός τό τέλος ἐπανάληψις τοῦ ἀποστολικοῦ ῥητοῦ· «Οὕς προέγνω, τούτους καί προώρισε.....».

ΛΟΓΟΣ Γ΄. Εἰς το ῥητόν τοῦ Ἀποστόλου ἐν ᾧ λέγει· «Καί εἶδον τόν τοιοῦτον εἰς τρίτον οὐρανόν ἁρπαγέντα καί ἀκούσαντα ἄρρητα ῥήματα ἅ οὐκ ἐξόν ἀνθρώπῳ ἀκοῦσαι». Τί οὖν εἰσιν ἅ ἀκήκοεν ὁ Παῦλος ἄρρητα ῥήματα; Τίνα δέ τά ἀγαθά «ἅ ὀφθαλμός οὐκ εἶδε καί οὖς οὐκ ἤκουσε καί ἐπί καρδίαν ἀνθρώπου οὐκ ἀνέβη»; Τίς δέ ἤ πῶς ἔσται καί ἔστιν εἰς ἡμᾶς ἡ τοῦ Θεοῦ βασιλεία καί τίς ἡ ἐν ἡμῖν ταύτης ἐνέργεια;

ΛΟΓΟΣ Δ΄. Περί ἀπαθείας καί τῶν ἐν αὐτῇ κατά προκοπήν χαρισμάτων καί δωρεῶν· καί τίς ἡ τελείωσις τῆς κατά Χριστόν πνευματικῆς ἡλικίας.

ΛΟΓΟΣ Ε΄ Περί τῶν οἰομένων ἀγνώστως ἔχειν ἐν ἑαυτοῖς τό Πνεῦμα τό Ἅγιον, μή ἐπαισθανομένων δέ καθόλου τῆς ἐνεργείας αὐτοῦ· καί περί τῶν λεγόντων μή δύνασθαί τινα τῶν ἀνθρώπων κατά τήν παροῦσαν ζωήν ὁρᾶν τήν δόξαν αὐτοῦ, καί

ἀπόδειξις διά χρήσεων περί τούτου. Καί ὅτι φθόνος οὐδείς ἐν τοῖς ἁγίοις, ὅταν διά πάσης σπουδῆς ἐναρέτου τούτοις συνεξισώμεθα. Καί ποίῳ τρόπῳ ὁρᾷ τις τόν Θεόν καί ὅτι ὁ εἰς τοιαῦτα μέτρα πεφθακώς, ὥστε ὁρᾷν κατά τό ἐφικτόν τόν Θεόν, ἔνθεν ἤδη μυεῖται καί τήν μέλλουσαν δοθῆναι ἐν τῷ μέλλοντι τοῖς ἁγίοις ἀπόλαυσιν. Καί ὅτι ὅσα ἄν ὁ τοιοῦτος λέγῃ ἤ ποιῇ ἤ γράφῃ, οὐκ αὐτός, ἀλλά τό Πνεῦμα τό Ἅγιον τό λαλοῦν ἐν αὐτῷ ταῦτα λέγει καί γράφει· καί ὁ τούς λόγους αὐτοῦ ἀθετῶν ἤ παραλογιζόμενος, εἰς τό Πνεῦμα τοῦ Θεοῦ, τό ἐνεργοῦν καί λαλοῦν ἐν αὐτῷ, ἁμαρτάνει καί βλασφημεῖ.

ΛΟΓΟΣ στ΄. Περί ἀπαθείας καί ἐναρέτου ζωῆς. Καί ὅπως χρή τό οἰκεῖον ἐκκόπτειν θέλημα καί εἰς ὕψος ἀνέρχεσθαι τελειότητος. Καί περί συναφείας Θεοῦ πρός ψυχήν καί ψυχῆς πρός σῶμα καί ἑνώσεως τῶν τριῶν παραδόξου. Καί πρός τούτοις περί πνευματικῆς ἰατρείας καί ὅπως χρή θεραπεύειν τούς ψυχικῶς ἀσθενοῦντας.

ΛΟΓΟΣ Ζ΄. Περί τῶν δουλευόντων Θεῷ, τίνες τε εἶεν και ὁποῖοι καί ποταποί. Καί τίς ἐστιν ὁ μετανοῶν καί ἡ ἐργασία αὐτοῦ, καί τίς ὁ τήν ἀσκητικήν ζωήν μετερχόμενος καί ἡ ἐργασία αὐτοῦ, καί τίς ὁ δουλεύων Θεῷ καί τό ἔργον αὐτοῦ. Καί ὅτι, ἐάν μή τάς ἀρετάς κτησώμεθα, οὐδέν ἡμᾶς ἀπαλλαγή μόνον τῶν παθῶν ὠφελήσει.

ΛΟΓΟΣ Η΄. Περί ἀγάπης Θεοῦ καί πίστεως καί ὅπως τις ἐγκύμων γίνεται τῆς τοῦ Θεοῦ ἀγάπης. Καί περί ἐλλάμψεως καί θεωρίας φωτός καί μυστικῆς ὁμιλίας τοῦ Πνεύματος.

ΛΟΓΟΣ Θ΄. Περί γνώσεως ἀληθινῆς καί ὅτι ἡ τοῦ Θεοῦ γνῶσις οὐκ ἐκ μαθημάτων, ἀλλ' ἐκ καθαρότητος καί τῆς ἄνωθεν χάριτος ἐπιγίνεται τῷ σπουδαίῳ· καί ὅτι χαλεπόν τό κρίνειν· καί ἔλεγχος τῶν οἰομένων εἰδέναι τά τοῦ Πνεύματος χωρίς Πνεύματος· ἐν ᾧ καί περί τῆς τοῦ Πατρός ἁγιωσύνης· καί οἷον ἀγαθόν ἐστιν ἡ πίστις καί τίς ὁ ταύτης καρπός καί ὅπως αὐξάνεται· καί ὅτι οἱ τόν θησαυρόν ἐν ἑαυτοῖς ἐσχηκότες τοῦ Πνεύματος καί ἐν ἄλλοις ὄντα γνωρίζουσι· καί τίνα τῶν ἁγίων τά σημεῖα καί πῶς καί τίσι γνωρίζονται· καί ὅτι ὁ μή γεννηθείς ἄνωθεν οὐ δύναται ἰδεῖν τόν γεγεννηκότα Θεόν οὐδέ γνωρίσαι τόν εἰς τοῦτο πεφθακότα διά τοῦ Πνεύματος.

ΛΟΓΟΣ Ι ΄. Περί τῆς φοβερᾶς τοῦ Κυρίου ἡμέρας καί τῆς μελλούσης κρίσεως, ὅτι καί πρό τοῦ θανάτου ἐν ἡμῖν ἔνθεν ἤδη καθαιρομένοις διά δακρύων ἐνεργεῖται ἐν οἷς ἄν ἐγγένηται κατά τήν παροῦσαν ζωήν, κατά τήν μέλλουσαν οὐχ ὑπαντᾶ. Καί τίς ἐστιν ἡ ἡμέρα Κυρίου καί τίσιν αἴφνης ἀποκαλύπτεται. Καί ὅτι ἡ εἰς Χριστόν πίστις οὐ δύναται μόνη σῶσαι ἡμᾶς, εἰ μή καί Πνεύματος Ἁγίου γνωστῶς γενώμεθα μέτοχοι καί ὅτι οὐχί πάντες οἱ βαπτιζόμενοι διά τοῦ βαπτίσματος λαμβάνουσι τόν Χριστόν. Καί πῶς δύναταί τις γνῶναι εἰ περιφέρει ἐν αὐτῷ τόν Χριστόν καί Πνεύματος Ἁγίου γέγονε μέτοχος. Καί ἑρμηνεία ὡς ἐν παραδρομῇ εἰς τό « Ἐν ἀρχῇ ἦν ὁ Λόγος». Καί μακαρισμός εἰς τούς ἐξ ἀγώνων τήν ἐπιφοίτησιν δεξαμένους τοῦ Πνεύματος.

ΛΟΓΟΣ ΙΑ '. Περί τῆς ζωοποιοῦ νεκρώσεως τοῦ Ἰησοῦ καί Θεοῦ τῆς ἀεί γινομένης εὐαισθήτως ἐν τοῖς τελείοις. Καί ὅτι ἡ κτῆσις τῶν ἀρετῶν αἵματι ἀγοράζεται· καί

τίνα τῶν ἀρετῶν τά καταγώγια καί ὅτι ὁ μή διά τῆς πρώτης βαθμίδος κατά τάξιν εἰς τήν βασιλείαν τῶν οὐρανῶν ἀνερχόμενος οὐδαμῶς εἰσελεύσεται εἰς αὐτήν. Ὅτι ἐν τοῖς τελείοις χαρά καί ἀγαλλίασίς ἐστι, καί οὐ δάκρυον, καί βρύουσι τῆς θεολογίας τά ῥεῖθρα. Καί πρός τό τέλος, ὅτι δεῖ ἐπιπηδᾶν ταῖς ἀρχαῖς ἄνευ τῆς πληροφούσης τάς καρδίας ἡμῶν χάριτος, τῆς ἐπί τό ποιμαίνειν καλούσης τόν λαόν τοῦ Θεοῦ· καί τί τό ἔργον τῶν προϊσταμένων, τίς δέ ἡ περί τά λογικά πρόβατα φροντίς, καί πῶς ὀφείλουσι ταῦτα παρά τῶν ποιμένων ποιμαίνεσθαι.

ΛΟΓΟΣ ΙΒ΄. Εἰς τό ῥητόν τό λέγον τοῦ Ἀποστόλου· «Ἐξαγοραζόμενοι τόν καιρόν, ὅτι αἱ ἡμέραι πονηραί εἰσί». Καί πῶς ἐξαγοράζεταί τις φρονίμως τόν καιρόν τῆς παρούσης ζωῆς.

ΛΟΓΟΣ ΙΓ΄. Εἰς τό ῥητόν τοῦ Ἀποστόλου· «Ὁ πρῶτος ἄνθρωπος ἐκ γῆς χοϊκός, ὁ δεύτερον ἄνθρωπος ὁ Κύριος ἐξ οὐρανοῦ». Καί πῶς τόν χοϊκόν ἀποτιθέμεθα ἄνθρωπον καί τόν Χριστόν ἐνδυόμεθα, συγγενεῖς αὐτοῦ καί ἀδελφοί χρηματίσαντες.

ΛΟΓΟΣ ΙΔ΄. Περί ἑορτῶν καί ὅπως χρή ἑορτάζειν καί τίνων σύμβολα τά τελούμενα ἐν ταῖς ἑορταῖς καί κατά τῶν ἐναβρυνομένων ἐν αὐταῖς. Καί περί τῶν ἀξίως ἤ ἀναξίως κοινωνούντων καί τίς ἡ ἐν τούτοις διαφορά· καί πρός τό τέλος, πῶς συνάπτεταί τις διά τῆς κοινωνίας Θεῷ καί πῶς οὐ συνάπτεται.

ΛΟΓΟΣ ΙΕ΄ . Περί ἡσυχίας καί ὁποίας ἐργασίας ὀφείλει ἔχεσθαι ὁ ἐν ταύτῃ ἀνδρείως προσκαρτερῶν.

ΚΕΦΑΛΑΙΑ ΠΡΑΚΤΙΚΑ ΚΑΙ ΘΕΟΛΟΓΙΚΑ

ΕΤΕΡΑ ΚΕΦΑΛΑΙΑ ΓΝΩΣΤΙΚΑ ΤΕ ΚΑΙ ΘΕΟΛΟΓΙΚΑ κε'

Ἕτερα κεφάλαια θεολογικά καί πρακτικά ρ'.

ΔΙΑΛΟΓΟΣ ΣΧΟΛΑΣΤΙΚΟΥ ΠΡΟΣ ΣΥΜΕΩΝ ΤΟΝ ΝΕΟΝ ΘΕΟΛΟΓΟΝ.

ΤΟΜΟΣ ΤΡΙΤΟΣ - ΥΜΝΟΙ ΕΠΙΣΤΟΛΑΙ

Νικήτα μονάζοντος καί πρεσβυτέρου μονῆς τῶν Στουδίου τοῦ Στηθάτου εἰς τήν βίβλον τῶν θείων ὕμνων τοῦ ὁσίου πατρός ἡμῶν Συμεών.

Ο ΠΙΝΑΞ ΤΩΝ ΘΕΙΩΝ ΕΡΩΤΩΝ

ΕΥΧΗ ΜΥΣΤΙΚΗ δι’ ἧς ἐπικαλεῖται τό Πνεῦμα τό Ἅγιον ὁ αὐτό προορῶν.

Α'. Περί θείας ἐλλάμψεως καί φωτισμοῦ Πνεύματος Ἁγίου· καί ὅτι εἷς τόπος ὁ Θεός, ἐν ᾧ μετά πότμον τήν ἀνάπαυσιν πάντες οἱ Ἅγιοι ἔχουσι· καί ὅτι ὁ τοῦ Θεοῦ ἐκπίπτων ἐν ἑτέρῳ τόπῳ οὐχ ἕξει τήν ἀνάπαυσιν ἐν τῇ μελλούσῃ ζωῇ.

Β΄ Τίς ἡ ἐπί τῷ πατρί τούτῳ γενομένη ἀλλοίωσις καί πῶς καθαρθείς εἰς ἄκρον ἡνώθη Θεῷ καί οἷος ἐξ οἵου ἐγένετο, οἱ πρός Θεόν ἐρωτικοί αὐτοῦ λόγοι δηλοῦσιν ἐνταῦθα· ὅς καί θεολογῶν λέγει πρός τό τέλος περί ἀγγέλων.

Γ'. Τίς ὁ μοναχός καί καί τίς ἡ αὐτοῦ ἐργασία· καί εἰς οἷον ὕψος οὗτος ὁ θεῖος πατήρ θεωρίας ἀνῆλθεν.

Δ'. Διδασκαλία εἰς μοναχούς ἄρτι ἀποταξαμένους κόσμῳ καί τοῖς ἐν κόσμῳ· καί περί τοῦ, ὁποίαν τις ὀφείλει πίστιν ἔχειν πρός τόν ἴδιον πατέρα.

Ε'. Ἀλφάβητος τοῦ αὐτοῦ κατά στοιχεῖον διπλοῦς προτρέπων καί ὁδηγῶν εἰς τελειότητα βίου ἀναδραμεῖν τόν ἄρτι ἀπό τοῦ κόσμου ἀναχωρήσαντα.

ΣΤ'. Τετράστιχα τοῦ αὐτοῦ τόν πρός Θεόν αὐτοῦ ἐντεῦθεν δεικνύοντα ἔρωτα.
Ζ'. Ἔντευξις τοῦ αὐτοῦ εἰς Θεόν· καί ὅπως Θεῷ συναπτόμενος καί δόξαν Θεοῦ ὁρῶν ἐν ἑαυτῷ ἐνεργοῦσαν ἐξεπλήττετο.
Η'. Τίσι Θεός ἐμφανίζεται καί τίνες ἐν ἕξει γίνονται τοῦ καλοῦ διά τῆς τῶν ἐντολῶν ἐργασίας.
Θ'. Ὅτι ὁ τοῦ Ἁγίου Πνεύματος μέτοχος γεγονώς ὑπό τοῦ φωτός καί τῆς δυνάμεως αὐτοῦ ἁρπαζόμενος ἐπάνω πάντων φέρεται τῶν παθῶν, μή βλαπτόμενος τῷ πλησιασμῷ ὑπ' αὐτῶν.
Ι'. Ὅτι ὁ θάνατος τῇ λύπῃ καί τῶν στερροτέρων καθάπτεται.
ΙΑ' Ὅπως ὡράθη αὐτῷ Θεός ὡς Στεφάνῳ καί Παύλῳ τοῖς ἀποστόλοις, ἐνταῦθα ὁ πατήρ ἐκπληττόμενος διηγεῖται.
ΙΒ' Περί τοῦ ἑνός κατά πάντα τῆς τρισυποστάτου θεότητος θεολογία· καί δι' ὧν τῇ ταπεινώσει χρώμενος λέγει περί ἑαυτοῦ, τῶν δοκούντων εἶναί τι ἐντρέπων τήν οἴησιν.
ΙΔ'. Εὐχαριστία πρός Θεόν τῶν δωρεῶν ἕνεκα, ὧν παρ' αὐτοῦ ἠξιώθη· καί ὅτι φρικτόν καί ἀγγέλοις τό τῆς ἱερωσύνης καί ἡγουμενείας ἀξίωμα.
ΙΕ'. Ὅπως βλέπων τήν δόξαν τοῦ Θεοῦ ἐνηργεῖτο ὑπό τοῦ Παναγίου Πνεύματος, καί ὅτι τό Θεῖον ἐντός καί ἐκτός ἐστι τοῦ παντός, ἀλλά καί ληπτόν τε καί ἄληπτον τοῖς ἀξίοις, καί ὅτι οἶκος Δαυίδ ἡμεῖς ἐσμεν, καί ὅτι εἰς πολλά γινόμενος ὁ Χριστός καί Θεός ἡμῶν μέλη εἷς ἐστι καί ὁ αὐτός καί μένων ἀμέριστος.
ΙΣΤ'. Ὅτι ποθεινόν τε καί ἐπιθυμητόν κατά φύσιν μόνον τό Θεῖον, οὗ ὁ μετέχων πάντων ἐν μετοχῇ γέγονε τῶν καλῶν
ΙΖ'. Ὅτι ὁ φόβος γεννᾷ τήν ἀγάπην, ἡ δέ ἀγάπη ἐκριζοῖ τόν φόβον ἀπό τῆς ψυχῆς καί μένει μόνη ἐν αὐτῇ, Πνεῦμα Θεῖον οὖσα καί Ἅγιον.
ΙΗ'. Διδασκαλία σύν θεολογίᾳ περί τῶν ἐνεργειῶν τῆς ἁγίας ἀγάπης, ἤγουν αὐτοῦ τοῦ φωτός τοῦ Ἁγίου Πνεύματος.
ΙΘ'. Διδασκαλία σύν θεολογίᾳ, ἐν ᾗ καί περί ἱερωσύνης ἅμα καί ἀπαθοῦς θεωρίας.
Κ'. Εὐχαριστία καί ἐξομολόγησις σύν θεολογίᾳ· καί περί δωρεᾶς καί μετουσίας Πνεύματος Ἁγίου.
ΚΑ'. Ἐπιστολή πρός μοναχόν ἐρωτήσαντα· Πῶς χωρίζεις τόν Υἱόν ἀπό τοῦ Πατρός, ἐπινοίᾳ ἤ πράγματι; Ἐν ᾗ εὑρήσεις πλοῦτον θεολογίας ἀνατρεπούσης τήν αὐτοῦ βλασφημίαν.
ΚΒ'. Εὐχαριστία σύν θεολογίᾳ· καί περί ὧν ἡ θεία χάρις τοῦ Πνεύματος διά τῶν ἐνεργειῶν ὠνόμασται.
ΚΓ'. Περί τῆς ἀκαταλήπτου καί ἀπεριγράπτου Θεότητος ἀκριβής θεολογία· καί ὅτι ἀπερίγραπτος οὖσα ἡ θεία φύσις οὔτε ἐντός οὔτε ἐκτός ἐστι τοῦ παντός, ἀλλά καί ἐντός καί ἐκτός ὡς τῶν ὅλων αἰτία· καί ὅτι μόνον κατά νοῦν τῷ ἀνθρώπῳ ληπτόν ἀλήπτως τό Θεῖον ὡς τοῖς ὀφθαλμοῖς αἱ τοῦ ἡλίου ἀκτῖνες.
ΚΔ'. Δι' ὧν ἐξομολογούμενος ἐν τῷ παρόντι γράφει λόγῳ, δείκνυσι τό βάθος τῆς ἑαυτοῦ ταπεινώσεως, καί προϊών διδάσκει αὐτήν τόν εἰς μέτρον ἐλάσαντα τελειότητος καί ἀξιωθέντα τοιούτων ἐν θεωρίᾳ ἀποκαλύψεων, Παῦλον τόν θεῖον

κἀν τούτῳ μιμούμενος, ἁμαρτωλόν ἑαυτόν ἀποκαλοῦντα καί ἀνάξιον τοῦ καλεῖσθαι ἀπόστολον.
ΚΕ'. Περί τῆς γενομένης θεωρίας αὐτῷ τοῦ θείου φωτρός, καί ὅπως τό θεῖον φῶς οὐ καταλαμβάνεται ὑπό σκότους· ἐν οἷς καί διά τήν ὑπερβολήν τῶν ἀποκαλύψεων ἐκπληττόμενος μέμνηται τῆς ἀνθρωπίνης ἀσθενείας καί ἑαυτόν κατακρίνει.
ΚΣΤ'. Ὅτι ὁ ἐν ἀγνωσίᾳ Θεοῦ ἔτι ζῶν νεκρός ἐστι μέσον τῶν ζώντων ἐν γνώσει Θεοῦ καί ὅτι τοῖς ἀναξίως τῶν μυστηρίων μεταλαμβάνουσιν ἄληπτον τό θεῖον σῶμα καί αἷμα τοῦ Χριστοῦ γίνεται.
ΚΖ'. Ὁποῖον δεῖ εἶναι τόν μοναχόν καί τίς ἡ ἐργασία καί τίς ἡ τούτου προκοπή καί ἀνάβασις.
ΚΗ'. Περί νοητῆς ἀποκαλύψεως τῶν ἐνεργειῶν τοῦ θείου φωτός καί ἐργασίας νοερᾶς τε καί θείας τῆς ἐναρέτου ζωῆς.
ΚΘ'. Ὅτι μόνοις ἐκείνοις καταφανῆ τά τῶν θείων πραγμάτων, οἷς διά τῆς μετουσίας τοῦ Ἁγίου Πνεύματος ὅλοις ὅλος ἡνώθη Θεός.
Λ'. Πρός ἕνα τῶν μαθητῶν, ὅτι ταῖς καθαρθείσαις ψυχαῖς διά δακρύων καί μετανοίας προσψαῦσαν τό θεῖον τοῦ Πνεύματος πῦρ δράσσεται αὐτῶν καί πλεον καθαίρει, φωτίζον τά ὑπό τῆς ἁμαρτίας ἐσκοτισμένα μέρη αὐτῶν καί τά τραύματα ἐξιώμενον εἰς τελεῖαν φέρει συνούλωσιν, ὡς τῷ θείῳ κάλλει ὑπεραστράπτειν αὐτάς.
ΛΑ'. Περί θεολογίας καί ὅτι ἀνεξερεύνητος ἡ θεία φύσις καί πάντῃ τοῖς ἀνθρώποις ἀκατανόητος.
ΛΒ'. Ὅτι οἱ ἔνδοξοι τῆς γῆς καί σοβαροί τῷ πλούτῳ περί τήν σκιάν τῶν ὁρωμένων πλανῶνται, οἱ δέ γε τῶν παρόντων καταφρονήσαντες ἐν ἀπλανεῖ μεθέξει τοῦ Θείου γίνονται Πνεύματος.
ΛΓ'. Περί θεολογίας· καί ὅτι οἱ τό κατ᾽ εἰκόνα φυλάξαντες τάς πονηράς δυνάμεις τοῦ ἄρχοντος τοῦ σκότους καταπατοῦσιν, οἱ δ᾽ ἄλλοι, οἷς ἐμπαθής ὁ βίος, ὑπ᾽ αὐτοῦ κρατοῦνται καί βασιλεύονται.
ΛΔ'. Ὅτι ἡ τοῦ Παναγίου Πνεύματος ἕνωσις πρός κεκαθαρμένας ψυχάς ἐν αἰσθήσει τρανῇ, ἤγουν ἐν ἐπιγνώσει γίνεται καί, ἐν αἷς ἄν γένηται, φωτοειδεῖς ὁμοίας ἑαυτόῦ καί φῶς αὐτάς ἀπεργάζεται.
ΛΕ'. Ὅτι πάντες οἱ ἅγιοι ἐλλαμπόμενοι αὐγάζονται καί τήν δόξαν τοῦ Θεοῦ καθορῶσιν, ὡς θεμιτόν ἀνθρωπίνῃ φύσει Θεόν ὁρᾶν.
ΛΣΤ'. Εὐχαριστία ὑπέρ τῆς ἐξορίας καί τῶν θλίψεων, ὧν ὑπέστη ἐν τῷ κατ᾽ αὐτόν διωγμῷ.
ΛΖ'. Δέησις καί προσευχή τοῦ αὐτοῦ πρός Θεόν τῆς ἐκείνου ἕνεκα βοηθείας
ΛΗ'. Περί θεολογίας· καί ὅτι ὁ νοῦς τῆς ὕλης τῶν παθῶν καθαρθείς ἀΰλως τόν ἄϋλον καί ἀόρατον καθορᾷ.
ΛΘ'. Ὅτι ὁ πόθος καί ἡ πρός Θεόν ἀγάπη ὑπερβαίνει πᾶσαν ἀγάπην καί πάντα πόθον ἀνθρώπινον· βαφείς δέ ὁ νοῦς τῶν καθαιρομένων ἐν τῷ φωτί τοῦ Θεοῦ ὅλος θεοῦται καί νοῦς ἐκεῖθεν χρηματίζει Χριστοῦ.
Μ'. Ὁμολογία τῆς χάριτος τῶν τοῦ Θεοῦ δωρεῶν· καί ὅπως ὁ ταῦτα γράφων πατήρ ὑπό τοῦ Ἁγίου ἐνηργεῖτο Πνεύματος· καί διδασκαλία ῥηθεῖσα ὑπό Θεοῦ, τοῦ τί δεῖ

ποιοῦντα τινά, τῆς τῶν σῳζομένων σωτηρίας τυχεῖν.
ΜΑ'. Εὐχαριστία πρός Θεόν ὑπέρ τῶν παρ' αὐτοῦ γεγονότων εὐεργεσιῶν καί αἴτησις τοῦ μαθεῖν, τίνος χάριν οἱ τέλειοι γεγονότες ὑπό τῶν δαιμόνων παραχωροῦνται πειράζεσθαι· καί περί τῶν ἀποτασσομένων τῷ κόσμῳ διδασκαλία καί ὑποτύπωσις ῥηθεῖσα παρά Θεοῦ.
ΜΒ'. Ὅτι οἱ τῷ Θεῷ ἀπ' ἐντεῦθεν ἤδη διά τῆς τοῦ Ἁγίου Πνεύματος μετουσίας ἑνωθέντες, ἐκδημοῦντες τοῦ βίου εἰς αἰῶνας αὐτῷ ἐκεῖθεν συνέσονται· εἰ δ' οὖν, ἀλλά τό ἀνάπαλιν τοῖς ἄλλως ἔχουσιν ἐνταῦθα τότε γενήσεται.
ΜΓ'. Ὅτι κρεῖσσον τό καλῶς ποιμαίνεσθαι ἤ τούς μή βουλομένους ποιμαίνειν· οὐδέ γάρ ἔσται κέρδος τῷ ἄλλους μέν σπουδάζοντι σῶσαι, ἑαυτόν δέ διά τῆς ἐκείνων ἀπολέσαντι προστασίας.
ΜΔ'. Τί ἐστι τό κατ' εἰκόνα, καί πῶς εἰκότως νοεῖται ὡς τοῦ πρωτοτύπου εἰκών ὁ ἄνθρωπος· καί ὅτι ὁ τούς ἐχθρούς ὡς εὐεργέτας φιλῶν μιμητής ἐστι τοῦ Θεοῦ, Πνεύματος δέ Ἁγίου ἐντεῦθεν μέτοχος γεγονώς θέσει θεός καί χάριτι γίνεται, μόνοις ἐκείνοις γνωριζόμενος, τοῖς ὑπό τοῦ Ἁγίου Πνεύματος ἐνεργουμένοις.
ΜΕ'. Περί θεολογίας ἀκριβεστάτης· καί ὅτι ὁ μή ὁρῶν τό φῶς τῆς τοῦ Θεοῦ δόξης χείρων τυγχάνει τυφλῶν.
ΜΣΤ'. Ἐξομολόγησις εὐχῇ συνημμένη· καί περί συναφείας Πνεύματος Ἁγίου καί ἀπαθείας.
ΜΖ'. Περί νοητοῦ παραδείσου τηλαυγῆς θεωρία· καί περί τοῦ ἐν αὐτῷ ξύλου ζωῆς.
ΜΗ'. Ὅτι δόξα καί τιμή ἐστι παντί ἀνθρώπῳ ὑβριζομένῳ καί πάσχοντι κακῶς διά Θεοῦ ἐντολήν ἡ ὑπέρ αὐτῆς τῆς ἐντολῆς τοῦ Θεοῦ ἀτιμία· καί διάλογος πρός τήν ἰδίαν ψυχήν, διδάσκων τόν ἀκένωτον πλοῦτον τοῦ Πνεύματος.
ΜΘ'. Ὅτι ἔστιν ὅτε καί διά τῆς εἰς τόν πλησίον ἐπιμελείας καί διορθώσεως συγκατασπᾶσθαι τόν διδάσκαλον εἰς τήν ἑνοῦσαν ἐκείνῳ τοῦ πάθους ἀσθένειαν.
Ν'. Περί θεωρίας Θεοῦ καί θείων πραγμάτων καί Ἁγίου Πνεύματος παραδόξου ἐνεργείας· καί περί τῶν ἰδίων τῆς Ἁγίας καί ὁμοουσίου Τριάδος· καί ὅτι ὁ μή φθάσας εἰσελθεῖν εἰς τήν βασιλείαν τῶν οὐρανῶν οὐδέν ὠφεληθήσεται, κἄν ἐκτός γένηται τῶν τοῦ ᾅδυο κολάσεων.
ΝΑ'. Ὅτι τοῦ Πνεύματος λάμποντος ἐν ἡμῖν τοῦ Ἁγίου πάντα τά τῶν παθῶν φυγαδεύονται ὡς ὑπό τοῦ φωτός τό σκότος· συστέλλοντος δέ αὐτοῦ τάς ἀκτῖνας, ὑπό τούτων καί τῶν πονηρῶν βαλλόμεθα λογισμῶν.
ΝΒ'. Περί θεολογίας· καί ὅτι τῷ μή ἀλλοιωθέντι τῇ τοῦ Ἁγίου Πνεύματος μετουσίᾳ καί γεγονότι θέσει ἐν γνώσει Θεῷ διδάσκειν τά θεῖα τούς ἀνθρώπους οὐκ ἔξεστι.
ΝΓ'. Κατά διάλεκτον Θεοῦ καί τοῦ πατρός τῶν λόγων ὁ λόγος· καί ὅπως ὑπό τοῦ Ἁγίου Πνεύματος ἐλλαμπόμενος ὁ θεῖος οὗτος πατήρ ὡμίλει Θεῷ καί ὑπ' ἐκείνου ἐμυσταγωγεῖτο τά θεῖά τε καί ἀνθρώπινα.
ΝΔ'. Ὅτι ἑκάστῳ τῶν ἀνθρώπων δέδωκεν ὁ Θεός προσφυῶς καί πρός τό συμφέρον τό χάρισμα διά Πνεύματος Ἁγίου εἰς τό ἐνεργεῖν, οὐχ ὥσπερ αὐτός θέλει, ἀλλ' ὡς ὑπ' αὐτοῦ προωρίσθη, εἰς τό μή κενόν εἶναι μέσον τῆς ἐκκλησίας αὐτοῦ.
ΝΕ'. Ὅτι τοῖς τό ἅγιον φυλάξασι βάπτισμα καθαρόν παραμένει τό Πνεῦμα τό

Ἅγιον· ἀπό δέ τῶν μολυνάντων αὐτό ἀπανίσταται.
ΝΣΤ'. Εὐχή πρός Θεόν ἐπί τοῖς γεγονόσιν εἰς αὐτόν, ἱκετήριός τε ὁμοῦ καί εὐχαριστήριος.
ΝΖ'. Ὅτι ὁ τόν Θεόν ἐξ ὅλης ποθήσας ψυχῆς μισεῖ τόν κόσμον.
ΝΗ'. Διδασκαλία κοινήν σύν ἐλέγχῳ πρός πάντας· βασιλεῖς, ἀρχιερεῖς, ἱερεῖς, μονάζοντας, λαϊκούς, ὑπό στόματος λαληθεῖσα καί λεγομένη Θεοῦ.
ΕΠΙΣΤΟΛΕΣ.
ΕΠΙΣΤΟΛΗ Α'. Περί ἐξομολογήσεως.
ΕΠΙΣΤΟΛΗ Β'. Πρός Στέφανον Νικομηδείας
ΕΠΙΣΤΟΛΗ Γ'. Ἑτέρα πρός Στέφανον Νικομηδείας.
ΕΠΙΣΤΟΛΗ Δ'. Πρός Νικήτα Σταθᾶτον.

# Πίναξ Περιεχομένων

ΤΟΜΟΣ ΠΡΩΤΟΣ 12

Λόγος Α΄. Περί ἀγάπης. Καί ποῖαί εἰσι τῶν πνευματικῶν ἀνδρῶν αἱ ὁδοί καί αἱ πράξεις. Καί μακαρισμός πρός τούς ἔχοντας τήν ἀγάπην ἐγκάρδιον. 13

Λόγος΄.Β΄. Περί τοῦ φεύγειν τούς λοιμούς καί φθοροποιούς τῶν ἀνθρώπων καί τούς λόγους αὐτῶν ἀποπέμπεσθαι καί πρός τήν ἐργασίαν τῆς ἀρετῆς ἀναστῆναι. Ἔτι δέ καί περί τοῦ δεῖν σκοπεῖν εἰ τά τῶν μακαρισμῶν τοῦ Χριστοῦ ἐν ἑαυτοῖς ἔχομεν. Καί περί δακρύων καί κατανύξεως. 17

Λόγος Γ΄. Περί τοῦ ὅτι χρή καλῶς ὑποτάσσεσθαι καί μή ἐπιλανθάνεσθαι τῶν συνθηκῶν, ὧν πρός Θεόν συνεθέμεθα. Καί ὅτι οὐ δεῖ γογγίζειν ἐπί ταῖς παννύχοις ἀγρυπνίαις τῶν ὄρθρων. 25

Λόγος Δ΄. Περί μετανοίας καί κατανύξεως. Καί ἐκ ποίων ταύτην ἔργων κτήσασθαι δυνατόν. Καί ὅτι ἄνευ δακρύων ἀδύνατον εἰς καθαρότητα καί ἀπάθειαν ἐλάσαι τινά. 32

Λόγος Ε΄. Περί μετανοίας. Καί ὅτι οὐκ ἀρκεῖ ἡμῖν ἡ τῶν ἐνόντων μόνον διάδοσις καί ἡ ἀπογύμνωσις αὐτή τῶν πραγμάτων εἰς κάθαρσιν ψυχῆς, ἐάν μή καί τό πένθος κτησώμεθα. Καί περί τῆς τοῦ Ἀδάμ ἐξορίας. Καί ὅτι εἰ μετενόησε παραβάς, οὐκ ἄν τοῦ παραδείσου ἐξέπεσε. Καί οἷον ἀγαθόν εἰργάσατο αὐτοῦ ἡ μετά τήν ἔκπτωσιν μετάνοια. Καί περί τῆς δευτέρας τοῦ Κυρίου παρουσίας καί τῆς τῶν ἁμαρτωλῶν κατακρίσεως. Καί πρός τό τέλος, ἔλεγχος τῶν ἐν κακίᾳ καί ὑποκρίσει ζώντων. 45

Λόγος στ΄. Περί ἐργασίας πνευματικῆς. Καί τίς ἦν ἡ ἐργασία τῶν παλαιῶν ἁγίων. Καί πῶς ταύτην κατορθῶσαι δυνάμεθα, ἵνα καί μέτοχοι, ὥσπερ ἐκεῖνοι, τοῦ Παναγίου γενώμεθα Πνεύματος. 64

Λόγος Ζ΄. Περί προσπαθείας τῆς εἰς τούς συγγενεῖς. Καί τίς ἡ ἀπάτη αὐτῆς καί εἰς οἷον βόθρον καί δεσμόν κατάγει τούς κρατουμένους ὑπ’ αὐτῆς. Καί περί ἀπογνώσεως καί τῆς ἐν ταύτῃ διαφορᾶς. Καί τί ἐστι τό «Ὁ πιστεύσας καί βαπτισθείς σωθήσεται, 71

ὁ δέ ἀπιστήσας κατακριθήσεται».
Λόγος Η΄. Περί τελείας ἀγάπης καί τίς ἡ ταύτης ἐνέργεια. Καί ὅτι ἐὰν μή διά σπουδῆς ἐντεῦθεν ἤδη τῆς τοῦ Πνεύματος μεθέξεως γενώμεθα μέτοχοι, οὐδέ πιστοί καί χριστιανοί δυνάμεθα εἶναι, ἀλλ’ οὐδέ υἱοί καί τέκνα Θεοῦ χρηματίσωμεν. 80
Λόγος Θ΄. Περί ἐλεημοσύνης. Καί τίς ἐστιν ὁ πεινῶντα τόν Θεόν τρέφων καί διψῶντα ποτίζων καί καθεξῆς. Καί πῶς τοῦτό τινι κατορθωθήσεται. Καί ὅτι εἰ μή τις καί ἐν ἑαυτῷ ταῦτα πάντα ποιήσει καί θρέψει καί ποτίσει Χριστόν, οὐδέν ὠφεληθήσεται ἐκ τοῦ ταῦτα μόνον ποιεῖν εἰς τούς πένητας, ἑαυτόν δέ ἄτροφον παρορᾶν καί γυμνόν τῆς δικαιοσύνης τοῦ Θεοῦ. 84
Λόγος Ι΄. Περί μετοχῆς Πνεύματος Ἁγίου καί ἁγιωσύνης καί τελείας ἀπαθείας. Καί ὅτι ὁ ἀγαπῶν τήν ἐξ ἀνθρώπων δόξαν οὐδέν ἐκ τῶν λοιπῶν ἀρετῶν ὠφελεῖται, κἄν πάσας κατώρθωσε. 92
Λόγος ΙΑ΄. Περί νηστείας. Καί ὅτι οὐ χρή τό τῆς νηστείας ὠφέλιμον ἐν τῇ πρώτῃ καί μόνῃ τῶν νηστειῶν ἑβδομάδι σπουδαίως τηρεῖν καί ἀσπάζεσθαι, ἀλλά τήν ἴσην καί τήν αὐτήν σπουδήν ἐν πάσαις ταῖς ἑβδομάσι τῶν νηστειῶν ἀναγκαῖον τοῖς σπουδαίοις διατηρεῖν. 95
Λόγος ΙΒ΄. Περί ἐγκρατείας καί ὑπομονῆς εἰς τήν ἐργασίαν τῶν ἀρετῶν ἐν τῷ καιρῷ τῆς νηστείας. Καί περί σιωπῆς. Καί ὅπως δεῖ ἐν πάσῃ τῇ νηστείᾳ διάγειν τούς ἀγωνιζομένους ἐν ἀληθείᾳ. 99
Λόγος ΙΓ ΄. Περί τῆς τοῦ Χριστοῦ ἀναστάσεως. Καί ὁποία τίς ἐστιν ἤ πῶς ἐν ἡμῖν γίνεται ἡ ἀνάστασις τοῦ Χριστοῦ καί ἐν αὐτῇ ἡ ἀνάστασις τῆς ψυχῆς. Καί τί τό μυστήριον ταύτης τῆς ἀναστάσεως. Ἐλέχθη μετά τό Πάσχα τῇ δευτέρᾳ τῆς δευτέρας ἑβδομάδος τοῦ Πάσχα. 104
Λόγος ΙΔ΄. Περί μετανοίας καί ἀρχῆς βίου μοναδικοῦ. Καί πῶς τις ὁδῷ καί τάξει προβαίνων εἰς ἀρετήν ἐν τῇ τῶν ἐντολῶν ἐργασίᾳ εἰς τελειότητα ἔρχεται. 107
Λόγος ΙΕ΄. Περί ἐμπαθοῦς καί ἀπίστου καί πονηρᾶς διαθέσεως. Καί τίς ἡ ἕνωσις τοῦ Θεοῦ πρός τούς υἱούς τοῦ φωτός καί τίνα τρόπον 111

ἐν αὐτοῖς αὕτη γίνεται. Καί πρός τό τέλος, καταδρομή τῶν ἀναξίως κατατολμώντων τῆς ἀρχιερωσύνης. 111

Λόγος Ιστ΄. Περί τῶν ἐνεργειῶν τοῦ Πνεύματος τοῦ Ἁγίου. Καί τίς ἡ θεωρία τῶν μυστηρίων αὐτοῦ. Καί ὅπως τοῖς καθαροῖς τήν καρδίαν ἀποκαλύπτονται. Καί διήγησις ἐκ προοιμίων ἐπωφελής περί τινος ὑποτακτικοῦ, λαβόντος Πνεῦμα Ἅγιον ταῖς εὐχαῖς τοῦ πνευματικοῦ αὐτοῦ πατρός. 114

Λόγος ΙΖ΄. Περί θεωρίας καί ἀποκαλύψεως καὶ πεφωτισμένης εὐχῆς. Καί ὅπως ὁ ὑπό τῆς ἀγάπης κατασχεθείς τοῦ Θεοῦ καί εἰς βάθος ταπεινοφροσύνης ἐλάσας, ἐνεργεῖται ὑπό τοῦ Πνεύματος τοῦ Ἁγίου. 118

Λόγος ΙΗ΄. Περί μεθόδων τοῦ πονηροῦ, ὧν ὑποβάλλει τοῖς κουφοτέροις καί φιλοπρωτεύουσιν, ὁπόταν ὁ ποιμήν ἐξ ἀνθρώπων γένηται. Καί ὅτι χρή τούς μέν ἀναξίως ἐπιπηδῶντας τῇ ἀρχῇ πάσῃ κωλύειν συνωθεῖν ἐπί τοῦτο καί συνεργεῖν. Καί πρός τῷ τέλει, πρός τόν ποιμένα. 121

Λόγος ΙΘ΄. Ὅτι οὐ χρή ἐπί μόνοις τοῖς λόγοις καί ταῖς ὑποσχέσεσι θαρρεῖν τῶν ἀνθρώπων, ἀλλ’ ἐκ τῶν ἔργων τό πιστόν βεβαιοῦσθαι τῶν λόγων αὐτῶν. Καί οἵα τίς ἐστιν ἡ τῶν ἀληθινῶν διδασκάλων διάθεσις καί ἀγάπη πρός τούς μαθητευομένους αὐτοῖς. Καί ὁποῖα τά σπλάγχνα καί ἡ φροντίς αὐτῶν. Καί ὅπως ὑπέρ αὐτῶν ἐντυγχάνουσι τῷ Θεῷ. 132

Λόγος Κ΄. Περί ἀποταγῆς καί ἐκκοπῆς θελήματος, πρός τούς αἰτήσαντας γράψαι αὐτοῖς πῶς ὀφείλει τις τόν ἀσκητικόν διανύσαι βίον. Καί ὅτι καλόν ἐπί τούτῳ καί ἐπωφελές ἐμπείρῳ χρήσασθαι ὁδηγῷ ἤγουν πνευματικῷ πατρί εἰς τό αμαθεῖν τά τῆς ἀρετῆς καί τῆς ἀσκητικῆς τέχνης τήν δυσκατόρθωτον ἐργασίαν. Καί περί πίστεως τῆς εἰς τούς πνευματικούς πατέρας καί θεωρίας φωτός, ὑφ’ οὗ πᾶσα φωτιζομένη ψυχή προκόπτει εἰς ἀγάπην Θεοῦ. 136

Λόγος ΚΑ΄. Περί μνήμης θανάτου. Καί οἷον ἀγαθόν τέλος δέδωκεν ὁ τρισόλβιος αὐτοῦ ἀδελφός Ἀντώνιος. Καί πρός τῷ τέλει, ἐπιτάφιος πρός αὐτόν. 141

Λόγος ΚΒ΄. Περί πίστεως. Καί διδασκαλία περί τῶν λεγόντων μή εἶναι δυνατόν ἐν μέσῳ τῶν βιωτικῶν τό τέλειον φθάσαι τῶν ἀρετῶν. Καί διήγησις ἐκ προοιμίων ἐπωφελής. 144

Λόγος ΚΓ΄. Περί μετανοίας καί φόβου Θεοῦ. Καί ὁποῖον ἀγῶνα ἔχει ψυχῆς καί πόνον καρδίας ὁ μετά συντετριμμένου τοῦ πνεύματος μετανοῶν. Καί τίνα εἰσίν ἅ λέγει καί πρός τόν φιλάνθρωπον Κύριον εὔχεται. 151

Λόγος ΚΔ΄. Περί γνώσεως πνευματικῆς. Καί ὅτι ὁ ἐγκεκρυμμένος τοῦ Πνεύματος θησαυρός ἐν τῷ γράμματι τῆς θείας Γραφῆς οὐ πᾶσιν εὔδηλός ἐστι καί τοῖς βουλομένοις, ἀλλά μόνοις τοῖς τόν διανοίγοντα τόν νοῦν κτησαμένοις εἰς τό συνιέναι τάς Γραφάς. 156

Λόγος ΚΕ΄. Περί ἀλλοιώσεως ψυχῆς τε καί σώματος, τῶν ἐξ ἀέρος, τῶν ἐκ στοιχείων, τῶν ἐκ βρωμάτων καί τῶν δαιμόνων ἐπιγινομένων ἡμῖν. 160

Λόγος Κστ΄. Περί ἀρχῆς βίου λίαν ἐπωφελοῦς καί σωτηρίου, ἁρμοζούσης τοῖς ἄρτι τῷ κόσμῳ καί τοῖς ἐν κόσμῳ ἀποτασσομένοις καί πρός τόν μοναδικόν ἀποτρέχουσι βίον. Καί διδασκαλίας εἰς ἀρχαρίους λυσιτελεστάτη. 164

Λόγος ΚΖ΄. Περί τοῦ μή ἀμελῶς ἔχειν περί τήν ἐργασίαν τῶν τοῦ Θεοῦ ἐντολῶν, μηδέ καταφρονεῖν μιᾶς καί μόνης αὐτῶν, ἀλλ' ἀγωνίζεσθαι τηρεῖν ὁμοῦ πάσας, ἵνα μή ὡς καταφρονηταί ἔξω τοῦ νυμφῶνος ἀποκλεισθῶμεν. Καί περί τοῦ ὑπομένειν γενναίως τούς πειρασμούς. 170

Λόγος ΚΗ΄. Περί τῆς ἐκ τοῦ Πνεύματος ἐγγινομένης τοῖς ἀγωνιζομένοις καί πρό τοῦ θανάτου ζωοποιοῦ νεκρώσεως. Καί ὅτι οἱ ἐν τῇ χάριτι ὑπέρ τόν νόμον γενόμενοι τήν τοῦ θείου φωτός χάριν γνωστῶς ἐν ἑαυτοῖς λαμβάνουσιν· οἱ γάρ μή λαβόντες ἤδη τοῦτο τό φῶς κατά τήν παροῦσαν ζωήν, μηδέ καθορῶντες αὐτό, ἔτι ὑπό τήν σκιάν τοῦ νόμου εἰσί καί κριθήσονται ὑπ' αὐτοῦ. Καί ὁποῖον δεῖ εἶναι τόν τε προηγούμενον καί τόν ἱερέα, τόν δεσμεῖν καί λύειν ἄνωθεν λαβόντα τήν ἐξουσίαν. Καί ὅτι τῷ ἀληθῶς ἱερουργοῦντι καί ὑπό τοῦ θείου καταλαμπομένῳ φωτός πάντες κατάδηλοι, αὐτοί τε οἱ Πνεύματι περιπατοῦντες Θεοῦ καί οἱ μήπω 177

τόν χοϊκόν ἐκδυσάμενοι ἄνθρωπον.
Λόγος ΚΘ΄. Περί τοῦ μή δεῖν λέγειν, ὅτι ἀδύνατον νῦν είς ἄκρον ἐλθεῖν ἀρετῆς τόν βουλόμενον καί τοῖς πάλαι ἁμιλληθῆναι ἁγίοις. Καί ὅτι πᾶς ὁ τά ἐναντία διδάσκων τῶν θείων Γραφῶν νέαν αἵρεσιν τοῖς πειθομένοις αὐτῷ δογματίζει. Καί περί δακρύων, ὅτι ἐκ φύσεως ἡμῖν τά δάκρυα πρόσεστι. 185
Λόγος Λ΄. Περί μετανοίας καί ἀρχῆς ἐπαινετοῦ βίου, ὅπως δεῖ τόν μετανοῦντα καθ’ ἑκάστην ποιεῖν. Ἐν ᾧ καί περί δακρύων ἅμα καί κατανύξεως. 191
Λόγος ΛΑ΄. Περί τοῦ πῶς δεῖ ἕκαστον ἐπισκέπτεσθαι καί τά καθ’ ἑαυτόν ἐπιμελῶς ἐρευνᾷν. Καί πῶς τά ἑαυτοῦ ἀντιπαρατιθέναι χρή ταῖς ἐντολαῖς τοῦ Χριστοῦ. 198
Λόγος ΛΒ΄. Περί βλασφημίας. Καί ὅτι ὁ λέγων μή δύνασθαί τινα τήν παροῦσαν γενεάν ἐν μετοχῇ τοῦ Ἁγίου γενέσθαι Πνεύματος, ἀλλά καί ὁ διαβάλλων τάς ἐνεργείας τοῦ Πνεύματος καί τῷ ἐναντίῳ ταύτας ἐπιφημίζων, αἵρεσιν νέαν εἰς τήν τοῦ Θεοῦ ἐκκλησίαν ἀνακαινίζει. 202
Λόγος ΛΓ΄. Περί μετοχῆς Πνεύματος Ἁγίου. Καί ὅτι ἀδύνατον ἄλλως βεβαιωθῆναι τά ἔργα τῆς ἀρετῆς, εἰ μή δι’ ἐπιδημίας τοῦ Πνεύματος, οὗ χωρίς οὐδείς πρός ἀρετήν κατευθύνεται, οὐδέ ἄλλους ὠφελεῖν δύναται ἤ ἀλλοτρίους δέχεσθαι λογισμούς. Καί περί τό ἶσον κατά πάντα καί ὡσαύτως ὄν τῆς Τρισυποστάτου Θεότητος. 205
Λόγος ΛΔ΄. Ὅτι οὐκ ἀκίνδυνον τό διδόμενον ἡμῖν παρά Θεοῦ τάλαντον κατορύττειν· χρή γάρ δημοσιεύειν αὐτό καί τοῖς πᾶσιν ὑποδεικνύειν καί τάς εὐεργεσίας Θεοῦ εὐγνωμόνως ἀνακηρύττειν εἰς τήν τῶν ἀκουόντων ὠφέλειαν, κἄν τινες ἀπαρέσκωνται. 210
Λόγος ΛΕ΄. Τοῦ αὐτοῦ. Εὐχαριστία πρός Θεόν ὑπέρ ὧν ἠξίωται δωρεῶν. Καί εἰσήγησις ὅπως τοῖς κεκαθαρμένοις τῇ καρδίᾳ Θεός ἀεί ἐπιφαίνεται, καί ἐν ποίοις τοῖς πράγμασι καί γνωρίσμασι. 217
Λόγος Λστ΄. Τοῦ ἁγίου καί μεγάλου πατρός ἡμῶν Συμεών τοῦ Νέου. Εὐχαριστία πρός Θεόν περί τῶν γεγονότων εὐεργεσιῶν εἰς

αὐτόν παρ’ αὐτοῦ. Ἐν ᾗ καί περί εὐχῆς πνευματικῆς καί τῆς ἐν ταύτῃ προκοπῆς. Καί περί ἐλλάμψεως θείας θεωρίας τε ἀπλανοῦς καί ἀγάπης τῆς πρός Θεόν. 222
ΤΟΜΟΣ ΔΕΥΤΕΡΟΣ ΒΙΒΛΟΣ ΤΩΝ ΘΕΟΛΟΓΙΚΩΝ 229
ΘΕΟΛΟΓΙΚΟΣ ΠΡΩΤΟΣ. Καί κατά τῶν τιθεμένων τό πρῶτον ἐπί τοῦ Πατρός. 230
ΘΕΟΛΟΓΙΚΟΣ ΔΕΥΤΕΡΟΣ. Καί κατά τῶν ἐπιχειρούντων θεολογεῖν ἄνευ Πνεύματος. 238
ΘΕΟΛΟΓΙΚΟΣ ΤΡΙΤΟΣ. Καί ὅτι, εἴ τι ὁ Πατήρ, τοῦτο καί ὁ Υἱός, καί εἴ τι ὁ Υἱός, τοῦτο καί τό Πνεῦμα τό Ἅγιον, καί ὅτι ἕν ταῦτα πνεῦμα ὁμότιμον, ὁμοούσιον καί ὁμόθρονον. 244
ΒΙΒΛΟΣ ΤΩΝ ΗΘΙΚΩΝ 248
ΛΟΓΟΣ Α΄. 249
α΄. Μερική τις φυσιολογία περί τῆς τοῦ κόσμου κτίσεως καί τῆς πλάσεως τοῦ Ἀδάμ. 250
β΄. Περί τῆς παραβάσεως καί τῆς ἐξορίας τοῦ Ἀδάμ. 253
γ΄. Περί τῆς τοῦ Λόγου σαρκώσεως καί κατά τίνα τρόπον δι’ ἡμᾶς ἐσαρκώθη. 256
δ΄. Πῶς αὖθις ἡ κτίσις μέλλει πᾶσα ἀνακαινισθῆναι καί γενέσθαι καινούς οὐρανούς καί καινήν γῆν κατά τόν θεῖον Ἀπόστολον. 259
ε΄. Ὁποία ἔσται καί ἡ ἐσχάτη λαμπρότης τῆς κτίσεως. 261
στ΄. Πῶς ἑνοῦνται τῷ Χριστῷ καί Θεῷ καί ἕν γίνονται μετ’ αὐτοῦ πάντες οἱ ἅγιοι. 264
ζ΄. Πῶς δεῖ πληρωθῆναι τόν ἄνω κόσμον καί ὁποῖός τίς ἐστι καί τίνα πληρωθήσεται τρόπον. 268
η΄. Ὅτι εἰ μή πάντες οἱ προωρισμένοι κατά γενεάς καί γενεάς τεχθήσονται ἕως ἐσχάτης ἡμέρας καί πληρωθήσονται, ὁ ἄνω κόσμος οὐ πληρωθήσεται. 269
θ΄. Εἰς τό ῥητόν τοῦ Εὐαγγελίου· «Ὡμοιώθη ἡ βασιλεία τῶν οὐρανῶν βασιλεῖ». Καί τίς ἐστιν ὁ γάμος ὁ μυστικός τοῦ Θεοῦ. 271
ι΄. Ὅτι καί πάντες οἱ ἅγιοι τόν Λόγον τοῦ Θεοῦ ἐν ἑαυτοῖς συλλαμβάνουσι τῇ Θεοτόκῳ παραπλησίως καί γεννῶσιν αὐτόν καί γεννᾶται ἐν αὐτοῖς καί γεννῶνται ὑπ’ αὐτοῦ, καί πῶς υἱοί καί ἀδελφοί καί μητέρες αὐτοῦ χρηματίζουσιν. 273
ια΄. Εἰς τό ῥητόν τοῦ Εὐαγγελίου· «Καί ἀπέστειλε τούς δούλους αὐτοῦ καλέσαι τούς κεκλημένους εἰς τούς γάμους καί οὐκ ἤθελον ἐλθεῖν». 277
ιβ΄. Ὅτι οὐ χρή πρό τῆς ἐργασίας τῶν ἐντολῶν καί τῆς εἰς ἀρετήν προκοπῆς τε καί τελειώσεως τά κεκρυμμένα μυστήρια τῆς βασιλείας τῶν οὐρανῶν ἐρευνᾶν

τῶν ἀμυήτων τινά· καί ὅτι ἐν τῇ δευτέρᾳ τοῦ Κυρίου ἐλεύσει πάντες ἀλλήλους γνωρίζουσιν οἱ ἅγιοι.

ΛΟΓΟΣ Β΄. Τά κεφάλαια τῆς θεωρίας τοῦ λόγου. 288

α΄. Προτρεπτικός ἐκ προοιμίων εἰς μετάνοιαν· καί εἰς τό ῥητόν τοῦ Ἀποστόλου· «Οὕς προέγνω, τούτους καί προώρισε» καί εἰς τά ἑξῆς· καί κατά τῶν στρεβλούντων αὐτό τε καί πᾶσαν τήν θείαν Γραφήν. 289

β΄. Ὅτι πάντες οἱ εἰς Χριστόν πιστεύσαντες προεγνωσμένοι καί προωρισμένοι εἰσίν εἰς τό συμμόρφους γενέσθαι αὐτούς τοῦ Υἱοῦ τοῦ Θεοῦ· καί εἰς τό ῥητόν τοῦ Μωσέως· «Ὅτε διεμέριζε ἔθνη ὁ Ὕψιστος» καί τά ἑξῆς. 293

γ΄. Ἀνακεφαλαίωσις τῶν ἐν τῷ πρώτῳ λόγῳ ῥηθέντων περί ταῆς τοῦ Ἀδάμ καί τῆς Εὔας καί τῶν ἑπτά ἡμερῶν καί αἰώνων καί τῆς τοῦ παραδείσου φυσικῆς θεωρίας. 297

δ΄. Περί τοῦ κατακλυσμοῦ καί τίνων εἰκόνες ἦσαν τά ἐν τῇ κιβωτῷ· καί περί τοῦ Ἀβράαμ καί τοῦ κατ’ ἐκλογήν λήμματος καί τί ἐστι τό λῆμμα τοῦτο· καί περί τοῦ Ἰσραήλ καί τῆς περιτομῆς. 299

ε΄. Ὅτι τῷ παραχθέντι πρώτῳ κατ’ ἀρχάς κόσμῳ ἕτεροι δύο συνεπεγένοντο, ὧν ὁ ἔσχατος τύπος ἐστί τῶν μετά ταῦτα μελλόντων γενέσθαι, μέσος τις ὤν τῶν ἀρχαίων καί τῶν ἐξ ὕστερον· καί τίνος ἦν εἰκών ἡ τῆς ἐπαγγελίας γῆ καί τά ἑξῆς. 301

στ΄. Εἰς τό ῥητόν τοῦ Ἀποστόλου· «Εἰ γάρ τό αὐτῶν παράπτωμα πλοῦτος κόσμου γέγονε» καί τά ἑξῆς· καί προσωποποιΐα τῶν ἑκατέρων λαῶν, τῶν ἐθνῶν φημι καί τοῦ Ἰσραήλ. 303

ζ΄. Ὅτι νέος κόσμος ἡ τοῦ Χριστοῦ Ἐκκλησία καί νέος παράδεισος ἡ πρός αὐτόν πίστις. Καί πρός τούτοις ἀνακεφαλαίωσις τοῦ πρώτου κόσμου, ἀντιπαρατιθεμένων τοῖς ἐν ἐκείνῳ πραχθεῖσι τῶν ἐν τῇ Ἐκκλησίᾳ διά Χριστοῦ τελεσθέντων. Καί πρός τό τέλος ἐπανάληψις τοῦ ἀποστολικοῦ ῥητοῦ· «Οὕς προέγνω, τούτους καί προώρισε.....». 305

ΛΟΓΟΣ Γ΄. Εἰς το ῥητόν τοῦ Ἀποστόλου ἐν ᾧ λέγει· «Καί εἶδον τόν τοιοῦτον εἰς τρίτον οὐρανόν ἁρπαγέντα καί ἀκούσαντα ἄρρητα ῥήματα ἅ οὐκ ἐξόν ἀνθρώπῳ ἀκοῦσαι». Τί οὖν εἰσιν ἅ ἀκήκοεν ὁ Παῦλος ἄρρητα ῥήματα; Τίνα δέ τά ἀγαθά «ἅ ὀφθαλμός οὐκ εἶδε καί οὖς οὐκ ἤκουσε καί ἐπί καρδίαν ἀνθρώπου οὐκ ἀνέβη»; Τίς δέ ἤ πῶς ἔσται καί ἔστιν εἰς ἡμᾶς ἡ τοῦ Θεοῦ βασιλεία καί τίς ἡ ἐν ἡμῖν ταύτης ἐνέργεια; 311

ΛΟΓΟΣ Δ΄. Περί ἀπαθείας καί τῶν ἐν αὐτῇ κατά προκοπήν χαρισμάτων καί δωρεῶν· καί τίς ἡ τελείωσις τῆς κατά Χριστόν πνευματικῆς ἡλικίας. 324

ΛΟΓΟΣ Ε΄ Περί τῶν οἰομένων ἀγνώστως ἔχειν ἐν ἑαυτοῖς τό Πνεῦμα τό Ἅγιον, μή ἐπαισθανομένων δέ καθόλου τῆς ἐνεργείας αὐτοῦ· καί περί τῶν λεγόντων μή δύνασθαί τινα τῶν ἀνθρώπων κατά τήν παροῦσαν ζωήν ὁρᾶν τήν δόξαν αὐτοῦ, καί ἀπόδειξις διά χρήσεων περί τούτου. Καί ὅτι φθόνος οὐδείς ἐν τοῖς ἁγίοις, ὅταν διά πάσης σπουδῆς ἐναρέτου τούτοις συνεξισώμεθα. Καί ποίῳ τρόπῳ ὁρᾷ τις τόν Θεόν καί ὅτι ὁ εἰς τοιαῦτα μέτρα πεφθακώς, ὥστε ὁρᾷν κατά τό ἐφικτόν τόν Θεόν, ἔνθεν ἤδη μυεῖται καί τήν μέλλουσαν δοθῆναι ἐν τῷ μέλλοντι τοῖς ἁγίοις ἀπόλαυσιν. Καί ὅτι ὅσα ἄν ὁ τοιοῦτος λέγῃ ἤ ποιῇ ἤ γράφῃ, οὐκ αὐτός, ἀλλά τό Πνεῦμα τό Ἅγιον τό λαλοῦν ἐν αὐτῷ ταῦτα λέγει καί γράφει· καί ὁ τούς λόγους αὐτοῦ ἀθετῶν ἤ παραλογιζόμενος, εἰς τό Πνεῦμα τοῦ Θεοῦ, τό ἐνεργοῦν καί λαλοῦν ἐν αὐτῷ, ἁμαρτάνει καί βλασφημεῖ. 342

ΛΟΓΟΣ στ΄. Περί ἀπαθείας καί ἐναρέτου ζωῆς. Καί ὅπως χρή τό οἰκεῖον ἐκκόπτειν θέλημα καί εἰς ὕψος ἀνέρχεσθαι τελειότητος. Καί περί συναφείας Θεοῦ πρός ψυχήν καί ψυχῆς πρός σῶμα καί ἑνώσεως τῶν τριῶν παραδόξου. Καί πρός τούτοις περί πνευματικῆς ἰατρείας καί ὅπως χρή θεραπεύειν τούς ψυχικῶς ἀσθενοῦντας. 352

ΛΟΓΟΣ Ζ΄. Περί τῶν δουλευόντων Θεῷ, τίνες τε εἶεν και ὁποῖοι καί ποταποί. Καί τίς ἐστιν ὁ μετανοῶν καί ἡ ἐργασία αὐτοῦ, καί τίς ὁ τήν ἀσκητικήν ζωήν μετερχόμενος καί ἡ ἐργασία αὐτοῦ, καί τίς ὁ δουλεύων Θεῷ καί τό ἔργον αὐτοῦ. Καί ὅτι, ἐάν μή τάς ἀρετάς κτησώμεθα, οὐδέν ἡμᾶς ἀπαλλαγή μόνον τῶν παθῶν ὠφελήσει. 361

ΛΟΓΟΣ Η΄. Περί ἀγάπης Θεοῦ καί πίστεως καί ὅπως τις ἐγκύμων γίνεται τῆς τοῦ Θεοῦ ἀγάπης. Καί περί ἐλλάμψεως καί θεωρίας φωτός καί μυστικῆς ὁμιλίας τοῦ Πνεύματος. 372

ΛΟΓΟΣ Θ΄. Περί γνώσεως ἀληθινῆς καί ὅτι ἡ τοῦ Θεοῦ γνῶσις οὐκ ἐκ μαθημάτων, ἀλλ’ ἐκ καθαρότητος καί τῆς ἄνωθεν χάριτος ἐπιγίνεται τῷ σπουδαίῳ· καί ὅτι χαλεπόν τό κρίνειν· καί ἔλεγχος τῶν οἰομένων εἰδέναι τά τοῦ Πνεύματος χωρίς Πνεύματος· ἐν ᾧ καί περί τῆς τοῦ Πατρός ἁγιωσύνης· καί οἷον ἀγαθόν ἐστιν ἡ πίστις καί τίς ὁ ταύτης καρπός καί ὅπως αὐξάνεται· καί ὅτι οἱ τόν θησαυρόν ἐν ἑαυτοῖς ἐσχηκότες τοῦ Πνεύματος καί ἐν ἄλλοις ὄντα 376

γνωρίζουσι· καί τίνα τῶν ἁγίων τά σημεῖα καί πῶς καί τίσι γνωρίζονται· καί ὅτι ὁ μή γεννηθείς ἄνωθεν οὐ δύναται ἰδεῖν τόν γεγεννηκότα Θεόν οὐδέ γνωρίσαι τόν εἰς τοῦτο πεφθακότα διά τοῦ Πνεύματος.

ΛΟΓΟΣ Ι ΄. Περί τῆς φοβερᾶς τοῦ Κυρίου ἡμέρας καί τῆς μελλούσης κρίσεως, ὅτι καί πρό τοῦ θανάτου ἐν ἡμῖν ἔνθεν ἤδη καθαιρομένοις διά δακρύων ἐνεργεῖται ἐν οἷς ἄν ἐγγένηται κατά τήν παροῦσαν ζωήν, κατά τήν μέλλουσαν οὐχ ὑπαντᾶ. Καί τίς ἐστιν ἡ ἡμέρα Κυρίου καί τίσιν αἴφνης ἀποκαλύπτεται. Καί ὅτι ἡ εἰς Χριστόν πίστις οὐ δύναται μόνη σῶσαι ἡμᾶς, εἰ μή καί 386
Πνεύματος Ἁγίου γνωστῶς γενώμεθα μέτοχοι καί ὅτι οὐχί πάντες οἱ βαπτιζόμενοι διά τοῦ βαπτίσματος λαμβάνουσι τόν Χριστόν. Καί πῶς δύναταί τις γνῶναι εἰ περιφέρει ἐν αὐτῷ τόν Χριστόν καί Πνεύματος Ἁγίου γέγονε μέτοχος. Καί ἑρμηνεία ὡς ἐν παραδρομῇ εἰς τό « Ἐν ἀρχῇ ἦν ὁ Λόγος». Καί μακαρισμός εἰς τούς ἐξ ἀγώνων τήν ἐπιφοίτησιν δεξαμένους τοῦ Πνεύματος.

ΛΟΓΟΣ ΙΑ '. Περί τῆς ζωοποιοῦ νεκρώσεως τοῦ Ἰησοῦ καί Θεοῦ τῆς ἀεί γινομένης εὐαισθήτως ἐν τοῖς τελείοις. Καί ὅτι ἡ κτῆσις τῶν ἀρετῶν αἵματι ἀγοράζεται· καί τίνα τῶν ἀρετῶν τά καταγώγια καί ὅτι ὁ μή διά τῆς πρώτης βαθμίδος κατά τάξιν εἰς τήν βασιλείαν τῶν οὐρανῶν ἀνερχόμενος οὐδαμῶς εἰσελεύσεται εἰς αὐτήν. Ὅτι ἐν τοῖς τελείοις χαρά καί ἀγαλλίασίς ἐστι, καί οὐ δάκρυον, καί 404
βρύουσι τῆς θεολογίας τά ῥεῖθρα. Καί πρός τό τέλος, ὅτι δεῖ ἐπιπηδᾶν ταῖς ἀρχαῖς ἄνευ τῆς πληροφούσης τάς καρδίας ἡμῶν χάριτος, τῆς ἐπί τό ποιμαίνειν καλούσης τόν λαόν τοῦ Θεοῦ· καί τί τό ἔργον τῶν προϊσταμένων, τίς δέ ἡ περί τά λογικά πρόβατα φροντίς, καί πῶς ὀφείλουσι ταῦτα παρά τῶν ποιμένων ποιμαίνεσθαι.

ΛΟΓΟΣ ΙΒ΄. Εἰς τό ῥητόν τό λέγον τοῦ Ἀποστόλου·
«Ἐξαγοραζόμενοι τόν καιρόν, ὅτι αἱ ἡμέραι πονηραί εἰσί». Καί 418
πῶς ἐξαγοράζεταί τις φρονίμως τόν καιρόν τῆς παρούσης ζωῆς.

ΛΟΓΟΣ ΙΓ΄. Εἰς τό ῥητόν τοῦ Ἀποστόλου· «Ὁ πρῶτος ἄνθρωπος ἐκ γῆς χοϊκός, ὁ δεύτερον ἄνθρωπος ὁ Κύριος ἐξ οὐρανοῦ». Καί πῶς 423

τόν χοϊκόν ἀποτιθέμεθα ἄνθρωπον καί τόν Χριστόν ἐνδυόμεθα, συγγενεῖς αὐτοῦ καί ἀδελφοί χρηματίσαντες. 423
ΛΟΓΟΣ ΙΔ΄. Περί ἑορτῶν καί ὅπως χρή ἑορτάζειν καί τίνων σύμβολα τά τελούμενα ἐν ταῖς ἑορταῖς καί κατά τῶν ἐναβρυνομένων ἐν αὐταῖς. Καί περί τῶν ἀξίως ἤ ἀναξίως κοινωνούντων καί τίς ἡ ἐν τούτοις διαφορά· καί πρός τό τέλος, πῶς συνάπτεταί τις διά τῆς κοινωνίας Θεῷ καί πῶς οὐ συνάπτεται. 429
ΛΟΓΟΣ ΙΕ΄ . Περί ἡσυχίας καί ὁποίας ἐργασίας ὀφείλει ἔχεσθαι ὁ ἐν ταύτῃ ἀνδρείως προσκαρτερῶν. 434
ΚΕΦΑΛΑΙΑ ΠΡΑΚΤΙΚΑ ΚΑΙ ΘΕΟΛΟΓΙΚΑ 438
ΕΤΕΡΑ ΚΕΦΑΛΑΙΑ ΓΝΩΣΤΙΚΑ ΤΕ ΚΑΙ ΘΕΟΛΟΓΙΚΑ κε' 456
Ἕτερα κεφάλαια θεολογικά καί πρακτικά ρ'. 461
ΔΙΑΛΟΓΟΣ ΣΧΟΛΑΣΤΙΚΟΥ ΠΡΟΣ ΣΥΜΕΩΝ ΤΟΝ ΝΕΟΝ ΘΕΟΛΟΓΟΝ. 480
ΤΟΜΟΣ ΤΡΙΤΟΣ - ΥΜΝΟΙ ΕΠΙΣΤΟΛΑΙ 483
Νικήτα μονάζοντος καί πρεσβυτέρου μονῆς τῶν Στουδίου τοῦ Στηθάτου εἰς τήν βίβλον τῶν θείων ὕμνων τοῦ ὁσίου πατρός ἡμῶν Συμεών. 484
Ο ΠΙΝΑΞ ΤΩΝ ΘΕΙΩΝ ΕΡΩΤΩΝ 491
ΕΥΧΗ ΜΥΣΤΙΚΗ δι’ ἧς ἐπικαλεῖται τό Πνεῦμα τό Ἅγιον ὁ αὐτό προορῶν. 492
Α'. Περί θείας ἐλλάμψεως καί φωτισμοῦ Πνεύματος Ἁγίου· καί ὅτι εἷς τόπος ὁ Θεός, ἐν ᾧ μετά πότμον τήν ἀνάπαυσιν πάντες οἱ Ἅγιοι ἔχουσι· καί ὅτι ὁ τοῦ Θεοῦ ἐκπίπτων ἐν ἑτέρῳ τόπῳ οὐχ ἕξει τήν ἀνάπαυσιν ἐν τῇ μελλούσῃ ζωῇ. 494
Β΄ Τίς ἡ ἐπί τῷ πατρί τούτῳ γενομένη ἀλλοίωσις καί πῶς καθαρθείς εἰς ἄκρον ἡνώθη Θεῷ καί οἷος ἐξ οἵου ἐγένετο, οἱ πρός Θεόν ἐρωτικοί αὐτοῦ λόγοι δηλοῦσιν ἐνταῦθα· ὅς καί θεολογῶν λέγει πρός τό τέλος περί ἀγγέλων. 500
Γ'. Τίς ὁ μοναχός καί καί τίς ἡ αὐτοῦ ἐργασία· καί εἰς οἷον ὕψος οὗτος ὁ θεῖος πατήρ θεωρίας ἀνῆλθεν. 504
Δ'. Διδασκαλία εἰς μοναχούς ἄρτι ἀποταξαμένους κόσμῳ καί τοῖς ἐν κόσμῳ· καί περί τοῦ, ὁποίαν τις ὀφείλει πίστιν ἔχειν πρός τόν 505

ἴδιον πατέρα.
Ε'. Ἀλφάβητος τοῦ αὐτοῦ κατά στοιχεῖον διπλοῦς προτρέπων καί ὁδηγῶν εἰς τελειότητα βίου ἀναδραμεῖν τόν ἄρτι ἀπό τοῦ κόσμου ἀναχωρήσαντα. 508
ΣΤ'. Τετράστιχα τοῦ αὐτοῦ τόν πρός Θεόν αὐτοῦ ἐντεῦθεν δεικνύοντα ἔρωτα. 510
Ζ'. Ἔντευξις τοῦ αὐτοῦ εἰς Θεόν· καί ὅπως Θεῷ συναπτόμενος καί δόξαν Θεοῦ ὁρῶν ἐν ἑαυτῷ ἐνεργοῦσαν ἐξεπλήττετο. 511
Η'. Τίσι Θεός ἐμφανίζεται καί τίνες ἐν ἕξει γίνονται τοῦ καλοῦ διά τῆς τῶν ἐντολῶν ἐργασίας. 513
Θ'. Ὅτι ὁ τοῦ Ἁγίου Πνεύματος μέτοχος γεγονώς ὑπό τοῦ φωτός καί τῆς δυνάμεως αὐτοῦ ἁρπαζόμενος ἐπάνω πάντων φέρεται τῶν παθῶν, μή βλαπτόμενος τῷ πλησιασμῷ ὑπ’ αὐτῶν. 516
Ι'. Ὅτι ὁ θάνατος τῇ λύπῃ καί τῶν στερροτέρων καθάπτεται. 518
ΙΑ' Ὅπως ὡράθη αὐτῷ Θεός ὡς Στεφάνῳ καί Παύλῳ τοῖς ἀποστόλοις, ἐνταῦθα ὁ πατήρ ἐκπληττόμενος διηγεῖται. 519
ΙΒ' Περί τοῦ ἑνός κατά πάντα τῆς τρισυποστάτου θεότητος θεολογία· καί δι’ ὧν τῇ ταπεινώσει χρώμενος λέγει περί ἑαυτοῦ, τῶν δοκούντων εἶναί τι ἐντρέπων τήν οἴησιν. 522
ΙΔ'. Εὐχαριστία πρός Θεόν τῶν δωρεῶν ἕνεκα, ὧν παρ’ αὐτοῦ ἠξιώθη· καί ὅτι φρικτόν καί ἀγγέλοις τό τῆς ἱερωσύνης καί ἡγουμενείας ἀξίωμα. 528
ΙΕ'. Ὅπως βλέπων τήν δόξαν τοῦ Θεοῦ ἐνηργεῖτο ὑπό τοῦ Παναγίου Πνεύματος, καί ὅτι τό Θεῖον ἐντός καί ἐκτός ἐστι τοῦ παντός, ἀλλά καί ληπτόν τε καί ἄληπτον τοῖς ἀξίοις, καί ὅτι οἶκος Δαυίδ ἡμεῖς ἐσμεν, καί ὅτι εἰς πολλά γινόμενος ὁ Χριστός καί Θεός ἡμῶν μέλη εἷς ἐστι καί ὁ αὐτός καί μένων ἀμέριστος. 531
ΙΣΤ'. Ὅτι ποθεινόν τε καί ἐπιθυμητόν κατά φύσιν μόνον τό Θεῖον, οὗ ὁ μετέχων πάντων ἐν μετοχῇ γέγονε τῶν καλῶν 538
ΙΖ'. Ὅτι ὁ φόβος γεννᾷ τήν ἀγάπην, ἡ δέ ἀγάπη ἐκριζοῖ τόν φόβον ἀπό τῆς ψυχῆς καί μένει μόνη ἐν αὐτῇ, Πνεῦμα Θεῖον οὖσα καί Ἅγιον. 540

ΙΗ'. Διδασκαλία σύν θεολογίᾳ περί τῶν ἐνεργειῶν τῆς ἁγίας ἀγάπης, ἤγουν αὐτοῦ τοῦ φωτός τοῦ Ἁγίου Πνεύματος. 562
ΙΘ'. Διδασκαλία σύν θεολογίᾳ, ἐν ᾗ καί περί ἱερωσύνης ἅμα καί ἀπαθοῦς θεωρίας. 568
Κ'. Εὐχαριστία καί ἐξομολόγησις σύν θεολογίᾳ· καί περί δωρεᾶς καί μετουσίας Πνεύματος Ἁγίου. 573
ΚΑ'. Ἐπιστολή πρός μοναχόν ἐρωτήσαντα· Πῶς χωρίζεις τόν Υἱόν ἀπό τοῦ Πατρός, ἐπινοίᾳ ἤ πράγματι; Ἐν ᾗ εὑρήσεις πλοῦτον θεολογίας ἀνατρεπούσης τήν αὐτοῦ βλασφημίαν. 580
ΚΒ'. Εὐχαριστία σύν θεολογίᾳ· καί περί ὧν ἡ θεία χάρις τοῦ Πνεύματος διά τῶν ἐνεργειῶν ὠνόμασται. 593
ΚΓ'. Περί τῆς ἀκαταλήπτου καί ἀπεριγράπτου Θεόητος ἀκριβής θεολογία· καί ὅτι ἀπερίγραπτος οὖσα ἡ θεία φύσις οὔτε ἐντός οὔτε ἐκτός ἐστι τοῦ παντός, ἀλλά καί ἐντός καί ἐκτός ὡς τῶν ὅλων αἰτία· καί ὅτι μόνον κατά νοῦν τῷ ἀνθρώπῳ ληπτόν ἀλήπτως τό Θεῖον ὡς τοῖς ὀφθαλμοῖς αἱ τοῦ ἡλίου ἀκτῖνες. 599
ΚΔ'. Δι’ ὧν ἐξομολογούμενος ἐν τῷ παρόντι γράφει λόγῳ, δείκνυσι τό βάθος τῆς ἑαυτοῦ ταπεινώσεως, καί προϊών διδάσκει αὐτήν τόν εἰς μέτρον ἐλάσαντα τελειότητος καί ἀξιωθέντα τοιούτων ἐν θεωρίᾳ ἀποκαλύψεων, Παῦλον τόν θεῖον κἀν τούτῳ μιμούμενος, ἁμαρτωλόν ἑαυτόν ἀποκαλοῦντα καί ἀνάξιον τοῦ καλεῖσθαι ἀπόστολον. 613
ΚΕ'. Περί τῆς γενομένης θεωρίας αὐτῷ τοῦ θείου φωτρός, καί ὅπως τό θεῖον φῶς οὐ καταλαμβάνεται ὑπό σκότους· ἐν οἷς καί διά τήν ὑπερβολήν τῶν ἀποκαλύψεων ἐκπληττόμενος μέμνηται τῆς ἀνθρωπίνης ἀσθενείας καί ἑαυτόν κατακρίνει. 623
ΚΣΤ'. Ὅτι ὁ ἐν ἀγνωσίᾳ Θεοῦ ἔτι ζῶν νεκρός ἐστι μέσον τῶν ζώντων ἐν γνώσει Θεοῦ καί ὅτι τοῖς ἀναξίως τῶν μυστηρίων μεταλαμβάνουσιν ἄληπτον τό θεῖον σῶμα καί αἷμα τοῦ Χριστοῦ γίνεται. 627
ΚΖ'. Ὁποῖον δεῖ εἶναι τόν μοναχόν καί τίς ἡ ἐργασία καί τίς ἡ τούτου προκοπή καί ἀνάβασις. 630

ΚΗ'. Περί νοητῆς ἀποκαλύψεως τῶν ἐνεργειῶν τοῦ θείου φωτός καί ἐργασίας νοερᾶς τε καί θείας τῆς ἐναρέτου ζωῆς. 635
ΚΘ'. Ὅτι μόνοις ἐκείνοις καταφανῆ τά τῶν θείων πραγμάτων, οἷς διά τῆς μετουσίας τοῦ Ἁγίου Πνεύματος ὅλοις ὅλος ἡνώθη Θεός. 641
Λ'. Πρός ἕνα τῶν μαθητῶν, ὅτι ταῖς καθαρθείσαις ψυχαῖς διά δακρύων καί μετανοίας προσψαῦσαν τό θεῖον τοῦ Πνεύματος πῦρ δράσσεται αὐτῶν καί πλεον καθαίρει, φωτίζον τά ὑπό τῆς ἁμαρτίας ἐσκοτισμένα μέρη αὐτῶν καί τά τραύματα ἐξιώμενον εἰς τελεῖαν φέρει συνούλωσιν, ὡς τῷ θείῳ κάλλει ὑπεραστράπτειν αὐτάς. 651
ΛΑ'. Περί θεολογίας καί ὅτι ἀνεξερεύνητος ἡ θεία φύσις καί πάντῃ τοῖς ἀνθρώποις ἀκατανόητος. 667
ΛΒ'. Ὅτι οἱ ἔνδοξοι τῆς γῆς καί σοβαροί τῷ πλούτῳ περί τήν σκιάν τῶν ὁρωμένων πλανῶνται, οἱ δέ γε τῶν παρόντων καταφρονήσαντες ἐν ἀπλανεῖ μεθέξει τοῦ Θείου γίνονται Πνεύματος. 672
ΛΓ'. Περί θεολογίας· καί ὅτι οἱ τό κατ' εἰκόνα φυλάξαντες τάς πονηράς δυνάμεις τοῦ ἄρχοντος τοῦ σκότους καταπατοῦσιν, οἱ δ' ἄλλοι, οἷς ἐμπαθής ὁ βίος, ὑπ' αὐτοῦ κρατοῦνται καί βασιλεύονται. 675
ΛΔ'. Ὅτι ἡ τοῦ Παναγίου Πνεύματος ἕνωσις πρός κεκαθαρμένας ψυχάς ἐν αἰσθήσει τρανῇ, ἤγουν ἐν ἐπιγνώσει γίνεται καί, ἐν αἷς ἄν γένηται, φωτοειδεῖς ὁμοίας ἑαυτόῦ καί φῶς αὐτάς ἀπεργάζεται. 679
ΛΕ'. Ὅτι πάντες οἱ ἅγιοι ἐλλαμπόμενοι αὐγάζονται καί τήν δόξαν τοῦ Θεοῦ καθορῶσιν, ὡς θεμιτόν ἀνθρωπίνῃ φύσει Θεόν ὁρᾶν. 683
ΛΣΤ'. Εὐχαριστία ὑπέρ τῆς ἐξορίας καί τῶν θλίψεων, ὧν ὑπέστη ἐν τῷ κατ' αὐτόν διωγμῷ. 687
ΛΖ'. Δέησις καί προσευχή τοῦ αὐτοῦ πρός Θεόν τῆς ἐκείνου ἕνεκα βοηθείας 689
ΛΗ'. Περί θεολογίας· καί ὅτι ὁ νοῦς τῆς ὕλης τῶν παθῶν καθαρθείς ἀΰλως τόν ἄϋλον καί ἀόρατον καθορᾷ. 691
ΛΘ'. Ὅτι ὁ πόθος καί ἡ πρός Θεόν ἀγάπη ὑπερβαίνει πᾶσαν ἀγάπην καί πάντα πόθον ἀνθρώπινον· βαφείς δέ ὁ νοῦς τῶν καθαιρομένων ἐν τῷ φωτί τοῦ Θεοῦ ὅλος θεοῦται καί νοῦς ἐκεῖθεν χρηματίζει 694

Χριστοῦ.
Μ'. Ὁμολογία τῆς χάριτος τῶν τοῦ Θεοῦ δωρεῶν· καί ὅπως ὁ ταῦτα γράφων πατήρ ὑπό τοῦ Ἁγίου ἐνηργεῖτο Πνεύματος· καί διδασκαλία ῥηθεῖσα ὑπό Θεοῦ, τοῦ τί δεῖ ποιοῦντα τινά, τῆς τῶν σῳζομένων σωτηρίας τυχεῖν. 697
ΜΑ'. Εὐχαριστία πρός Θεόν ὑπέρ τῶν παρ' αὐτοῦ γεγονότων εὐεργεσιῶν καί αἴτησις τοῦ μαθεῖν, τίνος χάριν οἱ τέλειοι γεγονότες ὑπό τῶν δαιμόνων παραχωροῦνται πειράζεσθαι· καί περί τῶν ἀποτασσομένων τῷ κόσμῳ διδασκαλία καί ὑποτύπωσις ῥηθεῖσα παρά Θεοῦ. 700
ΜΒ'. Ὅτι οἱ τῷ Θεῷ ἀπ' ἐντεῦθεν ἤδη διά τῆς τοῦ Ἁγίου Πνεύματος μετουσίας ἑνωθέντες, ἐκδημοῦντες τοῦ βίου εἰς αἰῶνας αὐτῷ ἐκεῖθεν συνέσονται· εἰ δ' οὖν, ἀλλά τό ἀνάπαλιν τοῖς ἄλλως ἔχουσιν ἐνταῦθα τότε γενήσεται. 707
ΜΓ'. Ὅτι κρεῖσσον τό καλῶς ποιμαίνεσθαι ἤ τούς μή βουλομένους ποιμαίνειν· οὐδέ γάρ ἔσται κέρδος τῷ ἄλλους μέν σπουδάζοντι σῶσαι, ἑαυτόν δέ διά τῆς ἐκείνων ἀπολέσαντι προστασίας. 713
ΜΔ'. Τί ἐστι τό κατ' εἰκόνα, καί πῶς εἰκότως νοεῖται ὡς τοῦ πρωτοτύπου εἰκών ὁ ἄνθρωπος· καί ὅτι ὁ τούς ἐχθρούς ὡς εὐεργέτας φιλῶν μιμητής ἐστι τοῦ Θεοῦ, Πνεύματος δέ Ἁγίου ἐντεῦθεν μέτοχος γεγονώς θέσει θεός καί χάριτι γίνεται, μόνοις ἐκείνοις γνωριζόμενος, τοῖς ὑπό τοῦ Ἁγίου Πνεύματος ἐνεργουμένοις. 717
ΜΕ'. Περί θεολογίας ἀκριβεστάτης· καί ὅτι ὁ μή ὁρῶν τό φῶς τῆς τοῦ Θεοῦ δόξης χείρων τυγχάνει τυφλῶν. 728
ΜΣΤ'. Ἐξομολόγησις εὐχῇ συνημμένη· καί περί συναφείας Πνεύματος Ἁγίου καί ἀπαθείας. 732
ΜΖ'. Περί νοητοῦ παραδείσου τηλαυγῆς θεωρία· καί περί τοῦ ἐν αὐτῷ ξύλου ζωῆς. 734
ΜΗ'. Ὅτι δόξα καί τιμή ἐστι παντί ἀνθρώπῳ ὑβριζομένῳ καί πάσχοντι κακῶς διά Θεοῦ ἐντολήν ἡ ὑπέρ αὐτῆς τῆς ἐντολῆς τοῦ Θεοῦ ἀτιμία· καί διάλογος πρός τήν ἰδίαν ψυχήν, διδάσκων τόν 737

ἀκένωτον πλοῦτον τοῦ Πνεύματος.
ΜΘ'. Ὅτι ἔστιν ὅτε καί διά τῆς εἰς τόν πλησίον ἐπιμελείας καί διορθώσεως συγκατασπᾶσθαι τόν διδάσκαλον εἰς τήν ἐνοῦσαν ἐκείνῳ τοῦ πάθους ἀσθένειαν. 742
Ν'. Περί θεωρίας Θεοῦ καί θείων πραγμάτων καί Ἁγίου Πνεύματος παραδόξου ἐνεργείας· καί περί τῶν ἰδίων τῆς Ἁγίας καί ὁμοουσίου Τριάδος· καί ὅτι ὁ μή φθάσας εἰσελθεῖν εἰς τήν βασιλείαν τῶν οὐρανῶν οὐδέν ὠφεληθήσεται, κἄν ἐκτός γένηται τῶν τοῦ ᾄδυο κολάσεων. 745
ΝΑ'. Ὅτι τοῦ Πνεύματος λάμποντος ἐν ἡμῖν τοῦ Ἁγίου πάντα τά τῶν παθῶν φυγαδεύονται ὡς ὑπό τοῦ φωτός τό σκότος· συστέλλοντος δέ αὐτοῦ τάς ἀκτῖνας, ὑπό τούτων καί τῶν πονηρῶν βαλλόμεθα λογισμῶν. 754
ΝΒ'. Περί θεολογίας· καί ὅτι τῷ μή ἀλλοιωθέντι τῇ τοῦ Ἁγίου Πνεύματος μετουσίᾳ καί γεγονότι θέσει ἐν γνώσει Θεῷ διδάσκειν τά θεῖα τούς ἀνθρώπους οὐκ ἔξεστι. 759
ΝΓ'. Κατά διάλεκτον Θεοῦ καί τοῦ πατρός τῶν λόγων ὁ λόγος· καί ὅπως ὑπό τοῦ Ἁγίου Πνεύματος ἐλλαμπόμενος ὁ θεῖος οὗτος πατήρ ὡμίλει Θεῷ καί ὑπ᾽ ἐκείνου ἐμυσταγωγεῖτο τά θεῖά τε καί ἀνθρώπινα. 763
ΝΔ'. Ὅτι ἑκάστῳ τῶν ἀνθρώπων δέδωκεν ὁ Θεός προσφυῶς καί πρός τό συμφέρον τό χάρισμα διά Πνεύματος Ἁγίου εἰς τό ἐνεργεῖν, οὐχ ὥσπερ αὐτός θέλει, ἀλλ᾽ ὡς ὑπ᾽ αὐτοῦ προωρίσθη, εἰς τό μή κενόν εἶναι μέσον τῆς ἐκκλησίας αὐτοῦ. 770
ΝΕ'. Ὅτι τοῖς τό ἅγιον φυλάξασι βάπτισμα καθαρόν παραμένει τό Πνεῦμα τό Ἅγιον· ἀπό δέ τῶν μολυνάντων αὐτό ἀπανίσταται. 775
ΝΣΤ'. Εὐχή πρός Θεόν ἐπί τοῖς γεγονόσιν εἰς αὐτόν, ἱκετήριός τε ὁμοῦ καί εὐχαριστήριος. 781
ΝΖ'. Ὅτι ὁ τόν Θεόν ἐξ ὅλης ποθήσας ψυχῆς μισεῖ τόν κόσμον. 783
ΝΗ'. Διδασκαλία κοινήν σύν ἐλέγχῳ πρός πάντας· βασιλεῖς, ἀρχιερεῖς, ἱερεῖς, μονάζοντας, λαϊκούς, ὑπό στόματος λαληθεῖσα καί λεγομένη Θεοῦ. 784

ΕΠΙΣΤΟΛΕΣ. 794
ΕΠΙΣΤΟΛΗ Α'. Περί ἐξομολογήσεως. 795
ΕΠΙΣΤΟΛΗ Β'. Πρός Στέφανον Νικομηδείας 804
ΕΠΙΣΤΟΛΗ Γ'. Ἑτέρα πρός Στέφανον Νικομηδείας. 805
ΕΠΙΣΤΟΛΗ Δ'. Πρός Νικήτα Σταθᾶτον. 806